Hæc in R. St. editione anno MDLI Parisiis elaborata. Λόγος πρὸς Ἕλληνας p. 29: & Ἐπιστολὴ πρὸς Διόγνητον pag. 381, seorsum ab Henrico Steph. Roberti F. cum eiusdem interpretatione ac prolixis annotationibus edita nuper anno MDXCII. Ceterum is Stephani ordo nec a Perionio nec a Lango nostro fuit obseruatus. neq; adeo in manuscriptis Græcis eum exstare testis est Perionius. Nobis in nostra editione visum est primo tomo ea ponere quę sunt ad Græcos seu Gentiles, primũ omnes in genere, deinde ad summum magistratum, tertio ad Philosophos. Secundo tomo dedimus illustrem illam Disputationẽ in clarissima Asiæ vrbe Epheso cum Iudaicæ Synagogæ principe Tryphone toto biduo pro Christianæ religionis veritate continuatam. In tertium tomum ea retulimus quæ proprie ad Christianos sunt conscripta: & in calcem duas Parænеses ad priuatos, reiecimus. Prius autem ad Græcos quam contra Iudęos ab Iustino scriptum fuisse, cum per se probabile est, tum ab ipsomet confirmatur in certamine cum Tryphone 273, 47: vbi suæ ad Cæsarem Apologiæ meminit: & rursum in epistola ad Zenam & Serenum 388, 48. Immo & prolixiorem librum de disputatione cum Tryphone habita se conscripturũ pollicetur in eodem Dialogo 239, 29. Sed & volumen contra omnes quæ fuerunt hæreses, a se compositum idemmet testatur Iustinus in Apologia posteriore ad Antoninum Pium: seque id oblaturum promittit, si legere Imperator velit. 54, 41. Meminit etiam epistolæ a se ad Papam scriptæ, 388, 44. Sed hæc ad nos non peruenerunt, vt nec Psaltes, nec liber De Anima, nec volumina contra Marcionem, quæ ab Eusebio & Hieronymo ipsi adscribuntur. Nec multũ absimilis ordo est quem cum eodem Eusebio & Hieronymo in scriptis Iustini recensendis secutus est Honorius Augustodunensis presbyter in libello De Luminaribus Ecclesię, siue De Scriptoribus Ecclesiasticis. Ibi enim, *Iustinus*, inquit, *Philosophus de Neapoli vrbe Palæstinæ, patre Prisco Bacchio, scripsit libros quatuor pro religione Christi contra Gentes, & vnum de Monarchia Dei, & vnum quem pranotauit Psalten, & vnum de Anima, & Dialogum contra Iudæos, & insignia volumina contra Marcionem, & librum contra omnes hæreses.* vbi cum quatuor libros pro religione Christiana contra Gentes nominat Honorius, intelligit primum duas Apologias ad Senatum & Imperatores Romanos, deinde duas siue Apologias siue Parænеses ad Gentes: quarum prior inter alia disputationem habuit de Dæmonum natura; posterior, ordine quarta, ἔλεγχος inscripta fuit; vt idem Hieronymus refert ex Eusebio, & confirmat Tatianus. Sed cum in nostris duabus, a quibus nos editionis fecimus initiũ, neq; de dæmonibus exstet disputatio, neque ἐλέγχου titulus visatur, dubium est, titulorumne sit facta mutatio, an alias quaspiam ad Græcos apologias Eusebius & Hieronymus intellexerint. addit enim Eusebius Ecclesiasticæ historiæ libro 4, pag. 40, b: πλεῖστα καὶ ἕτερα φέρεται παρὰ πολλοῖς ἀδελφοῖς τῶν Ἰουστίνου πόνων. Quamobrem & Photius in suis de Iustino collectaneis, præter eos quos modo ex Eusebio, Hieronymo, & Honorio enumeraui tractatus, duas alias Iustino tribuit πραγματείας, nempe primum contra Aristotelem De Materia, de Forma, de Priuatione, de Quinto corpore seu Quinto elemento, De motu sempiterno: deinde Ἀποριῶν κατὰ τῆς εὐσεβείας κεφαλαιώδεις ἐπιλύσεις, id est, *Dubitationum quæ contra Christianam religionem mouentur breues ac per summa dumtaxat capita deductas solutiones.* ac rursum Hieronymus in Ecclesiasticorum Scriptorum catalogo, Ioannis Apocalypsin interpretatos esse Iustinum martyrem & Irenæum, auctor est. Voluminis autem aduersus hæreses, meminit etiam Tertullianus libro aduersus Valentinianos, his verbis: *Nec vndiq; dicemur* (inquit) *ipsi nobis finxisse materias, quas tot iam viri sanctitate & præstantia insignes, nec solum nostri antecessores, sed ipsorum hæresiarcharum contemporales, instructissimis voluminibus & prodiderunt & retuderunt, vt Iustinus Philosophus & martyr, vt Miltiades ecclesiarum sophista, vt Irenæus omnium doctrinarum curiosissimus explorator, vt Proculus nostra virginis senecta, & Christianæ eloquentiæ dignitas: quos in omni opere fidei, quemadmodum in isto, optauerim assequi.* Hæc igitur sunt quæ partim a vetustioribus Eusebio & Hieronymo, partim a recentioribus Photio & Honorio ad Iustinum referuntur. Itaque si nostra hæc expendamus accuratius, etsi omnia & singula Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος titulum præferunt, de nonnullis tamen, an sint Iustini veteris, non abs re dubitauerimus. De *Aristotelicorum dogmatum euersione* quæ Perionio suspicionem mouerint, infra in Annotationibus posterioribus expo-

ſitum eſt ad 86, 13. Qui tractatus ſi vocatur in dubium, multo ſuſpectior eſt *Appendix eius*, & *Reſponſio ad Quæſtiones de Incorporeo, de Deo, de Reſurrectione mortuorum.* Sane quinque illas *Quæſtiones cum Græcorum reſponſione, reſponſionuq; illius confutatione*, Iuſtini genuinas non eſſe, cum ſtilus arguit, tum Manichææ hæreſeωs taxatio, quæ annis circiter CXXX poſt Iuſtinum exorta eſt, vt ad 122, 35, ante nos annotatum etiam a Perionio. *Reſponſiones ad Orthodoxos* multa paſſim ſuſpectas reddunt, quæ ſuo quæque loco a nobis ſunt notata. & quomodo in illas competit Irenæi, Origenis, Manichæorumque citatio, qui aliquot temporum interuallis Iuſtinum ſunt ſecuti? cur locutio iſta, ὁ δεσπότης θεὸς, ὁ δεσπότης Χριστὸς, ὁ δεσπότης κύριος, in his tantummodo Quæſtionum libris inuenitur, in ceteris non item? quæ cum in Theodoreto quoque legantur, at non in Clemente, vt ex aliis nonnullis, ita ex his colligere liceat, circa Theodoreti tempora vel ab alio Iuſtino hæc ſcripta eſſe, vel, vt eo acceptabiliora eſſent, Iuſtini nomine inſcripta. aut, ſi qua ſecundum Photium ex his ſunt Iuſtini veteris, neceſſe eſt ab alio quopiam recentiore interpolata eſſe, cum eodem pene iſta omnia ſtilo ſint exarata. *Libri De Recta fide, ſeu De S. Trinitate*, meminit quidem Leontius Hieroſolymitanus & Euthymius Zigabenus, vt ſuo loco docui. ſed mirum eſt nec a Photio, nec Honorio, Hieronymove aut Euſebio, mentionem eius fieri; cum illis temporibus multum ad certamina de S. Trinitate conferre potuiſſet Iuſtini auctoritas. Hæc & alia huiuſmodi, ſuo quæque loco notata, vt Perionio, ita & mihi dubitationem de illis iniecerunt, feceruntq; vt notam eis præfigendam exiſtimauerim. Nolim tamen hæc eo à quopiam rapi, quaſi ego certi quidpiam hic definiam: ſed iis ad quos præcipue de talibus iudicare pertinet, omnem de his permitto calculum; libenter & auditurus & ſecuturus, ſi certius aliquid edocebor. nam vt dubitare in aliquibus licitum eſt, ita claris demonſtrationibus refragari, peruicax obſtinatio eſt.

AVCTORES IN HIS OPVSCVLIS CITANTVR:

Acmon
Æſchylus
Alexander polyiſtor
Amos proph.
Anaximander
Anaximenes
Apio gramm.
Apoſtolorum Commentarii, ſeu Euangelia
Archelaus ph.
Ariſtoteles ph.
Attica hiſt. ſcript.
Caſtor hiſt.
Clemens apoſt.
Corinthus Socr.
Daniel proph.
Dauid proph.
Democritus
Diodorus hiſt.
Empedocles
Epicurus
Epiſtola Impp.
Eſaias proph.
Eſdras proph.
Euripides
Hellanicus
Heraclitus
Hermes
Heſiodus
Hippaſus phil.
Hiſtoria veterum ſanctorum
Homerus
Hyſtaſpes
Ieremias pr.
Iezekiel pr.
Ioannes euang.
Iob
Ionas pr.
Ioſephus hiſt.
† Irenæus
Iudaici doctores
Lucas euang.
Malachias pr.
Marcus euang.
Matthæus eu.
Menander com.
Michæas pr.
Moyſes
Oracula
† Origenes
Orpheus
Paralipomena
Paulus apoſt.
Petrus apoſt.
Philanis
Philemon
Philo Iud.
Philochorus
Philoſophi
Phyſici
Pindarus
Plato
Polemo hiſt.
Propheta ſ.
Pſalmi D.
Ptolemæus Mend.
Pythagoras
Regnorum libri, i. hiſtoria Regum Iſrael.
Salomon
Scriptura ſ.
Septuaginta interpr.
Sibylla
Socrates
Solon
Sophocles
Sophonias
Sotades
Stoici
Syriaca Pſalmorum paraphraſis
Thales Mil.
Thallus hiſt.
Xenophon
Zacharias pr.

HÆRETICI:

Baptiſtæ
Baſilidiani
Galilæi
Geniſtæ
Helleniani, ſeu Helleniſtæ
Iudaica ſecta
Manichæi
Marciani, ſeu Marcioniſtæ
Menander
Meriſtæ
Pagani, ſeu Gentiles.
Phariſæi
Pſeudoapoſtoli
Pſeudochriſti
Saducæi
Saturniliani
Simoniani
Valentiniani

Quo autem loco quiſq; citetur, oſtendit Index.

ΙΟΥΣΤΙ-

9

ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ, ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ, ΛΟΓΟΣ ΠΑΡΑΙΝΕΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

ΑΡΧΟΜΕΝΟΣ τῆς πρὸς ὑμᾶς παραινέσεως, ὦ ἄνδρες Ἕλληνες, εὔχομαι τῷ Θεῷ, ἐμοὶ μὲν ὑπάρξαι τὰ δέοντα πρὸς ὑμᾶς εἰπεῖν· ὑμᾶς δὲ, τῆς προτέρας ἀφεμένους φιλονεικίας, καὶ τῆς τῶν προγόνων πλάνης ἀπαλλαγέντας, ἑλέσθαι τὰ λυσιτελοῦντα νυνί· οὐδὲν οἰομένους περὶ τοὺς προγόνους ὑμῶν ἔσεσθαι πλημμελὲς παρ' ὑμῶν, εἰ τἀναντία νυνὶ τῶν πρότερον μὴ καλῶς δοξάντων αὐτοῖς, χρήσιμα φαίνοιτο παρ' ὑμῖν· ἡ γὰρ τῶν πραγμάτων ἀκριβὴς ἐξέτασις, καὶ τὰ δόξαντα καλῶς ἔχειν, πολλάκις ἀλλοιότερα δείκνυσιν, ἀκριβεστέρᾳ πείρᾳ τἀληθὲς βασανίζουσα. Ἐπεὶ τοίνυν ἡμῖν ὁ περὶ τῆς ἀληθοῦς θεοσεβείας πρόκειται λόγος, ἧς οὐδὲν οἶμαι προτιμότερον τοῖς ἀκινδύνως βιοῦν προῃρημένοις εἶναι νενόμισται, διὰ τὴν μέλλουσαν μετὰ τὴν τελευτὴν τοῦδε τοῦ βίου ἔσεσθαι κρίσιν (ἣν οὐ μόνον οἱ ἡμέτεροι κατὰ Θεὸν κηρύττουσι πρόγονοι, προφῆταί τε καὶ νομοθέται, ἀλλὰ καὶ οἱ παρ' ὑμῖν νομισθέντες εἶναι σοφοὶ, οὐ ποιηταὶ μόνον, ἀλλὰ καὶ φιλόσοφοι οἱ τὴν ἀληθῆ καὶ θείαν ἐπαγγελλόμενοι παρ' ὑμῖν εἰδέναι γνῶσιν) ἔδοξέ μοι καλῶς ἔχειν, πρῶτον μὲν τοὺς τῆς θεοσεβείας ἡμῶν τε καὶ ὑμῶν ἐξετάσαι διδασκάλους, οἵτινές τε ἦσαν, καὶ καθ' οὓς γεγόνασι χρόνους· ἵν' οἱ μὲν πρότερον τὴν ψευδώνυμον θεοσέβειαν παρὰ τῶν προγόνων παρειληφότες, νῦν γοῦν αἰσθόμενοι, τῆς παλαιᾶς ἐκείνης ἀπαλλαγῶσι πλάνης· ἡμεῖς δὲ, σαφῶς καὶ φανερῶς ἡμᾶς αὐτοὺς ἀποδείξωμεν τῇ τῶν κατὰ Θεὸν προγόνων ἑπομένους θεοσεβείᾳ. Τίνας τοίνυν, ὦ ἄνδρες Ἕλληνες, τῆς θεοσεβείας ὑμῶν διδασκάλους εἶναι φατέ; τοὺς ποιητάς; ἀλλ' οὐ συνοίσει ὑμῖν πρὸς ἄνδρας τὰ τῶν ποιητῶν εἰδότας λέγειν· ἴσασι γὰρ τὴν ὑπ' αὐτῶν γελοιοτάτην περὶ θεῶν θεογονίαν λεγομένην, ὡς ἔστιν ἡμῖν ἀπὸ τοῦ κορυφαιοτάτου παρ' ὑμῖν καὶ πρώτου τῶν ποιητῶν Ὁμήρου μαθεῖν. οὗτος γὰρ, πρῶτον μὲν τὴν τῶν θεῶν γένεσιν ἐξ ὕδατος τὴν ἀρχὴν ἐσχηκέναι φησίν· οὕτω γὰρ γέγραφεν,

„ Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

ἔπειτα δὲ καὶ ἃ περὶ τοῦ πρώτου παρ' αὐτοῖς νομιζομένου θεοῦ λέγει, ὃν καὶ πατέρα ὀνομάζει πολλάκις ἀνδρῶν τε θεῶν τε, ἀναγκαῖον ὑπομνῆσαι· ἔφη γάρ,

S. IVSTINI PHILOSOPHI ET MARTYRIS AD GRAECOS SIVE GENTILES Cohortatoria oratio:

IOANNE LANGO interprete.

COHORTATIONEM apud vos, viri Græci, instituens, Deū oro, vt & mihi ea dicendi, quæ opus est, suppeditet facultas; & vobis, pristino contentionis studio reiicto, maiorūq; errore abiecto, quæ vtilia sunt, in præsentia eligēdi potestas: nihil vos in maiores vestros commissuros esse existimantibus, si diuersa quæ sunt ab illorum non recte conceptis opinionibus, nunc commodiora vobis esse censueritis. Accurata namq; rerum inquisitio persępe ea quoq; quæ recta iudicata sunt, exactiore examine veritatis adhibito, longe aliter se habere ostendit. Itaq; cum cōstitutum nobis sit, de vera religione dicere, qua nihil prius atq; præstabilius, vt equidē puto, esse arbitrantur qui vitam sibi extra periculum omne agendā statuerunt, propter futurum post huius vitæ finem iudicium: (quod certe equidem non modo maiores nostri, diuini homines, prophetæ & legislatores; verum etiam qui apud vos habiti sunt sapientes, Poëtæ simul & Philosophi, veram atq; diuinā se scientiam assequutos esse professi, deprædicant) recte me facturum esse putaui, si primum & nostrę & vestræ religionis auctores scrutarer, qui illi tandem, quales, & quibus exstiterint temporibus: vt cum illi percepto nunc erroris sensu, qui falso cognominatæ religionis cultū a maioribus acceperunt, ex eiusmodi veteri expediātur fraude & seductione: tum vero liquido & manifeste declaretur, diuinorum nos maiorū sacra sequi, & pietatem. Quos igitur, viri Græci, religionis vestræ allegatis doctores? Poëtas ne? Verū id minime vobis facere proderit apud homines quibus res poeticæ cognitæ sunt. Norunt enim illi ridiculam maxime, quæ a poetis refertur, θεογονίαν, id est deorū procreationē; sicuti eam nobis a summo Poetarum vestrorū Homero discere licet. Primum siquidē is deorum generationē ex aqua initiū sumpsisse dicit. ita enim scribit;

Oceanumq́, deum patrem, Tethymq́, parentem.

Deinde necessarium quoq; est, quæ idē de principe, sicuti ab eis censetur, Deo dicat, patrem eum sæpenumero vocans *Hominumq́, Deûmq́,* subiicere. inquit enim:

Humano generi bellorum Iupiter auctor.

Hunc sane non tãtum copiis militaribus auctorem belli, sed Troianis etiam, per filiam eius, periurij causam facit: eundemq; amantem, quiritantem, reliquorumq; deorum insidias experientem Homerus inducit. nunc quidẽ de filio ipsum suo dicentem:

Ehem, supra homines nobis Sarpedona cunctos
Dilectum, dextra Patrocli Parca peremit.

nunc autem de Hectore,

O Dij, carum hominem fugientem mœnia circum
Vrgeri video, trepidat mœrore meum cor.

Quæ vero de aliorum deorum aduersus Iouem structis insidiis memoret, intelligunt qui versus hosce legunt:

Illum cum reliqui vellent vincire catenis
Cælicolæ, Iuno, Neptunus, & ipsa Minerua.

Ac nisi quem Briarea vocant Dij, extimuissent beata illa numina, vinctus ab eis fuisset Iupiter. Enimuero quæ etiam de impotentibus Iouis amoribus Homerus canat, peropus est nobis per Iouis ipsius, quę apud eum ad Iunonem suam facit, exponere verba:

Non me tantus amor diffusus pectore toto
Vssit, siue dea, mortalis siue puella:
Non Ixionia cum coniuge igne calerem,
Non Danaes forma præstabilis Acrisionæ,
Non cum Phœnicis præclari filia pulchra,
Non Semele Graiis, Alcmenaue cognita Thebis,
Non regina Ceres plexis ornata capillis,
Non Latona mihi, non cum tu Iuno placeres,
Quanta nunc in te mea corda libidine flagrant.

Quæ porro de aliis ibidem diis ex Homeri poemate cognoscere liceat, & quæ ab hominibus illi pertulerint, consentaneũ nunc est vt commemoremus. Nam Martem & Venerem a Diomede vulnera accepisse ait; & præterea multorum aliorum deorum ærumnas recenset, quas a Dione filiã consolante discere possumus. Eam enim sic illa alloquitur:

Quantumuis iusto, mea filia, parce dolori.
Namq; a terrigenis diuis permulta tulere,
Damna alia ex aliis cumulantes, probraq; probris.
Vincula sustinuit Mauors, cum carcere cæco
Otus Aloides illum, fraterq; Ephialtes,
Duriter inclusum, totum tenuere per annum.
Amphitryoniada forti Saturnia Iuno
Telo icta ex arcu acceptum tulit vbere vulnus
In dextro, & luctum mœrens tolerauit acerbum.
Huius & ipse viri celerem virtute sagittam
Emissam multa, ad portam persensit apertam,
Mortales inter functos vastissimus Orcus.
Ille domos diuûm & magnum conscendit Olympũ,
Sollicitis animum curis perculsus, at ingens
Telum humero fixum cruciabat corda dolore.

Si vero cæterorum quoque deorum commissam inter ipsos pugnam re-

Ζεὺς ὅστ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

αὐτὸν τοίνυν οὐ πολέμου ταμίαν μόνον τῷ στρατεύματι, ἀλλὰ καὶ ἐπιορκίας Τρωσὶ διὰ τῆς αὐτοῦ θυγατρὸς αἴτιον γεγενῆσθαι φησί· καὶ τοῦτον ἐρῶντα, καὶ σχετλιάζοντα, καὶ ὀλοφυρόμενον, καὶ ὑπὸ τῶν ἄλλων θεῶν ἐπιβουλευόμενον Ὅμηρος εἰσάγει, καὶ ποτὲ μὲν ἐπὶ τοῦ ἑαυτοῦ παιδὸς λέγοντα,

Ὤιμοι ἐγών, ὅτε μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
Μοῖρ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·

ποτὲ δὲ ὑπὲρ τοῦ Ἕκτορος,

Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος,
Ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ᾽ ὀλοφύρεται ἦτορ.

Τίνα δὲ καὶ περὶ τῶν ἄλλων θεῶν κατὰ τῆς τοῦ Διὸς ἐπιβουλῆς λέγει, ἴσασιν οἱ ἐντυγχάνοντες τοῖς ἔπεσι τούτοις,

Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ᾽ ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.

καὶ εἰ μὴ τὸν, Ὃν Βριάρεων καλέουσι θεοὶ, ὑπέδεισαν οἱ μάκαρες θεοὶ, ἐδέδετο ἂν ὑπ᾽ αὐτῶν ὁ Ζεύς. ὅσα δὲ καὶ περὶ τῆς ἐρωτικῆς τοῦ Διὸς ἀκολασίας Ὅμηρος λέγει, ἀναγκαῖον δι᾽ αὐτῶν ὑμᾶς ὑπομνῆσαι ὧν εἴρηκε ῥητῶν. ἔφη γὰρ αὐτὸν οὕτω πρὸς τὴν Ἥραν λέγειν,

Οὐ γάρ πώποτέ μ᾽ ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν·
Οὐδ᾽ ὁπότ᾽ ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
Οὐδ᾽ ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
Οὐδ᾽ ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
Οὐδ᾽ ὅτε περ Σεμέλης οὐδ᾽ Ἀλκμήνης ἐνὶ Θήβῃ,
Οὐδ᾽ ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
Οὐδ᾽ ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς.

Τίνα δὲ καὶ περὶ τῶν ἄλλων θεῶν ἐκ τῆς Ὁμήρου ποιήσεως ἔξεστι μανθάνειν, καὶ ὅσα ὑπὸ ἀνθρώπων πεπόνθασιν, ἀκόλουθόν ἐστιν ὑπομνῆσαι νυνί. Ἄρεα μὲν γὰρ καὶ Ἀφροδίτην ὑπὸ Διομήδους τετρῶσθαι λέγει, πολλῶν δὲ καὶ ἄλλων θεῶν διηγεῖται πάθη. οὕτω γάρ ἐστιν ἡμῖν ἀπὸ τῆς παραμυθουμένης τὴν θυγατέρα Διώνης μανθάνειν. ἔφη γὰρ πρὸς αὐτὴν,

Τέτλαθι τέκνον ἐμὸν καὶ ἀνάσχεο, κηδομένη περ.
Πολλοὶ γὰρ δὴ τλῆμεν Ὀλύμπια δώματ᾽ ἔχοντες
Ἐξ ἀνδρῶν, χαλέπ᾽ ἄλγε᾽ ἐπ᾽ ἀλλήλοισι τιθέντες.
Τλῆ μὲν Ἄρης ὅτε μιν Ὦτος κρατερός τ᾽ Ἐφιάλτης,
Παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ,
Χαλκέῳ δ᾽ ἐν κεράμῳ δέδετο τρεισκαίδεκα μῆνας·
Τλῆ δ᾽ Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος
Δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι
Βεβλήκει· τότε καί μιν ἀνήκεστον λάβεν ἄλγος.
Τλῆ δ᾽ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν,
Εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς αἰγιόχοιο
Ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.
Αὐτὰρ ὁ βῆ πρὸς δῶμα Διὸς καὶ μακρὸν Ὄλυμπον,
Κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος· αὐτὰρ ὀϊστὸς
Ὤμῳ ἐνὶ στιβαρῷ ἠλήλατο, κῆδε δὲ θυμόν.

Εἰ δὲ καὶ τὴν τῶν λοιπῶν θεῶν ἐξ ἐναντίας μάχης ὑπομνησθῆναι

μυηθῆναι ὑμᾶς πεπείκει, αὐτὸς ὑμᾶς ὁ ὑμέτερος ποιητὴς ὑπομνήσει λέγων,

Τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη.
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς.

Ταῦτα καὶ τοιαῦτα περὶ θεῶν ἐδίδαξεν ὑμᾶς Ὅμηρος, καὶ οὐχ Ὅμηρος μόνον, ἀλλὰ καὶ Ἡσίοδος. ὥστε εἰ μὲν πιστεύετε τοῖς κορυφαιοτάτοις ὑμῶν ποιηταῖς, τοῖς τε γενεαλογήσασι τοὺς θεοὺς ὑμῶν, ἀνάγκη ὑμᾶς ἢ τοιούτους αὐτοὺς εἶναι νομίζειν, ἢ μηδ' ὅλως θεοὺς αὐτοὺς εἶναι πιστεύειν. εἰ δὲ τοὺς ποιητὰς παραιτεῖσθε λέγειν, ἐπειδὴ μύθους τε αὐτοῖς πλάττειν ἐξεῖναι φατὲ, καὶ πολλὰ πόῤῥω τῆς ἀληθείας περὶ θεῶν μυθωδῶς διεξιέναι, τίνας ἑτέρους τῆς θεοσεβείας ὑμῶν διδασκάλους ἔχειν οἴεσθε, ἢ πῶς ταύτην αὐτοὺς μεμαθηκέναι φατέ; ἀδύνατον γὰρ τοὺς μὴ πρότερον παρὰ τῶν εἰδότων μεμαθηκότας, τὰ οὕτω μεγάλα καὶ θεῖα πράγματα γινώσκειν. τοὺς σοφοὺς πάντως δήπου καὶ φιλοσόφους λέξετε· ἐπὶ τούτους γὰρ, ὥσπερ ἐπὶ τεῖχος ὀχυρὸν, καταφεύγειν εἰώθατε, ἐπειδάν τις ὑμῖν τὰς τῶν ποιητῶν περὶ θεῶν ἀπαγγέλλῃ δόξας. ἐπειδήπερ ἀπὸ τῶν παλαιῶν καὶ πρώτων ἄρξασθαι προσήκει, ἐντεῦθεν ἀρξάμενος, τὴν ἑκάστου δόξαν ἐκθήσομαι, πολλῷ γελοιοτέραν τῆς τῶν ποιητῶν θεολογίας οὖσαν. Θαλῆς μὲν γὰρ ὁ Μιλήσιος, ὁ πρῶτος τῆς φυσικῆς φιλοσοφίας ἄρξας, ἀρχὴν εἶναι τῶν ὄντων ἁπάντων τὸ ὕδωρ ἀπεφήνατο. ἐξ ὕδατος γάρ φησι τὰ πάντα εἶναι, καὶ εἰς ὕδωρ τὰ πάντα ἀναλύεσθαι. Ἀναξίμανδρος δὲ μετὰ τοῦτον, ἀπὸ τῆς αὐτῆς ὁρμώμενος Μιλήτου, τὸ ἄπειρον ἀρχὴν ἁπάντων ἔφησεν εἶναι. ἐκ τούτου γὰρ δὴ τὰ πάντα γίνεσθαι, καὶ εἰς τοῦτο τὰ πάντα φθείρεσθαι. Τρίτος Ἀναξιμένης, καὶ οὗτος ἐκ τῆς Μιλήτου ὑπάρχων, ἀέρα τοῦ παντὸς ἀρχὴν εἶναι λέγει· ἐκ γὰρ τούτου τὰ πάντα γίνεσθαι, καὶ εἰς τοῦτον πάντα ἀναλύεσθαι φησίν. Ἡράκλειτος ὁ Μεταποντῖνος, ἀρχὴν τῶν πάντων τὸ πῦρ εἶναι λέγει· ἐκ τοῦ πυρὸς γὰρ τὰ πάντα γίνεσθαι, καὶ εἰς τὸ πῦρ τὰ πάντα τελευτᾶν. Ἀναξαγόρας ὁ Κλαζομένιος, ἀρχὰς τῶν πάντων τὰς ὁμοιομερείας εἶναι ἔφη. Ἀρχέλαος ὁ Ἀπολλοδώρου Ἀθηναῖος, ἀέρα ἄπειρον, καὶ τὴν περὶ αὐτὸν πυκνότητα καὶ μάνωσιν, ἀρχὴν ἁπάντων εἶναι λέγει. Οὗτοι πάντες, ἀπὸ Θάλεω τὰς διαδοχὰς ἐσχηκότες, τὴν φυσικὴν ὑπ' αὐτῶν καλουμένην μετῆλθον φιλοσοφίαν. εἶθ' ἑξῆς ἀφ' ἑτέρας ἀρχῆς, Πυθαγόρας Μνησάρχου Σάμιος, ἀρχὰς τοὺς ἀριθμοὺς καὶ τὰς συμμετρίας καὶ τὰς ἐν αὐτοῖς ἁρμονίας καλεῖ, τά τ' ἐξ ἀμφοτέρων σύνθετα στοιχεῖα, ἔτι μέντοι μο-

ferre vobis oporteat, ipse hoc vester Poeta fecerit, dicens:

Acru pugna deûm magno est exorta tumultu.
Aduersus regis Neptuni namq; tridentem
Constitit aligeris instructus Apollo sagittis:
Gradiuum contra patrem Tritonia Pallas.
Iunoni sese opposuit soror inclyta Phœbi
Arcitenens, aureis & gaudens Cynthia telis:
Latona magno seruator Atlante creatus.

Hæc & eiusmodi alia de diis Homerus docuit: & non solum Homerus, sed etiam Hesiodus. Quocirca, si fidē summis apud vos Poetis habetis, qui genealogias etiam & prosapias deorum vestrorum ediderunt, vt vel tales eos fuisse existimetis, vel prorsus deos non fuisse credatis, necesse est. Sin Poetas allegare non vultis, quoniam & fabulas fingendi potestatem eis esse, & multa de diis a vero aliena fabulose eos referre affirmatis: quos tandem alios religionis vestræ magistros esse arbitramini, & quomodo eam illos addidicisse dicitis? Fieri enim minime potest, vt qui non prius ex peritis cognouerint, res tam magnas & diuinas intelligant. Sapientes scilicet & sapientię studiosos Philosophos omnino allegabitis; quod ad hos veluti murum firmum confugere soleatis, si quis vobis Poetarum de diis memoret opiniones. Quapropter cum a vetustis & primariis initium sumere conueniat, incipiens inde opinionem cuiusque exponam, quæ multo sit quam Poetarum theologia atque de diis doctrina ridiculosior. Thales siquidem Milesius, primus naturalis philosophiæ auctor, rerum omnium principium aquam esse censuit. Ex aqua namque ait omnia existere, & in aquam resolui omnia. Post hunc Anaximander, Mileti & ipse ortus, Infinitatem principium vniuersi esse dixit. ex hac enim generari omnia, & in hanc omnia abire. Tertius, Anaximenes, & ipse Milesius, ex aere omnia fieri, & in hunc desinere omnia dicit. Heraclitus [sicut Hippasus] Metapontinus causam omnium rerum ignem esse asseuerat. Ex igne namque omnia creari, & in ignem omnia exitu suo conuerti. Anaxagoras Clazomenius principia vniuersorum Homœomerias, hoc est, particulas inter se similes, siue similaritates, esse ait. Archelaus Apollodori Atheniensis, aerem infinitum, & quæ circa eum sunt, densitatem & raritatem, vniuersarum rerum principium esse asserit. Omnes isti a Thalete successionem ducentes, naturalem, sicuti ipsi nominant, philosophiam excoluere. Deinceps porro ab origine alia Pythagoras Mnesarchi Samius, principia dicit esse numeros, eorumq; symmetrias, id est, accommodatas proportiones: & quæ ex his constant harmonias, hoc est concentus atq; cohærentias; & ex vtrisq; composita elementa: nec non mo-

nadem ſiue vnitatem, & dyadem ſiue dualitatem infinitam. Epicurus Neoclis Athenienſis, principia rerum vult eſſe corpora ratione ſpectabilia, vacui expertia, & ſolida, corruptioni non obnoxia, quæ neque contundi frangique queant, neque fictionem ex partibus admittant, quæque non alterentur, ac propterea ratione tantum comprehendantur. Empedocles Metonis Agrigentinus, quatuor elementa, ignem, aerem, aquam, terram: & duas primarias virtutes, amicitiam & diſſidium: quarum altera vnioni, altera diſſenſioni inſeruiat. Videtis ergo eorum confuſionem, qui apud vos iudicati ſunt fuiſſe ſapientes, religionis veſtræ (ſicuti dicitis) doctorum. Horum quippe alij ortum rerum omnium aquam eſſe decernunt, alij aerem, alij ignem, alij aliud quidquam eorum quæ recenſuimus. Et ſinguli horum omnium oratione artificioſa, ad perſuadendum comparata, eorum quæ perperam ſtatuerunt, aſtruẽdorum cauſa vtuntur, opinionem ſuam præſtabiliorem alijs declarare connitentes. Atq; hæc quidem ab illis ſunt dicta. Qui vero tutum fuerit, viri Græci, eos qui ſe ſaluos eſſe cupiunt, exiſtimare ab illis ſe religionem veram addiſcere poſſe, qui perſuadere ſibi nequeunt, ne inter ſe diſſideant, neue alius ſententia ſua ab alio diuerſus eſſe appareat? Sedenim fortaſſe qui priſco & inueterato iſti errori renunciare nolunt, non a prædictis hiſce ſe rationem religionis accepiſſe dixerint, ſed ab eis qui virtute illuſtres & perfecti maxime habiti ſint inter philoſophos, Platone & Ariſtotele. hos enim abſolutam ac veram religionem conſequutos eſſe aiunt. Ego vero primum perquam libenter iſta dicentes interrogauerim, vnde illi edocti ſcientiam hanc acceperint. Impoſſibile enim eſt, eum qui a peritis ipſe non didicerit, res tam magnas & diuinas, nedum alios recte docere, ſed ne ipſum quidem ſcire poſſe. Deinde opiniones etiam horum vt expendantur, peropus eſſe arbitror. Comperiemus namque, an non & vterque iſtorum contraria alter alteri dicere videatur. Quod ſi & ipſos minus inter ſe conſentire inuenerimus, facile eorum quoque ignorationem manifeſtam cognoſcemus. Etenim Plato, perinde atque cælitus deſcenderit, atque ea quę ſurſum ſunt accurate didicerit ac peruiderit omnia, ſummum Deum in ignea eſſentia eſſe dicit. Ariſtoteles autem, in eo quod ad Alexandrum Macedonem

νάδα καὶ τὴν ἀόριστον δυάδα. Ἐπίκουρος Νεοκλέους Ἀθηναῖος, ἀρχὰς τῶν ὄντων σώματα λόγῳ θεωρητὰ εἶναι λέγει, ἀμέτοχα κενοῦ, ἀγένητα, ἄφθαρτα, οὔτε θραυσθῆναι δυνάμενα, οὔτε διάπλασιν ἐκ τῶν μερῶν λαβεῖν, οὔτε ἀλλοιωθῆναι· διὰ τοῦτο καὶ λόγῳ θεωρητά. Ἐμπεδοκλῆς Μέτωνος ὁ Ἀκραγαντῖνος, τέσσαρα στοιχεῖα, πῦρ, ἀέρα, ὕδωρ, γῆν· δύο δὲ ἀρχικὰς δυνάμεις, φιλίαν τε καὶ νεῖκος· ὧν ἡ μέν ἐστιν ἑνωτική, τὸ δέ, διαιρετικόν. Ὁρᾶτε τοίνυν τὴν ἀταξίαν τῶν παρ' ὑμῖν νομισθέντων γεγενῆσθαι σοφῶν, οὓς διδασκάλους ὑμῶν τῆς θεοσεβείας γεγενῆσθαι φατέ· τῶν μέν, ὕδωρ ἀποφηναμένων ἀρχὴν ἁπάντων εἶναι· τῶν δέ, ἀέρα· τῶν δέ, πῦρ· τῶν δέ, ἄλλο τι τῶν προειρημένων· καὶ πάντων τούτων πιθανοῖς τισι λόγοις πρὸς κατασκευὴν 12 τῶν μὴ καλῶς δοξάντων αὐτοῖς χρωμένων, καὶ τὸ ἴδιον δόγμα προὐργιαίτερον ἐπιχειρούντων δεικνύναι. Ταῦτα ὑπ' αὐτῶν εἴρηται. πῶς οὖν ἀσφαλές, ὦ ἄνδρες Ἕλληνες, τοὺς σώζεσθαι βουλομένους, παρὰ τούτων οἴεσθαι δύνασθαι τὴν ἀληθῆ θεοσέβειαν μανθάνειν, τῶν μηδὲ ἑαυτοὺς πεῖσαι δυνηθέντων τὸ μὴ πρὸς ἀλλήλους στασιάζειν, μηδὲ ἐναντίοι τῆς ἀλλήλων φαίνεσθαι δόξης; ἀλλ' ἴσως οἱ τῆς ἀρχαίας καὶ παλαιᾶς ἐκείνης ἀποστῆναι μὴ βουλόμενοι πλάνης, οὐ φασι παρὰ τῶν προειρημένων, ἀλλὰ παρὰ τῶν ἐνδοξοτάτων καὶ τελειοτάτων ἐν ἀρετῇ νομισθέντων εἶναι παρ' αὐτοῖς φιλοσόφων, τὸν περὶ τῆς θεοσεβείας παρειληφέναι λόγον, Πλάτωνος καὶ Ἀριστοτέλους. τούτους γὰρ τὴν τελείαν καὶ ἀληθῆ φασὶ μεμαθηκέναι θεοσέβειαν. ἐγὼ δὲ πρῶτον μὲν ἡδέως ἂν πυθοίμην τῶν ταῦτα λεγόντων, παρὰ τίνων αὐτοὺς μεμαθηκότας εἰδέναι φασίν. ἀδύνατον γὰρ τοὺς τὰ οὕτω μεγάλα καὶ θεῖα μὴ παρά τινων εἰδότων μεμαθηκότας, ἢ αὐτοὺς εἰδέναι, ἢ ἑτέρους δύνασθαι διδάσκειν ὀρθῶς. δεύτερον δὲ οἶμαι δεῖν καὶ τὰς τούτων ἐξετάσαι δόξας. εἰσόμεθα γὰρ εἰ μὴ καὶ τούτων ἑκάτερος τἀναντία θατέρῳ φανήσεται λέγων. εἰ δὲ καὶ τούτους μὴ συμφωνοῦντας ἀλλήλοις εὕροιμεν, ῥᾴδιον οἶμαι καὶ τὴν τούτων ἄγνοιαν γινώσκειν σαφῶς. Πλάτων μὲν γάρ, ὡς ἄνωθεν κατεληλυθώς, καὶ τὰ ἐν οὐρανοῖς ἅπαντα ἀκριβῶς μεμαθηκὼς καὶ ἑωρακώς, τὸν ἀνωτάτω Θεὸν ἐν τῇ πυρώδει οὐσίᾳ εἶναι λέγει. Ἀριστοτέλης δέ, ἐν τῷ πρὸς Ἀλέξανδρον τὸν Μακεδόνα λόγῳ συντομόν τινα τῆς ἑαυτοῦ φιλοσοφίας ἐκτιθέμενος ὅρον, σαφῶς καὶ φανερῶς τὴν Πλάτωνος ἀναιρεῖ δόξαν, οὐκ ἐν τῇ πυρώδει οὐσίᾳ τὸν Θεὸν εἶναι λέγων· ἀλλὰ πέμπτον αἰθέριόν τι καὶ ἀμετάβλητον ἀναπλάττων σῶμα, ἐν τούτῳ αὐτὸν εἶναι φησί. γέγραφε γοῦν οὕτως, Οὐχ ὡς ἔνιοι τῶν περὶ τὸ θεῖον πλημμελούντων, ἐν τῇ πυρώδει οὐσίᾳ τὸν Θεὸν εἶναι φασίν.

ſcripſit opere, vbi compendioſe philoſophiæ ſuæ exponit rationem & finem, clare & diſerte Platonis abrogat opinionem, non in ignea ſubſtantia Deum eſſe inquiens; ſed quintum quoddam æthereum & immutabile corpus fingens, ibi Deum eſſe ait. quapropter ita ſcripſit: *Non, quemadmodum nonnulli de diuinitate hallucinantes, in ignea eſſentia Deum eſſe aſſerunt.*

Deinde

ἔτι, ὥσπερ μὴ ἀρκούμενος ἐπὶ τῇ κατὰ Πλάτωνος βλασφημίᾳ, καὶ τὸν ὑπ' αὐτοῦ τῆς πολιτείας ἐκβληθέντα ὡς ψεύστην καὶ τρίτον τῶν ἀπὸ τῆς ἀληθείας εἰδώλων, ὡς αὐτὸς ἔφη, μιμητὴν ὄντα Ὅμηρον, εἰς ἀπόδειξιν τῶν ὑπ' αὐτοῦ περὶ τοῦ αἰθερίου σώματος
„ λεγομένων καλεῖ μάρτυρα· γέγραφε γὰρ, Οὕτω
„ γοῦν καὶ Ὅμηρος ἔφη. Ζεὺς δ' ἔλαχ' οὐρανὸν
„ εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι· βουλόμενος ἐκ τῆς Ὁμήρου μαρτυρίας ἀξιόπιστον τὴν ἑαυτοῦ δεῖξαι δόξαν: ἀγνοῶν ὅτι εἰ Ὁμήρῳ πρὸς ἀπόδειξιν τοῦ ἀληθῆ ἑαυτὸν λέγειν μάρτυρι χρῷτο, πολλὰ τῶν αὐτοῦ δογμάτων οὐκ ἀληθῆ φανήσεται ὄντα. Θαλῆς γὰρ ὁ Μιλήσιος ὁ πρῶτος παρ' αὐτοῖς τῆς φιλοσοφίας ἄρξας, τὴν πρόφασιν παρ' αὐτοῦ λαβὼν, τὰς πρώτας αὐτοῦ περὶ ἀρχῶν ἀθετήσει δόξας. αὐτοῦ γὰρ Ἀριστοτέλους Θεὸν καὶ ὕλην ἀρχὰς εἶναι τῶν πάντων εἰρηκότος, ὁ πρεσβύτατος τῶν κατ' αὐτοὺς ἁπάντων Θαλῆς ἀρχὴν τῶν ὄντων ὕδωρ εἶναι λέγει· ἐξ ὕδατος γὰρ φησὶ τὰ πάντα εἶναι, καὶ εἰς ὕδωρ ἀναλύεσθαι τὰ πάντα· στοχάζεται δὲ, πρῶτον μὲν, ἀπὸ τοῦ πάντων τῶν ζώων τὴν γονὴν, ἀρχὴν οὖσαν, ὑγρὰν εἶναι· δεύτερον δὲ, ὅτι πάντα τὰ φυτὰ ὑγρῷ τρέφεται καὶ καρποφορεῖ, ἀμοιροῦντα δὲ τοῦ ὑγροῦ, ξηραίνεται· εἶθ' ὥσπερ μὴ ἀρκούμενος οἷς στοχάζεται, καὶ τὸν Ὅμηρον ὡς ἀξιόπιστον μαρτύρεται, οὕτως λέγοντα,

„ Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

Πῶς οὖν οὐκ εἰκότως πρὸς αὐτὸν ὁ Θαλῆς φήσει, Δι' ἣν αἰτίαν ὦ Ἀριστότελες, τὰς μὲν Πλάτωνος ἀναιρεῖν ἐθέλων δόξας, ὡς ἀληθεύοντι προσέχεις Ὁμήρῳ· ἡμῶν δὲ τὴν ἐναντίαν ἀποφηνάμενος δόξαν, οὐκ ἀληθεύειν Ὅμηρον οἴει; ὅτι τοίνυν οἱ σφόδρα θαυμάσιοι καθ' ὑμᾶς σοφοὶ οὐδ' ἐν τοῖς ἄλλοις συμφωνοῦντες φαίνονται, καὶ ἀπὸ τούτων γνῶναι ῥᾴδιον· τοῦ γὰρ Πλάτωνος τρεῖς ἀρχὰς τοῦ παντὸς εἶναι λέγοντος, Θεὸν καὶ ὕλην καὶ εἶδος· Θεὸν μὲν, τὸν πάντων ποιητήν· ὕλην δὲ, τὴν ὑποκειμένην τῇ πρώτῃ τῶν γινομένων γενέσει, καὶ τὴν πρόφασιν αὐτῷ τῆς δημιουργίας παρέχουσαν· εἶδος δὲ, τὸ ἑκάστου τῶν γινομένων παράδειγμα· Ἀριστοτέλης τοῦ μὲν εἴδους ὡς ἀρχῆς οὐδαμῶς μέμνηται, δύο δὲ ἀρχὰς Θεὸν καὶ ὕλην εἶναί φησι. καὶ αὖθις τοῦ Πλάτωνος ἐν τῇ πρώτῃ τοῦ ἀνωτάτω τοῦ οὐρανοῦ ἀπλανεῖ σφαίρᾳ τόν τε πρῶτον Θεὸν καὶ τὰς ἰδέας εἶναι λέγοντος, Ἀριστοτέλης μετὰ τὸν πρῶτον Θεὸν, οὐ τὰς ἰδέας, ἀλλὰ τινὰς νοητοὺς θεοὺς εἶναι λέγει. οὕτω μὲν οὖν περὶ τῶν ἐν οὐρανοῖς πρὸς ἀλλήλους διαφέρονται πραγμάτων. ὥστε εἰδέναι προσήκει ὅτι οἱ μηδὲ τὰ παρ' ἡμῖν ἐνταῦθα γνῶναι δυνηθέντες, ἀλλὰ καὶ περὶ τούτων πρὸς ἀλλήλους διενεχθέντες, οὐκ ἀξιόπιστοι φανήσονται περὶ τῶν ἐν οὐρανοῖς διηγούμενοι. ὅτι τοίνυν οὐδὲ ὁ περὶ τῆς ἐνταῦθα ἀνθρωπίνης ψυχῆς αὐτοῖς συμφωνήσει λόγος, δῆλον ἀπὸ

Deinde veluti maledicto hoc in Platonem effuso non contentus, quem Plato e ciuitate sua quasi mendacem & tertiū veritatis imaginum (sicut ipse dixit) imitatorem eiecit Homerū, ad ea demonstranda, quæ a se de æthereo corpore sunt dicta, testem laudat. scribit enim: *Ad hunc ergo modum & Homerus ait;*

Sorte Iouis cessit in nube & in æthere cælum:

opinionem ille quidem suam credibilem esse probare & declarare volens Homeri testimonio: interim tamen ignorans, dum Homero, vt dictis suis veri fidem astruat, teste vtitur, multas se illius sententias falsi arguere. Thales namque Milesius, qui primus apud illos philosophari cœpit, occasione & obtentu ab ipso Homero sumpto, primarias eius de principiis abolebit opiniones. Cū enim Aristoteles primordia rerum omnium Deum & materiā esse dicat, antiquissimus philosophorum omnium Thales ipse originem rerū aquam esse censet. nam ex aqua ait cōstare omnia, atq; in aquam dissolui omnia: duplici cōiectura ductus. prima, quod genitura, animantium omnium principium & causa, humida est: secunda, quod plantæ omnes humore & fouentur & fructificant; humore autem destitutæ, exarescunt. Exinde, quasi coniecturæ istæ satis non essent, Homerum insuper vt idoneum testem citat, ita dicentem:

Oceanum rerum, genuit qui cuncta, parentem.

Quomodo igitur Thales non recte verbis hisce ad illum vtatur? Qua de causa, ô Aristoteles, Platonis inducere atque abolere sententias volens, Homero quasi veridico inniteris: cum autem nos contrariam tibi promulgamus opinionē, Homerum minus vera dicere arbitraris? Quod vero & in aliis rebus, qui in maxima apud vos sunt admiratione, sapientes isti non consentire videantur, ex eo facile est cognoscere. Plato principia vniuersi esse affirmat Deum, Materiā & Ideam. Deum quidem, conditorem omniū: materiam autem, primariæ rerum genitarum generationi subiacentem, & causam occasionemque Deo creationis præbentē: Ideam porro creaturæ cuiusq; exemplar. Aristoteles Ideæ quidem tamquā principij haud quaquā meminit: duo vero principia Deum & materiam, esse dicit. Rursum Platone principē Deū & Ideas in primo supremi cæli, eoq; immobili orbe, collocante: Aristoteles secundum principem Deum, non Ideas, sed intelligētia cognobiles deos quosdam facit. Ad hunc nimirum illi modum de rebus cælestibus inter se dissident. Itaque scire conuenit, qui nostra hæc in terris cognoscere nequeunt, quin etiam de iis inter se contendant: non idoneos eos esse, vt de cælestibus verba facientes, fidem mereantur. Nam quod ne de humana quidem hic anima consona eorum sit oratio & ratio, ex vtil-

usque de ea dictis satis apparet. Plato tres eius partes esse ait: rationis, iracūdiç, & cupidinis: Aristoteles vero, nō tam communem, lateq; patentē, quatenus etiā particulæ in ea corruptioni subiectæ comprehendantur, animā: & proinde rationalem tantum esse dicit. Et Plato omnem animā immortalem esse clamat: Contra Aristoteles, entelechiam eam nominans (hoc est continuatā, vt Cicero interpretatur, quādam & perennem motionem: siue, vt alij exponunt, actum & perfectionem, adeoq; perfectihabiam) non immortalē, sed mortalem esse vult. Ille, eam continenter moueri: hic, immobilem esse asserit, motioni omni præeuntem. Verumenimuero nō tātum in hisce diuersa alter ab altero sentire coarguitur: sed etiam si quis diligentius scripta eorū inspicere velit, sibi metipsis illi in opinionibus suis non satis constant. Plato ipse aliquando tria principia rerum omniū constituit; Deum, Materiam, & Ideam: aliquando quatuor: adiicit enim Animam vniuersalem. Idem vbi materiam ingenitam esse professus est, genitam eandem postea dicit. Et vbi antea ideæ proprium attribuit ortum, & per seipsam constitisse (seu substantiatam esse) censuit, deinde in mentis intelligentiis eam ipsam esse ait. Præterea vbi omne quod genitum sit, corruptioni subiectum esse statuit, ex genitis quædam posthac a dissolutione & interitu libera esse posse, dixit. Quænam igitur afferri potest causa, vt qui apud vos reputati sunt sapientes, non tantum inter se mutuo nō sint factionibus conflictati, verum sibi ipsis etiā per se non repugnarint? Quod scilicet non a peritis discere voluerint, sed seipsos humanæ mentis suæ solertia, cælestia clare peruidere posse confisi fuerint, cum ne terrena quidem perspicere quiuerint. Sic sane animam humanā nonnulli apud vos Philosophi in nobis, alij autem circa nos esse dicunt. Tantum vero abest vt sibi de hoc inter se conuenire voluerint, vt ignorantia quodammodo plurifariam diuisa, de anima etiam decertandum, & dissidiis inuicem digladiandū esse duxerint. Nam quidam eorum animam ignem esse asseuerant: quidā alij aerem, alij mentem, alij motionem, alij exhalationem, nonnulli vero vim ab astris defluentem: quidam numerum mouendi potestatem obtinentem: alij aquam genitalem. In summa, confusa quædam & discors est apud eos opinio: quæ vno saltem nomine viris recto iudicio præditis laudanda videtur, quod eis illud propositum sit studiū, vt se inuicem hallucinari, minimeq; vera afferre arguant & conuincant. Quocirca cum veri nihil de religione a Doctoribus vestris percipi posse constet, & idoneum satis documentum vobis ignorationis ipsi suæ, per dissidentes inter se factiones exhibuerint: reliquum esse opinor, vt ad maiores nostros reuertamur, qui & magistros vestros longo tempore anteuerterunt,

τῶν ὑφ' ἑκατέρου αὐτῶν περὶ αὐτῆς λεχθέντων: Πλάτων μὲν γὰρ τριμερῆ αὐτὴν εἶναί φησι, καὶ τὸ μὲν, λογικὸν αὐτῆς, τὸ δὲ, θυμικὸν, τὸ δὲ, ἐπιθυμητικὸν εἶναι λέγει· Ἀριστοτέλης δὲ, οὐ κοινοτέραν τὴν ψυχὴν εἶναί φησιν, ἐν ᾧ περιείληπται καὶ τὰ φθαρτὰ μόρια, ἀλλὰ τὸ λογικὸν μόνον. Καὶ ὁ μὲν Πλάτων, ψυχὴ πᾶσα ἀθάνατος, κέκραγε λέγων· Ἀριστοτέλης δὲ, ἐντελέχειαν αὐτὴν ὀνομάζων, οὐκ ἀθάνατον, ἀλλὰ θνητὴν αὐτὴν εἶναι βούλεται. καὶ ὁ μὲν, ἀεικίνητον αὐτὴν εἶναι λέγει· Ἀριστοτέλης δὲ, ἀκίνητον αὐτὴν εἶναί φησιν, ἁπάσης κινήσεως προηγουμένην. ἀλλ' ἐν τούτοις μὲν ὑπεναντία φρονοῦντες ἀλλήλοις ἐλέγχονται· εἰ δέ τις ἀκριβῶς τὰ καὶ αὐτοὺς σκοπεῖν ἐθέλοι, οὐδὲ ταῖς ἑαυτῶν δόξαις ἐμμένειν πεφώρανται. Ὁ γοῦν Πλάτων ποτὲ μὲν τρεῖς ἀρχὰς τοῦ παντὸς εἶναι λέγει, Θεὸν καὶ ὕλην καὶ εἶδος· ποτὲ δὲ τέσσαρας· προστίθησι γὰρ καὶ τὴν καθόλου ψυχήν. καὶ αὖθις τὴν ὕλην ἀγέννητον πρότερον εἰρηκὼς, ὕστερον γεννητὴν αὐτὴν εἶναι λέγει. καὶ τῷ εἴδει δὲ ἀρχὴν ἰδίαν πρότερον δεδωκὼς, καὶ καθ' ἑαυτὸ οὐσιῶσθαι ἀποφήνας, ὕστερον ἐν τοῖς νοήμασιν αὐτὸ τοῦτ' εἶναι λέγει. ἔτι μέντοι γε καὶ πᾶν τὸ γινόμενον, φθαρτὸν πρότερον ἀποφηνάμενος εἶναι, ὕστερον ἔνια τῶν γινομένων ἄλυτα καὶ ἄφθαρτα δύνασθαι εἶναι φησί. Τί τοίνυν αἴτιον τοῦ μὴ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς στασιάζειν τοὺς παρ' ὑμῖν νομισθέντας γεγονέναι σοφούς; τὸ μὴ βουληθῆναι δηλονότι παρὰ τῶν εἰδότων μαθεῖν, ἀλλ' ἑαυτοὺς οἴεσθαι τῇ ἀνθρωπίνῃ αὐτῶν περινοίᾳ τὰ ἐν οὐρανοῖς δύνασθαι γινώσκειν σαφῶς· καίτοιγε μηδὲ τὰ ἐπὶ τῆς γῆς γνῶναι δυνηθέντες. τὴν γοῦν ἀνθρωπίνην ψυχὴν ἔνιοι μὲν τῶν παρ' ὑμῖν φιλοσόφων, ἐν ἡμῖν· ἕτεροι δὲ, περὶ ἡμᾶς εἶναι φασί. οὐδὲ γὰρ ἐν τούτῳ συμφωνεῖν ἀλλήλοις προῄρηνται, ἀλλ' ὥσπερ τὴν ἄγνοιαν διαφέρως μερισάμενοι καὶ περὶ ψυχῆς φιλονεικεῖν καὶ στασιάζειν πρὸς ἀλλήλους προῄρηνται. οἱ μὲν γὰρ αὐτῶν φασὶ πῦρ εἶναι τὴν ψυχήν· οἱ δὲ, τὸν ἀέρα· οἱ δὲ, τὸν νοῦν· οἱ δὲ, τὴν κίνησιν· οἱ δὲ, τὴν ἀναθυμίασιν· ἄλλοι δέ τινες, δύναμιν ἀπὸ τῶν ἄστρων ῥέουσαν· οἱ δὲ, ἀριθμὸν κινητικόν· ἕτεροι δὲ ὕδωρ γενοποιόν· καὶ ὅλως ἀτακτός τις καὶ ἀσύμφωνος ἡ παρ' αὐτοῖς κεκράτηκε δόξα, ἐνὶ μόνῳ τοῖς ὀρθῶς κρίνειν δυναμένοις ἐπαίνου ἀξία φαινομένη, ὅτι πλανωμένους καὶ μὴ τἀληθῆ λέγειν τὰς ἀλλήλους ἐλέγχειν προῄρηνται. Οὐκοῦν ἐπειδήπερ οὐδὲν ἀληθὲς περὶ θεοσεβείας παρὰ τῶν ὑμετέρων διδασκάλων μανθάνειν ἐστὶ δυνατὸν, ἱκανὴν ὑμῖν ἀπόδειξιν τῆς ἑαυτῶν ἀγνοίας διὰ τῆς πρὸς ἀλλήλους στάσεως παρεσχηκότων, ἀκόλουθον ἡγοῦμαι ἀνελθεῖν ἐπὶ τοὺς ἡμετέρους προγόνους, τοὺς καὶ τοὺς χρόνους τῶν παρ' ὑμῖν διδασκάλων πολλῷ προειλη- 14

φότας, καὶ μηδὲν ἀπὸ τῆς ἰδίας αὐτῶν φαντασίας διδάξαντας ἡμᾶς, μηδὲ πρὸς ἀλλήλους διενεχθέντας, ἢ τὰ ἀλλήλων ἀνατρέπειν πειρωμένους, ἀλλ᾽ ἀφιλονείκως καὶ ἀστασιάστως τὴν παρὰ Θεοῦ δεξαμένους γνῶσιν, καὶ ταύτην διδάσκοντας ἡμᾶς. οὔτε γὰρ φύσει, οὔτε ἀνθρωπίνῃ ἐννοίᾳ οὕτω μεγάλα καὶ θεῖα γινώσκειν ἀνθρώποις δυνατὸν, ἀλλὰ τῇ ἄνωθεν ἐπὶ τοὺς ἁγίους ἄνδρας τηνικαῦτα κατελθούσῃ δωρεᾷ, οἷς οὐ λόγων ἔδει τέχνης, οὐδὲ τοῦ ἐριστικῶς τι καὶ φιλονείκως εἰπεῖν, ἀλλὰ καθαροὺς ἑαυτοὺς τῇ τοῦ θείου πνεύματος παρασχεῖν ἐνεργείᾳ, ἵν᾽ αὐτὸ τὸ θεῖον ἐξ οὐρανοῦ κατιὸν πλῆκτρον, ὥσπερ ὀργάνῳ κιθάρας τινὸς ἢ λύρας, τοῖς δικαίοις ἀνδράσι χρώμενον, τὴν τῶν θείων ἡμῖν καὶ οὐρανίων ἀποκαλύψῃ γνῶσιν. διὰ τοῦτο τοίνυν ὥσπερ ἐξ ἑνὸς στόματος καὶ μιᾶς γλώττης καὶ περὶ Θεοῦ, καὶ περὶ κόσμου κτίσεως, καὶ περὶ πλάσεως ἀνθρώπου, καὶ περὶ ἀνθρωπίνης ψυχῆς ἀθανασίας, καὶ τῆς μετὰ τὸν βίον τοῦτον μελλούσης ἔσεσθαι κρίσεως, καὶ περὶ πάντων ὧν ἀναγκαῖον ἡμῖν ἐστιν εἰδέναι, ἀκολούθως καὶ συμφώνως ἀλλήλοις ἐδίδαξαν ἡμᾶς, καὶ ταῦτα ἐν διαφόροις τόποις τε καὶ χρόνοις τὴν θείαν ἡμῖν διδασκαλίαν παρεσχηκότες. ἄρξομαι τοίνυν ἀπὸ τοῦ πρώτου παρ᾽ ἡμῖν προφήτου τε καὶ νομοθέτου Μωϋσέως, πρότερον τοὺς χρόνους καθ᾽ οὓς γέγονε, μετὰ πάσης ἀξιοπίστου παρ᾽ ὑμῖν μαρτυρίας ἐκθέμενος. οὐ γὰρ ἀπὸ τῶν θείων καὶ παρ᾽ ἡμῖν ἱστοριῶν μόνον ταῦτα ἀποδεῖξαι πειρῶμαι, αἷς ὑμεῖς οὐδέπω διὰ τὴν παλαιὰν τῶν προγόνων ὑμῶν πλάνην πιστεύειν βούλεσθε, ἀλλ᾽ ἀπὸ τῶν ὑμετέρων, καὶ μηδὲν τῇ ἡμετέρᾳ θρησκείᾳ διαφερουσῶν ἱστοριῶν· ἵνα γνῶτε ὅτι πάντων τῶν παρ᾽ ὑμῖν εἴτε σοφῶν, εἴτε ποιητῶν, εἴτε ἱστοριογράφων, ἢ φιλοσόφων, ἢ νομοθετῶν, πολλῷ πρεσβύτατος γέγονεν ὁ πρῶτος τῆς θεοσεβείας διδάσκαλος ἡμῶν Μωϋσῆς γεγονὼς, ὡς δηλοῦσιν ἡμῖν αἱ τῶν Ἑλλήνων ἱστορίαι. ἐν γὰρ τοῖς χρόνοις Ὠγύγου τε καὶ Ἰνάχου, οὓς καὶ γηγενεῖς τινες τῶν παρ᾽ ὑμῖν ὑπειλήφασι γεγενῆσθαι, Μωϋσέως μέμνηνται ὡς ἡγεμόνος τε καὶ ἄρχοντος τοῦ τῶν Ἰουδαίων γένους. οὕτω γὰρ Πολέμων τε ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν ἱστοριῶν μέμνηται, καὶ Ἀπίων ὁ Ποσειδωνίου ἐν τῇ κατὰ Ἰουδαίων βίβλῳ, καὶ ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν, λέγων κατὰ Ἴναχον Ἄργους βασιλέα, Ἀμάσιδος Αἰγυπτίων βασιλεύοντος, ἀποστῆναι Ἰουδαίους, ὧν ἡγεῖσθαι Μωϋσέα. καὶ Πτολεμαῖος δὲ ὁ Μενδήσιος, τὰς Αἰγυπτίων ἱστορῶν, ἅπασι τούτοις συντρέχει. καὶ οἱ τὰς Ἀθηναίων δὲ ἱστοροῦντες, Ἑλλάνικός τε καὶ Φιλόχορος ὁ τὰς Ἀτθίδας, Κάστωρ τε καὶ Θαλλὸς, καὶ Ἀλέξανδρος ὁ πολυΐστωρ, ἔτι δὲ καὶ οἱ σοφώτατοι Φίλων τε καὶ Ἰώσηππος, οἱ τὰ κατὰ Ἰουδαίους ἱστορήσαντες, ὡς σφόδρα ἀρχαίου καὶ παλαιοῦ τῶν Ἰουδαίων ἄρχοντος Μωϋσέως μέμνηνται. Ὁ γοῦν Ἰώσηππος,

runt, & nihil nos de suis ipsorū cogitationibus & placitis docuerunt: minime ipsi mutuis dissensionibus inuicē conflictantes, aut alij aliorum dicta euertere in animū inducentes: quippe qui omni contentionis studio & factionum dissidio liberi, sicuti a Deo acceperūt, ita nobis doctrinā tradiderunt. Neq; enim vel natura vel ingenio humano res tam sublimes & diuinas hominibus cognitione assequi est possibile: sed eo quod tum cælitus in viros sanctos descendit, gratuito opus est dono. Qui viri nihil indiguere arte dicendi, neq; eis opus fuit vt quidquā rixæ contentionisue agerent cupiditate: sed vt tantummodo puros seipsos diuini Spiritus operationi præberent: atq; ita diuinum e cælo plectrum descendens, quasi instrumento quopiam citharæ alicuius vel lyrę viris iustis vtens, diuinarum nobis & cælestium rerum cognitionem reuelaret. Quamobrem tamquā ore & lingua vna de Deo, de mundo condito, de hominis creatione, de animæ humanæ immortalitate, de futuro post hanc vitam iudicio, & de omnibus quæ nos scire opus est, consentaneo & conuenienti inter se consensu docuerunt. Atque hoc sic illi nobis variis & temporum & locorum interuallis disiti, diuina disciplina tradenda præstiterunt. Itaq; a primo apud nos propheta & legislatore Mose incipiam: vbi prius, quibus ille exstiterit temporibus, idoneo omnino a vobis petito testimonio, exposuero. Non enim ex diuinis tantum historiis nostris hæc probare aggredior, quibus vos nondum, propter inueteratum in animis vestris maiorum vestrorum errorē, fidem adhibere vultis: sed ex vestrarū etiam, nihil ad religionem nostrā pertinentium litterarū monumentis: vt intelligatis, omnibus vestris siue Sapientibus, siue Poetis, siue Historicis, siue Philosophis & Legislatoribus, multo antiquiorē fuisse, primū religionis nostræ doctorem Mosen, sicuti nobis Græcæ declarant historiæ. Nam circa Ogygis & Inachi tempora, quos nōnulli vestrorum hominū terrigenas fuisse sunt opinati, Mosæ illæ meminerunt, tanquam ducis & principis Iudaicæ gentis. Ita enim Polemon in Græcanicarum rerum primo scribit libro, & Apion Posidonij, in suo aduersus Iudæos Commentario: atque is itidem in quarto historiarum libro dicit, regnante apud Argiuos Inacho, ab Ægypti rege Amaside secessisse Iudæos, quibus Moses præfuit. suffragatur omnibus istis Ptolemæus Mendesius, qui res Ægyptias scripsit; tum autē & qui Atheniensiū gesta memoriæ mandarunt, Hellanicus & Philochorus, cuius Attici sunt libri: item Castor, & Thallus, & Alexander Polyistor siue Multiscius: atq; insuper sapiētissimi illi, Philo & Iosephus, qui Iudaicas res scribentes, vt admodum vetusti & antiqui Iudæorū principis Mosæ faciunt mentionem. Ipse certe Iosephus

vetustatem rerum, per ipsorum librorum inscriptioné significare volens, historiam exorsus ita scripsit; *Flauij Iosephi Antiquitatum Iudaicarum libri*: vt vetustaté historiæ Antiquitatũ nomine designaret. Et qui apud vos historicorum omnium illustrissimus est Diodorus, qui Bibliothecas in compendiũ redegit, & triginta totis annis, quemadmodum ipse scriptũ reliquit, Asiam & Europam propter exquisitam diligentiam peragrauit, spectatorq; rerũ plurimarum fuit, quadraginta integris historiæ suæ editis libris, postquã in primo testatus est, in Ægypto se ex Sacerdotibus didicisse, priscum admodum atq; adeo primum Legislatorem fuisse Mosen, ita de eo verbis hisce scripsit: *Secundum veterem, quæ in Aegypto fuit, vitæ institutionẽ, quæ fabulis sub Dijs & Heroib. fuisse perhibetur, multitudini primum vt scriptis legib. vteretur & viueret persuasisse ferunt Mosen, virum & animi magnitudine, & vitæ commoditate commendatissimum.* Paululum deinceps progressus, ac veterũ legislatorum mentionem inferre volens, primi Mosæ meminit. sic namq; ad verbũ inquit: *Apud Iudæos quidẽ Mosen, Dei nomine cohonestatum: siue quod admirandam & plane diuinam mentem eius esse homines iudicauerint, magno multitudini futurã vsui: seu quod ad excellentem dignitatem & virtutem eorum qui leges inuenisse dicerentur, plebem respicientem, magis in officio parendi fore sint arbitrati. Secundũ vero Aegyptium legislatorem fuisse aiunt Sauchnim (siue Sasochim) prudentia alijs antestantem hominem. Tertium porro memorant Sesonchosim (siue Sesostrim) regem: qui cum res omnium eorum qui in Aegypto fuere, præclarissimas bello gessit, tum etiam gentem bellicosam legibus latis stabiliuit. Quartus dehinc legislator fuisse dicitur Bocchoris (seu Vecchoris) rex sapiens, & apprime callidus. Post hunc memoriæ proditũ est, Amasim regem ad leges ferendas animum adiecisse: quem scribunt nomarchas seu præfectos locorum, & omnem publicitus administrationẽ Aegypti ordinasse. Sextum tandem ferunt, Xerxis patrem Darium leges dedisse Aegyptiis.* Hæc sunt, viri Græci, quæ de Mosę vetustate externi & a religione nostra alieni homines historias scribẽtes tradiderunt: omnia ista se ab Ægyptiis sacerdotibus accepisse professi: apud quos non natus solum, sed etiã qui omni Ægyptiorum disciplina imbueretur, dignus habitus est: propterea quod a regis filia in filij locum fuerit adoptatus. per quam itidem causam magno est edoctus studio: quemadmodum in litteras retulerunt sapientissimi historiographi, qui sibi de vita eius & rebus gestis generisque splendore scribendi prouinciã sumpsere, Philon & Iosephus. Hi siquidẽ Iudæorũ res memoriæ mandantes, a Chaldæis Mosen originẽ traxisse scribũt. Maiores quippe eius, per famis causam e Phœnicia in

τὸ ἀρχαῖον καὶ τὸ παλαιὸν τῆς ἱστορίας καὶ διὰ τῆς ἐπιγραφῆς τῶν βιβλίων σημᾶναι βουλόμενος, ἀρχόμενος τῆς ἱστορίας, οὕτω γέγραφε, Φλαβίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας· τὸ παλαιὸν τῆς ἱστορίας ἀρχαιολογίαν ὀνομάζων. καὶ ὁ ἐνδοξότατος δὲ παρ᾽ ὑμῖν τῶν ἱστοριογράφων Διόδωρος, ὁ τὰς βιβλιοθήκας ἐπιτεμὼν, ἐν τριάκοντα ὅλοις ἔτεσιν Ἀσίαν τε καὶ Εὐρώπην, ὡς αὐτὸς γέγραφε, διὰ πολλὴν ἀκρίβειαν περιελθὼν, καὶ αὐτόπτης τῶν πλείστων γεγονὼς, τεσσαράκοντα ὅλα τῆς ἑαυτοῦ ἱστορίας βιβλία γέγραφεν. ὃς ἐν τῇ πρώτῃ βίβλῳ φήσας παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων μεμαθηκέναι ὅτι ἀρχαῖος καὶ πρῶτος νομοθέτης Μωϋσῆς γέγονεν, αὐταῖς λέξεσιν οὕτω περὶ αὐτοῦ γέγραφε· Μετὰ γὰρ τὴν παλαιὰν τοῦ κατ᾽ Αἴγυπτον βίου κατάστασιν τὴν μυθολογουμένην γενέσθαι ἐπὶ θεῶν καὶ ἡρώων, πεῖσαί φασιν ἐγγράφοις νόμοις πρῶτον χρῆσθαι τὰ πλήθη καὶ βιοῦν Μωϋσῆν ἄνδρα καὶ τῇ ψυχῇ μέγαν, καὶ τῷ βίῳ ἱκανώτατον μνημονευόμενον. εἶτα βραχύ τι προελθὼν, καὶ τῶν παλαιῶν νομοθετῶν μνησθῆναι βουλόμενος, πρώτου Μωϋσέως μέμνηται. ἔφη γὰρ αὐταῖς λέξεσιν οὕτως· Παρὰ μὲν τοῖς Ἰουδαίοις Μωϋσῆν τὸν καλούμενον Θεὸν, εἴτε θαυμαστὴν καὶ θείαν ὅλως ἔννοιαν εἶναι κρίναντες τὴν μέλλουσαν ὠφελήσειν ἀνθρώπων πλῆθος, εἴτε [καὶ] πρὸς τὴν ὑπεροχὴν καὶ δύναμιν τῶν εὑρεῖν λεγομένων τοὺς νόμους ἀποβλέψαντα τὸν ὄχλον, μᾶλλον ὑπακούσεσθαι διαλαβόντος. δεύτερον δὲ νομοθέτην Αἰγύπτιον γεγονέναι φασὶ Σάουχνιν, ἄνδρα συνέσει διαφέροντα. τρίτον δὲ λέγουσι Σεσόγχωσιν τὸν βασιλέα, μὴ μόνον πολεμικὰς πράξεις ἐπιφανεστάτας κατεργάσασθαι τῶν κατ᾽ Αἴγυπτον, ἀλλὰ καὶ τὸ μάχιμον ἔθνος νομοθεσίαις συστήσασθαι. τέταρτον δὲ φασὶ νομοθέτην γεγενῆσθαι Βόκχοριν τὸν βασιλέα, σοφόν τινα καὶ πανουργίᾳ διαφέροντα. μετὰ δὲ τοῦτον προσελθεῖν λέγεται τοῖς νόμοις Ἄμασιν τὸν βασιλέα, ὃν ἱστοροῦσι τά τε περὶ τοὺς νομάρχας διατάξαι, καὶ τὰ περὶ τὴν σύμπασαν οἰκονομίαν τῆς Αἰγύπτου. ἕκτον δὲ λέγεται τὸν Ξέρξου πατέρα Δαρεῖον τοῖς νόμοις ἐπιστῆναι τοῖς τῶν Αἰγυπτίων. Ταῦτα ὦ ἄνδρες Ἕλληνες οἱ ἔξωθεν τῆς ἡμετέρας θεοσεβείας περὶ τῆς ἀρχαιότητος Μωϋσέως ἱστοροῦντες γεγράφασι· καὶ ταῦτα πάντα παρ᾽ Αἰγυπτίων ἱερέων μεμαθηκέναι φήσαντες, παρ᾽ οἷς οὐκ ἐτέχθη Μωϋσῆς μόνον, ἀλλὰ καὶ πάσης τῆς Αἰγυπτίων παιδεύσεως μεταχεῖν ἠξιώθη, διὰ τὸ ὑπὸ θυγατρὸς βασιλέως εἰς παιδὸς ᾠκειῶσθαι χώραν, καὶ διὰ τὴν προειρημένην πρόφασιν πολλῆς ἠξιῶσθαι σπουδῆς, ὡς ἱστοροῦσιν οἱ σοφώτατοι τῶν ἱστοριογράφων, οἱ καὶ τὸν βίον αὐτοῦ καὶ τὰς πράξεις καὶ τὸ τοῦ γένους ἀξίωμα ἀναγράψασθαι προελόμενοι, Φίλων τε καὶ Ἰώσηπος. οὗτοι γὰρ τὰς Ἰουδαίων ἱστοροῦντες πράξεις, ἀπὸ μὲν τοῦ Χαλδαίων γένους τὸν Μωϋσέα γεγενῆσθαι φασί· τῶν δὲ προγόνων αὐτοῦ διὰ λιμοῦ πρόφασιν ἀπὸ τῆς Φοινίκης ἐπὶ τὴν

Αἴγυπτον

Αἴγυπτον μετανάσταντων, ἐκεῖ τὸν ἄνδρα τετέχθαι φασίν· ὃν δὲ ὑπερβάλλουσαν ἀρετὴν ὁ Θεὸς τιμῆσαι προὔθετο, καὶ ἄρχοντα καὶ στρατηγὸν καὶ νομοθέτην γενέσθαι τοῦ ἑαυτοῦ γένους ἠξίωσεν, ὁπηνίκα ἀπὸ τῆς Αἰγύπτου τὸ τῶν Ἑβραίων πλῆθος ἐπὶ τὴν οἰκείαν χώραν ἐπανελθεῖν ἐδικαίωσε. Τούτῳ πρώτην ὁ Θεὸς καὶ τὴν ἄνωθεν ἐπὶ τοὺς ἁγίους ἄνδρας θείαν καὶ προφητικὴν τηνικαῦτα κατιοῦσαν παρέσχετο δωρεὰν, καὶ πρῶτον τῆς θεοσεβείας ἡμῶν διδάσκαλον γενέσθαι παρεσκεύασεν· εἶτα μετ' αὐτὸν τοὺς λοιποὺς προφήτας τοὺς καὶ αὐτοὺς τῆς αὐτῆς αὐτῷ τυχόντας δωρεᾶς, καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν διδάξαντας ἡμᾶς. Τούτους ἡμεῖς τῆς ἡμετέρας θρησκείας διδασκάλους γεγενῆσθαί φαμεν, μηδὲν ἀπὸ τῆς ἀνθρωπίνης αὐτῶν διανοίας διδάξαντας ἡμᾶς, ἀλλ' ἐκ τῆς ἄνωθεν αὐτοῖς παρὰ Θεοῦ δεδομένης δωρεᾶς. ὑμεῖς δὲ, ἐπειδὴ διὰ τὴν προτέραν τῶν πατέρων ὑμῶν πλάνην, τούτοις πείθεσθαι οὐκ οἴεσθε δεῖν, τίνας διδασκάλους ὑμῶν ἀξιοπίστους τῆς θεοσεβείας γεγενῆσθαι φατέ; ἀδύνατον γὰρ, ὥσπερ πολλάκις ἔφην, τὰ οὕτω μεγάλα καὶ θεῖα τοὺς μὴ πρότερον παρὰ τῶν εἰδότων μεμαθηκότας, ἢ αὐτοὺς εἰδέναι, ἢ ἑτέρους δύνασθαι διδάσκειν ὀρθῶς. Οὐκοῦν ἐπειδήπερ ἱκανῶς ἐκ τῶν προειρημένων τὰ τῶν φιλοσόφων ὑμῶν ἐλήλεγκται πράγματα πάσης ἀγνοίας καὶ ἀπάτης φανέντα πλήρη, ἀφέμενοί που λοιπὸν πάντως τῶν φιλοσόφων, ὥσπερ πρότερον τῶν ποιητῶν, ἐπὶ τὴν τῶν χρηστηρίων ἀπάτην τραπήσεσθε· οὕτω γὰρ ἀκήκοα λεγόντων τινῶν. Οὐκοῦν ἀκόλουθον ἡγοῦμαι, ἃ παρ'
16 ὑμῶν πρότερον περὶ αὐτῶν ἀκήκοα λεγόντων, ταῦτα ἐν καιρῷ νυνὶ πρὸς ὑμᾶς εἰπεῖν. ἐρομένου γάρ τινος, ὡς αὐτοί φατε, τὸ παρ' ὑμῖν χρηστήριον, τίνας συνέβη θεοσεβεῖς ἄνδρας γεγενῆσθαί ποτε, οὕτω τὸ χρηστήριον εἰρηκέναι φατέ,

„ Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' Ἑβραῖοι,
„ Αὐτογένητον ἄνακτα σεβαζόμενοι Θεὸν ἁγνῶς.

Οὐκοῦν ἐπειδήπερ οἴεσθε παρὰ τῶν χρηστηρίων ὑμῶν δύνασθαι τἀληθῆ μανθάνειν, ἐντυχόντες τῆς ἱστορίας καὶ τοῖς περὶ τοῦ βίου Μωϋσέως γραφεῖσιν ὑπὸ τῶν ἔξωθεν τῆς ἡμετέρας θρησκείας, καὶ γνόντες ὅτι ἐκ τοῦ τῶν Χαλδαίων καὶ Ἑβραίων γένους ὥρμητο Μωϋσῆς, καὶ οἱ λοιποὶ προφῆται, μηδὲν παράδοξον γεγενῆσθαι νομίζετε, εἰ ἐκ γένους ὄντα θεοσεβῶν τὸν ἄνδρα, καὶ ἀξίως τῆς τῶν προγόνων θεοσεβείας βεβιωκότα, ὁ Θεὸς τῇ μεγάλῃ ταύτῃ δωρεᾷ τιμῆσαι προὔθετο, καὶ πρῶτον ἁπάντων ἀποφῆναι τῶν προφητῶν. ἀναγκαῖον δὲ οἶμαι καὶ τοὺς χρόνους σκοπεῖν, καθ' οὓς οἱ καθ' ὑμᾶς γεγόνασι φιλόσοφοι· ὅπως γνῶτε ὅτι νέος σφόδρα καὶ βραχύς ἐστιν ὁ τούτους ὑμῖν ἐνεγκὼν χρόνος· οὕτω γὰρ ὑμῖν ἔσται δυνατὸν καὶ τὴν Μωϋσέως ἀρχαιότητα ῥᾳδίως γνῶναι. ἵνα δὲ μὴ περὶ τῶν χρόνων διεξιὼν, παρέλκειν δόξω, πλείοσιν ἀποδείξεσι χρώμενος, ἀποχρῶντας οἶμαι καὶ ἀπὸ τούτων δεικνύναι. Σωκράτης μὲν γὰρ Πλάτωνος, Πλάτων δὲ

Ægyptum transiisse, atque ibi virum eum genitum esse memorant: quem Deus ob præstantem ipsius virtutẽ honore auctũ, principem, imperatorem, & legislatorem genti suæ præposuit, cum ex Ægypto Ebræorum multitudinem in regionẽ suam reuerti iustum & æquum esse duxit. Huic primũ Deus, quod cælitus in sanctos homines illabitur, diuinum & propheticum exhibuit donum: & primum illum religionis nostræ doctorem instituit, ac deinceps secundum hunc, & reliquos prophetas, qui ipsi quoq; idem cum eo sunt consequuti donum, & eadem nobis de rebus eisdem tradiderunt. Hosce nos sacri cultus nostri auctores fuisse dicimus: qui nihil nos de humana sentẽtia sua, sed de cælesti a Deo eis concessa gratia, omnia docuerunt. At vos, quando propter receptũ patrum vestrorum errorẽ, hisce minime obsequendum esse putatis: quos tandem sacrorum vestrorũ idoneos commodosq; magistros allegatis? Fieri enim neutiquam potest, sicuti sæpius dixi, vt res tam magnas & diuinas, qui non prius a scientibus acceperint, vel ipsi intelligant, vel alios recte docere queant. Sedenim cum ex prædictis liquido pateat, res Philosophorum vestrorum ignorantiæ omnis atq; fraudis seductionisq; videri plenas, relictis posthac omnino Philosophis, quemadmodũ antea Poetis, ad oraculorum confugietis præstigias: sic enim quosdã dicere audiui. Quapropter consentaneũ esse duxi, quæ antehac apud vos de eis quosdam dicere animaduerti, ea nũc in tempore vobis referre. Consulente enim quodã, sicut vos ipsi narratis, oraculum vestrum, quinã vnquam extiterint vere pij & religiosi homines, tale responsum id edidisse dicitis:

Solus Chaldæus sapit, & Iudæus apella,
Per seipsum genitum regemq; Deumq; colentes.

Quoniam igitur ab oraculis vestris verum vos cognoscere posse existimatis, historiasque de vita Mosæ a sacro cultu nostro profanis hominibus scriptas legitis, & ex Chaldæorũ atq; Ebræorum siue Iudæorũ genere ortũ Mosen & prophetas cæteros intelligitis: non incredibile esse arbitremini, virũ qui & ex religiosorũ piorumq; hominum gente prognatus, & maiorum suorũ religione, vitæ morumq; pietate digne colenda, spectatus sit, tam ingenti isto dono a Deo honoratum, & principẽ prophetarum omnium designatum esse. Necessarium autem esse reor & tempora inquirere, quibus vestri vixere philosophi: vt recens admodũ & breue intelligatis esse, quod illos vobis tulit, tempus: ita enim facile quoq; vobis erit, Mosæ vetustatem nosse. Ne vero de temporibus verba faciens, tempus extrahere, pluribus vtens probationibus, videar: satis esse duco, rem paucis ostendere: Socrates Platonis, Plato Aristo-

Aristotelis fuit præceptor. Hi autem Philippi & Alexãdri Macedonis floruere temporibus, quibus & Athenienses oratores; sicuti clare nobis hoc indicant etiam Demosthenis aduersus Philippũ scriptæ orationes. Quod vero & Aristoteles cum Alexãdro, regni eius administrationis tempore fuerit, qui Alexandri res gestas conscripserunt historici, abunde testantur. Vndequaque ergo cognitu facile est, multo antiquiorem esse externis historiis omnibus Mosæ nostri historiam. Atqui ne hoc quidem vos ignorare decet, nihil quidquam ante Olympiades a Græcis accurate scriptum esse: neq; exstare scripturam vllam veterẽ, in quam res aliqua Græcorum vel Barbarorum sit relata. sola vero tum & prima prophetæ Mosæ exstitit historia, quam afflatu diuino ille Ebraicis composuit litteris. Græcorum enim nondum exstabant. pro eo atq; ipsi etiam litterarum magistri asserunt, Cadmum eas primum e Phœnice allatas Græcis tradidisse docentes. Quin & Plato ipse. philosophorum princeps, posterius inuentas esse testatur. inducit enim in Timæo, sapientum sapientissimum Solonem ex Ægypto reuersum, Critiæ dicentem, audisse se Ægyptium quendam sacerdotem, non admodum senem, ita secum agentem: *O Solon Solon, vos Græci, pueri semper estis: neq; quisquã est Græcus senex.* Deinde rursum; *Adolescentes, inquit, animo estis omnes: nullam enim in eo per auditionem veterem, habetis sententiã priscam, neque aliquam propter temporis diuturnitatem canis obsitam doctrinam: nec animaduertitis, eos qui subinde a casibus fatalibus sunt superstites, ætatibus multis sine litteris mutos diem suum obire.* Proinde scire conueuit, omnem historiam & doctrinam Græcorũ posterius inuentis eorum litteris esse conscriptam. Ac si quis vel Poetarum veterum, vel Legislatorum, vel Historicorũ, vel Philosophorum, vel Oratorum meminisse velit: comperiet tamen illos, libros suos Græcorum composuisse litteris. Quod si quis asseueret, Mosæ quoq; & aliorum prophetarum scripta Græcis edita esse litteris: ex historiarum externarũ lectione is discat, Ægypti regem Ptolemæum bibliothecã Alexandriæ instituisse, & vndecumque libris comportatis compleuisse: eundemq;, vbi cognouisset, antiquos libros, Ebræorum conscriptos litteris, diligenter asseruari, cognoscere ea scripta volentem, Septuaginta sapientibus viris Græcæ simul & Ebraicæ linguæ peritis, vertendorum interpretatione eorum librorum laborem demandasse, ab ipsis vsque Hierosolymis accitis. Atq; vt illi extra omnem turbam constituti, primo quoque tempore interpretationem absoluerent, non in vrbe ipsa, sed septem ab ea stadiis, vbi Pharos exstructa est, pari cum interpretibus numero domunculas exstrui præcepisse, vt singillatim pro se quisq;

Ἀριστοτέλους διδάσκαλος γέγονεν. οὗτοι δὲ κατὰ τοὺς Φιλίππου καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἤκμασαν χρόνους, καθ' οὓς καὶ οἱ Ἀθηναίων ῥήτορες, ὡς δηλοῦσιν ἡμῖν σαφῶς καὶ οἱ Δημοσθένους κατὰ Φιλίππου γραφέντες λόγοι. ὅτι δὲ καὶ Ἀριστοτέλης Ἀλεξάνδρῳ συνῆν ἐν τῷ τῆς βασιλείας χρόνῳ, οἱ τὰς Ἀλεξάνδρου ἱστορήσαντες πράξεις, ἱκανῶς δηλοῦσι. Πανταχόθεν οὖν γνῶναι ῥᾴδιον, ὅτι πολλῷ ἀρχαιοτέραν πασῶν τῶν ἔξωθεν ἱστοριῶν τὴν Μωϋσέως ἱστορίαν εἶναι συμβαίνει. ἄλλως τε οὐδὲ τοῦτο ἀγνοεῖν ὑμᾶς προσήκει, ὅτι οὐδὲν Ἕλλησι πρὸ τῶν ὀλυμπιάδων ἀκριβὲς ἱστόρηται, οὐδ' ἐστί τι σύγγραμμα παλαιὸν, Ἑλλήνων ἢ βαρβάρων σημαῖνον πρᾶξιν. μόνη δὲ ἡ τοῦ προφήτου Μωϋσέως προϋπῆρχεν ἱστορία, ἣν ἐκ τῆς θείας ἐπιπνοίας Μωϋσῆς γέγραφε τοῖς τῶν Ἑβραίων γράμμασι. τὰ γὰρ τῶν Ἑλλήνων οὐδέπω ἦν, ὡς δηλοῦσι καὶ αὐτοὶ οἱ τῶν γραμμάτων διδάσκαλοι, φάσκοντες Κάδμον πρῶτον ἐκ Φοινίκης αὐτὰ κομίσαντα, Ἕλλησι μεταδεδωκέναι. καὶ ὁ πρῶτος δὲ τῶν παρ' ὑμῖν φιλοσόφων μαρτυρεῖ Πλάτων ὕστερον εὑρῆσθαι αὐτά. γέγραφε γὰρ ἐν τῷ Τιμαίῳ τὸν τῶν σοφῶν σοφώτατον Σόλωνα, ἐκ τῆς Αἰγύπτου ἐπανελθόντα, Κριτίᾳ λέγειν ταῦτα, ἀκηκοέναι Αἰγυπτίου τινὸς ἱερέως οὐ μάλα παλαιοῦ, πρὸς αὐτὸν λέγοντος, Ὦ Σόλων Σόλων, Ἕλληνες παῖδές ἐστε ἀεὶ, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. εἶτα αὖθις, Νέοι, ἔφη, ἐστὲ τὰς ψυχὰς πάντες. οὐδεμίαν γὰρ ἐν αὐταῖς δι' ἀρχαίαν ἀκοὴν ἔχετε παλαιὰν δόξαν, οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. ἀλλ' ὑμᾶς λέληθε, διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾶν ἀφώνους. Εἰδέναι τοίνυν προσήκει, ὅτι πᾶσαν ἱστορίαν τοῖς τῶν Ἑλλήνων ὕστερον εὑρεθεῖσι γράμμασι γεγράφθαι συμβαίνει· καὶ εἴτε ποιητῶν τις ἀρχαίων, εἴτε νομοθετῶν, εἴτε ἱστοριογράφων, εἴτε φιλοσόφων ἢ ῥητόρων μνημονεῦσαι βούλοιτο, εὑρήσει τούτους τὰ ἑαυτῶν συγγράμματα τοῖς τῶν Ἑλλήνων γεγραφότας γράμμασιν. εἰ δέ τις φάσκοι καὶ τὴν Μωϋσέως καὶ τῶν ἄλλων προφητῶν τοῖς τῶν Ἑλλήνων γεγράφθαι γράμμασι, γνώτω τῶν ἔξωθεν ἐντυχὼν ἱστορίαις, ὅτι Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς, βιβλιοθήκην ἐν τῇ Ἀλεξανδρείᾳ κατασκευάσας, καὶ πανταχόθεν συναγαγὼν βιβλία, καὶ πληρώσας αὐτὴν, ἔπειτα μαθὼν ὅτι ἀρχαίας ἱστορίας τοῖς τῶν Ἑβραίων γράμμασι γεγραμμένας 17 σώζεσθαι ἀκριβῶς συμβαίνει, γνῶναι τὰ γεγραμμένα βουλόμενος, σοφοὺς ἄνδρας ἑβδομήκοντα, τοὺς καὶ τὴν Ἑλλήνων καὶ Ἑβραίων διάλεκτον εἰδότας, ἑρμηνεῦσαι αὐτοῖς τὰς βίβλους προσέταξεν, ἀπὸ τῆς Ἱερουσαλὴμ μεταστειλάμενος· καὶ ἵνα πάσης ὀχλήσεως ἐκτὸς ὄντες θᾶττον ἑρμηνεύσωσι, προσέταξεν αὐτοῖς μὴ ἐν αὐτῇ τῇ πόλει, ἀλλὰ ἀπὸ ἑπτὰ σταδίων, ἔνθα τὴν Φάρον οἰκοδομῆσθαι συμβαίνει, ἰσαρίθμους τῶν ἑρμηνευόντων οἰκίσκους γενέσθαι μικροὺς, ἐπὶ τῷ ἕκαστον ἰδίᾳ καθ'

ἑαυτὸν τὴν ἑρμηνείαν πληρώσῃ· προστάξας τοῖς ἐφεστῶσιν ὑπηρέταις, πάσης μὲν αὐτοὺς θεραπείας τυγχάνειν, εἴργεσθαι δὲ τῆς πρὸς ἀλλήλους ὁμιλίας, ἵνα τὸ τῆς ἑρμηνείας ἀκριβὲς, καὶ διὰ τῆς τούτων συμφωνίας γνωσθῆναι δυνηθῇ. ἐπεὶ δὲ ἔγνω τοὺς ἑβδομήκοντα ἄνδρας μὴ μόνον τῇ αὐτῇ διανοίᾳ, ἀλλὰ καὶ ταῖς αὐταῖς λέξεσι χρησαμένους, καὶ μηδὲ ἄχρι μιᾶς λέξεως τῆς πρὸς ἀλλήλους συμφωνίας διημαρτηκότας, ἀλλὰ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν γεγραφότας, ἐκπλαγεὶς, καὶ θείᾳ δυνάμει τὴν ἑρμηνείαν γεγράφθαι πιστεύσας, πάσης μὲν τιμῆς ἀξίους αὐτοὺς, ὡς θεοφιλεῖς ἄνδρας διέγνω· μετὰ πολλῶν δὲ δώρων αὐτοὺς εἰς τὴν ἑαυτῶν πατρίδα ἐπανελθεῖν προσέταξε· τὰς δὲ βίβλους θαυμάσας, ὡς εἰκὸς, καὶ θείας νομίσας, ἐκεῖσε ἀνέθηκε. Ταῦτα οὐ μῦθος ὑμῖν, ὦ ἄνδρες Ἕλληνες, οὐδὲ πεπλασμένας ἱστορίας ἀπαγγέλλομεν· ἀλλ' αὐτοὶ ἐν τῇ Ἀλεξανδρείᾳ γενόμενοι καὶ τὰ ἴχνη τῶν οἰκίσκων ἐν τῇ Φάρῳ ἑωρακότες ἔτι σωζόμενα, καὶ παρὰ τῶν ἐκεῖ, ὡς τὰ πάτρια παρειληφότων ἀκηκοότες, ταῦτα ἀπαγγέλλομεν. ἃ καὶ παρ' ἑτέρων ἔξεστιν ὑμῖν μαθεῖν, καὶ μάλιστα παρ' αὐτῶν τῶν περὶ τούτων ἱστορηκότων σοφῶν καὶ δοκίμων ἀνδρῶν, Φίλωνός τε καὶ Ἰωσήπου, καὶ ἑτέρων πλειόνων. εἰ δέ τις φάσκοι τῶν προχείρως ἀντιλέγειν εἰθισμένων, μὴ ἡμῖν τὰς βίβλους ταύτας, ἀλλὰ Ἰουδαίοις προσήκειν, διὰ τὸ ἔτι καὶ νῦν ἐν ταῖς συναγωγαῖς αὐτῶν σώζεσθαι, καὶ μάτην ἡμᾶς ἐκ τούτων φάσκειν τὴν θεοσέβειαν μεμαθηκέναι λέγει, γνώτω ἀπ' αὐτῶν τῶν ἐν ταῖς βίβλοις γεγραμμένων, ὅτι οὐκ αὐτοῖς, ἀλλ' ἡμῖν ἡ ἐκ τούτων διαφέρει διδασκαλία. Τὸ δὲ παρ' Ἰουδαίοις ἔτι καὶ νῦν τὰς τῇ ἡμετέρᾳ θεοσεβείᾳ διαφερούσας σώζεσθαι βίβλους, θείας προνοίας ἔργον ὑπὲρ ἡμῶν γέγονεν. ἵνα γὰρ μὴ ἐκ τῆς ἐκκλησίας προκομίζοντες, πρόφασιν ῥᾳδιουργίας τοῖς βουλομένοις βλασφημεῖν ἡμᾶς παράσχωμεν, ἀπὸ τῆς τῶν Ἰουδαίων συναγωγῆς ταύτας ἀξιοῦμεν προκομίζεσθαι, ἵνα ἀπ' αὐτῶν τῶν ἔτι παρ' αὐτοῖς σωζομένων βιβλίων, ὡς ἡμῖν τὰ πρὸς διδασκαλίαν ὑπὸ τῶν ἁγίων ἀνδρῶν γραφέντα δίκαια σαφῶς καὶ φανερῶς προσήκει, φανῇ. Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες, τὰ μέλλοντα προορωμένους, καὶ εἰς τὴν ὑπὸ πάντων, οὐ μόνον θεοσεβῶν, ἀλλὰ καὶ τῶν ἔξωθεν κηρυττομένην ἀφορῶντας κρίσιν, μὴ τῇ τῶν προγόνων ὑμῶν ἀβασανίστῳ προσέχειν πλάνῃ. μηδ' εἴ τι σφαλέντες αὐτοὶ παραδεδώκασιν ὑμῖν, τοῦτ' ἀληθὲς εἶναι νομίζειν, ἀλλ' εἰς τὸν τῆς οὕτω δεινῆς ἀποτυχίας ἀφορῶντας κίνδυνον, ζητεῖν καὶ ἐρευνᾶν ἀκριβῶς καὶ τὰ ὑπ' αὐτῶν τῶν ὑμετέρων, ὥς αὐτοί φατε, διδασκάλων εἰρημένα. πολλὰ γὰρ καὶ αὐτοὶ ὑπὸ τῆς θείας τῶν ἀνθρώπων προνοίας καὶ ἄκοντες ὑπὲρ ἡμῶν εἰπεῖν ἠναγκάσθησαν, καὶ μάλιστα

quisq; interpretationem perficeret: illa quoq; cura, qui operam eis dare iussi fuerant, mandata, vt omnibus quidem modis ipsis inseruirent, a cõgressu autẽ illos mutuo prohiberent; quo exquisita interpretationis veritas ex ipsorũ etiam consensu cognosci posset. Et cognito, Septuaginta istos viros nõ solum eadem sententia, verumetiam eisdẽ esse verbis in translatione vsos, ac ne vna quidem dictione alium ab alio dissensisse, (vsq; adeo eadẽ de eisdem omnia conscripserant) admiratione attonitum, cum diuina virtute interpretationem absolutam esse credentem; tum quouis honore dignos illos, vt Dei amantes, & vicissim Deo caros viros iudicantem, cum muneribus multis in patriam suã redire iussisse: ac libros, ita vt par erat, exosculatum esse, & Deo consecratos in bibliotheca ibi reposuisse. Hæc vobis, viri Græci, non vt fabulam, neq; vt confictam historiã renunciamus: sed qui ipsi Alexandriæ fuerimus, & vestigia domuncularum apud Pharum adhuc reliqua viderimus: & ab incolis, qui res patrias a maioribus per manus sibi traditas acceperunt, audierimus, commemoramus: quæ ex aliis quoq; (aliqua ex parte) intelligere potestis, & potissimum ex eis qui ista scriptis suis inseruerunt, sapientibus & spectatis viris, Philone & Iosepho, & plurib. aliis. At si quis eorum qui temere contradicere cõsueuerunt, nobis obiiciat, non nostros hos esse, sed Iudæorum libros, eo quod ad hoc vsq; tempus in synagogis eorũ asseruentur: & per vanitatem nos iactare, religionẽ ex eis hausisse dicat: is scire debet, ex rebus ipsis quę in libros hosce sunt relatæ, non ad Iudæos, verum ad nos Christianos doctrinã eorum pertinere. Nam quod etiamnunc apud Iudęos pietatis nostrę libri asseruantur, diuinæ id de nobis opus est prouidentiæ. ne enim ex Ecclesia eos proferentes, occasionẽ quasi suppositi a nobis aut corrupti sint, maledictis nos incessere volentibus præbeamus, ex illorum Synagoga producimus: vt ex ipsis hucusq; apud eos conseruatis libris, ad nos nostramque doctrinam a sanctis viris edita iura liquido & manifesto pertinere appareat. Peropus igitur est, vos, viri Græci, futura prospicientes, & ab omnibus non modo religiosis, sed profanis quoque deprædicatum iudicium intuentes, haudquaquam maiorum vestrorum necdum satis disquisito errori inhærere: neq; si quid illi hallucinantes, vobis per manus tradiderunt, id pro vero habere: verum ob oculos vobis ipsos tam graue spe atque exspectatione excidendi periculum ponentes, etiam atque etiam in ea quoque quæ ab ipsis vestris, quemadmodum vos dicitis, magistris sunt dicta, diligenter & accurate inquirere. Multa namque & illi per diuinam de hominibus susceptam prouidentiam, vel ingratiis coacti sunt de nobis & pro nobis dicere: atque illi maxime,

qui in

qui in Ægypto fuere, atque e Mosæ maiorumque eius pietate & religione aliquam perceperunt vtilitatem. Non etenim vestrum aliquos latere puto, Diodori & ceterorum, qui hæc litterarum monumentis mandarunt, quandoque studiose historias legentes, Orpheum, & Homerum, & Solonem qui Atheniésibus leges scripsit, & Pythagoram, & Platonem, & nonnullos alios qui Ægyptum adierunt, & Mosæ libris adiuti sunt, postea eis quæ antehac falso de diis censuerant, contraria docuisse. Orpheus sane quidem, multitudinis deorum, siue plurimæ diuinitatis, vt sic aliquis dicat, primus auctor, qualia posterius ad filium suum Musæum, ac reliquos germanos verosque auditores de vno eodemque solo Deo prædicauerit, necessarium visum est vobis exponere:

Solis canto piis: omnes procul este profani.
Tu Musæe audi, Lunæ prognate silenti:
Perniciosa prius vitaq; infesta futura
Ex me cognosti: sed nunc te vera docebo:
Respectans Verbum diuinum, huic totus inhære.
Pectoris hoc mentem sacri, gressusq; guberna,
Incedens recta: regemq; hunc orbis adora.
Vnicus est, per se exsistens, qui cuncta creauit,
Inq; his ipse exstat. nulli e mortalibus vnquam
Lumine conspectus, mortales conspicit omnes.
Hic bonus, exundansq; bonis, generi mala nostro
Et bellum horrendum luctumq; immittit acerbum.
Non alius constat regnator magnus ab illo.
Hunc ego non video: nubes quia densa resistit:
Namq; homini cuiuis acies obtusa videndi,
Atq; Deum mundi rectorem cernere non est.
Ærati sedes cæli tenet ille beatas,
Aureo suffultus solio: vestigia terrâ
Ponit, & Oceanum dextrâ complectitur omnem.
Excelsi hunc montes, & flumina magna tremiscũt,
Canaq; cærulcis veneratur Tethys in vndis.

Atque iterum alibi dicit:

Iupiter est vnus, Pluto vnus, Bacchus & vnus,
Vnus Sol: Deus vnus in omnibus. Ista seorsim
Quid tibi commemorem?

In Iuramentis autem ita loquitur:

Cælum iuro Deo a magno & sapiente creatum:
Vocem iuro Patris, primum quam prodidit ore,
Consilio ipse suo mundum cum conderet omnem.

Quid sibi vult cum dicit:

Vocem iuro Patris primum quam prodidit ore?

αὐδὴν, id est *vocem*, hic λόγον, id est *verbum Dei*, nominat. per quod cælum & terra, & vniuersa condita est creatura, prout nos diuinæ sanctorum virorum prophetiæ docent: quibus & ipse aliqua ex parte in Ægypto operam nauans intellexit, Verbo Dei omnem factam esse creaturam. Proinde vbi dicit:

Vocem iuro Patris primum quam prodidit ore:

verbis hisce illa adiungit:

Consilio ipse suo mundum cum conderet omnem.

vbi *Verbũ*, *Vocem* dicit, propter poeticam

οἱ ἐν Αἰγύπτῳ γενόμενοι, καὶ ἀπὸ τῆς Μωϋσέως καὶ τῶν προγόνων αὐτοῦ θεοσεβείας ὠφεληθέντες. οὐ γὰρ λανθάνειν ἐνίους ὑμῶν οἶμαι, ἐντυχόντας πάντως που τῇ τε Διοδώρου ἱστορίᾳ, καὶ τῶν λοιπῶν τῶν περὶ τούτων ἱστορηκότων, ὅτι καὶ Ὀρφεὺς, καὶ Ὅμηρος, καὶ Σόλων ὁ τοὺς νόμους Ἀθηναίοις γεγραφὼς, καὶ Πυθαγόρας, καὶ Πλάτων, καὶ ἄλλοι τινὲς, ἐν τῇ Αἰγύπτῳ γενόμενοι, καὶ ἐκ τῆς Μωϋσέως ἱστορίας ὠφεληθέντες, ὕστερον ἐναντία τῶν πρότερον μὴ καλῶς περὶ θεῶν δοξάντων αὐτοῖς ἀπεφήναντο. 18 Ὀρφεὺς γοῦν, ὁ τῆς πολυθεότητος ὑμῶν, ὡς ἂν εἴποι τις, πρῶτος διδάσκαλος γεγονὼς, οἷα πρὸς τὸν υἱὸν αὐτοῦ Μουσαῖον, καὶ τοὺς λοιποὺς γνησίους ἀκροατὰς ὕστερον περὶ ἑνὸς καὶ μόνου Θεοῦ κηρύττει λέγων, ἀναγκαῖον ὑπομνῆσαι ὑμᾶς. ἔφη δὲ οὕτως·

(βηλοι
Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε βέ-
Πάντες ὁμῶς· σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε μή-
Μουσαῖ'· ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν (νης
Εν στήθεσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
Ἰθύνων κραδίης νοερὸν κύτος· εὖ τ' ἐπίβαινε
Ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
Εἷς ἔστ', αὐτογενής· ἑνὸς ἔκγονα πάντα τέτυκται,
Εν δ' αὐτοῖς αὐτὸς περιγίγνεται· οὐδέ τις αὐτὸν
Εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
Οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι
Καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
Οὐδέ τις ἔσθ' ἕτερος χωρὶς μεγάλου βασιλῆος.
Αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται.
Πᾶσιν γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
Ἀσθενέες δ' ἰδέειν Δία τὸν πάντων μεδέοντα.
Οὗτος γὰρ χάλκειον ἐς οὐρανὸν ἐστήρικται
Χρυσέῳ ἐνὶ θρόνῳ, γαίης δ' ἐπὶ ποσσὶ βέβηκε,
Χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
Πάντοθεν ἐκτέτακεν· περὶ γὰρ τρέμει οὔρεα μακρὰ,
Καὶ ποταμοὶ, πολιῆς τε βάθος χαροποῖο θαλάσσης.

καὶ αὖθις ἀλλαχοῦ πού οὕτως λέγει·

Εἷς Ζεὺς, εἷς Ἀΐδης, εἷς ἥλιος, εἷς Διόνυσος,
Εἷς Θεὸς ἐν πάντεσσι· τί σοι δίχα ταῦτ' ἀγορεύω;

καὶ ἐν τοῖς ὅρκοις δὲ οὕτως·

Οὐρανὸν ὁρκίζω σε Θεοῦ μεγάλου σοφοῦ ἔργον,
Αὐδὴν ὁρκίζω σε πατρὸς, τὴν φθέγξατο πρῶτον,
Ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

τί βούλεται τὸ λέγειν αὐτὸν,

Αὐδὴν ὁρκίζω σε πατρὸς, τὴν φθέγξατο πρῶτον;

αὐδὴν ἐνταῦθα τὸν τοῦ Θεοῦ ὀνομάζει λόγον, δι' οὗ οὐρανὸς καὶ γῆ καὶ ἡ πᾶσα ἐγένετο κτίσις, ὡς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι τῶν ἁγίων ἀνδρῶν προφητεῖαι, αἷς ἐν μέρει καὶ αὐτὸς ἐν τῇ Αἰγύπτῳ προσχὼν, ἔγνω ὅτι τῷ λόγῳ τοῦ Θεοῦ πᾶσα ἐγένετο ἡ κτίσις· διὸ καὶ μετὰ τὸ φῆσαι,

Αὐδὴν ὁρκίζω σε πατρὸς τὴν φθέγξατο πρῶτον,

παρ' αὐτὰ συνάπτει λέγων,

Ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

ἐνταῦθα τὸν λόγον αὐδὴν διὰ τὸ ποιητικὸν ὀνομάζει μέτρον.

μέτρον. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, δῆλον ἀπὸ τοῦ μικρῷ πρόσθεν, τοῦ μέτρου συγχωροῦντος αὐτῷ, λόγον αὐτὸν ὀνομάζειν. ἔφη γάρ,

Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε.

Τίνα δὲ καὶ τὴν ἀρχαίαν καὶ σφόδρα παλαιὰν Σίβυλλαν, ἧς καὶ Πλάτων καὶ Ἀριστοφάνης καὶ ἕτεροι πλεῖους ὡς χρησμῳδοῦ μέμνηνται, διὰ χρησμῶν ὑμᾶς διδάσκειν περὶ ἑνὸς καὶ μόνου Θεοῦ συμβαίνει, ἀναγκαῖον ὑπομνῆσαι. λέγει δὲ οὕτως·

19 Εἷς δὲ Θεὸς μόνος ἐστὶν ὑπερμεγέθης, ἀγένητος,
Παντοκράτωρ, ἀόρατος, ὁρώμενος αὐτὸς ἅπαντα·
Αὐτὸς δ' οὐ βλέπεται θνητῆς ὑπὸ σαρκὸς ἁπάσης.

Εἶτα ἀλλαχοῦ που οὕτως·

Ἡμεῖς δ' ἀθανάτοιο τρίβους πεπλανημένοι ἦμεν,
Ἔργα δὲ χειροποίητα γεραίρομεν ἄφρονι μύθῳ,
Εἴδωλα ξοάνων τε καταφθιμένων τ' ἀνθρώπων.

Καὶ πάλιν ἀλλαχοῦ που οὕτως·

Ὄλβιοι ἄνθρωποι κεῖνοι κατὰ γαῖαν ἔσονται,
Ὅσοι δὴ στέρξουσι μέγαν Θεὸν εὐλογέοντες,
Πρὶν φαγέειν πιέειν τε, πεποιθότες εὐσεβίῃσιν·
Οἳ νηοὺς μὲν ἅπαντας ἀπαρνήσονται ἰδόντες,
Καὶ βωμούς, εἰκαῖα λίθων ἀφιδρύματα κωφῶν,
Αἵμασιν ἐμψύχων μεμιασμένα καὶ θυσίαισι
Τετραπόδων, βλέψουσι δ' ἑνὸς Θεοῦ εἰς μέγα κῦδος.

Ταῦτα μὲν οὖν ἡ Σίβυλλα· ὁ δὲ ποιητὴς Ὅμηρος τῇ τῆς ποιήσεως ἀποχρώμενος ἐξουσίᾳ, καὶ τὴν ἐν ἀρχῇ τῆς πολυθεότητος Ὀρφέως ζηλώσας δόξαν, μυθωδῶς μὲν πλειόνων θεῶν μέμνηται, ἵνα μὴ δόξῃ τῆς Ὀρφέως ἀπᾴδειν ποιήσεως, ἣν οὕτως ζηλῶσαι προὔθετο, ὡς καὶ διὰ τοῦ πρώτου τῆς ποιήσεως ἔπους τὴν πρὸς αὐτὸν σημῆναι σχέσιν. τοῦ γὰρ Ὀρφέως,

Μῆνιν ἄειδε θεὰ Δημήτερος ἀγλαοκάρπου,

ἐν ἀρχῇ τῆς ποιήσεως εἰρηκότος, αὐτὸς

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος,

γέγραφεν· ἑλόμενος, ὡς ἐμοὶ δοκεῖ, ἐν ἀρχῇ καὶ τοῦ κατὰ τὴν ποίησιν ἐκπεσεῖν μέτρου, ἵνα μὴ δόξῃ τοῦ τῶν θεῶν ὀνόματος μεμνῆσθαι πρῶτος. μικρὸν δὲ ὕστερον καὶ τὴν ἑαυτοῦ περὶ ἑνὸς καὶ μόνου Θεοῦ σαφῶς καὶ φανερῶς ἐκτίθεται δόξαν, πῆ μὲν διὰ τοῦ Φοίνικος πρὸς Ἀχιλλέα λέγων,

— οὐδ' εἴ κέν μοι ὑποσταίη Θεὸς αὐτὸς,
Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα·

διὰ τῆς ἀντωνυμίας τὸν ὄντως ὄντα σημαίνων Θεόν· πῆ δὲ διὰ τοῦ Ὀδυσσέως πρὸς τὸ τῶν Ἑλλήνων πλῆθος οὕτω λέγων,

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω.

Ὅτι δὲ οὐκ ἀγαθὸν πολυκοιρανίη, ἀλλὰ τοὐναντίον κακόν, ἔργῳ δηλῶσαι προὔθετο, πολέμους τε αὐτῶν διὰ τὸ πλῆθος καὶ μάχας καὶ στάσεις, καὶ κατ' ἀλλήλων ἐπιβουλὰς διηγούμενος. τὴν γὰρ μοναρχίαν ἄμαχον εἶναι συμβαίνει. ταῦτα μὲν οὖν ὁ ποιητὴς Ὅμηρος· εἰ δὲ καὶ τῶν ἀπὸ τῆς σκηνῆς περὶ ἑνὸς Θεοῦ μαρτυρίας ἡμᾶς προσθεῖναι δέοι, ἀκούσατε καὶ Σοφοκλέους οὕτω λέγοντος,

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστι Θεός,

carminis mensuram. Quod vero hoc sic habeat, ex eo quod paulo ante dixit, satis constat. nam carminis mensura permittente, *Verbum* nominauit. inquit enim:

Respectans Verbum diuinum, huic totus inhære.

Quæ porro prisca valdeque antiqua Sibylla, cuius Plato & Aristophanes, & alii complures vt fatidicæ meminerunt, responsis suis de vno, atque eo ipso solo Deo nos doceat, referre necesse est. Sic autem dicit:

Est Deus ingenitus, ter magnus, solus, & vnus,
Omnipotens, numquam spectabilis, omnia cernens
Scilicet: ipse hominis vero non cernitur vlli.

Deinde alio loco ait:

Numinis excidimus palantes tramite recto,
Signaq; facta manu cultu veneramur inani,
Fluxorum statuas hominum, & simulacra deorũ.

Et alio rursum ad hunc modum:

Felices oras animæ telluris habebunt,
Laude Deum prius ingentem quam corpora curet,
Insigni qua confisa pietate beabunt:
Cunctaq; despicient templorum tecta, negantes
Aras, surdorum nihili monumenta deorum,
Cædibus & spurco pecudum polluta cruore:
Vniusq; Dei sacris pia turba litabit. vel,
Vniusq; Dei spectabunt laudis honorem.

Atque hæc quidem Sibylla. Homerus autem poeta, poetica abusus licẽtia, & priorem Orphei de pluribus diis æmulatus opinionem, fabulose quidem multorum meminit deorum, ne ab Orphei videretur discrepare poesi: quam tanto sibi imitandam studio proposuerat, vt primo operis sui versu, animi erga illum sui prodiderit propẽsionem. cũ enim Orpheus,

Iram frugifera Cereris cane diua nocentem,

in principio poematis sui dixisset: ipse,

Iram Pelidæ magni cane diua nocentem,

scripsit: excidẽdum sibi potius esse ab initio, sicuti mihi videtur, carminis numeris ratus, quam vt ipse primus deorum nominis inducere mentionem videretur. Paulo vero post, suam quoque de vno, atque eo solo Deo, verbis disertis profert sententiam; nunc quidem per Phœnicem cũ Achille agentem dicens:

Non ipsus si forte Deus mihi polliceatur
Abstersa senio florentem ætate iuuentam:

pronomine *Ipsius*, ipsissimum verum significans Deum: nunc autem sub persona Vlyssis, Græcorum exercitum alloquens:

Non bene regnabunt multi: Rex vnicus esto. vel,
Non recte imperitant multi, sceptra vnus habeto.

Atque equidem ille non bonum esse regimen multorum, sed e diuerso malum, reipsa ostendere cõstitutum habens, eam ob causam bella illorum propter multitudinẽ, & prœlia, & factiones, & mutuas insidias passim cõmemorat. nam monarchia, siue vnius imperium, pacatum esse consueuit. Hæc quidem ita Homerus poeta. Quod si vero a scena etiam de vno Deo testimonia nos adducere oportet, Sophoclem quoque audite, ita dicentem:

Vnum profecto numen, vnus est Deus,

Qui condidit cælum, & solum terræ patens,
Mariſq; fluctus, vimq; ventorum grauem.
Pleriq; noſtrum, mente ſed capti, deûm
Simulacra nobis, ceu mali ſolatium,
Cum ſaxea atq; acerna conſecrauimus,
Tum & aureas eburneaſq; imagines.
Hos victimis placamus. his feſtos dies
Agimus: pios hoc eſſe nos rati modo.

Hæc etiam Sophocles. Pythagoras autem Mneſarchi, qui philoſophiæ ſuæ præcepta per ſymbola arcana tradidit, ſicuti qui vitam eius ſcripſerunt, teſtantur, digna & ipſe Ægyptia peregrinatione de vno & ſingulari Deo ſenſiſſe videtur. Vnitatem namque, rerum omniũ originem, eandemq; bonorum omniũ cauſam eſſe dicens, per allegoriam vnum, atque eum ſolum Deum eſſe docet. Id vero ſic ſe habere, ex eo patet, quod *μονάδα*, id eſt vnitatẽ, (ſeu potius ſolitatem) & ἓν, hoc eſt vnũ, differre inter ſe ait. Vnitatem ſiue Solitatem quippe, in eis quæ intelligentia comprehenduntur; Vnum autem, in numeris eſſe. Sin clariorem adhuc Pythagoræ de vno Deo opinionis probationẽ ſcire cupitis, audite ſententiam eius. ſic namque dicit: *Sane quidem Deus vnus eſt: non ille autem, quomodo nonnulli ſunt ſuſpicati, extra hũc mundi ornatum: ſed ipſe in ſe totus, in circulo toto generationes omnes inſpiciẽs, ſeculorum omnium eſt temperatio, & virtutum operumque eius omnium opifex, principium omnium, vnum cæli lumen, & parens omnium, mens & animatio vniuerſorum, circulorum omnium motio.* Sic & hoc Pythagoras. Plato vero, accepta, cum in Ægypto eſſet, ſicuti videtur, Moſæ & aliorum prophetarum de vno, eoque ſolo Deo doctrina: ne quo modo, ſicut Socrati accidiſſe viderat, ipſe quoque Anytum quempiam, aut etiam Melitum contra ſe apud Athenienſes excitaret accuſatorem, qui diceret, Plato iniurius eſt & curioſus; quos ciuitas recepit, ipſe non recipiens deos; veritus, veneni metu variam quandam atq; fucatam de diis ſubinde inſtituit orationem: Eſſe deos, hos eſſe volentibus; & non eſſe, diuerſa opinãtibus, ſcriptis ſuis aſtruẽs. id quod procliue eſt ex dictis eius intelligere. Poſtquã enim quod genitũ ſit, mortale eſſe ſtatuit, deos poſtea genitos eſſe ait. Porro, ſi principiũ rerũ omniũ Deũ & materiã eſſe vult, ſatis patet, neceſſario prorſus e materia deos generatos eſſe, dici oportere. Quod ſi e materia, vnde & malũ progreſſũ eſſe dicit: quales deos e materia progeneratos eſſe exiſtimãdũ ſit, eis qui ſana mẽte præditi ſunt, diſpiciẽdũ permiſit. Proinde & ingenitã eſſe materiam prodidit, ne Deũ mali auctorẽ eſſe, dicere putaretur. Atq; illum quidẽ de diis a Deo creatis verba hæc protuliſſe apparet; *Dij deorũ, quorũ ego ſũ cõditor.* De ipſo autẽ vero Deo, rectã obtinuiſſe videtur ſẽtẽtiã. Cũ enim in Ægypto audiuiſſet Deũ

Ὃς οὐρανόν τ' ἔτευχε, καὶ γαῖαν μακράν,
Πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίας.
Θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι,
Ἱδρυσάμεσθα πημάτων παραψυχὴν
Θεῶν ἀγάλματ' ἐκ λίθων τε καὶ ξύλων,
Ἢ χρυσοτεύκτων ἢ ἐλεφαντίνων τύπους·
Θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
Τεύχοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

Ταῦτα μὲν οὖν ὁ Σοφοκλῆς. ὁ δὲ τοῦ Μνησάρχου Πυθαγόρας, ὁ τὰ δόγματα τῆς ἑαυτοῦ φιλοσοφίας διὰ συμβόλων μυστικῶς ἐκθέμενος, ὡς δηλοῦσιν οἱ τὸν βίον αὐτοῦ γεγραφότες, ἄξια καὶ αὐτὸς τῆς εἰς Αἴγυπτον ἀποδημίας περὶ ἑνὸς Θεοῦ φρονῶν φαίνεται. τὴν γὰρ μονάδα, ἀρχὴν ἁπάντων λέγων, καὶ ταύτην τῶν ἀγαθῶν ἁπάντων αἰτίαν εἶναι, δι' ἀλληγορίας ἕνα τε καὶ μόνον διδάσκει Θεὸν εἶναι. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, δῆλον ἀφ' ὧν μονάδα καὶ ἓν πολλῷ διαφέρειν ἀλλήλων ἔφη. Τὴν μὲν γὰρ μονάδα ἐν τοῖς νοητοῖς εἶναι λέγει. τὸ δὲ ἓν ἐν τοῖς ἀριθμοῖς. Εἰ δὲ καὶ σαφεστέραν ἀπόδειξιν περὶ ἑνὸς Θεοῦ τῆς Πυθαγόρου δόξης ποθεῖτε γνῶναι, ἀκούσατε καὶ τῆς αὐτοῦ δόξης· οὕτω γὰρ ἔφη, Ὁ μὲν Θεὸς, εἷς· αὐτὸς δὲ οὐχ ὥς τινες ὑπονοοῦσιν, ἐκτὸς τᾶς διακοσμήσιος, ἀλλ' ἐν ἑαυτῷ ὅλος ἐν ὅλῳ τῷ κύκλῳ ἐπισκοπῶν πάσας τὰς γενέσιάς ἐστι, κρᾶσις ἐὼν τῶν ὅλων αἰώνων, καὶ ἐργάτας τῶν αὐτοῦ δυνάμιων καὶ ἔργων. ἀρχὰ πάντων, ἓν, ἐν οὐρανῷ φωστὴρ, καὶ πάντων πατὴρ, νοῦς καὶ ψύχωσις τῶν ὅλων, κύκλων ἁπάντων κίνασις. Οὕτω μὲν οὖν ὁ Πυθαγόρας· Πλάτων δὲ, ἀποδεξάμενος μὲν, ὡς ἔοικεν, τὴν περὶ ἑνὸς καὶ μόνου Θεοῦ Μωϋσέως καὶ τῶν ἄλλων προφητῶν διδασκαλίαν, ἣν ἐν Αἰγύπτῳ γενόμενος ἔγνω, διὰ δὲ τὰ συμβεβηκότα Σωκράτει δεδιὼς μήπως καὶ αὐτὸς Ἄνυτόν τινα ἢ καὶ Μέλιτον καθ' ἑαυτοῦ γενέσθαι παρασκευάσῃ κατηγοροῦντα αὐτοῦ παρ' Ἀθηναίοις καὶ λέγοντα, Πλάτων ἀδικεῖ καὶ περιεργάζεται, θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζων, φόβῳ τοῦ κωνείου ποικίλον τινὰ καὶ ἐσχηματισμένον τὸν περὶ θεῶν γυμνάζει λόγον, εἶναί τε θεοὺς τοῖς βουλομένοις, καὶ μὴ εἶναι εἰς τἀναντία δοκεῖ, τοῖς λόγοις κατασκευάζων, ὡς ἔστιν ῥᾴδιον ἀπ' αὐτῶν τῶν ὑπ' αὐτοῦ λεχθέντων γνῶναι. πᾶν γάρ τὸ γενόμενον, θνητὸν προαποφηνάμενος εἶναι, ὕστερον θεοὺς γεγενῆσθαι λέγει. εἰ τοίνυν ἀρχὴν ἁπάντων τὸν Θεὸν καὶ τὴν ὕλην εἶναι βούλεται, δῆλον ὅτι ἀνάγκη πᾶσα ἐξ ὕλης τοὺς θεοὺς γεγενῆσθαι λέγειν· εἰ δὲ ἐξ ὕλης, ἐξ ἧς καὶ τὸ κακὸν ὡρμῆσθαι ἔφη, οἵους εἶναι τοὺς θεοὺς τοὺς ἐξ ὕλης γενομένους οἴεσθαι προσήκει, τοῖς εὖ φρονοῦσι παρῆκε σκοπεῖν. διὰ τοῦτο γὰρ καὶ ἀγέννητον τὴν ὕλην ἔφησεν εἶναι, ἵνα μὴ δόξῃ τὸν Θεὸν τοῦ κακοῦ ποιητὴν εἶναι λέγειν. καὶ περὶ μὲν τῶν ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντων θεῶν ταῦτ' εἰρηκὼς φαίνεται, Θεοὶ θεῶν ὧν ἐγὼ δημιουργός· περὶ δὲ τοῦ ὄντως ὄντος Θεοῦ τὴν ὀρθὴν ἔχων φαίνεται δόξαν. ἀκηκοὼς γὰρ ἐν Αἰγύπτῳ τὸν Θεὸν

τῷ Μω-

τῷ Μωϋσῇ εἰρηκέναι, Ἐγώ εἰμι ὁ ὤν, ὁπηνίκα πρὸς τοὺς Ἑβραίους αὐτὸν ἀποστέλλειν ἔμελλεν, ἔγνω ὅτι οὐ κύριον ὄνομα ἑαυτοῦ ὁ Θεὸς πρὸς αὐτὸν ἔφη· οὐδὲν γὰρ ὄνομα ἐπὶ Θεοῦ κυριολογεῖσθαι δυνατόν. τὰ γὰρ ὀνόματα εἰς δήλωσιν καὶ διάγνωσιν τῶν ὑποκειμένων κεῖται πραγμάτων, πολλῶν καὶ διαφόρων ὄντων· Θεῷ δὲ οὔτε ὁ τιθεὶς ὄνομα προϋπῆρχεν, οὔτε αὐτὸς ἑαυτὸν ὀνομάζειν ᾠήθη δεῖν, εἷς καὶ μόνος ὑπάρχων, ὡς αὐτὸς διὰ τῶν ἑαυτοῦ προφητῶν μαρτυρεῖ λέγων, Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς ἕτερος οὐκ ἔστι. διὰ τοῦτο τοίνυν, ὡς καὶ πρότερον ἔφην, οὐδὲ ὀνόματός τινος ὁ Θεὸς ἀποστέλλων πρὸς τοὺς Ἑβραίους τὸν Μωϋσέα μέμνηται, ἀλλὰ διά τινος μετοχῆς ἕνα καὶ μόνον Θεὸν ἑαυτὸν εἶναι μυστικῶς διδάσκει. Ἐγὼ γάρ φησιν, εἰμὶ ὁ ὤν: ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι ὁ ὢν τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον
21 ἀπατηθέντες, ὅτι οὐχὶ τοῖς οὖσιν, ἀλλὰ τοῖς μὴ οὖσι προσεῖχον. ἐπεὶ τοίνυν ὁ Θεὸς ἠπίστατο τοὺς πρώτους ἀνθρώπους τῆς παλαιᾶς τῶν προγόνων μεμνημένους ἀπάτης, ἣν ἀπατῆσαι αὐτοὺς ὁ μισάνθρωπος δαίμων ἠβουλήθη, φήσας πρὸς αὐτούς, Εἰ πεισθείητέ μοι τὴν τοῦ Θεοῦ παρελθεῖν ἐντολήν, ἔσεσθε ὡς θεοί, θεοὺς ὀνομάζων τοὺς μὴ ὄντας, ἵνα οἱ ἄνθρωποι οἰηθέντες καὶ ἑτέρους εἶναι θεούς, καὶ ἑαυτοὺς δύνασθαι γενέσθαι θεοὺς πιστεύσωσι· διὰ τοῦτο πρὸς τὸν Μωϋσέα ἔφη, Ἐγώ εἰμι ὁ ὤν, ἵνα διὰ τῆς μετοχῆς ὄντος, τοῦ Θεοῦ ὄντος καὶ μὴ ὄντων διαφορὰν διδάξῃ. πεισθέντες τοίνυν οἱ ἄνθρωποι τῷ ἠπατηκότι δαίμονι, καὶ Θεοῦ παρακοῦσαι τολμήσαντες, ἐξῆλθον τοῦ παραδείσου, τοῦ μὲν ὀνόματος τῶν θεῶν μεμνημένοι, μηκέτι δὲ παρὰ Θεοῦ μὴ εἶναι θεοὺς ἑτέρους διδαχθέντες. οὐ γὰρ δίκαιον ἦν τοὺς τὴν πρώτην ἐντολὴν μὴ φυλάξαντας, ἣν φυλάξαι ῥᾴδιον ἦν, διδάσκειν ἔτι, ἀλλὰ τιμωρίαν αὐτοῖς ἐπάγειν δικαίαν. ἐκβληθέντες τοίνυν τοῦ παραδείσου, καὶ οἰόμενοι διὰ τὴν παρακοὴν ἐκβεβλῆσθαι μόνην, οὐ μὴν εἰδότες διότι καὶ θεοὺς μὴ ὄντας ἐπείσθησαν εἶναι, τὸ τῶν θεῶν ὄνομα καὶ τοῖς μετὰ ταῦτα ἐξ αὐτῶν γενομένοις ἀνθρώποις παρέδοσαν. αὕτη τοίνυν πρώτη περὶ θεῶν ψευδὴς φαντασία, ἀπὸ τοῦ ψεύστου πατρὸς ἀρχὴν ἐσχηκυῖα. εἰδὼς τοίνυν ὁ Θεὸς τὴν τῆς πολυθεότητος μὴ ἀληθῆ δόξαν, ὥσπερ τινὰ νόσον τῇ τῶν ἀνθρώπων ἐνοχλοῦσαν ψυχῇ, ἀνελεῖν καὶ ἀνατρέψαι βουλόμενος, πρῶτον μὲν τῷ Μωϋσῇ φανεὶς ἔφη πρὸς αὐτόν, Ἐγώ εἰμι ὁ ὤν. ἔδει γάρ, οἶμαι, τὸν ἄρχοντα καὶ στρατηγὸν τοῦ τῶν Ἑβραίων γένους ἔσεσθαι μέλλοντα, πρῶτον ἁπάντων τὸν ὄντα γινώσκειν Θεόν. διὸ καὶ τούτῳ πρώτῳ φανείς, ὡς ἦν δυνατὸν ἀνθρώπῳ φανῆναι Θεόν, ἔφη πρὸς αὐτόν, Ἐγώ εἰμι ὁ ὤν· εἶτα ἀποστέλλειν αὐτὸν πρὸς

Mosæ dixisse: *Ego sum Exsistens ille*; seu, *Qui sum*: quo tẽpore Mosen ad Ebræos missurus erat: cognouit ille scilicet, Deũ propriũ nomẽ suum Mosæ nõ promulgasse. Fieri nãq; omnino non potest, vt propriũ aliquod Deo nomẽ attribuatur; propterea quod nomina ad designationẽ & discretionẽ subiectarũ rerum imponantur, quæ variæ sunt & multę: Deo autẽ qui nomen inderet, nemo ante eũ exstitit: neque ipse seipsum nomine aliquo designare opus esse duxit, vnus & solus exsistẽs. quemadmodũ de seipso per prophetas ipse testificatur, dicens: *Ego Deus primus, & ego postea, & præter me Deus alius non est.* Quocirca, pro eo atque supra dixi, ad Ebræos ablegans Mosen Deus, nullius meminit nominis, sed per participium quoddam, vnũ se & solum Deum esse arcane docet: *Ego*, enim inquit, *sum exsistens ille*: seipsum videlicet non exsistentibus opponens, vt, qui antehac seducti in errorem fuerãt, intelligerent, non exsistentibus se, sed minime prorsus exsistentibus animum [diis] intendisse. Quamobrem quod Deus sciret, primos homines veteris maiorum suorũ non immemores esse seductionis, (qua illos transuersos egit humani generis hostis dæmon, hisce ad eos vsus verbis: *Si obsequuti mihi fueritis, mandatum Dei transgredientes, instar deorum eritis*: eos qui non essent, *deos* nominans, vt homines, alios etiam deos esse existimantes, seipsos quoque deos fieri posse crederent) eam ob rem Mosæ dixit: *Ego sum exsistens ille*: vt per participium *Exsistens*, inter exsistentem Deum, & prorsus non exsistentes, doceret differentiam. Itaque factum vt homines seductori obsecundantes dæmoni, ac contra Dei mandatum venire audentes, Paradiso exciderint: nominis quidẽ deorum illi non obliti, nedum autem etiam a Deo, deos alios non esse edocti. non enim æquum erat, eos qui præceptum primum non seruassent, quod quidem certe facile seruare potuerant, docere amplius, sed pœnam eis iustam inferre potius. Paradiso ergo illi eiecti, & propter inobœdientiam solam eiectos se esse existimantes, neque dum satis intelligentes propterea id quoque accidisse, quod persuasum eis fuisset, vt qui non essent, se esse deos crederent: deorum nomen ad posteros suos ex se progenitos homines transmiserunt. Hæc ipsa est prima de diis falsa & mendax imaginatio, a falso & mendaci orta patre. Sciens itaque Deus, falsam de diis multis opinionem, veluti morbum quendam hominum conturbare animos: abolere & euertere eam volens, Mosæ primum apparens, ad illum: *Ego sum*, inquit, EXSISTENS *ille*. Oportuit namq;, vt opinor, Principem & Imperatorẽ Ebræorum gentis futurum, primum omnium exsistentẽ ipsum cognoscere Deum. Quam ob causam primo huic apparẽs, quatenus quidẽ possibile erat homini Deũ apparere, ad eũ dixit: *Ego sum Exsistẽs ille*. Eundẽ vero deinde ad

Ebræos missurus, illis quoque eadẽ ipsum renũciare iubet: EXSISTENS *ille me ad vos legauit.* Hæc ergo cum Plato in Ægypto didicisset, eiuscemodi de vno Deo dictis multum delectatus, Mosæ quidem nominis, qui vnum eundemq; solum prædicaret Deum, apud Athenienses mentionem inferre, non satis tutum esse arbitratus, Areopagum (siue Martis vicum) metuit. Scite vero ab illo dictum verbum, nõ perinde atque ab illo acceptum, sed quasi a seipso inuentam sententiam, in Timæo, accurate a se scripto libro, (in quo etiam theologari, ac de rebus diuinis disputare est molitus) exponens, id ipsum quod & Moses de Deo scripsit. Ait enim: *Primum igitur, iudicio meo, decernendum venit, quid sit quod semper quidem exsistit, genitum autem nõ est; & quid quod genitum quidem est, numquam autem exsistit.* Annõ, viri Græci, hoc vnum idemq; esse eis videtur, qui recte sapiunt, articulo solo varians? nam Moses, *Exsistens ille* dixit; Plato autẽ, *Exsistens illud.* vtrumq; vero dictum, semper exsistenti Deo congruere apparet. Ipse enim solus est qui sẽper exsistit, & genitus non est. Quid vero tandẽ sit quod semper exsistenti ediuerso opponitur, de quo Plato dixit; & quid sit quod genitũ quidẽ est, nũquam autem exsistit: diligenter conuenit inspicere. Comperiemus nãq;, eũ clare & aperte dicere, ingenitum quidẽ sempiternum esse: genitos autẽ seu conditos, (quemadmodũ ipse de eis dictum esse ait: *Dij deorum quorum ego sum opifex*) nascentes & dispereuntes. Hoc siquidẽ ille sic ait: *Primũ igitur, iudicio meo, decernẽdum venit, quid sit quod semper quidem exsistit, genitum autem non est; & quid quod genitum quidem est, numquam autem exsistit. Illud sane quidem, est intelligentia cum ratione comprehensibile, semper sibiipsi constans: hoc autem, opinione cum sensu irrationabili opinabile, genitum & dispereens, neq; vnquã exsistens.* Hæc ipsa verba, eis quibus rectum est mẽtis iudicium, abolitionem & exitium genitorum deorum denũciant. Quin necessarium esse duco, ad illud quoque mentem aduertere, quod non *factorem* eũ Plato, sed *opificem deorũ* nominat: cũ magna inter hæc sit differentia, ipsius etiã Platonis opinione: propterea quod *factor* quidẽ, nullius alterius indigens rei, suapte virtute & potestate quod creat, efficit: *opifex* autem, opificij sui virtute ex materia accepta, opus suũ construit. Cæterum nonnulli fortasse, qui a plurimæ diuinitatis cultu discedere nolunt, opificem ipsum hæc ad deos conditos loquutum esse dicent: *Quandoquidem geniti estis, immortales quidem non estis, neque prorsus indissolubiles: veruntamen neque interibitis, neque fatalem mortis necessitatem experiemini, voluntatem meam maius multo & fortius vinculum habentes.* Etenim hic Plato multorum deorum cultũ complexos veritus, contraria inter se Opificẽ Deum suum inducit loquentem. nã quem antea, *Quicquid genitũ sit, corruptibile esse,* pronunciasse

τοὺς Ἑβραίους μέλλων, κἀκείνοις αὐτὸ τοῦτο προστάττει λέγειν, Ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. Ταῦτα τοίνυν ἐν Αἰγύπτῳ μαθὼν ὁ Πλάτων, καὶ σφόδρα ἀρεσθεὶς τοῖς περὶ ἑνὸς Θεοῦ εἰρημένοις, τοῦ μὲν ὀνόματος Μωϋσέως, διὰ τὸ ἕνα καὶ μόνον διδάσκειν Θεὸν, μνημονεύειν παρ' Ἀθηναίοις οὐκ ἀσφαλὲς ἡγεῖτο, δεδιὼς τὸν Ἄρειον πάγον· τὸ δὲ καλῶς εἰρημένον ὑπ' αὐτοῦ, οὐχ ὡς παρ' ἐκείνου μαθὼν, ἀλλ' ὡς ἑαυτοῦ ἐκτιθέμενος δόξαν, ἐν τῷ ἐσπουδασμένῳ αὐτοῦ λόγῳ Τιμαίῳ, ἐν ᾧ καὶ θεολογεῖν ἐπιχειρεῖ, τὸ αὐτὸ ὃ καὶ περὶ Θεοῦ Μωϋσῆς, γέγραφεν. ἔφη γὰρ, Ἔστιν οὖν κατ' ἐμὴν δόξαν διαιρετέον πρῶτον, τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον· καὶ τί τὸ γινόμενον μὲν, ὂν δὲ οὐδέποτε. Τοῦτο, ὦ ἄνδρες Ἕλληνες, τοῖς νοεῖν δυναμένοις οὐ δοκεῖ ἓν καὶ ταὐτὸν εἶναι, τῷ ἄρθρῳ μόνῳ διαλλάττον; ὁ μὲν γὰρ Μωϋσῆς, ὁ ὢν, ἔφη· ὁ δὲ Πλάτων, τὸ ὄν. ἑκάτερον δὲ τῶν εἰρημένων τῷ ἀεὶ ὄντι Θεῷ προσήκειν φαίνεται. αὐτὸς γάρ ἐστι μόνος ὁ ἀεὶ ὢν, γένεσιν δὲ μὴ ἔχων. τί τοίνυν ἐστὶν ἕτερον τὸ τῷ ἀεὶ ὄντι ἀντιδιαστελλόμενον, περὶ οὗ αὐτὸς ἔφη, καὶ τί τὸ γινόμενον μὲν, ὂν δὲ οὐδέποτε, ἀκριβῶς προσήκει σκοπεῖν. εὑρήσομεν γὰρ αὐτὸν σαφῶς καὶ φανερῶς τὸν μὲν ἀγέννητον ἀΐδιον εἶναι λέγοντα, τοὺς δὲ γεννητοὺς ἢ δημιουργητοὺς (ὡς αὐτὸς περὶ τῶν αὐτῶν εἰρῆσθαι ἔφη, Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς) γινομένους καὶ ἀπολλυμένους. οὕτω τοῦτο γὰρ αὐτὸς λέγει· Ἔστι γ' οὖν κατ' ἐμὴν δόξαν πρῶτον διαιρετέον, τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον· καὶ τί τὸ γινόμενον μὲν, ὂν δὲ οὐδέποτε. τὸ μὲν οὖν νοήσει μετὰ λόγου περιληπτὸν, ἀεὶ κατὰ ταὐτὰ ὄν· τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν, γινόμενον καὶ ἀπολλύμενον, ὂν δὲ οὐδέποτε. Ταῦτα τὰ ῥητὰ τοῖς ὀρθῶς νοεῖν δυναμένοις ἀναίρεσιν καὶ ἀπώλειαν τῶν γενομένων κηρύττει θεῶν. ἀναγκαῖον δὲ εἶμαι καὶ τούτῳ προσέχειν τὸν νοῦν, ὅτι οὐδὲ ποιητὴν αὐτὸν ὁ Πλάτων, ἀλλὰ δημιουργὸν ὀνομάζει θεῶν. καίτοι πολ- 22 λῆς διαφορᾶς ἐν τούτοις οὔσης κατὰ τὴν αὐτοῦ Πλάτωνος δόξαν. ὁ μὲν γὰρ ποιητὴς, οὐδενὸς ἑτέρου προσδεόμενος ἐκ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐξουσίας ποιεῖ τὸ ποιούμενον· ὁ δὲ δημιουργὸς, τὴν τῆς δημιουργίας δύναμιν ἐκ τῆς ὕλης εἰληφὼς, κατασκευάζει τὸ γινόμενον. Ἀλλ' ἴσως τινὲς, τῶν τῆς πολυθεότητος δογμάτων ἀποστῆναι μὴ βουλόμενοι, αὐτὸν τὸν δημιουργὸν τοῖς δημιουργηθεῖσι θεοῖς ταῦτ' εἰρηκέναι φήσουσιν· Ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὐδ' ἄλυτοι τὸ παράπαν· οὔτι μὲν δὴ λυθήσεσθέ γε, οὔτε τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ ἰσχυροτέρου λαχόντες. Ἐνταῦθα ὁ Πλάτων τοὺς τὴν πολυθεότητα ἀσπαζομένους δεδιὼς, ἐναντία ἑαυτῷ τὸν κατ' αὐτὸν δημιουργὸν εἰσάγει λέγοντα· πᾶν γὰρ τὸ γενόμενον φθαρτὸν, πρότερον εἰρη-

κεῖναι αὐτὸν φήσας, νῦν τἀναντία αὐτὸν εἰσάγει λέγοντα, ἀγνοῶν ὅτι οὐδαμῶς οὕτω δυνατὸν τὸ τῆς ψευδολογίας ἐκφυγεῖν ἔγκλημα. ἢ γὰρ τὸ πρότερον εἰρηκὼς, Πᾶν τὸ γινόμενον, φθαρτὸν, ψεύδεται, ἢ νῦν τἀναντία τοῖς πρότερον περὶ αὐτῶν εἰρημένοις ἐπαγγελλόμενος. εἰ γὰρ ἀνάγκη πᾶσα τὸ γεννητὸν φθαρτὸν εἶναι κατὰ τὸν πρότερον αὐτοῦ ὅρον, πῶς συγχωρεῖ τὸ κατ᾽ ἀνάγκην ἀδύνατον γενέσθαι δυνατόν; ὥστε μάτην ἔοικεν ὁ Πλάτων ἀδύνατα χαρίζεσθαι τῷ κατ᾽ αὐτὸν δημιουργῷ, τοὺς ἅπαξ, διὰ τὸ ἐξ ὕλης γεγενῆσθαι, φθαρτοὺς καὶ αὐτοὺς γινομένους, αὖθις δι᾽ αὐτοῦ ἀφθάρτους καὶ ἀλύτους ἐπαγγελλόμενος ἔσεσθαι. τὴν γὰρ τῆς ὕλης δύναμιν, ἀγέννητον καὶ ἰσόχρονον καὶ ἡλικιῶτιν κατὰ τὴν αὐτοῦ δόξαν τοῦ δημιουργοῦ οὖσαν, ἀνθίστασθαι εἰκὸς τῇ αὐτοῦ βουλήσει· τῷ γὰρ μὴ πεποιηκότι οὐδεμία ἐξουσία πρὸς τὸ μὴ γεγονός· ὥστε οὐδὲ βιασθῆναι αὐτὴν δυνατὸν τῆς ἔξωθεν πάσης ἀνάγκης ἐλευθέραν οὖσαν. διὰ τοῦτο τοίνυν καὶ αὐτὸς ὁ Πλάτων εἰς ταῦτα ἀφορῶν, οὕτω γέγραφεν, Ἀνάγκη δὲ οὐδὲ Θεὸν λέγεται δυνατὸν βιάζεσθαι. πῶς οὖν Ὅμηρον τῆς ἑαυτοῦ πολιτείας ἐκβάλλει Πλάτων, ἐπειδὴ ἐν τῇ πρὸς Ἀχιλλέα πρεσβείᾳ τὸν Φοίνικα πεποίηκε τῷ Ἀχιλλεῖ λέγοντα, -- στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί· καίτοι Ὁμήρου οὐ περὶ τοῦ βασιλέως καὶ κατὰ Πλάτωνα δημιουργοῦ τῶν θεῶν τοῦτο εἰρηκότος, ἀλλὰ περὶ τινῶν θεῶν τῶν παρ᾽ Ἕλλησι πολλῶν εἶναι νομιζομένων, ὥς ἐστιν ἡμῖν καὶ παρὰ τοῦ Πλάτωνος μαθεῖν, Θεοὶ θεῶν λέγοντος. τῷ γὰρ ἑνὶ καὶ πρώτῳ Θεῷ τὴν ἐξουσίαν καὶ τὸ κράτος ἁπάντων Ὅμηρος διὰ τῆς χρυσῆς ἐκείνης ἀναφέρει σειρᾶς· τοὺς δὲ λοιποὺς θεοὺς τοσοῦτον ἀπέχειν ἔφη τῆς ἐκείνου θεότητος, ὥστε αὐτοὺς καὶ μετὰ ἀνθρώπων ὀνομάζειν ἀξιοῦν. τὸν γ᾽ οὖν Ὀδυσσέα κατὰ τοῦ Ἕκτορος πρὸς τὸν Ἀχιλλέα εἰσάγει λέγοντα,

Μαίνεται ἐκπάγλως πίσυνος Διΐ, οὐδέ τι τίει
Ἀνέρας, οὐδὲ θεούς.

Ἐνταῦθά μοι Ὅμηρος δοκεῖ πάντως που καὶ αὐτὸς, ὥσπερ ὁ Πλάτων, ἐν Αἰγύπτῳ μαθὼν περὶ ἑνὸς Θεοῦ σαφῶς καὶ φανερῶς τουτὶ ἐμφαίνειν, ὅτι ὁ τῷ ὄντι πεποιθὼς Θεῷ, τῶν μὴ ὄντων ἀμελεῖ· οὕτω γὰρ ὁ ποιητὴς καὶ ἀλλαχοῦ που διὰ ἑτέρας λέξεως ἰσοδυναμούσης, τῇ ἀντωνυμίᾳ ταύτῃ τῇ ὑπὸ Πλάτωνος εἰρημένῃ μετοχῇ, κέχρηται, τὸν ὄντα Θεὸν ἀπαγγελλούσῃ, περὶ οὗ ὁ Πλάτων ἔφη, Τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον. οὐ γὰρ ἁπλῶς εἰρῆσθαί μοι δοκεῖ τὸ ὑπὸ τοῦ Φοίνικος εἰρημένον,

——οὐδ᾽ εἴ κέν μοι ὑποσταίη Θεὸς αὐτὸς,
Γῆρας ἀποξύσας, θήσειν νέον ἡβώοντα.

ἡ γὰρ Αὐτὸς ἀντωνυμία, τὸν ὄντως ὄντα σημαίνει Θεόν. οὕτω γὰρ καὶ ὁ περὶ τῶν Χαλδαίων ὑμῖν καὶ Ἑβραίων εἰρημένος σημαίνει χρησμός. πυθομένου γάρ τινος, τίνας πώποτε θεοσεβεῖς ἄνδρας γεγενῆσθαι συνέβη, οὕτως εἰρηκέναι αὐτόν φασι,

ciasse dixit, eundem nunc diuersa asserentem facit: nō animaduertens, neutiquam se hoc modo mendacij crimen effugere posse. aut enim quod prius proloquutus est, *Quicquid genitū sit, corruptibile esse*, mentitur: aut nunc, diuersa ab eis quæ antea de ipsis dixit, referens, fallit. Si namque necessarium plane est, quod genitum sit corruptibile esse, pro eo atque prius definiuit: quî omnino fieri potest, vt quod per necessitatem ipsam sit impossibile, tandem possibile fiat? Quapropter vanum esse videtur, quod Plato Opifici suo gratificans, impossibilia attribuit, [videlicet] vt qui semel, propterea quod ex materia sunt ab opifice editi, corruptibiles & ipsi sint facti, eos rursum per illū incorruptibiles atque indissolubiles fore renunciet. Siquidem materiæ virtutem non generatam, atque iuxta ipsius opinionem, eiusdem cum opifice temporis & ætatis, obluctari par est voluntati eius. Nam ei qui non condidit, nulla est in id quod conditum non est, potestas. Quapropter fieri nequit vt vis ei vlla inferatur, quæ extra necessitatem omnē constituta, libera sit. Propterea nimirum & ipse Plato huc respiciens, sic scripsit: *Necessario a nobis dicendum, Deo vim inferri non posse.* Quomodo ergo Homerum e republica sua proscribit Plato? quod is in legatione ad Achillem, Phœnicem illi hæc dicere fecit:

---- *Quin dij flectuntur & ipsi.*

cum quidem certe Homerus non de rege & (secundum Platonem) opifice deorum hoc dici scripserit; sed de diis quibusdam, qui complures apud Græcos habiti sunt; sicuti etiā ex Platone intelligere est, *Dij deorum*, dicente. vni namq; & principi Deo potestatem atq; imperium in deos omnes Homerus per aureā illam defert catenam. Reliquos autē deos tantum ab illius diuinitate abesse censet; vt vna cū hominibus nominādos putet. Nam Vlyssem de Hectore ad Achillem dicentē inducit:

Perfurit immensum, fretus Ioue: nec reueretur
Mortalesue deosue.

vbi mihi omnino ipse quoq; Homerus, sicuti Plato, in Ægypto de vno Deo edoctus, liquido & aperte significare videtur; *Qui Deo vero confidat, eum illos qui nulli sunt, non curare.* Non aliter quoq; idem Poeta alio loco per locutionē aliam, pronomine, idem quod a Platone vsurpatum participium valente, & ipsum verum Deum designante, de eo vtitur de quo Plato dixit; *Quid sit quod semper exsistit, ortum autem non habet.* non simpliciter certe prolatum mihi esse videtur:

Non IPSVS si forte DEVS mihi polliceatur
Absterso senio florentem ætate iuuentam.

Pronomen namq; *Ipsius*, ipsissimum vere exsistentem denotat Deum. Sic id etiam illud de Chaldæis & Ebræis vobis ab oraculo datum responsum innuit. Percunctante namq; quodam, quinam vnquam exstiterint vere religiosi homines? ita oraculum respondisse aitis:

Solus Chaldæus sapit & Iudæus apolla,
Per seipsum genitum regemq́; Deumq́; colentes.

Quomodo ergo Homerum reprehendit Plato, flexibiles deos esse dicentem: & quidem vtilitatis gratia hoc sic dicentem, sicut ex verbis ipsis patet? Proprium namque est eorum qui votis atq; victimis beneuolentiam sibi numinis conciliare satagunt, finem peccandi facere, & de commissis delictis agere pœnitentiã. Qui vero diuinitatem inflexibilem esse putant, numquam sibi a peccatis abstinendum esse arbitrantur, nullum se ex resipiscentia fructum percepturos esse existimantes. Quomodo igitur philosophus Plato Homerum poetam, eo quod

--- Quam dij flectuntur & ipsi.

dixerit, condemnauit? cum ipse deorum opificem tam facile mutabilem inducat, vt deos quandoq; mortales, quandoque eosdem ipsos immortales esse dicat. Atqui hoc ille non tantum de diis facit, verum etiam de materia ex qua deos, quemadmodum ipse inquit, generatos esse necesse est; aliquando quidem ingenitam, aliquando autem genitam esse asserens: neq; ille satis cõsiderat, quod Homero impingit, eo seipsum implicatum teneri crimine; vtpote qui deorum opificem ita facile mutari significet: cum interim Homerus longe diuersum de eo memoret. facit enim illum de seipso hæc sic dicentem:

Non fallax nostrum, non est reuocabile verbum:
Non est infectum capitis quod numine firmo.

Enimuero inuitum, vt videtur, Platonem, plurium deorum cultum complexos veritum, aliena ista de diis protulisse apparet. Quæ vero a Mose & prophetis de vno Deo acceperat, cum referri oportere arbitraretur, arcane sibi ea exponenda esse censuit, sententiam suam veram religionem consectantibus insinuans. Magnopere namq; Dei ad Mosen dicto delectatus, *Ego sum* EXSISTENS *ille*, atque breuitate per participium prolatæ locutionis cum multa theoria (siue cõtemplatione) excepta, intellexit Deum æternitatem suam Mosæ ostendere volentem, *Ego sum* EXSISTENS *ille*, dixisse: dictione *Exsistens*, quæ vna Græcis est syllaba, ὤν, non vnum, sed tria significante atque complectente tempora, præteritũ, præsens & futurum. Sic etenim & Plato, *Quod exsistit*, de prolixo vsurpat tempore: at, *Numquã exsistit*, de futuro: *Numquam* enim non de præterito, sicut nonnulli putant, sed de futuro dictũ est tempore. nam & ab externis atq; profanis hoc accurate est expensum. Proinde velut interpretari & exponere ignorantibus, quod arcanis verbis de æternitate Dei per participium prolatum est, volens Plato, ita ad verbum scripsit: *Ipse sane Deus, sicuti & vetus verbum est, principium, finem & medium rerum omnium obtinet.* Hic Plato clare & aperte *Vetus verbum* Mosæ vocat legem: Mosæ quidem ille nominis, aconiti metu, mentionem non faciens, cuius doctrinam

Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, ἠδ' ἄρ' Ἑβραῖοι,
Αὐτογένητον ἄνακτα σεβαζόμενοι Θεὸν αὐτόν.

Πῶς οὖν ὁ Πλάτων Ὁμήρῳ μέμφεται τοὺς θεοὺς στρεπτοὺς εἶναι λέγοντι, καίτοι Ὁμήρου διὰ τὸ χρήσιμον τοῦτ' εἰρηκότος, ὡς ἔστι δῆλον ἀπ' αὐτῶν τῶν εἰρημένων; ἴδιον γὰρ τῶν δι' εὐχῆς καὶ θυσιῶν φιλανθρωπίας τυγχάνειν ἀξιούντων, τὸ παύεσθαι καὶ μεταγινώσκειν ἐφ' οἷς ἥμαρτον. οἱ γὰρ ἀμετάστρεπτον τὸ θεῖον οἰόμενοι εἶναι, οὐδαμῶς ἀφίστασθαι τῶν ἁμαρτημάτων προῄρηνται, οὐδὲν ὄφελος ἐκ τῆς μετανοίας ἕξειν οἰόμενοι. πῶς οὖν Ὁμήρου τοῦ ποιητοῦ καταγνοὺς ὁ φιλόσοφος Πλάτων, -- στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, εἰρηκότος, αὐτὸς τὸν τῶν θεῶν δημιουργὸν εἰσάγει οὕτω ῥᾳδίως τρεπόμενον, ὡς ποτὲ μὲν θεοὺς θνητούς, ποτὲ δὲ τοὺς αὐτοὺς ἀθανάτους εἶναι λέγειν; καὶ οὐ μόνον περὶ αὐτῶν, ἀλλὰ καὶ περὶ τῆς ὕλης, ἀφ' ἧς καὶ τοὺς δημιουργηθέντας θεούς, ὡς αὐτός φησι, γεγενῆσθαι ἀνάγκη, ποτὲ μὲν ἀγέννητον, ποτὲ δὲ γεννητὴν εἶναι λέγει, ἀγνοῶν ὅτι οἷς Ὁμήρῳ μέμφεται, τούτοις αὐτὸς περιπίπτων ἐλέγχεται, τὸν τῶν θεῶν δημιουργὸν οὕτω ῥᾳδίως τρέπεσθαι λέγων, καίτοι Ὁμήρου περὶ αὐτοῦ ἐναντία εἰρηκότος. ἔφη γὰρ αὐτὸν οὕτω περὶ ἑαυτοῦ λέγειν,

--- οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν,
Οὐδ' ἀτελεύτητόν γ', ὅ τι κεν κεφαλῇ κατανεύσω.

Ἀλλὰ ταῦτα μὲν ἄκων, ὡς ἔοικεν, ὁ Πλάτων, τοὺς τὴν πολυθεότητα ἀσπαζομένους δεδιώς, ἀλλόκοτα περὶ θεῶν διεξιέναι φαίνεται. ὅσα δὲ παρὰ Μωϋσέως καὶ τῶν προφητῶν περὶ ἑνὸς θεοῦ μεμαθηκώς, οἴεται δεῖν λέγειν, ταῦτα μυστικῶς προῄρηται λέγειν τοῖς θεοσεβεῖν βουλομένοις, τὴν ἑαυτοῦ σημαίνων δόξαν. ἀρεσθεὶς γὰρ τῷ ὑπὸ τοῦ θεοῦ πρὸς τὸν Μωϋσέα εἰρημένῳ, Ἐγώ εἰμι ὁ ὤν, καὶ τὴν βραχεῖαν διὰ τῆς μετοχῆς εἰρημένην ῥῆσιν, μετὰ πολλῆς θεωρίας δεξάμενος, ἔγνω ὅτι τὴν ἀϊδιότητα αὐτοῦ ὁ θεὸς τῷ Μωϋσῇ σημῆναι θέλων, Ἐγώ εἰμι ὁ ὤν, ἔφη, τῆς ὢν συλλαβῆς οὐχ ἕνα μόνον δηλούσης, ἀλλὰ τοὺς τρεῖς, τόν τε παρεληλυθότα, καὶ τὸν ἐνεστῶτα, καὶ τὸν μέλλοντα. οὕτω γὰρ καὶ ὁ Πλάτων τὸ ὢν ἐπὶ τοῦ περιττοῦ μέμνηται χρόνου, Ὃν δὲ οὐδέποτε, λέγων. τὸ γὰρ Οὐδέποτε οὐκ ἐπὶ τοῦ παρεληλυθότος, ὡς οἴονταί τινες, ἀλλ' ἐπὶ τοῦ μέλλοντος εἴρηται χρόνου. τοῦτο γὰρ καὶ παρὰ τοῖς ἔξωθεν ἠκρίβωται. διὰ τοῦτο τοίνυν ὥσπερ ἑρμηνεῦσαι τοῖς ἀγνοοῦσι τὸ μυστικῶς περὶ τῆς ἀϊδιότητος τοῦ θεοῦ διὰ τῆς μετοχῆς εἰρημένον βουλόμενος ὁ Πλάτων, αὐταῖς λέξεσιν οὕτω γέγραφεν, Ὁ μὲν δὴ θεός, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν καὶ τελευτὴν καὶ μέσα τῶν πάντων ἔχων. ἐνταῦθα ὁ Πλάτων σαφῶς καὶ φανερῶς τὸν παλαιὸν λόγον, Μωϋσέως ὀνομάζει νόμον, τοῦ μὲν ὀνόματος Μωϋσέως, φόβῳ τοῦ κωνείου μεμνῆσθαι δεδιώς: ἠπίστατο γὰρ τὴν τοῦ ἀνδρὸς δι-

διδασκαλίαν, ἔχθραν Ἑλλήνων οὕτω· διὰ δὲ τῆς τοῦ λόγου παλαιότητος, τὸν Μωϋσέα σημαίνει σαφῶς. ὅτι δὲ παλαιὸς καὶ πρῶτος ὁ Μωϋσέως νόμος, καὶ ἐκ τῆς Διοδώρου καὶ τῶν λοιπῶν ἱστοριῶν ἱκανῶς ἡμῖν ἐν τοῖς προάγουσιν ἀποδέδεικται. πρῶτον γὰρ ἁπάντων νομοθέτην αὐτὸν Διόδωρος γεγενῆσθαι λέγει, μηδέπω μηδὲ τῶν τοῖς Ἕλλησι διαφερόντων εὑρεθέντων γραμμάτων, οἷς χρώμενοι τὰς ἑαυτῶν γεγράφασιν ἱστορίας. θαυμαζέτω δὲ μηδείς, εἰ Μωϋσῇ πεισθεὶς ὁ Πλάτων περὶ τῆς ἀϊδιότητος τοῦ Θεοῦ οὕτω γέγραφεν. εὑρήσεις γὰρ αὐτὸν μυστικῶς μετὰ τὸν ὄντως ὄντα
24 Θεὸν καὶ τοῖς προφήταις τὴν ἀληθῆ περὶ τῶν ὄντων ἀναφέροντα γνῶσιν. οὕτω γὰρ ἐν τῷ Τιμαίῳ περί τινων ἀρχῶν διαλεγόμενος γέγραφε, Τὴν δὲ πυρὸς ἀρχὴν, καὶ τῶν ἄλλων σωμάτων ὑποτιθέμεθα, κατὰ τὸν μετ' ἀνάγκης εἰκότα λόγον πορευόμενοι. τὰς δὲ ἔτι τούτων ἀρχὰς ὁ Θεὸς οἶδεν ἄνωθεν, καὶ ἀνδρῶν ὃς ἂν ἐκείνῳ φίλος ᾖ. ἄνδρας δὲ τίνας ἑτέρους τῷ Θεῷ φίλους εἶναι νομίζει, εἰ μὴ Μωϋσέα καὶ τοὺς λοιποὺς προφήτας; ὧν ταῖς προφητείαις ἐντυχών, καὶ τὸν περὶ κρίσεως παρ' αὐτῶν μεμαθηκὼς λόγον, ἐν τῷ πρώτῳ τῆς Πολιτείας λόγῳ οὕτω προαναφωνεῖ λέγων, Ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ φόβος καὶ φροντὶς περὶ ὧν ἐν τῷ πρόσθεν οὐκ εἰσῄει. οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν ᾅδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν, μὴ ἀληθεῖς ὦσι. καὶ αὐτὸς ἤτοι ὑπὸ τῆς τοῦ γήρως ἀσθενείας, ἢ καὶ ὥσπερ [ἤδη] ἐγγυτέρω ὢν τῶν ἐκεῖ, μᾶλλόν [τι] καθορᾷ αὐτά. ὑποψίας γοῦν καὶ δείματος μεστὸς γίνεται, καὶ ἀναλογίζεται ἤδη, καὶ σκοπεῖ εἴ τινά τι ἠδίκησεν. Ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα, καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει, καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἄδικον ἑαυτῷ ξυνειδότι, γλυκεῖα ἐλπὶς ἀεὶ πάρεστι, καὶ ἀγαθὴ γηροτρόφος, ὥσπερ καὶ Πίνδαρος λέγει. χαριέντως γάρ τοι, ὦ Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν ὁσίως καὶ δικαίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος ξυναορεῖ ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ. καὶ ταῦτα μὲν ἐν τῷ πρώτῳ τῆς Πολιτείας γέγραφε λόγῳ· ἐν δὲ τῷ δεκάτῳ σαφῶς καὶ φανερῶς, ἃ παρὰ τῶν προφητῶν περὶ κρίσεως μεμάθηκε, ταῦτα οὐχ ὥσπερ παρ' αὐτῶν μεμαθηκώς, διὰ τὸ πρὸς Ἕλληνας δέος, ἀλλ' ὡς παρά τινος, ὡς αὐτῷ πλάττειν ἔδοξεν, ἐν πολέμῳ ἀναιρεθέντος, καὶ δωδεκαταίου μέλλοντος θάπτεσθαι, καὶ ἐπὶ τῆς πυρᾶς κειμένου, ἀναβιώσαντός τε καὶ τὰ ἐκεῖ διηγουμένου ἀκηκοώς, αὐταῖς λέξεσιν οὕτω γέγραφεν, Ἔφη γὰρ δὴ παραγενέσθαι ἐρωτωμένῳ ἑτέρου ὑπὸ ἑτέρου, ὅπου [ἂν] εἴη Ἀρδιαῖος ὁ μέγας. ὁ δὲ Ἀρδιαῖος οὗτος, τῆς Παμφυλίας ἔν τινι πόλει τύραννος ἐγεγόνει, γέροντα πατέρα ἀποκτείνας, καὶ πρεσβύτερον ἀδελφόν, καὶ

Græcis sciebat plane esse aduersam: vetustate autem verbi, Mosen manifesto designans. Porro Mosæ legem antiquissimam, primamque adeo fuisse, ex Diodori quoque & reliquorum historiis satis superque demonstratum est. Primum enim eum omnium legislatorem Diodorus fuisse testatur, cum nondum Græcorum inuentæ essent litteræ, quibus illi suas perscripserunt historias. Minime vero mirum esse cuiquam videri debet, a Mose persuasum Platonem, ad hunc modum ista de æternitate Dei scripsisse. Inuenies namq; eum tecte, secundum ipsum vere exsistentem Deum, etiam prophetis veram rerum quæ exstant deferre cognitionem. Sic enim in Timæo de principiis quibusdam verba faciens, scripsit: *Ignis quidem causam & principium, atq; aliorum item corporum ponimus, quam necessitas expressit; verisimilem sequentes rationem. Horum autem insuper causas & principia Deus, qui sursum est, nouit, & qui illi cari sunt viri.* Quos vero tandem ille alios *Deo caros* esse censet viros, nisi Mosen & prophetas cæteros? quorum vaticiniis lectis, & doctrina de iudicio ex eis percepta, in primo de Republ. libro ad hunc modum promulgat, dicens: *Cum iam eo quispiam appropinquat, vt se moriturum esse putet, inuadit eum de vita sua timor & solicitudo, quæ antea non subiit. Quæ namq; de inferis feruntur fabulæ, quod de flagitiis hic patratis pœnas ibi pendere oporteat, in risum prius versa, tum anxie eius, ne ad rem conferantur & vera sint, versant animum. Atque ille, siue propter senectutis infirmitatem, seu propter eorum quæ istic sunt propinquitatem, magis ea perspicit: secumq; iam reputat & considerat, num quempiam aliqua affecerit iniuria: atq; ita, qui multa se in vita improbe commisisse inuenit, & e somno, perinde atq; pueri solent, identidem euigilat, meticulosusq; est & cum spe mala viuit: Cui vero nullius sibi conscia mens est iniuriæ, spes vsq; & vsq; adest suauis, senisq; altrix bona; quemadmodum & Pindarus ait. Perscitè namq; ille, ô Socrates, dixit, Qui sancte iusteq; vitam peragat, dulcem omnino senectutis altricem, cum eo, cor illius blande exhilarantem, spem consuescere, quæ maxime versatilem mortalium mentem gubernat.* Hæc in primo de Republ. scribit libro. In decimo autẽ liquido & aperte, quæ de iudicio a prophetis didicerat, ea non tanquã ab illis accepta, ob Græcorum metum, sed a quodam, sicuti ei fingere placitum fuit, qui in bello cæsus, cum duodecimo humari deberet die, in rogum positus reuixit, resq; apud inferos visas exposuit, audita, verbis huiusmodi ita commemorat: *Dixit enim* [Er] *affuisse se alteri ab altero interrogato, vbinam esset Aridæus ille magnus. Aridæus autẽ iste in ciuitate quadam Pamphyliæ tyrannus fuerat, qui patrem senem & fratrem se maiorem occiderat,*

multaq; praeterea impia facinora peregerat, uti ferebatur. Ait ergo, interrogatum illum respondisse: Non venit, neq; huc veniet. Conspeximus vero inter dira spectacula & istud. cum ostio inde redituri appropinquaremus, reliqua omnia iam perpessi: derepente siquidem & illũ, & alios prope eum plurimos tyrannos agnouimus. Erant ibi & priuati quidã, qui grauia admiserant scelera; quos se iam reuersuros esse opinantes, ostium non admittebat; sed rugiens reboabat, cum quis eorum quorum insanabilis esset malitia, neque dum sufficientes dedissent poenas, redire contenderet. Ibi viri feroces, aspectu truces & ignei apparentes, ubi mugitum audiuere, caeteros quidem segregatos abduxerunt: Aridaeum vero & alios, manibus pedibusq; & item capite obligatos, humiq; abiectos atq; excoriatos, iuxta viam foras protraxerunt, super aspalathis & sentibus torquentes & dilaniantes: atq; eis qui aderant, quorum facinorũ causa haec illi paterentur, promulgantes. Et cum multifariam omnisq; generis timorem ibi eis oblatum fuisse, tum illum omnium esse summum affirmauit, si reuertentibus ostium remugiat: sicuti contrà gratissimum cuiq; sit, silente illo inde euadere. & poenas quidem atq; supplicia einscemodi quaedam ibi esse; atq; item praemia beneficentiae ab illis prorsus diuersa. Hic mihi videtur nõ tantum de iudicio a prophetis, verumetiã de resurrectione, quam Graeci non credunt, accepisse doctrinam. Cum enim animã simul cum corpore iudicari dicit, nihil ille aliud significat, quã fidem se adhibere ei quae de resurrectione est, institutioni. Quomodo namque Aridaeus & reliqui, si corpus & caput, & manus & pedes, & pellem habens in terris reliquissent, tantum apud inferos sustinerent supplicium? haudquaquã certe animas caput, manus, pedes & pellem habere dicent. Sed enim Plato in Aegypto, postquam in prophetarum incidit testimonia, doctrina quoque de resurrectione corporis suscepta, cum corpore simul animam iudicari docet. Nec Plato id solum, sed etiam Homerus, eodẽ & ipse in Aegypto edoctus modo, Tityum itidem excruciari dicit. Ita enim in Necyomãtia (id est, apud inferos edita de Manibus diuinatione) apud Alcinoũ Vlysses commemorat:

Et Tityum vidi magna Tellure creatum,
Ingera qui per tota nouem protenditur vnus,
Et geminis crudum miluis depascitur epar.

Non animã videlicet, sed corpus ille epar habere ostendit. Eodem quippe modo & Sisyphum & Tantalum corpore supplicium sufferre scripsit. Quod autem Homerus in Aegypto fuerit, & multa quae ibi didicerat, in poesin suam transtulerit, abunde nos docet Diodorus historicorum praeclarissimus. Nam cum dicit cum in Aegypto esset audiuisse, Helenam nepenthes, nihil de bili atra habens, malorumque obliuionem inducens pharmacum, a Theonis coniuge Polydamna acceptum,

ἄλλα δὴ πολλὰ [τε] καὶ ἀνόσια εἰργασμένος, ὡς ἐλέγετο. ἔφη γοῦν τὸν ἐρωτώμενον εἰπεῖν, Οὐχ ἥκει, φάναι, οὐδὲ ἂν ἥξει δεῦρο. ἐθεασάμεθα γὰρ δὴ καὶ τοῦτο τῶν δεινῶν θεαμάτων· ἐπειδὴ ἐγγὺς τοῦ στομίου ἦμεν, μέλλοντες ἀνιέναι, καὶ τὰ ἄλλα πάντα πεπονθότες, ἐκεῖνόν τε κατείδομεν ἐξαίφνης, καὶ ἄλλους σχεδόν τι αὐτῶν τοὺς πλείστους τυράννους. ἦσαν δὲ καὶ ἰδιῶταί τινες τῶν μεγάλα ἡμαρτηκότων. οὓς οἰομένους ἤδη ἀναβήσεσθαι, οὐκ ἐδέχετο τὸ στόμιον, ἀλλ' ἐμυκᾶτο ὁπότε τις τῶν οὕτως ἀνιάτως ἐχόντων εἰς πονηρίαν, ἢ μὴ ἱκανῶς δεδωκὼς δίκην, ἐπιχειροίη ἀνιέναι. ἐνταῦθα ἄνδρες ἄγριοι, διάπυροι ἰδεῖν, παρεστῶτες, καὶ καταμανθάνοντες τὸ φθέγμα, τοὺς μὲν διαλαβόντες ἦγον, τὸν δὲ Ἀριδαῖον καὶ ἄλλους, συμποδίσαντες χεῖράς τε καὶ πόδας καὶ κεφαλὴν, καταβαλόντες καὶ ἐκδείραντες, εἷλκον παρὰ τὴν ὁδὸν ἐκτὸς, ἐπ' ἀσπαλάθων γνάμπτοντες, καὶ τοῖς παριοῦσι σημαίνοντες ὧν ἕνεκά τε [ταῦτα ὑπομένοιεν,] καὶ ὅτι εἰς τὸν τάρταρον ἐμπεσούμενοι ἄγοιντο. ἔνθα δὴ φόβων ἔφη πολλῶν καὶ παντοδαπῶν σφίσι γεγονότων, τοῦτον ὑπερβάλλειν [τὸν φόβον,] μὴ μυκήσαιτο τὸ στόμιον ὅτε ἀναβαίνοιεν, ὡς καὶ ἀσμενέστατον ἕκαστον σιγήσαντος ἀναβῆναι. καὶ τὰς μὲν [δὴ] δίκας τε καὶ τιμωρίας τοιαύτας τινὰς εἶναι, καὶ αὖ τὰς εὐεργεσίας ταύταις ἀντιστρόφους. ἐνταῦθά μοι δοκεῖ ὁ Πλάτων οὐ μόνον τὸν περὶ κρίσεως παρὰ τῶν προφητῶν μεμαθηκέναι λόγον, ἀλλὰ καὶ τὸν περὶ τῆς ἀπιστουμένης παρ' Ἕλλησιν ἀναστάσεως. τὸ γὰρ μετὰ σώματος κρίνεσθαι τὴν ψυχὴν φῆσαι, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι τῷ περὶ τῆς ἀναστάσεως ἐπίστευσε λόγῳ· ἐπεὶ πῶς Ἀριδαῖος καὶ οἱ λοιποὶ τὸ ἔχειν σῶμα κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ δέρμα ὑπὲρ γῆς καταλιπόντες, τοιαύτην ὑπεῖχον ἐν ᾅδου τιμωρίαν; οὐ γὰρ δή που τὴν ψυχὴν κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ δέρμα ἔχειν φήσουσιν. ἀλλ' ἐν Αἰγύπτῳ ταῖς τῶν προφητῶν ἐντυχὼν μαρτυρίαις ὁ Πλάτων, καὶ τὴν περὶ τῆς τοῦ σώματος ἀναστάσεως δεξάμενος διδασκαλίαν, μετὰ τοῦ σώματος τὴν ψυχὴν κρίνεσθαι διδάσκει. καὶ οὐχ ὁ Πλάτων μόνον, ἀλλὰ καὶ Ὅμηρος ὁμοίως καὶ αὐτὸς ἐν Αἰγύπτῳ μαθὼν, τὸν Τιτυὸν ὁμοίως τιμωρεῖσθαι ἔφη. οὕτω γὰρ ἐν τῇ νεκυομαντείᾳ Ὀδυσσεὺς τῷ Ἀλκινόῳ διηγεῖσθαι ἔφη·

Καὶ Τιτυὸν εἶδον γαίης ἐρικυδέος υἱὸν
Κείμενον ἐν δαπέδῳ· ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα·
Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον.

ἧπαρ γὰρ οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ σῶμα ἔχειν δηλοῖ. τὸν αὐτὸν δὴ τρόπον καὶ Σίσυφον καὶ Τάνταλον μετὰ σώματος τὴν τιμωρίαν ὑπέχειν γέγραφεν. ὅτι δὲ Ὅμηρος ἐν Αἰγύπτῳ γέγονε, καὶ πολλὰ ὧν ἐκεῖ μεμάθηκεν, εἰς τὴν ἑαυτοῦ μετήνεγκε ποίησιν, ἱκανῶς διδάσκει ἡμᾶς Διόδωρος, ὁ τῶν ἱστοριογράφων ἐνδοξότατος. ἔφη γὰρ αὐτὸν ἐν Αἰγύπτῳ γενόμενον μεμαθηκέναι, ὅτι τὸ νηπενθὲς ἄχολόν τε κακῶν ἐπίληθες ἁπάντων φάρμακον ἡ Ἑλένη λαβοῦσα παρὰ τῆς Θῶνος γυναικὸς Πολυδάμνας,

εἰς τὴν

εἰς τὴν Σπάρτην ἐκόμισε. κἀκεῖνο τὸ φάρμακον ἔφη Ὅμηρος χρησαμένην τὴν Ἑλένην, παῦσαι τὸν ἐν τῇ παρουσίᾳ Τηλεμάχου παρὰ Μενελάου γενόμενον θρῆνον. καὶ χρυσῆν δὲ Ἀφροδίτην ὠνόμασεν ἐκ τῆς ἐν Αἰγύπτῳ ἱστορίας. ἔγνω γὰρ καὶ τέμενος χρυσῆς Ἀφροδίτης ἐν Αἰγύπτῳ λεγόμενον, καὶ πεδίον χρυσῆς Ἀφροδίτης ὀνομαζόμενον. Καὶ τοῦ χάριν τούτου γέγονε μνήμη νυνί; ἵνα δείξωμεν τὸν ποιητὴν καὶ τῶν ἀπὸ τῆς θείας τῶν προφητῶν ἱστορίας πολλὰ εἰς τὴν ἑαυτοῦ μεταβαλόντα ποίησιν· καὶ πρῶτον τῆς κοσμοποιίας ὑπὸ Μωϋσέως τὴν εἰρημένην ἀρχήν· οὕτω γὰρ Μωϋσῆς γέγραφεν, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα ἥλιον καὶ σελήνην καὶ ἀστέρας. Ταῦτα γὰρ ἐν Αἰγύπτῳ μαθὼν, καὶ τοῖς ὑπ' αὐτοῦ ἐν τῇ τοῦ κόσμου γενέσει γραφεῖσιν ἀρεσθεὶς, ἐν τῇ τοῦ Ἀχιλλέως ἀσπίδι τὸν Ἥφαιστον, ὥσπερ εἰκόνα τινὰ τῆς κοσμοποιίας κατασκευάσαι περιεσκεύασεν· οὕτω γὰρ γέγραφεν·

Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν·
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται:-

Καὶ τοῦ παραδείσου δὲ εἰκόνα τὸν Ἀλκίνου κῆπον σώζειν πεποίηκεν, ἀειθαλῆ τε αὐτὸν καὶ καρπῶν πλήρη διὰ τῆς εἰκόνος ἐπιδεικνύς. οὕτω γὰρ γέγραφεν·

Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα,
Ὄχναι, καὶ ῥοιαὶ, καὶ μηλέαι ἀγλαόκαρποι,
Συκαῖ τε γλυκεραὶ, καὶ ἐλαῖαι τηλεθόωσαι.
Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἐπιλείπει
Χείματος οὐδὲ θέρευς ἐπετήσιος, ἀλλ' ἀεὶ αὔρη
Ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει.
Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ·
Αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλὴ, σῦκον δ' ἐπὶ σύκῳ.
Ἔνθα δέ οἱ πολύκαρπος ἀλωὴ ἐρρίζωται·
Τῆς ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ
Τέρσεται ἠελίῳ, ἑτέρας δ' ἄρα τε τρυγόωσιν,
Ἄλλας δὲ τραπέουσι, πάροιθε δέ τ' ὄμφακές εἰσιν,
Ἄνθος ἀφιεῖσαι, ἕτεραι δ' ὑποπερκάζουσι:-

Ταῦτα τὰ ῥήματα οὐ φανερὰν καὶ σαφῆ μίμησιν τῶν ὑπὸ τοῦ πρώτου προφήτου Μωϋσέως περὶ τοῦ παραδείσου λεχθέντων δηλοῖ; εἰ δέ τις καὶ εἰς τὴν τοῦ πύργου ποίησιν ἀφορᾶν ἐθέλοι, δι' ἧς οἱ τὸ τηνικαῦτα ἄνδρες τὴν εἰς οὐρανὸν ἄνοδον δύνασθαι κατασκευάζειν ἑαυτοῖς ᾤοντο, εὑρήσει καὶ ταύτην ἱκανὴν δι' ἀλληγορίας μίμησιν ὑπὸ τοῦ ποιητοῦ διά τε Ὤτου καὶ Ἐφιάλτου γενομένην. οὕτω γὰρ καὶ ὁ ποιητὴς περὶ αὐτῶν ἔφη·

Οἵ ῥα καὶ ἀθανάτοισιν ἀπειλήτην ἐν Ὀλύμπῳ
Φυλόπιδα στήσειν πολυάϊκος πολέμοιο.
Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη:-

Ὁμοίως δὲ καὶ περὶ τοῦ ἀπ' οὐρανῶν κατενεχθέντος ἐχθροῦ τῆς ἀνθρωπότητος, ὃν διάβολον αἱ θεῖαι γραφαὶ καλοῦσιν, ἀπὸ τῆς πρώτης αὐτοῦ πρὸς τὸν ἄνθρωπον διαβολῆς, ταύτης τῆς προσηγορίας τυχόν-

Spartam secum attulisse: eiusq; medicamēti temperatura, eandem Homerus ait luctum a Menelao in præsentia Telemachi excitatum sopiuisse. *Auream* quoque *Venerem* Homerus dixit, Ægypto peragrata atque perspecta cognouit enim & lucū Veneris Aureæ ibi appellatum, & Aureæ Veneris campū. Cuius autem rei gratia hæc modo illata est mētio? vt ostēdamus, permulta esse a Poeta ex diuinis quoque Prophetarum libris in opus suum relata, ac primum conditi mundi a Mose operi suo præmissum initium. nam Moses ita scripsit: *In principio Deus fecit cælum & terram: deinde solem & lunam & stellas.* Hæc sane ille in Ægypto didicit: & scriptis eiusmodi in creatione mundi delectatus, vt Vulcanus in Achillis clypeo, veluti imaginem quandam mundi creationis exprimeret, instituit. Sic enim scripsit:

Hic cælum effinxit, terram, pelagúsq; profundum,
Et solem indefessum, & pleno sidere lunam,
Astraq; quis magni distincta est regia cæli.

Deinde vero, vt paradisi effigiem Alcinoi horti conseruarent, fecit, semper illum florētem, & frugum vbertate scatentem, per imaginem proponens, atque ita canens:

Fructus proueniunt ampli felicibus hortis.
Puniceis malum granis, pira, mitia poma,
Et gr auida ficus, & bacca pinguis oliua.
Non hac destituunt fœtus arbusta perennes,
Æstate aut bruma. Sic fertilis aura Fauoni
Fert florem, atq; vna producit in arbore pomum.
Namq; superstantq; piris pira, malaq; malis,
Ficubus & ficus, & bacca bacca perennis.
Consita quinetiam centena vinea fruge
Hic vuas late sub Phœbo torret aprico,
Illic maturas vindemias, vdus easdem
Parte alia calcat: gemmas ibi florida trudit,
Illic producit matura ad tempora botros.

Carmina hæc annon claram & apertam a principe propheta Mose de Paradiso dictorum verborum referūt imitationem? Quod si quis ad structuram etiā turris oculos conuertat, per quam se ętatis eius homines ascensum in cælum sibi parare posse putauerūt, inueniet & huius per allegoriam, locupletem æmulationem a Poeta in Oto & Ephialte expressam. ad hunc namque ille modū de eis memorat:

Qui bello conferre pedem cælestibus orsi,
Ipsis cum diuis ausi voluere minaci.
Suntq; adeo conati Ossam superaddere Olympo.
Pelion atq; Ossa, ascensum sibi ad astra parantes.

Cōsimiliter porro & de generis humani hoste e cælo deiecto, quem *diabolum* diuinæ vocant Scripturæ, a prima sua aduersus hominem calumnia & criminatione, appellatione huiusmodi illi imposi-

ta: si quis accuratius rẽ speculari velit, cõperiet quidem Poetã diaboli nomen non vsurpare, sed ex actionibus eius pessimis cognominationem illi aptã accõmodare. *Aten* enim (hoc est *Noxam*) Poeta illum appellans, e cælo, ab eo qui opinione eorum est, Deo deturbatum esse ait: perinde atque verborũ ab Esaia vate de illo dictorum probe meminisset. nam ita in Poemate suo scribit:

Arripit iratus crinito vertice Noxam,
Et iusiurandum verbis solennibus addit:
Stellantes numquam venturam postea ad oras
Noxam, quæ soleat cunctis simul vna nocere.
Dixit; & inuoluens dextra deiecit Olympo:
Illa cadens mox tellurem peruenit ad imam.

Quin & Platonem, secundum Deũ & Materiam, tertiũ principium Ideam seu Formam esse dicentem, non aliunde quam a Mose sententiæ talis occasionẽ sumpsisse apparet: nomine quidem *Ideæ* e Mosæ dictis accepto, sed non satis tum intellecto: quod a peritis edoctus non fuerit, nihil eorum quæ a Mose sunt dicta, extra arcanam theoriam & contemplationẽ intelligi clare posse. Siquidẽ Moses, pro eo atque de tabernaculo Deus cum eo loquutus fuerat, hæc verba scripsit: *Et facies mihi iuxta omnia quæcumq; tibi monstro in monte,* EXEMPLAR *tabernaculi.* Et rursum; *Et eriges tabernaculum iuxta Exemplar vasorum eius, atque ita facies.* Et iterum paulo post; *Ita sane facies, secundum* TYPVM *& figuram, quæ tibi in monte monstrata est.* Hæc cum legisset Plato, neque verba scripta cũ congruenti consideratione excepisset, arbitratus est prius ideam quandam discretam siue seiunctam, quam formam sensu cõprehensibilem exstitisse: quam & *Exemplar* eorũ quæ facta sunt, sæpenumero vocat; quod Mosæ de tabernaculo sic habeat scriptũ: *Secundum formam in monte tibi exhibitam facies illud.* Nec minus itidẽ in terra & cælo & homine lapsum eũ esse liquet. Quia enim Moses ita scripsit; *In principio fecit Deus cælum & terram*; ac deinceps hæc adiungit, dicens, *Terra autem erat non aspectabilis & incondita*: existimauit hanc, de qua ille ait, *Terra autem erat,* præexsistentẽ dici terram: quoniam Moses dixerat; *Terra autem erat non aspectabilis & incondita.* De qua vero dicit, *Fecit Deus cælum & terram*; eam illum designare putauit, quæ iuxta præexsistentẽ ideam a Deo sensibilis est creata. Non aliter autem & de cælo facto sensit, creatum hoc cælum, quod & *firmamẽtum* Moses nominauit, cõditum esse sensibile: alterum vero esse intelligẽtia comprehensibile. de quo propheta: *Cælum, inquit, cæli Domino; terram autem dedit filiis hominũ.* Cõsimiliter quoq; de homine er-

τα· καὶ εἴ τις ἀκριβῶς σκοπεῖν ἐθέλοι, εὑρήσει τὸν ποιητὴν τοῦ μὲν διαβόλου ὀνόματος οὐδαμῶς μεμνημένον, ἐκ δὲ τῆς κακίστης αὐτοῦ πράξεως τὴν ὀνομασίαν πεποιημένον· ἄτην γὰρ αὐτὸν ὁ ποιητὴς ὀνομάζων, ὑπὸ τοῦ κατ᾽ αὐτοὺς Θεοῦ καθῃρῆσθαι αὐτὸν ἐκ τοῦ οὐρανοῦ λέγει, ὥσπερ ἀκριβῶς τῶν ὑπὸ Ἡσαΐου τοῦ προφήτου περὶ αὐτοῦ εἰρημένων μεμνημένος ῥητῶν· οὕτως ἐν τῇ ἑαυτοῦ ποιήσει γέγραφεν·

Αὐτίκα δ᾽ εἷλ᾽ Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μήποτ᾽ ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
Αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὣς εἰπὼν, ἔρριψεν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
Χειρὶ περιστρέψας· τάχα δ᾽ ἵκετο ἔργ᾽ ἀνθρώπων:-

Καὶ Πλάτων δὲ μετὰ τὸν Θεὸν καὶ τὴν ὕλην, τὸ εἶδος τρίτην ἀρχὴν εἶναι λέγων, οὐκ ἄλλοθέν ποθεν, ἀλλὰ παρὰ Μωϋσέως τὴν πρόφασιν εἰληφὼς φαίνεται, τὸ μὲν τοῦ εἴδους ὄνομα ἀπὸ τῶν Μωϋσέως μεμαθηκὼς ῥητῶν, οὐ διδαχθεὶς δὲ τηνικαῦτα παρὰ τῶν εἰδότων ὅτι οὐδὲν ἐκτὸς μυστικῆς θεωρίας τῶν ὑπὸ Μωϋσέως εἰρημένων, σαφῶς γινώσκειν ἐστὶ δυνατόν. γέγραφε γὰρ Μωϋσῆς ὡς τοῦ Θεοῦ περὶ τῆς σκηνῆς πρὸς αὐτὸν εἰρηκότος, οὕτως, Καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα ἐγὼ δεικνύω σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς:- καὶ πάλιν, Καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ παράδειγμα πάντων τῶν σκευῶν αὐτῆς, καὶ οὕτως ποιήσεις:- καὶ αὖθις μικρὸν ὕστερον, Οὕτως ἄρα ποιήσεις κατὰ τὸν τύπον, τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει:- Τούτοις οὖν ἐντυχὼν ὁ Πλάτων, καὶ οὐ μετὰ τῆς προσηκούσης θεωρίας δεξάμενος τὰ γεγραμμένα ῥητὰ, ᾠήθη εἶδός τι χωριστὸν προϋπάρχειν τοῦ αἰσθητοῦ· ὃ καὶ παράδειγμα τῶν γινομένων ὀνομάζει πολλάκις· ἐπειδὴ τὸ Μωϋσέως οὕτω περὶ τῆς σκηνῆς σημαίνει γράμμα, Κατὰ τὸ εἶδος τὸ δειχθέν σοι ἐν τῷ ὄρει, οὕτω ποιήσεις αὐτό. Ὁμοίως 17 δὲ καὶ ἐπὶ τῆς γῆς, καὶ τοῦ οὐρανοῦ, καὶ τοῦ ἀνθρώπου σφαλεὶς φαίνεται· καὶ τούτων γὰρ ἰδέας εἶναι εἴρηται. ἐπειδὴ γὰρ Μωϋσῆς οὕτω γέγραφεν, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν:- εἶτα παρ᾽ αὐτὰ συνάπτει λέγων, Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος:- ᾠήθη ὅτι ταύτην μὲν περὶ ἧς ἔφη, Ἡ δὲ γῆ ἦν, τὴν προϋπάρχουσαν εἰρῆσθαι γῆν. ἐπειδὴ Μωϋσῆς ἔφη, Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος:- ταύτην δὲ περὶ ἧς λέγει, Ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ᾠήθη ταύτην λέγειν αὐτὸν τὴν κατὰ τὸ προϋπάρχον εἶδος ὑπὸ τοῦ Θεοῦ γινομένην αἰσθητήν. Ὁμοίως δὲ καὶ περὶ τοῦ γινομένου οὐρανοῦ, τὸν μὲν πεποιημένον οὐρανὸν, ὃν καὶ στερέωμα ὠνόμασε, τοῦτον εἶναι τὸν γινόμενον αἰσθητόν· ἕτερον δὲ εἶναι τὸν νοητόν, περὶ οὗ ὁ προφήτης ἔφη, Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ· τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων:- Καὶ περὶ ἀνθρώπου δὲ ὁμοίως, πρότερον μὲν ὀνόματος

ματος ἀνθρώπου μέμνηται Μωϋσῆς, εἶτα μετὰ τὰ πολλὰ τῶν κτισμάτων, περὶ πλάσεως ἀνθρώπου πεποίηται μνήμην, οὕτω λέγων, Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών:- ᾠήθη γοῦν τὸν μὲν πρότερον ὀνομασθέντα ἄνθρωπον προϋπάρχειν τοῦ γινομένου, τὸν δὲ ἐκ τῆς γῆς πλασθέντα ὕστερον, κατὰ τὸ προϋπάρχον εἶδος γεγενῆσθαι. Ὅτι δὲ ἐκ γῆς ἄνθρωπος πέπλασται, καὶ Ὅμηρος ἀπὸ τῆς παλαιᾶς καὶ θείας ἱστορίας μαθὼν τῆς λεγούσης, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, τὸ ἄψυχον τοῦ Ἕκτορος σῶμα κωφὴν ὀνομάζει γῆν. ἔφη γάρ που κατὰ τοῦ Ἀχιλλέως μετὰ θάνατον τὸ τοῦ Ἕκτορος σύροντος σῶμα,

Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων:-

καὶ αὖθις ἀλλαχοῦ που τὸν Μενέλαον λέγοντα τοῖς μὴ ἑτοίμως δεξαμένοις τὴν τοῦ Ἕκτορος περὶ τῆς μονομαχίας πρόσκλησιν,

Ἀλλ᾽ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε:-

διὰ ὑπερβάλλουσαν ὀργήν, εἰς τὴν ἀρχαίαν καὶ πρώτην αὐτοὺς ἐκ γῆς ἀναλύων πλάσιν. Ταῦτα ἀπὸ τῶν ἀρχαίων ἱστοριῶν ἐν Αἰγύπτῳ μεμαθηκότες Ὅμηρος καὶ Πλάτων, ἐν τοῖς ἑαυτῶν γεγράφασι λόγοις. ἐπεὶ πόθεν ἄλλοθεν μεμαθηκὼς ὁ Πλάτων πτηνὸν ἅρμα ἐλαύνειν τὸν Δία ἐν οὐρανῷ λέγει, εἰ μὴ ταῖς τῶν προφητῶν ἐντυχὼν ἱστορίαις; ἔγνω γὰρ ἀπὸ τῶν τοῦ προφήτου ῥητῶν περὶ τῶν Χερουβὶμ οὕτως εἰρημένον, Καὶ ἐξῆλθε δόξα Κυρίου ἀπὸ τοῦ οἴκου, καὶ ἐπέβη ἐπὶ Χερουβίμ· καὶ ἀνέλαβε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ δόξα Κυρίου Θεοῦ Ἰσραὴλ ἦν ἐπ᾽ αὐτοῖς ὑπεράνωθεν:- ἔνθεν ὁρμώμενος ὁ μεγαλόφωνος Πλάτων, μετὰ πολλῆς παρρησίας βοᾷ λέγων, Ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων:- ἐπεὶ πόθεν ἄλλοθεν μεμαθηκὼς ταῦτα ἔγραψεν, εἰ μὴ παρὰ Μωϋσέως καὶ τῶν προφητῶν; πόθεν δὲ τὴν πρόφασιν εἰληφὼς, καὶ ἐν τῇ πυρώδει οὐσίᾳ τὸν Θεὸν εἶναι ἔφη; οὐκ ἀπὸ τῆς τρίτης τῶν Βασιλειῶν ἱστορίας; ἔνθα γέγραπται, Οὐκ ἐν τῷ πνεύματι Κύριος, καὶ μετὰ τὸ πνεῦμα συσσεισμός· οὐκ ἐν τῷ συσσεισμῷ Κύριος, καὶ μετὰ τὸν συσσεισμὸν πῦρ· οὐκ ἐν τῷ πυρὶ Κύριος, καὶ μετὰ τὸ πῦρ, φωνὴ αὔρας λεπτῆς:- ἀλλ᾽ ἐκεῖνα μὲν κατ᾽ ἀναγωγὴν μετὰ πολλῆς θεωρίας τοῖς θεοσεβέσι νοεῖν ἀναγκαῖον· Πλάτων δὲ οὐ μετὰ τῆς προσηκούσης θεωρίας προσέχων τοῖς ῥητοῖς, ἐν τῇ πυρώδει οὐσίᾳ τὸν Θεὸν εἶναι ἔφη. Εἰ δέ τις καὶ περὶ τῆς ἄνωθεν παρὰ Θεοῦ κατιούσης ἐπὶ τοὺς ἁγίους ἄνδρας δωρεᾶς, ἣν πνεῦμα ἅγιον ὀνομάζουσιν οἱ ἱεροὶ προφῆται, ἀκριβῶς σκοπεῖν
28 ἐθέλοι, εὕροι ἂν καὶ ταύτην ὑπὸ Πλάτωνος ἐν τῷ πρὸς Μένωνα λόγῳ δι᾽ ἑτέρου ὀνόματος κηρυττομένην. δεδιὼς γὰρ τὴν τοῦ Θεοῦ δωρεὰν πνεῦμα ἅγιον ὀνομάζειν, ἵνα μὴ δόξῃ, τῇ τῶν προφητῶν ἑπόμενος διδασκαλίᾳ, ἐχθρὸς Ἑλλήνων εἶναι, τὸ μὲν ἄνωθεν αὐτὸ παρὰ Θεοῦ κατιέναι ὁμολογεῖ, οὐ μὴν

rauit. Hominis quippe primum facit mẽtionem Moses. deinde post alias multas creaturas, de formatione eius cõmemorat, ita dicẽs: *Et fecit Deus hominem, puluere a terra sumpto.* Opinatus est ergo Plato, priore loco nominatum hominem, prius quã creatum exstitisse: eum autem qui posterius e terra conditus est, iuxta præexsistẽtem formam esse factum. Porro quod e terra conformatus sit homo, Homerus id quoque ex veteri & diuina cognouit historia; *Terra es, & in terram reuerteris,* dicẽte. Exanimum is Hectoris corpus *surdam* vocat *terram.* alicubi namq; contra Achillem, Hectoris post mortem corpus raptantem, dicit:

Insanus terram properabat lædere surdam.

Et alibi rursum, Menelaũ ad eos qui Hectoris ad singulare certamen prouocationem minus alacri animo accipiebant, loquentem facit:

At vos in terram cuncti redeatis, & vndam:

per exuberantem iram, in veterem & primam eos e terra habitudinem resoluens. Hæc ex vetustis in Ægypto historiis percepta, Homerus & Plato in libris conscripsere suis. Nũ vero aliunde institutus Plato, quam ex propheticarum lectione historiarum, *volucri Iouem in cælo curru vehi* affirmat? Vidit ille in Prophetæ responsis de Cherubim dictum illud: *Et exiuit e domo Gloria Domini, & ascendit super Cherubim; & eleuauerũt Cherubim alas suas, & rota cum eis, & gloria Dei Israel erat super eos.* Inde incitatus vocalis Plato, cum multa dicendi libertate exclamat dicens: *Magnus in cælo Iupiter volucrem regit currum.*

[*Iupiter in summo volucrem regit æthere currum*]

Enimuero vnde tandem alias, nisi a Mose & prophetis, hęc cognita perscripsit? Vnde occasionem accepit, qua moueretur vt in ignea essentia Deum esse diceret? annon ex tertio Regum siue Regnorum libro? vbi scriptum est: *Non in spiritu Dominus, & post spiritum commotio: non in commotione Dominus, & post commotionem ignis: non in igne Dominus, & post ignem vox auræ tenuis?* Verum ista cum prolixa contemplatione per sublimem cõsiderationem pios religiososq; viros mente percipere oportet. Plato autem verbis hisce non cum ea qua opus fuit speculatione inspectis, in ignea substantia Deum esse dixit. Quod si quis cælitus a Deo aduenientis sanctis hominibus donum, quem *Spiritum sanctum* sacri appellant vates, exquisite scrutari in animum inducat: inueniet & hunc a Platone in Menone sub alio nomine prædicatum. Veritus namque Dei donum & gratiam Spiritum sanctum appellare, ne hostili in Græcos animo, prophetarum doctrinam consectando videretur esse; illam quidem cælitus a Deo prouenire confitetur: non autem

Spiritum sanctum, sed *Virtutem* nominandam esse putauit. ita enim cum Menone in libro de Reminiscentia agens, [alias de Virtute] cum multis prius de virtute quæsiuit, doceri ne illa possit, an non doceri, sed vsu atque exercitatione obtineri: vtrumue neque hoc neque illo comprehendatur modo, sed natura aut alia quapiam ratione hominibus obueniat? hisce rem tandem decernit verbis, dicẽs: *Quod si nos in præsentia per totam hanc disputationẽ rite hoc & inuestigauimus, & diximus, virtus profectò neque natura neque doctrina, verum diuino munere, non sine mente obuenerit, quibus illa obuenit.* Hæc, vt puto, manifesto a prophetis de Spiritu sancto edoctum Platonem, in Virtutis appellationem trãstulisse patet. Nam non secus atque sacri vates, vnum eúdemque Spiritum in septem partiuntur spiritus, ipse quoque vnã eandemque virtutem in quatuor dispesci virtutes asserit: non ille quidem aliquam Spiritus sancti inferens mentionem, nihilominus tamen per allegoriam & inuersionem quandam, ea quæ de Spiritu sancto a prophetis sunt promulgata, aperte renũcians. Sic namque ad finem Menonis ait: *Ex instituta ista ratione, o Menon, apparet, diuina sorte nobis obuenire virtutem, quibus ea obuenit. Hoc ipsum vero, Quonam modo virtus obueniat, clarius inde sciemus, cum prius illud per se quærere, quid tandem sit virtus, studuerimus.* Videtis, quomodo cælitus adueniẽs donum, Virtutem tantum nominet: quæstione autem adhuc dignũ esse existimet, vtrum id Virtutem demum, an aliter appellare conueniat: Spiritum sanctũ aperte nominare veritus, ne prophetarum doctrinæ assecla esse videretur. Vnde vero eruditus Plato, tempus vna cum cælo creatũ esse didicit? ita enim scripsit: *Tempus ergo cũ cælo exstitit, vt, quæ simul orta sunt, simul quoque dissoluantur, cum aliquando dissolutio eorũ affuerit.* annon hoc ex diuinis Mosis scriptis intellexit? Cognouit enim temporis generationem e diebus & mẽsibus, & annis, causam & initium constitutionis sumpsisse. Itaque cũ primus dies post cælum creatus, principium temporis vniuersi præbuisset, (sic namque Moses scripsit: *In principio fecit Deus cælum & terram:* ac deinceps hæc subiunxit, dicens: *Et factus est dies vnus*) tamquam a parte tempus omne designans Plato, *diem* nominauit *tempus*: ne diei mentione facta, perinde atque Mosæ omnino sequeretur verba, apud Athenienses deferretur. Vnde autem de cæli etiam dissolutione opinione concepta, ita scripsit? annõ idipsum quoque ex sacris percepit vatibus, atque ab ipsis hoc sic dictũ esse est arbitratus? Iam si quis etiam rationem de statuis inquirat, vnde incitati qui primi deos vestros fecerunt, hominum eos formas obtinere intellexerint:

πνεῦμα ἅγιον, ἀλλ' ἀρετὴν ὀνομάζειν αὐτὸ ἠξίου· οὕτω γὰρ πρὸς τὸν Μένωνα ἐν τῷ περὶ ἀναμνήσεως λόγῳ, πολλὰ πρότερον περὶ τῆς ἀρετῆς ζητήσας, πότερόν ποτε διδακτὸν ἡ ἀρετὴ, ἢ οὐ διδακτὸν, ἀλλ' ἀσκητόν· ἢ οὔτε ἀσκητὸν, οὔτε μαθητὸν, ἀλλὰ φύσει παραγινόμενον τοῖς ἀνθρώποις, ἢ ἄλλῳ τινὶ τρόπῳ, ὕστερον αὐταῖς λέξεσιν οὕτως ἀποφαίνεται λέγων, Εἰ δὲ νῦν ἡμεῖς ἐν παντὶ τῷ λόγῳ τούτῳ καλῶς ἐζητήσαμέν τε καὶ λέγομεν, ἀρετὴ ἂν εἴη οὔτε φύσει, οὔτε διδακτὸν, ἀλλὰ θείᾳ μοίρᾳ παραγινομένη ἄνευ νοῦ, οἷς ἂν παραγίνηται:- ταῦτα, οἶμαι, σαφῶς παρὰ τῶν προφητῶν περὶ τοῦ ἁγίου πνεύματος μεμαθηκὼς Πλάτων, εἰς τὸ τῆς ἀρετῆς ὄνομα μεταφέρων φαίνεται. ὁμοίως γὰρ ὥσπερ οἱ ἱεροὶ προφῆται τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα εἰς ἑπτὰ πνεύματα μερίζεσθαι φασὶν, οὕτω καὶ αὐτὸς μίαν καὶ τὴν αὐτὴν ὀνομάζων ἀρετὴν, ταύτην εἰς τέσσαρας ἀρετὰς μερίζεσθαι λέγει· τοῦ μὲν ἁγίου πνεύματος οὐδαμῶς μνημονεύειν ἐθέλων, διὰ δέ τινος ἀλληγορίας τὰ ὑπὸ τῶν προφητῶν περὶ τοῦ ἁγίου πνεύματος εἰρημένα ἀπαγγέλλων σαφῶς. οὕτω γὰρ πρὸς τῷ τέλει τοῦ λόγου πρὸς τὸν Μένωνα ἔφη, Ἐκ μὲν τοίνυν τούτου τοῦ λογισμοῦ, ὦ Μένων, θείᾳ μοίρᾳ φαίνεται ἡμῖν παραγινομένη ἡ ἀρετὴ, οἷς ἂν παραγίνηται· τὸ δὲ σαφὲς περὶ αὐτοῦ εἰσόμεθα τότε, ὁποίῳ τινὶ τρόπῳ τοῖς ἀνθρώποις παραγίνεται ἡ ἀρετὴ, ὅταν πρότερον ἐπιχειρήσωμεν αὐτὸ καθ' αὑτὸ ζητεῖν, τί ποτ' ἐστὶν ἀρετή:- Ὁρᾶτε ὅπως τὴν ἄνωθεν κατιοῦσαν δωρεὰν, ἀρετὴν μόνον ὀνομάζει· ἔτι δὲ ζητήσεως ἄξιον εἶναι νομίζει, πότερόν ποτε ἀρετὴν, ἢ ἕτερόν τι αὐτὸ ὀνομάζεσθαι προσήκει, δεδιὼς αὐτὸ φανερῶς ἅγιον ὀνομάζειν πνεῦμα, ἵνα μὴ δόξῃ τῇ τῶν προφητῶν ἕπεσθαι διδασκαλίᾳ. Πόθεν δὲ μαθὼν ὁ Πλάτων, τὸν χρόνον μετ' οὐρανοῦ γεγενῆσθαι ἔγνω; οὕτω γὰρ γέγραφε, Χρόνος δ' οὖν μετ' οὐρανοῦ γέγονεν· ἵνα ἅμα γενόμενοι, ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις αὐτῶν γίγνηται:- οὐχὶ δὲ τοῦτο ἀπὸ τῆς θείας Μωϋσέως ἱστορίας μεμαθηκώς; ἔγνω γὰρ ὅτι ἡ τοῦ χρόνου γένεσις ἐκ τε ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν τὴν ἀρχὴν τῆς συστάσεως εἴληφεν. ὡς οὖν τῆς πρώτης ἡμέρας τῆς μετ' οὐρανὸν γενομένης, ἀρχὴν τοῦ παντὸς χρόνου παρεσχηκυίας, (οὕτω γὰρ Μωϋσῆς γέγραφεν, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν:- εἶτα παρ' αὐτὰ συνάπτει λέγων, Καὶ ἐγένετο ἡμέρα μία) ὡς ἀπὸ μέρους ὁ Πλάτων τὸν πάντα σημαίνων χρόνον, τὴν ἡμέραν ὀνομάζει χρόνον, ἵνα μὴ δόξῃ ἡμέρας μεμνημένος, ὡς πάντη τοῖς Μωϋσέως ἑπόμενος ῥητοῖς, παρ' Ἀθηναίοις κατηγορεῖσθαι. Πόθεν δὲ καὶ περὶ λύσεως οὐρανοῦ φαντασθεὶς οὕτω γέγραφεν; οὐχὶ καὶ τοῦτο παρὰ τῶν ἱερῶν προφητῶν μεμαθηκὼς, καὶ οὕτως εἰρῆσθαι παρ' αὐτῶν νομίσας; Εἰ δὲ καὶ τὸν περὶ τῶν ἀγαλμάτων τις ἐξετάζοι λόγον, πόθεν ὁρμώμενοι οἱ πρῶτοι τοὺς θεοὺς ὑμῶν κατασκευάσαντες, ἀνθρώπων μορφὰς ἔχειν αὐτοὺς ἐδόγμασαν,

εὑρήσετε καὶ τοῦτο ἀπὸ τῆς θείας ἱστορίας μεμαθηκότας· τῆς γὰρ Μωϋσέως ἱστορίας ἐκ προσώπου τοῦ Θεοῦ λεγούσης, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν, ὡς οὕτως εἰρῆσθαι τῶν ἀνθρώπων κατὰ τὴν μορφὴν ἐοικότων τῷ Θεῷ, οὕτω κατασκευάζειν τοὺς θεοὺς αὐτῶν ἤρξαντο, ἐκ τοῦ ὁμοίου τὸ ὅμοιον δημιουργεῖν οἰόμενοι. Τοῦ χάριν μνημονεῦσαι τούτων νυνὶ προήχθην, ὦ ἄνδρες Ἕλληνες;
19 ἵνα γνῶτε ὅτι τὴν ἀληθῆ θεοσέβειαν οὐ δυνατὸν παρὰ τούτων μανθάνειν τῶν μηδὲ ἐν οἷς ὑπὸ τῶν ἔξωθεν ἐθαυμάσθησαν ἴδιόν τι γράψαι δυνηθέντων, ἀλλὰ διά τινος ἐκείνης ἀλληγορίας ὑπὸ Μωϋσέως καὶ τῶν λοιπῶν προφητῶν ἐν τοῖς ἑαυτῶν συγγράμμασιν ἀπηγγελκότων. Καιρὸς οὖν ἥκει νῦν, πιστεύσαντας ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες, ἀπὸ τῶν ἔξωθεν ἱστοριῶν, ὅτι πολλῷ πρεσβύτατος Μωϋσῆς καὶ οἱ λοιποὶ προφῆται γεγόνασι πάντων τῶν παρ' ὑμῖν σοφῶν γεγενῆσθαι νομισθέντων, τῆς παλαιᾶς μὲν ὑμᾶς τῶν προγόνων ἀποστῆναι πλάνης, ἐντυχεῖν δὲ ταῖς θείαις τῶν προφητῶν ἱστορίαις, καὶ γνῶναι παρ' αὐτῶν τὴν ἀληθῆ θεοσέβειαν, οὐ λόγων ὑμῖν ἀπαγγελλόντων τέχνας, οὐδὲ πιθανῶς καὶ πειστικῶς λεγόντων· τοῦτο γὰρ ἴδιον τῶν τὴν ἀλήθειαν κλέπτειν ἐθελόντων· ἀλλὰ ἁπλῶς τοῖς ἐπιτυχοῦσιν ὀνόμασί τε καὶ ῥήμασι χρωμένων, καὶ ταῦθ' ὑμῖν ἀπαγγελλόντων, ἃ τὸ ἅγιον ἐπ' αὐτοὺς κατελθὸν πνεῦμα, τοὺς τὴν ἀληθῆ θεοσέβειαν μανθάνειν βουλομένους δι' αὐτῶν διδάσκειν προῄρηται. Πᾶσαν οὖν αἰδῶ, καὶ παλαιὰν ἀνθρώπων πλάνην, καὶ τὸν τῶν ὄγκων φαντασιώδη περιωσάμενοι ψόφον, δι' οὗ καὶ τὴν πᾶσαν ἀπόλαυσιν ἔχειν οἴεσθε, ἔχεσθε τῶν ὑμῖν συμφερόντων. Οὐδὲν γὰρ ἔσται παρ' ὑμῶν οὐδὲ περὶ τοὺς προγόνους ὑμῶν πλημμελές, εἰ εἰς τὴν ἐναντίαν τρέπεσθαι νυνὶ τῆς ἐξ ἐκείνων βούλεσθε πλάνης, οὓς εἰκὸς ἐν ᾅδου νυνὶ ἐκ προθέσμου μετάνοιαν μετανοοῦντας ὀδύρεσθαι· οἷς εἰ δυνατὸν ἦν ἐκεῖθεν δηλοῦν ὑμῖν τὰ μετὰ τὴν τελευτὴν τοῦδε τοῦ βίου συμβεβηκότα αὐτοῖς, ἔγνωτε ἂν ὅσων ὑμᾶς ἀπαλλάξαι κακῶν προὔθελον. Νυνὶ δὲ ἐπειδὴ μὴ δυνατὸν ἐν τῷ παρόντι μήτε παρ' ἐκείνων ὑμᾶς μαθεῖν, μήτε μὴν παρὰ τῶν ἐνταῦθα τὴν ψευδώνυμον ταύτην φιλοσοφίαν φιλοσοφεῖν ἐπαγγελλομένων, ἀκόλουθον ὑμῖν ἔσται λοιπόν, τὴν τῶν προγόνων ὑμῶν ἀπωσαμένους πλάνην, ἐντυγχάνειν ταῖς τῶν ἱερῶν ἀνδρῶν προφητείαις, μὴ δοκιμότητα φράσεως παρ' αὐτῶν αἰτοῦντας (οὐ γὰρ ἐν λόγοις, ἀλλ' ἐν ἔργοις τὰ τῆς ἡμετέρας θεοσεβείας πράγματα) καὶ μαθεῖν παρ' αὐτῶν τὰ αἴτια ὑμῖν τῆς αἰωνίου ζωῆς ἐσόμενα. Οἱ γὰρ μάτην τὸ τῆς φιλοσοφίας ἐπηρεάζοντες ὄνομα, οὐδὲν εἰδότες ἐλέγχονται, ὡς καὶ αὐτοὶ ὁμολογεῖν καὶ ἄκοντες ἀναγκάζονται, δι' ὧν οὐ πρὸς ἀλλήλους στασιάζουσι μόνον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ἄλλοτε ἄλλως ἐκτίθενται δόξας. Εἰ δὲ ἡ τἀληθοῦς εὕρεσις

deprehendet & hoc eos e diuina historia didicisse. Cũ nãq; Mosæ liber sub persona Dei dicat, *Faciamus hominẽ secundũ imaginẽ nostram & similitudinem*: perinde atque dictũ esset, *homines forma Deo similes esse*, eiusmodi deos suos fingere cœperunt; a simili simile se facere rati. Verum enimuero quanam de causa hæc nunc a me sunt cõmemorata? Vt intelligatis, viri Græci, neutiquam veram religionẽ ab istis disci posse, qui ne de his quidem rebus, vnde apud exteros in aliquam peruenere admirationem, proprii quidquam scribere potuerunt: sed quę a Mose & reliquis prophetis sunt tradita, ea per allegoriam & immutationem aliquam, in libris suis promulgarunt. Itaq; tempus iam est, viri Græci, profanis vos historiis persuasos, longe antiquiores Mosen & prophetas alios, omnibus qui apud vos habiti sunt Sapientes, fuisse; cum a prisco maiorum errore desciscere, tum diuinis prophetarum vacare libris, & ex eis veram addiscere religionem: non dicendi artes profitentibus, neque verbis ad permouẽdum atque persuadendum compositis vtentibus; (hoc enim eorum est proprium qui veritatem suffurari studio habent) verum qualiacumque simpliciter nomina & verba vsurpantibus, & eas vobis res annũciantibus, quas descendens in eos Spiritus sanctus religionem veram discere volentes, per illos docendos esse statuit. Proinde pudore omni, ac veteri hominum errore, nec non ad fucatum splẽdorem comparato tumoris strepitu abiecto, vnde etiam vos omnẽ studiorum vestrorum fructum & delectationem percipere putatis, quę vtilia vobis sunt, complectimini. Nullum enim vestrum in maiores vestros exstabit delictũ, si in contrariam illorum errori sentẽtiam pedibus ire voletis: quos par est apud inferos nunc seram nimis pœnitentiam pœnitentes, in graui esse luctu: ac si quo modo fieri posset vt vobis inde renunciare valerent, quæ sibi post huius vitæ finem acciderint, intelligeretis profecto quibus vos liberatum iri vellẽt malis. Porro cum in præsentia neque ab illis ea cognoscere vllo pacto possitis, neque ab istis qui se hic falso nominatam philosophiam istã philosophari profitentur: reliquum decętero fuerit, vt remisso maiorum vestrorũ errori nuncio, sanctorum virorum legatis vaticinia; (non splendorem orationis ab eis petentes: Quod nõ in dictis, sed in factis res nostræ religionis consistant) & ex ipsis ea percipiatis, per quę vitã possitis cõsequi sempiternã. Illi nãq; qui frustra philosophiæ per vim nomen inuolarũt, nihil scire coarguuntur; sicut & ipsimet vel inuiti confiteri coguntur, non per mutuas tantum inter se conflictationes, sed variantes etiam suas ipsorum pro se cuiusque opiniones. Quod si veri inuentio quidam propositus esse

dicitur eorum *philosophia*, quomodo qui veri cognitionem consequuti non sunt, philosophorum nomine sunt digni? Ac si sapientum apud ipsos sapiētissimus Socrates, cui etiam oraculum vestrum, quēadmodum ipsi dicitis, testimonium perhibet, dicens,

Sapientia omnes Socrates vincit viros,

se nihil scire fatetur: qui fit vt qui post eū fuere, cælestia quoq; scire se professi sint? Siquidem *Socrates* se propterea *sapiētem* dictum esse ait, quod cum homines alii quæ nesciunt, se scire assimulent, ipse non grauate, nihil scire confessione aperta præ se tulerit. Sic namque dicebat: *Exigua hac re sapientissimus esse sum visus, quod quæ nescio, ea me quoq; nescire puto.* Nemo autē existimet, per ironiam & dissimulationē, quasi aliud agentem Socratē, id quod persæpe in colloquiis facere solitus fuit, ignorantiam tū simulasse. nam postrema defensionis suæ verba, quę in carcerem iturus protulit, satis ostendūt, serio eum & vere ignorationem fassum esse. ita enim dixit: *Sed iam abeundi hora adest; mihi quidem, ad mortem; vobis autē, ad vitam longiorem. vtri vero nostrum ad rem vadant meliorem, omnibus præterquam Deo ignotum est.* Sedenim Socrates quidē, vltima hac in Areopago edita voce in carcerem properauit, soli Deo incertarum rerum scientiam tribuens. Successores autem eius, cum ne terrena quidē nosse possent, cælestia se scire, perinde atque vidissent, iactitant. Aristoteles certe, haud aliter quam si penitius diligentiusq; Platone illa cōtemplatus esset, non sicuti Plato in ignea essentia Deum esse; ita & ipse dixit: verū in æthereo quinto elemento illū esse pronunciauit. Atqui de his ille fidem sibi per orationis vim & pondus astruit, cum neq; Euripi Chalcidici naturam cognoscere posset: vnde propter ingēs probrum & pudorem, in mœrorem coniectus, morte vitam cōmutauit. Itaque nemo cui integra mēs est, salutem suam post istorum eloquētiam habeat: verum, iuxta veterem illam historiam, auribus cera obturatis, Sirenum suauem quidem, sed perniciosam effugiat pestem. Viri enim illi quos diximus, facundiam veluti escam quandam illecebrosam prætendentes, permultos sibi a recta religione abducendos esse statuerunt: eum qui primos homines plurium deorum cultum docere est ausus, imitati. Quibus vt ne obsecundetis, sed vt potius sacrorum virorum vaticinia legatis, etiam atque etiam rogo. Qua in re si quæ vobis tarditas adhuc, aut prisca maiorū vestrorū superstitio, quo minus sanctorū hominū prophetias euoluatis, vnde vnū eundēq; solū esse Deū discere possitis, quod primum est veræ pietatis documentum, obstaculo est: ei saltem, qui primum quidem vobis plurimæ diuinitatis sacra tradidit; postea vero vtilem atque necessariā palinodiā

ὅρος τις λέγεται παρ' αὐτοῖς φιλοσοφίας, πῶς οἱ τῆς ἀληθοῦς μὴ τυγχάνοντες γνώσεως, τοῦ τῆς φιλοσοφίας ὀνόματός εἰσιν ἄξιοι; εἰ γὰρ ὁ τῶν παρ' ὑμῖν σοφῶν σοφώτατος Σωκράτης, ᾧ καὶ τὸ χρηστήριον ὑμῶν, ὡς αὐτοί φατε, μαρτυρεῖ λέγον, Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος, ὁμολογεῖ μηδὲν εἰδέναι, πῶς οἱ μετ' αὐτὸν καὶ τὰ ἐν οὐρανοῖς ἐπαγγέλλονται εἰδέναι; Σωκράτης γὰρ ἑαυτὸν σοφὸν διὰ τοῦτ' εἰρῆσθαι ἔφη, ὅτι τῶν λοιπῶν ἀνθρώπων ἃ μὴ ἴσασι προσποιουμένων εἰδέναι, αὐτὸς οὐκ ὤκνει μηδὲν ὁμολογεῖν εἰδέναι. ἔφη γὰρ οὕτως, Ἔοικα γ' οὖν αὐτῷ τούτῳ τῷ σμικρῷ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι:- μηδεὶς δὲ οἰέσθω εἰρωνευόμενον ἄγνοιαν προσποιήσασθαι Σωκράτην, ἐπειδὴ πολλάκις ἐν τοῖς διαλόγοις εἰώθει τοῦτο ποιεῖν· ἡ γὰρ τελευταία ῥῆσις τῆς ἀπολογίας ἣν ἐπὶ τὸ δεσμωτήριον ἀπιὼν ἔφη, δηλοῖ μετὰ σπουδῆς αὐτὸν καὶ ἀληθείας τὴν ἄγνοιαν ὁμολογεῖν. ἔφη γὰρ οὕτως, Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν τεθνηξομένῳ, ὑμῖν δὲ βιωσομένοις. ὁπότεροι δὲ ἡμῶν ἐπὶ τὸ ἄμεινον πρᾶγμα ἔρχονται, ἄδηλον παντὶ πλὴν ἢ τῷ Θεῷ:- Ἀλλὰ Σωκράτης μὲν ταύτην ὑστάτην ἐν τῷ Ἀρείῳ πάγῳ φωνὴν ἀφείς, ἐπὶ τὸ δεσμωτήριον ὥρμησε, τῷ Θεῷ μόνῳ τὴν τῶν παρ' ἡμῖν ἀδήλων πραγμάτων ἀναφέρων γνῶσιν· οἱ δὲ μετ' αὐτὸν, μηδὲ τὰ ἐπὶ γῆς γνῶναι δυνάμενοι, τὰ ἐν οὐρανῷ ὡς ἑωρακότες εἰδέναι ἐπαγγέλλονται. ὁ γοῦν Ἀριστοτέλης, ὡς ἀκριβέστερον Πλάτωνος τὰ ἐν οὐρανοῖς ἑωρακὼς, οὐχ ὥσπερ ὁ Πλάτων ἐν τῇ πυρώδει οὐσίᾳ τὸν Θεὸν εἶναι λέγει, οὕτω καὶ αὐτὸς ἔφη, ἀλλ' ἐν τῷ αἰθερώδει πέμπτῳ στοιχείῳ εἶναι αὐτὸν ἀπεφήνατο· καὶ περὶ τούτων πιστεύεσθαι ἑαυτὸν διὰ δοκιμότητα φράσεως ἀξιῶν, οὐδὲ τὴν τοῦ Εὐρίπου φύσιν τοῦ ὄντος ἐν Χαλκίδι γνῶναι δυνηθεὶς, διὰ πολλὴν ἀδοξίαν καὶ αἰσχύνην λυπηθεὶς, μετέστη τοῦ βίου. Μηδεὶς οὖν τῶν εὖ φρονούντων προτέραν ἡγείσθω τῆς ἑαυτοῦ σωτηρίας τὴν τούτων εὐγλωττίαν, ἀλλὰ κατὰ τὴν παλαιὰν ἐκείνην ἱστορίαν, κηρῷ τὰ ὦτα φραξάμενος, τὴν ἐκ τῶν σειρήνων αὐτῶν ἐνοχλοῦσαν ἡδεῖαν φευγέτω βλάβην· οἱ γὰρ προειρημένοι ἄνδρες, ὥσπερ τι δέλεαρ τὴν εὐγλωττίαν προϊσχόμενοι, πολλοὺς ἀπάγειν τῆς ὀρθῆς θεοσεβείας πεπείρανται, μιμούμενοι τὸν τὴν πολυθεότητα τοὺς πρώτους ἀνθρώπους διδάξαι τολμήσαντα. οἷς μὴ πείθεσθαι ὑμᾶς ἀξιῶ, ἐντυγχάνειν δὲ ταῖς τῶν ἱερῶν ἀνδρῶν προφητείαις. εἰ δέ τις ὄκνος, ἢ παλαιὰ τῶν προγόνων ὑμῶν δεισιδαιμονία τέως ἐντυγχάνειν ὑμᾶς ταῖς τῶν ἁγίων ἀνδρῶν προφητείαις κωλύει, δι' ὧν δυνατὸν μανθάνειν ὑμᾶς ἕνα καὶ μόνον εἶναι Θεὸν, ὃ πρῶτον ἐστὶ τῆς ἀληθοῦς θεοσεβείας γνώρισμα, τῷ γοῦν πρότερον ὑμᾶς τὴν πολυθεότητα διδάξαντι, ὕστερον δὲ λυσιτελῆ καὶ ἀναγκαίαν παλινῳδίαν

& re-

ᾄσαι προσηλωμένῳ πείθητε Ὀρφεῖ, τοῦτ' εἰρηκότι ἃ μικρῷ πρόσθεν γέγραφε· καὶ τοῖς λοιποῖς, καὶ τοῖς τὰ αὐτὰ περὶ ἑνὸς Θεοῦ γεγραφόσι πείθητε. θείας γὰρ ὑπὲρ ὑμῶν προνοίας ἔργον γέγονε, τὸ καὶ ἄκοντας τούτους μαρτυρεῖν τὰ ὑπὸ τῶν προφητῶν περὶ ἑνὸς Θεοῦ εἰρημένα ἀληθῆ εἶναι, ἵνα παρὰ πάντων ὁ τῆς πολυθεότητος ἀθετούμενος λόγος ἀφορμὴν ὑμῖν παρέχῃ τῆς ἀληθοῦς γνώσεως. ἔστι δὲ ὑμῖν ῥᾳδίως τὴν ὀρθὴν θεοσέβειαν ἐκ μέρους παρὰ τῆς παλαιᾶς Σιβύλλης ἔκ τινος δυνατῆς ἐπιπνοίας διὰ χρησμῶν ὑμᾶς διδασκούσης, μανθάνειν, ποῦθ' ἅπερ ἐγγὺς εἶναι δοκεῖ τῆς τῶν προφητῶν διδασκαλίας. ταύτην δὲ ἐκ μὲν Βαβυλῶνος ὡρμῆσθαί φασι, Βηρώσου τοῦ τὴν Χαλδαϊκὴν ἱστορίαν γράψαντος θυγατέρα οὖσαν· εἰς δὲ τὰ μέρη τῆς Καμπανίας οὐκ οἶδ' ὅπως διαβᾶσαν, ἐκεῖ τοὺς χρησμοὺς ἐξαγορεύειν ἐν τῇ Κουμαῖ· οὕτω καλουμένῃ πόλει, ἓξ σημείοις διεστώσῃ Βαιῶν, ἔνθα τὰ θερμὰ τῆς Καμπανίας εἶναι συμβαίνει. ἐθεασάμεθα δὲ ἐν τῇ πόλει γενόμενοι καί τινα τόπον, ἐν ᾧ βασιλικὴν μεγίστην ἐξ ἑνὸς ἐξεσμένην λίθου ἔγνωμεν, πρᾶγμα μέγιστον, καὶ παντὸς θαύματος ἄξιον, ἔνθα τοὺς χρησμοὺς αὐτὴν ἀπαγγέλλειν οἱ ὡς τὰ πάτρια παρειληφότες παρὰ τῶν ἑαυτῶν προγόνων, ἔφασκον. ἐν μέσῳ δὲ τῆς βασιλικῆς ἐπεδείκνυσαν ἡμῖν τρεῖς δεξαμενὰς ἐκ τοῦ αὐτοῦ ἐξεσμένας λίθου· ὧν πληρουμένων ὕδατος, λούεσθαι αὐτὴν ἐν αὐταῖς ἔλεγον, καὶ στολὴν ἀναλαμβάνουσαν, εἰς τὸν ἐνδότατον τῆς βασιλικῆς βαδίζειν οἶκον ἐκ τοῦ αὐτοῦ ἐξεσμένον λίθου· καὶ ἐν μέσῳ τοῦ οἴκου καθεζομένην ἐπὶ ὑψηλοῦ βήματος καὶ θρόνου, οὕτω τοὺς χρησμοὺς ἐξαγορεύειν. Ταύτης δὲ τῆς Σιβύλλης ὡς χρησμῳδοῦ πολλοὶ μὲν καὶ ἄλλοι τῶν συγγραφέων μέμνηνται, καὶ Πλάτων ἐν τῷ Φαίδρῳ. δοκεῖ δέ μοι τοῖς ταύτης χρησμοῖς ἐντυχὼν ὁ Πλάτων, τοὺς χρησμῳδοὺς ἐνθεάζειν. ἑώρα γὰρ τὰ ὑπ' αὐτῆς πάλαι προειρημένα, ἔργοις πληρούμενα· καὶ διὰ τοῦτο θαυμάσας ἐν τῷ πρὸς Μένωνα λόγῳ, αὐταῖς λέξεσιν ἐπαινῶν τοὺς χρησμῳδούς, οὕτω γέγραφεν· „Ὀρθῶς ἄρα ἂν καλοῖμεν θείους τε αὐτοὺς οὓς δὴ νῦν λέγομεν χρησμῳδούς· οὐχ ἥκιστα φαῖμεν ἂν τούτους θείους εἶναι καὶ ἐνθουσιάζειν ἐπίπνους ὄντας, καὶ κατεχομένους ἐκ τοῦ Θεοῦ, ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα, μηδὲν εἰδότες ὧν λέγουσι· σαφῶς καὶ φανερῶς εἰς τοὺς Σιβύλλης ἀφορῶν χρησμούς. αὕτη γάρ, οὐχ ὥσπερ οἱ ποιηταί, καὶ μετὰ τὸ γράψαι τὰ ποιήματα εἶχεν ἐξουσίαν διορθοῦσθαι, καὶ ἐπιξέειν μάλιστα διὰ τὴν τῶν μέτρων ἀκρίβειαν· ἀλλ' ἐν μὲν τῷ τῆς ἐπιπνοίας καιρῷ, τὰ τῆς προφητείας ἐπλήρου· παυσαμένης δὲ τῆς ἐπιπνοίας, ἐπέπαυτο καὶ ἡ τῶν εἰρημένων μνήμη. τοῦτ' οὖν αἴτιον τοῦ μὴ πάντα τὰ μέτρα τῶν ἐπῶν τῆς Σιβύλλης σώζεσθαι. αὐτοὶ γὰρ ἐν τῇ πόλει γενόμενοι,

& recantationem canendam sibi esse censuit, vtpote qui ea quæ paulo ante scripsi dixerit, obsequimini Orpheo, atque item aliis, qui eadem de vno & singulari perscripsere Deo. Diuinæ namque prouidentiæ de nobis hoc opus fuit, vt illi vel ingratiis ea quæ a prophetis de vno Deo sunt dicta, testimonio suo vera esse comprobarent; vt ab omnibus de diis multis abrogata doctrina, veræ cognitionis vobis præberetur opportunitas. Perfacile autem vobis erit, rectam religionem ex parte aliqua, & ea quæ proxime ad prophetarum accedunt doctrinam, a veteri Sibylla ex afflatu quodam mirifico per sortes ac responsa vos docente percipere. Hanc Babylone ortam, Berosi, qui Chaldaicam historiam scripsit, filiam, ad Cāpaniæ oras nescio quomodo peruenisse ferunt; vbi respōsa dedit, in vrbe cui Cumæ nomē est, sexto a Baiis (qui locus thermas Cāpanas habet) lapide. Vidimus sane, ea in vrbe cum essemus, locum quēdam; vbi basilicam ingētem vno fabrefactam saxo cōspeximus; rē profecto maximam & admiratione omni dignissimā: vbi oracula eā edidisse, qui res patrias a maiorib. suis quasi per manus traditas acceperāt, affirmabāt. In media aūt basilica nobis illi ostenderūt tria solia ex eodē excisa lapide; quib. aqua repletis lauisse ibi eam, & stola sumpta in penitissimam se basilicæ ædem eodem exstructā saxo abdere, atq; in media ea ęde su per sublimiore gradu & throno cōsidere solitam, & sortes ad eum modum promulgasse dixerunt. Huius Sibyllæ tamquam fatidicæ cum permulti alii meminere scriptores, tum etiam Plato in Phædro. Mihi certe quidem is videtur, cum in illius vaticinia incidisset, vates diuinitate donasse. Videbat enim prædictiones eius ad rem conferri: ac proinde admiratione ductus, in libro ad Menonem fatidicos laudat, & ad verbum ita scribit: *Recte profecto Diuinos eos appellauerimus, quos modo vocamus Fatidicos & Vates; nec minus hos etiam [in republica administratione versantes homines] quam reliquos, atque insuper eos quoque dixerimus Diuinos esse, atque numine instigari afflatos, nec non a Deo agitari attonitos, qui res multas & magnas recte & vere dicunt, nihil eorum quæ loquuntur intelligentes*: manifesto & aperte ad carmina respiciens Sibyllæ. Huic enim haudquaquam, sicuti Poetis, etiā postquā poemata scripsere, facultas fuit corrigendi atque expoliēdi responsa sua, iuxta exquisitiorē numerorū & dimensionū carminis rationem: sed in ipso afflatus tēpore sortes illa suas explebat: & euanescēte instinctu ipso, simul quoq; dictorum memoria euanuit. Atq; hæc ipsa causa est, quamobrem non omnes carminis numeros Sibyllæ seruent oracula. Quin ipsi quoque, cum in vrbe ea essemus,

indicibus, qui hospites ad ea quæ visenda sũt ducere solent, ostẽdentibus, qui nobis loca etiã in quib. illa est vaticinata cõmõstrarũt, vidimus loculũ quendã ex ære elaboratũ, vbi reliquias eius seruari dicebãt. Insuper inter alia omnia quæ indices isti exposuerunt, illud quoq; fuit: a maiorib. se audiuisse, quod qui respõsa ab oraculo excipiebãt, quia tũ ab eruditione alieni fuissent, multoties in accuratiore numerorũ obseruatione errauerint: & proinde istam illi carminũ quorũdã incõcinnitatis attulerunt causam, quod cũ vates ipsa, mentis emotione & afflatu libera, dictorũ suorũ memoriã nõ retinuerit: tũ, qui oracula scripto mandabãt, propter imperitiã, numerorũ obseruandorũ accurata ratione exciderint. Quapropter Platonẽ in Sibyllæ oracula innuentẽ, de vatib. hoc dixisse cõstat, ita scribentẽ: *Cũ multas magnasq; res recte & vere dicunt, nihil eorũ quæ loquuntur intelligentes.* Porro cũ nõ in poeticis numeris neq; in ea quæ apud vos clara habetur eruditione, viri Græci, res veri cultus Dei sint sitæ: relicta deinceps carminũ & orationũ exquisita ratione, ad dicta Sibyllæ, citra contentionis studiũ, animũ aduertẽtes, cognoscite tandẽ, quorũ vobis illa bonorũ futura sit cõciliatrix, Seruatoris nostri IESV CHRISTI aduentũ disertis verbis clare prædicẽs: Qui cũ *Dei* sit *verbum*, virtute ac potẽtia ab eo indiscretũ, hominẽ, qui iuxta imaginẽ & similitudinẽ Dei conformatus est, assumpto, ad memoriam nos priscorũ parentũ nostrorũ religionis reuocauit. quam qui ex eis prognati sunt mortales relinquẽtes, inuidi dæmonis instructu, ad eorũ qui dicuntur, & non sunt, vtpote falsorũ deorũ, delapsi sunt cultũ. Quod si vos addubitatio aliqua cõturbat, quo minus creationẽ hominis credatis: eis dumtaxat fidẽ habete, quorũ vos auctoritatem sequi debere existimatis: ac scitote, oraculũ vestrũ a quopiam, vt hymnum & laudem omnipotentis ederet Dei rogatũ, sic illud in medio hymno cecinisse:

Quem primum finxit mortalem, dixit Adamum.

Atque hymnus hic a multis qui mihi noti sunt, asseruatur, ad eos coarguẽdos, qui omniũ testificatione cõfirmatæ veritati credere nolũt. Itaq; viri Græci, si falsam de eis qui non sunt diis imaginationẽ salute vestra antiquiorẽ non habetis: credite, sicut dixi, antiquissimæ & priscæ admodum Sibyllę, cuius libri in vniuerso exstãt orbe, de eis qui dicũtur, non sunt aũt, diis, mirifico quodã præpotentis Numinis afflatu sortib. vos datis docenti: de futuro autem Seruatoris nostri IESV CHRISTI aduẽtu, ac de reb. ab eo gerendis, liquido & aperte vaticinanti. Harum namque rerum cognitio pernecessaria fuerit, sacrorum virorũ prædictiones antecedens præmeditatio. Deniq; si quis opinetur ab antiquissimis quibusq;, sicuti apud vos nominati fuerũt, philosophis, de Deo discẽdã esse rationẽ, Acmonẽ is & Mercuriũ audiat: illum

παρὰ τῶν περιηγητῶν μεμαθήκαμεν, τῶν καὶ τοὺς τόπους ἐν οἷς ἐχρησμῴδει ἡμῖν ὑποδειξάντων, καὶ φακόν τινα ἐκ χαλκοῦ κατεσκευασμένον, ἐν ᾧ τὰ λείψανα αὐτῆς σώζεσθαι ἔλεγον. ἔφασκον δὲ μετὰ πάντων ὧν διηγοῦντο καὶ τοῦτο, ὡς παρὰ τῶν προγόνων ἀκηκοότες, ὅτι οἱ ἐκλαμβάνοντες τοὺς χρησμοὺς τηνικαῦτα, ἐκτὸς παιδεύσεως ὄντες, πολλαχοῦ τῆς τῶν μέτρων ἀκριβείας διήμαρτον· καὶ ταύτην ἔλεγον αἰτίαν εἶναι τῆς ἐνίων ἐπῶν ἀμετρίας, τῆς μὲν χρησμῳδοῦ μετὰ τὸ παύσασθαι τῆς κατοχῆς καὶ τῆς ἐπιπνοίας, μὴ μεμνημένης τῶν εἰρημένων, τῶν δὲ ὑπογραφέων δι' ἀπαιδευσίαν τῆς τῶν μέτρων ἀκριβείας ἐκπεπτωκότων. διὰ τοῦτο γοῦν τὸν Πλάτωνα, εἰς τοὺς τῆς Σιβύλλης ἀφορῶντα χρησμούς, περὶ τῶν χρησμῳδῶν τοῦτ' εἰρηκέναι δῆλον. ἔφη γὰρ οὕτως· "Ὅταν κατορθῶσι λέγοντες πολλὰ καὶ μεγάλα πράγματα, μηδὲν εἰδότες ὧν λέγουσι. Πλὴν ἀλλ' ἐπειδήπερ, ὦ ἄνδρες Ἕλληνες, οὐκ ἐν ποιητικοῖς μέτροις τὰ τῆς ἀληθοῦς θεοσεβείας πράγματα, οὐδὲ ἐν τῇ παρ' ὑμῖν εὐδοκιμούσῃ παιδείᾳ, ἀφέμενοι λοιπὸν τῆς τῶν μέτρων καὶ λόγων ἀκριβείας, τοῖς ὑπ' αὐτῆς εἰρημένοις ἀφιλονείκως προσέχοντες, γνῶτε πόσων ὑμῖν ἀγαθῶν αἰτία ἔσται, τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἄφιξιν σαφῶς καὶ φανερῶς προαγορεύουσα· ὃς τοῦ Θεοῦ ὑπάρχων λόγος ἀχώριστος δυνάμει, τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ πλασθέντα ἀναλαβὼν ἄνθρωπον, τῆς τῶν ἀρχαίων ἡμᾶς προγόνων ἀνέμνησε θεοσεβείας, ἣν οἱ ἐξ αὐτῶν γενόμενοι ἄνθρωποι καταλιπόντες, διδασκαλίᾳ βασκάνου δαίμονος, ἐπὶ τὴν τῶν μὴ θεῶν ἐτράπησαν θρησκείαν. Εἰ δέ τις ὄκνος ὑμῖν ἐνοχλεῖ πίστεως περὶ τῆς τοῦ ἀνθρώπου πλάσεως, πείθεσθε τούτοις, οἷς ἔτι προσέχειν οἴεσθε δεῖν, καὶ γνῶτε ὅτι τὸ παρ' ὑμῖν χρηστήριον, ἀξιωθὲν ὑπό τινος ὕμνον τοῦ παντοκράτορος ἐκθεῖναι Θεοῦ, οὕτως ἐν μέσῳ τοῦ ὕμνου ἔφη, ὅτι "πρῶτον πλάσας μερόπων, Ἀδὰμ δὲ καλέσας." καὶ τοῦτον σώζεσθαι τὸν ὕμνον παρὰ πολλοῖς ὧν ἴσμεν συμβαίνει, εἰς ἔλεγχον τῶν μὴ πείθεσθαι τῇ ὑπὸ πάντων μαρτυρουμένῃ ἀληθείᾳ βουλομένων. Εἰ τοίνυν, ὦ ἄνδρες Ἕλληνες, μὴ προτιμοτέραν ἡγεῖσθε τῆς ὑμῶν αὐτῶν σωτηρίας τὴν περὶ τῶν μὴ ὄντων θεῶν ψευδῆ φαντασίαν, πείθεσθε, ὥσπερ ἔφην, τῇ ἀρχαιοτάτῃ καὶ σφόδρα παλαιᾷ Σιβύλλῃ, ἧς τὰς βίβλους ἐν πάσῃ τῇ οἰκουμένῃ σώζεσθαι συμβαίνει, περὶ μὲν τῶν λεγομένων θεῶν, ὡς μὴ ὄντων, ἀπό τινος δυνατῆς ἐπιπνοίας διὰ χρησμῶν ὑμᾶς διδασκούσῃ· περὶ δὲ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μελλούσης ἔσεσθαι παρουσίας, καὶ περὶ πάντων τῶν ὑπ' αὐτοῦ γίνεσθαι μελλόντων σαφῶς καὶ φανερῶς προαναφωνούσῃ. ἔσται γὰρ ὑμῖν ἀναγκαῖον προγύμνασμα ἡ τούτων γνῶσις τῆς τῶν ἱερῶν ἀνδρῶν προφητείας. Εἰ δέ τις οἴοιτο παρὰ τῶν πρεσβυτάτων παρ' αὐτοῖς ὀνομασθέντων φιλοσόφων τὸν περὶ Θεοῦ μεμαθηκέναι λόγον, Ἄκμωνός τε καὶ Ἑρμοῦ ἀκουέτω·

Ἄμμωνος μὲν, ἐν τοῖς περὶ αὐτοῦ λόγοις πάγκρυφον τὸν Θεὸν ὀνομάζοντος· Ἑρμοῦ δὲ, σαφῶς καὶ „φανερῶς λέγοντος, Θεὸν νοῆσαι μέν ἐστι χαλεπὸν, „φράσαι δὲ ἀδύνατον, ᾧ καὶ νοῆσαι δυνατόν:- Πανταχόθεν τοίνυν εἰδέναι προσήκει, ὅτι οὐδαμῶς ἑτέρως περὶ Θεοῦ ἢ τῆς ὀρθῆς θεοσεβείας μανθάνειν οἷόν τε, ἢ παρὰ τῶν προφητῶν μόνον, τῶν διὰ τῆς θείας ἐπιπνοίας διδασκόντων ὑμᾶς.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ ΛΟΓΟΣ ΠΡΟΣ ἝΛΛΗΝΑΣ.

ΜΗ' ὑπολάβητε, ὦ ἄνδρες Ἕλληνες, ἀλόγιστον ἢ ἀνεπίκριτον εἶναί μου τὸν ἐκ τῶν ὑμετέρων ἐθῶν χωρισμόν. οὐδὲν γὰρ ἐν αὐτοῖς εὗρον ὅσιον ἢ θεοφιλές. αὐτὰ γὰρ τὰ τῶν ποιητῶν ὑμῶν συνθέματα, λύσσης καὶ ἀκρασίας ἐστὶ μνημεῖα. τῷ γὰρ ἐν παιδείᾳ παρ' ὑμῖν προύχοντι φοιτῶν τις, πάντων ἀνθρώπων ἐστὶν ἀργαλεώτατος. πρῶτον μὲν γάρ φασι τὸν Ἀγαμέμνονα τῇ τοῦ ἀδελφοῦ ἀκρασίᾳ ἐπιτεταμένῃ, λύσσῃ, καὶ ἀκατασχέτῳ ἐπιθυμίᾳ συνεργοῦντα, καὶ τὴν θυγατέρα πρὸς θυσίαν ἐκδοκήσαντα δοῦναι, καὶ πᾶσαν ταράξαι τὴν Ἑλλάδα, ἵνα ῥύσηται τὴν Ἑλένην, ἀπὸ λεπροῦ ποιμένος ἡρπασμένην. ὁπότε δὲ καὶ τοῦ πολέμου κατασχόντος αἰχμαλώτους ἦγαγον, αὐτὸς Ἀγαμέμνων ὑπὸ Χρυσηΐδος αἰχμάλωτος ἤγετο, πρὸς τὸν Θέτιδος παῖδα Βρισηΐδος ἕνεκεν ἔχθραν ἤρατο. αὐτὸς δὲ Πηληϊάδης, ὁ ποταμὸν πηδήσας, Τροίαν καταστρέψας, Ἕκτορα χειρωσάμενος, Πολυξένης ὁ ἥρως ὑμῶν δοῦλος ἦν, ὑπὸ Ἀμαζόνος νεκρᾶς νενίκητο. τὰ θεότευκτα ὅπλα ἀποδυσάμενος, νυμφικὴν στολὴν ἐνδυσάμενος, φίλτρον θῦμα ἐγίνετο ἐν τῷ τοῦ Ἀπόλλωνος νεῷ. ὁ γὰρ Ἰθακήσιος Λαερτιάδης ἐκ κακίας ἀρετὴν ἐνεπορεύσατο. ὅτι δὲ ἀγαθῆς φρονήσεως ἄμοιρος ἦν, ὁ κατὰ τὰς Σειρῆνας διάπλους ἐδήλωσεν, ὅτι μὴ ἠδυνήθη φρονήσει ἐμφράξαι τὴν ἀκοήν. ὁ Τελαμώνιος Αἴας, ὁ τὸ ἑπταβόειον φέρων σάκος, διὰ τὴν πρὸς Ὀδυσσέα περὶ τῶν ὅπλων κρίσιν ἡττηθεὶς, ὑπὸ μανίας ἡλίσκετο. ταῦτα παιδεύεσθαι οὐ θέλω. οὐ γὰρ τοιαύτης ἀρετῆς ἐπιδικάζομαι, ἵνα τοῖς Ὁμήρου μύθοις πείθωμαι. ἔστι γὰρ ἡ πᾶσα ῥαψῳδία Ἰλιάδος τε καὶ Ὀδυσσείας, ἀρχὴ καὶ τέλος γυνή. Ἀλλ' ἐπεὶ Ἡσίοδος μεθ' Ὅμηρον ἔργα τε καὶ ἡμέρας συνέγραψε τίς αὐτοῦ τῇ λήρῳ θεογονίᾳ συνθήσεται; φασὶ Κρόνον τὸν Οὐρανοῦ παῖδα, τῆς ἀρχῆς καθελεῖν τὸν πατέρα, καὶ τῶν σκήπτρων λαβέσθαι· καὶ διευλαβηθέντα τὸ ὅμοιον παθεῖν, τεκνοφαγεῖν ἑλέσθαι. τῇ δὲ τῶν Κουρήτων ἐπινοίᾳ τὸν Δία κλαπέντα καὶ λαθόντα, δεσμοῖς καθεῖρξαι τὸν πατέρα· καὶ διανείμασθαι, ὡς λόγος, Δία

illum quidem, in libris de eo suis, Deum πάγκρυφον, id est *prorsus occultum*, nominantem: hunc vero clare & manifeste dicentem: *Deum intelligentia comprehendere difficile est; eloqui autem impossibile, ei quoque cui intelligentia illum nosse sit possibile.* Vndequaque ergo & modis omnibus scire conuenit, nullo plane pacto aliter aut aliunde de Deo, vel de recta religione disci quidquã posse, quam a prophetis solis, qui diuina inspiratione afflati vos docẽt & instituũt.

EIVSDEM IVSTINI ORATIO AD GRÆCOS:

Henrico Stephano interprete.

NE existimate Græci nulla me cum ratione aut nullo cum iudicio a vestris ritibus desciuisse. Nihil enim in illis sanctum aut deo acceptum inueni. Illa siquidẽ ipsa quæ poetæ vestri composuerunt, rabiei & vinolẽtæ cuiusdam petulantiæ sunt monumẽta. Nam si quis ad eum qui apud vos doctrina excellit, discendi gratia accedat, in plures quam quisquam hominum difficultates delabitur. Primum enim dicunt, Agamemnonẽ, magnæ fratris libidini, rabiei, & effrẽni cupiditati auxiliantem, filiam ad sacrificium haud grauate dedisse, & totam Græciam turbasse, vt Helenam recuperaret, quæ a pastore rapta erat. Quum autem bello etiam superueniente captiuos abduxerunt, ipse Agamemnon a Chryseide captiuus abductus est, *&* aduersus Thetidis filium propter Briseidem inimicitias suscepit. Ipse autem Pelides, qui fluuium saltu transiliit, qui Troiam euertit, qui Hectorem in potestatem redegit, vester ille heros, Polyxenæ seruitutem seruiebat, ab Amazone mortua superatus erat: quum arma a deo fabricata exuisset, & vestem qualem sponsæ gerũt induisset, amoris conciliatrix victima in Apollinis templo fuit. At Ithacensis Laertiades, ex improbitate famam virtutis lucratus est. fuisse autem bonæ prudentiæ expertem, illa circa locũ vbi Sirenes erant nauigatio declarauit: quum prudentia aures obthurare non potuerit. Telamonius ille Aiax, septemplicis clypei gestator, iudicio quod de armis *Achillis* aduersus Vlyssem intenderat, superatus, furore corripiebatur. Hæc doceri nolo. nõ enim de tali virtute contendo, vt Homeri fabulis fidem præbeam. Est enim tota rhapsodia Iliadis & Odysseæ, principium ac finis Mulier. Sed quoniam post Homerum *fuit* Hesiodus, *qui* Opera & dies cõscripsit, quis nugaci eius Theogoniæ assentietur? Aiunt Saturnum Cæli filium imperiũ patri abrogasse, & sceptra cepisse: quumque ortus ei metus esset ne similia pateretur, in animũ induxisse liberos comedere. Sed Iouẽ, quũ Curetum solertia furto sublatus esset & latuisset, vinculis patrẽ cõstrinxisse: ac partitione, vt aiũt, facta, Iouẽ

quidem æthere potitum esse; Neptunum autem, profundo: at Plutonem inferos pro sua portione sortitum esse. Verum Pluto quidem Coren, *id est Proserpinam*, rapuit: & Ceres per deserta errans filiam quærebat. atque hãc fabulam in altũ ignis Eleusinius extulit. Alia autẽ ex parte Neptunus Melanippæ pudorem rapuit, dum illa aquaretur: quinetiã turba Nereidũ non paucarum abusus est: quarum nomina si commemoremus, magnam verborum multitudinem cõsumemus. Ad Iouem autẽ quod attinet, is multis modis adulter, in Antiope, vt satyrus: in Danae, vt aurum: in Europa, taurus erat: apud Ledã vero, alas sumebat. Nã Semeles amor, & eius petulantiam, & ipsius Semeles zelotypiam coarguit. At Ganymedem Phrygem (ceu ferũt) vt pincernæ officio fungeretur, rapuit. Ac Saturnii quidem ita se gesserunt. At vester ille Latoides, *id est Apollo*, qui magni est nominis, quum se artis vaticinandi peritum professus esset, seipsum mẽdacii conuictum reddidit. Daphnen enim quũ persequeretur, eam non est assequutus: & Æacidæ illum sciscitato mortem vaticinatus nõ est. Nam Mineruæ virile vitæ genus, Dionysi muliebre, Veneris meretricium taceo. Legite Ioui (Græci) legem aduersus eos latam qui parentem pulsant, & pœnam adulterio irrogatam, & pædicationis turpitudinem *docete*. Docete Mineruam & Dianã quæ sint mulierum opera; & Dionysum, quæ sint virorũ. Quid maiestate aliqua dignũ præstat mulier armis ornata? quid vir ille qui cymbala & corollas ac muliebrem vestem pro suo cultu habet, & cum mulierũ grege orgia celebrat? Nam trivesperum Alcidem certaminum Iouis filium: qui occidit leonem, & capita multa habentem hydram prostrauit. Verũ is qui aprum robore infatigabili præditũ morti dedit; qui aues hominum voratrices potuit volantes deturbare; qui canem tricipitem ex inferis sursum abduxit; qui Augiæ validum murũ purgare stercoribus potuit; qui tauros & ceruã interfecit, naribus ignem spirãtes, & fructum aureum ab ipso trunco accepit; qui serpentem venenum iaculantem confecit; (& Acheloum quam ob causam occiderit, fas non est dicere. & hospitum interfectorem Busirin) qui montes saltu trãsiliit, vt aquam acciperet quæ vocem articulatam edebat, sicut fama est: qui tam multa & talia tantaque facere potuit, is tamquam puerulus, aures suas personare strepitu cymbalorum, quæ satyri pulsabant, passus, & fœminæ amore superatus, se a Lyde ridente in nares cædi lætabatur. ac tandem, quum Nesseam tunicam exuere non potuisset, pyra aduersus seipsum structa, vitæ finem statuit. Deponat zelotypiam Vulcanus, & ne inuideat si, quum senex & claudus esset, odio haberetur, at Mars carus foret, qui iuuenis ac formosus erat. Vestri igitur dii, o Græci, præ libidine tales esse conuicti sunt; vestri autem heroes, effœminati. vt declararunt vestræ historiæ,

μὲν, τὸν αἰθέρα· Ποσειδῶνα δὲ, τὸν βυθόν· καὶ Πλούτωνα τὴν καθ᾽ ἅδου μοῖραν λαχεῖν. ἀλλ᾽ ὁ μὲν Πλούτων τὴν Κόρην ἥρπασε· ἡ δὲ Δήμητρα, ἀλωμένη κατὰ τὰς ἐρήμους, τὸ τέκνον ἐζήτει. καὶ τοῦτον τὸν μῦθον εἰς ὕψος ἤγαγε τὸ ἐν Ἐλευσῖνι πῦρ. πάλιν ὁ Ποσειδῶν Μελανίππην μὲν ᾔσχυνεν ὑδρευομένην, ὄχλῳ δὲ Νηρηΐδων οὐκ ὀλίγων κατεχρήσατο· ὧν τὰ ὀνόματα ἐὰν διηγώμεθα, πολὺ πλῆθος λόγων καταστρέψομεν. ὁ μὲν οὖν Ζεὺς, μοιχὸς πολλαχῇ, ἐπ᾽ Ἀντιόπῃ μὲν ὡς σάτυρος, καὶ Δανάῃ χρυσὸς, καὶ ἐπ᾽ Εὐρώπῃ ταῦρος ἦν· ἐπτέρωτο δὲ παρὰ Λήδᾳ. ὁ γὰρ Σεμέλης ἔρως, καὶ αὐτοῦ τὴν ἀκρασίαν ἤλεγξε, καὶ τὸν Σεμέλης τὸ ζῆλον. τὸν γὰρ Φρύγα Γανυμήδην, φασὶν, εἰς τὸ οἰνοχοεῖν ἀνήρπασε. καὶ ταῦτα μὲν οἱ Κρονίδαι ἐποίησαν. ὁ γὰρ μεγαλώνυμος ὑμῶν ὁ Λητοΐδης, ὁ μαντικὴν ἐπαγγελλόμενος, ἑαυτὸν ἤλεγξεν ὅτι ψεύδεται. Δάφνην ἐδίωκεν, ἣν οὐ κατέλαβε· καὶ τῷ ἐρομένῳ αὐτὸν Αἰακίδῃ σκεύοντι τὸν αὐτοῦ θάνατον οὐκ ἐμαντεύσατο. Ἀθηνᾶς γὰρ τὸ ἀνδρικὸν σιγῶ, καὶ Διονύσου τὸ θηλυκὸν, καὶ Ἀφροδίτης τὸ πορνικόν. Ἀνάγνωτε τῷ Διῒ, ἄνδρες Ἕλληνες, τὸν κατὰ πατραλοιῶν νόμον, καὶ τὸ μοιχείας πρόστιμον, καὶ τὴν παιδεραστίας αἰσχρότητα. διδάξατε Ἀθηνᾶν καὶ Ἄρτεμιν τὰ τῶν γυναικῶν ἔργα, καὶ Διόνυσον τὰ ἀνδρῶν. τί σεμνὸν ἐπιδείκνυται γυνὴ ὅπλοις κεκοσμημένη, ἀνὴρ δὲ κυμβάλοις καὶ στέμμασι καὶ ἐσθῆτι γυναικείᾳ καλλωπιζόμενος, καὶ ὀργιῶν σὺν ἀγέλῃ γυναικῶν; τὸν γὰρ τριέσπερον Ἀλκείδην, τὸν ἀγώνων ἡγήτορα ᾀδόμενον, τὸν τοῦ Διὸς υἱόν· ὃς κατέπεφνε λέοντα, καὶ πολυκράνου ὤλεσεν Ὕδραν. ὗν δὲ ἄγριον ἀκάματον ὁ νεκρώσας, ὄρνιθας δ᾽ ἀνδροβόρους ἱπταμένας καθελεῖν ὁ δυνηθεὶς, καὶ κύνα τρικάρηνον ἐξ ἅδου ἀναγαγὼν, Αὐγείου δὲ ὀχυρὸν τεῖχος σκυβάλων καθελεῖν ὁ δυνηθεὶς, ταύρους δὲ καὶ ἔλαφον ἀνελὼν, ὧν μυξωτῆρες ἔπνεον πῦρ· καὶ καρπὸν χρύσεον στελέχους ἔλαβεν, ἑρπετὸν ἰοβόλον ἀνελών· (καὶ Ἀχελῷον τίνος ἕνεκεν ἔκτανεν, οὐ θέμις εἰπεῖν, καὶ τὸν ξενοκτόνον Βούσιριν) καὶ ὄρη πηδήσας, ἵνα λάβῃ ὕδωρ ἔναρθρον φωνὴν ἀποδιδὸν, ὡς λόγος· ὁ τὰ τοσαῦτα καὶ τοιαῦτα καὶ τηλικαῦτα δρᾶσαι δυνηθεὶς, ὡς νήπιος ὑπὸ Σατύρων κατακυμβαλισθεὶς, καὶ ὑπὸ γυναικείου ἔρωτος ἡττηθεὶς, ὑπὸ Λυδῆς γελώσης κατὰ γλουτῶν τυπτόμενος ἥδετο. καὶ τέλος, τὸν Νέσσειον χιτῶνα ἀποδύσασθαι μὴ δυνηθεὶς, πυρὰν [κατ᾽] αὐτοῦ αὐτὸς ποιήσας, τέλος ἔλαβε τοῦ βίου. θέτω τὸν ζῆλον Ἥφαιστος, καὶ μὴ φθονείτω εἰ πρεσβύτης ὢν καὶ κυλλὸς τὸν πόδα μεμίσηται, Ἄρης δὲ πεφίληται, νέος ὢν καὶ ὡραῖος. Ἐπεὶ οὖν, ἄνδρες Ἕλληνες, οἱ μὲν θεοὶ ὑμῶν ὑπὸ ἀκρασίας ἠλέγχθησαν, ἄνανδροι δὲ οἱ ἥρωες ὑμῶν, ὡς αἱ παρ᾽ ὑμῖν δραματουργοὶ ἱστορίαι

quæ

ἐδήλωσαν, τὰ μὲν Ἀτρέως ἄγη, Θυέστου λέχη, καὶ Πελοπιδῶν μύση, καὶ Δαναὸν φθόνῳ φονεύοντα, καὶ ἀτεκνοῦντα μεμεθυσμένον· καὶ τὰ Θυέστεια δεῖπνα Ἐριννύες ἤρτυον. καὶ Πρόκνη μέχρι νῦν ἐπιπερωμένη γοᾷ, καὶ ταύτης ἀδελφὴ γλωσσοτέμητος τετρίγει ἡ Κεκροπίς. τὰ γὰρ Οἰδίποδος κέντρα τί δεῖ καὶ λέγειν; καὶ τὸν Λαΐου φόνον, καὶ μητρὸς γάμον, καὶ τὴν τῶν ἀδελφῶν αὐτοῦ καὶ τέκνων ἅμα ἀλληλοκτονίαν; Καὶ τὰς πανηγύρεις ὑμῶν μεμίσηκα. ἄμετροι γὰρ ἐκεῖ πλησμοναί, καὶ αὐλοὶ γλαφυροί, ἐκκαλούμενοι πρὸς οἰστρώδεις κινήσεις· καὶ μύρων περίεργοι χρίσεις, καὶ στεφάνων περιθέσεις. καὶ τῷ τοσούτῳ σωρῷ τῶν κακῶν τὴν αἰδῶ περιγράφετε· καὶ νοῦν πληροῦσθε, ὑπὸ ἀκρασίας ἐκβακχευόμενοι· καὶ ταῖς ἀνοσίαις καὶ λυσσώδεσι χρᾶσθαι εἰώθατε μίξεσιν. Εἴποιμι δ' ἂν ὑμῖν ἔτι καὶ τοῦτο, Τί ἀγανακτεῖς, Ἕλλην ὤν, πρὸς τὸ τέκνον σου, εἰ τὸν Δία μιμούμενος ἐπιβουλεύει σοί, καὶ σοῦ τὸν γάμον σεσύληκε; τί τοῦτον ἐχθρὸν ἡγῇ, τὸν δὲ ὅμοιον αὐτοῦ σέβῃ; τί δὲ μέμφῃ σοῦ τὴν γυναῖκα ἀκολάστως ζῶσαν, τὴν δὲ Ἀφροδίτην ναοῖς τετίμηκας; Καὶ εἰ μὲν ταῦτα ὑφ' ἑτέρων ἦν εἰρημένα, κατηγορία ἐδόκει εἶναι ψιλὴ, καὶ οὐκ ἀλήθεια. νῦν δὲ ταῦτα οἱ ὑμέτεροι ᾄδουσι ποιηταὶ, καὶ αἱ παρ' ὑμῖν κεκράγασιν ἱστορίαι. Ἔλθετε λοιπὸν ἄνδρες Ἕλληνες, καὶ σοφίᾳ ἀπαραμιλλήτῳ κοινωνήσατε· καὶ θείῳ λόγῳ παιδεύθητε, καὶ μάθετε, βασιλέα ἄφθαρτον· καὶ τούτους τοὺς ἥρωας ἐπιγνῶτε οὐχ ὅτε λαοῖς φόνον ἐργαζομένους. αὐτὸς γὰρ ἡμῶν οὐ βούλεται σωμάτων ἀλκὴν, καὶ τύπων εὐμορφίαν, οὐδὲ εὐγενείας φρύαγμα, ἀλλὰ ψυχήν τε καθαρὰν, ὁσιότητι τετειχισμένην. ἤδη δὲ διηνεκῶς ἐπιστατῶν ἡμῖν ὁ θεῖος λόγος, καὶ τὰ τοῦ βασιλέως ἡμῶν συνθήματα, πράξεις θείας, ὡς διὰ λόγου δυνάμεως εἰς ψυχὴν διικνουμένης, ὡς σάλπιγξ εἰρηνικῆς ψυχῆς πολεμουμένης. ὦ παθῶν δεινῶν φυγαδευτήριον, ὦ πυρὸς ἐμψύχου σβεστικὸν διδασκάλιον· ἥτις οὐ ποιητὰς ποιεῖ, οὐ φιλοσόφους κατασκευάζει, οὐδὲ ῥήτορας δεινούς· ἀλλὰ παιδεύουσα, ποιεῖ τοὺς θνητοὺς, ἀθανάτους· τοὺς βροτοὺς, θεούς· ἐκ γῆς δὲ μεταίγει εἰς τοὺς ὑπὲρ Ὄλυμπον ὅρους. ἔλθετε, παιδεύθητε· γένεσθε ὡς ἐγώ· ὅτι κἀγὼ ἤμην ὡς ὑμεῖς. ταῦτά με εἷλε, τό τε τῆς παιδείας ἔνθεον καὶ τὸ τοῦ λόγου δυνατόν· ὅτι καθάπερ ἐπαοιδὸς ἀγαθὸς, ἐκ φωλεοῦ ἐξερπύσαι ποιήσας φυγαδεύει δεινὸν ἑρπετὸν, οὕτως ὁ λόγος ἐξ αὐτῶν τῶν τῆς ψυχῆς μυχῶν τὰ δεινὰ τῆς αἰσθήσεως ἀπελαύνει πάθη· πρῶτο ἐπιθυμίαν, δι' ἧς πᾶν δεινὸν φύεται, ἔχθραι, ἔρεις, ζῆλος, ἐριθεῖαι, θυμοί, καὶ τὰ ὅμοια τούτοις.

quæ tragœdiis argumenta suppeditarunt, Atrei piacula, Thyestæ concubitus, & Pelopidarum exsecranda facinora: & Danaum inuidia impellente cædes perpetrantem, & filiis carentem ebrium: & Thyesteas cœnas, *quas* Erinnyes struebant. Ac Procne ad hunc vsq; diem pennata gemit; & huius soror Atheniensis post abscissam linguam stridorem quendam edit. Nam OEdipodis transfixos fibulis pedes quid attinet referre? & Laii cędem, & cum matre initas nuptias, & quomodo fratres eius ac filii mutuis vulneribus occubuerint? Vestros etiam conuentus panegyricos odio prosequor. Ibi enim luxui immensum in modū & multo plus quā ad satietatē, indulgetur: ibi sunt artificio exquisito factæ tibiæ, quæ ad motus incitāt quales sunt œstro percitorū: & vnctiones curiosæ ac superuacaneæ, quæ vnguētis fiūt. quod & de corollis dici potest quibus capita redimiuntur. Ac tanto malorum aceruo verecundiā circumscribitis: impleturq; vobis mens dum præ intemperantia & petulantia in Bacchicum quendā furorē prorumpitis: vnde etiam rabiosis vti concubitibus soliti estis. Dixerim autē vobis hoc quoque: Quid tu, quū Græcus sis, filio tuo succenses, si Iouem imitās, tibi insidiatur, & nuptias tuas furatus est? cur hunc esse inimicū censes; at illi similia perpetrantem venerari's? Cur itē de vxore tua expostulas, quod petulāter viuat & libidinose; at Venerem templis honorasti? Ac, si quidem ista ab aliis dicta essent, accusatio mera esse visa fuissent, ac non veritas: sed contra poetæ vestri hæc canunt, hæc clamant eæ quæ apud vos sunt historiæ. Accedite in posterum Græci, & sapientiæ incomparabilis participes estote: ac diuinis sermonibus docemini, & regis corruptioni non obnoxii notitiam capite: minimeque heroes istos agnoscite, qui cædes patrant in hominum turba. Noster enim ille *imperator* non vult corporis strenuitatem, & neque faciei pulchritudinem, neque nobilitatis elatos spiritus: sed animam puram, sanctimonia munitam. Iam autem nobis assidue præest sermo diuinus, & regis nostri tesseræ circa diuinas actiones, vtpote vi sermonis in animam peruadente, tibia pacifica, dum animæ bellum mouetur. O grauium affectuū fugatorium instrumentum: o ignis animæ insiti exstinctorium magisterium. Hæc nos non efficit poetas, non philosophos reddit, neque oratores excellentes; sed docens ex morti obnoxiis immortales, & deos ex mortalibus facit: e terra autem in ea loca transfert quorum termini sunt vltra Olympum. Accedite *Græci*, docemini. Estote vt ego: quoniam & ego eram vt vos. Hæc me ceperunt, & doctrinæ vis enthea, & sermonis efficacia: quoniam sicut incantator peritus formidabilem serpentem fugat, postquam fecit vt e suo latibulo ereperet: sic sermo ex intimis animi penetralibus formidabiles sensuum affectus expellit: ac primum cupiditatem, ex qua quicquid formidabile est nascitur, inimicitiæ, rixæ, inuidia, æmulationes, iræ, & his similia.

Cupiditate igitur expulsa, trãquillitatem & serenitatem anima consequitur. Soluta autem malis quæ ceruicem eius circumfluunt, ad eũ abit qui ipsam condidit. in eũ enim locũ oportet restitui vnde abscessit.

ἐπιθυμίας συνῦ ἀπελαθείσης, εὔδιος ἡ ψυχὴ καὶ γαληνιῶσα γίνεται. ἀπελυθεῖσα δὲ τῶν περὶ τὸν τράχηλον αὐτῆς κακῶν περιρρεόντων, ἀπέρχεται πρὸς τὸν ποιήσαντα αὐτήν. δεῖ γὰρ ἀποκαταστῆναι ὅθεν ἀπέστη, ὅθεν τις ἐγένετο, ἤ ἐστιν.

EIVSDEM IVSTINI AD SENATVM ROMANVM pro Christianis defensio:

Ioanne Lango interprete.

QVæ heri & proximis diebus in vrbe vestra, o Romani, sub Vrbicio accidere, & quæ vbique locorum similiter, citra rationem omnem a Præsidibus fiunt, necessitatem hanc mihi imposuere, vt pro nobis, qui eisdem vobiscum affectionibus perpessionibusque obnoxii, & (quamuis id ignoretis, & propter earum quæ habẽtur dignitatum splẽdorem nolitis) fratres vestri sumus, orationem hanc componerem. Vbique videlicet, ad frugem bonam aliquis adducatur a patre, vel vicino, vel filio, vel amico, vel fratre, vel viro, vel vxore, si nemo prẹterea præsto sit: eis dũtaxat exceptis, quibus est persuasum, iniustos & libidinosos in igne æterno excruciatũ iri: qui vero per virtutem ad exemplum CHRISTI vitã egerint, extra perpessionem & dolorẽ omnẽ cum Deo esse victuros, (eos autẽ qui *Christiani* sunt dicimus) propter animorũ pertinaciã & voluptatis studiũ, & quod ad honestatẽ cõsectandã excitari prorsus nequeãt.

. . . . .

. . . . .

& maligni dẹmones infensi nobis, atq; huiusmodi iudices sub dicione sua habẽtes, sibique sub religionis nomine seruientes, per eos ipsos tamquam dẹmoniis agitatos principes, occidi nos procurãt. Vt aũt causa tota quæ sub Vrbicio est acta, manifesta sit, rẽ ipsam exponam. Mulier quædam cum marito suo homine libidinoso fuit, libidini & ipsa prius dedita: vbi autẽ illa mysticam arcanamque Christi professionem perdidicit, cum ipsa moderatã continentemq; vitam est complexa; tum idẽ quoq; vt faceret, marito suasit: doctrinã referens Christianã, & futurum illũ æternum ignẽ, qui impudicis atque voluptuariis paratus est; promissionesq; itidẽ sempiternorũ piis destinatorum bonorum proponens. Sed enim cum multa sæpe dicendo nihil apud eum efficeret, atque ille in procaci petulãtia sua permaneret, mulierem improbis suis moribus a se reddidit alieniorem. Illa namq; impium esse iudicãs cum tali deinceps viro cõsueuisse, qui prẹter naturæ leges modis omnib. per libidines varias voluptatis fructum quæreret, discedere ab eo voluit. Vt vero illã propinqui, pro auctoritate sua, ab eo cõsilio sunt dehortati; spẹq; ei fecerũt, virũ aliquãdo tandẽ in melius mutatũ iri, manere cũ homine est coacta. Postquã vero maritus Alexãdriã ꝓfectus, multo etiã deterior factus esse dictus est, fœmina ve-

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ ΑΠΟΛΟΓΙΑ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ, πρὸς τὴν Ῥωμαίων σύγκλητον.

ΚΑΙ τὰ χθὲς δὲ καὶ πρώην ἐν τῇ πόλει ὑμῶν γενόμενα ἐπὶ Οὐρβίκου, ὦ Ῥωμαῖοι, καὶ τὰ πανταχοῦ ὁμοίως ὑπὸ τῶν ἡγουμένων ἀλόγως πραττόμενα, ἐξηνάγκασέ με ὑπὲρ ἡμῶν, ὁμοιοπαθῶν ὄντων, καὶ ἀδελφῶν, κἂν ἀγνοῆτε, καὶ μὴ θέλητε διὰ τὴν δόξαν τῶν νομιζομένων ἀξιωμάτων, τὴν τῶνδε τῶν λόγων σύνταξιν ποιήσασθαι. πανταχοῦ γὰρ, ὃς ἂν σωφρονίζηται ὑπὸ πατρὸς, ἢ γείτονος, ἢ τέκνου, ἢ φίλου, ἢ ἀδελφοῦ, ἢ ἀνδρὸς, ἢ γυναικὸς κατ᾽ ἔλλειψιν, χωρὶς τῶν πεπεισμένων τοὺς ἀδίκους καὶ ἀκολάστους ἐν αἰωνίῳ πυρὶ κολασθήσεσθαι· τοὺς δ᾽ ἐναρέτους, καὶ ὁμοίως Χριστῷ βιώσαντας, ἐν ἀπαθείᾳ συγγενέσθαι τῷ Θεῷ (λέγομεν δὲ τῶν γενομένων Χριστιανῶν) διὰ τὸ δυσμετάθετον καὶ φιλήδονον, καὶ δυσκίνητον πρὸς τὸ καλὸν ὁρμῆσαι . .

. . . .

. . . .

καὶ οἱ φαῦλοι δαίμονες ἐχθραίνοντες ἡμῖν, καὶ τοὺς τοιούτους δικαστὰς ἔχοντες ὑποχειρίους καὶ λατρεύοντας, ὡς οὖν ἄρχοντας δαιμονῶντας, φονεύειν ἡμᾶς παρασκευάζουσιν. ὅπως δὲ καὶ ἡ αἰτία τοῦ παντὸς γενομένου ἐπὶ Οὐρβίκου φανερὰ ὑμῖν γένηται, τὰ πεπραγμένα ἀπαγγελῶ. Γυνή τις συνεβίου ἀνδρὶ ἀκολασταίνοντι, ἀκολασταίνουσα καὶ αὐτὴ πρότερον. ἐπεὶ δὲ τὰ τοῦ Χριστοῦ διδάγματα ἔγνω αὐτὴ, [ἐσωφρονίσθη, καὶ τὸν ἄνδρα ὁμοίως σωφρονεῖν πείθειν ἐπειρᾶτο, διδάγματα ἀναφέρουσα, τήν τε μέλλουσαν τοῖς οὐ σωφρόνως καὶ μετὰ λόγου ὀρθοῦ βιοῦσιν ἔσεσθαι ἐν αἰωνίῳ πυρὶ κόλασιν ἀπαγγέλλουσα. ὁ δὲ, ταῖς αὐταῖς ἀσελγείαις ἐπιμένων, ἀλλοτρίαν διὰ τῶν πράξεων ἐποιεῖτο τὴν γαμετήν. ἀσεβὲς γὰρ ἡγουμένη τὸ λοιπὸν ἡ γυνὴ συγκατακλίνεσθαι ἀνδρὶ παρὰ τὸν τῆς φύσεως νόμον καὶ παρὰ τὸ δίκαιον πόρους ἡδονῆς ἐκ παντὸς πειρωμένῳ ποιεῖσθαι, τῆς συζυγίας χωρισθῆναι ἐβουλήθη. καὶ ἐπεὶ ἐξεδυσωπεῖτο ὑπὸ τῶν αὐτῆς, ἔτι προσμένειν συμβουλευόντων, ὡς εἰς ἐλπίδας μεταβολῆς ἥξοντός ποτε τοῦ ἀνδρὸς, βιαζομένη ἑαυτὴν ἐπέμενεν. ἐπειδὴ δὲ ὁ ταύτης ἀνὴρ, εἰς τὴν Ἀλεξάνδρειαν πορευθεὶς, χαλεπώτερα πράττειν ἀπηγγέλθη, ὅπως μὴ κοινωνὸς τῶν ἀδικη-

ματων καὶ ἀσεβημάτων γένηται μένουσα ἐν τῇ συζυγίᾳ, καὶ ὁμοδίαιτος καὶ ὁμόκοιτος γινομένη· τὸ λεγόμενον παρ' ὑμῖν ῥεπούδιον δοῦσα, ἐχωρίσθη. ὁ δὲ καλὸς κἀγαθὸς ταύτης ἀνὴρ, δέον αὐτὸν χαίρειν ὅτι ἃ πάλαι μετὰ τῶν ὑπηρετῶν καὶ τῶν μισθοφόρων εὐχερῶς ἔπραττε, μέθαις χαίρουσα καὶ κακίᾳ πάσῃ, τούτων μὲν τῶν πράξεων πέπαυτο, καὶ αὐτὸν δὲ τὰ αὐτὰ παύσασθαι πράττοντα ἐβούλετο, μὴ βουλομένου, ἀπαλλαγείσης κατηγορίαν πεποίηται, λέγων αὐτὴν Χριστιανὴν εἶναι. καὶ ἡ μὲν βιβλίδιον σοὶ τῷ αὐτοκράτορι ἀναδέδωκε, πρότερον συγχωρηθῆναι αὐτῇ διοικήσασθαι τὰ ἑαυτῆς ἀξιοῦσα· ἔπειτα ἀπολογήσασθαι περὶ τοῦ κατηγορήματος μετὰ τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν ὑπέσχετο. καὶ συνεχώρησας τοῦτο. ὁ δὲ ταύτης ποτὲ ἀνὴρ, πρὸς ἐκείνην μὲν μὴ δυνάμενος τανῦν ἔτι λέγειν, πρὸς Πτολεμαῖόν τινα, ὃν Οὔρβικος ἐκολάσατο, διδάσκαλον ἐκείνης τῶν Χριστιανῶν μαθημάτων γενόμενον, ἐτράπετο, διὰ τοῦδε τοῦ τρόπου· ἑκατόνταρχον εἰς δεσμὰ ἐμβαλόντα τὸν Πτολεμαῖον, φίλον αὐτῷ ὑπάρχοντα, ἔπεισε λαβέσθαι τοῦ Πτολεμαίου, καὶ ἀνερωτῆσαι εἰ αὐτὸ τοῦτο μόνον Χριστιανός ἐστι. καὶ τὸν Πτολεμαῖον, φιλαλήθη, ἀλλ' οὐκ ἀπατηλὸν οὐδὲ ψευδολόγον τὴν γνώμην ὄντα, ὁμολογήσαντα ἑαυτὸν εἶναι Χριστιανὸν, ἐν δεσμοῖς γενέσθαι ὁ ἑκατόνταρχος πεποίηκε, καὶ ἐπὶ πολὺν χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐκολάσατο. τελευταῖον δὲ, ὅτε ἐπὶ Οὔρβικον ἦλθεν ὁ ἄνθρωπος, ὁμοίως αὐτὸ τοῦτο μόνον ἐξητάσθη, εἰ εἴη Χριστιανός. καὶ πάλιν τὰ καλὰ ἑαυτῷ συνεπιστάμενος, διὰ τὴν ἀπὸ τοῦ Χριστοῦ διδαχὴν, τὸ διδασκάλιον τῆς θείας ἀρετῆς ὡμολόγησεν· ὁ γὰρ ἀρνούμενος ὅτι οὐκ εἴη, ἢ κατεγνωκὼς τοῦ πράγματος, ἐξαρνος γίνεται, ἢ ἑαυτὸν ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ πράγματος, τὴν ὁμολογίαν φεύγει· ὧν οὐδὲν πρόσεστι τῷ ἀληθινῷ Χριστιανῷ. καὶ τοῦ Οὐρβικίου κελεύσαντος αὐτὸν ἀπαχθῆναι, Λούκιός τις, καὶ αὐτὸς ὢν Χριστιανὸς, ὁρῶν τὴν ἀλόγως οὕτως γενομένην κρίσιν, πρὸς τὸν Οὔρβικον ἔφη, Τίς ἡ αἰτία τοῦ μήτε μοιχὸν, μήτε πόρνον, μήτε ἀνδροφόνον, μήτε λωποδύτην, μήτε ἅρπαγα, μήτε ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ Χριστιανοῦ προσωνυμίαν ὁμολογοῦντα τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ πρέποντα Εὐσεβεῖ αὐτοκράτορι, οὐδὲ φιλοσόφου Καίσαρος παιδὶ, οὐδὲ [τῇ] ἱερᾷ συγκλήτῳ κρίνεις, ὦ Οὔρβικε. καὶ ὃς, οὐδὲν ἄλλο ἀποκρινάμενος, καὶ πρὸς τὸν Λούκιον ἔφη, Δοκεῖς μοι καὶ σὺ εἶναι τοιοῦτος. καὶ τοῦ Λουκίου φήσαντος, Μάλιστα, πάλιν καὶ αὐτὸν ἀπαχθῆναι ἐκέλευσεν. ὁ δὲ καὶ χάριν εἰδέναι ὡμολόγει, πονηρῶν δεσποτῶν τῶν τοιούτων ἀπηλλάχθαι γινώσκων, καὶ πρὸς τὸν πατέρα καὶ βασιλέα τῶν οὐρανῶν πορεύεσθαι. καὶ ἄλλος δὲ τρίτος ἐπελθὼν, κολασθῆναι προσετιμήθη. ὅπως δὲ μή τις εἴπῃ, Πάντες οὖν ἑαυτοὺς φονεύσαντες πορεύεσθε ἤδη παρὰ τὸν Θεὸν, καὶ ἡμῖν πράγματα

na verita, si decætero eodem cum illo lecto eadémque vteretur mēsa, ne impietatis quoque eius fieret particeps, misso illi qui apud vos dicitur repudii libello, ab eo seiuncta est. Ille porro cū coniugis suę causa lętari debuisset, quæ scilicet priori suæ vitæ nunciū remisisset; simulq; ebrietatē, lasciuiā, & (vt vno verbo dicā) improbitatē omnē, vt amplius cōditiones nō eligeret, ac cū seruis aliisq; turpis questus gratia, impudicis nō congrederetur, nec in libidinū cœno volutaretur, valere iussisset; ipsi quoq; vt meliora sequeretur, suasisset: tantū abest vt id ille fecerit, vt ab ipsa statim discessione, accusationis libellū, Christianā eam esse, Imperatori obtulerit. Mulier citata, supplici quoq; libello principi dato, petiit sibi permitti, vt rē familiarē suam primum cōstituere, ac deinde accusationi eius respondere posset. Quod cū illa impetrasset, maritus accusatione abolita, illam quidē dimisit: ad Ptolemęū autē quēdam, qui eā pietatis professionem docuisset, est cōuersus. Eū dolo aggressus, vt in vincula coniiceretur effecit. Cēturioni enim cuidā sibi amico persuasit, vt Ptolemæū arreptum hoc tantum interrogaret, an Christianus esset: illū quippe veritatis amātem, minimeq; fraudulentū aut mēdacem, statim se Christianum esse professurū. Itaque in vincula ille coniectus, lōgo tēpore a cēturione est tortus. Postremo vbi ad Vrbiciū pręfectū adductus, & ab eo interrogatus esset, propterea quod Christi doctrinā complexus bene sibi esset cōscius, diuinę virtutis doctrinā est professus. Qui enim neget, quia professionē damnet, id faciat: vel quia indignū se & alienū a re tanta esse sciat, non profiteatur: neutrum vero veri Christiani est. Vrbicius igitur propter eā professionē duci Ptolemæū iussit. Lucius autem quidam, & ipse Christianus, tū ibi astabat, qui improbato atq; damnato iniquo Vrbicii iudicio: *Quæ (malū) ratio hæc est?* inquit. *num quid infamis maleficij vir hic admisisse conuictus est? an, quod Christiani nomine tantū is gaudet & gloriatur, qui neq; adulter, neq; fornicator, neq; homicida, neq; prædo, neq; raptor sit, propterea ad puniendū eū commotus es? Non hoc sicut Imperatorē piū, non vt Cæsaris filium philosophum decet, nō ita vt sacrosancto Senatus conuenit, iudicas Vrbici.* Et ille nō aliud ad Lucium dixit, quā ipsum quoque talem sibi, qui hactenus latuisset, videri. Idque ille cum maxime asseueraret, abduci simul eum præcepit. cui quidem se gratiam ille debere professus est: a malis quippe dominis se liberari, & ad Deum Patrem & Regem optimum transire. Ad quos tertius alius accessit, in quem supplicio quoque est animaduersum.

Ne vero quispiam dicat: Omnes vos igitur vobis ipsis afferte manus, atque ad Deum iam nunc ite, neque nobis negocium fa-

cessite. Causam cur hoc non faciamus, & quamobrem, cum inquirimur, intrepide profiteamur, exponā. Non frustra mundum a Deo conditum esse didicimus, humani nimirū generis gratia: atque eūdem tum eis gaudere, qui illum res eius admirantes imitantur; tū eis offendi, sibi displicentibus, qui mala seu verbo seu opere complectuntur, antea diximus. Quod si omnes nos ipsos occidamus, ne quis gignatur, & diuinam disciplinam doceatur, aut etiam ne genus hominum constet, quantum in nobis sit situ, auctores fuerimus; contra Dei consilium & voluntatem & ipsi, si hoc committamus, veniētes. Interrogati autem per inquisitionem, non infitiamur; quod nullius nobis mali conscii simus: impium existimantes, in rebus omnibus non vera dicere; id quod gratum esse Deo nouimus. Præterea autem & vos ab iniquis præsumptionibus iam nūc abducere cupimus. Sin & illa cuiquam in mentem veniat cogitatio: Si Deum iuxta professionem nostram adiutorem haberemus, non ita nos, quemadmodum ipsimet dicimus, ab iniustis oppressum atque excruciatum iri: & hoc ipsum refellam. Deus qui mundum vniuersum fecit, & terrena hominibus & cælestia elementa subiecit; quę & ipsa hominum gratia eum condidisse apparet: propter frugum prouentum, temporum etiam mutationibus exornauit, diuinamque hanc legem ordinauit, hominum ipsorum atque eorum quæ sub cælo sunt prouidentiam, angelis ad hæc dispositis attribuit: Angeli autem, ordinationem siue dispositionem eam transgressi, cum mulierum concubitus causa, amoribus sunt victi; tum filios procrearunt eos qui *Dæmones* sunt dicti, atque insuper reliquum genus humanum in seruitutē suā redegerunt.

Id vero effecerunt vel per scripta magica, vel per terrores & supplicia, vel etiam per institutionem victimarum & incēsorum & libationum: quarū indigentes esse cœperunt, postquam animi perpessionum & concupiscentiarum serui sunt effecti: atque exinde inter mortales cædes, bella, adulteria, libidines, & vitiositatem malitiamq; omnem disseminarūt. Vnde Poëtę & fabularum scriptores, ignorantes angelos & ex eis progenitos dæmones, hæc in masculos & fœminas, atque in vrbes & nationes perpetrasse, quæ ipsi conscripserunt, in ipsum Deum [Iouem] & tāquam satu eius prognatos, fratrūq; eius qui dicti sunt, Neptuni & Plutonis, liberorūq; itidem ab illis procreatorum filios retulerunt. nomine enim quemque suo, quod angelorum quilibet sibi ipsi & gnatis suis imposuerat, appellarunt. Vniuersarū autē rerū Patri, quia ingenitus est, nomen impositū nō est. Quocumq; namq; demū ille vocetur nomine, vetustiorē se habeat eū qui nomē imposuerit. *Pater* vero, & *Deus*, & *Creator*, & *Dominus*, & *Herus*, nō nomina sunt, sed a beneficiis & operib. eius petitæ appellationes. Porro filius eius, qui sol⁹ proprie dicitur *Filius*,

μὴ παρέχειν. ἐρῶ δὲ τὴν αἰτίαν τοῦτ᾽ οὐ πράττομεν, καὶ δι᾽ ἣν ἐξεταζόμενοι ἀφόβως ὁμολογοῦμεν. Οὐκ εἰκῇ τὸν κόσμον πεποιηκέναι τὸν Θεὸν δεδιδάγμεθα, ἀλλ᾽ ἢ διὰ τὸ ἀνθρώπειον γένος· χαίρειν τε τοῖς τὰ προσόντα αὐτῷ μιμουμένοις προέφημεν, ἀπαρέσκεσθαι δὲ τοῖς τὰ φαῦλα ἀσπαζομένοις ἢ λόγῳ, ἢ ἔργῳ. εἰ οὖν πάντες ἑαυτοὺς φονεύσομεν, τοῦ καὶ γεννηθῆναί τινα, καὶ μαθητευθῆναι εἰς τὰ θεῖα διδάγματα, ἢ καὶ μὴ εἶναι τὸ ἀνθρώπειον γένος, ὅσον ἐφ᾽ ἡμῖν, αἴτιοι ἐσόμεθα, ἐναντίον τῇ τοῦ Θεοῦ βουλῇ καὶ αὐτοὶ ποιοῦντες, ἐὰν τοῦτο πράξωμεν. ἐξεταζόμενοι δὲ, οὐκ ἀρνούμεθα, διὰ τὸ συνεπίστασθαι ἑαυτοῖς μηδὲν φαῦλον, ἀσεβὲς δὲ ἡγούμενοι μὴ κατὰ πάντα ἀληθεύειν, ὃ καὶ φίλον τῷ Θεῷ γινώσκομεν· ὑμᾶς δὲ καὶ τῆς ἀδίκου προλήψεως ἀπαλλάξαι νῦν σπεύδοντες. εἰ δέ τινα ὑπέλθοι καὶ ἡ ἔννοια αὕτη, ὅτι εἰ Θεὸν ὡμολογοῦμεν βοηθὸν, οὐκ ἂν, ὡς λέγομεν, ὑπὸ ἀδίκων ἐκρατούμεθα καὶ ἐτιμωρούμεθα, καὶ τοῦτο διαλύσω. ὁ Θεὸς τὸν πάντα κόσμον ποιήσας, καὶ τὰ ἐπίγεια ἀνθρώποις ὑποτάξας, καὶ τὰ οὐράνια στοιχεῖα εἰς αὔξησιν καρπῶν, καὶ ὡρῶν μεταβολαῖς κοσμήσας, καὶ θεῖον τούτοις νόμον τάξας, ἃ καὶ αὐτὰ δι᾽ ἀνθρώπους φαίνεται πεποιηκὼς, τὴν μὲν τῶν ἀνθρώπων καὶ τῶν ὑπὸ τὸν οὐρανὸν πρόνοιαν ἀγγέλοις, οὓς ἐπὶ τούτοις ἔταξε, παρέδωκεν· οἱ δ᾽ ἄγγελοι, παραβάντες τήνδε τὴν τάξιν, γυναικῶν μίξεσιν ἡττήθησαν, καὶ παῖδας ἐτέκνωσαν, οἵ εἰσιν οἱ λεγόμενοι δαίμονες· καὶ προσέτι λοιπὸν τὸ ἀνθρώπειον γένος ἑαυτοῖς ἐδούλωσαν τὰ μὲν διὰ μαγικῶν γραφῶν, τὰ δὲ διὰ φόβων καὶ τιμωριῶν ἐπιφέρειν, τὰ δὲ διὰ διδαχῆς θυμάτων καὶ θυμιαμάτων, καὶ σπονδῶν, ὧν ἐνδεεῖς γεγόνασι, μετὰ τὸ πάθεσιν ἐπιθυμιῶν δουλωθῆναι· καὶ εἰς ἀνθρώπους φόνους, πολέμους, μοιχείας, ἀκολασίας, καὶ πᾶσαν κακίαν ἔσπειραν· ὅθεν καὶ ποιηταὶ καὶ μυθολόγοι, ἀγνοοῦντες τοὺς ἀγγέλους, καὶ τοὺς ἐξ αὐτῶν γεννηθέντας δαίμονας, ταῦτα πρᾶξαι εἰς ἄρρενας καὶ θηλείας, καὶ πόλεις καὶ ἔθνη, ἅπερ συνέγραψαν, εἰς αὐτὸν τὸν Θεὸν, καὶ τοὺς ὡς ἀπ᾽ αὐτοῦ σπορᾷ γενομένους υἱοὺς, καὶ τῶν λεχθέντων ἐκείνου ἀδελφῶν, καὶ τέκνων ὁμοίως τῶν ἀπ᾽ ἐκείνων, Ποσειδῶνος καὶ Πλούτωνος, ἀνενήνεγκαν. ὀνόματι γὰρ ἕκαστον, ὅπερ ἕκαστος ἑαυτῷ τῶν ἀγγέλων καὶ τοῖς τέκνοις ἔθετο, προσηγόρευσαν. ὄνομα δὲ τῷ πάντων πατρὶ θετὸν, ἀγεννήτῳ ὄντι, οὐκ ἔστιν. ᾧ γὰρ ἂν καὶ ὀνόματι προσαγορεύηται, πρεσβύτερον ἔχει τὸν θέμενον τὸ ὄνομα· τὸ δὲ Πατὴρ, καὶ Θεὸς, καὶ Κτίστης, καὶ Κύριος, καὶ Δεσπότης, οὐκ ὀνόματά ἐστιν, ἀλλ᾽ ἐκ τῶν εὐποιιῶν καὶ τῶν ἔργων προσρήσεις. ὁ δὲ υἱὸς ἐκείνου, ὁ μόνος λεγόμενος κυρίως υἱὸς,

Verbum,

ὁ λόγος πρὸ τῶν ποιημάτων καὶ συνὼν καὶ γεννώμενος, ὅτε τὴν ἀρχὴν δι' αὐτοῦ πάντα ἔκτισε καὶ ἐκόσμησε· Χριστὸς μὲν, κατὰ τὸ κεχρίσθαι, καὶ κοσμῆσαι τὰ πάντα δι' αὐτοῦ τὸν Θεὸν, λέγεται, ὄνομα καὶ αὐτὸ περιέχον ἄγνωστον σημασίαν· ὃν τρόπον καὶ τὸ Θεὸς προσαγόρευμα, οὐκ ὄνομά ἐστιν, ἀλλὰ πράγματος δυσεξηγήτου ἔμφυτος τῇ φύσει τῶν ἀνθρώπων δόξα. Ἰησοῦς δὲ, καὶ ἀνθρώπου καὶ σωτῆρος ὄνομα καὶ σημασίαν ἔχει· καὶ γὰρ καὶ ἄνθρωπος, ὡς προέφημεν, γέγονε, κατὰ τὴν τοῦ Θεοῦ καὶ πατρὸς βουλὴν ἀποκυηθεὶς ὑπὲρ τῶν πιστευόντων ἀνθρώπων, καὶ καταλύσει τῶν δαιμόνων. καὶ νῦν ἐκ τῶν ὑπ' ὄψιν γινομένων μαθεῖν δύνασθε. δαιμονιολήπτους γὰρ πολλοὺς κατὰ πάντα τὸν κόσμον, καὶ ἐν τῇ ὑμετέρᾳ πόλει, πολλοὶ τῶν ἡμετέρων ἀνθρώπων τῶν Χριστιανῶν, ἐπορκίζοντες κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ὑπὸ τῶν ἄλλων πάντων ἐπορκιστῶν καὶ ἐπαστῶν καὶ φαρμακευτῶν μὴ ἰαθέντας, ἰάσαντο, καὶ ἔτι νῦν ἰῶνται, καταργοῦντες καὶ ἐκδιώκοντες τοὺς κατέχοντας τοὺς ἀνθρώπους δαίμονας. ὅθεν καὶ ἐπιμένει ὁ Θεὸς τὴν σύγχυσιν καὶ κατάλυσιν τοῦ παντὸς κόσμου μὴ ποιῆσαι, ἵνα καὶ οἱ φαῦλοι ἄγγελοι, καὶ δαίμονες, καὶ ἄνθρωποι μηκέτι ὦσι, διὰ τὸ σπέρμα τῶν Χριστιανῶν, ὃ γινώσκει ἐν τῇ φύσει ὅτι αἴτιόν ἐστιν· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν οὐδὲ ὑμῖν ταῦτα ἔτι ποιεῖν, καὶ ἐνεργεῖσθαι ὑπὸ τῶν φαύλων δαιμόνων δυνατὸν ἦν, ἀλλὰ τὸ πῦρ τὸ τῆς κρίσεως κατελθὸν, ἀνέδην πάντα διέκρινεν, ὡς καὶ πρότερον ὁ κατακλυσμὸς, μηδένα λιπὼν ἀλλ' ἢ τὸν μόνον σὺν τοῖς ἰδίοις παρ' ἡμῖν καλούμενον Νῶε, παρ' ὑμῖν δὲ Δευκαλίωνα· ἐξ οὗ πάλιν οἱ τοσοῦτοι γεγόνασιν, ὧν οἱ μὲν φαῦλοι, οἱ δὲ σπουδαῖοι. οὕτω γὰρ ἡμεῖς τὴν ἐκπύρωσιν φαμὲν γενήσεσθαι, ἀλλ' οὐχ ὡς οἱ Στωϊκοὶ κατὰ τὸν τῆς εἰς ἄλληλα πάντων μεταβολῆς λόγον· ὃ αἴσχιστον ἐφάνη. ἀλλ' οὐδὲ καθ' εἱμαρμένην πράττειν τοὺς ἀνθρώπους ἢ πάσχειν τὰ γινόμενα, ἀλλὰ κατὰ μὲν τὴν προαίρεσιν ἕκαστον κατορθοῦν ἢ ἁμαρτάνειν· καὶ κατὰ τὴν τῶν φαύλων δαιμόνων ἐνέργειαν τοὺς σπουδαίους, οἷον Σωκράτην καὶ τοὺς ὁμοίους, διώκεσθαι, καὶ ἐν δεσμοῖς εἶναι· Σαρδανάπαλον δὲ, καὶ Ἐπίκουρον, καὶ τοὺς ὁμοίους, ἐν ἀφθονίᾳ καὶ δόξῃ δοκεῖν εὐδαιμονεῖν. ὃ μὴ νοήσαντες οἱ Στωϊκοὶ, καθ' εἱμαρμένης ἀνάγκην πάντα γίνεσθαι ἀπεφήναντο. ἀλλ' ὅτι αὐτεξούσιον τό τε τῶν ἀγγέλων γένος καὶ τῶν ἀνθρώπων, τὴν ἀρχὴν ἐποίησεν ὁ Θεὸς, δικαίως ὑπὲρ ὧν ἂν πλημμελήσωσι, τὴν τιμωρίαν ἐν αἰωνίῳ πυρὶ κομίσονται· γεννητοῦ δὲ παντὸς ἥδε ἡ φύσις, κακίας καὶ ἀρετῆς δεκτικὸν εἶναι· οὐ γὰρ ἂν ἦν ἐπαινετὸν οὐδὲν αὐτῶν, εἰ οὐκ ἦν ἐπ' ἀμφότερα τρέπεσθαι, καὶ δύναμιν εἶχε. δεικνύουσι δὲ τοῦτο καὶ οἱ πανταχοῦ κατὰ λόγον τὸν ὀρθὸν νομοθετήσαντες

Verbum, simul cum illo ante creaturas & exsistens & nascēs, quoniam primitus per eū cuncta cōdidit & ornauit: CHRISTVS quidē ex eo, quod per illum Deus omnia conformauerit atque ornauerit, appellatur: quod & ipsum nomē est, significationem minime notam complectens: quemadmodum & DEI appellatio nomen non est, sed rei ineloquibilis naturæ hominum insita opinio. IESVS vero, & hominis & Seruatoris nomen ac designationem habet. nam & homo, sicuti prius diximus, est factus, de Dei & Patris consilio atque voluntate [virginis] partu editus, cum ad fidelium hominum salutem, tū ad dæmonū euersionē. Hoc ipsum ex his quę sub aspectu vestro fiunt, intelligere potestis. Complures siquidem dæmonum intempertus correptos homines per orbem omnem, & hāc vestram vrbem, quos alii adiuratores & incātatores & venefici vestri curare non potuerunt, permulti hominum nostrorum, Christianorum inquam, per nomen IESV CHRISTI sub Pontio Pilato crucifixi adiurantes sanarunt, atque etiam nunc sanant, exarmātes atq; exigentes ab hominibus, qui illos obsederunt, dæmones. Quocirca Deus cōfusionem & interitum totius mundi, per quem mali angeli & dæmones & homines non amplius exstent, fieri nondū permittit, propter semē Christianorum, quod naturæ rerum causam esse nouit. Absq; eo enim si esset, fieri haudquaquam posset, vt vos adhuc ista faceretis, & a prauis dæmoniis ita agitaremini, verum descendens iudicii ignis omnia propalam diiudicaret: sicut antea quoque diluuium, neminem reliquum faciens, præter vnum cum suis apud nos cognominatum Noen, apud vos autem Deucalionem: vnde rursus tanta orta est mortalium multitudo: cuius quidem pars improbi, pars vero boni fuere. Ita namq; & nos exustionem futuram esse dicimus, sed non sicuti Stoici tradunt, iuxta naturæ rerum inter se omnium mutationis rationē; quod turpissimū esse apparet: sed neq; iuxta fatū mortales ea quæ fiunt perhibemus vel facere vel pati, verū consulto animi destinatione quemq; aut officiose aut perperā agere: atq; prauorū dæmonū instinctu & opera, bonos quidē, veluti Socratē & eius similes, opprimi, atq; in vinculis esse: Sardanapalū aūt & Epicurū, & qui præterea eiusmodi sint, in copia rerū omniū & claritate beatos videri. Quod cū Stoici nō peruidissent, per fati necessitatē euenire omnia censuerūt. Sed enim quia liberi arbitrii & angelorum & hominum genus ab initio creauit Deus, iusto iudicio pro delictis suis supplicium in igne sempiterno reportabunt. Illa quippe ortæ cuiusque rei natura est, vt virtutis & vitii sit capax: neque quidquā eorum quæ creata sunt, laude dignum esset, nisi vim ac potestatem alterouersum se conuertendi obtineret. Ostenderunt hoc etiā homines illi, qui passim cum ratione recta leges tulerūt,

& philosophiam tradiderunt, expetēda & fugienda præcipiētes. Quin & Stoici philosophi, de moribus præcepta tradentes, eadē magnopere probant: vt satis liqueat, principiorum [Dei præcipue] & incorporeorum tractandorum illis minus succedere rationem. Nam si fatò ab hominibus dicent fieri quæ fiunt, aut nihil esse Deum, aut rebus plerisque mutandis & alterandis, & in eadem vnde orta sunt, semper dissoluendis corruptioni tantum subiectarum noticiam habere: & Deū ipsum, qua per partes, qua per vniuersum, in prauitate seu ærumna omni versari: aut neq; vitium neque virtutem aliquid esse dicere videbuntur. quod certe præter sanam notionem, rationem & mentem est. Eos quoque qui Stoicorum disciplinam amplectuntur, quoniam de moribus etiam præclare docuerunt, (quemadmodum & aliqua ex parte poetæ, propter innata toti generi humano rationis semina) odiis expetitos, cæsosque esse nouimus: Heraclitum quidē [antiquitus] vti diximus, Musonium autem inter eos qui seculo nostro [atque in hac vrbe] fuere, atq; item alios scimus. Nam vt omnes, quemadmodum significauimus, qui qualicumq; pacto iuxta rationem viuere, & prauitatem fugere studuerunt, odiis exagitarentur, genii maligni semper vi sua & opera effecerūt. Minime vero id mirandum videtur, si eos qui iuxta partem aliquā seminariæ rationis mores suos conformant, periculis obiiciunt: verum quod secundum vniuersæ Rationis & Verbi quod CHRISTVS est, notionē & contemplationem viuentes, in longe maiora odia, ope & opera sua coniicere dęmones coarguuntur. [id demum admirationem excedit:] qui sane pœnas & supplicia condigna sempiterno inclusi igne perferent. Quod namque nūc ab hominibus per nomen IESV CHRISTI illi premuntur, documentum id est futurorū, qui eos cultoresq; eorum manent, inæterno igne cruciatuum. Hoc enim ita tū prophetæ omnes præloquuti sunt, tū & ipse doctor noster Iesus docuit esse futurum. Ego quidem insidias & fustuarium, crucisve supplicitū a quopiā exspecto, qui aliquo sit numero & nomine, vel ab ipso etiam Crescēte philopsopho & philocōpo, hoc est strepitus popularis & insolentis arrogantiæ amatore. indignus namque est qui philosophus & sapientiæ amator dicatur: propterea quod publice de rebus quas ignorat, videlicet quod Christiani athei, prorsusque sine Deo & impii sint, asseuerat ad gratiam & libidinem eorum qui ab eo sunt in errorem seducti, id faciens. Si enim doctrinam CHRISTI non attigit, & eam reprehendendo proscindit, improbissimus est; idiotis & indoctis hominibus multo deterior, qui sæpe de reb. quas ignorant, loqui & falso testificari supersedent. Sin Christianam professionem legit, aut certe amplitudinē eius nō intellexit; aut intellexit ille quidē, ne vero in suspicionē, Christianū eū esse, perueniat, id facit [& nos criminatur,] lōge adhuc est importunior, nihil ingenui & liberalis ingenii habēs: vtpote inepta & absurda opinione vir, timoriq; sordido obnoxi⁹. Sane scire vos vo-

καὶ φιλοσοφήσαντες ἄνθρωποι, ἐκ τοῦ ὑπαγορεύειν τόδε μὲν πράττειν, τοῦδε δὲ ἀπέχεσθαι. καὶ οἱ Στωϊκοὶ φιλόσοφοι, ἐν τῷ περὶ ἠθῶν λόγῳ, τὰ αὐτὰ τιμῶσι καρτερῶς· ὡς δηλοῦσθαι ἐν τῷ περὶ ἀρχῶν καὶ ἀσωμάτων λόγῳ οὐκ εὐοδοῦν αὐτούς. εἴτε γὰρ καθ' εἱμαρμένην φήσουσι τὰ γινόμενα πρὸς ἀνθρώπων γίνεσθαι, ἢ μηδὲν εἶναι Θεὸν, παρατρεπόμενα καὶ ἀλλοιούμενα, καὶ ἀναλυόμενα εἰς τὰ αὐτὰ ἀεὶ, φθαρτῶν μόνων φανήσονται κατάληψιν ἐσχηκέναι, καὶ αὐτὸν τὸν Θεὸν διά τε τῶν μερῶν, καὶ διὰ τοῦ ὅλου ἐν πάσῃ κακίᾳ γινόμενον· ἢ μηδὲν εἶναι κακίαν, μηδ' ἀρετήν· ὅπερ καὶ παρὰ πᾶσαν σώφρονα ἔννοιαν, καὶ λόγον, καὶ νοῦν ἐστί. καὶ τοὺς ἀπὸ τῶν Στωϊκῶν δὲ δογμάτων, ἐπειδὴ κἂν τὸν ἠθικὸν λόγον κόσμιοι γεγόνασιν, ὡς καὶ ἔν τισιν οἱ ποιηταὶ, διὰ τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου, μεμισῆσθαι καὶ πεφονεῦσθαι οἴδαμεν· Ἡράκλειτον μὲν, ὡς προέφημεν, καὶ Μουσώνιον δὲ ἐν τοῖς καθ' ἡμᾶς, καὶ ἄλλους οἴδαμεν. ὡς γὰρ ἐσημάναμεν, πάντας τοὺς κἂν ὁπωσδήποτε κατὰ λόγον βιοῦν σπουδάζοντας, καὶ κακίαν φεύγειν, μισεῖσθαι ἀεὶ ἐνήργησαν οἱ δαίμονες· οὐδὲν δὲ θαυμαστὸν, εἰ τοὺς κατὰ σπερματικοῦ λόγου μέρος, ἀλλὰ κατὰ τὴν τοῦ παντὸς λόγου, ὅ ἐστι Χριστοῦ, γνῶσιν καὶ θεωρίαν, πολὺ μᾶλλον μισεῖσθαι οἱ δαίμονες ἐλεγχόμενοι ἐνεργοῦσιν· οἳ τὴν ἀξίαν κόλασιν καὶ τιμωρίαν κομιοῦνται, ἐν αἰωνίῳ πυρὶ ἐγκλεισθέντες. εἰ γὰρ ὑπὸ τῶν ἀνθρώπων ἤδη διὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ ἡττῶνται, δίδαγμά ἐστι τῆς καὶ μελλούσης αὐτοῖς καὶ τοῖς λατρεύουσιν αὐτοῖς ἐσομένης ἐν πυρὶ αἰωνίῳ κολάσεως. οὕτως γὰρ καὶ οἱ προφῆται πάντες προεκήρυξαν γενήσεσθαι, καὶ Ἰησοῦς ὁ ἡμέτερος διδάσκαλος ἐδίδαξε. κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι, καὶ ξύλῳ ἐμπαγῆναι, ἢ κἂν ὑπὸ Κρίσκεντος τοῦ φιλοψόφου καὶ φιλοκόμπου· οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα· ὅς γε περὶ ἡμῶν ἃ μὴ ἐπίσταται, δημοσίᾳ καταμαρτυρεῖ, ὡς ἀθέων καὶ ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πολλῶν τῶν πεπλανημένων ταῦτα πράττων. εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι, κατατρέχει ἡμῶν, παμπόνηρός ἐστι, καὶ ἰδιωτῶν πολὺ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίστανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν· ἢ εἰ ἐντυχὼν τῷ ἐν αὐτοῖς μεγαλείῳ, [μὴ συνῆκεν,] ἢ συνεὶς, πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος, ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγεννὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν. καὶ γὰρ προθέντα με

με καὶ ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας, καὶ μαθεῖν, καὶ ἐλέγξαι ὅτι ἀληθῶς μηδὲν ἐπίσταται, εἰδέναι ὑμᾶς βούλομαι. καὶ ὅτι ἀληθῆ λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος καὶ ἐφ' ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ' ἂν καὶ τοῦτο ἔργον εἴη. εἰ δὲ καὶ ἐγνώσθησαν ὑμῖν αἱ ἐρωτήσεις μου, καὶ αἱ ἐκείνου ἀποκρίσεις, φανερὸν ὑμῖν ἐστιν, ὅτι οὐδὲν [τῶν ἡμετέρων] ἐπίσταται, ἤ, εἰ καὶ ἐπίσταται, διὰ τοὺς ἀκούοντας δὲ οὐ τολμᾷ λέγειν ὁμοίως Σωκράτει, ὡς προέφην, οὐ φιλόσοφος, ἀλλὰ φιλόδοξος ἀνὴρ δείκνυται, ὅς γε μηδὲ τὸ Σωκρατικὸν, ἀξιέραστον ὄν, τιμᾷ· Ἀλλ' οὔτι γε πρὸ τῆς ἀληθείας τιμητέος ἀνήρ:- ἀδύνατον δὲ κυνικῷ, ἀδιάφορον τὸ τέλος προθεμένῳ, τὸ ἀγαθὸν εἰδέναι πλὴν ἀδιαφορίας. ἵνα δὲ μή τις εἴπῃ τὸ λεγόμενον ὑπὸ τῶν νομιζομένων φιλοσόφων, ὅτι κόμποι καὶ φόβητρά ἐστι τὰ λεγόμενα ὑφ' ἡμῶν, ὅτι κολάζονται ἐν αἰωνίῳ πυρὶ οἱ ἄδικοι, καὶ διὰ φόβον, ἀλλ' οὐ διὰ τὸ καλὸν εἶναι καὶ ἀρεστὸν, ἐναρέτως βιοῦν τοὺς ἀνθρώπους ἀξιοῦμεν, βραχυεπῶς πρὸς τοῦτο ἀποκρινοῦμαι, ὅτι εἰ μὴ τοῦτό ἐστιν, οὔτε ἐστὶ Θεὸς, ἤ, εἰ ἔστιν, οὐ μέλει αὐτῷ τῶν ἀνθρώπων, καὶ οὐδέν ἐστιν ἀρετὴ, οὐδὲ κακία, καὶ, ὡς προέφημεν, ἀδίκως τιμωροῦσιν οἱ νομοθέται τοὺς παραβαίνοντας τὰ διατεταγμένα καλά. ἀλλ' ἐπεὶ οὐκ ἄδικοι ἐκεῖνοι, καὶ ὁ αὐτῶν πατὴρ τὰ αὐτὰ αὐτῷ πράττειν διὰ τοῦ λόγου διδάσκων, οἱ τούτοις συντιθέμενοι, οὐκ ἄδικοι. ἐὰν δέ τις τοὺς διαφόρους νόμους τῶν ἀνθρώπων προβάληται, λέγων ὅτι παρ' οἷς μὲν ἀνθρώποις τάδε καλὰ, τὰ δὲ αἰσχρὰ νενόμισται, παρ' ἄλλοις δὲ τὰ παρ' ἐκείνοις αἰσχρὰ καλὰ, καὶ τὰ καλὰ αἰσχρὰ νομίζεται, ἀκουέτω καὶ τῶν εἰς τοῦτο λεγομένων· καὶ νόμους διατάξασθαι τῇ ἑαυτῶν κακίᾳ ὁμοίους τοὺς πονηροὺς ἀγγέλους ἐπιστάμεθα, οἷς χαίρουσιν οἱ ὅμοιοι γενόμενοι ἄνθρωποι· καὶ ὀρθὸς λόγος παρελθὼν, οὐ πάσας δόξας, οὐδὲ πάντα δόγματα καλὰ ἀποδείκνυσιν, ἀλλὰ τὰ μὲν φαῦλα, τὰ δὲ ἀγαθά· ὥστε μοι καὶ πρὸς τοὺς τοιούτους τὰ αὐτὰ καὶ τὰ ὅμοια εἰρήσεται, καὶ λεχθήσεται διὰ πλειόνων, ἐὰν χρεία ᾖ. τανῦν δὲ ἐπὶ τὸ προκείμενον ἀνέρχομαι. μεγαλειότερα μὲν οὖν πάσης ἀνθρωπείου διδασκαλίας φαίνεται τὰ ἡμέτερα· διὰ τοῦτο λογικὸν τὸ ὅλον τὸν φανέντα δι' ἡμᾶς Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψυχήν. ὅσα γὰρ καλῶς ἀεὶ ἐφθέγξαντο καὶ εὗρον οἱ φιλοσοφήσαντες ἢ νομοθετήσαντες, κατὰ λόγου μέρος εὑρέσεως καὶ θεωρίας ἐστὶ πονηθέντα αὐτοῖς. ἐπειδὴ δὲ οὐ πάντα τὰ τοῦ λόγου ἐγνώρισαν, ὅς ἐστι Χριστὸς, καὶ ἐναντία ἑαυτοῖς πολλάκις εἶπον.

lo, me, qui quęstiones huius generis quasdā illi proposuerim, cognouisse, atq; argumētis etiā euicisse, nihil hominē certo vereq; scire. Quod ipse autem hæc ita veraciter loquar, si ad vos colloquia disputationum huiusmodi relata non sunt, paratus sum adhuc cū eo [ad fidē faciendam] apud vos de eis denuo sermonē conferre: & esset profecto id quoq; Imperio dignū opus. Sin cognitæ vobis sunt interrogationes meæ, atque illius responsiones: satis apud vos testatū perspicuumq; fuerit, nihil eū scire: aut certe si scit, propter auditores [suos] eloqui non audere, quo minus exemplum Socratis imitetur. Quę res illum, sicut antea dixi, non philosophum & sapientiæ amatorē, sed philodoxum & gloriæ aucupatorem esse declarat: qui nimirum Socraticum illud omniū comprobatione dignū non obseruet, *Nullum esse veritati præferendum virum.* Sed impossibile est homini Cynico, qui finem promiscuū, nullo adhibito rerum vitæq; certo delectu, est amplexus, bonū aliud nosse, quam adiaphoriæ & inordinatæ huiusmodi cōfusionis & indifferentiæ. Ne vero quispiam dicat, id quod a philosophis (vt esse putātur) iactatur, voces esse inanes & terriculamēta quæ a nobis de iniustis, in igne perpetuo eos torqueri, referuntur: ac nos vt propter timorē coacti, nō autē propter honestatem, libentes homines in vita virtutem sequantur, pręcepta dare: paucis ad hoc sic respondebo. Hoc si non sit, neque Deū esse: aut si sit, nihil illi curę esse res humanas; atq; nec virtutem esse, nec vitium: & iniuste, prout diximus, legislatores, eos qui honestatē cōstitutionibus ordinatam transgrediuntur, pœnis afficere. Sed enim quoniam illi iniusti non sunt, eorumq; patrēs eadē quæ ipse facit, facere per Rationem & Verbum docet: neq; qui doctrinis illis obsecundantes, consentiunt, iniusti sunt. Quod si quis diuersitatē legū humanarum variantium inter se obiciat, aliās quę a quibusdā hominib. vel pulchra vel turpia existimantur; ab aliis quæ illis sint pulchra, turpia; & quæ turpia, pulchra censeri: audiat quæ de hac quoq; re dicamus. Leges etiam maliciæ suæ congruentes angelos prauos cōstituisse scimus, quibus illorū similes gaudent homines. Verū recta accedens ratio non omnes sententias, neque præcepta omnia honesta esse cōmōstrat: sed hæc quidē praua, illa aūt bona. Quocirca aduersus hosce, hæc ipsa & similia a me dicentur atque differentur pluribus, cum vsus tulerit; nunc ad propositum redeo. Longe ampliores esse res nostras doctrinis humanis, omnibus constat: ob id, quod qui nostra causa apparuit, Christus rationalis ex parte omni factus est corpore, ratione, & anima. Et quæcunque recte quouis tempore dixerunt & inuenerūt Philosophi aut legumlatores, iuxta eā partē quæ rationis, inuentionis & cōtemplationis est, id ab eis est factū. Quia aūt non omnia quæ Rationis sunt & Verbi, id quippe Christus est, perviderūt & promulgarunt, cum diuersa a seipsis & contraria persæpe dixerunt;

tum qui ante Christum fuere, quod ratione pro captu humano innixi res plerasq; contemplari, explorare & arguere contéderint, tamquam impii & curiosi, ad iudicum tribunalia sunt protracti. Qui autem ad hoc omnium inter eos fuit vehementissimus Socrates, eiusdem nobiscum est accusatus criminis. nam illum dictum est noua dæmonia inferre; &, quos ciuitas cēseret esse, ipsum non putare deos. At ille dęmones quidem malos, & probrorū quę Poetę descripserunt patratores, vrbe exegit: hominesq; vt Homerū & poetas alios vitarét, docuit; & ad ignoti eis Dei per Rationis & Verbi inquisitionem cohortatus est, dicens: *Parentem autem & Opificem vniuersorum, neque inuenire facile, neq; inuentum in vulgus promulgare, tutū est.* Quæ Christus noster virtute & potentia ipse sua prçstitit & fecit. Ac Socrati quidē certe nemo tantum fidei habuit, vt pro placito eiuscemodi mortem perferret: CHRISTO autē, qui & a Socrate ex parte est agnitus; (Ratio enim & Verbum, fuit & est in vniuersitate rerum existens: qui & per prophetas quæ futura erant vaticinatus est, & per seipsum hæc par nobis perpessionibus factus, docuit) nō philosophi & philologi, id est sapientiæ & sermonis rationisq; amatores tantum, sed etiam manuarii artifices atq; idiotæ rudes, prorsus gloriam, metum & mortem floccifacientes, persuasione firma adducti crediderunt: quandoquidem is Virtus est Patris, quem verbis exprimere non est; atq; [illi ipsius] non humanæ rationis & verbi vasa. Enimuero neq; ita cæderemur, neque potentiores nobis essent iniusti simul & homines & dæmones, nisi quilibet qui ortus est homo, omnino mortis etiam debito esset implicatus. Idcirco nos debitum id persoluētes, gratias agimus. Cęterū & Xenophōtis illud in prçsentia apud Crescétē, & eos qui pariter cū illo mente capti insaniūt, recte atq; tépestiue me allegaturū puto. Herculē Xenophon ait in triuio quodam deambulantē, Virtutem & Prauitatē mulierū specie sibi oblatas inuenisse: ac Prauitatem quidem molliter vestitam, ac proinde florescenti illicibiliq; ad amorē, atque aspectu statim solo ad demulcendū composito vultu, ad eum dixisse: Si se sequeretur, effecturā esse vt lætus ille splēdidissimo, eiq; pari quem ipsa gestaret, mūdo exornatus, omnē exigeret ætatem. Virtutem autem, vultu & vestitu obscuro, ita verba fecisse: *At si mihi obsequère, non ornatu huiusmodi, neque forma fluxa & fragili teipsum condecorabis, sed æternis atq; honestis ornamentis. Nemo quippe qui suasionibus meis paret, ea quæ videntur pulchra fugiens; quæ vero habentur dura & irrationabilia persequens, beatitudinem non consequitur.* Prauitas namq; operibus suis velamentum, ea quæ virtutis sunt, & reuera pulchra sunt, per corruptibilium & caducorū æmulationē obtendens, (nihil enim quod corruptioni non subiaceat, nec habet,

καὶ οἱ προγεγραμμένοι τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπινον λόγῳ πειραθέντες τὰ πράγματα θεωρῆσαι καὶ ἐλέγξαι, ὡς ἀσεβεῖς καὶ περίεργοι εἰς δικαστήρια ἤχθησαν. ὁ πάντων δὲ αὐτῶν εὐτονώτερος πρὸς τοῦτο γενόμενος Σωκράτης, τὰ αὐτὰ ἡμῖν ἐνεκλήθη. καὶ γὰρ ἔφασαν αὐτὸν καινὰ δαιμόνια εἰσφέρειν, καὶ οὓς ἡ πόλις νομίζει θεοὺς, μὴ ἡγεῖσθαι αὐτόν· ὁ δὲ δαίμονας μὲν τοὺς φαύλους, καὶ τοὺς πράξαντας ἃ ἔφασαν οἱ ποιηταὶ, ἐκβαλὼν τῆς πολιτείας, καὶ Ὅμηρον, καὶ τοὺς ἄλλους ποιητὰς παραιτεῖσθαι τοὺς ἀνθρώπους ἐδίδαξε· πρὸς θεοῦ δὲ τοῦ ἀγνώστου αὐτοῖς, διὰ λόγου ζητήσεως ἐπίγνωσιν προὐτρέπετο εἰπὼν, Τὸν δὲ πατέρα καὶ δημιουργὸν πάντων οὔθ᾽ εὑρεῖν ῥᾴδιον, οὔθ᾽ εὑρόντα εἰς πάντας εἰπεῖν ἀσφαλές:- ἃ ὁ ἡμέτερος Χριστὸς διὰ τῆς ἑαυτοῦ δυνάμεως ἔπραξε. Σωκράτει μὲν γὰρ οὐδεὶς ἐπιστεύθη, ὑπὲρ τούτου τοῦ δόγματος ἀποθνήσκειν· Χριστῷ δὲ τῷ καὶ ὑπὸ Σωκράτους ἀπὸ μέρους γνωσθέντι, (λόγος γὰρ ἦν καὶ ἔστιν ὁ ἐν παντὶ ὢν, καὶ διὰ τῶν προφητῶν προειπὼν τὰ μέλλοντα γίνεσθαι, καὶ δι᾽ ἑαυτοῦ ὁμοιοπαθοῦς γενομένου καὶ διδάξαντος ταῦτα) οὐ φιλό- 131 σοφοι οὐδὲ φιλόλογοι μόνον ἐπείσθησαν, ἀλλὰ καὶ χειροτέχναι, καὶ παντελῶς ἰδιῶται, καὶ δόξης, καὶ φόβου, καὶ θανάτου καταφρονήσαντες· ἐπειδὴ δύναμίς ἐστι τοῦ ἀρρήτου πατρὸς, καὶ οὐχὶ ἀνθρωπείου λόγου τὰ σκεύη. οὐκ ἂν δὲ οὐδὲ ἐφονευόμεθα, οὐδὲ δυνατώτεροι ἡμῶν ἦσαν οἵ τε ἄδικοι ἄνθρωποι καὶ δαίμονες, εἰ μὴ πάντως παντὶ γεννωμένῳ ἀνθρώπῳ καὶ θανεῖν ὠφείλετο· ὅθεν καὶ τὸ ὄφλημα ἀποδιδόντες, εὐχαριστοῦμεν. καίτοι γε καὶ τὸ Ξενοφώντειον ἐκεῖνο νῦν πρός τε Κρίσκεντα, καὶ τοὺς ὁμοίως αὐτῷ ἀφραίνοντας, καλὸν καὶ εὔκαιρον εἰπεῖν ἡγούμεθα. τὸν Ἡρακλέα ἐπὶ τρίοδόν τινα ἔφη ὁ Ξενοφῶν βαδίζοντα, εὑρεῖν τήν τε ἀρετὴν καὶ τὴν κακίαν, ἐν γυναικῶν μορφαῖς φαινομένας· καὶ τὴν μὲν κακίαν, ἁβρᾷ ἐσθῆτι, καὶ ἐρωτοπεποιημένῳ, καὶ ἀνθοῦντι ἐκ τῶν τοιούτων προσώπῳ, θελκτικήν τε εὐθὺς πρὸς τὰς ὄψεις οὖσαν, εἰπεῖν πρὸς τὸν Ἡρακλέα, ὅτι ἢν αὐτῇ ἕπηται, ἡδόμενόν τε καὶ κεκοσμημένον τῷ λαμπροτάτῳ καὶ ὁμοίῳ τῷ περὶ αὐτὴν κόσμῳ διαιτήσειν ἀεὶ ποιήσει· καὶ τὴν ἀρετὴν ἐν αὐχμηρῷ μὲν τῷ προσώπῳ καὶ τῇ περιβολῇ οὖσαν, εἰπεῖν, Ἀλλ᾽ ἢν ἐμοὶ πείθῃ, οὐ κόσμῳ, οὐδὲ κάλλει τῷ ῥέοντι καὶ φθειρομένῳ ἑαυτὸν κοσμήσεις, ἀλλὰ τοῖς ἀϊδίοις καὶ καλοῖς κόσμοις. καὶ πάνθ᾽ ὁντινοῦν πεπείσμεθα φεύγοντα τὰ δοκοῦντα καλὰ, τὰ δὲ νομιζόμενα σκληρὰ καὶ ἄλογα μετερχόμενον, εὐδαιμονίαν ἐκδέχεσθαι. ἡ γὰρ κακία, πρόβλημα ἑαυτῆς τῶν πράξεων τὰ προσόντα τῇ ἀρετῇ καὶ ὄντως ὄντα καλὰ, διὰ μιμήσεως φθαρτῶν περιβαλλομένη, (ἄφθαρτον γὰρ οὐδὲν ἔχει

DCC

οὐδὲ ποιῆσαι δύναται) δουλαγωγεῖ τοὺς χαμαιπετεῖς τῶν ἀνθρώπων, τὰ προσόντα αὐτῇ φαῦλα τῇ ἀρετῇ περιθεῖσα· οἱ δὲ νενοηκότες τὰ προσόντα τῷ ὄντι καλά, καὶ ἄφθαρτοι τῇ ἀρετῇ. ὃ καὶ περὶ Χριστιανῶν, καὶ τῶν ἀπὸ τοῦ ἄθλου τῶν ἀνθρώπων, καὶ τῶν τοιαῦτα πραξάντων ὁποῖα ἔφησαν οἱ ποιηταὶ περὶ τῶν νομιζομένων θεῶν, ὑπολαβεῖν δεῖ. πάντα οὖν ἔχει ἐκ τοῦ καὶ τοῦ φευκτοῦ καταφρονεῖν ἡμᾶς θανάτου, λογισμὸν ἕλκοντα. καὶ γὰρ αὐτὸς ἐγὼ τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων Χριστιανούς, ὁρῶν δὲ ἀφόβους πρὸς θάνατον, καὶ πάντα τὰ [ἄλλα] νομιζόμενα φοβερά, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς. τίς γὰρ φιλήδονος, ἢ ἀκρατής, καὶ ἀνθρωπίνων σαρκῶν βορὰν ἀγαθὸν ἡγούμενος, δύναιτο ἂν θάνατον ἀσπάζεσθαι, ὅπως τῶν αὐτοῦ ἀγαθῶν στερηθῇ· ἀλλ' οὐκ ἐκ παντὸς ζῆν [μὲν] ἀεὶ τὴν ἐνθάδε βιοτήν, καὶ λανθάνειν τοὺς ἄρχοντας ἐπειρᾶτο· οὐχ ὅτι [γε] ἑαυτὸν κατήγγελλε φονευθησόμενον; ἤδη καὶ τοῦτο ἐνήργησαν οἱ φαῦλοι δαίμονες διά τινων πονηρῶν ἀνθρώπων πραχθῆναι. φονεύοντες γὰρ αὐτοί τινας ἐπὶ συκοφαντίᾳ τῇ εἰς ἡμᾶς, καὶ εἰς βασάνους εἵλκυσαν οἰκέτας τῶν ἡμετέρων, ἢ παῖδας, ἢ γύναια, καὶ δι' αἰκισμῶν φοβερῶν ἐξαναγκάζουσι κατειπεῖν ταῦτα τὰ μυθολογούμενα, ἃ αὐτοὶ φανερῶς πράττουσιν· ὧν ἐπειδὴ οὐδὲν πρόσεστιν ἡμῖν, οὐ φροντίζομεν, Θεὸν τὸν ἀγέννητον καὶ ἄρρητον μάρτυρα ἔχοντες τῶν τε λογισμῶν καὶ τῶν πράξεων. τίνος γὰρ χάριν οὐχὶ καὶ ταῦτα δημοσίᾳ ὁμολογοῦμεν ἀγαθά, καὶ φιλοσοφίαν θείαν αὐτὰ ἀποδείκνυμεν, φάσκοντες, Κρόνου μὲν μυστήρια τελεῖν ἐν τῷ ἀνδροφονεῖν, καὶ ἐν τῷ αἵματος ἐμπίπλασθαι, ὡς λέγεται, τὰ ἴσα τῷ παρ' ὑμῖν τιμωμένῳ εἰδώλῳ, ᾧ οὐ μόνον ἀλόγων ζώων αἵματα προσραίνεται, ἀλλὰ καὶ ἀνθρώπεια, διὰ τοῦ παρ' ὑμῖν ἐπισημοτάτου καὶ εὐγενεστάτου ἀνδρὸς τὴν πρόσχυσιν τοῦ τῶν φονευθέντων αἵματος ποιούμενοι· Διὸς δὲ καὶ τῶν ἄλλων θεῶν μιμηταὶ γινόμενοι ἐν τῷ ἀνδροβατεῖν καὶ γυναιξὶν ἀδεῶς μίγνυσθαι, Ἐπικούρου μὲν καὶ τὰ
134 τῶν ποιητῶν συγγράμματα ἀπολογίαν φέροντες· ἐπειδὴ δὲ ταῦτα τὰ μαθήματα, καὶ τοὺς ταῦτα πράξαντας καὶ μιμουμένους, φεύγειν πείθομεν, ὡς καὶ νῦν διὰ τῶνδε τῶν λόγων ἠγωνίσμεθα, ποικίλως πολεμούμεθα· ἀλλ' οὐ φροντίζομεν, ἐπεὶ Θεὸν τῶν πάντων ἐπόπτην δίκαιον οἴδαμεν. εἰ δὲ καὶ νῦν τις ἦν, τραγικῇ φωνῇ ἀνεβόησεν ἐπί τι βῆμα ὑψηλὸν ἀναβάς, Αἰδέσθητε αἰδέσθητε, ἃ φανερῶς πράττετε, εἰς ἀναιτίους ἀναφέροντες, καὶ τὰ προσόντα καὶ ἑαυτοῖς καὶ τοῖς ὑμετέροις θεοῖς,

nec facere potest) & quæ ei propria sunt mala virtuti imponens, in seruitutem adigit humi repentes homines. Verum qui mentis sunt compotes, cum vera virtutis bona intelligũt, tum illius beneficio sunt æterni. Quod & de Christianis, eisq; qui ad præmium percipiẽdum per certamina [virtutis] anhelant, & de his opinari oportet mortalibus, qui talia [per prauitatem] factis suis designarunt, qualia de diis, vt habentur, poetæ cecinerunt. Omnia igitur propter res [& expetendas] & fugiendas, rationem & cogitationem illam secum trahunt, vt magno mortem cõtemnamus animo. Nã & ego ipse Platonis disciplinæ sectator, cum calumniose audirem Christianos deferri, intrepide autem ad mortẽ & alia quæ terribilia esse cẽsentur omnia, adire conspicerem: statui ipse mecũ, fieri haudquaquam posse, vt illi in vitiorum prauitate & voluptatum amore viuerent. Quis etenim voluptatis consectator, aut per animi impotentiam intemperans, & humanarum carnium dapes pro bono ducens, mortem libẽter complecti queat, vt bonis suis seipsum priuet; ac non potius modis omnibus, vt hanc sibi continenter vitam agere, & celando principes & magistratus fallere liceat, operam nauet, nedum per denunciationem & indicium seipsum cædi offerat? Iã vero & illud, vt a malis quibusdam hominibus fieret, praui effecerũt genii. nã ad sycophanticã aduersus nos calumniã nonnullos necãntes, ad tormenta protraxerũt nostrorum seruos, aut pueros, aut mulierculas: vt per cruciatus horrẽdos & formidabiles, eorum quæ sermonibus vanis atq; fabulosis feruntur, flagitiorum extorquerent confessionem; quę flagitia ipsi manifesto faciunt; nos aũt, quoniam nihil ad nos pertinẽt, propterea non curamus, Deum ingenitum & ineffabilem testem cogitationum & factorũ habẽtes. Quanam enim de causa, ista quoq; bona publice nõ profitemur, aut diuinam ea philosophiã esse non ostendimus, dicẽdo: Saturni nos operari mysteriis, hominibus iugulandis, & manibus cruore implẽdis, eisdemque (vt dicitur) quæ apud simulacrũ fiunt quod apud vos colitur, faciendis: cui quidẽ nõ modo ratione carẽtium animãtium, sed hominũ quoq; ipsorum sanguis affluit, viro apud vos clarissimo & generosissimo profusionem eiusmodi cædibus procurãte; & Iouis aliorũque deorũ, absq; timore & pudore omni, cum viris iuxta & fœminis consuescendi imitatores esse, ex Epicuri & poetarum scriptis defensionẽ adducendo? Quoniam autem disciplinam eiusmodi improbamus, & qui talia faciunt & æmulantur, fugere suademus; pro eo atque id nunc quoque oratione hac nostra magnopere contendimus; multifariam oppugnamur. Sed nihil id curamus, quia Deũ inspectorem omnium iustum nouimus. Vtinã vero nunc etiam aliquis exsisteret, qui superiore quopiam e loco voce Tragica exclamaret: *Veremini, veremini, quæ manifeste ipsi perpetratis, ea in innoxios referre; & quæ vobis ipsis & vestris visum est diis,*

ea illis attribuere in quos ne tantilla quidem cadit pars scelerum tantorum: Mutamini, conuertimini, resipiscite. Nam & ego obtentum adulterinum, ad absterrendos alios homines, a peruersis dæmonibus Christianorũ diuinis doctrinis callide, vt earum veritatem in suspicionem falsi adducerent, iniectum esse intelligens; cum prætextum eũ ipsum, & multitudinis opinionem risi; tum vt Christianus inuenirer, me & votis omnibus optasse, & omni contentione decertasse profiteor: non equidem quod alienæ sint a Christo Platonis doctrinæ, sed quod sibi ipsis non omnino constent: sicuti neque aliorum, Stoicorũ videlicet, & Poetarum, & Historicorum. Pro se enim quisque ex parte natiuæ sibique insitæ diuinæ rationis, id quod affine & cognatum sibi esset cernens, recte promulgauit. Qui autem hisce contraria de rebus maioris momenti dixerunt, scientiam cõsistentem, & notionem irreprehẽsibilem eos consequutos non esse apparet. Quæcũque ergo apud omnes recte dicta sunt, nostra Christianorum sunt. Ingeniti namque & ineffabilis Dei Rationem ac Verbum secundum Deum, adoramus & com plectimur: quoniam nostra causa id homo factum est, vt perpessionum nostrarũ participatione medicinam nobis faceret. Nã scriptores omnes propter rationis semen illis insitum, perquã tenuiter ea quæ sint, cernere potuerunt. Aliud est enim semen alicuius, & imitatio pro virili parte cõcessa; & aliud ipsum [semen primarium] per cuius gratiam inde prouenientem, participatio illa & imitatio existit. Quapropter vos rogamus, vt senatuscõsulto, prout vobis visum fuerit, scripto, libellus hic præmittatur: vnde ab aliis etiam res nostræ cognosci atque illi ipsi [Christiani] suspicione falsa liberari queant, qui præter suã ipsorũ culpam suppliciis obnoxii fiunt, atque vt ad noticiam hominum ista perueniant, propterea quod in hominum natura notio honestatis & turpitudinis inest: tum aũt nostra etiam causa, quos illi tales ignorãt, quales ipsi dicunt, damnare fœditates: atque ob id etiam quod Valediis diximus, qui eius generis flagitia admiserunt, atque etiamnunc similia ab hominibus exposcũt. Atq; illi vtique seipsos ipsi calculis suis condemnãt, dũ nos quasi talia designantes, ad mortẽ aut vincula aut aliã eiuscemodi pœnã damnant, ita vt iam nõ aliis eis opus sit quæsitoribus. Ego vero etiam impiam atque erroneam in gẽte mea *Simonianam* despexi *disciplinam*.

περιβάλλοντες τούτοις, ὧν οὐδὲν οὐδ᾽ ἐπὶ ποσὸν μετουσία ἐστί. μετάθεσθε, σωφρονίσθητε. καὶ γὰρ ἐγὼ, μαθὼν περίβλημα πονηρὸν εἰς ἀποστροφὴν τῶν ἄλλων ἀνθρώπων περιτεθειμένον ὑπὸ τῶν φαύλων δαιμόνων τοῖς Χριστιανῶν θείοις διδάγμασι, καὶ ψευδολογούμενον ταῦτα, καὶ τοῦ περιβλήματος κατεγέλασα, καὶ τῆς παρὰ τοῖς πολλοῖς δόξης. Χριστιανὸς εὑρεθῆναι καὶ εὐχόμενος καὶ παμμάχως ἀγωνιζόμενος ὁμολογῶ· οὐχ ὅτι ἀλλότρια ἐστι τὰ Πλάτωνος διδάγματα τοῦ Χριστοῦ, ἀλλ᾽ ὅτι οὐκ ἔστι πάντη ὅμοια, ὥσπερ οὐδὲ τὰ τῶν ἄλλων, Στωικῶν τε, καὶ ποιητῶν, καὶ συγγραφέων. ἕκαστος γάρ τις, ἀπὸ μέρους τοῦ σπερματικοῦ θείου λόγου τὸ συγγενὲς ὁρῶν, καλῶς ἐφθέγξατο· οἱ δὲ τἀναντία αὐτοῖς ἐν κυριωτέροις εἰρηκότες, οὐκ ἐπιστήμην τὴν ἄποπτον, καὶ γνῶσιν τὴν ἀνέλεγκτον φαίνονται ἐσχηκέναι. ὅσα οὖν παρὰ πᾶσι καλῶς εἴρηται, ἡμῶν τῶν Χριστιανῶν ἐστί. τὸν γὰρ ἀπὸ ἀγεννήτου καὶ ἀρρήτου Θεοῦ λόγον μετὰ τὸν Θεὸν προσκυνοῦμεν καὶ ἀγαπῶμεν, ἐπειδὴ καὶ δι᾽ ἡμᾶς ἄνθρωπος γέγονεν, ὅπως καὶ τῶν παθῶν τῶν ἡμετέρων συμμέτοχος γενόμενος, καὶ ἴασιν ποιήσηται. οἱ γὰρ συγγραφεῖς πάντες, διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ λόγου σπορᾶς, ἀμυδρῶς ἐδύναντο ὁρᾶν τὰ ὄντα. ἕτερον γάρ ἐστι σπέρμα τινὸς καὶ μίμημα κατὰ δύναμιν δοθὲν, καὶ ἕτερον αὐτὸ οὗ κατὰ χάριν τὴν ἀπ᾽ ἐκείνου ἡ μετουσία καὶ μίμησις γίνεται. καὶ ὑμᾶς οὖν ἀξιοῦμεν ὑπογράψαντας τὸ ὑμῖν δοκοῦν, προθεῖναι τοῦτο τὸ βιβλίδιον, ὅπως καὶ τοῖς ἄλλοις τὰ ἡμέτερα γνωσθῇ, καὶ δύνωνται τῆς ψευδοδοξίας καὶ ἀγνοίας τῶν καλῶν ἀπαλλαγῆναι οἳ παρὰ τὴν ἑαυτῶν αἰτίαν ὑπεύθυνοι ταῖς τιμωρίαις γίνονται, εἰς τὸ γνωσθῆναι τοῖς ἀνθρώποις ταῦτα· διὸ ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων εἶναι τὸ γνωριστὸν καλοῦ καὶ αἰσχροῦ· καὶ διὰ τὸ ἡμῶν, οὓς οὐκ ἐπίστανται τοιαῦτα ὁποῖα λέγουσιν αἰσχρὰ καταψηφιζομένους, καὶ διὰ τὸ χαίρειν τοιαῦτα πράξασι θεοῖς, καὶ ἔτι νῦν ἀπαιτοῦσι παρὰ ἀνθρώπων τὰ ὅμοια, ἐκ τοῦ καὶ ἡμῖν ὡς τοιαῦτα πράττουσι, θάνατον, ἢ δεσμὰ, ἢ ἄλλο τι τοιοῦτον προστιμὸν ἑαυτοὺς κατακρίνειν, ὡς μὴ δεῖσθαι ἄλλων δικαστῶν. καὶ τοῦ ἐν τῷ ἐμῷ ἔθνει ἀσεβοῦς καὶ πλάνου Σιμωνιανοῦ διδάγματος, καταφρόνησα. ἐὰν δὲ ὑμεῖς τοῦτο προγράψητε, ἡμεῖς τοῖς πᾶσι φανερὸν ποιήσομεν, ἵνα εἰ δύναιντο μεταθῶνται. τούτου γε μόνου χάριν τούσδε τοὺς λόγους συνετάξαμεν. οὐκ ἔστι δὲ ἡμῶν τὰ διδάγματα κατὰ κρίσιν σώφρονα αἰσχρὰ, ἀλλὰ πάσης μὲν φιλοσοφίας ἀνθρωπείου ὑπέρτερα· εἰ δὲ μή, κἂν Σωταδείοις καὶ Φιλαινιδείοις καὶ ὀρχηστικοῖς καὶ Ἐπικουρείοις, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ποιητικοῖς διδάγμασιν

Quod si vos hanc edicto proposito petitionẽ publicaueritis, nostrum fuerit, rẽ omnẽ omnib. clarius exponere & declarare: vt illi, quoad eius fieri possit, resipiscant, & mutati melioresçãt: cuius vnius rei gratia tantũ libellũ hunc composuimus. Nõ sunt aũt doctrinæ & pręcepta nostra, si sanũ accedat iudiciũ, turpia; sed humana sapiẽtia omni lõge superiora: sin minus, Sotadiis certe quidẽ, & Philænidiis, & Saltatoriis, & Epicureis, aliisq; id genus poeticis institutionib.

non

[ὁ]μοια, οἷς ἐντυγχάνειν πᾶσι, καὶ γινομένοις καὶ γεγραμμένοις συγκεχώρηται. καὶ παυσόμεθα λοιπὸν ὅσον ἐφ' ἡμῖν ἦν πράξαντες, καὶ προσεπευξάμενοι τῆς ἀληθείας καταξιωθῆναι τοὺς πάντη πάντας ἀνθρώπους. εἴη οὖν καὶ ὑμᾶς ἀξίως εὐσεβείας καὶ φιλοσοφίας τὰ δίκαια ὑπὲρ ἑαυτῶν κρῖναι.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ
ΑΠΟΛΟΓΙΑ ΔΕΥΤΕΡΑ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ πρὸς Ἀντωνῖνον τὸν εὐσεβῆ.

Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ Ἀντωνίνῳ εὐσεβεῖ σεβαστῷ Καίσαρι, καὶ Οὐηρισσίμῳ υἱῷ φιλοσόφῳ, καὶ Λουκίῳ φιλοσόφου Καίσαρος φύσει υἱῷ, καὶ εὐσεβοῦς εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ, καὶ δήμῳ παντὶ Ῥωμαίων, ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδίκως μισουμένων καὶ ἐπηρεαζομένων, Ἰουστῖνος Πρίσκου, τοῦ Βακχείου, τῶν ἀπὸ Φλαουΐας νέας πόλεως τῆς Συρίας, [τῆς] Παλαιστίνης, εἷς αὐτῶν, τὴν προσφώνησιν καὶ ἔντευξιν πεποίημαι. Τοὺς κατὰ ἀλήθειαν εὐσεβεῖς καὶ φιλοσόφους μόνον τἀληθὲς τιμᾶν καὶ στέργειν ὁ λόγος ὑπαγορεύει, παραιτουμένους δόξαις παλαιῶν ἐξακολουθεῖν, ἂν φαῦλαι ὦσιν. οὐ γὰρ μόνον μὴ ἕπεσθαι τοῖς ἀδίκως τι πράξασιν ἢ δογματίσασιν ὁ σώφρων λόγος ὑπαγορεύει· ἀλλ' ἐκ παντὸς τρόπου, καὶ πρὸ τῆς ἑαυτοῦ ψυχῆς τὸν φιλαλήθη, κἂν θάνατος ἀπειλῆται, τὰ δίκαια λέγειν τε καὶ πράττειν αἱρεῖσθαι δεῖ. ὑμεῖς μὲν οὖν ὅτι λέγεσθε εὐσεβεῖς, καὶ φιλόσοφοι, καὶ φύλακες δικαιοσύνης, καὶ ἐρασταὶ παιδείας, ἀκούετε πανταχοῦ· εἰ δὲ καὶ ὑπάρχετε, δειχθήσεται. οὐ γὰρ κολακεύσοντες ὑμᾶς διὰ τῶνδε τῶν γραμμάτων, οὐδὲ πρὸς χάριν ὁμιλήσοντες, ἀλλ' ἀπαιτήσοντες κατὰ τὸν ἀκριβῆ καὶ ἐξεταστικὸν λόγον τὴν κρίσιν ποιήσασθαι, προσεληλύθαμεν, μὴ προλήψει μηδ' ἀνθρωπαρεσκείᾳ τῇ δεισιδαιμόνων κατεχομένους, ἢ ἀλόγῳ ὁρμῇ, καὶ χρονίᾳ προκατεσχηκυίᾳ φήμῃ κακῇ, τὴν καθ' ἑαυτῶν ψῆφον φέροντας. ἡμεῖς μὲν γὰρ πρὸς οὐδενὸς πείσεσθαί τι κακὸν δύνασθαι λελογίσμεθα, ἢν μὴ κακίας ἐργάται ἐλεγχώμεθα, ἢ πονηροὶ διεγνώσμεθα· ὑμεῖς δὲ, ἀποκτεῖναι μὲν δύνασθε, βλάψαι δ' οὔ. ἀλλ' ἵνα μὴ ἄλογον φωνὴν καὶ τολμηρὰν δόξῃ τις ταῦτα εἶναι, ἀξιοῦμεν τὰ κατηγορούμενα αὐτῶν ἐξετάζεσθαι, καὶ ἐὰν οὕτως ἔχοντα ἀποδεικνύωνται, κολάζεσθαι, ὡς πρέπον ἐστί, μᾶλλον δὲ κολάζειν· εἰ δὲ μηδὲν ἔχοι τις ἐλέγχειν, οὐχ ὑπαγορεύει ὁ ἀληθὴς λόγος διὰ φήμην πονηρὰν ἀναιτίους ἀνθρώπους ἀδικεῖν, μᾶλλον δὲ ἑαυτούς, οἳ οὐ κρίσει, ἀλλὰ πάθει τὰ πράγματα ἐπάγειν ἀξιοῦτε. καλὴν δὲ καὶ μόνην δικαίαν

nõ similia: quarũ & qui antea scripti sunt & qui nunc edũtur, libellos legere omnibus est permissum. Ac desinemus iam verba facere, connisi quantum in nobis fuit, votisque omnibus precati, vt omnes vbique homines, qui ad veritatis perueniant agnitionem, reperiãtur digni. Itaq; & vobis liceat, quod iustum est statuentibus, pro eo atque religionem & philosophiã decet, de vobis ipsis facere iudicium.

EIVSDEM IVSTINI
PRO CHRISTIANIS DEFENSIO II, ad Antoninum Pium.

Imperatori Tito Ælio Adriano Antonino Pio Augusto Cæsari, & Verissimo filio philosopho, & Lucio philosopho, Lucii quidẽ Cæsaris natiuo, Pii autem adoptiuo filio, eruditionis amatoribus; sacroq; Senatui, & populo Romano vniuerso; pro his qui ex omni hominũ genere iniuste odiis iniquis & violẽtæ vexationi sunt obnoxii: Iustinus Prisci Bacchii filius, Flauiæ (quæ noua ciuitas est Syriæ Palæstinæ) ortus, ex illis vnus, hanc orationem atque deprecationem offero. Qui vere Pii & Philosophi sunt, eos solã veritatẽ in precio habere & colere debere, ratio dictat: veterum opinionibus, si prauæ sint, insistere detrectãtes. Non enim solum, vt ne eos qui iniuste quidquam egerint aut statuerint sequamur, sana ratio suadet; verũetiã modis omnibus, præ sua quoq; ipsius anima, veri amatorem quemq;, vel si mors intẽtetur, vt quæ iusta sunt & dicat & faciat, eligere oportet. Ac vos quidem *Pii & Philosophi, & Iustitiæ custodes*, & *Eruditionis amatores*, quod sic vocemini, vbiq; auditis; an vero etiã sitis, res ipsa demõstrabit. Siquidẽ nõ adulaturi vos hoc scripto, neq; ad gratiã quidquam dicturi, sed vt iuxta exactam & exquisitã rationẽ iudiciũ faciatis, postulaturi accessimus: ne videlicet sententiæ [domo allatæ] præsumptione, neque superstitiosa hominibus placẽdi affectione, neq; præter rationẽ concepto impetu, & inueterata lõgo tempore fama mala præoccupati, cõtra vos ipsos calculũ feratis. Nostra quidẽ ratio est, a nemine nos quidquã mali pati posse, si nõ aut malefici coarguamur, aut praui [cognita causa] iudicemur esse: Vos aũt occidere quidẽ potestis, at nocere nõ potestis. Verũ ne quis hæc dicta contra rationem temere prolatam vocem esse existimet, oramus vt quæ ipsis [Christianis] obiiciuntur crimina, inquirãtur: atq; si ita se habere probata fuerint, pro eo atq; par est puniãtur, seu potius acrius etiã puniãtur. Sin nihil quisquam quod coarguere possit habeat; nõ dictat vera ratio, propter famã malã illũ insõtes homines, imo vos ipsos magis, qui nõ iudicio sed affectione pœnas inferre in animũ inducatis, iniuria afficere. Atq; hãc certe quidẽ

in ius vocandi & iudicii expediendi solã honestam & iustam esse rationé, quiuis sapiens censebit: si ciues subditi inculpabilem factorum dictorumq; suorum reddituros se rationem offerãt: itidem vero vicissim, si principes non vim & tyrãnidem, sed pietatem & philosophiam, calculo ferendo sequantur. Hoc namque pacto simul & principes, & qui principibus parẽt, bono perfruantur. Dixit enim & ex priscis quidam: *Nisi & principes & ciues philosophẽtur, fieri non posse vt beatæ sint respublicæ & ciuitates.* Nostrũ igitur fuerit, vitæ & doctrinæ nostræ inspiciẽdæ omnib. facere potestatem; ne nobis ipsis accepta referamus supplicia eorum delictorum, quæ hallucinãtes illi committũt, qui se res nostras ignorare existimant: vestrũ aũt. quemadmodũ ratio statuit, vt audita causa boni [in cognoscendo] inueniamini iudices. De cætero nãq;, hoc cũ intelligatis, nulla defensione excusari poteritis apud Deũ. Nominis sane quidem appellatione, neq; bonũ quidquã, neq; malũ, sine factis sub nomen ipsum cadentibus, iudicatur. Et quantum ad nomen ipsum pertinet, quod criminis loco nobis obiicitur, optimi certe sumus. Sed cũ iniquũ esse putemus, nos propter nomẽ, si mali esse cõperiamur, absolutionẽ petere: e diuerso, si nihil iniqui aut per nominis appellationem, aut per vitæ consuetudinem admittere conuincamur, [vt innocẽtes damnari] vestrarum fuerit partium, anxie vereri, ne iniuste in eos qui rei peracti non sunt, animaduertentes, a iusticia ipsi ad supplicium cõdemnemini. Ex nomine ipso certe neq; laus cuiquam neque pœna recte debetur: nisi quid vel per virtutem, vel per prauitatem factum esse ab eo probari potest. Ac vos quidẽ ex eis qui sacra vestra colũt, accusatos omnes nõ prius pœna, quã rei peragãtur, afficitis: de nostris aũt [Christianis] nomẽ ipsum tãquã criminis cõperti argumẽtũ arripitis, cũ quidẽ nominis causa delatores potius mulctare deberetis. Christiani enim esse deferimur: atqui χρηστὸν [hoc est cõmodũ & bonũ] odisse, iniustũ est. Et contra, si quis ex eis qui inter reos relatus est, se voce [Christianũ] esse neget, eũ absoluitis, tanquã nihil in eo quod delicti nomine reprehẽdatis, habẽtes. At si quis profiteatur esse, eũ propter professionẽ ipsã torquetis, cũ & in profitẽtis iuxta & innegãtis vitã inquirere deberetis, vt ex operibus, qualis quisq; esset, appareret. Ad quẽ enim modum quidã accepto a magistro CHRISTO præcepto, si inquirãtur, nõ infitiãtes [exẽplo alios ad fortitudinẽ] cohortantur: ad eundẽ modũ male viuentes nõnulli occasionẽ forsitã præbent, Christianos vniuersos temere proscindendi, eis qui impietatem & iniusticiã sibi consectandã proposuerunt. Nã & philosophiæ nomen & habitus quibusdã inscribitur & cõceditur, qui nihil professione sua dignũ præstant; neq; vos latet, eos quoq; qui longe diuersa a veteribus opinati atq; arbitrati sunt, vno & eodem cum illis nomine philosophos vocari. Sed enim nõnulli eorũ nullos esse deos docuere,

πρόκλησιν ταύτην πᾶς ὁ σωφρονῶν ἀποφανεῖται, τὸ τοὺς ἀρχομένους τὴν εὐθύνην τοῦ ἑαυτῶν βίου καὶ λόγου ἄληπτον παρέχειν· ὁμοίως δ' αὖ καὶ τοὺς ἄρχοντας μὴ βίᾳ μηδὲ τυραννίδι, ἀλλ' εὐσεβείᾳ καὶ φιλοσοφίᾳ ἀκολουθοῦντας, τὴν ψῆφον τίθεσθαι. οὕτως γὰρ ἂν καὶ οἱ ἄρχοντες καὶ οἱ ἀρχόμενοι ἀπολαύοιεν τοῦ ἀγαθοῦ. ἔφη γάρ που καί τις τῶν παλαιῶν, 136 « Ἂν μὴ οἱ ἄρχοντες φιλοσοφήσωσι, καὶ οἱ ἀρχόμενοι, « οὐκ ἂν εἴη τὰς πόλεις εὐδαιμονῆσαι. « Ἡμέτερον οὖν ἔργον, καὶ βίου καὶ μαθημάτων τὴν ἐπίσκεψιν πᾶσι παρέχειν, ὅπως ὑπὲρ τῶν ἀγνοεῖν τὰ ἡμέτερα νομιζόντων, τὴν τιμωρίαν ὧν ἂν πλημμελῶσι τυφλώττοντες αὐτῶν, αὐτοῖς ὀφλήσωμεν· ὑμέτερον δέ, ὡς αἱρεῖ λόγος, ἀκούοντας, ἀγαθοὺς εὑρίσκεσθαι κριτάς. ἀναπολόγητον γὰρ λοιπὸν μαθοῦσιν, ἢν μὴ τὰ δίκαια ποιήσητε, ὑπάρξει πρὸς Θεόν. ὀνόματος μὲν οὖν προσωνυμία, οὔτε ἀγαθὸν οὔτε κακὸν κρίνεται ἄνευ τῶν ὑποπιπτουσῶν τῷ ὀνόματι πράξεων· ἐπεί, ὅσον γε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος, χρηστότατοι ὑπάρχομεν. ἀλλ' ἐπεὶ οὐ τοῦτο δίκαιον ἡγούμεθα, διὰ τὸ ὄνομα, ἐὰν κακοὶ ἐλεγχώμεθα, αἰτεῖν ἀφίεσθαι, πάλιν, εἰ μηδὲν διά τε τὴν προσηγορίαν τοῦ ὀνόματος, καὶ διὰ τὴν πολιτείαν εὑρισκόμεθα ἀδικοῦντες, ὑμέτερον ἀγωνιᾶσαί ἐστι, μὴ ἀδίκως κολάζοντες τοὺς μὴ ἐλεγχομένους, τῇ δίκῃ κόλασιν ὀφλήσητε. ἐξ ὀνόματος μὲν γὰρ ἢ ἔπαινος ἢ κόλασις οὐκ ἂν εὐλόγως γένοιτο, ἢν μή τι ἐνάρετον ἢ φαῦλον δι' ἔργων ἀποδείκνυσθαι δύνηται. καὶ γὰρ τοὺς κατηγορουμένους ἐφ' ὑμῶν πάντας πρὶν ἐλεγχθῆναι οὐ τιμωρεῖτε· ἐφ' ἡμῶν δὲ τὸ ὄνομα ὡς ἔλεγχον λαμβάνετε, καίπερ, ὅσον γε ἐκ τοῦ ὀνόματος, τοὺς κατηγοροῦντας μᾶλλον κολάζειν ὀφείλετε. Χριστιανοὶ γὰρ εἶναι κατηγορούμεθα· τὸ δὲ χρηστὸν μισεῖσθαι οὐ δίκαιον. καὶ πάλιν, ἐὰν μέν τις τῶν κατηγορουμένων ἔξαρνος γένηται τῇ φωνῇ μὴ εἶναι φήσας, ἀφίετε αὐτόν, ὡς μηδὲν ἐλέγχειν ἔχοντες ἁμαρτάνοντα· ἐὰν δέ τις ὁμολογήσῃ εἶναι, διὰ τὴν ὁμολογίαν κολάζετε· δέον καὶ τὸν τοῦ ὁμολογοῦντος βίον εὐθύνειν, καὶ τὸν τοῦ ἀρνουμένου, ὅπως διὰ τῶν πράξεων ὁποῖός ἐστιν ἕκαστος φαίνηται. ὃν γὰρ τρόπον παραλαβόντες τινὲς παρὰ τοῦ διδασκάλου Χριστοῦ μὴ ἀρνεῖσθαι ἐξεταζόμενοι παρακελεύονται, τὸν αὐτὸν τρόπον κακῶς ζῶντες, ἴσως ἀφορμὰς παρέχουσι τοῖς ἄλλως καταλέγειν τῶν πάντων Χριστιανῶν ἀσέβειαν καὶ ἀδικίαν αἱρουμένοις. οὐκ ὀρθῶς μὲν οὐδὲ τοῦτο πράττεται· καὶ γάρ τοι φιλοσοφίας ὄνομα καὶ σχῆμα ἐπιγράφονταί τινες οἳ οὐδὲν ἄξιον τῆς ὑποσχέσεως πράττουσι. γινώσκετε δ' ὅτι καὶ οἱ τὰ ἐναντία δοξάσαντες καὶ δογματίσαντες τῶν παλαιῶν, τῷ ἑνὶ ὀνόματι προσαγορεύονται φιλόσοφοι· καὶ τούτων τινὲς ἀθεότητα ἐδίδαξαν·

καὶ τὸν Δία ἀσελγῆ ἅμα τοῖς αὐτοῦ παισὶν οἱ γενόμενοι ποιηταὶ καταγγέλλουσι· κἀκείνων τὰ διδάγματα οἱ μετερχόμενοι, οὐκ εἴργονται πρὸς ὑμῶν. ἆθλα δὲ καὶ τιμὰς τοῖς εὐφώνως ὑβρίζουσι τούτοις τίθετε. τί δὴ οὖν τοῦτ' ἂν εἴη ἐφ' ἡμῶν, ὑπισχνουμένων μηδὲν ἀδικεῖν, μηδὲ τὰ ἄθεα ταῦτα δοξάζειν; οὐ κρίσεις ἐξετάζετε, ἀλλὰ ἀλόγῳ πάθει καὶ μάστιγι δαιμόνων φαύλων ἐξελαυνόμενοι, ἀκρίτως κολάζετε μὴ φροντίζοντες· εἰρήσεται γὰρ τἀληθές, ἐπεὶ τὸ παλαιὸν δαίμονες φαῦλοι, ἐπιφανείας ποιησάμενοι, καὶ γυναῖκας ἐμοίχευσαν, καὶ παῖδας διέφθειραν, καὶ φόβητρα ἀνθρώποις ἔδειξαν, ὡς καταπλαγῆναι τοὺς οἳ λόγῳ τὰς γινομένας πράξεις οὐκ ἔκρινον, ἀλλὰ δέει συνηρπασμένοι, καὶ μὴ ἐπιστάμενοι δαίμονας εἶναι φαύλους, θεοὺς προσωνόμαζον, καὶ ὀνόματι ἕκαστον προσηγόρευον, ὅπερ ἕκαστος αὐτῷ τῶν δαιμόνων ἐτίθετο. ὅτε δὲ Σωκράτης λόγῳ ἀληθεῖ καὶ ἐξεταστικῶς ταῦτα εἰς φανερὸν ἐπειρᾶτο φέρειν, καὶ ἀπάγειν τῶν δαιμόνων τοὺς ἀνθρώπους, καὶ αὐτοὶ οἱ δαίμονες διὰ τῶν χαιρόντων τῇ κακίᾳ ἀνθρώπων ἐνήργησαν ὡς ἄθεον καὶ ἀσεβῆ ἀποκτεῖναι, λέγοντες καινὰ εἰσφέρειν αὐτὸν δαιμόνια. καὶ ὁμοίως ἐφ' ἡμῶν τὸ αὐτὸ ἐνεργοῦσιν. οὐ γὰρ μόνον Ἕλλησι διὰ Σωκράτους ὑπὸ λόγου ἠλέγχθη ταῦτα, ἀλλὰ καὶ ἐν βαρβάροις ὑπ'
137 αὐτοῦ τοῦ λόγου μορφωθέντος καὶ ἀνθρώπου γενομένου, καὶ Ἰησοῦ Χριστοῦ κληθέντος. ᾧ πεισθέντες ἡμεῖς, τοὺς ταῦτα πράξαντας δαίμονας οὐ μόνον μὴ ὀρθοὺς εἶναί φαμεν, ἀλλὰ κακοὺς καὶ ἀνοσίους δαίμονας, οἳ οὐδὲ τοῖς ἀρετὴν ποθοῦσιν ἀνθρώποις τὰς πράξεις ὁμοίας ἔχουσιν· ἐνθένδε καὶ ἄθεοι κεκλήμεθα, καὶ ὁμολογοῦμεν τῶν τοιούτων νομιζομένων θεῶν ἄθεοι εἶναι, ἀλλ' οὐχὶ τοῦ ἀληθεστάτου, καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύνης, καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τε κακίας Θεοῦ· ἀλλ' ἐκεῖνόν τε, καὶ τὸν παρ' αὐτοῦ υἱὸν ἐλθόντα καὶ διδάξαντα ἡμᾶς ταῦτα καὶ τὸν τῶν ἄλλων ἑπομένων καὶ ἐξομοιουμένων ἀγαθῶν ἀγγέλων στρατόν, πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα, καὶ προσκυνοῦμεν, λόγῳ καὶ ἀληθείᾳ τιμῶντες, καὶ παντὶ βουλομένῳ μαθεῖν, ὡς ἐδιδάχθημεν, ἀφθόνως παραδιδόντες. Ἀλλὰ φήσει τις, ἤδη τινὲς ληφθέντες ἠλέγχθησαν κακοῦργοι· καὶ γὰρ πολλοὺς πολλάκις, ὅταν ἑκάστοτε τῶν κατηγορουμένων τὸν βίον ἐξετάζητε· ἀλλ' οὐ διὰ τοὺς προλεχθέντας καταδικάζετε. καθόλου μὲν οὖν κἀκεῖνο ὁμολογοῦμεν, ὅτι ὃν τρόπον οἱ ἐν Ἕλλησι τὰ αὐτοῖς ἀρεστὰ δογματίσαντες, ἐκ παντὸς τῷ ἑνὶ ὀνόματι φιλοσοφίας προσαγορεύονται, καίπερ τῶν δογμάτων ἐναντίων ὄντων· οὕτως καὶ τῶν ἐν βαρβάροις γενομένων καὶ δοξάντων σοφῶν, τὸ ἐπικατηγορούμενον ὄνομα κοινόν ἐστι.

& Iouem vna cum liberis suis impudicum promulgant: eorumque doctrinam qui vel legunt, vel agendo repræsentant, tantum abest vt a vobis prohibeantur, vt pręmia quoque & honores eis qui maxime sunt ad contumeliam illorum referẽdam vocales, constituatis. Quid vero tãdem id in nobis fuerit, recipientibus nihil nos iniuste agere, neque hæc ipsa diuinitatem omnino abolentia opinari & docere? Nõ legitimo examine iudicia exercetis: sed affectu præter rationem transuersim ducti, & malignorum geniorum flagris [quasi furiis] incitati, causa non iudicata supplicia infertis; nihil pensi habentes. dicetur namq; quod res est. Quãdoquidem & antiquitus peruersi dæmones, per spectra apparentes, mulieres constuprarunt & pueros imminuerunt, & terriculamenta hominibus exhibuerunt: vt attoniti illi redditi, qui res ipsas quæ fiebãt nõ ratione iudicabant, ac metu correpti, dæmones malos esse nesciebãt, deos illos vocarẽt, & nomine quemque quod sibi dæmonũ quisq; imposuerat, appellarẽt. Postquã vero Socrates ratione vera hęc per inquisitionem in apertũ proferre, & mortales a dæmonibus abducere est annisus: illi ipsi dæmones, per homines prauitate gaudentes effecerunt, vt quasi ἄθεος (id est nullius diuinitatis & impius vir) noua inducẽs dæmonia, occideretur. Idipsum itidẽ de nobis faciunt. Nõ modo enim apud Græcos per Socratẽ a Ratione hæc sunt reprehẽsa, sed apud barbaros quoq; ab ipsamet Ratione & Verbo conformato & homine facto, atque IESV CHRISTO dicto. Cui nos credẽtes, eos qui hæc patrarũt dæmones, non tantũ nõ rectos esse dicimus, sed malos etiã & impuros dæmones: quib. ne hominũ quidẽ, virtutẽ expetẽtiũ similes sint actiones. Quare brem & ἄθεοι (hoc est nullorũ deorũ) cognominamur. Et profitemur quidẽ nos talium qui habentur deorũ esse expertes & atheos: sed non verissimi illius Dei, Patris videlicet iustitiæ & castitatis, & virtutum aliarum, & ab omni vitiositatis mixtione & labe alieni, expertes. Verũ hũc ipsum, & qui ab eo venit, atque ista nos, & aliorũ obsequentiũ exæquatorũq; [ad voluntatẽ eius] bonorũ angelorũ exercitũ docuit, Filiũ, & Spiritũ propheticum, colimus & adoramus; cũ ratione & veritate venerantes, atq; vnicuiq; discere atque nosse volenti, pro eo atq; edocti sumus, candide [hæc] tradẽtes. Sed dicet aliquis: Iam nonnulli ex comprehensis, criminis sunt cõuicti, & malefici cõperti. Scilicet persæpe nõ paucos, cũ eorum qui accusantur vitã plerũq; disquiritis, nõ tamẽ propter prædictos [Christianos] cõdemnatis. In vniuersum nãq; & illud fatemur, sicut apud Græcos qui placita sua diuersi in disciplinas retulerũt, omnes vno Philosophiæ cẽsentur nomine, quãuis eorũ dogmata inter se dissideant: ita sane & apud barbaros, qui exstiterunt & reputati sunt sapientes, cõmune sibi inditũ nomẽ obtinẽt.

nam *Christiani* omnes vocantur. Quapropter vt facta omnium quorũ nomina deferuntur, iudicentur, rogamus; vt criminis manifestus, tamquã iniustus, non tamquã Christianus, puniatur: Sin inculpatus quis comperiatur, vt absoluatur tamquã Christianus, qui nihil iniusti egerit. Porro vt in delatores ipsos animaduertatis, minime petemus. Sufficit enim illis sua malignitas, & bonarum rerũ ignoratio. Illud sane vos considerare velim, pro vobis nos hæc dicere: eo quod in nostra est potestate, vt cũ inquirimur, negemus. Sed viuere nolumus, mendaciter quidquã loquẽtes. Sempiternã nãque & purã vitã concupiscẽtes, ad consuetudinẽ cũ Deo parẽte & opifice vniuersorũ viuendi aspiramus, & ad confeßionem Christianã festinamus: persuasum habentes atq; credentes, cõsequi hæc eos posse, qui factis ipsis Deo probant se illum consectari, & vitæ eius consuetudinem adamare, in qua nullam aduersariam persentire est prauitatem. Atque equidem, quoad paucis dicere licet, quæ [a Deo] exspectemus, & per Christũ didicerimus & doceamus, hæc sunt. Plato vero Rhadamanthum & Minoem itidem iniustos ad se venientes plexurum esse docuit: nos autẽ idipsum etiam factũ iri dicimus; sed a CHRISTO, corporibus eisdẽ cũ animabus suis vniendis; atq; æternis prorsus, ac non eis tantũ qui mille annorũ decurso ambitu durẽt, vt ille ait, cruciatibus torquẽdis. Quod si hoc quispiã nobis dicat, Incredibile esse atq; impossibile: in errorẽ hoc alium ex alio seductio fuerit, tãtisper dũ re ipsa nihil nos iniqui admittere cõstet. Sed neq; victimis multis & florũ coronis colimus, quos homines effigiãtes & in templis collocãtes, Deos cognominarũt: quandoquidẽ hæc anima carentia, mortua, & Dei formã non habẽtia [simulacra] nouimus esse. Minime nãq; gẽtiũ talem Deũ obtinere speciẽ, qualẽ quidã dicũt, honoris gratia per imitationem esse expressam: verũ signa ista illorum qui apparuerũt malorũ geniorũ & nomina & formas referre ducimus. Quid enim opus est apud vos qui scitis cõmemorare, quomodo artifices materiã tractent, poliẽtes eã, & incidentes, & conflãtes, & pulsantes, & ex inhonestis sæpenumero vasis, figurã tantum mutantes & conformãtes, atque exinde Deos cognominantes. Quam rem non modo præter rationem omnem esse, verum etiam cum contumelia eã Dei fieri statuimus: cui ineloquibilẽ claritatem & formam obtinenti in rebus corruptibilitati subiectis, & cura egentibus nomen inditur. Atque horum opifices impudicos, & omni prauitate, ne scelera eorum singulatim dinumeremus, obsitos esse, certo nostis, quippe qui ancillas etiam suas operis istiusmodi adiutrices constuprant. O stuporem e fulmine attonitum. Homines impuros deos, qui adorentur, fingere & transformare profitemini: & fanorum, vbi illi consecrantur & reponuntur, custodes atq; æditUos cõstituere vos dicitis: non prospiciẽtes, & cogitatu & dictu nefas esse, homines

Χριστιανοὶ γὰρ πάντες προσαγορεύονται. ὅθεν πάντων τῶν καταγγελλομένων ὑμῖν, τὰς πράξεις κρίνεσθαι ἀξιοῦμεν, ἵνα ὁ ἐλεγχθεὶς ὡς ἄδικος κολάζηται, ἀλλὰ μὴ ὡς Χριστιανός· ἐὰν δέ τις ἀνέλεγκτος φαίνηται, ἀπολύηται, ὡς Χριστιανὸς οὐδὲν ἀδικῶν. οὐ γὰρ τοὺς κατηγοροῦντας κολάζειν ὑμᾶς ἀξιώσομεν· ἀρκοῦνται γὰρ τῇ προσούσῃ πονηρίᾳ, καὶ τῇ τῶν καλῶν ἀγνοίᾳ· λογίσασθε δ' ὅτι ὑπὲρ ὑμῶν ταῦτα ἔφημεν, ἐκ τοῦ ἐφ' ἡμῖν εἶναι ἀρνεῖσθαι ἐξεταζομένους, ἀλλ' οὐ βουλόμεθα ζῆν ψευδολογοῦντες. τοῦ γὰρ αἰωνίου καὶ καθαροῦ βίου ἐπιθυμοῦντες, τῆς μετὰ Θεοῦ τοῦ πάντων πατρὸς καὶ δημιουργοῦ διαγωγῆς ἀντιποιούμεθα, καὶ σπεύδομεν ἐπὶ τὸ ὁμολογεῖν, οἱ πεπεισμένοι καὶ πιστεύοντες τυχεῖν τούτων δύνασθαι τοὺς τὸν Θεὸν δι' ἔργων πείσαντας ὅτι αὐτῷ εἵποντο, καὶ τῆς παρ' αὐτῷ διαγωγῆς ἤρων, ἔνθα κακία οὐκ ἀντιτυπεῖ. Ὡς μὲν οὖν διὰ βραχέων εἰπεῖν, ἅ τε προσδοκῶμεν, καὶ μεμαθήκαμεν διὰ τοῦ Χριστοῦ, καὶ διδάσκομεν, ταῦτά ἐστι. Πλάτων δὲ ὁμοίως ἔφη Ῥαδάμανθυν καὶ Μίνω κολάσειν τοὺς ἀδίκους παρ' αὐτοὺς ἐλθόντας· ἡμεῖς δὲ, τὸ αὐτὸ πρᾶγμα φαμὲν γενήσεσθαι, ἀλλ' ὑπὸ τοῦ Χριστοῦ, καὶ τοῖς αὐτοῖς σώμασι μετὰ τῶν ψυχῶν γινομένων, καὶ αἰωνίαν κόλασιν κολασθησομένων, ἀλλ' οὐχὶ χιλιονταετῆ περίοδον, ὡς ἐκεῖνος ἔφη, μόνον. εἰ μὲν οὖν ἄπιστον ἢ ἀδύνατον τοῦτο φήσει τις πρὸς ἡμᾶς, ἥδε ἡ πλάνη ἐστὶν ἄλλου πρὸς ἕτερον, μέχρις οὗ ἔργῳ μηδὲν ἀδικοῦντες ἐλεγχόμεθα. ἀλλ' οὐδὲ θυσίαις πολλαῖς καὶ πλοκαῖς ἀνθῶν τιμῶμεν οὓς ἄνθρωποι μορφώσαντες, καὶ ἐν ναοῖς ἱδρύσαντες, θεοὺς προσωνόμασαν· ἐπεὶ ἄψυχα καὶ νεκρὰ ταῦτα γινώσκομεν, καὶ Θεοῦ μορφὴν μὴ ἔχοντα. οὐ γὰρ τοιαύτην ἡγούμεθα τὸν Θεὸν ἔχειν τὴν μορφὴν ἥν φασί τινες εἰς τιμὴν μεμιμῆσθαι, ἀλλ' ἐκείνων τῶν φανέντων κακῶν δαιμόνων καὶ ὀνόματα καὶ σχήματα ἔχειν. τί γὰρ δεῖ εἰδόσιν ὑμῖν λέγειν, ἃ τὴν ὕλην οἱ τεχνῖται διατιθέασι, ξέοντες καὶ τέμνοντες, καὶ χωνεύοντες καὶ τύπτοντες, καὶ ἐξ ἀτίμων πολλάκις σκευῶν, διὰ τέχνης τὸ σχῆμα μόνον ἀλλάξαντες καὶ μορφοποιήσαντες, θεοὺς ἐπονομάζουσιν; ὅπερ οὐ μόνον ἄλογον ἡγούμεθα, ἀλλὰ καὶ ἐφ' ὕβρει τοῦ Θεοῦ γίνεσθαι, ὃς ἄρρητον δόξαν καὶ μορφὴν ἔχων, ἐπὶ φθαρτοῖς καὶ δεομένοις θεραπείας πράγμασιν ἐπονομάζεται. καὶ ὅτι οἱ τούτων τεχνῖται ἀσελγεῖς τε, καὶ πᾶσαν κακίαν, ἵνα μὴ καταριθμῶμεν, ἔχουσιν, ἀκρι- 138 βῶς ἐπίστασθε· καὶ τὰς ἑαυτῶν παιδίσκας συνεργαζομένας φθείρουσιν. ὢ τῆς ἐμβροντησίας, ἀνθρώπους ἀκολάστους, θεοὺς εἰς τὸ προσκυνεῖσθαι πλάσσειν λέγεσθαι, καὶ μετατιθέναι· καὶ τῶν ἱερῶν, ἔνθα ἀνατίθενται, φύλακας τοιούτους καθιστάναι· μὴ συνορῶντας ἀθέμιτον καὶ τὸ νοεῖν ἢ λέγειν ἀνθρώπους

θεῶν εἶναι φύλακας. ἀλλ' οὐ δεῖσθαι τῆς παρὰ ἀνθρώπων ὑλικῆς προσφορᾶς προσειλήφαμεν τὸν Θεόν, αὐτὸν παρέχοντα πάντα ὁρῶντες· ἐκείνους δὲ προσδέχεσθαι αὐτὸν μόνον δεδιδάγμεθα, καὶ πεπείσμεθα καὶ πιστεύομεν, τοὺς τὰ προσόντα αὐτῷ ἀγαθὰ μιμουμένους, σωφροσύνην καὶ δικαιοσύνην καὶ φιλανθρωπίαν, καὶ ὅσα οἰκεῖα Θεῷ ἐστι, τῷ μηδενὶ ὀνόματι θετῷ καλουμένῳ· καὶ πάντα τὴν ἀρχὴν ἀγαθὸν ὄντα δημιουργῆσαι αὐτὸν ἐξ ἀμόρφου ὕλης δι' ἀνθρώπους δεδιδάγμεθα· οἳ ἐὰν ἀξίους τῷ ἐκείνου βουλεύματι ἑαυτοὺς δι' ἔργων δείξωσι, τῆς μετ' αὐτοῦ ἀναστροφῆς καταξιωθῆναι προσειλήφαμεν συμβασιλεύοντας, ἀφθάρτους καὶ ἀπαθεῖς γενομένους. ὃν τρόπον γὰρ τὴν ἀρχὴν οὐκ ὄντας ἐποίησε, τὸν αὐτὸν ἡγούμεθα τρόπον, διὰ τὸ ἑλέσθαι τοὺς αἱρουμένους τὰ αὐτῷ ἀρεστά, καὶ ἀφθαρσίας καὶ συνουσίας καταξιωθῆναι. τὸ μὲν γὰρ τὴν ἀρχὴν γενέσθαι, οὐχ ἡμέτερον ἦν· τὸ δὲ ἐξακολουθῆσαι οἷς φίλον αὐτῷ, αἱρουμένους δι' ὧν αὐτὸς ἐδωρήσατο λογικῶν δυνάμεων, πείθει τε καὶ εἰς πίστιν ἄγει ἡμᾶς. καὶ ὑπὲρ πάντων ἀνθρώπων ἡγούμεθα εἶναι τὸ μὴ εἴργεσθαι ταῦτα μανθάνειν, ἀλλὰ καὶ προτρέπεσθαι ἐπὶ ταῦτα· ὅπερ γὰρ οὐκ ἠδυνήθησαν οἱ ἀνθρώπειοι νόμοι πρᾶξαι, ταῦτα ὁ λόγος θεῖος ὢν εἰργάσατο, εἰ μὴ οἱ φαῦλοι δαίμονες κατεσκέδασαν πολλὰ ψευδῆ καὶ ἄθεα κατηγορήματα, σύμμαχον λαβόντες τὴν ἐν ἑκάστῳ κακὴν πρὸς πάντα καὶ ποικίλην φύσει ἐπιθυμίαν, ὧν οὐδὲν πρόσεστιν ἡμῖν. καὶ ὑμεῖς, ἀκούσαντες βασιλείαν προσδοκῶντας ἡμᾶς, ἀκρίτως ἀνθρώπινον λέγειν ἡμᾶς ὑπειλήφατε, ἡμῶν τὴν μετὰ Θεοῦ λεγόντων, ὡς καὶ ἐκ τοῦ ἀνεταζομένους ὑφ' ὑμῶν ὁμολογεῖν εἶναι Χριστιανούς, γινώσκοντας τῷ ὁμολογοῦντι θάνατον τὴν ζημίαν κεῖσθαι, φαίνεται. εἰ γὰρ ἀνθρώπινον βασιλείαν προσεδοκῶμεν, κἂν ἠρνούμεθα ὅπως μὴ ἀναιρώμεθα, καὶ λανθάνειν ἐπειρώμεθα ὅπως τῶν προσδοκωμένων τύχωμεν· ἀλλ' ἐπεὶ οὐκ εἰς τὸ νῦν τὰς ἐλπίδας ἔχομεν, ἀναιρούντων οὐ πεφροντίκαμεν, τοῦ καὶ πάντως ἀποθανεῖν ὀφειλομένου. ἀρωγοὶ δὲ ὑμῖν καὶ σύμμαχοι πρὸς εἰρήνην ἐσμὲν πάντων μᾶλλον ἀνθρώπων, οἳ ταῦτα δοξάζομεν, ὡς λαθεῖν Θεὸν, κακοεργὸν, ἢ πλεονέκτην, ἢ ἐπίβουλον, ἢ ἐνάρετον, ἀδύνατον εἶναι, καὶ ἕκαστον ἐπ' αἰωνίαν κόλασιν ἢ σωτηρίαν κατ' ἀξίαν τῶν πράξεων πορεύεσθαι. εἰ γὰρ οἱ πάντες ἄνθρωποι ταῦτα ἐγίνωσκον, οὐκ ἄν τις τὴν κακίαν πρὸς ὀλίγον ᾑρεῖτο, γινώσκων πορεύεσθαι ἐπ' αἰωνίαν διὰ πυρὸς κατάδικην, ἀλλ' ἐκ παντὸς τρόπου ἑαυτὸν συνεῖχε καὶ ἐκόσμει ἀρετῇ, ὅπως τῶν παρὰ τοῦ Θεοῦ τύχῃ

mines deorum custodes facere. Enimuero neque oblationibus materialibus, quæ ab hominibus prębeantur, Deum indigere, persuasum habemus, ipsum omnia largiri cernentes: illos autem cum oblationis loco suscipere didicimus, ac certo scimus, credimusq;, qui quæ illi insunt bona, castitatem, iusticiam, humanitatem, & quæcumque Deo sunt peculiaria, nullum facticium impositumve habenti nomen, æmulantur. Et cum bonus sit, omnia eum in principio [e nihilo, & non] ex informi materia, hominū causa condidisse, edocti sumus. Qui si dignos se operibus ipsis illius consilio & volūtati præstiterint, conuersatione sua dignatū iri scimus, cum illo simul regnaturos, ac corruptionis perpessionisq; expertes futuros. Quo enim modo nos ab initio, cum non essemus, creauit: eodē modo putamus illū placita ipsius suopte arbitrio complexos, immortalitate atque consuetudine sua donaturū esse. Porro vt ab initio exsisteremus, non nostrum id fuit. Itidem vero, vt delectu adhibito ea sectemur quę grata illi sunt, per donatas nobis ab eo rationis virtutes, persuasione ipsius id fit, ad fidem nos adducētis. Et ex vsu hominū cunctorū esse arbitramur, quod non modo ista addiscere nō prohibeantur, sed etiam cohortatione ad disciplinam huiusmodi incitentur. Nam quod humanæ leges efficere nequiuerūt, id Ratio & Verbum diuinum præstitisset, nisi maligni dæmones cōpluria falsa & impia crimina intercedentes hominibus offudissēt vitiosa: ad omnia & varia, pro cuiusque natura, tamquā auxilio quodā succenturiati concupiscentiā: quorū criminū nihil nobis adest. Ac vos regnū a nobis exspectari audientes, citra iudiciū, humanū designari opinamini; cū Dei regnū, in quo cum eo regnaturi sumus, dicamus. Id quod ex eo quoq;, quod ad inquisitionem vestrā Christianos nos esse profitemur, cū quidem mortis suppliciū professis propositum sciamus, patet. Si enim humanum exspectaremus regnum, infitiaremur vtiq;, ne occideremur; ac latere cōtēderemus, vt exspectationis cōpotes fieremus. Sed quia spes nostras non in reb. præsentibus fixas habemus, percussores nihil moramur; præsertim cum moriendum nobis esse sciamus. Ad pacem vero [publicam] conseruandam, vobis plus quam homines cuncti adiutores sumus & opitulatores: qui videlicet docemus, nullum apud Deum tectum esse posse aut maleficum, & auarum, & insidiatorē, aut etiam virtutis studiosum virum; atq; vnūquemque ad sempiternam vel pœnam vel salutem, pro factorum suorum meritis contendere. Nam si mortales omnes hæc cognita haberēt, haudquaquam profecto quisquam prauitatem ad breue tempus amplecteretur, ad perennem se ignis condemnationem ire sciens; sed potius omnibus se modis cohiberet, & virtute cōdecoraret, vt ea quæ a Deo proueniūt bona con-

consequeretur, & suppliciorum tormentis liberaretur. Non enim propter leges & pœnas a vobis constitutas, latere & fallere contendunt qui iniuste agunt: sed quia homines vos esse, & falli posse sciunt, propterea iniuste agunt. Atqui si nossent & persuasum haberēt, impossibile esse, Deū celare quidquam, nedum factorum, sed ne cogitatorum quidem: vel propter impendentes pœnas omnino essent in officio, sicuti & ipsi nobis suffragabimini. Sed enim metuere videmini, ne vniuersi quæ iusta sunt faciant, & vos quos puniatis, nō habeatis. Carnificum vero hoc fuerit, nō Principum bonorū opus. Persuasum autem nobis est, malignorum dæmonum opera hæc fieri, prout diximus: qui etiā ab eis qui præter rationem vitam degunt, hostias & cultum flagitant. Cæterūm vos qui pietatem & philosophiam consectamini, contra rationem quidquam agere non arbitramur. Sin vos etiam æque atq; dementes homines veritatem post consuetudinem habetis, facite sane quod potestis. Tantum quippe principes opinionem veritati præferentes valent, quātum in solis locis prædones. Non litaturos autem vos esse sacris eiuscemodi operantes, Ratio & Verbum ipsum demonstrat: quo Principem imperio digniorem atque iustiorem, secundum parentem Deum, nonimus neminem. Porro sicut paupertatē, aut ærumnam, aut ignominiam paternam hereditate cernere subterfugiunt omnes: ita quæ Ratio & Verbum ipsum dictauerit non esse sequenda, homo mentem obtinens non sequetur. Omnia hæc ita futura atque euentura esse, prædixisse affirmo Doctorem nostrum, atque Parentis vniuersorū & Domini Dei filium & Apostolum (siue legatum) IESVM CHRISTVM: a quo etiam *Christiani* nominari habuimus. Vnde & de certitudine doctrinarum ab eo promulgatarum omniū confirmamur: quandoquidem ad rem cōferri manifesto cōstat, quæcumq; ille prædicere occupauit; quod certe Dei est opus: prius scilicet promulgare quidquā quam fiat, atq; id ita vt fiat exhibere, sicut est prædictum. Ac potuissēmus nos quidē in his acquiescentes nihil amplius addere: considerato, iusta nos & vera petere. Sed quoniam nouimus, animum ignoratione obsessum non facile statim mutari: ad veritatis amatores persuadendos, pauca adiicienda esse statuimus: cognitum habentes, nō impossibile esse, veritate proposita ignorationem profligare. Atque atheos quidem & sine Deo, impiosque nos non esse; qui cōditorem huius mundi colimus, minime illum sanguine & libationibus & incensis (quemadmodum eruditi sumus) indigere asseuerantes: & precationis gratiarumque actionis ratione in oblationibus quas offerimus omnibus, quantū facultatis nostræ est, laudamus: solumque hūc honorem illo dignum esse persuasum habemus, vt quæ ab illo ad alimentū sunt creata, non igne consumamus, sed nobis ipsis & indigentibus præbentes offeramus; gratosq; nos illi exhibentes,

ἀγαθῶν, καὶ τῶν κολαστηρίων ἀπηλλαγμένος εἴη. οὐ γὰρ διὰ τοὺς ὑφ᾽ ὑμῶν κειμένους νόμους καὶ κολάσεις πειρῶνται λανθάνειν ἀδικοῦντες· ἀνθρώπους δὲ ὄντας λανθάνειν ὑμᾶς δυνατὸν ἐπιστάμενοι, ἀδικοῦσιν· εἰ ἔμαθον καὶ ἐπείσθησαν Θεὸν ἀδύνατον εἶναι λαθεῖν τι, οὐ μόνον πραττόμενον, ἀλλὰ καὶ βουλευόμενον, κἂν διὰ τὰ ἐπικείμενα ἐκ παντὸς τρόπου κόσμιοι ἦσαν, ὡς καὶ ὑμεῖς συμφήσετε. ἀλλ᾽ ἐοίκατε δεδιέναι μὴ πάντες δικαιοπραγήσωσι, καὶ ὑμεῖς οὓς κολάσετε ἔτι οὐχ ἕξετε. δημίων δ᾽ ἂν εἴη τὸ τοιοῦτον ἔργον, ἀλλ᾽ οὐκ ἀρχόντων ἀγαθῶν. πεπείσμεθα δ᾽ ἐκ δαιμόνων φαύλων, οἳ καὶ παρὰ τῶν ἀλόγως βιούντων αἰτοῦσι θύματα καὶ θεραπείας, καὶ ταῦτα ὡς προέφημεν, ἐνεργεῖσθαι· 139 ἀλλ᾽ οὐχ ὑμᾶς, εἴ γε εὐσεβείας καὶ φιλοσοφίας ὀρέγεσθε, ἄλογόν τι πρᾶξαι ὑπειλήφαμεν. εἰ δὲ καὶ ὑμεῖς ὁμοίως τοῖς ἀνοήτοις τὰ ἔθη πρὸ τῆς ἀληθείας τιμᾶτε, πράττετε ὃ δύνασθε. τοσοῦτον δὲ δύνανται καὶ ἄρχοντες πρὸ τῆς ἀληθείας δόξαν τιμῶντες, ὅσον καὶ λῃσταὶ ἐν ἐρημίᾳ. ὅτι δ᾽ οὐ καλλιερήσετε, ὁ λόγος ἀποδείκνυσιν. οὗ βασιλικώτατον καὶ δικαιότατον ἄρχοντα μετὰ τὸν γεννήσαντα Θεόν, οὐδένα οἴδαμεν ὄντα· ὃν γὰρ τρόπον διαδέχεσθαι πενίας, ἢ πάθη, ἢ ἀδοξίας πατρικὰς ὑφαιροῦνται πάντες, οὕτως καὶ ὅσα ἂν ὑπαγορεύσῃ ὁ λόγος μὴ δεῖν αἱρεῖσθαι, ὁ νουνεχὴς οὐχ αἱρήσεται. γενήσεσθαι ταῦτα πάντα προεῖπε, φημί, ὁ ἡμέτερος διδάσκαλος καὶ τοῦ πατρὸς πάντων καὶ δεσπότου Θεοῦ υἱὸς καὶ ἀπόστολος ὢν Ἰησοῦς Χριστός, ἀφ᾽ οὗ καὶ τὸ Χριστιανοὶ ἐπονομάζεσθαι ἐσχήκαμεν· ὅθεν καὶ βέβαιοι γινόμεθα πρὸς τὰ δεδιδαγμένα ὑπ᾽ αὐτοῦ πάντα, ἐπειδὴ ἔργῳ φαίνεται γινόμενα ὅσα φθάσας γενέσθαι προεῖπεν· ὅπερ Θεοῦ ἔργον ἐστί, πρὶν ἢ γενέσθαι εἰπεῖν, καὶ οὕτως δειχθῆναι γινόμενον ὡς προείρηται. ἦν μὲν οὖν καὶ ἐπὶ τούτοις παυσαμένους μηδὲν προστιθέναι, λογισαμένους ὅτι δίκαιά τε καὶ ἀληθῆ ἀξιοῦμεν· ἀλλ᾽ ἐπεὶ γνωρίζομεν οὐ ῥᾷον ἀγνοίᾳ κατεχομένην ψυχὴν συντόμως μεταβάλλειν, ὑπὲρ τοῦ πεῖσαι τοὺς φιλαλήθεις, μικρὰ προσθεῖναι προεθυμήθημεν, εἰδότες ὅτι οὐκ ἀδύνατον ἀληθείας παρατεθείσης, ἄγνοιαν φυγεῖν. ἄθεοι μὲν οὖν ὡς οὐκ ἐσμέν, τὸν δημιουργὸν τοῦδε τοῦ παντὸς σεβόμενοι, ἀνενδεῆ αἱμάτων καὶ σπονδῶν καὶ θυμιαμάτων, ὡς ἐδιδάχθημεν, λέγοντες, λόγῳ εὐχῆς καὶ εὐχαριστίας ἐφ᾽ οἷς προσφερόμεθα πᾶσιν, ὅση δύναμις αἰνοῦντες, μόνην ἀξίαν αὐτοῦ τιμὴν ταύτην παραλαβόντες, τὸ τὰ ὑπ᾽ ἐκείνου εἰς διατροφὴν γενόμενα, οὐ πυρὶ δαπανᾶν, ἀλλ᾽ ἑαυτοῖς καὶ τοῖς δεομένοις προσφέρειν, ἐκείνῳ δὲ εὐχαρίστους ὄντας,

διὰ λόγου πομπὰς καὶ ὕμνους πέμπειν, ὑπέρ τε τοῦ γεγονέναι, καὶ τῶν εἰς εὐρωστίαν πόρων πάντων, ποιοτήτων μὲν γενῶν, καὶ μεταβολῶν ὡρῶν, καὶ τοῦ πάλιν ἐν ἀφθαρσίᾳ γενέσθαι διὰ πίστιν τὴν ἐν αὐτῷ αἰτήσεις πέμποντες, τίς σωφρονῶν οὐχ ὁμολογήσει; τὸν διδάσκαλόν τε τούτων γενόμενον ἡμῖν, καὶ εἰς τοῦτο γεννηθέντα Ἰησοῦν Χριστόν, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, τοῦ γενομένου ἐν Ἰουδαίᾳ ἐπὶ χρόνοις Τιβερίου Καίσαρος ἐπιτρόπου, υἱὸν αὐτοῦ τοῦ ὄντως Θεοῦ μαθόντες, καὶ ἐν δευτέρᾳ χώρᾳ ἔχοντες, πνεῦμά τε προφητικὸν ἐν τρίτῃ τάξει ὅτι μετὰ λόγου τιμῶμεν, ἀποδείξομεν. ἐνταῦθα γὰρ μανίαν ἡμῶν καταφαίνονται, δευτέραν χώραν μετὰ τὸν ἄτρεπτον καὶ ἀεὶ ὄντα Θεόν, καὶ γεννήτορα τῶν ἁπάντων, ἀνθρώπῳ σταυρωθέντι διδόναι ἡμᾶς λέγοντες· ἀγνοοῦντες τὸ ἐν τούτῳ μυστήριον, ᾧ προσέχειν ὑμᾶς ἐξηγουμένων ἡμῶν προτρεπόμεθα. προλέγομεν γὰρ ὑμῖν φυλάξασθαι μὴ οἱ προδιαβεβλημένοι ὑφ' ἡμῶν δαίμονες ἐξαπατήσωσιν ὑμᾶς, καὶ ἀποτρέψωσι τοῦ ὅλως ἐντυχεῖν καὶ συνεῖναι τὰ λεγόμενα. ἀγωνίζονται γὰρ ἔχειν ὑμᾶς δούλους καὶ ὑπηρέτας, καὶ ποτὲ μὲν δι' ὀνείρων ἐπιφανείας, ποτὲ δ' αὖ διὰ μαγικῶν στροφῶν χειροῦνται πάντας τοὺς οὐκ ἔσθ' ὅπως ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀγωνιζομένους· ὃν τρόπον καὶ ἡμεῖς, μετὰ τὸ τῷ λόγῳ πεισθῆναι, ἐκείνων μὲν ἀπέστημεν, Θεῷ δὲ μόνῳ τῷ ἀγεννήτῳ διὰ τοῦ υἱοῦ ἑπόμεθα, οἱ πάλαι μὲν πορνείαις χαίροντες, νῦν δὲ σωφροσύνην μόνην ἀσπαζόμενοι. οἱ δὲ καὶ μαγικαῖς τέχναις χρώμενοι, ἀγαθῷ καὶ ἀγεννήτῳ Θεῷ ἑαυτοὺς ἀνατεθεικότες· χρημάτων δὲ καὶ κτημάτων οἱ πόρους παντὸς μᾶλλον στέργοντες, νῦν καὶ ἃ ἔχομεν εἰς κοινὸν φέροντες, καὶ παντὶ δεομένῳ κοινωνοῦντες· οἱ μισάλληλοι δὲ καὶ ἀλληλοφόνοι, καὶ πρὸς τοὺς οὐχ ὁμοφύλους διὰ τὰ ἔθη καὶ ἑστίας κοινὰς μὴ ποιούμενοι, νῦν μετὰ τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ, ὁμοδίαιτοι γινόμενοι, καὶ ὑπὲρ τῶν ἐχθρῶν εὐχόμενοι, καὶ τοὺς ἀδίκως μισοῦντας πείθειν πειρώμενοι, ὅπως οἱ κατὰ τὰς τοῦ Χριστοῦ καλὰς ὑποθημοσύνας βιώσαντες, εὐέλπιδες ὦσι, σὺν ἡμῖν τῶν αὐτῶν παρὰ τοῦ πάντων δεσπόζοντος Θεοῦ τυχεῖν. ἵνα δὲ μὴ σοφίζεσθαι ὑμᾶς δόξωμεν, ὀλίγων τινῶν τῶν παρ' αὐτοῦ τοῦ Χριστοῦ διδαγμάτων ἐπιμνησθῆναι καλῶς ἔχειν πρὸ τῆς ἀποδείξεως ἡγησάμεθα, καὶ ὑμέτερον ἔστω, ὡς δυνατῶν βασιλέων, ἐξετάσαι εἰ ἀληθῶς ταῦτα δεδιδάγμεθα καὶ διδάσκομεν· βραχεῖς δὲ καὶ σύντομοι παρ' αὐτοῦ λόγοι γεγόνασιν. οὐ γὰρ σοφιστὴς ὑπῆρχεν, ἀλλὰ δύναμις Θεοῦ ὁ λόγος αὐτοῦ ἦν. περὶ μὲν οὖν σωφροσύνης, τοσοῦτον εἶπεν, Ὃς ἂν ἐμβλέψῃ γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσε τῇ καρδίᾳ παρὰ τῷ Θεῷ:- καί,

bentes, rationales pōpas & hymnos celebremus atq; decātemus: & qui de creatione qua nos condidit, de rerū omniū ad valetudinē firmā vbere prouētu, de varietate omnis generis geniminū, ac conuenienti temporū vicissitudine, de vita etiam postliminio extra corruptionē omnem nobis reditura, propter eā quæ nobis in illū est fidē & persuasionem, vota & preces profundimus: quis sanus non fatebitur? Et horum omnium magistrū nos habere, qui in hoc ipsum genitus, & sub Pontio Pilato Iudææ, Tiberii Cæsaris temporibus, procuratore, crucifixus est, IESVM CHRISTVM: eūdemque, quod ipsius veri & singularis Dei filium esse edocti simus, secūdo loco, ac Spiritum propheticum tertio ordine, nos cū ratione venerari & colere demonstrabimus. In hoc enim insaniā nobis [obtrectatores] obiiciunt, secūdas nos post incommutabilem ac sempiternū Deum & parentē omnium homini crucifixo deferre dicentes; mysteriū autem & arcanū huius rei ignorantes. Quod dū vobis exponimus, vt animis attētis audiatis, vos hortamur. Prædicimus namq; cauendū vobis esse, ne incusati a nobis dæmones vos seducant, & prorsus a legendis & percipiēdis hisce quæ dicūtur auertant. Contendunt enim summopere illi habere vos seruos & administros: atque aliquando quidem per insomnia, nōnumquam vero per magicas præstigias cunctos sibi mācipāt, qui de salute sua nihil plane sunt solliciti: [quibus vos remittere nuncium par est] quemadmodum & nos Ratione & Verbo persuasi, ab illis quidē desciuimus, singularem vero atque ingenitum Deum, per Filium ipsum sequimur: & qui olim stupris lætabamur, nunc castitatem solam complectimur: qui magicis artibus vtebamur, bono & æterno nos consecramus dicamusq; Deo: qui pecuniarum & possessionum fructus ac prouentus præ rebus omnibus adamabamus, nunc etiam ea quę habemus in commune conferimus, & cū indigentibus quibusq; communicamus: qui odiis & cędibus mutuis inter nos grassabamur, & pro consuetudine recepta cū eis qui tribules nostri nō essent, communū focū non habebamus, nunc a CHRISTI apparitione familiariter simul viuimus, & pro inimicis oramus: & qui nos iniquo persequuntur odio, suasione flectere conamur, vt secundum honesta Christi præcepta vitam agētes, bonā spē habeant, eadem se nobiscū a Deo omniū dominatore [præmia] esse cōsequuturos. Ne aūt cauillari ista videamur, paucas quasdā ipsius CHRISTI doctrinas recte nos ante demonstrationē cōmemoraturos esse putauimus. Ac vestrū sit, qui potentes estis Principes & Imperatores, an vere riteq; ista docti simus, & doceamus, dispicere. Breues eius & cōpēdiosi fuere sermones. nō enim sophista & cauillator exstitit. sed virtus Dei Ratio & Verbū eius fuit. Itaq; de castitate hoc dūtaxat dixit: *Qui inspexerit mulierē ad concupiscendū eā, iā adulterium cōmisit cum ea in corde suo.* Et,

Si oculus tuus dexter offendiculo tibi fuerit, erue eum. expedit enim tibi, luscum te potius ingredi in regnum cælorum, quam duos habentem oculos mitti in ignem æternum. Et, *Qui repudiatam a viro altero duxerit, adulterium committit.* Et, *Sunt quidam qui facti sunt eunuchi ab hominibus: sunt & qui eunuchi nati sunt: sunt vero etiam qui seipsos castrauerunt propter regnum cælorum. Verum non omnes hoc capiunt.* Et sicut legibus humanis duplex contrahentes matrimonium, sic etiam apud doctorem nostrum fœminam inspicientes ad concupiscendam eam, peccatores sunt. non enim tantum qui adulterium reipsa committit, ab eo reiicitur, sed etiam adulterium committere volens: videlicet quod non opera solum, verum cogitationes quoque manifestæ sint Deo. Permulti profecto sexus vtriusque & sexaginta & septuaginta nati annos [apud nos] qui a pueris disciplinam CHRISTI sunt assectati, incorrupti & cælibes perdurant. Et glorior, me per omne genus hominum [nostrorum] tales commonstrare posse. Quid enim innumerabilem eorum dicam multitudinem qui ex intemperanti luxuria ad frugem bonam conuersi sunt, & hæc instituta perdidicerunt? Non enim iustos neque castos ad pœnitentiam vocauit CHRISTVS; sed impios, & incontinentes, & iniustos. Sic enim inquit: *Non veni vocatum iustos, sed peccatores ad pœnitentiam.* Pœnitentiam namque mauult quam pœnam cælestis Pater. De cunctis autem hominibus diligendis ista docuit: *Si diligitis eos qui vos diligunt, quid noui facitis? hoc enim & fornicatores faciunt. Ego vero dico vobis: Orate pro inimicis vestris, & diligite eos qui odio vos prosequuntur. Benepreca mini deuouentibus vos, & orate pro iis qui lædunt vos.* De communicatione porro facultatum cum egentibus, & quod nihil sit ad gloriam aucupandam faciendum, hæc præcepit: *Omni petenti date, & mutuo sumere volentem ne auersemini. Si namque mutuo his datis a quibus vos recepturos speratis, quid noui facitis? faciunt hoc & publicani. Vos autem ne vobis thesauros reposueritis in terra, vbi arugo & tinea corrumpit, & prædones effodiunt: sed recondite vobis thesauros in cælis, vbi neque arugo neque tinea corrumpit. Quid enim prodest homini, si mundum totum lucratus fuerit, animam vero suam perdiderit? aut quidnam permutatione pro ea dabit? Comparate ergo thesauros in cælis; vbi nec arugo nec tinea demolitur.* Et, *Estote autem commodi & misericordes, sicut Pater vester commodus est & misericors, ac solem suum oriri facit super peccatores, & iustos & malignos. Ne sollicite curetis quid esuri sitis, aut quibus vsuri vestimentis. An vos volucribus & feris non præstatis? & Deus alit illa. Ne igitur solliciti sitis quid esuri sitis, aut quibus vsuri indumentis. nouit enim Pater vester cælestis, vos hisce indigere. Quærite autem regnum cælorum, & omnia hæc adiicientur vobis.*

Εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔκκοψον αὐτόν· συμφέρει γάρ σοι μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ μετὰ τῶν δύο πεμφθῆναι εἰς τὸ αἰώνιον πῦρ:- Καί, Ὃς γαμεῖ ἀπολελυμένην ἀφ' ἑτέρου ἀνδρὸς, μοιχᾶται:- Καί, Εἰσί τινες οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· εἰσὶ δὲ οἳ ἐγεννήθησαν εὐνοῦχοι· εἰσὶ δὲ οἳ εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· πλὴν οὐ πάντες τοῦτο χωροῦσιν:- ὥσπερ καὶ οἱ νόμῳ ἀνθρωπίνῳ διγαμίας ποιούμενοι, ἁμαρτωλοὶ παρὰ τῷ ἡμετέρῳ διδασκάλῳ εἰσί, καὶ οἱ προσβλέποντες γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς. οὐ γὰρ μόνον ὁ μοιχεύων ἔργῳ ἐκβέβληται παρ' αὐτῷ, ἀλλὰ καὶ ὁ μοιχεῦσαι βουλόμενος· ὡς οὐ τῶν ἔργων φανερῶν μόνον τῷ Θεῷ, ἀλλὰ καὶ τῶν ἐνθυμημάτων. καὶ πολλοί τινες καὶ πολλαὶ, ἑξηκοντοῦται καὶ ἑβδομηκοντοῦται, οἳ ἐκ παίδων ἐμαθητεύθησαν τῷ Χριστῷ, ἄφθοροι διαμένουσι· καὶ εὔχομαι κατὰ πᾶν γένος ἀνθρώπων τοιούτους δεῖξαι. τί γὰρ καὶ λέγομεν τὸ ἀναρίθμητον πλῆθος τῶν ἐξ ἀκολασίας μεταβαλόντων καὶ ταῦτα μαθόντων; οὐ γὰρ τοὺς δικαίους, οὐδὲ τοὺς σώφρονας εἰς μετάνοιαν ἐκάλεσεν ὁ Χριστὸς, ἀλλὰ τοὺς ἀσεβεῖς καὶ ἀκολάστους, καὶ ἀδίκους. εἶπε δὲ οὕτως, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν:- θέλει γὰρ ὁ πατὴρ ὁ οὐράνιος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ, ἢ τὴν κόλασιν αὐτοῦ. Περὶ δὲ τοῦ στέργειν ἅπαντας, ταῦτα ἐδίδαξεν· Εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, τί καινὸν ποιεῖτε; καὶ γὰρ οἱ πόρνοι τοῦτο ποιοῦσιν. ἐγὼ δὲ ὑμῖν λέγω, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, καὶ ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς, καὶ εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν, καὶ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς:- Εἰς δὲ τὸ κοινωνεῖν τοῖς δεομένοις, καὶ μηδὲν πρὸς δόξαν ποιεῖν, ταῦτα ἔφη· Παντὶ τῷ αἰτοῦντι δίδοτε, καὶ τὸν βουλόμενον δανείσασθαι μὴ ἀποστραφῆτε. εἰ γὰρ δανείζετε παρ' ὧν ἐλπίζετε λαβεῖν, τί καινὸν ποιεῖτε; τοῦτο καὶ οἱ τελῶναι ποιοῦσιν. ὑμεῖς δὲ, μὴ θησαυρίζητε ἑαυτοῖς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ λῃσταὶ διορύσσουσι· θησαυρίζετε δὲ ἑαυτοῖς ἐν τοῖς οὐρανοῖς, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει. τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἂν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ἀπολέσῃ; ἢ τί δώσει αὐτῆς ἀντάλλαγμα; θησαυρίζετε οὖν ἐν τοῖς οὐρανοῖς, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει:- Καί, Γίνεσθε δὲ χρηστοὶ καὶ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν χρηστός ἐστι καὶ οἰκτίρμων, καὶ τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ ἁμαρτωλοὺς, καὶ δικαίους καὶ πονηρούς. Μὴ μεριμνᾶτε δὲ τί φάγητε; ἢ τί ἐνδύσησθε; οὐχ ὑμεῖς τῶν πετεινῶν καὶ τῶν θηρίων διαφέρετε, καὶ ὁ Θεὸς τρέφει αὐτά; μὴ οὖν μεριμνήσητε τί φάγητε, ἢ τί ἐνδύσησθε· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι τούτων χρείαν ἔχετε· ζητεῖτε δὲ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. 141

Vbi

ὅπου γὰρ ὁ θησαυρός ἐστιν, ἐκεῖ καὶ ὁ νοῦς τοῦ ἀνθρώπου. καί, Μὴ ποιῆτε ταῦτα πρὸς τὸ θεαθῆναι ὑπὸ τῶν ἀνθρώπων· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. περὶ δὲ τοῦ ἀνεξικάκους εἶναι, καὶ ὑπηρετικοὺς πᾶσι, καὶ ἀοργήτους, ἃ ἔφη, ταῦτά ἐστι· Τῷ τύπτοντί σου τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ τὸν αἴροντά σου τὸν χιτῶνα, ἢ τὸ ἱμάτιον, μὴ κωλύσῃς. Ὃς δ' ἂν ὀργισθῇ, ἔνοχός ἐστιν εἰς τὸ πῦρ. Παντὶ δὲ ἀγγαρεύοντί σε μίλιον, ἀκολούθησον δύο. Λαμψάτω δὲ ὑμῶν τὰ καλὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα βλέποντες, θαυμάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὐ γὰρ ἀνταίρειν δεῖ· οὐδὲ μιμητὰς εἶναι τῶν φαύλων βεβούληται ἡμᾶς, ἀλλὰ διὰ τῆς ὑπομονῆς καὶ πραότητος, ἐξ αἰσχύνης καὶ ἐπιθυμίας τῶν κακῶν ἄγειν πάντας προετρέψατο. ὃ γὰρ καὶ ἐπὶ πολλῶν τῶν παρ' ἡμῖν γεγενημένων ἀποδεῖξαι ἔχομεν, ἐκ βιαίων καὶ τυράννων μετέβαλον ἡττηθέντες, ἢ γειτόνων καρτερίαν βίου παρακολουθήσαντες, ἢ συνοδοιπόρων πλεονεκτουμένων ὑπομονὴν ξένην κατανοήσαντες, ἢ συμπραγματευομένων πειραθέντες. περὶ δὲ τοῦ μὴ ὀμνύναι ὅλως, τἀληθῆ δὲ λέγειν ἀεί, οὕτως παρεκελεύσατο· Μὴ ὀμόσητε ὅλως· ἔστω δὲ ὑμῶν τὸ ναί, ναί· καὶ τὸ οὔ, οὔ· τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ. ὡς δὲ καὶ τὸν Θεὸν μόνον δεῖ προσκυνεῖν, οὕτως ἔπεισεν, εἰπών, Μεγίστη ἐντολή ἐστι, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, Κύριον τὸν Θεὸν τὸν ποιήσαντά σε. καὶ προσελθόντος αὐτῷ τινός, καὶ εἰπόντος, Διδάσκαλε ἀγαθέ, ἀπεκρίνατο λέγων, Οὐδεὶς ἀγαθὸς εἰ μὴ μόνος ὁ Θεὸς ὁ ποιήσας τὰ πάντα. Οἳ δ' ἂν μὴ εὑρίσκωνται βιοῦντες ὡς ἐδίδαξε, γνωριζέσθωσαν μὴ ὄντες Χριστιανοί, κἂν λέγωσιν διὰ γλώττης τὰ τοῦ Χριστοῦ διδάγματα· οὐ γὰρ τοὺς μόνον λέγοντας, ἀλλὰ τοὺς καὶ τὰ ἔργα πράττοντας, σωθήσεσθαι ἔφη. εἶπε γὰρ οὕτως, Οὐχὶ πᾶς ὁ λέγων μοι, Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὃς γὰρ ἀκούει μου, καὶ ποιεῖ ἃ λέγω, ἀκούει τοῦ ἀποστείλαντός με. πολλοὶ δὲ ἐροῦσί μοι, Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι ἐφάγομεν καὶ ἐπίομεν, καὶ δυνάμεις ἐποιήσαμεν; καὶ τότε ἐρῶ αὐτοῖς, Ἀποχωρεῖτε ἀπ' ἐμοῦ ἐργάται τῆς ἀνομίας· τότε κλαυθμὸς ἔσται, καὶ βρυγμὸς τῶν ὀδόντων· ὅταν οἱ μὲν δίκαιοι, λάμψωσιν ὡς ὁ ἥλιος· οἱ δὲ ἄδικοι, πέμπωνται εἰς τὸ αἰώνιον πῦρ. πολλοὶ γὰρ ἥξουσιν ἐπὶ τῷ ὀνόματί μου, ἔξωθεν μὲν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δὲ ὄντες λύκοι ἅρπαγες· ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεσθε αὐτούς. πᾶν δὲ δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

Vbi enim thesaurus, illic & mens hominis est. Et, *Ne ista feceritis, vt spectaculo sitis hominibus: sin autem, mercedem a Patre vestro cælesti non habetis.* Porro de eo vt mala patienter toleremus, & omnibus inseruiamus, & irasci supersedeamus, quæ dixit hæc sunt: *Verberanti maxillam tuam, præbe alterā quoque. Et auferentem tunicam aut pallium, ne prohibueris. Qui vero ira excanduerit, ad ignem condemnationi obnoxius fuerit. Omnem autem adigentem te ad miliare vnum, duobus illum comitare. Luceant vero benefacta vestra coram hominibus, vt illi ea cernentes, admirentur Patrem vestrum qui in cælis est.* Non enim reluctari oportet, neque imitatores esse malorum vult Deus: sed per patiētiam & lenitatem omnes a probro & cupiditate malorum abducendos esse hortatus est. Quod sane de multis etiam [vestrorum] qui nobiscum fuere, probare possumus, qui ex violentibus & truculentis alii prorsus per mutationem morum euaserunt [consuetudine nostrorum hominum] victi, dum aut vicinorum constantiam vitæ sequerentur, aut comitum in via omnia inferiora habentium & iniurias tolerantium patientiam nouam perspicerent, aut fidem eorum in contractibus experirentur. Ne autem iuremus omnino, atque vt vera semper loquamur, sic præcepit: *Ne iuretis omnino, sed sit vestrum Est est, & Non non: quod vero vltra hæc additur, ex malo proficiscitur.* Deum porro solum colendum esse, ita suasit, dicens: *Maximum mandatum est: Dominum Deum tuum adorabis, atque illum solum coles ex toto corde tuo, & ex tota fortitudine tua: Dominum Deum tuum, qui fecit te. Et accedente ad eum quodam, atque dicente, Magister bone:* respondit, inquiens: *Nemo bonus, præterquam solus Deus, qui condidit omnia.* At enim qui non ita viuere comperiuntur sicut ille docuit, certum id documentum est, non esse Christianos, quamuis doctrinam CHRISTI lingua profiteantur. Non enim profitentes tantum, sed operibus simul professionem confirmantes, saluatum iri dicit. Sic enim ait: *Non quisquis mihi dicit, Domine Domine, introibit in regnum cælorum: sed qui fecerit voluntatem Patris mei qui in cælis est. Nam qui me audit, & quæ dico facit, eum audit qui misit me. Permulti autem dicent mihi: Domine Domine, nonne in nomine tuo edimus & bibimus, & virtutes præstitimus? Et tunc dicam eis: Discedite a me qui operamini iniquitatem. Ibi tum fletus erit & stridor dentium, cum iusti quidem vt sol fulgebunt, iniusti autem mittentur in ignem sempiternum. Multi siquidem venient sub nomine meo, extrinsecus ouium pellibus induti, cum intrinsecus lupi sint rapaces. Ex operibus eorum cognoscetis illos. Omnis autem arbor non faciens fructum bonum, exciditur, & in ignem conicitur.*

Cæterum eos qui minus consentaneam præceptis eius agunt vitam, Christianiq; tantummodo dicuntur, a vobis quoque puniri rogamus. Vectigalia sane & collationes eis qui a vobis sunt ordinati exactoribus, præ omnibus vbique inferre contendimus: quemadmodum ab eo sumus instituti. Illo namque tempore accedentes quidam, percũctati sunt ex illo, an Cæsari vectigalia pendere oporteat? qui responsum hoc ab eo retulere: *Dicite* (inquit) *mihi, cuius imaginem nummus habet?* qui vbi dixissent, *Cæsaris*: *Reddite igitur*, ait, *quæ Cæsaris sunt, Cæsari: & quæ Dei, Deo.* Proinde nos solum Deum adoramus, & vobis in rebus aliis læti inseruimus; Imperatores ac Principes hominum esse profitentes; & simul precantes, vt cum Imperiali potestate sanam quoque mẽtem obtinere comperiamini. Quod si nos hæc ita precãtes, atque omnia nostra in propatulum proferentes, non curaueritis, aut respexeritis: nihil nos quidẽ capiemus detrimẽti, credentes, ac potius certo persuasum habentes, vnũ pro se quemq; pro factorum suorum meritis pœnas per ignem perpetuũ daturum, iuxtaq; analogiam & comparationem acceptæ a Deo potestatis, rationẽ ab eo exactum iri, sicuti CHRISTVS indicauit dicens: *Cui plus contulit Deus, plus etiam reposcet ab eo.* Respicite finem cuiuslibet decessorum vestrorum Imperatorũ, qui communi omniũ obitu obierunt. Is si in statum sensus omnis vacuum euaderet, lucrosus iniustis omnibus esset. Sedenim cũ sensus omnib. defunctis reliquus permaneat, & pœna perẽnis iniustis sit reposita: ne per securitatẽ & negligẽtiã supersederitis hæc vera esse credere, & pro certis persuasisq; habere. Vel necyomãtiæ ipsę (id est mortuorũ vaticinationes) & incorruptorũ puerorũ speculariæ inspectiones, & animarũ humanarũ euocationes, & qui a Magis vocãtur Somniorũ interpretes seu cõiectores, & Paredri, (hoc est assessores) & quę a rerũ istarũ peritis aguntur, animas sensum etiã post mortẽ retinere, vobis fidẽ faciant, atq; itẽ illi qui a mortuorũ manib. corripiũtur, atq; humi abiiciũtur homines; quos a dæmonib. correptos, seu arrepticios & furẽtes, nominant omnes: & ea quæ apud vos dicuntur Amphilochia, & Dodonæa, & Pythia, atque hisce similia alia oracula: tũ aũt & scriptorum quorũdã, vt Empedoclis & Pythagoræ, Platonis & Socratis disciplinæ: præterea Homeri puteus, & Vlysis horũ inspiciẽdorũ gratia susceptus descensus, atq; eorũ insuper sermones qui eadẽ cũ istis narrarũt. Cũ quibus nos pariter [testes] recipite, non minus quã illos, imo magis etiã Deo credentes, qui nos emortua atq; in terrã cõiecta nostra ipsorũ corpora postliminio recepturos esse speramus. [in exspectatione ea] nihil plane Deo impossibile esse affirmãtes. Et rẽ ipsam secũ cõsiderãti, quid incredibili⁹ videatur, quã si in corpore nondũ essemus, atq; aliquis diceret; ex parua quapiam humani seminis gutta fieri posse, vt ossa, nerui & carnes ad eã quã videmus conformata effigiem exsistãt: Sit

Κολάζεσθαι δὲ τοὺς οὐκ ἀκολούθως τοῖς διδάγμασιν αὐτοῦ βιοῦντας, λεγομένους δὲ μόνον Χριστιανούς, καὶ ὑφ' ὑμῶν ἀξιοῦμεν. Φόρους δὲ καὶ εἰσφορὰς τοῖς ὑφ' ὑμῶν τεταγμένοις πανταχοῦ πρὸ πάντων πειρώμεθα φέρειν, ὡς ἐδιδάχθημεν παρ' αὐτοῦ. κατ' ἐκεῖνο γὰρ τοῦ καιροῦ προσελθόντες τινές, ἠρώτων αὐτόν, εἰ δεῖ Καίσαρι φόρους τελεῖν. καὶ ἀπεκρίνατο, Εἴπατέ μοι, Τίνος εἰκόνα τὸ νόμισμα ἔχει; οἱ δὲ ἔφασαν, Καίσαρος. καὶ πάλιν ἀνταπεκρίνατο αὐτοῖς, Ἀπόδοτε οὖν τὰ Καίσαρος τῷ Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. ὅθεν Θεὸν μὲν μόνον προσκυνοῦμεν. ὑμῖν δὲ πρὸς τὰ ἄλλα χαίροντες ὑπηρετοῦμεν, βασιλεῖς καὶ ἄρχοντας ἀνθρώπων ὁμολογοῦντες, καὶ εὐχόμενοι μετὰ τῆς βασιλικῆς δυνάμεως καὶ σώφρονα τὸν λογισμὸν ἔχοντας ὑμᾶς εὑρεθῆναι. εἰ δὲ καὶ ἡμῶν εὐχομένων καὶ πάντα εἰς φανερὸν τιθέντων ἀφροντιστήσετε, οὐδὲν ἡμεῖς βλαβησόμεθα, πιστεύοντες, μᾶλλον δὲ καὶ πεπεισμένοι, κατ' ἀξίαν τῶν πράξεων 42 ἕκαστον τίσειν διὰ πυρὸς αἰωνίου δίκας, καὶ πρὸς ἀναλογίαν ὧν ἔλαβε δυνάμεων παρὰ Θεοῦ, τὸν λόγον ἀπαιτηθήσεσθαι, ὡς ὁ Χριστὸς ἐμήνυσεν εἰπών, Ὧι πλέον ἔδωκεν ὁ Θεός, πλέον καὶ ἀπαιτηθήσεται παρ' αὐτοῦ. ἀποβλέψατε γὰρ πρὸς τὸ τέλος ἑκάστου τῶν γενομένων βασιλέων, ὅτι τὸν κοινὸν πᾶσι θάνατον ἀπέθανεν. ὅπερ εἰ εἰς ἀναισθησίαν ἐχώρει, ἕρμαιον ἂν ἦν τοῖς ἀδίκοις πᾶσιν. ἀλλ' ἐπεὶ καὶ αἴσθησις πᾶσι γενομένοις μένει, καὶ κόλασις αἰωνία ἀπόκειται, μὴ ἀμελήσητε πεισθῆναί τε καὶ πιστεῦσαι ὅτι ἀληθῆ ταῦτά ἐστι. νεκυομαντεῖαι μὲν γάρ, καὶ αἱ ἀδιαφθόρων παίδων ἐποπτεύσεις, καὶ ψυχῶν ἀνθρωπίνων κλήσεις, καὶ οἱ λεγόμενοι παρὰ τοῖς μάγοις ὀνειροπομποὶ καὶ πάρεδροι, καὶ τὰ γινόμενα ὑπὸ τῶν ταῦτα εἰδότων, πεισάτωσαν ὑμᾶς ὅτι καὶ μετὰ θάνατον ἐν αἰσθήσει εἰσὶν αἱ ψυχαί. καὶ οἱ ψυχαῖς ἀποθανόντων λαμβανόμενοι καὶ ῥιπτούμενοι ἄνθρωποι, οὓς δαιμονιολήπτους καὶ μαινομένους καλοῦσι πάντες, καὶ τὰ παρ' ὑμῖν λεγόμενα μαντεῖα Ἀμφιλόχου καὶ Δωδώνης καὶ Πυθοῦς, καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι. καὶ τὰ τῶν συγγραφέων διδάγματα, Ἐμπεδοκλέους καὶ Πυθαγόρου, Πλάτωνός τε καὶ Σωκράτους, καὶ ὁ παρ' Ὁμήρῳ βόθρος, καὶ ἡ κάθοδος Ὀδυσσέως εἰς τὴν τούτων ἐπίσκεψιν, καὶ τῶν τὰ αὐτὰ τούτοις εἰπόντων. οἷς κἂν ὁμοίως ἡμᾶς ἀποδέξασθε, οὐχ ἧττον ἐκείνων Θεῷ πιστεύοντας, ἀλλὰ μᾶλλον, οἳ καὶ τὰ νεκρούμενα καὶ εἰς γῆν βαλλόμενα, πάλιν ἀπολήψεσθαι ἑαυτῶν σώματα προσδοκῶμεν, ἀδύνατον μηδὲν εἶναι Θεῷ λέγοντες. καὶ κατανοοῦντι ἀπιστότερον ἂν μᾶλλον δόξαι, ἢ εἰ ἐν σώματι μὴ ὑπήρχομεν, καί τις ἔλεγεν, ἐκ μικρᾶς τινὸς ῥανίδος τῆς τοῦ ἀνθρωπείου σπέρματος, δυνατὸν ὀστέα τε καὶ νεῦρα καὶ σάρκας εἰκονοποιηθέντα, οἷα ὁρῶμεν, γενέσθαι.

ἔστω γὰρ νῦν ἐφ' ὑποθέσεως λεγόμενον· εἴ τις ὑμῖν μὴ οὖσι τοιούτοις, μηδὲ τοιούτων, ἔλεγε τὸ σπέρμα τὸ ἀνθρώπειον δεικνὺς, καὶ εἰκόνα γραπτὴν, ἐκ τοῦ τοιοῦδε οἷόν τε γενέσθαι διαβεβαιούμενος, πρὶν ἰδεῖν γενόμενον, ἐπιστεύσατε; οὐκ ἄν τις τολμήσειεν ἀντειπεῖν. τὸν αὐτὸν οὖν τρόπον, διὰ τὸ μήπω ἑωρακέναι ὑμᾶς ἀναστάντα νεκρὸν, ἀπιστία ἔχει. ἀλλ' ὃν τρόπον τὴν ἀρχὴν οὐκ ἂν ἐπιστεύσατε ἐκ τῆς μικρᾶς ῥανίδος δυνατὸν τοιούτους γενέσθαι, καὶ ὁρᾶτε γινομένους· τὸν αὐτὸν τρόπον λογίσασθε, ὅτι διαλυθέντα, καὶ δίκην σπερμάτων εἰς γῆν διαλυθέντα τὰ ἀνθρώπεια σώματα, κατὰ καιρὸν προστάξει Θεοῦ ἀναστῆναι, καὶ ἀφθαρσίαν ἐνδύσασθαι οὐκ ἀδύνατον. ποίαν γὰρ ἀξίαν Θεοῦ δύναμιν λέγουσιν οἱ φάσκοντες εἰς ἐκεῖνο χωρεῖν ἕκαστον, ἐξ οὗπερ ἐγένετο; καὶ παρὰ ταῦτα μηδὲν ἄλλο δύνασθαι μηδὲ τὸν Θεὸν, οὐκ ἔχομεν λέγειν. ἀλλ' ἐκεῖνο συνορῶμεν, ὅτι οὐκ ἂν ἐπίστευσαν δυνατὸν εἶναι τοιούτους ποτὲ γενέσθαι, ὁποίους καὶ ἑαυτοὺς, καὶ τὸν σύμπαντα κόσμον, καὶ ἐξ ὁποίων γεγενημένα ὁρῶσι. κρεῖττον δὲ πιστεύειν καὶ τὰ τῇ ἑαυτῶν φύσει καὶ ἀνθρώποις ἀδύνατα, ἢ ὁμοίως τοῖς ἄλλοις ἀπιστεῖν, παρειλήφαμεν· ἐπειδὴ καὶ τὸν ἡμέτερον διδάσκαλον Ἰησοῦν Χριστὸν ἔγνωμεν εἰπόντα,

„Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ
„Θεῷ.- καὶ, Μὴ φοβεῖσθε τοὺς ἀναιροῦντας ὑμᾶς,
„καὶ μετὰ ταῦτα μὴ δυναμένους τι ποιῆσαι, εἶπε· φο-
„βήθητε δὲ τὸν μετὰ τὸ ἀποθανεῖν δυνάμενον καὶ ψυ-
„χὴν καὶ σῶμα εἰς γέενναν ἐμβαλεῖν:-

ἡ δὲ γέεννά ἐστι τόπος ἔνθα κολάζεσθαι μέλλουσιν οἱ ἀδίκως βιώσαντες, καὶ μὴ πιστεύοντες ταῦτα γενήσεσθαι ὅσα ὁ Θεὸς διὰ τοῦ Χριστοῦ ἐδίδαξε. καὶ Σίβυλλα δὲ καὶ Ὑστάσπης, γενήσεσθαι τῶν φθαρτῶν ἀνάλωσιν διὰ πυρὸς ἔφασαν. οἱ λεγόμενοι δὲ Στωϊκοὶ φιλόσοφοι, καὶ αὐτὸν τὸν Θεὸν εἰς πῦρ ἀναλύεσθαι δογματίζουσι, καὶ αὖ πάλιν κατὰ μεταβολὴν τὸν κόσμον γενέσθαι λέγουσιν· ἡμεῖς δὲ, κρεῖττόν τι τῶν μετα-
143 βαλλομένων νοοῦμεν, τὸν πάντων ποιητὴν Θεόν. εἰ οὖν καὶ ὁμοίως τινὰ τοῖς παρ' ὑμῖν τιμωμένοις ποιηταῖς καὶ φιλοσόφοις λέγομεν, ἔνια δὲ καὶ μειζόνως καὶ θείως, καὶ μόνοι μετὰ ἀποδείξεως, τί παρὰ πάντας ἀδίκως μισούμεθα; τῷ γὰρ λέγειν ἡμᾶς, ὑπὸ Θεοῦ πάντα κεκοσμῆσθαι καὶ γεγενῆσθαι, Πλάτωνος δόξομεν λέγειν δόγμα· τῷ δὲ ἐκπύρωσιν γενέσθαι, Στωϊκῶν· τῷ δὲ κολάζεσθαι ἐν αἰσθήσει καὶ μετὰ θάνατον οὔσας τὰς τῶν ἀδίκων ψυχὰς, τὰς δὲ τῶν σπουδαίων ἀπηλλαγμένας τῶν τιμωριῶν εὖ διάγειν, ποιηταῖς καὶ φιλοσόφοις τὰ αὐτὰ λέγειν δόξομεν· τῷ δὲ καὶ μὴ δεῖν χειρῶν ἀνθρώπινων προσκυνεῖν, Μενάνδρῳ τῷ κωμικῷ, καὶ τοῖς ταῦτα φήσασι, ταὐτὰ φράζομεν·

Sit hoc namque per concessionem positum atque dictum. Si quis inquam vobis cum nondum tales exstaretis, neque ex talibus orti essetis, asseueraret, semen humanum & imaginem [humanam] pictã indicans, ex eo ipso semine naturam huiusmodi fieri posse: num, priusquam id factum esset, crederetis? non equidẽ opinor quempiam contra hoc dicere ausurũ esse. Persimili ergo modo, propterea quod nondum mortuum resurrexisse videtis, vos incredulitas resurrectionis tenet. Sed enim quomodo ab initio non credidissetis possibile esse vt e tenui gutta tales existerent, & exstitisse tamen videtis: eodem modo existimate impossibile non esse vt dissoluta, atque seminum instar in terram disiecta corpora humana, tẽpore suo iussu Dei resurgant, & naturam incorruptibilẽ induant. Quam dignam vero & conuenientem Deo ipso allegant vim & potestatem, qui in id abire rem quamque, vnde exstitit, aiunt? ac præterea nihil aliud, ne Deum quidem posse [dicere illos ausuros esse] asseuerare nequimus. Sed illud perspectum habemus, minime responsatores huiusmodi credituros fuisse, fieri posse vt tales vmquam exstarent, quales & seipsos, & mũdum adeo vniuersum, factos esse cernunt, atque id vnde? aut qualibus e principiis? Præstabilius autem esse, recte præsumpsimus, credere ea etiam quæ & nostræ ipsorum naturæ, & hominib. aliis sunt impossibilia, quam pariter cum aliis fidem illis abrogare: quãdoquidem & doctorẽ nostrum IESVM CHRISTVM dixisse scimus, *quæ impossibilia sunt apud homines, possibilia esse apud Deum.* Atque idem dixit: *Ne timeatis eos qui occidunt vos, ac deincept nihil facere possunt: Eum vero timete, qui post mortem potest & animam & corpus conicere in gehennam.* Est autem *Gehenna* locus, vbi punientur qui iniuste vixerunt, & ea factum iri nõ crediderunt quæcumque Deus per CHRISTVM docuit. Quin & Sibylla & Hydaspes, quæ corruptibilia sunt, cõsumptum iri per ignem dixerunt. Qui vero appellantur Stoici philosophi, ipsum etiam Deum in ignem dissolutum iri opinãtur, ac nouum per mutationem mundum fore dicunt. Nos autem præstantius aliquid quam quæ mutabilitati sunt obnoxia, Deum, vniuersorum factorem esse intelligimus. Quapropter cum similiter quædam cum his qui apud vos sunt in honore poetis & philosophis; quædam vero amplius etiam & diuinius, & quidem soli cum demonstratione dicamus: cur ita supra omnes inique odiis sumus expositi? Cum namque a Deo omnia exornata esse & creata dicimus, Platonis sententiam referre videmur: cum autem exustionem fore, Stoicorum. Rursum cum animas asserimus post mortem quoque sensu præditas esse, ac iniustorum quidem excruciari; bonorum vero, suppliciis liberas feliciter agere: cum poetis & philosophis eadem asseuerare existimamur. Opera autem manuum hominum adoranda non esse censentes, Menãdro comico, & qui eadẽ dixerunt, suffragamur.

Maiorem namque opificem esse opere facto, illi pronunciarunt. Et quod Rationem & Verbum, quod primum est genimen Dei, absq; mistione genitũ esse dicimus, IESVM videlicet CHRISTVM magistrum nostrum: atq; hunc crucifixum, & mortuum, & rediuiuum ascẽdisse in cælũ: nihil noui ab eis qui apud vos dicũtur esse Iouis filii afferimus. Scitis enim, quot Iouis liberos illi qui in precio apud vos sunt scriptores memorẽt: Mercurium quidem Verbum, interpretem, ac doctorẽ omniũ: Æsculapium vero medicũ, qui fulminatus ascẽderit in cælum: Bacchum dilaniatum: Herculem seipsum laborum fuga vitulantem: ac Dioscuros ex Leda, & Perseum ex Danae susceptos: & qui ex hominibus est ab equo Pegaso sublatus, Bellerophontẽ. Quid namque dicamus Ariadnen, & quos itidem atque illã inter sidera receptos esse aiunt? Porro cur morientes apud vos Imperatores semper immortalitati cõsecrare dignamini, producẽtes quempiam qui iureiurando confirmet, vidisse se e rogo in cælum ascendere ardentem Cæsarem? Et qualia cuiusque qui dicuntur Iouis filiorũ a scriptoribus celebrentur facta, apud sciẽtes dicere necesse nõ est: nisi quod ad corruptelam & cohortationem siue profectum discentium ea sunt perscripta. Imitatores quippe deorum pulchrum esse cuncti autũmant. Longe vero absit a sana & casta mente, cogitatio de diis eiusmodi: videlicet ducem quoque ipsum & parentem omnium secundum eos, Iouẽ, parricidam, & patre tali genitum, ac præ amoris impotentia a malis fœdisque voluptatibus victum, ad Ganymedem & permultas adulteriis & stupris imminutas fœminas venisse, & liberos suos similium facinorum patratores suscepisse. Verum, sicut dixi, praui ista designarunt dæmones. Nos autem immortales dumtaxat eos fieri scimus, qui sancte per virtutem ad imitationem Dei viuunt: torqueri autem in igne æterno, qui iniuste absque resipiscentia & morum mutatione ætatem transigunt, credimus. At enim filius Dei IESVS dictus, etiamsi communi aliorum more homo tantum esset, propter sapientiam tamen digne Dei filius diceretur. *Parentem* enim *virũmq; Deũmq;*, scriptores cuncti Deum vocant. Sin peculiariter etiam præter communem mortalium natiuitatem genitum eum ex Deo *Rationem & Verbum* dicimus, quemadmodum antea memoraui: commune hoc nobis sit vobiscum, qui Mercurium, *Verbum, a Deo internuncium*, nuncupatis. Si quis vero quod crucifixus sit reprehendat, commune & hoc est eis quos recensuimus. nam & ipsi passi sunt, Iouis, opinione vestra, filii. Atque illorum non similes mortis passiones, sed diuersæ cõmemorantur; ita vt ne passione quidẽ propria & peculiari illis videatur esse inferior. quin & superiorẽ præstantioreq; esse, sicuti polliciti sumus, oratione progrediẽte ostendemus.

μείζονα γὰρ τὸν δημιουργὸν τοῦ σκευαζομένου ἀπεφήναντο. τῷ δὲ καὶ τὸν λόγον ὅ ἐστι πρῶτον γέννημα τοῦ Θεοῦ, ἄνευ ἐπιμιξίας φάσκειν ἡμᾶς γεγεννῆσθαι Ἰησοῦν Χριστὸν τὸν διδάσκαλον ἡμῶν, καὶ τοῦτον σταυρωθέντα καὶ ἀποθανόντα καὶ ἀναστάντα ἀνεληλυθέναι εἰς τὸν οὐρανὸν, οὐ παρὰ τοὺς παρ' ὑμῖν λεγομένους υἱοὺς τῷ Διῒ, καινόν τι φέρομεν. πόσους γὰρ υἱοὺς φάσκουσι τοῦ Διὸς οἱ παρ' ὑμῖν τιμώμενοι συγγραφεῖς, ἐπίστασθε· Ἑρμῆν μὲν, λόγον τὸν ἑρμηνευτικὸν καὶ πάντων διδάσκαλον· Ἀσκληπιὸν δὲ, καὶ θεραπευτὴν γενόμενον, κεραυνωθέντα ἀνεληλυθέναι εἰς οὐρανόν· Διόνυσον δὲ, διασπαραχθέντα· Ἡρακλέα δὲ, φυγῇ πόνων ἑαυτὸν πυρὶ δόντα· τοὺς ἐκ Λήδας δὲ Διοσκούρους, καὶ τὸν ἐκ Δανάης Περσέα, καὶ τὸν ἐξ ἀνθρώπων δὲ ὑφ' ἵππου Πηγάσου Βελλεροφόντην. τί γὰρ λέγομεν τὴν Ἀριάδνην, καὶ τοὺς ὁμοίως αὐτῇ κατηστερίσθαι λεγομένους; καὶ τί γὰρ τοὺς ἀποθνήσκοντας παρ' ὑμῖν αὐτοκράτορας ἀεὶ ἀπαθανατίζεσθαι ἀξιοῦντες, καὶ ὀμνύοντα τινὰ προάγετε ἑωρακέναι ἐκ τῆς πυρᾶς ἀνερχόμενον εἰς τὸν οὐρανὸν τὸν κατακαέντα Καίσαρα; καὶ ὁποῖαι ἑκάστου τῶν λεγομένων υἱῶν τοῦ Διὸς ἱστοροῦνται αἱ πράξεις, πρὸς εἰδότας λέγειν οὐκ ἀνάγκη, πλὴν ὅτι εἰς διαφορὰν καὶ προτροπὴν τῶν ἐκπαιδευομένων ταῦτα γέγραπται· μιμητὰς γὰρ θεῶν καλὸν εἶναι πάντες ἡγοῦνται. ἀπείη δὲ σωφρονούσης ψυχῆς ἔννοια τοιαύτη περὶ θεῶν, ὡς καὶ αὐτὸν τὸν ἡγεμόνα καὶ γεννήτορα πάντων κατ' αὐτοὺς Δία, πατροφόντην τε καὶ πατρὸς τοιούτου γεγονέναι, ἔρωτί τε κακῶν καὶ αἰσχρῶν ἡδονῶν ἥττω γενόμενον, ἐπὶ Γανυμήδην καὶ τὰς πολλὰς μοιχευθείσας γυναῖκας ἐλθεῖν, καὶ τοὺς αὐτοῦ παῖδας τὰ ὅμοια πράξαντας παραδέξασθαι. ἀλλ', ὡς προέφημεν, οἱ φαῦλοι δαίμονες ταῦτα ἔπραξαν. ἀπαθανατίζεσθαι δὲ ἡμεῖς μόνους δεδιδάγμεθα τοὺς ὁσίως καὶ ἐναρέτως ἐγγὺς Θεῷ βιοῦντας, κολάζεσθαι δὲ τοὺς ἀδίκως, καὶ μὴ μεταβάλλοντας, ἐν αἰωνίῳ πυρὶ πιστεύομεν. υἱὸς δὲ Θεοῦ ὁ Ἰησοῦς λεγόμενος, εἰ καὶ κοινῶς μόνον ἄνθρωπος, διὰ σοφίαν ἄξιος υἱὸς Θεοῦ λέγεσθαι· πατέρα γὰρ ἀνδρῶν τε θεῶν τε, πάντες συγγραφεῖς τὸν Θεὸν καλοῦσιν. εἰ δὲ καὶ ἰδίως παρὰ τὴν κοινὴν γένεσιν γεγεννῆσθαι αὐτὸν ἐκ Θεοῦ λέγομεν λόγον Θεοῦ, ὡς προέφημεν, κοινὸν τοῦτο ἔστω ὑμῖν τοῖς τὸν Ἑρμῆν λόγον τὸν παρὰ Θεοῦ ἀγγελτικὸν λέγουσιν. εἰ δὲ αἰτιάσαιτό τις ἐσταυρῶσθαι αὐτὸν, καὶ τοῦτο κοινὸν τοῖς προκατηριθμημένοις παθοῦσιν υἱοῖς καθ' ὑμᾶς τοῦ Διὸς ὑπάρχει. ἐκείνων τε γὰρ οὐχ ὅμοια τὰ πάθη τοῦ θανάτου, ἀλλὰ διάφορα ἱστορεῖται· ὥστε μηδὲ τὸ ἴδιον τοῦ πάθους ἥττονα δοκεῖν εἶναι τοῦτον, ἀλλ', ὡς ὑπεσχόμεθα προϊόντος τοῦ λόγου, καὶ κρείττονα ἀποδείξομεν·

seu

μᾶλλον δὲ καὶ ἀποδέδεικται· ὁ γὰρ κρείττων ἐκ τῶν πράξεων φαίνεται. εἰ δὲ καὶ διὰ παρθένου γεγεννῆσθαι φέρομεν, κοινὸν καὶ τοῦτο πρὸς τὸν Περσέα ἔστω ὑμῖν. ᾧ δὲ λέγομεν χωλοὺς, καὶ παραλυτικοὺς, καὶ ἐκ γενετῆς πονηροὺς, ὑγιεῖς πεποιηκέναι αὐτὸν, καὶ
144 νεκροὺς ἀνεγεῖραι, ὅμοια τοῖς ὑπὸ Ἀσκληπιοῦ γεγενῆσθαι λεγομένοις καὶ ταῦτα φάσκειν δόξομεν.

ἵνα δὲ ἤδη καὶ τοῦτο φανερὸν ὑμῖν γένηται, ὅτι ὁπόσα λέγομεν μαθόντες παρὰ τοῦ Χριστοῦ καὶ τῶν προελθόντων αὐτοῦ προφητῶν, μόνα ἀληθῆ ἐστι, καὶ πρεσβύτερα πάντων τῶν γεγενημένων συγγραφέων· καὶ οὐχὶ διὰ τὸ ταὐτὰ λέγειν αὐτοῖς, παραδεχθῆναι ἀξιοῦμεν, ἀλλ᾽ ὅτι τὸ ἀληθὲς λέγομεν, καὶ Ἰησοῦς Χριστὸς μόνος ἰδίως υἱὸς τῷ Θεῷ γεγέννηται, λόγος αὐτοῦ ὑπάρχων καὶ πρωτότοκος, καὶ δύναμις· καὶ τῇ βουλῇ αὐτοῦ γενόμενος ἄνθρωπος, ταῦτα ἡμᾶς ἐδίδαξεν, ἐπ᾽ ἀλλαγῇ καὶ ἐπαναγωγῇ τοῦ ἀνθρωπείου γένους· πρὶν ἢ ἐν ἀνθρώποις αὐτὸν γενέσθαι ἄνθρωπον, φθάσαντές τινες διὰ τοὺς προειρημένους κακοὺς δαίμονας, διὰ τῶν ποιητῶν ὡς γενόμενα εἶπον, ἃ μυθοποιήσαντες ἔφησαν· ὃν τρόπον καὶ τὰ καθ᾽ ἡμῶν λεγόμενα δύσφημα καὶ ἀσεβῆ ἔργα ἐνήργησαν· ὧν οὐδεὶς μάρτυς οὐδὲ ἀπόδειξίς ἐστι, τοῦτον ἔλεγχον ποιησόμεθα. πρῶτον μὲν, ὅτι τὰ ὅμοια τοῖς Ἕλλησι λέγοντες, μόνοι μισούμεθα δι᾽ ὄνομα τοῦ Χριστοῦ· καὶ μηδὲν ἀδικοῦντες, ὡς ἁμαρτωλοὶ ἀναιρούμεθα, ἄλλων ἀλλαχοῦ καὶ δένδρα σεβομένων, καὶ ποταμοὺς, καὶ μῦς, καὶ αἰλούρους, καὶ κροκοδείλους, καὶ τῶν ἀλόγων ζώων τὰ πολλά· καὶ οὐ τῶν αὐτῶν ὑπὸ πάντων τιμωμένων, ἀλλὰ ἄλλων ἀλλαχόσε, ὥστ᾽ εἶναι ἀσεβεῖς ἀλλήλοις πάντας, διὰ τὸ μὴ τὰ αὐτὰ σέβειν· ὅπερ μόνον ἐγκαλεῖν ἡμῖν ἔχετε, ὅτι μὴ τοὺς αὐτοὺς ὑμῖν σέβομεν θεοὺς, μηδὲ τοῖς ἀποθανοῦσι χοὰς καὶ κνίσας, καὶ ἐν γραφαῖς στεφάνους καὶ θυσίας φέρομεν· ὅτι γὰρ οὐ τὰ αὐτὰ παρ᾽ οἷς μὲν θεοὶ, παρ᾽ οἷς δὲ θηρία, παρ᾽ οἷς δὲ ἱερεῖα νενομισμένα ἐστὶν, ἀκριβῶς ἐπίστασθε. δεύτερον δὲ, ὅτι ἐκ παντὸς γένους ἀνθρώπων οἱ παλαιοὶ σεβόμενοι Διόνυσον τὸν Σεμέλης, καὶ Ἀπόλλωνα τὸν Λητοΐδην, οἳ δι᾽ ἔρωτας ἀρσένων ὅσα ἔπραξαν, αἶσχος καὶ λέγειν· καὶ οἱ Περσεφόνην καὶ Ἀφροδίτην, τὰς διὰ τὸν Ἄδωνιν οἰστρηθείσας, ὧν καὶ τὰ μυστήρια ἄγετε· ἢ Ἀσκληπιὸν, ἤ τινα τῶν ἄλλων ὀνομαζομένων θεῶν, καίπερ θανάτῳ ἀπειλουμένου, διὰ Ἰησοῦ Χριστοῦ, τούτων μὲν καταφρονήσαμεν, Θεῷ δὲ τῷ ἀγεννήτῳ καὶ ἀπαθεῖ ἑαυτοὺς ἀνεθήκαμεν, ὃν οὔτε ἐπ᾽ Ἀντιόπην καὶ τὰς ἄλλας ὁμοίως, οὐδὲ ἐπὶ Γανυμήδην δι᾽ οἶστρον ἐληλυθέναι πειθόμεθα, οὐδὲ λυθῆναι βοηθείας τυχόντα διὰ Θέτιδος ὑπὸ τοῦ ἑκατοντάχειρος ἐκείνου, οὐδὲ μεριμνῶντα διὰ τοῦτο τὸν τῆς Θέτιδος Ἀχιλλέα διὰ τὴν παλλακίδα Βρισηΐδα ὀλέσαι πολλοὺς τῶν Ἑλλήνων·

seu potius id iã ostẽdimus. Præstãtior enim quisq; ex operib. apparet. Quod vero & ex virgine natũ esse prædicamus, cõmune sit hoc quoq;, propter Perseũ, vobiscũ. Quod claudos autẽ, & paralyticos, & ab ipsa natiuitate debiles ac morbosos sanasse, & defunctos resuscitasse memoramus, consentanea his dicere videmur, quæ ab Æsculapio facta esse feruntur. Sed ne hoc quidẽ vos lateat, quæcũq; a CHRISTO, & qui eũ præcessere prophetis ipsius accepta promulgamus, ea sola vera esse, & scriptorib. omnib. vetustiora: neq; nos propterea quod eadem quæ illi dicamus, sed quod veritatẽ ipsã profiteamur, suscipi ac probari petimus. Et IESVS CHRISTVS, vnus & solus proprie Filius Deo genitus, qui nimirũ Ratio & Verbũ eius & Primogenitus & Virtus est, atq; de cõsilio volũtateq; eius, instaurandi & restituendi humani generis ergo, Homo factus, nos ista docuit. [Sed quoniã] priusquã ille homo inter homines esset, nõnulli per Poetas, instinctu quos diximus malorũ geniorũ, ista perinde atq; iã facta essent, fabulis cõpositis inclusa referre occuparũt. (eodẽ nẽpe modo, quo famosa atq; impia flagitia aduersus nos, opera sua publicari iidẽ dæmones procurarũt, quorũ neq; testis, neq; documẽtũ & probatio vlla extat) refutationẽ huiusmodi instituimus. Primo, cũ congruentia cũ Græcis afferamus, soli tamẽ odiis expetimur propter nomẽ CHRISTI: & cũ nihil in leges cõmittamus, tãquã peccatores ad necẽ rapimur; aliis alibi & arbores, & flumina, & mures, & feles, & crocodilos, & ratione carentiũ animãtiũ multa colentibus: & quidẽ nõ eadẽ cunctis, sed alia alibi, venerãtibus, ita vt in vniuersum impii alii aliis sint, quia nõ eadẽ colãt sacra. Atqui id vnicũ habetis quod nobis criminis loco obiiciatis, non eosdẽ nos vobiscũ colere deos, neq; mortuis libationes & nidores adipũ, neq; signis atq; statuis coronas & victimas offerre. Quod nãque eædẽ animantes apud hos quidẽ numina apud alios aũt feræ, apud quosdã hostiæ legib. receptæ sint, certo scitis. Secũdo, cũ ex omni hominũ genere prisci Bacchũ Semeles, & Apollinem Latonæ filios, qui prę nefãdi in masculos amoris insania, quãta flagitia fecerint, dicere quoq; probrum est: & Proserpinam & Venerem, quarum propter Adonim libidinis furore actarũ mysteria quoq; & initia celebratis: aut Æsculapium, aut aliorum quemquam qui nominantur deorum coluerint: nos, quamuis morte minis intentata, illos quidem contempsimus per IESVM CHRISTVM; Deo autẽ ingenito, & perpessionis omnis experti, nos ipsos dedicauimus: quem neque ad Antiopen aliasve similiter, neque ad Ganymedem œstro incitatum libidinis venisse, neque suppetiis Centimani illius, quas per Thetidem obtinuerat, vinculis solutum esse: neque anxie sollicitum eius rei causa, vt Achilles Thetidis filius propter pellicem Briseidem complures Græcorum perderet, permisisse credimus,

& credentium vicem per commiserationem dolemus, auctores autem rerum taliũ dæmones esse nouimus. Tertio, cũ post ascensionẽ CHRISTI in cælum iidẽ dæmones in medium produxerint mortales, qui seipsos deos esse dixere: tãtũ abest vt persequutione illi a vobis sint expetiti, vt honoribus quoque digni sint existimati. *Simon* nimirum quidam *Samaritanus*, in vico cui Gitthon nomen est natus, qui sub Claudio Cæsare efficaciũ dæmonũ arte in imperiali vrbe vestra Roma propter magicas quas exhibuit virtutes Deus habitus est. & statua apud vos veluti Deus honoratus: quæ statua in amne Tiberi inter duos pontes est erecta, Latinam hanc habens inscriptionem SIMONI DEO SANCTO: ac Samaritani prope omnes, ex aliis autem nationibus etiam perpauci, illum quasi primum Deũ esse confitentes, adorant quoque: & Helenam quandam profectionis eius eo tẽpore comitẽ, quę prius pudicitiam in propatulo habuerat, & in lupanari prostiterat, principem ab illo notionem & intelligentiam factam esse narrãt. Deinde *Menandrum* quendã. & ipsum *Samaritanum*, in vico Caparetaia ortum, Simonis discipulum, & a dæmonibus ipsum quoq; agitatũ, Antiochiæ multos arte magica seduxisse scimus: qui sectatoribus etiam suis minime morituros esse persuasit. Suntque adeo nunc quoque ab eo reliqui nonnulli, qui hoc sic profitentur. *Marcion* vero *Ponticus* hodie etiã discipulos suos docet, aliũ quendã opifice maiorẽ opinari Deũ: qui per omne quoq; genus hominũ, dæmonũ fretus auxilio, plurimis auctor est vt blasphema dicãt, & effectorẽ huius vniuersitatis DEVM negẽt; aliũ autem quẽdã, vt maiorẽ, maiora præter hunc condidisse profiteantur. Atque omnes qui ab his prodeũt, quemadmodũ diximus, Christiani vocantur: haud aliter atq; philosophis, cũ eis non sint cõmunia dogmata, quod tamen a philosophia dicitur, cõmune omnib. est nomen. An vero etiam hi infamia illa & fabulosis in vulgus sparsa sermonib. facinora in se admittant, lucernæ euersionẽ, & promiscuos concubitus, & humanarũ carniũ viscerationes, nescimus. Persequutione quidẽ certe eos nõ expeti, neq; occidi a vobis, ob ipsa etiã dogmata sua, scimus. Est aũt nobis liber cõtra hęreses & sectas omnes cõpositus: quẽ si legere volueritis, dabimus. Nos sane, ne quẽ persequamur, neve impietatẽ cõmittamus, pueros etiã recens natos exponere, improborũ esse dicimus hominũ: primũ quidẽ, quod omnes fere videamus ad quæstũ meretriciũ educari atq; produci, non puellas modo, sed & masculos expositos. Etenim quẽadmodũ veteres dicũtur armẽta & greges boũ, vel capratũ, vel ouiũ, vel equorum pascentiũ aluisse: ita nũc & pueri ad turpẽ dumtaxat vsum, atq; itidẽ fœminarum & ambigui sexus androgynorum & obscænorum familiæ, nefandi huius piaculi gratia, per nationẽ omnẽ prostant.

καὶ τοὺς πειθομένους ἐλεοῦμεν· τοὺς δὲ τούτων αἰτίους δαίμονας γνωρίζομεν. τρίτον δ' ὅτι καὶ μετὰ τὴν ἀνέλευσιν τοῦ Χριστοῦ εἰς οὐρανόν, προεβάλλοντο οἱ δαίμονες ἀνθρώπους τινὰς λέγοντας ἑαυτοὺς εἶναι θεούς· οἳ οὐ μόνον οὐκ ἐδιώχθησαν ὑφ' ὑμῶν, ἀλλὰ καὶ τιμῶν κατηξιώθησαν. Σίμωνα μέν τινα Σαμαρία, τὸν ἀπὸ κώμης λεγομένης Γίτθων, ὃς ἐπὶ Κλαυδίου Καίσαρος διὰ τῆς τῶν ἐνεργούντων δαιμόνων τέχνης δυνάμεις ποιήσας μαγικὰς ἐν τῇ πόλει ὑμῶν βασιλίδι Ῥώμῃ, θεὸς ἐνομίσθη, καὶ ἀνδριάντι παρ' ὑμῶν ὡς θεὸς τετίμηται· [ὃς ἀνδριὰς ἀνεγήγερται] ἐν τῷ Τίβερι ποταμῷ, μεταξὺ τῶν δύο γεφυρῶν, ἔχων ἐπιγραφὴν Ῥωμαϊκὴν ταύτην, Σίμωνι δέῳ σάγκτῳ. καὶ σχεδὸν πάντες μὲν Σαμαρεῖς, ὀλίγοι δὲ καὶ ἐν ἄλλοις ἔθνεσιν, ὡς τὸν πρῶτον Θεὸν ἐκεῖνον ὁμολογοῦντες, [ἐκεῖνον καὶ] προσκυνοῦσι. καὶ Ἑλένην τινά, τὴν συμπερινοστήσασαν αὐτῷ κατ' ἐκεῖνο τοῦ καιροῦ, πρότερον ἐπὶ τέγους σταθεῖσαν [ἐν Τύρῳ τῆς Φοινίκης] τὴν ὑπ' αὐτοῦ ἔννοιαν πρώτην γενομένην λέγουσι. Μένανδρον δέ τινα, καὶ αὐτὸν Σαμαρία, τὸν ἀπὸ κώμης Καππαρεταίας, γενόμενον μαθητὴν τοῦ Σίμωνος, ἐνεργηθέντα καὶ ὑπὸ τῶν δαιμονίων, καὶ ἐν Ἀντιοχείᾳ γενόμενον, πολλοὺς ἐξαπατῆσαι διὰ μαγικῆς 145 τέχνης οἴδαμεν. ὃς καὶ τοὺς αὐτῷ ἑπομένους ὡς μηδὲ ἀποθνήσκοιεν ἔπεισε· καὶ νῦν εἰσί τινες ἀπ' ἐκείνου τοῦτο ὁμολογοῦντες. Μαρκίωνα δέ τινα Ποντικόν, ὃς καὶ νῦν ἔτι ἐστὶ διδάσκων τοὺς πειθομένους, ἄλλον τινὰ νομίζειν μείζονα τοῦ δημιουργοῦ Θεόν, ὃς κατὰ πᾶν γένος ἀνθρώπων διὰ τῆς τῶν δαιμόνων συλλήψεως, πολλοὺς πεποίηκε βλασφημίας λέγειν, καὶ ἀρνεῖσθαι τὸν ποιητὴν τοῦδε τοῦ παντὸς Θεόν· ἄλλον δέ τινα, ὡς ὄντα μείζονα, τὰ μείζονα παρὰ τοῦτον ὁμολογεῖν πεποιηκέναι. πάντες οἱ ἀπὸ τούτων ὁρμώμενοι, ὡς ἔφημεν, Χριστιανοὶ καλοῦνται, ὃν τρόπον καὶ οἱ οὐ κοινωνοῦντες τῶν αὐτῶν δογμάτων τοῖς φιλοσόφοις, τὸ ἐπικατηγορούμενον ὄνομα τῆς φιλοσοφίας κοινὸν ἔχουσιν. εἰ δὲ καὶ τὰ δύσφημα ἐκεῖνα μυθολογούμενα ἔργα πράττουσι, λυχνίας μὲν ἀνατροπήν, καὶ τὰς ἀνέδην μίξεις, καὶ ἀνθρωπείων σαρκῶν βοράς, οὐ γινώσκομεν· ἀλλ' ὅτι μὴ διώκονται, μηδὲ φονεύονται ὑφ' ὑμῶν κἂν διὰ τὰ δόγματα, ἐπιστάμεθα. ἔστι δὲ ἡμῖν καὶ σύνταγμα κατὰ πασῶν τῶν γεγενημένων αἱρέσεων [συντεταγμένον:] ᾧ εἰ βούλεσθε ἐντυχεῖν δώσομεν. ἡμεῖς δέ, ἵνα μηδένα διώκωμεν, μηδὲ ἀσεβῶμεν, ἐκτιθέναι καὶ τὰ γεννώμενα, πονηρῶν εἶναι δεδιδάγμεθα· πρῶτον μέν, ὅτι τοὺς πάντας σχεδὸν ὁρῶμεν ἐπὶ πορνείᾳ προάγοντας οὐ μόνον τὰς κόρας, ἀλλὰ καὶ τοὺς ἄρσενας· καὶ ὃν τρόπον λέγονται οἱ παλαιοὶ ἀγέλας βοῶν ἢ αἰγῶν ἢ προβάτων τρέφειν, ἢ ἵππων φορβάδων. οὕτω νῦν καὶ παῖδας εἰς τὸ αἰσχρῶς χρῆσθαι μόνον, καὶ ὁμοίως θηλέων καὶ ἀνδρογύνων καὶ ἀρρητοποιῶν πλῆθος κατὰ πᾶν ἔθνος ἐπὶ τούτου τοῦ ἄγους ἕστηκε.

Atque

καὶ τούτων μισθοὺς καὶ εἰσφορὰς καὶ τέλη λαμβάνετε,
δέον ἐκκόψαι ἀπὸ τῆς ὑμετέρας οἰκουμένης. καὶ τῶν τού-
τοις χρωμένων τις, πρὸς τῇ ἀθέῳ καὶ ἀσεβεῖ καὶ ἀκρα-
τεῖ μίξει, εἰ τύχοι, τέκνῳ ἢ συγγενεῖ ἢ ἀδελφῷ μίγνυ-
ται. οἱ δὲ, καὶ τὰ ἑαυτῶν τέκνα καὶ τὰς ὁμοζύγους προα-
γωγεύουσι· καὶ φανερῶς εἰς κιναιδίαν ἀποκόπτον-
ταί τινες, καὶ εἰς μητέρα θεῶν τὰ μυστήρια ἀναφέρου-
σι, καὶ παρὰ παντὶ τῶν νομιζομένων παρ' ὑμῖν θεῶν, ὄ-
φις σύμβολον μέγα καὶ μυστήριον ἀναγράφεται. καὶ
τὰ φανερῶς ὑμῖν πραττόμενα, καὶ τιμώμενα, ὡς ἀνα-
τετραμμένου καὶ οὐ παρόντος φωτὸς θείου, ἡμῖν προσ-
γράφετε. ὅπερ ἀπηλλαγμένοις ἡμῖν τοῦ πράττειν τι
τούτων οὐ βλάβην φέρει, ἀλλὰ τοῖς πράττουσι καὶ ψευ-
δομαρτυροῦσι μᾶλλον. παρ' ἡμῖν μὲν γὰρ ὁ ἀρχηγέ-
της τῶν κακῶν δαιμόνων, ὄφις καλεῖται, καὶ σατα-
νᾶς, καὶ διάβολος, ὡς καὶ ἐκ τῶν ἡμετέρων συγ-
γραμμάτων ἐρευνήσαντες, μαθεῖν δύνασθε· ὃν εἰς
τὸ πῦρ πεμφθήσεσθαι μετὰ τῆς αὐτοῦ στρατιᾶς καὶ τῶν
ἑπομένων ἀνθρώπων, κολασθησομένους τὸν ἀπέραντον
αἰῶνα, προεμήνυσεν ὁ Χριστός. καὶ γὰρ ἡ ἐπιμονὴ
τοῦ μηδέπω τοῦτο πρᾶξαι τὸν Θεὸν, διὰ τὸ ἀνθρώπει-
ον γένος γεγένηται. προγινώσκει γάρ τινας ἐκ μετα-
νοίας σωθήσεσθαι μέλλοντας, καί τινας μηδέπω ἴσως
γεννηθέντας· καὶ τὴν ἀρχὴν νοερὸν καὶ δυνάμενον
αἱρεῖσθαι τἀληθῆ, καὶ εὖ πράττειν, τὸ γένος τὸ ἀνθρώ-
πινον πεποίηκεν, ὥστ' ἀναπολόγητον εἶναι τοῖς πᾶσιν
ἀνθρώποις παρὰ τῷ Θεῷ· λογικοὶ γὰρ καὶ θεωρη-
τικοὶ γεγένηνται. εἰ δέ τις ἀπιστεῖ μέλειν τούτων τῷ
Θεῷ, ἢ μὴ εἶναι αὐτὸν διὰ τέχνης ὁμολογήσει, ἢ
ὄντα χαίρειν κακίᾳ φήσει, ἢ λίθῳ ἐοικότα μένειν. καὶ
μηδὲν εἶναι ἀρετὴν μηδὲ κακίαν, δόξῃ δὲ μόνον τοὺς
ἀνθρώπους ἢ ἀγαθὰ ἢ κακὰ ταῦτα ἡγεῖσθαι· ἥπερ
μεγίστη ἀσέβεια καὶ ἀδικία ἐστί. καὶ πάλιν, μὴ τῶν
ἐκτεθέντων τις μὴ ἀναληφθεὶς θανατωθῇ, καὶ
ὦμεν ἀνδροφόνοι, ἀλλ' ἢ τὴν ἀρχὴν οὐκ ἐγαμοῦ-
μεν, εἰ μὴ ἐπὶ παίδων ἀνατροφῇ, ἢ παραιτούμενοι
τὸ γήμασθαι, τέλεον ἐνεκρατευόμεθα. καὶ ἤδη τις
τῶν ἡμετέρων, ὑπὲρ τοῦ πεῖσαι ὑμᾶς ὅτι οὐκ ἔστιν ἡμῖν
14 ὁ μυστήριον ἡ ἀνέδην μίξις, βιβλίδιον ἀνέδωκεν ἐν Ἀ-
λεξανδρείᾳ Φήλικι ἡγεμονεύοντι, ἀξιῶν ἐπιτρέψαι
ἰατρῷ τοὺς διδύμους αὐτοῦ ἀφελεῖν. ἄνευ γὰρ τῆς τοῦ ἡ-
γεμόνος ἐπιτροπῆς τοῦτο πράττειν ἀπειρῆσθαι οἱ ἐκεῖ
ἰατροὶ ἔλεγον. καὶ μηδόλως βουληθέντος Φήλικος ὑ-
πογράψαι, ἐφ' ἑαυτοῦ μείνας ὁ νεανίσκος, ἠρκέσθη τῇ
ἑαυτοῦ καὶ τῶν ὁμογνωμόνων συνειδήσει. οὐκ ἄτο-
πον δὲ ἐπιμνησθῆναι ἐν τούτοις ἡγησάμεθα καὶ
Ἀντινόου τοῦ νῦν γεγενημένου, ὃν καὶ πάντες ὡς
Θεὸν διὰ φόβου σέβειν ὥρμηντο, ἐπιστάμενοι τίς τε
ἦν καὶ πόθεν ὑπῆρχεν. ὅπως δὲ μή τις ἀντιτιθεὶς

Atq; horũ vos mercedes, & collationes, & portoria capitis: quæ omnia in orbe vestro excisa oportuit. Et aliquis cũ hisce cõsuescens, prȩterquã quod impio atq; impotenti, a Deo prorsus auersus, se polluit concubitu, cum liberis etiam, si fors ita ferat, aut cognato, aut germano miscetur. Sunt qui liberos quoque suos & coniuges per lenociniũ deducũt & prostituunt. Et manifesto quidã ob impudiciciã abscindũtur; & in Matrẽ deorum initia & sacra huiusmodi referũtur. Et apud quẽq; eorum qui a vobis censentur deorũ, serpentẽ veluti symbolum magnum atq; mysterium pingitis: tũ autẽ, quæ a vobis in propatulo fiunt, atq; non puniũtur, perinde atque euersum plane non amplius adsit diuinum lumen, nobis adscribitis. Quod certe quidẽ nobis, qui longe ab huiusmodi admittendis absumus sceleribus, nihil affert detrimenti; sed patratoribus ipsis, & falso testificãtibus, plurimum. Apud nos archidux & princeps malorum dæmonum *serpens* vocatur, & *satanas*, & *diabolus*: sicuti ex scriptis nostris, si inquiratis, cognoscere potestis: quem vna cũ militia sua & hominibus eũ sequentib. in ignẽ missum, & per seculũ infinitũ excruciatũ iri, præmõstrauit CHRISTVS. Porro quod nondum hoc factũ sit a Deo, propter hominum genus, cui mora hæc datur, id accidit. Præuidet nãq; quosdã ex pœnitentia salutem cõsequuturos, quosdã etiã qui fortassis necdũ nati sunt. Et ab initio ille genus humanũ ita creauit, vt intelligentia prȩditũ esset, & arbitrii liberi potestate delectũ tũ vera cõsectandi, tum bene agẽdi obtineret. Quocirca excusatione nulla defendi possunt mortales omnes apud Deum. Rationales enim, & ad contemplationẽ appositi, per eum creati sunt. Si quis vero non credit Deũ ista curare, aut eũ nõ esse, arte composita oratione asserit; aut certe si est, prauitate gaudere; aut saxi instar persistere; & neq; virtutẽ neq; vitiũ quidquã esse dicit, & homines opinione falsa hæc vel bona vel mala putare cẽset: quȩ quidẽ summa impietas est, & iniusticia. Tũ aũt, quod metuamus ne quis expositorũ infantiũ nõ sublatus, morte consumatur, & homicidæ fiamus. Quin omnino vel matrimoniũ nõ aliter contrahimus, nisi liberorũ creandorũ atq; educandorũ gratia: vel coniugium detrectãtes, perpetuo nos continemus. Et iã nostrorũ iuuenũ quidã, vt vobis persuaderet non esse nobis mysterium, promiscuam & propatulã mistionem, libellum obtulit Alexãdriæ Felici præsidi, medico permitti postulãs, vt testes sibi abscinderet. nam sine permissu præsidis id facere, loci eius medici interdictum esse dicebãt. Felice vero prorsus petitioni eiusmodi subscribere nolente, perseuerans in proposito suo adolescens, in sua tandem, & eorum qui idẽ secum sentiebant, conscientia acquieuit. Non absurdum vero esse duco, hoc loco eius qui nõ ita pridẽ inter homines fuit, meminisse *Antinoi*: quẽ cuncti per timorẽ tamquã Deũ colere cœperũt, probe sciẽtes quisnã ille fuerit, & vnde extiterit. Verum enimuero ne

quis nobis, aduersandi studio obiiciat, nihil obstare quin etiã qui a nobis vocatur CHRISTVS, cũ homo ex hominib. fuerit, arte magica virtutes quas dicimus ediderit, atq; ob id pro Dei filio habitus sit, [rẽ hanc &] demõstrationẽ iã aggrediemur, non tam dicẽtibus credentes, quã prædicentib. priusquam fierent vatibus necessario fidẽ habentes, quod oculis etiã ipsis, ita vt prædicta sunt, & facta esse & fieri quæque cernamus: quæ certe maxima & verissima vobis quoque, vt arbitramur, videbitur esse probatio. Fuere homines quidã apud Iudæos, *Prophetæ Dei*, per quos *Spiritus propheticus* quæ futura erant, antequam fierent prænunciauit: atque horum vaticinia, qui temporibus suis in Iudæa fuere reges, ita vt cũ ederẽtur promulgata, & vernacula Ebræorum voce in libris per ipsos prophetas compositis perscripta sunt, conseruarunt. Cum autem Ptolemæus Ægyptiorum rex bibliothecam institueret, & hominum omnium scripta cõportare conaretur, de prophetiis hisce quoque certior factus, ad Herodem Iudæorum tum regem misit, copiam sibi fieri propheticorum librorum petẽs, ac rex quidem Herodes illos, qua diximus Ebraica lingua conscriptos, ad eum missos fecit. Verum cum Ægyptiis incognita essent quæ scripta erant, denuo legatione missa illum rogauit, vt ad se, qui libros eos in Græcum transferrent sermonem, homines mitteret. atque hoc sic facto, libri apud Ægyptios permãsere ad hodiernum vsque diem. Sunt illi etiam apud omnes vbique Iudæos, qui eos legentes non intelligunt: sed pro inimicis nos & hostibus habentes, itidem vti vos, cum possunt, occidunt & excruciãt: quemadmodum [vel ex eo] persuaderi potestis. Proximo namque Iudaico bello Barchochebas, defectionis Iudæorum dux & princeps, solos Christianos ad grauia supplicia, nisi CHRISTVM abnegarent & maledictis incesserent, protrahere iussit. Porro in eiusmodi prophetarum libris, vaticiniis prænunciatum inuenimus, aduenturum fuisse qui ex virgine natus, & virilem ætatem ingressus, omnem morbum & ægritudinem curaret, ac mortuos excitaret; odiisque expetitus, & ignobilis, & cruci affixus, & mortuus, resurgeret, & in cælos ascenderet, Filiusq; Dei & esset & nominaretur, IESVM CHRISTVM nostrum: & quosdam etiã futuros, qui ad omne genus mortaliũ ab eo legati, ista prædicarẽt: atq; ex gentib. homines magis illi [quã Iudæos] credituros esse. Prædictus autẽ vaticiniis prius est quã apparuerit, quãdoque quinquies mille, quãdoq; bis mille, nõnumquã mille, & aliquando octingẽtis annis. nã iuxta generationũ successiones alii atq; alii exstitere sacri vates. Moses sane, qui primus prophetarũ fuit, sic ad verbũ scripsit: *Nõ deficiet princeps e Iuda,*

ἡμῖν, τί κωλύει καὶ τὸν παρ' ἡμῖν λεγόμενον Χριστόν, ἄνθρωπον ἐξ ἀνθρώπων ὄντα, μαγικῇ τέχνῃ ἃς λέγομεν δυνάμεις πεποιηκέναι, καὶ δόξαι διὰ τοῦτο υἱὸν Θεοῦ εἶναι, τὴν ἀπόδειξιν ἤδη ποιησόμεθα, οὐ τοῖς λέγουσι πιστεύοντες, ἀλλὰ τοῖς προφητεύουσι πρὶν ἢ γενέσθαι, κατ' ἀνάγκην πειθόμενοι, διὰ τὸ καὶ ὄψει ὡς προεφητεύθη ὁρᾶν γενόμενα καὶ γινόμενα· ἥπερ μεγίστη καὶ ἀληθεστάτη ἀπόδειξις καὶ ὑμῖν, ὡς νομίζομεν, φανήσεται. ἄνθρωποι οὖν τινὲς ἐν Ἰουδαίοις γεγένηνται Θεοῦ προφῆται, δι' ὧν τὸ προφητικὸν πνεῦμα προεκήρυξε τὰ γενήσεσθαι μέλλοντα, πρὶν ἢ γενέσθαι· καὶ τούτων οἱ ἐν Ἰουδαίοις κατὰ καιροὺς γενόμενοι βασιλεῖς, τὰς προφητείας ὡς ἐλέχθησαν ὅτε προεφητεύοντο, τῇ ἰδίᾳ αὐτῶν Ἑβραΐδι φωνῇ ἐν βιβλίοις ὑπ' αὐτῶν τῶν προφητῶν συντεταγμένας κτώμενοι, περιεῖπον. ὅτε δὲ Πτολεμαῖος ὁ Αἰγυπτίων βασιλεὺς βιβλιοθήκην κατεσκεύαζε, καὶ τὰ πάντων ἀνθρώπων συγγράμματα συνάγειν ἐπειράθη, πυθόμενος καὶ περὶ τῶν προφητειῶν τούτων, προσέπεμψε τῷ τῶν Ἰουδαίων τότε βασιλεύοντι Ἡρώδῃ, ἀξιῶν διαπεμφθῆναι αὐτῷ τὰς βίβλους τῶν προφητειῶν. καὶ ὁ μὲν βασιλεὺς Ἡρώδης τῇ προειρημένῃ Ἑβραΐδι αὐτῶν φωνῇ γεγραμμένας διεπέμψατο. ἐπειδὴ δὲ οὐκ ἦν γνώριμα τὰ ἐν αὐταῖς γεγραμμένα τοῖς Αἰγυπτίοις, πάλιν αὐτὸν ἠξίωσε πέμψας τοὺς μεταβαλοῦντας αὐτὰς εἰς τὴν Ἑλλάδα φωνὴν ἀνθρώπους ἀποστεῖλαι. καὶ τούτου γενομένου, ἔμειναν αἱ βίβλοι καὶ παρ' Αἰγυπτίοις μέχρι τοῦ δεῦρο, καὶ πανταχοῦ παρὰ πᾶσίν εἰσιν Ἰουδαίοις· οἳ καὶ ἀναγινώσκοντες οὐ συνιᾶσι τὰ εἰρημένα, ἀλλ' ἐχθροὺς ἡμᾶς καὶ πολεμίους ἡγοῦνται, ὁμοίως ὑμῖν ἀναιροῦντες καὶ κολάζοντες ἡμᾶς ὁπόταν δύνωνται, ὡς καὶ πεισθῆναι δύνασθε. καὶ γὰρ ἐν τῷ νῦν γεγενημένῳ Ἰουδαϊκῷ πολέμῳ, Βαρχωχέβας ὁ τῆς Ἰουδαίων ἀποστάσεως ἀρχηγέτης, Χριστιανοὺς μόνους εἰς τιμωρίας δεινάς, εἰ μὴ ἀρνοῖντο Ἰησοῦν τὸν Χριστὸν καὶ βλασφημοῖεν, ἐκέλευεν ἀπάγεσθαι. ἐν δὴ ταῖς τῶν προφητῶν βίβλοις εὕρομεν προκηρυσσόμενον παραγινόμενον, γεννώμενον διὰ παρθένου, καὶ ἀνδρούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ νεκροὺς ἀνεγείροντα, καὶ φθονούμενον καὶ ἀγνοούμενον καὶ σταυρούμενον Ἰησοῦν τὸν ἡμέτερον Χριστόν, καὶ ἀποθνήσκοντα, καὶ ἀνεγειρόμενον, καὶ εἰς οὐρανοὺς ἀνερχόμενον, καὶ υἱὸν Θεοῦ ὄντα καὶ κεκλημένον, καί τινας πεμπομένους ὑπ' αὐτοῦ εἰς πᾶν γένος ἀνθρώπων κηρύξοντας ταῦτα, καὶ τοὺς ἐξ ἐθνῶν ἀνθρώπους μᾶλλον αὐτῷ πιστεύειν. προεφητεύθη δὲ πρὶν ἢ φανῆναι αὐτόν, ἔτεσι ποτὲ μὲν πεντακισχιλίοις, ποτὲ δὲ τρισχιλίοις, ποτὲ δὲ δισχιλίοις, καὶ πάλιν χιλίοις, καὶ ἄλλοτε ὀκτακοσίοις. κατὰ γὰρ τὰς διαδοχὰς τῶν γενεῶν, ἕτεροι καὶ ἕτεροι ἐγένοντο προφῆται. Μωσῆς μὲν οὖν πρῶτος τῶν προφητῶν γενόμενος, εἶπεν αὐτολεξεὶ οὕτως, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐ

neque

οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν, δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, πλύνων ἐν αἵματι σταφυλῆς τὴν στολὴν αὐτοῦ.

147 Ὑμέτερον οὖν ἐστὶν ἀκριβῶς ἐξετάσαι καὶ μαθεῖν, μέχρι τίνος ἦν ἄρχων καὶ βασιλεὺς ἐν Ἰουδαίοις ἴδιος αὐτῶν· μέχρι τῆς φανερώσεως Ἰησοῦ Χριστοῦ τοῦ ἡμετέρου διδασκάλου, καὶ τῶν ἀγνοουμένων προφητειῶν ἐξηγητοῦ, ὡς προερρέθη ὑπὸ τοῦ θείου ἁγίου προφητικοῦ πνεύματος διὰ τοῦ Μωϋσέως, μὴ ἐκλείψειν ἄρχοντα ἀπὸ Ἰουδαίων ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται τὸ βασίλειον. Ἰούδας γὰρ προπάτωρ Ἰουδαίων, ἀφ᾽ οὗ καὶ τὸ Ἰουδαῖοι καλεῖσθαι ἐσχήκασι· καὶ ὑμεῖς μετὰ τὴν γενομένην αὐτοῦ φανέρωσιν καὶ Ἰουδαίων ἐβασιλεύσατε, καὶ τῆς ἐκείνων πάσης γῆς ἐκρατήσατε. τὸ δέ, Αὐτὸς ἔσται προσδοκία ἐθνῶν, μηνυτικὸν ἦν ὅτι ἐκ πάντων τῶν ἐθνῶν προσδοκήσουσιν αὐτὸν πάλιν παραγενησόμενον· ὅπερ ὄψει ὑμῖν πάρεστιν ἰδεῖν, καὶ ἔργῳ πεισθῆναι· ἐκ πάντων γὰρ γενῶν ἀνθρώπων προσδοκῶσι τὸν ἐν Ἰουδαίᾳ σταυρωθέντα, μεθ᾽ ὃν εὐθὺς δοριάλωτος ὑμῖν ἡ γῆ Ἰουδαίων παρεδόθη. τὸ δέ, Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ πλύνων τὴν στολὴν αὐτοῦ ἐν αἵματι σταφυλῆς, σύμβολον δηλωτικὸν ἦν τῶν γενησομένων τῷ Χριστῷ, καὶ τῶν ὑπ᾽ αὐτοῦ πραχθησομένων. πῶλος γάρ τις ὄνου εἱστήκει ἔν τινι εἰσόδῳ κώμης πρὸς ἄμπελον δεδεμένος, ὃν ἐκέλευσεν ἀγαγεῖν αὐτῷ τότε τοὺς γνωρίμους αὐτοῦ· καὶ ἀχθέντος ἐπιβὰς ἐκάθισε, καὶ εἰσελήλυθεν εἰς τὰ Ἱεροσόλυμα, ἔνθα τὸ μέγιστον ἱερὸν ἦν Ἰουδαίων, ὃ ὑφ᾽ ὑμῶν ὕστερον κατεστράφη. καὶ μετὰ τοῦτο ἐσταυρώθη, ὅπως τὸ λοιπὸν τῆς προφητείας συντελεσθῇ. τὸ γὰρ Πλύνων τὴν στολὴν αὐτοῦ ἐν αἵματι σταφυλῆς, προαγγελτικὸν ἦν τοῦ πάθους οὗ πάσχειν ἔμελλε, δι᾽ αἵματος καθαίρων τοὺς πιστεύοντας αὐτῷ. ἡ γὰρ κεκλημένη ὑπὸ τοῦ θείου πνεύματος διὰ τοῦ προφήτου στολή, οἱ πιστεύοντες αὐτῷ εἰσὶν ἄνθρωποι, ἐν οἷς οἰκεῖ τὸ παρὰ τοῦ Θεοῦ σπέρμα, ὁ λόγος. τὸ δὲ εἰρημένον Αἷμα τῆς σταφυλῆς, σημαντικὸν τοῦ ἔχειν μὲν αἷμα τὸν φανησόμενον, ἀλλ᾽ οὐκ ἐξ ἀνθρωπείου σπέρματος, ἀλλ᾽ ἐκ θείας δυνάμεως. ἡ δὲ πρώτη δύναμις μετὰ τὸν πατέρα πάντων καὶ δεσπότην Θεόν, καὶ υἱός, ὁ λόγος ἐστίν· ὃς τίνα τρόπον σαρκοποιηθεὶς ἄνθρωπος γέγονεν, ἐν τοῖς ἑξῆς ἐροῦμεν. ὃν τρόπον γὰρ τὸ τῆς ἀμπέλου αἷμα οὐκ ἄνθρωπος πεποίηκεν, ἀλλ᾽ ὁ Θεός, οὕτως καὶ τοῦτο ἐμήνυε, οὐκ ἐξ ἀνθρωπείου σπέρματος γενήσεσθαι τὸ αἷμα, ἀλλ᾽ ἐκ δυνάμεως Θεοῦ, ὡς προέφημεν. καὶ Ἠσαΐας δὲ ἄλλος προφήτης τὰ αὐτὰ δι᾽ ἄλλων ῥήσεων προφητεύων, οὕτως εἶπεν· Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἄνθος ἀναβήσεται ἀπὸ τῆς ῥίζης Ἰεσσαί· καὶ ἐπὶ τὸν βραχίονα αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Ἄστρον δὲ φωτεινὸν ἀνέτειλε, καὶ ἄνθος ἀνέβη ἀπὸ τῆς ῥίζης Ἰεσσαί, οὗτος ὁ Χριστός. διὰ γὰρ παρθένου τῆς ἀπὸ τοῦ σπέρματος Ἰακώβ,

neque dux e femore eius, donec veniat cui repositum est. Et ipse erit exspectatio gentium, ligans ad vitem pullum suum, lauans in sanguine vuæ stolam suam. Vestrum igitur fuerit, accurate inquirere atq; discere, quo adusque princeps & rex Iudæis fuerit proprius: nimirũ vsque ad manifestationem IESV CHRISTI magistri nostri; & non intellectorum vaticiniorum interpretis; quem diuinus, sanctus, & propheticus Spiritus per Mosen venturum promulgauit; non defecturum e Iudæis Principem dicens, tantisper dum veniret cui repositum foret regnũ. Iudas namque ex maioribus Iudæorum vnus fuit, a quo & Iudæi cognominari habuerunt. Et vos post manifestam eius exhibitionem & Iudæis imperastis, & terrã eorum omnem in potestatem vestram redegistis. Quod autem dictum est, *Ipse erit exspectatio gentium*; significat id fore, vt ex omnibus gentibus illum denuo exspectarent. Quod sane vobis oculis ipsis cernere, & rerum experientia adductis credere licet. Ex omni enim genere hominum, eũ ipsum exspectant qui in Iudæa est crucifixus. post quem statim armis capta terra Iudæorum, in dicionem vestram concessit. Porro verbum istud, *Ligans ad vitem pullum suum, & lauans in sanguine vuæ stolam suam*, symbolum atque indicium fuit, ea quæ de Christo futura erant, quæque ab eo fieri debebant designans. Nam pullus quidam asinæ in introitu quodam vici ad vitem alligatus stabat: quem sibi tum adducere familiares suos iussit, cum eo conscenso Hierosolyma ingressus est: vbi maximum Iudæorum templũ fuit, a vobis postea euersum. Et exinde, vt quod reliquum erat prophetiæ compleretur, in crucem est actus. Nam verbum, *Lauans in sanguine vuæ stolam suam*: passionem eius quam subiturus erat, prænunciauit; per sanguinem lustrans atque purificans sibi credẽtes. Quæ enim a diuino Spiritu per Prophetã dicta est stola, fideles eius sunt; in quibus quod a Deo est semen, Verbum, habitat. Quod vero *sanguis vuæ* dicitur, significat, eum qui apparitúrus fuerat, sanguinem quidem habiturum, verum non ex humano viri semine, sed ex virtute diuina. *Princeps* autem *virtus* secundum Parentem & Dominum vniuersorum Deum, & *Filius*, *Verbum* est: quod quomodo per incarnationem *Homo* sit factum, deinceps dicemus. Sicut enim vitis sanguinem non homo, sed Deus fecit: sic & hoc ipsum indicatum est, non ex humano semine viri habiturum sanguinem, sed ex Virtute Dei, quemadmodum diximus. Atque Esaias vates alius, eadem verbis aliis prædicens, ita inquit: *Exorsetur stella ex Iacob, & flos e radice Iessæ ascendet: & in brachium eius gentes sperabunt.* Stella sane lucida ex Iacob exorta est, & flos ascendit e radice Iessæ, CHRISTVS noster. Nam ex virgine seminis Iacob,

patris Iuda, quem ex Iudæorum maioribus fuisse ostendimus, Dei virtute prognatus est. Et Iesses quidem inter maiores eius, iuxta oraculum, censius est: ipsius autem Iacobi & Iudæ is, secundum generis successionem, filius fuit. Iam vero quẽadmodum ex virgine oriundum disertis verbis Esaias prædixerit, audite. Prædixit autem ad hunc modum: *Ecce virgo vterum gestabit, & pariet filium, & dicent super nomine eius* [Emanuel, hoc est] *Nobiscum Deus.* nam quæ incredibilia & impossibilia habita apud homines erãt, ea Deus per Spiritum propheticum futura præmonstrauit: vt, cum facta essent, in dubium per incredulitatem non vocarẽtur, sed propter prædictionem certa per fidem haberentur. Ne autem aliqui prophetiam quã produximus, non intelligẽtes, [per cauillationem] nobis ea obiiciant quæ poetis nos recte obiecimus, Iouem rei Venereæ gratia ad mulieres ventitasse dicentibus, declarare verba ista visum est. Itaque quod dictum est, *Ecce virgo vterum gestabit*, significat virginem absque consuetudine Venerea concepturam fuisse. Si enim cum quocumque consueuisset, non iam virgo fuisset. Atenim virtus Dei virgini superueniens, illi obumbrauit: & virgo cum esset, vt fœtum grauida in vtero ferret, effecit. Et legatus tum temporis ad virginem ipsam angelus Dei, lætum illi attulit nuncium, dicens: *Ecce concipies in vtero ex Spiritu sancto, & paries filium, & Filius altissimi vocabitur, & vocabis nomẽ eius* IESVM. *ipse enim saluabit populum suum a peccatis suis*: sicuti qui in Commentarios res omnes de saluatore nostro IESV CHRISTO retulerunt, testati sunt: eisque fidem habuimus, quod & per eum quem diximus Esaiam, propheticus Spiritus nasciturum hunc ita vt indicauimus, dixit. *Spiritum* autem & *Virtutem quæ a Deo est*, non aliud intelligere fas est, quam *Verbum*; quod & *Primogenitum Deo* esse, Moses, quem supra diximus, propheta ostendit. Atque hic Spiritus cũ in virginem illapsus esset, & illi obumbrasset, non per concubitum, sed per virtutem, prægnantem eam reddidit. Nomen vero IESVS, Ebraicum, Græce σωτῆρα, hoc est *saluatorem*, denotat. Quocirca & angelus ad virginem dixit: *Et vocabis nomen eius* IESVM. *ipse enim saluum faciet populum suum a peccatis suis.* Porro quod vaticinantes non alio quam diuino Verbo afflati agantur, vos quoque ipsos dicturos esse reor. Vbi vero terrarum etiam nasciturus esset, sicut alius propheta Michæas præcinuit, audite. Sic autem dixit: *Et tu Bethleem terra Iuda, nequaquam minima es in principibus Iuda. ex te enim egredietur dux, qui reget siue pascet populum meum.* Vicus autem quidam est Bethleem in regione Iudæorum, triginta quinque stadiis Hierosolymis distans, vbi natus est CHRISTVS IESVS &

τοῦ γενομένου πατρὸς Ἰούδα, τοῦ δεδηλωμένου Ἰουδαίων πατρός, διὰ δυνάμεως Θεοῦ ἀπεκυήθη· καὶ Ἰεσσαὶ προπάτωρ μὲν κατὰ τὸ λόγιον γεγένηται· τοῦ δὲ Ἰακὼβ, καὶ τοῦ Ἰούδα κατὰ γένους διαδοχὴν υἱὸς ὑπῆρχεν. καὶ πάλιν ὡς αὐτολεξεὶ διὰ παρθένου μὲν τεχθησόμενος διὰ τοῦ Ἠσαΐου προεφητεύθη, ἀκούσατε. ἐλέχθη δὲ οὕτως· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ ἐροῦσιν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, Μεθ᾽ ἡμῶν ὁ Θεός. ἃ γὰρ ἦν ἄπιστα καὶ ἀδύνατα νομιζόμενα παρὰ τοῖς ἀνθρώποις γενήσεσθαι, ταῦτα ὁ Θεὸς προεμήνυσε διὰ τοῦ προφητικοῦ πνεύματος μέλλειν γίνεσθαι, ἵν᾽ ὅταν γένηται μὴ ἀπιστηθῇ, ἀλλ᾽ ἐκ τοῦ προειρῆσθαι πιστευθῇ. ὅπως δέ τινες μὴ νοήσαντες τὴν δεδηλωμένην προφητείαν, ἐγκαλέσωσιν ἡμῖν ἅπερ ἐνεκαλέσαμεν τοῖς ποιηταῖς εἰποῦσιν ἀφροδισίων χάριν ἐληλυθέναι ἐπὶ γυναῖκας τὸν Δία, διασαφῆσαι τοὺς λόγους πειρασόμεθα. τὸ οὖν, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, σημαίνει οὐ συνουσιασθεῖσαν τὴν παρθένον συλλαβεῖν· εἰ γὰρ ἐσυνουσιάσθη ὑπὸ ὁτουοῦν, οὐκέτι ἦν παρθένος· ἀλλὰ δύναμις Θεοῦ ἐπελθοῦσα τῇ παρθένῳ, ἐπεσκίασεν αὐτήν, καὶ κυοφορῆσαι παρθένον οὖσαν πεποίηκε. καὶ ὁ ἀποσταλεὶς δὲ πρὸς αὐτὴν τὴν παρθένον κατ᾽ ἐκεῖνο τοῦ καιροῦ ἄγγελος Θεοῦ, εὐηγγελίσατο αὐτὴν εἰπών, Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ ἐκ πνεύματος ἁγίου, καὶ τέξῃ υἱόν, καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, ὡς οἱ ἀπομνημονεύσαντες πάντα τὰ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδίδαξαν· οἷς ἐπιστεύσαμεν· ἐπειδὴ καὶ διὰ Ἠσαΐου τοῦ προδεδηλωμένου τὸ προφητικὸν πνεῦμα τοῦτον γεννησόμενον ὡς προεμηνύομεν ἔφη. τὸ πνεῦμα οὖν καὶ τὴν δύναμιν τὴν παρὰ τοῦ Θεοῦ οὐδὲν ἄλλο νοῆσαι θέμις, ἢ τὸν λόγον, ὃς καὶ πρωτότοκος τῷ Θεῷ ἐστι, Μωσῆς ὁ προδεδηλωμένος προφήτης ἐμήνυσε. καὶ τοῦτο ἐλθὸν ἐπὶ τὴν παρθένον καὶ ἐπισκιάσαν, οὐ διὰ συνουσίας, ἀλλὰ διὰ δυνάμεως, ἐγκύμονα κατέστησε. τὸ δὲ Ἰησοῦς ὄνομα τῇ Ἑβραΐδι φωνῇ, σωτὴρ τῇ Ἑλληνίδι διαλέκτῳ δηλοῖ. ὅθεν καὶ ὁ ἄγγελος πρὸς τὴν παρθένον εἶπε, Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Ὅτι δὲ οὐδενὶ ἄλλῳ θεοφοροῦνται οἱ προφητεύοντες εἰ μὴ λόγῳ θείῳ, καὶ ὑμεῖς ὡς ὑπολαμβάνω φήσετε. ὅπου δὲ καὶ τῆς γῆς γεννᾶσθαι ἔμελλεν, ὡς προεῖπεν ἕτερος προφήτης ὁ Μιχαίας, ἀκούσατε. ἔφη δὲ οὕτως· Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου. κώμη δέ τις ἐστὶν ἐν τῇ χώρᾳ Ἰουδαίων, ἀπέχουσα σταδίους τριακονταπέντε Ἱεροσολύμων, ἐν ᾗ ἐγεννήθη Ἰησοῦς Χριστός,

quem

ὡς καὶ μαθεῖν δύνασθε ἐκ τῶν ἀπογραφῶν τῶν γενομένων ἐπὶ Κυρηνίου τοῦ ὑμετέρου ἐν Ἰουδαίᾳ πρώτου γενομένου ἐπιτρόπου. ὡς δὲ καὶ λήσειν ἔμελλε τοὺς ἄλλους ἀνθρώπους γεννηθεὶς ὁ Χριστός, ἄχρις ἀνδρωθῇ, ὅπερ καὶ γέγονεν, ἀκούσατε τῶν προειρημένων εἰς τοῦτο. ἔστι δὲ ταῦτα· Παιδίον ἐγεννήθη ἡμῖν, καὶ νεανίσκος ἡμῖν ἀπεδόθη· οὗ ἡ ἀρχὴ ἐπὶ τῶν ὤμων:- μηνυτικὸν τῆς δυνάμεως τοῦ σταυροῦ, ᾧ προσέθηκε τοὺς ὤμους σταυρωθείς, ὡς προϊόντος τοῦ λόγου σαφέστερον δειχθήσεται. καὶ πάλιν ὁ αὐτὸς προφήτης Ἠσαΐας θεοφορούμενος τῷ πνεύματι τῷ προφητικῷ, ἔφη· Ἐγὼ ἐξεπέτασα τὰς χεῖράς μου ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, ἐπὶ τοὺς πορευομένους ἐν ὁδῷ οὐ καλῇ. αἰτοῦσί με νῦν κρίσιν, καὶ ἐγγίζειν Θεῷ τολμῶσιν:- καὶ πάλιν ἐν ἄλλοις λόγοις δι' ἑτέρου προφήτου λέγει· Αὐτοὶ ὤρυξάν μου πόδας καὶ χεῖρας, καὶ ἔβαλον κλῆρον ἐπὶ τὸν ἱματισμόν μου:- καὶ ὁ μὲν Δαυὶδ ὁ βασιλεὺς καὶ προφήτης ὁ εἰπὼν ταῦτα, οὐδὲν τούτων ἔπαθεν· Ἰησοῦς δὲ Χριστός, ἐξετάθη τὰς χεῖρας, σταυρωθεὶς ὑπὸ τῶν Ἰουδαίων ἀντιλεγόντων αὐτῷ καὶ φασκόντων μὴ εἶναι αὐτὸν Χριστόν. καὶ γὰρ, ὡς εἶπεν ὁ προφήτης, διασύροντες αὐτὸν, ἐκάθισαν ἐπὶ βήματος, καὶ εἶπον, Κρῖνον ἡμῖν. τὸ δὲ Ὤρυξάν μου χεῖρας καὶ πόδας, ἐξήγησις τῶν ἐν τῷ σταυρῷ παγέντων ἐν ταῖς χερσὶ καὶ τοῖς ποσὶν αὐτοῦ ἥλων ἦν. καὶ μετὰ τὸ σταυρῶσαι αὐτὸν, ἔβαλον κλῆρον ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ, καὶ ἐμερίσαντο ἑαυτοῖς οἱ σταυρώσαντες αὐτόν. καὶ ταῦτα ὅτι γέγονε, δύνασθε μαθεῖν ἐκ τῶν ἐπὶ Ποντίου Πιλάτου γενομένων ἄκτων. καὶ ὅτι ῥητῶς καθεσθησόμενος ἐπὶ πῶλον ὄνου, καὶ εἰσελευσόμενος εἰς τὰ Ἱεροσόλυμα προεφητεύετο, ἑτέρου προφήτου τοῦ Σοφονίου τὰς τῆς προφητείας λέξεις ἐροῦμεν. εἰσὶ δὲ αὗται· Χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, ἐπιβεβηκὼς ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου:- Ὅταν δὲ τὰς λέξεις τῶν προφητῶν λεγομένας ὡς ἀπὸ προσώπου ἀκούητε, μὴ ἀπ' αὐτῶν τῶν ἐμπεπνευσμένων λέγεσθαι νομίσητε, ἀλλ' ἀπὸ τοῦ κινοῦντος αὐτοὺς θείου λόγου. ποτὲ μὲν γὰρ ὡς προαγγελτικῶς τὰ μέλλοντα γενήσεσθαι λέγει, ποτὲ δ' ὡς ἀπὸ προσώπου τοῦ δεσπότου πάντων καὶ πατρὸς Θεοῦ φθέγγεται, ποτὲ δὲ ὡς ἀπὸ προσώπου τοῦ Χριστοῦ, ποτὲ δὲ ὡς ἀπὸ προσώπου λαῶν ἀποκρινομένων τῷ Κυρίῳ, ἢ τῷ πατρὶ αὐτοῦ· ὁποῖον καὶ ἐπὶ τῶν παρ' ὑμῖν συγγραφέων ἰδεῖν ἐστιν, ἕνα μὲν τὸν τὰ πάντα συγγράφοντα ὄντα, πρόσωπα δὲ τὰ διαλεγόμενα παραφέροντα· ὅπερ μὴ νοήσαντες οἱ ἔχοντες τὰς βίβλους τῶν προφητῶν Ἰουδαῖοι, οὐκ ἐγνώρισαν οὔτε παραγενόμενον τὸν Χριστὸν, ἀλλὰ καὶ ἡμᾶς τοὺς λέγοντας παραγεγονέναι αὐτὸν, καὶ ὡς προεκεκήρυκτο ἀποδεικνύντας ἐσταυρῶσθαι ὑπ' αὐτῶν, μισοῦσιν. ἵνα δὲ καὶ τοῦτο ὑμῖν φανερὸν γένηται, ἀπὸ προσώπου τοῦ πατρὸς ἐλέχθησαν διὰ Ἠσαΐου

quemadmodum & ex descriptionibus census acti, quæ sub Cyrenio, primo vestro in Iudæa procuratore, sunt confectæ, intelligere potestis. Quod autem & latendo præsentiam suam celaturus esset homines alios, donec virilem ageret ætatem; id quod & factum est: quæ ea de re prædicta sint, audite: *Puer natus est nobis; & adolescentulus datus est nobis: cuius super humeros imperium Eius.* Ostendit hoc oraculum virtutem Crucis, quam humeris adplicuit, in eandem actus: sicuti in orationis progressu manifestius demonstrabitur. Et rursus idem vates Esaias, spiritu incitatus prophetico inquit: *Ego expandi manus meas ad populum infidelem & responsitorem, ad eos qui in via non bona incedunt. Exigunt a me iudicium, & appropinquare Deo audent.* Ac rursus aliis verbis per alium prophetam ait: *Ipsi foderunt manus & pedes meos, & iecerunt sortem super vestitum meo.* Dauid profecto, idẽ & rex & propheta, qui hæc dixit, nihil horum pertulit. IESVS CHRISTVS autem manus expassus est, cum a Iudæis crucifigeretur, responsantibus ei atque dicentibus, non esse eum CHRISTVM. Nam ita, sicut propheta ait, diuexãtes illũ in tribunali collocarũt, atq; dixerunt: *Iudica nobis.* Illud vero, *Foderũt manus & pedes meos*, narratio est de clauis, manib. pedib. usque eius in cruce infixis. Et cũ iã in crucem egissent eũ, aleã super vestitu eius luserũt: & inter se partiti sunt illum, qui crucifigẽdi supplicium peregerãt. Atque hęc ita gesta esse, cognoscere ex actis quæ sub Pilato sunt conscripta, potestis. Quod item diserte, conscensurum eum asinæ pullum, & Hierosolyma ingressurum esse prædictum sit, alterius prophetæ Zachariæ vaticinii verba referemus. sunt autem ista: *Lætare vehemẽter filia Sion; prædica filia Hierusalem: Ecce rex tuus venit tibi mitis, asino insidens, & pullo filio subiugalis.* Sed enim cum prophetarum verba tamquam a persona aliqua dicta auditis, ne ab ipsis quos Spiritus afflauit dici existimetis, sed a Verbo quod illos incitat diuino. Quandoque enim prænunciantis more, quæ euentura sint, profert: quãdoque autem velut in persona Domini, & parentis vniuersorum Dei: nonnumquam in persona CHRISTI; aliquando in persona populorum respondentium Domino aut Patri eius, loquitur: itidem vt apud scriptores vestros cernere est, quum vnus quidem est qui conscripserit omnia, personæ autem quæ introducuntur loquentes, diuersæ. Quod quia non intellexerunt qui libros prophetarum habent Iudæi, CHRISTVM etiam præsentem non agnouerunt: quin & nos, aduenisse illum asserentes, & ab ipsis cruci affixum esse, quemadmodum vaticiniis est prænunciatum, demonstrantes, odio prosequuntur. Et vt hoc ipsum quoque perspicuum sit, a persona Filii, per eum quem dixi prophetam Esaiam,

verba hæc prolata sunt: *Cognouit bos possessorem suum, & asinus præsepe Domini sui: Israel autem me non cognouit, & populus meus non intellexit. Væ genti peccatrici, populo pleno peccatis, semini nequam. Filij iniqui deseruistis Dominum.* Et alibi idem propheta a persona Patris dicit: *Qualem mihi ædificabitis domum? dicit Dominus. Cælum sedes mea, & terra scabellum pedum meorum.* Ac rursus alibi: *Neomenias seu nouilunia vestra & sabbata odit anima mea. Et diem magnum ieiunij, & ocium non sustinebo: neque cum veneritis vt appareatis mihi, exaudiam vos. Plenæ sunt manus vestræ sanguine. Et cum offertis similam aut incensum, abominatio mihi est. Adipem agnorum & sanguinem hircorum nolo. Quis enim requisiuit hæc ex manibus vestris? Verum dissolue omnem colligationem iniquitatis; disrumpe fasciculos violentorum contractuum; vagum & nudum tege; frange esurienti panem tuum.* Et qualia quidem sint quæ per vates suos a Deo præcepta sint, [his exemplis] intelligere potestis. Cum autem a persona CHRISTI Spiritus propheticus loquitur, ita infit: *Ego expandi manus meas ad populum incredulum & contradicentem, ad eos qui in via non bona gradiuntur.* Et iterum; *Tergum meum opposui ad flagra, & maxillas meas ad colaphos: faciem autem meam non auerti a fœditate sputorum. Et Dominus auxiliator meus fuit: propterea non sum pudefactus; sed posui faciem meam vt firmam petram, & cognoui non me pudefactum iri, quoniam præsto adest qui iustificat me.* Ac rursum cum dicit; *Ipsi iecerunt sortem super vestitu meo, & foderunt pedes ac manus meas.* Et; *Ego autem obdormiui, & somnum cepi, & resurrexi: quia Dominus suscepit (siue erexit) me.* Et rursum cum inquit: *Loquuti sunt labiis, mouerunt caput, dicentes: Liberet seipsum.* Quæ omnia a Iudæis CHRISTO accidisse [& de CHRISTO prædicta esse] cognoscere potestis. Nam crucifixo eo distorserunt labia, & capita mouerunt, dicentes; *Qui mortuos excitauit, liberet seipsum.* Quando vero veluti vaticinans quæ futura sint, verba facit Spiritus propheticus, ita loquitur: *Ex Sion enim egredietur lex, & verbum Domini e Hierusalem: & is populis dicet, & arguet populum multum. Et conflabunt gladios suos in vomeres, & lanceas suas in falces. Et non sumet gens in gentem gladium, & non discent amplius belligerare.* Et quod hoc sic factum sit, persuaderi ad credendum docerique potestis. Nam Hierosolymis duodecim viri profecti sunt in mundum, atque ii quidem indocti & minime eloquentes: Dei autem virtute omni hominum generi denunciarunt, a CHRISTO missos se esse, qui cunctos Verbum Dei docerent. Proinde qui olim mutuis inter nos grassati sumus cædibus, non modo ne inimicos quidem oppugnamus,

τοῦ προειρημένου προφήτου οἵδε οἱ λόγοι· Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν. οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι ἐγκατελίπετε τὸν Κύριον:- καὶ πάλιν ἀλλαχοῦ ὅταν λέγῃ ὁ αὐτὸς προφήτης ὁμοίως ἀπὸ τοῦ πατρός· Ποῖον μοι οἶκον οἰκοδομήσετε; λέγει Κύριος· ὁ οὐρανός μοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου:- καὶ πάλιν ἀλλαχοῦ, Τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου, καὶ μεγάλην ἡμέραν νηστείας καὶ ἀργίαν οὐκ ἀνέχομαι· οὐδ᾽, ἂν ἔρχησθε ὀφθῆναί μοι, εἰσακούσομαι ὑμῶν· πλήρεις αἵματος αἱ χεῖρες ὑμῶν. κἂν φέρητε σεμίδαλιν θυμίαμα, βδέλυγμά μοι ἐστί· στέαρ ἀρνῶν καὶ αἷμα ταύρων οὐ βούλομαι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; ἀλλὰ διάλυε πάντα σύνδεσμον ἀδικίας, διάσπα στραγγαλίας βιαίων συναλλαγμάτων· ἄστεγον καὶ γυμνὸν σκέπε, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου:- Ὁποῖα μὲν οὖν ἐστὶ καὶ τὰ διδασκόμενα διὰ τῶν προφητῶν ἀπὸ τοῦ Θεοῦ, νοεῖν δύνασθε· ὅταν δὲ ἀπὸ προσώπου τοῦ Χριστοῦ λέγῃ τὸ προφητικὸν πνεῦμα, οὕτως φθέγγεται· Ἐγὼ ἐξεπέτασα τὰς χεῖράς μου ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, ἐπὶ τοὺς πορευομένους ἐν ὁδῷ οὐ καλῇ:- καὶ πάλιν, Τὸν νῶτόν μου τέθεικα εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα. τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ ὁ Κύριος βοηθός μου ἐγένετο. διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ᾽ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με- καὶ πάλιν ὅταν λέγῃ, Αὐτοὶ ἔβαλον κλῆρον ἐπὶ τὸν ἱματισμόν μου, καὶ ὤρυξάν μου πόδας καὶ χεῖρας. ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα, καὶ ἀνέστην· ὅτι Κύριος ἀντελάβετό μου:- καὶ πάλιν ὅταν λέγῃ, Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, λέγοντες, Ῥυσάσθω ἑαυτόν:- ἅτινα πάντα γέγονεν ὑπὸ τῶν Ἰουδαίων τῷ Χριστῷ· μαθεῖν δύνασθε. σταυρωθέντος γὰρ αὐτοῦ, ἐξέστρεφον τὰ χείλη καὶ ἐκίνουν τὰς κεφαλὰς, λέγοντες, Ὁ νεκροὺς ἀνεγείρας, ῥυσάσθω ἑαυτόν:- Ὅταν δὲ ὡς προφητεῦον τὰ μέλλοντα γίνεσθαι λαλῇ τὸ προφητικὸν πνεῦμα, οὕτως λέγει· Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν· καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ μὴ λήψονται ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν:- καὶ ὅτι οὕτως γέγονε, πεισθῆναι δύνασθε. ἀπὸ γὰρ Ἱερουσαλὴμ, ἄνδρες δεκαδύο τὸν ἀριθμὸν, ἐξῆλθον εἰς τὸν κόσμον, καὶ οὗτοι ἰδιῶται, λαλεῖν μὴ δυνάμενοι· διὰ δὲ Θεοῦ δυνάμεως ἐμήνυσαν παντὶ γένει ἀνθρώπων, ὡς ἀπεστάλησαν ὑπὸ τοῦ Χριστοῦ 15a
διδάξαι πάντας τὸν τοῦ Θεοῦ λόγον· καὶ οἱ πάλαι ἀλληλοφόνται, οὐ μόνον οὐ πολεμοῦμεν τοὺς ἐχθροὺς,

non

ἀλλ' ὑπὲρ τοῦ μηδὲ ψεύδεσθαι, μηδὲ ἐξαπατῆσαι τοὺς ἐξετάζοντας, ἡδέως, ὁμολογοῦντες τὸν Χριστὸν, ἀποθνήσκομεν. δυνατὸν γὰρ ἦν τὸ λεγόμενον, Ἡ γλῶσσ' ὀμώμοκ', ἡ δὲ φρὴν ἀνώμοτος, ποιεῖν ἡμᾶς εἰς τοῦτο. γελοῖον ἤδη πρᾶγμα, ὑμῖν μὲν τοὺς συντιθεμένους καὶ καταλεγομένους στρατιώτας, καὶ πρὸ τῆς ἑαυτῶν ζωῆς, καὶ γονέων, καὶ πατρίδος, καὶ πάντων τῶν οἰκείων, τὴν ὑμετέραν ἀσπάζεσθαι ὁμολογίαν, μηδὲν ἄφθαρτον δυναμένων ὑμῶν αὐτοῖς παρασχεῖν· ἡμᾶς δὲ, ἀφθαρσίας ἐρῶντας, μὴ πάνθ' ὑπομεῖναι ὑπὲρ τοῦ τὰ ποθούμενα παρὰ τοῦ δυναμένου δοῦναι λαβεῖν.

ἀκούσατε δὲ πῶς καὶ περὶ τῶν κηρυξάντων τὴν διδαχὴν αὐτοῦ, καὶ μηνυσάντων τὴν ἐπιφάνειαν, προερρέθη, τοῦ προειρημένου προφήτου καὶ βασιλέως οὕτως εἰπόντος διὰ τοῦ προφητικοῦ πνεύματος· Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ τῇ νυκτὶ ἀναγγέλλει γνῶσιν. οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν:- Πρὸς τούτοις δὲ καὶ λόγους ἑτέρους τῶν προφητευθέντων δι' αὐτοῦ τοῦ Δαβὶδ, καλῶς ἔχειν καὶ οἰκείως ἐπιμνησθῆναι λελογίσμεθα· ἐξ ὧν μαθεῖν ὑμῖν πάρεστι, πῶς προτρέπεται ζῆν τοὺς ἀνθρώπους τὸ προφητικὸν πνεῦμα· καὶ πῶς μηνύει τὴν γεγενημένην Ἡρώδου τοῦ βασιλέως Ἰουδαίων, καὶ αὐτῶν Ἰουδαίων, καὶ Πιλάτου τοῦ ὑμετέρου παρ' αὐτοῖς γενομένου ἐπιτρόπου σὺν τοῖς αὐτοῦ στρατιώταις κατὰ τοῦ Χριστοῦ συνέλευσιν· καὶ ὅτι πιστεύεσθαι ἔμελλεν ὑπὸ τῶν ἐκ παντὸς γένους ἀνθρώπων· καὶ ὅτι αὐτὸν υἱὸν καλεῖ ὁ Θεὸς, καὶ ὑποτάσσειν αὐτῷ πάντας ἐχθροὺς ἐπήγγελται· καὶ πῶς οἱ δαίμονες, ὅσον ἐπ' αὐτοῖς, τήν τε τοῦ πατρὸς πάντων καὶ δεσπότου Θεοῦ, καὶ τὴν αὐτοῦ τοῦ Χριστοῦ ἐξουσίαν φυγεῖν πειρῶνται· καὶ ὡς εἰς μετάνοιαν καλεῖ πάντας ὁ Θεὸς, πρὶν ἐλθεῖν τὴν ἡμέραν τῆς κρίσεως. εἴρηνται δὲ οὕτως· Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται:- Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν καινά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ,

verumetiam (vt non mentiamur, neque inquisitores nostros fallamus) perlibenter CHRISTVM confitētes, mortē quoq; adimus: cum quidē illud quod dictum est,

Iurata lingua, animus sed iniuratus est,

hac in re vsurpare & facere possemus. Perridiculum vero esset, delectu habito conscriptos, & pacto vobis obstrictos milites, quod dixerunt sacramentum, suæ ipsorum vitæ, & parentibus, & patriæ, & propinquis omnibus præferre; cum nihil illis quod corruptibilitati obnoxiū nō sit, vos præbere queatis: nos autem, qui immortalitatem adamauimus, non perferre omnia, vt quæ desideranter expetimus, ab eo qui præstare potest, percipiamus.

Sed audite quoque, quomodo & de præconibus doctrinæ, & denunciatoribus indicibusq; aduētus eius, vaticinium sit editum, eo quem allegauimus & vate & rege per propheticum Spiritum ita dicente: *Dies diei eructat verbum, & nox nocti annunciat intelligentiam. Non sunt loquelæ neque sermones, quorum non audiantur voces eorum. In omnem terram exiuit sonus eorum, & in fines orbis verba eorum. In sole posuit tabernaculum suum, & ipse tamquam sponsus procedens e thalamo suo: Exsultabit vt gigas, ad currendam viam.* Ad hæc, si alia quoque verba per ipsum Dauidem prænunciata referrem, recte me id & apposite facturum esse arbitratus sum. Ex quibus intelligere nobis datur, ad quam vitam homines Spiritus propheticus exhortetur, & quomodo ab Herode rege Iudæorum, & Iudæis ipsis, & Pilato vestro tum apud eos procuratore, militibusque eius, aduersus CHRISTVM facta sit coitio: tum autem, quod crediturum in eum esset omne genus hominum: & quod eum Filium vocet Deus, subiectorum se illi inimicos cunctos pollicens: & quomodo dæmones, quantum in ipsis est situm, tam Parentis rerum vniuersarum ac Domini Dei, quam ipsius CHRISTI ditionem ac potestatem effugere contendant: deinque quomodo prius ad pœnitentiam inuitet Deus omnes, quam dies iudicii adueniat. ita autem sunt dicta: *Beatus vir qui non versatus est in consilio impiorum, & in via peccatorum non constitit, & in cathedra pestilentiarum non sedit: sed in lege Domini voluntas eius, & in lege eius meditabitur die ac nocte. Et erit tamquam lignum, plantatum secus decursus aquarum, quod fructum suum dabit in tempore suo: & folium ipsius non defluet, & omnia quæcumque faciet, prosperabuntur. Non sic impy, non sic; sed tamquam puluis quem proicit ventus a facie terræ. Idcirco non resurgent impy in iudicio, neque peccatores in consilio iustorum. Quoniam nouit Dominus viam iustorum; & via impiorum peribit. Quare fremuerint gentes, & populi meditati sunt inania? [illegible] Astiterunt reges terræ, & principes conuenerūt in vnum, aduersus Dominum, & aduersus* CHRISTVM *eius.* [illegible]

dicentes: Dirumpamus vincula eorum, & proiiciamus a nobis iugum ipsorum. Qui habitat in celis, irridebit eos; & Dominus subsannabit eos. Tunc loquetur ad eos in ira sua, & in furore suo conturbabit eos. Ego autem constitutus sum rex ab eo super Sion montem sanctum eius, annuncians praeceptum Domini. Dominus dixit ad me: Filius meus es tu; ego hodie genui te. Postula a me, & dabo tibi gentes hereditatem tuã, & possessionem tuam terminos terrae. Reges eos in virga ferrea; tamquam vas figuli confringes eos. Et nunc reges intelligite, erudimini omnes qui iudicatis terram. Seruite Domino in timore, & exsultate ei in tremore. Apprehendite disciplinam; ne quando irascatur Dominus, & pereatis de via iusta, cum exarserit breui ira eius. Beati omnesqui confidunt in eum. Atque in alia item prophetia Spiritus propheticus per ipsum Dauidem, CHRISTVM post crucis supplicium regnaturum esse ostendens, sic inquit: *Cantate Domino omnis terra, & annunciate de die in diem Salutare eius. Quoniam magnus Dominus, & laudabilis valde; terribilis super omnes deos. Quoniam omnes dij gentium simulacra daemoniorum sunt: Deus autem celos fecit. Gloria & laus in conspectu eius, & fortitudo & gloriatio in loco sanctificationis eius. Date Domino Patri seculorum gloriam; accipite gratiam, & ingredimini in conspectum eius, & adorate in atriis sanctis eius. Metuat a facie eius omnis terra, & prosperetur recte agendo, & non commoueatur. Laetentur in gentibus: Dominus regnauit a ligno.* Quando vero propheticus Spiritus futura veluti iam facta dicit, sicuti & in iis quae recitauimus videre & deprehendere est, ne dubitationem legentibus iniiciat: & idipsum declarabimus. Quae omnino futura decreta sunt, ea tamquam iam facta [spiritus is] praedicit & eloquitur. Quod autem ita excipere verba eiusmodi oporteat, animum ad ea quae dicam aduertite. Dauid mille & quingentis annis, priusquam CHRISTVS homo factus crucifigeretur, ea quae adduximus proloquutus est verba: neque quisquam vel decessorum vel successorum eius in crucem actus, laetitiam gentibus attulit. Caeterum ne aliqui ex his quae protulimus, autument ex fati necessitate nos dicere fieri quae fiant, perinde atque quod praedicta sint, constituta quoque atque decreta habeãtur: id etiam refellemus. Supplicia & cruciatus, nec non remunerationes optatas, pro operum meritis vnicuique retribui, per prophetas edocti, id quod in vero est, constituimus. Nam si hoc non sit, sed fato omnia fiant: nihil etiam plane in nostra fuerit potestate situm.

λέγοντες, Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ. ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτόν. καὶ πάλιν δι' ἄλλης προφητείας μηνύον τὸ προφητικὸν πνεῦμα δι' αὐτοῦ τοῦ Δαβὶδ, ὅτι μετὰ τὸ σταυρωθῆναι βασιλεύσει ὁ Χριστὸς, οὕτως εἶπεν, Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἀναγγείλατε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ· ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερὸς ὑπὲρ πάντας τοὺς θεούς· ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν, εἴδωλα δαιμονίων εἰσίν· ὁ δὲ Θεὸς τοὺς οὐρανοὺς ἐποίησε. δόξα καὶ αἶνος κατὰ πρόσωπον αὐτοῦ, καὶ ἰσχὺς καὶ καύχημα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ. δότε τῷ Κυρίῳ τῷ πατρὶ τῶν αἰώνων δόξαν. λάβετε χάριν καὶ εἰσέλθετε κατὰ πρόσωπον αὐτοῦ, καὶ προσκυνήσατε ἐν αὐλαῖς ἁγίαις αὐτοῦ. φοβηθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ, καὶ κατορθωθήτω, καὶ μὴ σαλευθήτω. εὐφρανθήτωσαν ἐν τοῖς ἔθνεσιν· ὁ Κύριος ἐβασίλευσεν ἀπὸ τοῦ ξύλου. Ὅταν δὲ τὸ προφητικὸν πνεῦμα τὰ μέλλοντα γίνεσθαι ὡς ἤδη γενόμενα λέγῃ, ὡς καὶ ἐν τοῖς προειρημένοις δοξάσαι ἔστιν, ὅπως ἀπολογίαν μὴ παράσχῃ τοῖς ἐντυγχάνουσιν, καὶ τοῦτο διασαφήσομεν. τὰ πάντως ἐγνωσμένα γενησόμενα προλέγει ὡς ἤδη γενόμενα. ὅτι δὲ οὕτως δεῖ ἐκδέχεσθαι, ἐνατενίσατε τῷ νοῒ τοῖς λεγομένοις· Δαβὶδ ἔτεσι χιλίοις καὶ πεντακοσίοις πρὶν ἢ Χριστὸν ἄνθρωπον γενόμενον σταυρωθῆναι, τὰ προειρημένα ἔφη, καὶ οὐδεὶς τῶν πρὸ ἐκείνου γενομένων σταυρωθεὶς εὐφροσύνην παρέσχε τοῖς ἔθνεσιν, ἀλλ' οὐδὲ τῶν μετ' ἐκεῖνον. ὁ καθ' ἡμᾶς δὲ Ἰησοῦς Χριστὸς, σταυρωθεὶς καὶ ἀποθανὼν ἀνέστη, καὶ ἐβασίλευσεν ἀνελθὼν εἰς οὐρανόν· καὶ ἐπὶ τοῖς παρ' αὐτοῦ διὰ τῶν ἀποστόλων ἐν τοῖς πᾶσιν ἔθνεσι κηρυχθεῖσιν εὐφροσύνη ἐστὶ προσδοκώντων τὴν κατηγγελμένην ὑπ' αὐτοῦ ἀφθαρσίαν. ὅπως δὲ μή τινες ἐκ τῶν προλελεγμένων ὑφ' ἡμῶν, δοξάσωσι καθ' εἱμαρμένης ἀνάγκην φάσκειν ἡμᾶς τὰ γινόμενα γίνεσθαι ἐκ τοῦ προειπεῖν προεγνωσμένα, καὶ τοῦτο διαλύομεν. τὰς τιμωρίας καὶ τὰς κολάσεις, καὶ τὰς ἀγαθὰς ἀμοιβὰς, κατ' ἀξίαν τῶν πράξεων ἑκάστου ἀποδίδοσθαι, διὰ τῶν προφητῶν μαθόντες, καὶ ἀληθὲς ἀποφαινόμεθα· ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλὰ καθ' εἱμαρμένην πάντα γίνεται, οὔτε τὸ ἐφ' ἡμῖν ἐστὶν ὅλως.

εἰ γὰρ εἵμαρται τόνδε τινὰ ἀγαθὸν εἶναι, καὶ τόνδε φαῦλον, οὔθ' οὗτος ἀπόδεκτος, οὐδὲ ἐκεῖνος μεμπτέος· καὶ αὖ, εἰ μὴ προαιρέσει ἐλευθέρᾳ πρὸς τὸ φεύγειν τὰ αἰσχρὰ, καὶ αἱρεῖσθαι τὰ καλὰ, δύναμιν ἔχει τὸ ἀνθρώπειον γένος, ἀναίτιόν ἐστι τῶν ὁπωσδήποτε πραττομένων. ἀλλ' ὅτι ἐλευθέρᾳ προαιρέσει καὶ κατορθοῖ, καὶ σφάλλεται, οὕτως ἀποδείκνυμεν· τὸν αὐτὸν ἄνθρωπον τῶν ἐναντίων τὴν μετέλευσιν ποιούμενον ὁρῶμεν· εἰ δὲ εἵμαρτο ἢ φαῦλον ἢ σπουδαῖον εἶναι, οὐκ ἄν ποτε τῶν ἐναντίων δεκτικὸς ἦν, καὶ πλειστάκις μετετίθετο· ἀλλ' οὐδ' οἱ μὲν ἦσαν σπουδαῖοι, οἱ δὲ φαῦλοι, ἐπεὶ τὴν εἱμαρμένην αἰτίαν φαύλων καὶ ἐναντία ἑαυτῇ πράττουσαν ἀποφαινόμεθα· ἢ ἐκεῖνο τὸ προειρημένον δόξαι ἀληθὲς εἶναι, ὅτι οὐδέν ἐστιν ἀρετὴ οὐδὲ κακία, ἀλλὰ δόξῃ μόνον ἢ ἀγαθὰ ἢ κακὰ νομίζεται· ὅπερ, ὡς δείκνυσιν ὁ ἀληθὴς λόγος, μεγίστη ἀσέβεια καὶ ἀδικία ἐστίν. ἀλλ' εἱμαρμένην φαμὲν ἀπαράβατον ταύτην εἶναι, τοῖς τὰ καλὰ ἐκλεγομένοις, τὰ ἄξια ἐπιτίμια· καὶ τοῖς ὁμοίως τὰ ἐναντία, τὰ ἄξια ἐπίχειρα. οὐ γὰρ ὥσπερ τὰ ἄλλα, οἷον δένδρα καὶ τετράποδα, μηδὲν δυνάμενα προαιρέσει πράττειν, ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· οὐδὲ γὰρ ἦν
152 ἄξιος ἀμοιβῆς ἢ ἐπαίνου, οὐκ ἀφ' ἑαυτοῦ ἑλόμενος τὸ ἀγαθὸν, ἀλλὰ τοῦτο γενόμενος· οὐδ' εἰ κακὸς ὑπῆρχε, δικαίως κολάσεως ἐτύγχανεν, οὐκ ἀφ' ἑαυτοῦ τοιοῦτος ὤν, ἀλλ' οὐδὲν δυνάμενος εἶναι ἕτερον παρ' ὃ ἐγεγόνει. ἐδίδαξε δὲ ἡμᾶς ταῦτα τὸ ἅγιον προφητικὸν πνεῦμα διὰ Μωσέως, φῆσαν τῷ πρώτῳ πλασθέντι ἀνθρώπῳ εἰρῆσθαι ὑπὸ τοῦ Θεοῦ οὕτως, Ἰδοὺ πρὸ προσώπου σου τὸ ἀγαθὸν, καὶ τὸ κακόν· ἔκλεξαι τὸ ἀγαθόν:- καὶ πάλιν διὰ Ἠσαΐου τοῦ ἑτέρου προφήτου, ὡς ἀπὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ εἰς τοῦτο λεχθῆναι οὕτως· Λούσασθε, καθαροὶ γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ ἔριον λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα:- Τὸ δὲ προειρημένον, Μάχαιρα ὑμᾶς κατέδεται, οὐ λέγει διὰ μαχαιρῶν φονευθήσεσθαι τοὺς παρακούσαντας, ἀλλ' ἡ μάχαιρα τοῦ Θεοῦ ἐστι τὸ πῦρ, οὗ βορὰ γίνονται οἱ τὰ φαῦλα πράττειν αἱρούμενοι· διὰ τοῦτο λέγει, Μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν:- εἰ δὲ καὶ περὶ τεμνούσης καὶ αὐτίκα ἀπαλλασσούσης μαχαίρας ἔλεγεν, οὐκ ἂν εἶπε, κατέδεται. ὥστε καὶ Πλάτων εἰπὼν, Αἰτία ἑλομένου, Θεὸς δ' ἀναίτιος, παρὰ Μωσέως τοῦ προφήτου λαβὼν εἶπε. πρεσβύτερος γὰρ Μωσῆς καὶ πάντων τῶν ἐν Ἕλλησι συγγραφέων· καὶ πάντα ὅσα περὶ ἀθανασίας ψυχῆς,

Si enim fatale sit, hũc quidẽ esse bonũ. illũ vero malũ: neq; ille fuerit probãdus. neq; hic reprehendẽdus. Ac nisi arbitrio libero & ad turpia fugiẽda, & ad honesta deligẽda, facultatẽ habeat mortaliũ gen⁹, nõ fuerit in causa siue culpa qualiũcumq; demũ factorũ. Sed enim libero id delectu tũ recte per virtutẽ viuere, tum per peccatũ labi, ad hunc demonstramus modũ: Hominem eundem ad contraria subinde transire videmus. Quod si fato destinatum esset, eum vel malum vel bonum esse, non ille vmquam contrariorum capax esset, nec toties mutaretur. Sed neque alii quidem essent boni, alii autem mali: & fatum ita malorum causam esse, atque sibi ipsi contraria facere statueremus: aut illud quod antea diximus opinari, in vero esset, nihil esse neque virtutem, neque vitium, & opinione tantum vel bona vel mala existimari. Quæ profecto, vt vera declarat ratio, summa est impietas & iniusticia. Sed nos fati ineluctabilis esse dicimus. eorum qui honesta delegerint, debita honorum auctoramenta: & eorum itidem qui ab illis diuersa sint sequuti, condigna suppliciorum præmia & tormenta. Non enim sicuti alia, arbores videlicet & quadrupedes, quæ nihil cũ delectu & iudicio facere possunt, hominem Deus creauit: neque ille remuneratione aut laude dignus esset, si per seipsum bonum nõ eligeret, sed bonus editus foret. Sed neque malus si esset, iuste tormentis afficeretur, qui non ex seipso talis esset: quippe qui nihil aliud, præterquam quod factus esset, esse posset. Docuit hæc nos sanctus & propheticus Spiritus per Mosen, qui Deum primitus formato homini hoc sic dixisse refert: *Ecce in conspectu tuo bonum & malum: Delige bonum.* Et item per Esaiam prophetam alium in eandem sententiam, velut a Parente rerum omnium & dominatore Deo hæc dicta profert: *Lauamini, mundi estote auferte prauitates ex animis vestris, discite bene facere; iudicate pupillo, & iustificate viduam; & venite & disceptemus: dicit Dominus. Atque si fuerint peccata vestra vt vestimentũ puniceũ, tamquam lanam dealbabo: & si fuerint vt coccinũ, ve ut niuẽ cãdida reddam. Et si volueritis atq; audieritis me, bona terræ comedetis: si vero nõ audieritis me, gladius deuorabit vos. Os enim Domini hæc loquutũ est.* Quod aũt dictũ est, *Gladius deuorabit vos:* nõ gladiis cæsum iri dixit inobœdiẽtes: verũ gladius Dei, ignis est: cuius esca fiũt qui mala patranda deligũt. Propterea inquit, *Gladius deuorabit vos. os enim Domini loquutũ est.* Quod si de gladio dixisset qui dissecat & cõfestim interimit, verbo *Deuorabit* vsus non fuisset. Proinde & Plato cũ dixit, *Causa sine culpa deligẽtis est; De⁹ aũt culpa caret:* a Mose id acceptũ protulit. Lõge nãq; antiquior est Moses, omnib. etiã Græcorũ scriptorib. Atq; omnia quę de animę immortalitate,

aut suppliciis post mortẽ, aut cęlestiũ rerũ cõtẽplatione, aut similib. doctrinis & philosophi & poetæ dixerunt, a prophetis argumẽto sũpto, & intelligere ea, & exponere potuerũt. Quocirca apud oẽs semina veritatis esse videntur: sed cõperiuntur nõ exacte eã cognouisse; quandoquidem sibi ipsis cõtraria proferũt. Itaq; quod asserimus, quæ futura erãt, vaticinus prophetarũ prædicta esse: nõ per fati necessitatẽ ea fieri dicimus, sed Deũ futurorũ omniũ hominũ factorũ præscium esse iudicamus. Et cũ opinio hominũ sit, pro operũ meritis cuilibet præmiũ redditũ iri: ipse quoque Deus remunerationẽ suã factorũ meritis respõsurã esse, per propheticũ Spiritũ prędicit: ad animi incitationẽ & recordationẽ eius rei semper humanũ genus producẽs, & curæ id sibi esse, seq; ei prospicere ostẽdẽs. Opera aũt & instinctu malorũ dæmonũ, mortis suppliciũ aduersus librorũ Hydaspis aut Sibyllæ aut prophetarũ lectores constitutũ est: vt per timorẽ homines ab illis, quo min⁹ scripta ea legẽtes rerũ bonarũ noticiã percipiant, sed in seruitute eorũ retineãtur, absterreantur. quod certe quidẽ efficere, & ad finẽ suũ perducere nequiuerũt. Non enim absq; timore tantũ huiusmodi scripta legimus, verumetiã vobis ad inspiciendũ quę in eis tradũtur, vt videtis, offerimus; grata acceptaq; omnib. fore sciẽtes. Atq; hoc etiã si paucis persuaserimus, maximum tamẽ inde feremus lucrũ. nã vt boni agricolæ, amplam a Domino capiem⁹ mercedẽ. Quod vero CHRISTVM post resurrectionẽ eius a mortuis illaturus cælo fuerit Deus, atq; ibi tantisper detenturus, dũ hostiliter aduersantes ei dæmones percutiat, & eorum numerus qui boni atq; probati esse ab eo pręcogniti sunt, expleatur; propter quos etiã nondũ extremũ decretũ rerũq; cõsummationem fecit: prophetæ Dauidis audite verba, quæ sunt huiusmodi: *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Virgam virtutis emittet tibi Dominus ex Hierusalem; & dominare in medio inimicorum tuorum. Tecum principatus in die virtutis tuæ, in splendoribus sanctorum tuorum. Ex vtero ante luciferum genui te.* Per id quod dictum est, *Virgam virtutis emittet tibi ex Hierusalem:* verbum illud prępotens prænunciatum est, quod Apostoli eius Hierosolymis profecti, vbique locorum prædicarunt: quantumuis capite sancitum esset, ne quis doceret aut saltem profiteretur CHRISTI nomen, quod vbique nos & amplectimur & promulgamus. Quod si vos etiam verbis hisce nostris per obnunciationem intercedetis, nihil amplius, quemadmodum supra diximus, quam occidere potestis. quod certe nobis quidem nihil affert detrimenti: vobis autem & qui iniuste nobis inimicantur, nec resipiscunt pœnitentes, omnibus, cruciatus

ἢ τιμωριῶν τῶν μετὰ θάνατον, ἢ θεωρίας οὐρανίων, ἢ τῶν ὁμοίων δογμάτων, καὶ φιλόσοφοι καὶ ποιηταὶ ἔφασαν, παρὰ τῶν προφητῶν τὰς ἀφορμὰς λαβόντες, καὶ νοῆσαι δεδύνηνται, καὶ ἐξηγήσαντο· ὅθεν παρὰ πᾶσι σπέρματα ἀληθείας δοκεῖ εἶναι· ἐλέγχονται δὲ μὴ ἀκριβῶς νοήσαντες, ὅταν ἐναντία αὐτοὶ ἑαυτοῖς λέγωσιν. ὥστε ὃ φαμὲν πεπροφητεῦσθαι τὰ μέλλοντα γίνεσθαι, οὐ διὰ τὸ εἱμαρμένης ἀνάγκῃ πράττεσθαι λέγομεν· ἀλλὰ προγνώστου τοῦ Θεοῦ ὄντος τῶν μελλόντων ὑπὸ πάντων ἀνθρώπων πραχθήσεσθαι· καὶ δόγματος ὄντος παρ' αὐτῷ, κατ' ἀξίαν τῶν πράξεων ἕκαστον ἀμείψεσθαι μέλλοντα τῶν ἀνθρώπων, καὶ τὰ παρ' αὐτοῦ κατ' ἀξίαν τῶν πραττομένων ἀπαντήσεσθαι, διὰ τοῦ προφητικοῦ πνεύματος προλέγει, εἰς ἐπίστασιν καὶ ἀνάμνησιν ἀεὶ ἄγων τὸ τῶν ἀνθρώπων γένος, δεικνὺς ὅτι καὶ μέλον ἐστὶν αὐτῷ καὶ προνοεῖται αὐτῶν. κατ' ἐνέργειαν δὲ τῶν φαύλων δαιμόνων, θάνατος ὡρίσθη κατὰ τῶν τὰς Ὑστάσπου, ἢ Σιβύλλης, ἢ τῶν προφητῶν βίβλους ἀναγινωσκόντων, ὅπως διὰ τοῦ φόβου ἀποστρέψωσιν ἐντυγχάνοντας τοὺς ἀνθρώπους τῶν καλῶν γνῶσιν λαβεῖν, αὐτοῖς δὲ δουλεύοντας κατέχωσιν· ὅπερ εἰς τέλος οὐκ ἴσχυσαν πρᾶξαι. ἀφόβως μὲν γὰρ οὐ μόνον ἐντυγχάνομεν αὐταῖς, ἀλλὰ καὶ ὑμῖν, ὡς ὁρᾶτε, εἰς ἐπίσκεψιν φέρομεν, ἐπιστάμενοι πᾶσιν εὐάρεστα φανήσεσθαι· κἂν ὀλίγους δὲ πείσωμεν, τὰ μέγιστα κερδήσαντες ἐσόμεθα· ὡς γεωργοὶ γὰρ ἀγαθοὶ παρὰ τοῦ δεσπόζοντος τὴν ἀμοιβὴν ἕξομεν. ὅτι δὲ ἀνάγειν τὸν Χριστὸν εἰς τὸν οὐρανὸν ὁ πατὴρ τῶν πάντων Θεὸς μετὰ τὸ ἀναστῆσαι ἐκ νεκρῶν αὐτὸν ἔμελλε, καὶ κατέχειν ἕως ἂν πατάξῃ τοὺς ἐχθραίνοντας αὐτῷ δαίμονας, καὶ συντελεσθῇ ὁ ἀριθμὸς τῶν προεγνωσμένων αὐτῷ ἀγαθῶν γινομένων καὶ ἐναρέτων, δι' οὓς καὶ μηδέπω τὴν ἐπικύρωσιν πεποίηται· ἐπακούσατε τῶν εἰρημένων διὰ Δαβὶδ τοῦ προφήτου· ἔστι δὲ ταῦτα, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως 153 ἐξαποστελεῖ σοι Κύριος ἐξ Ἱερουσαλήμ· καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Τὸ οὖν εἰρημένον, Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι ἐξ Ἱερουσαλήμ, προαγγελτικὸν τοῦ λόγου τοῦ ἰσχυροῦ, ὃν ἀπὸ Ἱερουσαλὴμ οἱ ἀπόστολοι αὐτοῦ ἐξελθόντες, πανταχοῦ ἐκήρυξαν. καίπερ θανάτου ὁρισθέντος κατὰ τῶν διδασκόντων, ἢ ὅλως ὁμολογούντων τὸ ὄνομα τοῦ Χριστοῦ, ἡμεῖς πανταχοῦ καὶ ἀσπαζόμεθα, καὶ διδάσκομεν. εἰ δὲ καὶ ὑμεῖς ὡς ἐχθροὶ ἐντεύξεσθε τοῖσδε τοῖς λόγοις, οὐ πλέον τι δύνασθε, ὡς προέφημεν, τοῦ φονεύειν· ὅπερ ἡμῖν μὲν οὐδεμίαν βλάβην φέρει· ὑμῖν δὲ καὶ πᾶσι τοῖς ἀδίκως ἐχθραίνουσι, καὶ μὴ μετατιθεμένοις,

κόλασιν διὰ πυρὸς αἰωνίαν ἐργάζεται. ἵνα δὲ μή τινες ἀλογισταίνοντες εἰς ἀποτροπὴν τῶν δεδιδαγμένων ὑφ' ἡμῶν εἴπωσι, πρὸ ἐτῶν ἑκατὸν πεντήκοντα γεγεννῆσθαι τὸν Χριστὸν λέγειν ἡμᾶς ἐπὶ Κυρηνίου, δεδιδαχέναι δὲ ἃ φαμὲν διδάξαι αὐτὸν ὕστερον χρόνοις ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπικαλῶσιν, ὡς ἀνευθύνων ὄντων τῶν προγεγενημένων πάντων ἀνθρώπων, φθάσαντες τὴν ἀπορίαν λυσόμεθα. τὸν Χριστὸν πρωτότοκον τοῦ Θεοῦ εἶναι ἐδιδάχθημεν, καὶ προεμηνύσαμεν λόγον ὄντα, οὗ πᾶν γένος ἀνθρώπων μετέσχε· καὶ οἱ μετὰ λόγου βιώσαντες, Χριστιανοί εἰσι, κἂν ἄθεοι ἐνομίσθησαν· οἷον ἐν Ἕλλησι μὲν Σωκράτης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι αὐτοῖς· ἐν βαρβάροις δὲ Ἀβραὰμ, καὶ Ἀνανίας, καὶ Ἀζαρίας, καὶ Μισαὴλ, καὶ Ἠλίας, καὶ ἄλλοι πολλοὶ, ὧν τὰς πράξεις ἢ τὰ ὀνόματα καταλέγειν μακρὸν εἶναι ἐπιστάμενοι, ταῦτα παραιτούμεθα. ὥστε καὶ οἱ προγενόμενοι ἄνευ λόγου βιώσαντες, ἄχρηστοι καὶ ἐχθροὶ τῷ Χριστῷ ἦσαν, καὶ φονεῖς τῶν μετὰ λόγου βιούντων· οἱ δὲ μετὰ λόγου βιώσαντες καὶ βιοῦντες, Χριστιανοὶ, καὶ ἄφοβοι, καὶ ἀτάραχοι ὑπάρχουσι. δι' ἣν δ' αἰτίαν διὰ δυνάμεως τοῦ λόγου κατὰ τὴν τοῦ πατρὸς πάντων καὶ δεσπότου Θεοῦ βουλὴν, διὰ παρθένου ἄνθρωπος ἀπεκυήθη, καὶ Ἰησοῦς ἐπωνομάσθη, καὶ σταυρωθεὶς ἀποθανὼν ἀνέστη, καὶ ἀνελήλυθεν εἰς οὐρανὸν, ἐκ τῶν διὰ τοσούτων εἰρημένων ὁ νουνεχὴς καταλαβεῖν δυνήσεται. ἡμεῖς δὲ, οὐκ ἀναγκαίου ὄντος νῦν τοῦ περὶ τῆς ἀποδείξεως τούτου λόγου, ἐπὶ τὰς ἐπειγούσας ἀποδείξεις πρὸς τὸ παρὸν χωρήσωμεν. ὅτι οὖν καὶ ἐκπορθηθήσεσθαι ἡ γῆ Ἰουδαίων ἔμελλεν, ἀκούσατε τῶν εἰρημένων ὑπὸ τοῦ προφητικοῦ πνεύματος. εἴρηνται δὲ οἱ λόγοι ὡς ἀπὸ προσώπου λαῶν θαυμαζόντων τὰ γεγενημένα. εἰσὶ δὲ οὗτοι· Ἐγενήθη ἔρημος Σιὼν, ὡς ἔρημος ἐγενήθη Ἱερουσαλήμ· εἰς κατάραν ὁ οἶκος τὸ ἅγιον ἡμῶν· καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος· καὶ πάντα τὰ ἔνδοξα αὐτῆς συνέπεσε· καὶ ἐπὶ τούτοις ἀνέσχου, καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα. Καὶ ὅτι ἠρήμωτο Ἱερουσαλὴμ, ὡς προείρητο γενήσεσθαι, πεπεισμένοι ἐστέ. εἴρηται δὲ καὶ περὶ τῆς ἐρημώσεως αὐτῆς, καὶ περὶ τοῦ μὴ ἐπιτραπήσεσθαι μηδένα αὐτῶν οἰκεῖν, διὰ Ἠσαΐου τοῦ προφήτου οὕτως· Ἡ γῆ αὐτῶν ἔρημος· ἔμπροσθεν αὐτῶν οἱ ἐχθροὶ αὐτῶν αὐτὴν φάγονται, καὶ οὐκ ἔσται ἐξ αὐτῶν ὁ κατοικῶν ἐν αὐτῇ. Ὅτι δὲ φυλάσσεται ὑφ' ὑμῶν, ὅπως μηδεὶς ἐν αὐτῇ γένηται, καὶ θάνατος κατὰ τοῦ καταλαμβανομένου Ἰουδαίου εἰσιόντος ὥρισται, ἀκριβῶς ἐπίστασθε. ὅτι δὲ καὶ θεραπεύσειν πάσας νόσους, καὶ νεκροὺς ἀνεγερεῖν ὁ ἡμέτερος Χριστὸς προεφητεύθη, ἀκούσατε τῶν λελεγμένων. ἔστι δὲ ταῦτα·

cruciatus per ignem æternos conciliat. Ne qui vero præter rationem, ad eorum quæ nos edocti sumus euersionem dicãt, ante annos centumquinquaginta nos asseuerare CHRISTVM sub Cyrenio natum esse; docuisse autem quæ docuit, posterius sub Pontio Pilato: & proinde noxa solutos atque insontes esse, per appellationem allegent, qui ante ea tempora extitere mortales omnes: quæstionem eam anticipantes soluemus. CHRISTVM Primogenitum Dei esse instituti sumus: & Rationem atque Verbum esse; cuius vniuersum hominum genus est particeps, antea ostẽdimus. Et quicunque cum Ratione ac Verbo vixere, Christiani sunt, quamuis ἄθεοι & nullius numinis cultores habiti sint: quales inter Græcos fuere Socrates & Heraclitus, atque iis similes: inter barbaros autẽ Abraam, & Ananias, & Azarias, & Misael, & Elias, & alii complures: quorum facta simul & nomina in præsentia recensere, quia longum esse scimus, supersedemus. perinde atque ex veteribus, qui itidem tempore CHRISTVM præcessere, & absque Ratione ac Verbo ætatem exegere, ἄχρηστοι, (hoc est incommodi) & inimici CHRISTO fuerunt, eorumque qui secundum Rationem & Verbum vixerunt percussores. At qui cũ Ratione & Verbo vixerunt, atque etiam nũc viuunt, Christiani, & extra metum atque perturbationem omnem sunt. Quam vero ob caussam, per virtutem Verbi, de Parentis vniuersorum & Domini Dei cõsilio & voluntate, ex virgine homo sit editus, & IESVS cognominatus, atque in crucem actus, & mortuus resurrexerit, & in cælum ascenderit: ex his quæ prolixe dicta sunt, cordatus homo percipere potest. Nos sane, quum minus necessaria nũc sit eius rei amplior tractatio, ad ea quę magis ad præsens pertinent argumentum, ostendenda progrediemur. Itaque quia futurum erat vt terra Iudæorũ expugnaretur, quæ a Spiritu prophetico sint ea de re promulgata, audite. Verba autem quasi in persona populorũ [Iudaicorũ] ea quæ acciderunt admirantium, sunt cõcepta ad hunc modum: *Deserta facta est Sion, tamquã desolata facta est Hierusalem. in execrationẽ domus, Sãctuarium nostrũ: & gloria cui benedixerũt patres nostri, igne consumpta est. & omnia gloriosa eius conciderunt. Et in his sustinuisti, & tacuisti, & humiliasti nos vehemẽter.* Atqui desolatã esse Hierosolymã, sicuti fore prędictũ fuerat, nostis. Promulgatũ vero etiã est de excidio eius, ac de eo quod futurũ fuit, vt nemo ibi [Iudæorũ] habitare permitterẽtur, per Esaiam vatẽ in hęc verba: *Terra eorum deserta; in conspectu eorum inimici ipsorum vorant eam: & non erit ex eis habitans in ea.* Cauere autem & seruare vos ne quis ibi sit, & pœnam capitalem constitutã esse aduersus Iudęũ eo ingredientẽ probe scitis. Quod insuper CHRISTVM curaturũ fuisse morbos oẽs, & defunctos excitaturũ prędictũ sit, verba vaticinii audite quæ sunt ista:

In aduentu ipsius claudus saliet sicut ceruus, & diserta erit lingua mutorum: caeci respicient, & leprosi mundabuntur, & mortui resurgent ac deambulabunt. Et quod ista fecerit, ex eis qui sub Pontio Pilato conscripti sunt cõmentariis cognoscere potestis. Quomodo vero ipsum cum sperantibus in eum hominibus occisum iri propheticus Spiritus praenunciarit, audite quae per Esaiam dicta sunt verba: sunt autem huiusmodi: *Ecce quomodo perit iustus, & nemo percipit corde: & viri iusti tolluntur, & nemo considerat. A facie iniusticiae sublatus est iustus, & erit in pace sepultura eius: sublatus est e medio.* Ac rursum quomodo per Esaiam dictum sit, quod qui nõ exspectauerint, gentium populi adoraturi illum; qui autem exspectauerint Iudaei, ignoraturi aduenientem adeoque praesentem fuerint: verba ea, tamquam a persona ipsius CHRISTI prolata, istiusmodi sunt: *Manifestatus sum his qui me non interrogabant, inuentus ab eis qui me non quaerebant. Dixi, Adsum, ad gentes quae non inuocabant nomen meum. Expandi manus meas ad populum infidelem & respondentem, ad eos qui gradiuntur in via non bona, sed post peccata sua. Populus prouocans ad iracundiam coram me.* Iudaei namque prophetas habentes, & CHRISTVM aduenturum semper exspectantes, non modo non cognouerunt, sed etiam interfecerunt. Qui autem ex gentibus fuere, cum nihil vmquam de CHRISTO inaudiissent, quoadusque a Hierusalẽ progressi Apostoli eius res ipsius promulgarunt, & prophetias tradiderunt: gaudio & fide repleti, cum simulacris nuncium remiserunt, tum ingenito Deo per CHRISTVM seipsos consecrarunt. Quod item praecognita praeuisaque sint quae aduersus professores CHRISTI depromenda erant infausta infamiaque verba: quodque infelices & miseri sint qui maledicta huiusmodi profundunt, quique mores veteres conseruare pulchrum esse dicunt: quae paucis ab Esaia de his rebus sunt dicta cognoscite. ea sic habent: *Vae qui dicitis dulce amarum, & amarum dulce.* Tum autem quod nostra causa homo factus, pati & contumeliis affici sustinuerit, ac denuo cum gloria aduenturus sit: quae hac de re sint edita vaticinia, accipite hisce concepta verbis: *Pro eo quod tradiderunt in mortem animam eius, & cum iniquis reputatus est: ipse peccata multorum suscepit, & iniquis propitius erit. Ecce enim intelliget seruus meus, & exaltabitur, & glorificabitur valde. Sicut obstupescent super te multi, sic inglorius erit ab hominibus aspectus tuus. Et quemadmodum gloria tua ab hominibus [despectaerit,] ita admirabuntur gentes multae, & continebunt reges os suum. Quia quibus non est annunciatũ de eo, & qui non audierunt, illi intelligent. Domine quis credidit auditui nostro, & brachium Domini cui reuelatũ est?*

Et au-

Τῇ παρουσίᾳ αὐτοῦ ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. τυφλοὶ ἀναβλέψουσι, καὶ λεπροὶ καθαρισθήσονται, καὶ νεκροὶ ἀναστήσονται καὶ περιπατήσουσιν:- Ὅτι τε ταῦτα ἐποίησεν, ἐκ τῶν ἐπὶ Ποντίου Πιλάτου γενομένων αὐτοῦ μαθεῖν δύνασθε. 154 πῶς τε προμεμήνυται ὑπὸ τοῦ προφητικοῦ πνεύματος ἀναιρεθησόμενος ἅμα τοῖς ἐπ' αὐτὸν ἐλπίζουσιν ἀνθρώποις, ἀκούσατε τῶν λεχθέντων διὰ Ἠσαΐου. ἔστι δὲ ταῦτα· Ἴδε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ· καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. ἀπὸ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, καὶ ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου:- καὶ πάλιν πῶς δι' αὐτοῦ Ἠσαΐου λέλεκται, ὅτι οἱ οὐ προσδοκήσαντες αὐτὸν λαοὶ τῶν ἐθνῶν, προσκυνήσουσιν αὐτόν· οἱ δὲ ἀεὶ προσδοκῶντες Ἰουδαῖοι, ἀγνοήσουσι παραγενόμενον αὐτόν· ἐλέχθησαν δὲ οἱ λόγοι ὡς ἀπὸ προσώπου αὐτοῦ τοῦ Χριστοῦ. εἰσὶ δὲ οὗτοι· Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· εἶπον, Ἰδού εἰμι. ἔθνη οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. ἐξεπέτασα τὰς χεῖράς μου ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, ἐπὶ τοὺς πορευομένους ἐν ὁδῷ οὐ καλῇ, ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. ὁ λαὸς ὁ παροξύνων ἐναντίον μου:- Ἰουδαῖοι γὰρ ἔχοντες τὰς προφητείας, καὶ ἀεὶ προσδοκήσαντες τὸν Χριστὸν παραγενησόμενον, ἠγνόησαν· οὐ μόνον δέ, ἀλλὰ καὶ παρεχρήσαντο· οἱ δὲ ἀπὸ τῶν ἐθνῶν, μηδέποτε μηδὲν ἀκούσαντες περὶ τοῦ Χριστοῦ, μέχρις οὗ οἱ ἀπὸ Ἱερουσαλὴμ ἐξελθόντες ἀπόστολοι αὐτοῦ ἐμήνυσαν τὰ περὶ αὐτοῦ, καὶ τὰς προφητείας παρέδωκαν, πληρωθέντες χαρᾶς καὶ πίστεως, τοῖς εἰδώλοις ἀπετάξαντο, καὶ τῷ ἀγεννήτῳ Θεῷ διὰ τοῦ Χριστοῦ ἑαυτοὺς ἀνέθηκαν. Ὅτι δὲ προεγινώσκετο τὰ δύσφημα ταῦτα λεχθησόμενα κατὰ τῶν τὸν Χριστὸν ὁμολογούντων, καὶ ὡς εἶεν τάλανες οἱ δυσφημοῦντες αὐτόν, καὶ τὰ παλαιὰ ἔθη καλὸν εἶναι τηρεῖν λέγοντες, ἀκούσατε τῶν βραχυεπῶς εἰρημένων διὰ Ἠσαΐου. ἔστι δὲ ταῦτα· Οὐαὶ τοῖς λέγουσι τὸ γλυκὺ πικρόν, καὶ τὸ πικρὸν γλυκύ:- Ὅτι δὲ καὶ ὑπὲρ ἡμῶν γενόμενος ἄνθρωπος, παθεῖν καὶ ἀτιμασθῆναι ὑπέμεινε, καὶ πάλιν μετὰ δόξης παραγενήσεται, ἀκούσατε τῶν εἰρημένων εἰς τοῦτο προφητειῶν. ἔστι δὲ ταῦτα· Ἀνθ' ὧν παρέδωκαν εἰς θάνατον τὴν ψυχὴν αὐτοῦ, καὶ μετὰ τῶν ἀνόμων ἐλογίσθη· αὐτὸς ἁμαρτίας πολλῶν εἴληφε, καὶ τοῖς ἀνόμοις ἐξιλάσεται· ἰδὲ γάρ, συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα· ὃν τρόπον ἐκστήσονται πολλοὶ ἐπὶ σέ, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου· καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων, οὕτως θαυμάσονται ἔθνη πολλά, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν· καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;

ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς ἀνθρώπους. ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν. παιδεία εἰρήνης ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη:- μετὰ οὖν τὸ σταυρωθῆναι αὐτὸν,

193 καὶ οἱ γνώριμοι αὐτοῦ πάντες ἀπέστησαν, ἀρνησάμενοι αὐτόν. ὕστερον δὲ, ἐκ νεκρῶν ἀναστάντος, καὶ ὀφθέντος αὐτοῖς, καὶ ταῖς προφητείαις ἐντυχεῖν ἐν αἷς πάντα ταῦτα προείρητο γενησόμενα διδάξαντος, καὶ εἰς οὐρανὸν ἀνερχόμενον ἰδόντες, καὶ πιστεύσαντες, καὶ δύναμιν ἐκεῖθεν αὐτοῖς πεμφθεῖσαν παρ' αὐτοῦ λαβόντες, καὶ εἰς πᾶν γένος ἀνθρώπων ἐλθόντες, ταῦτα ἐδίδαξαν, καὶ ἀπόστολοι προσηγορεύθησαν. ἵνα δὲ μηνύσῃ ἡμῖν τὸ προφητικὸν πνεῦμα ὅτι ὁ ταῦτα πάσχων ἀνεκδιήγητον ἔχει τὸ γένος, καὶ βασιλεύει τῶν ἐχθρῶν, ἔφη οὕτως, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν αὐτῶν ἥκει εἰς θάνατον. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ὑμῶν, ὄψεται σπέρμα μακρόβιον. καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ πόνου τὴν ψυχὴν αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνοίσει· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν αὐτὸς παρεδόθη:- Ὡς δὲ καὶ εἰς τὸν οὐρανὸν ἔμελλεν ἀνιέναι καθὼς προεφητεύθη, ἀκούσατε. ἐλέχθη δὲ οὕτως· Ἄρατε πύλας οὐρανῶν, ἀνοίχθητε, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ Κύριος δυνατός:- Ὡς δὲ καὶ ἐξ οὐρανῶν παραγίνεσθαι μετὰ δόξης μέλλει, ἀκούσατε καὶ τῶν εἰρημένων εἰς τοῦτο διὰ Ἱερεμίου τοῦ προφήτου. ἔστι δὲ ταῦτα· Ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἔρχεται ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ οἱ ἄγγελοι αὐτοῦ σὺν αὐτῷ:-

Et annunciauimus in conspectu eius tamquam puerulum: [& ascendet sicut virgultum coram eo:] Tamquam radix in terra sitienti [innia.] Non est species ei, neque gloria. Et vidimus eum, & non habuit speciem neque pulchritudinem; sed species eius inhonorabilis ac deficiens supra homines. Homo plagæ subditus, & sciens ferre infirmitatem. Quoniam auersati sunt homines vultum eius. Contumeliis affectus est, & nullo fuit numero. Hic peccata nostra fert, & nostra causa doloribus afficitur. Et nos reputauimus eum esse in labore, & in plaga & in afflictione. Ille vero vulneratus est propter iniquitates nostras, & infirmus factus propter peccata nostra. Disciplina pacis super eum: Liuore eius sanati sumus. Omnes quasi oues errauimus: homo, via ipse sua errauit. Et tradidit eũ peccatis nostris. Et ipse propter afflictionem non aperuit os suum. Sicut ouis ad occisionẽ ductus est, & tamquam agnus coram tondente se obmutescẽs, ita non aperuit os suum. In humiliatione sua iudicium eius sublatum est. Itaq; postquã in crucẽ est actus, etiam familiares eius omnes ab eo defecerũt, eumq; negarũt. Deinde vero cum a mortuis resurrexisset, & visus ab eis esset, atque eos prophetias, in quibus hæc omnia futura esse prædicta forent, legere docuisset, & illi eum in cælum ascendentem vidissent, & credidissent, & virtutem eis cælitus ab illo missam accepissent: ad omne mortalium genus profecti, ista promulgarunt, & *Apostoli* atque *Legati* sunt nominati. Vt autem nobis Spiritus propheticus ostenderet, illum hæc patientem inenarrabile habere genus, atque inimicis imperare: hoc modo infit: *Generationem eius quis enarrabit? quia tollitur de terra vita eius. Ab iniquitatibus eorum transit in mortem. Et dabo malignos pro sepultura eius, & diuites pro morte eius. Quoniam iniquitatem non fecit, neque inuentus est dolus in ore eius. Et Dominus mundare vult eum a plaga. Si datus fuerit pro peccato, anima vestra videbit semen longæuum. Et vult Dominus auferre a labore animam eius, ostendere illi lucem, & fingere eum intelligentia: vt iustificet iustum, bene seruientem multis. Et peccata nostra ipse portabit: propterea ipse hæreditate acquiret multos, & fortium diuidet spolia: pro eo quod tradita est in mortem anima eius, & inter iniquos reputatus est. Et ipse peccata multorum tulit, & propter iniquitates eorum traditus est.* Vt vero & in cælum ascensurus fuerit, quomodo vaticinio est promulgatum, audite. Id sic se habet: *Tollite portas cælorum: pateant illæ, vt ingrediatur Rex gloriæ. Quis est iste Rex gloriæ? Dominus fortis, & Dominus potens.* Quomodo autem & e cælis cũ gloria aduenturus sit, quæ de hoc per Danielẽ vatem sacrum sint dicta, cognoscite. Sunt autem hæc: *Ecce quomodo filius hominis venit in nubibus cæli; & angeli eius cum eo.*

Verumenimuero quoniam quæ iam facta sunt, pleraque omnia, priusquã fierent, a prophetis prænunciata esse ostendimus: pernecessarium est de eis quoque, quę itidem vaticiniis prędicta ad rem adhuc conferentur, fidem persuasionemque obtinere, tamquam omnino euenturis. Ad quem namque modum ea quę iam facta sunt, prænunciata & non agnita euenerunt; ad eundem modum & quæ reliqua sunt, quamuis non agnita nec credita fuerint, euenient. Duplicem siquidem eius aduentum & pręsentiam prænunciarunt sancti vates: vnam quidem, iam exhibitã, vt despecti & passionibus subiecti hominis: secundam autem, quando e cælis cũ gloria & angelica militia sua adueniet aderitque, sicuti prædictum est: cum omniũ etiam qui vmquam exstitere mortalium corpora excitabit; atque dignos quidem induet natura corruptibilitatis vniuersę experte; iniustos autem in perpetuo sensu, vna cum malis geniis in ignem mittet sempiternum. Vt vero & hęc ita fore sint prędicta, declarabimus. Dictũ sane a propheta Ezechiele est hoc modo: *Coagmentabitur iunctura ad iuncturam, & os ad os, & carnes denuo succrescent. Et genu omne curuabitur Domino, & omnis lingua confitebitur ei.* In quo autem sensu & cruciatu futuri sint iniusti, consimiliter de hoc dicta animaduertite. sunt namque talia: *Vermis eorum non sopietur, & ignis eorum non exstinguetur.* Et tunc per pœnitentiam resipiscent, cum id eis nihil proderit. Cuiusmodi vero populi Iudæorum dicturi sint verba, cum illum in gloria videbunt aduenientem, Zacharias propheta præloquutus est ad hunc modum: *Præcipiam quatuor ventis vt congregent dispersos liberos; præcipiam Boreæ vt ferat, & Austro vt ne impingat. Et tum in Hierusalem erit planctus ingens; non planctus oris aut labiorum, sed planctus cordis; & non scindent vestimenta sua, sed mentes: & plangent tribus ad tribum: & tunc videbunt in quem pupugerint, ac dicent: Cur Domine aberrare nos fecisti a via tua? Gloria cui benedixerunt Patres nostri, conuersa nobis est in ignominiam.*

Habemus nos quidem permulta quoque alia prophetarum vaticinia, quæ proferre possemus: verum ea commemorare omittimus; satis ista esse ad eorum persuasionem quibus idoneæ ad audiendum, & intellectuales ad spiritualia cognoscendum sunt aures, existimantes, & per se ipsos illa eos percipere posse ducentes. non enim sicuti qui fabulas de Iouis, vt putantur, filiis componunt; itidem & nos dicimus dumtaxat, & demonstrare non possimus. Nam qua tandem ratione Homini crucifixo fidem haberemus, Primogenitum eum Ingeniti Dei esse credentes, & ab eo humanum genus vniuersum iudicatum iri: nisi testificationes ante de eo quam Homo factus aduenit, promulgatas inueniremus & rem ita actam esse videremus? Desolatam namque terram Iudæorum, & ex omni

Ἐπειδὴ τοίνυν τὰ γινόμενα ἤδη πάντα ἀποδείκνυμεν πρὶν ἢ γενέσθαι προκεκηρύχθαι διὰ τῶν προφητῶν, ἀνάγκη καὶ περὶ τῶν ὁμοίως προφητευθέντων, μελλόντων δὲ γίνεσθαι, πίστιν ἔχειν ὡς πάντως γενησομένων. ὃν γὰρ τρόπον τὰ ἤδη γινόμενα, προκεκηρυγμένα καὶ ἀγνοούμενα, ἀπέβη, τὸν αὐτὸν τρόπον καὶ τὰ λείποντα, κἂν ἀγνοῆται καὶ ἀπιστῆται, ἀποβήσεται. δύο γὰρ αὐτοῦ παρουσίας προεκήρυξαν οἱ προφῆται· μίαν μὲν, τὴν ἤδη γενομένην, ὡς ἀτίμου καὶ παθητοῦ ἀνθρώπου· τὴν δὲ δευτέραν, ὅταν μετὰ δόξης ἐξ οὐρανῶν μετὰ τῆς ἀγγελικῆς αὐτοῦ στρατιᾶς παραγενήσεσθαι κεκήρυκται, ὅτε καὶ τὰ σώματα ἀνεγερεῖ πάντων τῶν γενομένων ἀνθρώπων· καὶ τῶν μὲν ἀξίων, ἐνδύσει ἀφθαρσίαν· τῶν δ᾽ ἀδίκων, ἐν αἰσθήσει αἰωνίᾳ μετὰ τῶν φαύλων δαιμόνων εἰς τὸ αἰώνιον πῦρ πέμψει. ὡς δὲ καὶ ταῦτα προείρηται γενησόμενα, δηλώσομεν. ἐρρέθη δὲ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου οὕτως· Συναχθήσεται ἁρμονία πρὸς ἁρμονίαν, καὶ ὀστέον πρὸς ὀστέον, καὶ σάρκες ἀναφυήσονται, καὶ πᾶν γόνυ κάμψει τῷ Κυρίῳ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ. Ἐν οἵᾳ δὲ αἰσθήσει καὶ κολάσει γενέσθαι μέλλουσιν οἱ ἄδικοι, ἀκούσατε τῶν ὁμοίως εἰς τοῦτο εἰρημένων. ἔστι δὲ ταῦτα· Ὁ σκώληξ αὐτῶν οὐ παυθήσεται· καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καὶ τότε μετανοήσουσιν ὅτε οὐδὲν ὠφελήσουσι. Ποῖα δὲ μέλλουσιν οἱ λαοὶ τῶν Ἰουδαίων λέγειν καὶ ποιεῖν, ὅταν ἴδωσιν αὐτὸν ἐν δόξῃ παραγενόμενον, διὰ Ζαχαρίου τοῦ προφήτου προφητευθέντα ἐλέχθη οὕτως· Ἐντελοῦμαι τοῖς τέσσαρσιν ἀνέμοις συνάξαι τὰ ἐσκορπισμένα τέκνα· ἐντελοῦμαι τῷ βορρᾷ φέρειν, καὶ τῷ νότῳ μὴ προσκόπτειν· καὶ τότε ἐν Ἱερουσαλὴμ κοπετὸς μέγας, οὐ κοπετὸς στομάτων ἢ χειλέων, ἀλλὰ κοπετὸς καρδίας· καὶ οὐ μὴ σχίσωσιν αὐτῶν τὰ ἱμάτια, ἀλλὰ τὰς διανοίας. κόψονται φυλὴ πρὸς 156
φυλὴν, καὶ τότε ὄψονται εἰς ὃν ἐξεκέντησαν, καὶ ἐροῦσι, Τί Κύριε ἐπλάνησας ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου; ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη ἡμῖν εἰς ὄνειδος. Πολλὰς μὲν οὖν καὶ ἑτέρας προφητείας ἔχοντες εἰπεῖν, ἐπαυσάμεθα, αὐτάρκεις καὶ ταύτας εἰς πεισμονὴν τοῖς τὰ ἀκουστικὰ καὶ νοερὰ ὦτα ἔχουσιν εἶναι λογισάμενοι, καὶ νοεῖν δύνασθαι αὐτοὺς ἡγούμενοι· ὅτι οὐχ ὁμοίως τοῖς μυθοποιηθεῖσι περὶ τῶν νομισθέντων υἱῶν τοῦ Διὸς, καὶ ἡμεῖς μόνον λέγομεν, ἀλλ᾽ οὐκ ἀποδεῖξαι ἔχομεν. τίνι γὰρ ἂν λόγῳ ἀνθρώπῳ σταυρωθέντι ἐπειθόμεθα, ὅτι πρωτότοκος τῷ ἀγεννήτῳ Θεῷ ἐστι, καὶ αὐτὸς τὴν κρίσιν τοῦ παντὸς ἀνθρωπείου γένους ποιήσεται, εἰ μὴ μαρτύρια, πρὶν ἢ ἐλθεῖν αὐτὸν ἄνθρωπον γενόμενον, κεκηρυγμένα περὶ αὐτοῦ εὕρομεν; καὶ οὕτως γενόμενα ὁρῶμεν, γῆς μὲν Ἰουδαίων ἐρήμωσιν, καὶ τοὺς ἀπὸ

παντὸς ἔθνους ἀνθρώπων διὰ τῆς παρὰ τῶν ἀποστόλων αὐτοῦ διδαχῆς πεισθέντας, καὶ παραιτησαμένους τὰ παλαιά, ἐν οἷς πλανώμενοι ἀνεστράφησαν, ἔθη, ἑαυτοὺς ἡμᾶς ὁρῶντες πλείονάς τε καὶ ἀληθεστέρους τοὺς ἐξ ἐθνῶν τῶν ἀπὸ Ἰουδαίων καὶ Σαμαρέων Χριστιανοὺς εἰδότες. τὰ μὲν γὰρ ἄλλα πάντα γένη ἀνθρώπεια, ὑπὸ τοῦ προφητικοῦ πνεύματος καλεῖται ἔθνη· τὸ δὲ Ἰουδαϊκὸν καὶ Σαμαρειτικὸν φῦλον, Ἰσραὴλ καὶ οἶκος Ἰακὼβ κέκληνται. ὡς δὲ προεφητεύθη ὅτι πλείονες οἱ ἀπὸ τῶν ἐθνῶν πιστεύοντες τῶν ἀπὸ Ἰουδαίων καὶ Σαμαρέων, τὰ προφητευθέντα ἀπαγγελοῦμεν. ἐλέχθη δὲ οὕτως· » Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον » ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλ- » λον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα: ἔρημα γὰρ ἦν πάντα τὰ ἔθνη ἀληθινοῦ Θεοῦ, χειρῶν ἔργοις λατρεύοντα· Ἰουδαῖοι δὲ καὶ Σαμαρεῖς, ἔχοντες τὸν παρὰ τοῦ Θεοῦ λόγον διὰ τῶν προφητῶν παραδοθέντα αὐτοῖς, καὶ ἀεὶ προσδοκήσαντες τὸν Χριστόν, παραγενόμενον ἠγνόησαν, πλὴν ὀλίγων τινῶν, οὓς προεῖπε τὸ ἅγιον προφητικὸν πνεῦμα διὰ Ἠσαΐου σωθήσεσθαι. εἶπε δὲ ὡς ἀπὸ προσώπου αὐτῶν, » Εἰ μὴ Κύριος » ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα καὶ Γόμορ- » ρα ἂν ἐγενήθημεν:- Σόδομα γὰρ καὶ Γομόρρα, πόλεις τινὰς ἀσεβῶν ἀνδρῶν ἱστοροῦνται ὑπὸ Μωϋσέως γενόμεναι, ἃς πυρὶ καὶ θείῳ καύσας ὁ Θεὸς, κατέστρεψε, μηδενὸς τῶν ἐν αὐταῖς σωθέντος, πλὴν ἀλλοεθνοῦς τινὸς Χαλδαίου τὸ γένος, ᾧ ὄνομα Λώτ· σὺν ᾧ καὶ θυγατέρες διεσώθησαν· καὶ τὴν πᾶσαν αὐτῶν χώραν, ἔρημον καὶ κεκαυμένην οὖσαν, καὶ ἄγονον μένουσαν, οἱ βουλόμενοι ὁρᾶν ἔχουσιν. ὡς δὲ καὶ ἀληθέστεροι οἱ ἀπὸ τῶν ἐθνῶν καὶ πιστότεροι προεγινώσκοντο, ἀπαγγελοῦμεν τὰ εἰρημένα διὰ Ἠσαΐου τοῦ προφήτου. ἔφη δὲ οὕτως· » Ἰσραὴλ ἀπερίτμητος τὴν καρδίαν, τὰ δὲ ἔθνη » τὴν ἀκροβυστίαν:- Τὰ τοσαῦτα γοῦν ὁρώμενα πειθὼ καὶ πίστιν τοῖς τἀληθὲς ἀσπαζομένοις καὶ μὴ φιλοδοξοῦσι, μηδὲ ὑπὸ παθῶν ἀρχομένοις, μετὰ λόγου ἐμφορῆσαι δύναται. οἱ δὲ παραδιδόντες τὰ μυθοποιηθέντα ὑπὸ τῶν ποιητῶν, οὐδεμίαν ἀπόδειξιν φέρουσι τοῖς ἐκμανθάνουσι νέοις· καὶ ἐπὶ ἀπάτῃ καὶ ἀπαγωγῇ τοῦ ἀνθρωπείου γένους εἰρῆσθαι ἀποδείκνυμεν κατ᾽ ἐνέργειαν τῶν φαύλων δαιμόνων. ἀκούσαντες γὰρ διὰ τῶν προφητῶν κηρυσσόμενον παραγενησόμενον τὸν Χριστόν, καὶ κολασθησομένους διὰ πυρὸς τοὺς ἀσεβεῖς τῶν ἀνθρώπων, προεβάλλοντο πολλοὺς λεχθῆναι λεγομένους υἱοὺς τῷ Διΐ, νομίζοντες δυνήσεσθαι ἐνεργῆσαι τερατολογίαν ἡγήσασθαι τοὺς ἀνθρώπους τὰ περὶ τὸν Χριστόν, καὶ ὁμοίως τοῖς ὑπὸ τῶν ποιητῶν λεχθεῖσι. καὶ ταῦτα δ᾽ ἐλέχθη, καὶ ἐν Ἕλλησι, καὶ ἐν ἔθνεσι πᾶσιν, ὅπου μᾶλλον ἐπήκουον τῶν προφητῶν πιστευθήσεσθαι τὸν Χριστὸν προκηρυσσόντων. ὅτι δὲ καὶ ἀκούοντες τὰ
257 διὰ τῶν προφητῶν λεγόμενα οὐκ ἐνόουν ἀκριβῶς,

omni hominum genere per Apostolorum doctrinam ad fidem, qui veteres, in quibus errabundi versabantur consuetudines reiecerint, adductos esse nos ipsos cernimus, ac plures & veriores ex gentib. quam ex Iudæis & Samaritanis Christianos nouimus. Nam cuncta alia hominum genera a prophetico Spiritu *Gentes* vocãtur; Iudaicæ autem & Samaritanæ tribus, *Israel* & *Domus Iacob* nominantur. Vaticinii autem eius, quo prædictum est plures ex gentibus quã Iudæis & Samaritis fore credentes, verba ad hunc prolata modum referre visum est: *Lætare sterilis quæ non paris; erumpe & clama quæ non parturis: Quoniã multo plures sunt liberi desertæ, quam eius quæ habet virum.* Desertæ namq; erant a Deo gentes omnes manuũ opera colentes. Iudæi autem & Samaritani, Verbum a Deo per prophetas traditum habẽtes, & numquam non CHRISTVM præstolantes, aduenientem & præsentẽ non agnouerunt: paucis exceptis, quos sanctus propheticus Spiritus per Esaiam est præloquutus saluatum iri. Loquutus autem est, veluti ex ipsorum persona: *Nisi Dominus reliquisset nobis semen, quasi Sodoma & Gomorra facti essemus.* Sodoma enim & Gomorra vrbes fuisse quædã impiorum virorum, a Mose memorantur; quas igni & sulphure crematas Deus euertit; nemine in eis e ciuib. seruato, extra alienigenã quendam Chaldæorum gentis, cui nomen fuit Lot; cum quo & filiæ eius incolumes euasere. Harũ regionem omnem desertã & exustam esse, & infrugiferam manere, qui volunt, cernere ipsi possunt. Porro eos etiã qui ex gẽtib. sunt, veraciores & fideliores fore, præcognitũ promulgatũq; esse, verba per Hieremiã vatẽ producemus, ita cõcepta: *Israel incircũcisus corde; gentes autem, præputio.* Tot ergo & tantæ res oculis conspectæ, persuasionẽ & fidẽ verũ cõplectẽtibus, & gloriam seu opiniones non consectantibus, rationabilẽ afferre possunt. At qui a poetis fabulose confecta tradunt, nullã addiscentib. adolescentibus afferunt probationem: atque ea ipsa ad fraudem & seductionem generis humani dicta esse demonstramus, opera & suggestione malorum dæmoniorum. Audito namque, CHRISTVM a prophetis deprædicatum aduenturum esse, atque per ignem impios homines discruciatum iri: multos qui Iouis dicerentur filii, (vti & dicti sunt) in medium poetæ produxerunt. efficere se posse dæmones sunt rati, vt homines pro fabulis prodigiosis poeticisque narrationibus res CHRISTI haberẽt. Et vulgata hæc sunt & apud Græcos, & apud gẽtes omnes, vbi magis illi audiebant, Prophetis prænũciantibus, homines in CHRISTVM credituros esse. Quod aũt dicta prophetarũ audiẽtes, [illegible]

rint, sed hallucinantium more res CHRISTI sint æmulati, explicabimus. Moses propheta, sicut antea indicauimus, scriptoribus omnibus fuit vetustior. Ab hoc, pro eo atque diximus, ita prophetatum est: *Non deficiet princeps ex Iuda, & dux e lumbis eius, donec veniat cui repositum est. & ipse erit expectatio gentium, ligans ad vitem pullum suum, lauans stolam suam in sanguine vuæ.* His verbis auditis, dæmones Dionysum Iouis filium esse dixerunt, inuentoremque vitis prodiderunt, & asinum in mysteriis & arcanis eius sacris duxerunt; & dilaniatum eum ascendisse in cælum docuerunt. Et quia in Mosæ prophetia expressis verbis designatum non erat, num aduenturus ille filius Dei esset futurus, & vtrum pullo vehens in terris mansurus, an in cælum ascensurus: atque pulli nomen, & asini & equi pullum denotare poterat: nescientes asini ne an equi pullum ducens, symbolum & signum aduentus & præsentiæ suæ habiturus qui prænunciabatur: & vtrum Dei, sicut diximus, an hominis futurus esset filius: Bellerophontem quoque ipsum, hominem ex homine genitum, in equo Pegaso in cælum peruenisse promulgarunt. Cum autem accepissent quod per alium est prophetam dictum, per Esaiam videlicet, ex virgine nasciturum, & per seipsum in cælum conscensurum esse: vt Perseus celebraretur, inuenerunt. Atque vbi etiam cognouerũt, prędictum esse in eis ipsis vaticiniis, quemadmodum prius est a nobis allegatum, vt tamquam robustus Gigas curreret viam: Herculem fortem, qui omnem peragrarit terram, deprædicarunt. Vbi vero rursus intellexerunt, vaticiniis promissum illum, omnem morbum curaturum, & mortuos resuscitaturũ esse: Æsculapiũ subintroduxerunt. Verum nullo prorsus modo in quopiam eorum qui dicti sunt filiorum Iouis, crucis supplicium sunt imitati. Non enim intellectum est ab eis quę de hoc sunt, sicut antea ostendimus, dicta omnia per symbola arcane esse prolata. Quod profecto, prout Propheta præloquutus est, potissima nota fortitudinis & imperii eius est; quemadmodũ id quoque ex eis quæ sub aspectũ cadunt, patet. Considerate nãq; vobiscũ res in orbe cũctas, an absq; forma ista administrare quidquã, aut cõmerciũ aliquod habere homines queãt. Mare certe quidẽ nõ scinditur, nisi tropęũ hoc quod antẽna siue velũ vocatur, in naui integrũ maneat. Terra absq; hoc nõ aratur. Fossores aũt opus non faciũt, neque itidem manuarii artifices, nisi figuram hanc habentibus instrumentis. Præterea vero facies humana non alia re ab animalibus ratione carentibus magis differt, quã quod rigida directaq; sit, & extensionẽ manuũ habeat, atq; in vultu a fronte prominẽtem proferat nasum qui dicitur, per quẽ respiratio est animanti, nõ aliud quã crucis formã ostendentẽ.

ἀλλ' ὡς πλανώμενοι ἐμιμήσαντο τὰ περὶ τὸν ἡμέτερον Χριστὸν, διασαφήσομεν. Μωσῆς οὖν ὁ προφήτης, ὡς προέφημεν, πρεσβύτερος ἦν πάντων συγγραφέων· καὶ δι' αὐτοῦ, ὡς προεμηνύσαμεν, προεφητεύθη οὕτως· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν, δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, πλύνων τὴν στολὴν αὐτοῦ ἐν αἵματι σταφυλῆς. Τούτων οὖν τῶν προφητικῶν λόγων ἀκούσαντες οἱ δαίμονες, Διόνυσον μὲν ἔφασαν γεγονέναι υἱὸν τοῦ Διὸς, εὑρετὴν δὲ γενέσθαι ἀμπέλου παρέδωκαν, καὶ ὄνον ἐν τοῖς μυστηρίοις αὐτοῦ ἀναγράφουσι, καὶ διασπαραχθέντα αὐτὸν ἀνεληλυθέναι εἰς οὐρανὸν ἐδίδαξαν. Καὶ ἐπειδὴ διὰ τῆς Μωυσέως προφητείας οὐ ῥητῶς ἐσημαίνετο, εἴ τε υἱὸς τοῦ Θεοῦ ὁ παραγενησόμενός ἐστι, καὶ εἰ ὀχούμενος ἐπὶ πώλου ἐπὶ γῆς μενεῖ, ἢ εἰς οὐρανὸν ἀνελεύσεται· καὶ τὸ τοῦ πώλου ὄνομα καὶ ὄνου πῶλον καὶ ἵππου, σημαίνειν ἐδύνατο· μὴ ἐπιστάμενοι εἴτε ὄνου πῶλον ἄγων ἔσται σύμβολον τῆς παρουσίας αὐτοῦ, εἴτε ἵππου, ὁ προκηρυσσόμενος, καὶ υἱὸς Θεοῦ ἐστιν, ὡς προέφημεν, ἢ ἀνθρώπου· τὸν Βελλεροφόντην καὶ αὐτὸν ἐφ' ἵππου Πηγάσου ἄνθρωπον ἐξ ἀνθρώπων γενόμενον, εἰς οὐρανὸν ἔφασαν ἀνεληλυθέναι. ὅτι δὲ ἤκουσαν διὰ τοῦ ἄλλου προφήτου Ἡσαΐου λεχθὲν, ὅτι διὰ παρθένου τεχθήσεται, καὶ δι' ἑαυτοῦ ἀνελεύσεται εἰς τὸν οὐρανὸν, τὸν Περσέα λεχθῆναι προεβάλλοντο. καὶ ὅτε ἔγνωσαν εἰρημένον ὡς προλέλεκται ἐν ταῖς προγεγραμμέναις προφητείαις, ἰσχυρὸς ὡς γίγας δραμεῖν ὁδὸν, τὸν Ἡρακλέα ἰσχυρὸν, καὶ ἐκπεριοδεύσαντα τὴν πᾶσαν γῆν ἔφασαν. ὅτε δὲ πάλιν ἔμαθον προφητευθέντα θεραπεύσειν αὐτὸν πᾶσαν νόσον, καὶ νεκροὺς ἀνεγερεῖν, τὸν Ἀσκληπιὸν παρήνεγκαν. ἀλλ' οὐδαμοῦ οὐδ' ἐπί τινος τῶν λεγομένων υἱῶν τοῦ Διὸς τὸ σταυρωθῆναι ἐμιμήσαντο. οὐ γὰρ ἐνοεῖτο αὐτοῖς, συμβολικῶς ὡς προδεδήλωται τῶν εἰς τοῦτο εἰρημένων πάντων λελεγμένων, ὅπερ, ὡς προεῖπεν ὁ προφήτης, τὸ μέγιστον σύμβολον τῆς ἰσχύος καὶ ἀρχῆς αὐτοῦ ὑπάρχει, ὡς καὶ ἐκ τῶν ὑπ' ὄψιν πιπτόντων δείκνυται. κατανοήσατε γὰρ πάντα τὰ ἐν τῷ κόσμῳ, εἰ ἄνευ τοῦ σχήματος τούτου διοικεῖται, ἢ κοινωνίαν ἔχειν δύναται. θάλασσα μὲν γὰρ οὐ τέμνεται, ἢν μὴ τοῦτο τὸ τρόπαιον ὃ καλεῖται ἱστίον, ἐν τῇ νηῒ σῶον μείνῃ· γῆ δὲ οὐκ ἀροῦται ἄνευ αὐτοῦ· σκαπανεῖς δὲ τὴν ἐργασίαν οὐ ποιοῦνται, οὐδὲ βαναυσουργοὶ ὁμοίως, εἰ μὴ διὰ τῶν τὸ σχῆμα τοῦτο ἐχόντων ἐργαλείων. τὸ δὲ ἀνθρώπειον σχῆμα οὐδενὶ ἄλλῳ τῶν ἀλόγων ζώων διαφέρει, ἢ τῷ ὀρθόν τε εἶναι, καὶ ἔκτασιν χειρῶν ἔχειν, καὶ ἐν τῷ προσώπῳ ἀπὸ τοῦ μετωπίου τεταμένον τὸν λεγόμενον μυξωτῆρα φέρειν, δι' οὗ ἥ τε ἀναπνοή ἐστι τῷ ζώῳ, καὶ οὐδὲν ἄλλο δεικνύει ἢ τὸ σχῆμα τοῦ σταυροῦ.

Et per

καὶ διὰ τοῦ προφήτου δὲ ἐλέχθη οὕτως, Πνεῦμα πρὸ προσώπου ἡμῶν, Χριστὸς Κύριος. καὶ τὰ παρ' ὑμῖν δὲ σύμβολα τὴν τοῦ σχήματος τούτου δύναμιν δηλοῖ . . . λωμεν δὲ τῶν τροπαίων δι' ὧν αἵ τε πρόοδοι ὑμῶν πανταχοῦ γίνονται· τῆς ἀρχῆς καὶ δυνάμεως τὰ σημεῖα ἐν τούτοις δεικνύντες, εἰ καὶ μὴ νοοῦντες τοῦτο πράττετε· καὶ τῶν παρ' ὑμῖν ἀποθνησκόντων αὐτοκρατόρων τὰς εἰκόνας ἐπὶ τούτῳ τῷ σχήματι ἀνατίθετε, καὶ θεοὺς διὰ γραμμάτων ἐπονομάζετε. καὶ διὰ λόγου οὖν καὶ σχήματος τοῦ φαινομένου, ὅση δύναμις, προτρεψάμενοι ὑμᾶς, ἀνεύθυνοι οἴδαμεν λοιπὸν ὄντες, κἂν ὑμεῖς ἀπιστῆτε· τὸ γὰρ ἡμέτερον γέγονε καὶ πεπέρανται. Οὐκ ἠρκέσθησαν δὲ οἱ φαῦλοι δαίμονες πρὸ τῆς φανερώσεως τοῦ Χριστοῦ εἰπεῖν τοὺς λεχθέντας υἱοὺς τῷ Διὶ γεγονέναι· ἀλλ' ἐπειδὴ φα-
158 νερωθέντος αὐτοῦ καὶ γενομένου ἐν ἀνθρώποις, καὶ ὅπως διὰ τῶν προφητῶν προκεκήρυκτο ἔμαθον, καὶ ἐν παντὶ γένει πιστευόμενον καὶ προσδοκώμενον ἔγνωσαν, πάλιν, ὡς προεδηλώσαμεν, προεβάλλοντο ἄλλους· Σίμωνα μὲν καὶ Μένανδρον ἀπὸ Σαμαρείας· οἳ καὶ μαγικὰς δυνάμεις ποιήσαντες, πολλοὺς ἐξηπάτησαν, καὶ ἔτι ἀπατωμένους ἔχουσι. καὶ γὰρ παρ' ὑμῖν, ὡς προέφημεν, ἐν τῇ βασιλίδι Ῥώμῃ ἐπὶ Κλαυδίου Καίσαρος γενόμενος ὁ Σίμων, καὶ τὴν ἱερὰν σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων εἰς τοσοῦτο κατεπλήξατο, ὡς θεὸς νομισθῆναι, καὶ ἀνδριάντι ὡς τοὺς ἄλλους παρ' ὑμῖν τιμωμένους θεοὺς, τιμηθῆναι. ὅθεν τήν τε ἱερὰν σύγκλητον, καὶ τὸν δῆμον τὸν ὑμέτερον, συνεπιγνώμονας ταύτης ἡμῶν τῆς ἀξιώσεως παραλαβεῖν αἰτοῦμεν· ἵν' εἴ τις εἴη τοῖς ἀπ' ἐκείνου διδάγμασι κατεχόμενος, τἀληθὲς μαθὼν, τὴν πλάνην φυγεῖν δυνηθῇ, καὶ τὸν ἀνδριάντα, εἰ βούλεσθε, καθαιρήσετε. οὐ γὰρ μὴ γενέσθαι τὴν ἐκπύρωσιν ἐπὶ κολάσει τῶν ἀσεβῶν, οἱ φαῦλοι δαίμονες πεῖσαι δύνανται· ὅνπερ τρόπον οὐδὲ λαθεῖν τὸν Χριστὸν παραγενόμενον ἴσχυσαν πρᾶξαι, ἀλλ' ἐκεῖνο μόνον, τοὺς ἀλόγως βιοῦντας, καὶ ἐμπαθῶς ἐν ἔθεσι φαύλοις τεθραμμένους, καὶ φιλοδοξοῦντας, ἀναιρεῖν ἡμᾶς καὶ μισεῖν δύνανται ποιῆσαι. οὓς οὐ μόνον οὐ μισοῦμεν, ἀλλ' ὡς δείκνυται, ἐλεοῦντες, μεταθέσθαι πεῖσαι βουλόμεθα. οὐ γὰρ δεδοίκαμεν θάνατον, τοῦ πάντως ἀποθανεῖν ὁμολογουμένου, καὶ μηδενὸς ἄλλου καινοῦ, ἀλλ' ἢ τῶν αὐτῶν ἐν τῇδε τῇ διοικήσει ὄντων· ὧν εἰ μὴ κόρος τοὺς μετασχόντας κἂν ἐνιαυτοῦ ἔχῃ, ἵνα ἀεὶ ὦσι καὶ ἀπαθεῖς καὶ ἀνενδεεῖς, τοῖς ἡμετέροις διδάγμασι προσέχειν δεῖ. εἰ δὲ ἀπιστοῦσι μηδὲν εἶναι μετὰ θάνατον, ἀλλ' εἰς ἀναισθησίαν χωρεῖν τοὺς ἀποθνήσκοντας ἀποφαίνονται), παθῶν τῶν ἐνταῦθα καὶ χρειῶν ἡμᾶς ῥυόμενοι εὐεργετοῦσιν, ἑαυτοὺς δὲ φαύλους καὶ μισανθρώπους καὶ φιλοδόξους δεικνύουσιν.

Et per Prophetā quoq; ita est dictū: *Spiritus ante faciē nostrā* CHRISTVS *Dominus.* Quin & signa vestra figurę huius vim pręferūt & declarant [vexillorū signa dico, aliorūq; insigniū] & tropæorū, per quæ progressus a vobis in publicū quouis locorū fiūt, imperii & potestatis indicia in hisce ostendentibus: licet hoc nō intelligentes faciatis. Et qui apud vos moriuntur Imperatorū imagines forma ista cōsecratis, & Deos inscriptionib. nominatis. Quapropter cū Ratione simul & Oratione, nec non figura ea quæ propalā cernitur, quoad potuimus, vos simus [ad placabilitatē] cohortati: extra noxā & culpā omnē nos fore deinceps scimus, quāuis vos increduli esse pergatis. nā quod nostri fuit officii, factū a nobis est, & ad finē perductū. Nō satis aūt habuere maligni dęmones, quod ante manifestariā præsentiā CHRISTI, qui dicti sunt, filios Ioui genitos esse, asseuerauerint: sed cū iā aperte exhibitus inter homines fuisset [& a morte rediuiuus in cælū reuertisset] quoniā sicuti per prophetas pręnunciatū fuerat, in omni genere mortaliū fide eū cultū & exspectatū iri cognouerant, denuo (vt ante ostēdimus) alios in mediū produxerūt. *Simonē* & *Menandrū* Samaritanos; qui magicis virtutib. edendis multos in fraudē seduxerūt, atq; etiā nūc quos seducāt habēt. Nā apud vos, prout diximus, in Imperiali vrbe Roma, sub Claudio Cæsare Simō fuit, & sacrū Senatū populūq; Romanū eo perduxit stuporis, vt Deus haberetur, & statua, veluti alii quos colitis dii, cohonestaretur. Quocirca, vt sacer quoq; Senatus & populus Romanus vna vobiscū postulata hæc nostra cognoscāt, petimus: vt, si quis inter eos doctrinis illius detineatur, vero cognito, fraudē erroris effugere valeat. & statuā si vultis, abolete. Quod enim exustio, impiorū torquēdorū causa futura non sit, maligni dæmones persuadere nequeunt: perinde atq; vt CHRISTI aduentus homines lateret, facere non potuerūt: sed illud solūmodo, vt qui præter rationē ferociter viuūt, & per animi affectiones in malis morib. sunt educti, & gloriā siue opiniones aucupantur, nos occidant & odio prosequantur, procurare possunt. Quos tantum abest vt oderimus, vt miserantes etiam vicem eorum, quod supra indicauimus, persuadere illis vt alii per resipiscentiam fiant, cupiamus. Non enim mortem metuimus, cum omnino moriendum esse cuiuis in confesso sit: ac si nihil sit noui exspectādum. [contra quā nos arbitramur] sed idem semper rerum hic maneat status & administratio, quamuis eos qui illis fruantur, vel intra anni spaciū satietas earū [propter vanitatē] nō capiat: tamen vt & animi perturbationib. & indigētia semper sint immunes, nostris eos disciplinis operā dare oporteat. Sin hoc non credētes, nihil reliquū esse post mortē, sed ad statū sensus expertē moriētes trāsire decernāt: perpessionib. quidē & ęrumnis vitę huius nos liberātes beneficio afficiāt; seipsos vero malignos, & inhumanos, & glorię cupidos esse declarēt.

nō enim nos veluti omnino sublaturi necant, sed tamquam vita ac voluptate priuaturi occidūt. *Marcionem* quoq; *Ponticum*, sicut retulimus, in medium produxerunt praui dæmones: qui conditorem cælestium & terrestrium Deum, & a sacris vatibus prænunciatum CHRISTVM filiū eius, pernegare nūc quoque docet: alium autem (nescio quem) obnunciat, præter opificem vniuersorum Deum, atque item filium aliū. Cui permulti credentes, quasi soli vera scienti, nos derident, nullam illi habentes eorum quæ asserunt probationem; sed præter rationem, perinde atque a lupis rapti agni, esca impiorum & a Deo alienorū dogmatū, atq; ipsorum dęmonū fiunt. Nihil namq; aliud contētione omni agūt qui dicūtur dęmones, quam vt mortales a conditore suo Deo & primogenito eius CHRISTO abducāt. Atque eos quidem qui se humo tollere nequeunt, terrenis ac manufactis simulacris affixerunt & affigunt: eos autem qui se ad diuinarum rerum commentationem erigunt, transuersos agentes, nisi iudicium sanum vitamque putam & ab animi perturbationibus liberam obtinuerint, in impietatē impellunt. Enimuero vt & a nostris doctoribus (Verbū autē a prophetis vulgatum significamus) accepisse Platonem intelligatis, quod dixit, Deum materia informi versa mundum creasse: verba ipsa, prout concepta sunt, primi (vt diximus) prophetæ & omnibus Græcis scriptoribus vetustioris Mosę audite: per quem propheticus Spiritus, quomodo & vnde Deus mundum condiderit, ostendens, ita infit: *In principio fecit Deus cælum & terram. Terra autem erat non aspectabilis, & incondita. Et tenebræ erant super abyssum, & Spiritus Dei ferebatur super aquas. Et dixit Deus: Fiat lux. & factum est ita.* Proinde Verbo Dei ex subiectis, & iis quæ Moses ostendit rebus, factum esse mundum vniuersum, & Plato, & qui eadem dicunt, & nos adeo ipsi didicimus, & idem vos credere persuaderique potestis. *Erebum* quoque, vt poetæ nominant, Mosen primum dixisse nouimus. Et quod in Timæo Plato physica naturaliq; ratione de *Filio Dei* dixit, cum ait: *Decussauit eum in vniuerso:* a Mose id itidem acceptum ille protulit. Nam in Mosæ scripta relatum est, tempore eo cum Israelitæ ex Ægypto exirent, & in solitudine essent, obuiam eis venisse feras venenosas, viperas & aspides, & serpentum genus omne, populumque neci dedidisse: ac Mosen per eam quę Dei dicitur inspirationem & instinctum, æs accepisse, & signum Crucis fecisse, idque ad sanctum tabernaculum statuisse, ac populo dixisse: *Si inspexeritis typum & signum hoc, & credideritis, salui in eo eritis.* Quo facto serpentes exstinctos esse scriptum est, po-

οὐ γὰρ ὡς ἀπαλλάξοντες ἡμᾶς ἀναιροῦσιν, ἀλλ' ὡς ἀποστεροῦντες ζωῆς καὶ ἡδονῆς φονεύουσι. Καὶ Μαρκίωνα δὲ τὸν ἀπὸ Πόντου, ὡς προέφημεν, προεβάλλοντο οἱ φαῦλοι δαίμονες· ὃς ἀρνεῖσθαι μὲν τὸν ποιητὴν τῶν οὐρανίων καὶ γηΐνων ἁπάντων Θεόν, καὶ τὸν προκηρυχθέντα διὰ τῶν προφητῶν Χριστὸν υἱὸν αὐτοῦ, καὶ νῦν διδάσκει· ἄλλον δέ τινα καταγγέλλει παρὰ τὸν δημιουργὸν τῶν πάντων Θεόν, καὶ ὁμοίως ἕτερον υἱόν· ᾧ πολλοὶ πεισθέντες ὡς μόνῳ τἀληθῆ ἐπισταμένῳ, ἡμῶν καταγελῶσιν, ἀπόδειξιν μηδεμίαν περὶ ὧν λέγουσιν ἔχοντες, ἀλλὰ ἀλόγως ὡς ὑπὸ λύκου ἄρνες συνηρπασμένοι, βορὰ τῶν ἀθέων δογμάτων καὶ δαιμόνων γίνονται. οὐ γὰρ ἄλλο τι ἀγωνίζονται οἱ λεγόμενοι δαίμονες, ἢ ἀπάγειν τοὺς ἀνθρώπους ἀπὸ τοῦ ποιήσαντος Θεοῦ, καὶ τοῦ πρωτογόνου αὐτοῦ Χριστοῦ. καὶ τοὺς μὲν τῆς γῆς μὴ ἐπαίρεσθαι δυναμένους, τοῖς γηΐνοις καὶ χειροποιήτοις προσήλωσαν, καὶ προσηλοῦσι· τοὺς δὲ ἐπὶ θεωρίαν θείων ὁρμῶντας, ὑποκρούοντες, ἢν μὴ λογισμὸν σώφρονα καὶ καθαρὸν καὶ ἀπαθῆ βίον ἔχωσιν, εἰς ἀσέβειαν ἐμβάλλουσιν. ἵνα δὲ καὶ παρὰ τῶν ἡμετέρων διδασκάλων (λέγομεν δὲ τοῦ λόγου τοῦ διὰ τῶν προφητῶν) λαβόντα τὸν Πλάτωνα μάθητε τὸ εἰπεῖν, ὕλην ἄμορφον οὖσαν στρέψαντα τὸν Θεόν, κόσμον ποιῆσαι, ἀκούσατε τῶν αὐτολεξεὶ εἰρημένων διὰ Μωσέως τοῦ προδεδηλωμένου πρώτου προφήτου, καὶ πρεσβυτέρου τῶν ἐν Ἕλλησι συγγραφέων· δι' οὗ μηνύον τὸ προφητικὸν πνεῦμα πῶς τὴν ἀρχήν, καὶ ἐκ τίνων ἐδημιούργησεν ὁ Θεὸς τὸν κόσμον, ἔφη οὕτως· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τῶν ὑδάτων. καὶ εἶπεν ὁ Θεός, Γενηθήτω φῶς· καὶ ἐγένετο οὕτως. Ὥστε λόγῳ Θεοῦ ἐκ τῶν ὑποκειμένων καὶ προδηλωθέντων διὰ Μωσέως, γεγενῆσθαι τὸν πάντα κόσμον, 159 καὶ Πλάτων, καὶ οἱ ταῦτα λέγοντες, καὶ ἡμεῖς ἐμάθομεν, καὶ ὑμεῖς πεισθῆναι δύνασθε. καὶ τὸ καλούμενον ἔρεβος παρὰ τοῖς ποιηταῖς, εἰρῆσθαι πρότερον ὑπὸ Μωσέως οἴδαμεν. καὶ τὸ ἐν τῷ παρὰ Πλάτωνι Τιμαίῳ φυσιολογούμενον περὶ τοῦ υἱοῦ τοῦ Θεοῦ, ὅτε λέγει, Ἐχίασεν αὐτὸν ἐν τῷ παντί, παρὰ Μωσέως λαβὼν ὁμοίως εἶπεν. ἐν γὰρ ταῖς Μωσέως γραφαῖς ἀναγέγραπται, ὡς κατ' ἐκεῖνο τοῦ καιροῦ ὅτε ἐξῆλθον ἀπὸ Αἰγύπτου οἱ Ἰσραηλῖται, καὶ γεγόνασιν ἐν τῇ ἐρήμῳ, ἀπήντησαν αὐτοῖς ἰοβόλα θηρία, ἔχιδναί τε καὶ ἀσπίδες, καὶ ὄφεων πᾶν γένος, ὃ ἐθανάτου τὸν λαόν· καὶ κατ' ἐπίπνοιαν καὶ ἐνέργειαν τὴν παρὰ τοῦ Θεοῦ λεγομένην, λαβεῖν τὸν Μωσέα χαλκόν, καὶ ποιῆσαι τύπον σταυροῦ, καὶ τοῦτον στῆσαι ἐπὶ τῇ ἁγίᾳ σκηνῇ, καὶ εἰπεῖν τῷ λαῷ, Ἐὰν προσβλέπητε τῷ τύπῳ τούτῳ, καὶ πιστεύητε, ἐν αὐτῷ σωθήσεσθε. καὶ γενομένου τούτου, τοὺς μὲν ὄφεις ἀποθανεῖν ἀνέγραψε·

τὸν δὲ λαὸν ἐκφυγεῖν τὸν θάνατον. οὕτως παρέδωκεν ἀναγνοὺς Πλάτων, καὶ μὴ ἀκριβῶς ἐπιστάμενος μηδὲ νοήσας τύπον εἶναι σταυροῦ, ἀλλὰ χίασμα νοήσας, τὴν μετὰ τὸν πρῶτον Θεὸν δύναμιν κεχιάσθαι ἐν τῷ παντὶ εἶπε. καὶ τὸ εἰπεῖν αὐτὸν τρίτον, ἐπειδή, ὡς προείπομεν, ἐπάνω τῶν ὑδάτων ἀνέγνω ὑπὸ Μωσέως εἰρημένον ἐπιφέρεσθαι τὸ τοῦ Θεοῦ πνεῦμα. δευτέραν μὲν γὰρ χώραν τῷ παρὰ Θεοῦ λόγῳ, ὃν κεχιάσθαι ἐν τῷ παντὶ ἔφη, δίδωσι· τὴν δὲ τρίτην, τῷ λεχθέντι ἐπιφέρεσθαι τῷ ὕδατι πνεύματι, εἰπών· Τὰ δὲ τρίτα περὶ τὸν τρίτον. καὶ ὡς ἐκπύρωσιν γενήσεσθαι διὰ Μωσέως προεμήνυσε τὸ προφητικὸν πνεῦμα, ἀκούσατε. ἔφη δὲ οὕτως· Καταβήσεται ἀείζωον πῦρ, καὶ καταφάγεται μέχρι τῆς ἀβύσσου κάτω. Οὐ τὰ αὐτὰ οὖν ἡμεῖς ἄλλοις δοξάζομεν, ἀλλ' οἱ πάντες τὰ ἡμέτερα μιμούμενοι λέγουσι. παρ' ἡμῖν οὖν ἔστι ταῦτα ἀκοῦσαι καὶ μαθεῖν παρὰ τῶν οὐδὲ τοὺς χαρακτῆρας τῶν στοιχείων ἐπισταμένων, ἰδιωτῶν μὲν καὶ βαρβάρων τὸ φθέγμα, σοφῶν δὲ καὶ πιστῶν τὸν νοῦν ὄντων, καὶ πηρῶν καὶ χήρων τινῶν τὰς ὄψεις· ὡς συνεῖναι οὐ σοφίᾳ ἀνθρωπείᾳ ταῦτα γεγενῆσθαι, ἀλλὰ δυνάμει Θεοῦ λέγεσθαι. Ὃν τρόπον δὲ καὶ ἀνεθήκαμεν ἑαυτοὺς τῷ Θεῷ, καινοποιηθέντες διὰ τοῦ Χριστοῦ, ἐξηγησόμεθα· ὅπως μὴ τοῦτο παραλιπόντες, δόξωμεν πονηρεύειν τι ἐν τῇ ἐξηγήσει. ὅσοι ἂν πεισθῶσι καὶ πιστεύωσιν ἀληθῆ ταῦτα τὰ ὑφ' ἡμῶν διδασκόμενα καὶ λεγόμενα εἶναι, καὶ βιοῦν οὕτως δύνασθαι ὑπισχνῶνται, εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ Θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς. ἔπειτα ἄγονται ὑφ' ἡμῶν ἔνθα ὕδωρ ἐστί, καὶ τρόπον ἀναγεννήσεως ὃν καὶ ἡμεῖς αὐτοὶ ἀνεγεννήθημεν, ἀναγεννῶνται· ἐπ' ὀνόματος γὰρ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ, καὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πνεύματος ἁγίου, τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται. καὶ γὰρ ὁ Χριστὸς εἶπεν, Ἂν μὴ ἀναγεννηθῆτε, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. (ὅτι δὲ καὶ ἀδύνατον εἰς τὰς μήτρας τῶν τεκουσῶν τοὺς ἅπαξ γεννωμένους ἐμβῆναι, φανερὸν πᾶσίν ἐστι) καὶ διὰ Ἠσαΐου τοῦ προφήτου, ὡς προεγράψαμεν, εἴρηται τίνα τρόπον φεύξονται τὰς ἁμαρτίας οἱ ἁμαρτήσαντες καὶ μετανοοῦντες. ἐλέχθη δὲ οὕτως· Λούσασθε, καθαροὶ γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ ἔριον λευκανῶ· ἐὰν ὦσιν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

est populum autem exitium effugisse. Ad huc etiam videlicet modum, hisce lectis, scripsit Plato: verũ, quod non certo nosset, neque intelligeret, Crucis esse figurã, sed decussationis formam, quæ literam X refert, intelligentia complecteretur: eam quæ secundum Principem Deum est Virtutem, decussatam esse in vniuerso dixit. Et quod præterea idem tertium dixit, [a Mose quoque id accepit:] & quia, sicut prius retulimus, super aquas, legerat a Mose promulgatum esse, Spiritum Dei ferri: secũdum quidem locum Dei Verbo quod in vniuerso decussatũ dixit: tertium vero ei qui dictus est super aquas ferri Spiritui tribuit, inquiens: *Tertia autẽ circa tertium.* Et exustionem quomodo per Mosen Spiritus propheticus fore præmonstrarit, accipite: sic autem inquit: *Descẽdet ignis perpetuum viuens, & deuorabit ad imam vsque abyssum.* Non ergo eadem nos cum aliis opinamur, sed omnes illi nostra per imitationem proferũt. Apud nos sane quidem hæc audire & discere licet, ab eis etiam qui nec formas litterarum norunt: rudibus quidem illis & voce barbaris, sed mente sapientibus & fidelibus, & quibusdam debilibus atq; oculis captis: vt intelligere liceat, *Non humana sapientia hæc fieri, sed virtute Dei dici.* Quo vero modo Deo quoq; nos dicauerimus, per CHRISTVM renouati, iã exponemus: ne si hoc prætereamus, maligne quidquã & dissimulanter agere in hac oratióne videamur. Quicumq; persuasi fuerint, & crediderint vera esse quæ a nobis traduntur & dicuntur, ac viuere se ita posse receperint; orare ieiunãtes, & petere a Deo priorũ peccatorũ remissionem docentur, nobis cũ illis vna & orantibus & ieiunantibus. Deinde eo adducuntur a nobis vbi aqua est; atque eo regenerationis modo quo ipsi regenerati sumus, regenerantur. nam in nomine rerum cunctarum Parentis & Domini Dei, & Seruatoris nostri IESV CHRISTI, & Spiritus sancti, in aquarum lauantur. CHRISTVS enim ipse dixit: *Nisi regenerati fueritis, non introibitis in regnum cælorum.* Haudquaquam autem fieri posse, vt semel in lucem editi in vteros genitricum suarum ingrediantur, manifestum omnibus est. Atenim per prophetam Esaiam, vti supra scripsimus, expressum est, quomodo peccata effugituri sint qui peccauerunt, & per pœnitentiam resipiscunt. Ita autem est dictum: *Lauamini, mundi estote; auferte prauitates ab animis vestris, discite benefacere; iudicate pupillo, iustificate viduam: & venite, ac disceptemus; dicit Dominus. Ac si peccata vestra fuerint vt vestimentum puniceum, tamquam lanam dealbabo: & si fuerint vt coccinum, tamquam niuem candida reddam. Si autem non audieritis me, gladius deuorabit vos. Os enim Domini loquutum est ista.*

Rationem autem huius rei ab Apoſtolis illam accepimus. Quandoquidem priorem natiuitatem noſtram ignorantes, neceſſitate quadam, liquido genitali ſatu, mutua parentum mixtione intercedente, progenerati ſumus, & in malis moribus prauaque conſuetudine educti, vt ne neceſſitatis & ignorantiæ liberi permaneamus, ſed delectus & ſcientiæ [filii ſiamus,] ac remiſſionem antecommiſſorum peccatorum conſequamur in aqua: ſuper eo qui renaſcendum ſibi eſſe ſtatuerit, atque per pœnitentiam ab admiſſis delictis reſipuerit, Parentis rerum omnium & Domini Dei nomen nominatur, atque idipſum ſolum, lauaturum iſtum ad lauacrum ducentes, inuocamus. Nomen ſiquidem ineloquibili Deo dicere nemo poteſt. Si quis autem nomen ei indere audeat, prodiga prorſus luxuriantique inſaniat inſania. Vocatur vero lauacrum hoc *Illuminatio*; quod eorum qui hæc diſcunt, mentes illuminentur. In nomine autem etiam IESV CHRISTI crucifixi ſub Pontio Pilato, atque in nomine Spiritus ſancti, qui per ſacros vates prænunciauit res CHRISTI omnes, abluitur is qui illuminatur. Porro lauationem hanc cum audiſſent dæmones per Prophetam promulgatam, vt & ingreſſuri in delubra eorum, & acceſſuri ad illos, atque libationibus & adipis nidoribus offerendis operaturi, ſeipſos aquæ aſperſione luſtrarent, effecerunt. Quin vt toto quoque corpore lauentur prodeuntes priuſquam ad templa, vbi illi collocati ſunt, veniant, inſtinctu & opera ſua curant. Nam & illud, quod fana eorum ingredientes calceos deponunt, & cultores eorundem idem facere ſacerdotes iubent: per imitationem eius inſtituerunt, quod Moſi prophetæ, quem diximus, accidit. Tum namque temporis, cum Moſes in terra Arabia oues ſoceri ſui paſcens, in Ægyptum deſcendere, & populum qui ibi erat Iſraeliticum educere iuſſus eſt, in ſpecie ignis e rubo cum eo colloquutus eſt CHRISTVS noſter, & ad eum dixit: *Solue calceamenta tua, & accedens audi.* Atque ille calceis depoſitis acceſſit, & audiit, deſcendere ſe debere in Ægyptũ, & educere inde populum Iſraeliticũ: atq; ingenti virtute ab eo qui ſecum loquutus fuerat in ſpecie ignis, CHRISTO, accepta, deſcẽdit & eduxit populum, magna & admirãda edens facinora: quæ ſi cognoſcere volueritis, ex libris eius accurate intelligetis. Iudæi ſane omnes nũc quoq; docẽt, carentẽ illũ nomine Deũ cũ Moſe colloquutũ eſſe. Proinde Spiritus propheticus per prophetã Eſaiã, quẽ diximus, arguẽs illos, pro eo atq; antea ſcripſimus, inquit: *Cognouit bos poſſeſſorẽ, & aſinus præſepe domini ſui: Iſrael aũt me nõ cognouit, & populus me nõ intellexit.* IESVS certe CHRISTVS, quod Iudæi nõ noſſẽt quid Pater & quid Filius eſſet, pariter illos reprehẽdẽs & ipſe dixit:

Καὶ λόγον δὲ εἰς τοῦτο παρὰ τῶν ἀποστόλων ἐμάθομεν τοῦτον. ἐπειδὴ τὴν πρώτην γένεσιν ἡμῶν ἀγνοοῦντες, κατ' ἀνάγκην γεγεννήμεθα ἐξ ὑγρᾶς σπορᾶς κατὰ μίξιν τὴν τῶν γονέων πρὸς ἀλλήλους, καὶ ἐν ἔθεσι φαύλοις καὶ πονηραῖς ἀνατροφαῖς γεγόναμεν, ὅπως μὴ ἀνάγκης τέκνα μηδὲ ἀγνοίας μένωμεν, ἀλλὰ προαιρέσεως καὶ ἐπιστήμης, ἀφέσεώς τε ἁμαρτιῶν ὑπὲρ ὧν προημάρτομεν τύχωμεν ἐν τῷ ὕδατι, ἐπονομάζεται τῷ ἑλομένῳ ἀναγεννηθῆναι, καὶ μετανοήσαντι ἐπὶ τοῖς ἡμαρτημένοις, τὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ ὄνομα· αὐτὸ τοῦτο μόνον ἐπιλέγοντες, τοῦτον λουσόμενον ἄγοντες ἐπὶ τὸ λουτρόν. ὄνομα γὰρ τῷ ἀρρήτῳ Θεῷ οὐδεὶς ἔχει εἰπεῖν· εἰ δέ τις τολμήσειεν εἶναι λέγειν, μέμηνε τὴν ἄσωτον μανίαν. καλεῖται δὲ τοῦτο τὸ λουτρὸν φωτισμὸς, ὡς φωτιζομένων τὴν διάνοιαν τῶν ταῦτα μανθανόντων. καὶ ἐπ' ὀνόματος δὲ Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπ' ὀνόματος πνεύματος ἁγίου, ὃ διὰ τῶν προφητῶν προεκήρυξε τὰ κατὰ τὸν Ἰησοῦν πάντα, ὁ φωτιζόμενος λούεται. καὶ τὸ λουτρὸν δὴ τοῦτο ἀκούσαντες οἱ δαίμονες διὰ τοῦ προφήτου κεκηρυγμένον, ἐνήργησαν καὶ ῥαντίζειν ἑαυτοὺς τοὺς εἰς τὰ ἱερὰ αὐτῶν ἐπιβαίνοντας, καὶ προσιέναι αὐτοῖς μέλλοντας, λοιβὰς καὶ κνίσσας ἀποτελοῦντας· τέλεον δὲ καὶ λούεσθαι ἀπιόντας πρὶν ἐλθεῖν ἐπὶ τὰ ἱερὰ ἔνθα ἵδρυνται, ἐνεργοῦσι. καὶ γὰρ τὸ ὑπολύεσθαι ἐπιβαίνοντας τοῖς ἱεροῖς καὶ τοῖς αὐτοῖς τοὺς θρησκεύοντας κελεύεσθαι ὑπὸ τῶν ἱερατευόντων, ἐκ τῶν συμβάντων Μωσεῖ τῷ εἰρημένῳ προφήτῃ μαθόντες οἱ δαίμονες ἐμιμήσαντο. κατ' ἐκεῖνο γὰρ τοῦ καιροῦ ὅτε Μωσῆς ἐκελεύσθη κατελθὼν εἰς Αἴγυπτον ἐξαγαγεῖν τὸν ἐκεῖ λαὸν τῶν Ἰσραηλιτῶν, ποιμαίνοντος αὐτοῦ ἐν τῇ Ἀρραβικῇ γῇ πρόβατα τοῦ πρὸς μητρὸς θείου, ἐν ἰδέᾳ πυρὸς ἐκ βάτου προσωμίλησεν αὐτῷ ὁ ἡμέτερος Χριστὸς, καὶ εἶπεν, Ὑπόλυσαι τὰ ὑποδήματά σου, καὶ προσελθὼν ἄκουσον. ὁ δὲ, ὑπολυσάμενος καὶ προσελθὼν, ἀκήκοε κατελθεῖν εἰς Αἴγυπτον, καὶ ἐξαγαγεῖν τὸν ἐκεῖ λαὸν τῶν Ἰσραηλιτῶν, καὶ δύναμιν ἰσχυρὰν ἔλαβε παρὰ τοῦ λαλήσαντος αὐτῷ ἐν ἰδέᾳ πυρὸς Χριστοῦ· καὶ κατελθὼν ἐξήγαγε τὸν λαὸν, ποιήσας μεγάλα καὶ θαυμάσια· ἃ εἰ βούλεσθε μαθεῖν, ἐκ τῶν συγγραμμάτων ἐκείνου ἀκριβῶς μαθήσεσθε. Ἰουδαῖοι δὲ πάντες καὶ νῦν διδάσκουσι τὸν ἀνωνόμαστον Θεὸν λελαληκέναι τῷ Μωσεῖ· ὅθεν τὸ προφητικὸν πνεῦμα διὰ Ἡσαΐου τοῦ προμεμηνυμένου προφήτου ἐλέγχον αὐτοὺς, ὡς προεγράψαμεν, εἶπεν, Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. Καὶ Ἰησοῦς δὲ ὁ Χριστὸς, ὅτι οὐκ ἔγνωσαν Ἰουδαῖοι τί πατὴρ, καὶ τί υἱὸς, ὁμοίως ἐλέγχων αὐτοὺς, καὶ αὐτὸς εἶπεν, 160

Nemo

Οὐδεὶς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱός· οὐδὲ τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, καὶ οἷς ἂν ἀποκαλύψῃ ὁ υἱός. Ὁ λόγος δὲ τοῦ Θεοῦ ἐστιν ὁ υἱὸς αὐτοῦ, ὡς προέφημεν· καὶ ἄγγελος δὲ καλεῖται, καὶ ἀπόστολος. αὐτὸς γὰρ ἀπαγγέλλει ὅσα δεῖ γνωσθῆναι, καὶ ἀποστέλλεται μηνύσων ὅσα ἀγγέλλεται, ὡς καὶ αὐτὸς ὁ Κύριος ἡμῶν εἶπεν, Ὁ ἐμοῦ ἀκούων, ἀκούει τοῦ ἀποστείλαντός με. Καὶ ἐκ τῶν τοῦ Μωσέως δὲ συγγραμμάτων φανερὸν τοῦτο γενήσεται. λέλεκται δὲ ἐν αὐτοῖς οὕτως· Καὶ ἐλάλησε Μωσεῖ ἄγγελος Θεοῦ ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου, καὶ εἶπεν· Ἐγώ εἰμι ὁ ὢν, Θεὸς Ἀβραὰμ, Θεὸς Ἰσαὰκ, Θεὸς Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων σου· κάτελθε εἰς Αἴγυπτον, καὶ ἐξάγαγε τὸν λαόν μου. Τὰ δ' ἑπόμενα ἐξ ἐκείνων βουλόμενοι μαθεῖν δύνασθε· οὐ γὰρ δυνατὸν ἐν τούτοις ἀναγράψαι πάντα, ἀλλ' εἰς ἀπόδειξιν γεγόνασιν οἵδε οἱ λόγοι, ὅτι υἱὸς Θεοῦ καὶ ἀπόστολος Ἰησοῦς ὁ Χριστός ἐστι, πρότερον λόγος ὢν, καὶ ἐν ἰδέᾳ
161 πυρὸς ποτὲ φανείς· ποτὲ δὲ καὶ ἐν εἰκόνι ἀσωμάτων· νῦν δὲ διὰ θελήματος Θεοῦ ὑπὲρ τοῦ ἀνθρωπείου γένους ἄνθρωπος γενόμενος, ὑπέμεινε καὶ παθεῖν ὅσα αὐτὸν ἐνήργησαν οἱ δαίμονες διατεθῆναι ὑπὸ τῶν ἀνοήτων Ἰουδαίων· οἵτινες ἔχοντες ῥητῶς εἰρημένον ἐν τοῖς Μωσέως συντάγμασι, Καὶ ἐλάλησεν ἄγγελος τοῦ Θεοῦ τῷ Μωσεῖ ἐν πυρὶ φλογὸς ἐν βάτῳ, καὶ εἶπεν, Ἐγώ εἰμι ὁ ὢν, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, τὸν τῶν ὅλων πατέρα καὶ δημιουργὸν τὸν ταῦτα εἰπόντα λέγουσιν εἶναι. ὅθεν καὶ τὸ προφητικὸν πνεῦμα, ἐλέγχον αὐτοὺς εἶπεν, Ἰσραὴλ δὲ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. Καὶ πάλιν ὁ Ἰησοῦς, ὡς ἐδηλώσαμεν, παρ' αὐτοῖς ὢν, εἶπεν, Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός· οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, καὶ οἷς ἂν ὁ υἱὸς ἀποκαλύψῃ. Ἰουδαῖοι οὖν ἡγησάμενοι ἀεὶ τὸν πατέρα τῶν ὅλων λελαληκέναι τῷ Μωσεῖ, τοῦ λαλήσαντος αὐτῷ ὄντος υἱοῦ τοῦ Θεοῦ, ὃς καὶ ἄγγελος καὶ ἀπόστολος κέκληται, δικαίως ἐλέγχονται καὶ διὰ τοῦ προφητικοῦ πνεύματος, καὶ δι' αὐτοῦ τοῦ Χριστοῦ, ὡς οὔτε τὸν πατέρα οὔτε τὸν υἱὸν ἔγνωσαν. οἱ γὰρ τὸν υἱὸν πατέρα φάσκοντες εἶναι, ἐλέγχονται μήτε τὸν πατέρα ἐπιστάμενοι, μήθ' ὅτι ἐστὶν υἱὸς τῷ πατρὶ τῶν ὅλων γινώσκοντες· ὃς καὶ λόγος πρωτότοκος ὢν τοῦ Θεοῦ, καὶ Θεὸς ὑπάρχει. καὶ πρότερον διὰ τῆς τοῦ πυρὸς μορφῆς καὶ εἰκόνος ἀσωμάτου τῷ Μωσεῖ καὶ τοῖς ἑτέροις προφήταις ἐφάνη· νῦν δ' ἐν χρόνοις τῆς ὑμετέρας ἀρχῆς, ὡς προείπομεν, διὰ παρθένου ἄνθρωπος γενόμενος κατὰ τὴν τοῦ πατρὸς βουλὴν, ὑπὲρ σωτηρίας τῶν πιστευόντων αὐτῷ, καὶ ἐξουθενηθῆναι καὶ παθεῖν ὑπέμεινεν, ἵνα ἀποθανὼν καὶ ἀναστὰς νικήσῃ τὸν θάνατον. τὸ δὲ εἰρημένον ἐκ βάτου τῷ Μωσεῖ, Ἐγώ εἰμι ὁ ὢν, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, καὶ ὁ Θεὸς τῶν πατέρων σου, σημαντικὸν τοῦ καὶ ἀποθανόντας ἐκείνους μένειν,

Nemo cognouit Patrem nisi Filius; neque Filium, nisi Pater, & quibus reuelauerit Filius. Verbum autem Dei est *Filius eius*, sicuti antea diximus. vocatur vero & *Angelus* & *Apostolus*. Ipse enim, quæcumque cognita oportet, annunciat: & mittitur vt, quæcumque nunciantur, indicet: quemadmodum & ipse Dominus noster ait: *Qui me audit, eum qui misit me audit.* Ex scriptis quoq; Mosæ id patebit, in quibus hoc sic est dictum: *Et loquutus est Mosæ Angelus Dei in flamma ignis e rubo, & dixit: Ego sum Exsistens ille, Deus Abraam, Deus Isaac, Deus Iacob, Deus Patrum tuorum: descende in Aegyptum, & educ populum meum.* Quæ vero deinceps sequantur, ex illis, si vultis, cognoscere potestis. Omnia enim hic perscribere impossibile est. Verba autẽ hæc fecimus, vt probaremus, Filiũ Dei & Apostolũ, esse IESVM ipsũ CHRISTVM; qui prius Verbũ exsistens, cum aliquando in forma ignis, aliquando autem in imagine etiam incorporeorum apparuisset, nunc porro de voluntate Dei, humani generis caussa, homo factus, perpeti etiam ea sustinuit, quibuscumque illũ dæmones instigatione sua procurarunt vt dementes Iudæi afficerent. Qui cum disertis verbis in Mosæ Commentariis expressum dictum haberent: *Et loquutus est angelus Dei cum Mose in igne flammæ e rubo, & dixit: Ego sum Exsistens ille, Deus Abraam, & Deus Isaac, & Deus Iacob:* Parentem & effectorem Vniuersitatis huius hęc dixisse affirmant. Idcirco & Spiritus propheticus reprehendens illos, dixit. *Israel autem me non cognouit, & populus me non intellexit.* Et rursus IESVS prout indicauimus, apud ipsos cum esset, *Nemo*, inquit, *nouit Patrem præterquam Filius; neque Filium præterquam Pater, & quibus Filius reuelauerit.* Itaque Iudæi existimantes, semper Parentem rerum cunctarum cum Mose esse loquutum, cum, qui cum eo est colloquutus, Filius Dei esset, qui & Angelus & Apostolus cognominatus est: recte & a prophetico Spiritu, & ab ipso CHRISTO coarguuntur, neq; Patrem neque Filium nosse. Qui enim Filium Patrem esse dicunt, comperiuntur neque Patrem scire, neque Filium esse Patri vniuersorum nosse: qui quod Verbum & Primogenitus Dei sit, Deus etiam est. Ac prius ille quidem per ignis formam, & imaginem incorpoream Mosæ ac cæteris prophetis apparuit. Nunc autem imperii vestri temporibus, prout antea memorauimus, ex virgine homo genitus, iuxta Patris consilium & voluntatem, propter salutem ei credentium, nullificari & passionem subire perseuerauit, vt moriens atque resurgens mortem vinceret.

Eo autem quod Mosæ e rubo est dictum: *Ego sum Exsistens ille Deus Abraa, & Deus Isaac, & Deus Iacob, & Deus patrum tuorum*: significatum est, mortuos quoque illos exstare,

& ipsius CHRISTI homines esse. Primi namque illi hominum omnium, Deo inquirendo operam nauarunt. Et Abraam quidem pater Isaaci, Isaac autem pater Iacobi fuit, sicut Moses perscripsit. Quod item dæmones, deæ eius quæ dicitur *Puella* simulacrum ad aquarum fontes excitari curarunt, filiam eam Iouis esse affirmãtes, imitatos eos fuisse Mosæ dictũ, ex his quæ protulimus intelligere potestis. Moses etenim, sicut antea scripsimus, inquit: *In principio fecit Deus cælum & terram: Terra autem erat non aspectabilis & incondita; & Spiritus Dei ferebatur super aquas.* Ad imitationem ergo eius qui dictus est super aquã vehentis Spiritus Dei, *Puellam* [Persephonen seu Proserpinam] Iouis natã dixerunt. Quin & *Mineruam* consimiliter, maligne fraude composita, *filiam Iouis* nominarũt, non ex cõcubitu genitam. Quia enim cognouerant Deum secum considerantẽ per Rationem ac Verbum condidisse mundũ, veluti primam intelligentiam siue notionem Mineruam appellarunt. Quod quidẽ ridiculum maxime ducimus; imaginẽ videlicet intelligentiæ formam muliebrem perperam referre. Porro reliquos quoq; vti dicuntur, Iouis filios facta ipsa redarguunt. Nos autem secundũ huiusmodi lauationem, credẽtem iam & nobis adiicitum, ad fratres, qui dicuntur, eo adducimus, vbi illi congregati sunt ad cõmunes preces & supplicationes, cum pro seipsis, tum pro illuminato, & aliis vbique gentiũ omnibus, animo intẽto peragendas: vt digni idoneique simus, qui veritate agnita, per opera etiam ipsa boni atque officiosi rerum administratores, & datorum nobis mandatorum custodes inueniamur, atq; vt salute saluemur sempiterna. A precibus finitis, mutuis nos inuicem osculis salutamus. Deinde ei qui fratribus præest, offertur panis & poculũ aquæ & vini, quibus ille acceptis, laudem & gloriam Rerũ vniuersarum Patri, per nomen Filii & Spiritus sancti offert, & Eucharistiã siue gratiarum actionem, pro eo quod nos donis hisce suis dignatus sit, prolixe exsequitur. Atque vbi ille preces & gratiarum actionem absoluit, populus qui adest omnis fausta approbatione acclamat, dicens, *Amen.* Amen autem voce Ebræa, *Fiat* significat. Pręsidens vero, postquam gratiarum actionem perfecit, & populus vniuersus apprecatione læta eam comprobauit, qui apud nos vocantur *diaconi* atque *ministri*, distribuunt vnicuique pręsentium, vt participet eum in quo gratiæ actæ sunt panẽ, vinum & aquam, & ad absentes perferũt. Porro alimẽtũ hoc apud nos appellatur *Eucharistia*: quod nulli alii participare licitũ est, quã verã esse doctrinã nostram credẽti, & lauacro propter remissionẽ peccatorũ & regenerationem abluto, & ita vt CHRISTVS tradidit viuenti. Nõ enim vt cõmunem panẽ, neq; cõmunem potũ ista sumimus; sed quemadmodũ per Verbũ Dei caro factus IESVS CHRISTVS seruator noster, & car-

καὶ εἶναι αὐτοῦ τοῦ Χριστοῦ ἀνθρώπους. καὶ γὰρ πρῶτοι τῶν πάντων ἀνθρώπων ἐκεῖνοι περὶ Θεοῦ ζήτησιν ἠσχολήθησαν, Ἀβραὰμ μὲν πατὴρ ὢν τοῦ Ἰσαὰκ, Ἰσαὰκ δὲ τοῦ Ἰακὼβ, ὡς καὶ Μωσῆς ἀνέγραψε. καὶ τὸ ἀνεγείρειν δὲ τὸ εἴδωλον τῆς λεγομένης Κόρης ἐπὶ ταῖς τῶν ὑδάτων πηγαῖς ἐνεργῆσαι τοὺς δαίμονας, λέγοντας θυγατέρα αὐτὴν εἶναι τοῦ Διὸς, μιμησαμένους τὸ διὰ Μωσέως εἰρημένον, ἐκ τῶν προειρημένων νοῆσαι δύνασθε. ἔφη γὰρ ὁ Μωσῆς, ὡς προεγράψαμεν, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τῶν ὑδάτων:- εἰς μίμησιν οὖν τοῦ λεχθέντος ἐπιφερομένου τῷ ὕδατι πνεύματος Θεοῦ, τὴν Κόρην θυγατέρα τοῦ Διὸς ἔφασαν. καὶ τὴν Ἀθηνᾶν δὲ ὁμοίως πονηρευόμενοι, θυγατέρα τοῦ Διὸς ἔφασαν, οὐκ ἀπὸ μίξεως, ἀλλ' ἐπειδὴ ἐννοηθέντα τὸν Θεὸν διὰ λόγου τὸν κόσμον ποιῆσαι ἔγνωσαν, ὡς τὴν πρώτην ἔννοιαν ἔφασαν τὴν Ἀθηνᾶν. ὅπερ γελοιότατον ἡγούμεθα εἶναι, τῆς ἐννοίας εἰκόνα παραφέρειν θηλειῶν μορφήν. καὶ ὁμοίως τοὺς ἄλλους λεγομένους υἱοὺς τοῦ Διὸς αἱ πράξεις ἐλέγχουσιν. Ἡμεῖς δὲ, μετὰ τὸ οὕτως λοῦσαι τὸν πεπεισμένον, καὶ συγκατατεθειμένον, ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν, ἔνθα συνηγμένοι εἰσὶ, κοινὰς εὐχὰς ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τοῦ φωτισθέντος, καὶ ἄλλων πανταχοῦ πάντων εὐτόνως, ὅπως καταξιωθῶμεν τὰ ἀληθῆ μαθόντες, καὶ δι' ἔργων ἀγαθοὶ πολιτευταὶ, καὶ φύλακες τῶν ἐντεταλμένων εὑρεθῆναι, ὅπως τὴν αἰώνιον σωτηρίαν σωθῶμεν. ἀλλήλους φιλήματι ἀσπαζόμεθα παυσάμενοι τῶν εὐχῶν. ἔπειτα προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος, καὶ ποτήριον ὕδατος καὶ κράματος. καὶ οὗτος λαβὼν, αἶνον καὶ δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ, καὶ τοῦ 162 πνεύματος τοῦ ἁγίου, ἀναπέμπει· καὶ εὐχαριστίαν ὑπὲρ τοῦ κατηξιῶσθαι τούτων παρ' αὐτοῦ ἐπὶ πολὺ ποιεῖται· οὗ συντελέσαντος τὰς εὐχὰς καὶ τὴν εὐχαριστίαν, πᾶς ὁ παρὼν λαὸς ἐπευφημεῖ λέγων, Ἀμήν:- τὸ δὲ Ἀμὴν, τῇ Ἑβραΐδι φωνῇ, τὸ Γένοιτο σημαίνει. εὐχαριστήσαντος δὲ τοῦ προεστῶτος, καὶ ἐπευφημήσαντος παντὸς τοῦ λαοῦ, οἱ καλούμενοι παρ' ἡμῖν διάκονοι, διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρτου καὶ οἴνου καὶ ὕδατος, καὶ τοῖς οὐ παροῦσιν ἀποφέρουσι· καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ' ἡμῖν εὐχαριστία· ἧς οὐδενὶ ἄλλῳ μετασχεῖν ἐξόν ἐστιν, ἢ τῷ πιστεύοντι ἀληθῆ εἶναι τὰ δεδιδαγμένα ὑφ' ἡμῶν, καὶ λουσαμένῳ τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ εἰς ἀναγέννησιν λουτρὸν, καὶ οὕτως βιοῦντι ὡς ὁ Χριστὸς παρέδωκεν. οὐ γὰρ ὡς κοινὸν ἄρτον, οὐδὲ κοινὸν πόμα ταῦτα λαμβάνομεν· ἀλλ' ὃν τρόπον διὰ λόγου Θεοῦ σαρκοποιηθεὶς Ἰησοῦς Χριστὸς ὁ σωτὴρ ἡμῶν,

καὶ σάρκα καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν, οὕτως καὶ τὴν δι᾽ εὐχῆς λόγου τοῦ παρ᾽ αὐτοῦ εὐχαριστηθεῖσαν τροφὴν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν, ἐκείνου τοῦ σαρκοποιηθέντος Ἰησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι. οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ᾽ αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως παρέδωκαν ἐντετάλθαι αὐτοῖς τὸν Ἰησοῦν, λαβόντα ἄρτον, εὐχαριστήσαντα εἰπεῖν·
» Τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν
» μου· τουτέστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον ὁμοίως
» λαβόντα καὶ εὐχαριστήσαντα εἰπεῖν, Τοῦτό ἐστι τὸ αἷμά μου· καὶ μόνοις αὐτοῖς μεταδοῦναι. ὅπερ καὶ ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες. ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυουμένου τελεταῖς μετ᾽ ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε, ἢ μαθεῖν δύνασθε. ἡμεῖς δὲ, μετὰ ταῦτα λοιπὸν ἀεὶ τούτων ἀλλήλους ἀναμιμνήσκομεν· καὶ οἱ ἔχοντες, τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν, καὶ σύνεσμεν ἀλλήλοις ἀεί. ἐπὶ πᾶσί τε οἷς προσφερόμεθα, εὐλογοῦμεν τὸν ποιητὴν τῶν πάντων διὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ πνεύματος τοῦ ἁγίου· καὶ τῇ τοῦ ἡλίου λεγομένῃ ἡμέρᾳ πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων ἐπὶ τὸ αὐτὸ συνέλευσις γίνεται, καὶ τὰ ἀπομνημονεύματα τῶν ἀποστόλων, ἢ τὰ συγγράμματα τῶν προφητῶν ἀναγινώσκεται μέχρις ἐγχωρεῖ. εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος, ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται· ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες, καὶ εὐχὰς πέμπομεν· καὶ, ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς, ἄρτος προσφέρεται καὶ οἶνος καὶ ὕδωρ· καὶ ὁ προεστὼς εὐχὰς ὁμοίως καὶ εὐχαριστίας ὅση δύναμις αὐτῷ ἀναπέμπει, καὶ ὁ λαὸς ἐπευφημεῖ λέγων τὸ ἀμήν. καὶ ἡ διάδοσις καὶ ἡ μετάληψις ἀπὸ τῶν εὐχαριστηθέντων ἑκάστῳ γίνεται, καὶ τοῖς οὐ παροῦσι διὰ τῶν διακόνων πέμπεται. οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι, κατὰ προαίρεσιν ἕκαστος τὴν ἑαυτοῦ, ὃ βούλεται δίδωσι· καὶ τὸ συλλεγόμενον παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον ἢ δι᾽ ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. τὴν δὲ τοῦ ἡλίου ἡμέραν, κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα· ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ Θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας, κόσμον ἐποίησε· καὶ Ἰησοῦς Χριστὸς ὁ ἡμέτερος σωτὴρ, τῇ αὐτῇ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη. τῇ γὰρ πρὸ τῆς κρονικῆς ἐσταύρωσαν αὐτόν· καὶ τῇ μετὰ τὴν κρονικὴν, ἥτις ἐστὶν ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς, ἐδίδαξε ταῦτα, ἅπερ εἰς ἐπίσκεψιν καὶ ὑμῖν ἀνεδώκαμεν. καὶ εἰ μὲν
163 δοκεῖ ὑμῖν λόγου καὶ ἀληθείας ἔχεσθαι, τιμήσατε αὐτά·

& carnem & sanguinem salutis nostræ causa habuit; ad eundem modum etiam eam in qua per preces Verbi eius ab ipso profecti gratiæ sunt actæ, alimoniam, vnde sanguis & caro nostra per mutationē aluntur, incarnati illius IESV carnem & sanguinem esse edocti sumus. Nam Apostoli in Commentariis a se scriptis, quæ *Euangelia* vocantur, ita tradiderunt præcepisse sibi IESVM. Eum enim pane accepto, cum gratias egisset, dixisse: *Hoc facite in mei recordationem: Hoc est corpus meum.* Et poculo similiter accepto, & gratiis actis dixisse: *Hic est sanguis meus.* ac solis ipsis ea tradidisse. Quod quidem etiam in mysteriis atque initiis Mithræ fieri docuerunt per imitationem praui dæmones. Quod namque panis & poculum aquæ, in sacrificiis siue re diuina eius qui initiatur, ponatur, verbis quibusdam additis, aut certe scitis, aut cognoscere potestis. Nos certe post hæc deinceps nobis inuicem ista in memoriam reuocamus. Et qui habent, indigentes omnes adiuuant; & assidue alii cum aliis sumus. Atque in omnibus quas offerimus, oblationibus, benedicendo laudamus factorem omnium, per Filium eius IESVM CHRISTVM, & Spiritum sanctum: & Solis, qui dicitur, die, omnium qui vel in oppidis vel ruri degunt, in eundem locum conuentus fit: & Commentaria Apostolorum aut scripta Prophetarum, quoad tempus fert, leguntur. Deinde lectore quiescente, præsidens orationem qua populum instruit, & ad imitationem tam pulchrarum rerum cohortatur, habet. Sub hæc consurgimus communiter omnes, & precationes profundimus: &, sicuti retulimus, precibus peractis panis offertur, & vinum, & aqua: & Præpositus itidem, quantum pro virili sua potest, preces & gratiarum actiones fundit; & populus fauste acclamat, dicens, *Amen.* Et distributio communicatioq; fit eorū, in quibus gratiæ sunt actæ, cuiq; præsenti: absentibus autem per Diaconos mittitur. Cæterum qui copiosiores sunt & volunt, pro arbitrio quisq; suo quod visum est cō tribuunt: & quod ita colligitur, apud Præpositum deponitur: atque ille inde opitulatur pupillis & viduis, & his qui propter morbum aut aliquam aliam causam egēt, quiq; in vinculis sunt, & peregre aduenientibus hospitibus: &, vt simpliciter dicam, indigentium is omniū curator est. Solis autem die cōmuniter omnes conuentum agimus: quādoquidē is primus dies est quo Deus tenebris & materia [quā prius creauerat] versa mundum effecit; & IESVS CHRISTVS Seruator noster eo ipso die a mortuis resurrexit. Pridie enim Saturni diei, ille in crucem actus est: & postridie eiusdem, qui scilicet Solis est dies, Apostolis & discipulis suis apparuit; atq; ea docuit quæ etiā apud vos, vt inspiceretis, retulimus. Ac siquidē vobis rationi & veritati cōsentanea esse videtur, in precio

ea habete: sin pro nugis habetis, tamquã deliramẽta cõtemnite: neq; ita contra eos qui nihil per iniuriam iniqui admiserunt, perinde atque aduersus hostes, suppliciũ capitis statuite. Illud enim vobis prædicimus, vos minime euasuros esse futurum iudicium Dei, si in hac iniquitate perdurauerit is. & nos acclamabimus, *Quod Deo gratũ placitumq; est, id ipsum obtineat & fiat.*

Ac nos quidem cum ex epistola maximi & illustrissimi Cæsaris Adriani parentis vestri, id quod petiimus, flagitare a vobis possemus, vt iudicia fieri iuberetis: nõ magis tamen postulata nostra ad rem ab Adriano iudicatam accõmodauimus, quã ad id quod iusta nos poscere sciamus, orationẽ atq; sermonẽ præsentẽ apud vos instituimus. Epistolæ aũt Adriani exemplũ subiunximus, vt in eo quoq; verum nos dicere intelligatis. Exemplum id ita habet.

ADRIANI PRO CHRISTIAnis rescriptum.

[Imperator Cæsar Ælius Adrianus] Minucio Fundano. Litteras a Serenio Graniano, viro clarissimo, cui tu in prouincia successisti, ad me datas accepi. Nõ videtur mihi hæc res, quin de ea disquiratur, prætermittenda esse, ne homines turbentur, neve calumniatoribus materia fraudulenter agendi præbeatur. Quod si prouinciales, persequutiones aduersus Christianos processu legitimo, vt & illi pro tribunali respondeant, obtinere possunt: hac vna insistant via, & non petitionibus atq; vociferationibus solis. In primis enim conuenit, si quis accusare velit, de eo te cognoscere. Itaque si quis eos detulerit, atq; probauerit contra leges quidquam commisisse, tu pro delicti qualitate ita sententiam aduersus eos feres; vt, mehercules, qui calumniæ causa crimen cuiquam intẽdisse compertus fuerit, pro maleficii grauitate in eum modis omnibus animaduertendum cures.

ANTONINI [PII IMPERATORIS] Epistola ad populos Asiæ.

Imperator Cæsar Titus Ælius Adrianus Antoninus Augustus Pius, Pontifex Maximus, Tribun. potest. xv. Conf. III. Pater patriæ, populis Asiæ salutem. Equidem putarim diis quoque ipsis curæ esse, ne huiusmodi homines lateãt. Multo enim magis illi, si quidẽ possint, vindicauerint in eos qui adorare ipsos nolũt; cõtra quos tumultũ ipsi cõcitatis, & sentẽtiã eorũ veluti impiorũ & nullorũ deorũ suggillatis, & alia quędã obiicitis crimina quę probare non potestis. Cõmodius sane illis fuerit, si ob id videãtur, de quo accusantur, mortẽ oppetere. Et vincunt illi vos, suas ipsorũ animas potius proiicientes, quam vt obsequentes quod postulatis faciant. De terræmotibus autem qui vel ante fuere, vel adhuc fiunt, non iniquum nobis visum est vos admonere, qui animos, cum fiunt, despondetis, res illorum cum vestris comparantibus: quoniam

longe

εἰ δὲ λῆρος ὑμῖν δοκεῖ, ὡς λήρων πραγμάτων καταφρονήσατε, καὶ μὴ ὡς κατ' ἐχθρῶν, κατὰ τῶν μηδὲν ἀδικούντων θάνατον ὁρίζετε. προλέγομεν γὰρ ὑμῖν ὅτι οὐκ ἐκφεύξεσθε τὴν ἐσομένην τοῦ Θεοῦ κρίσιν, ἐὰν ἐπιμένητε τῇ ἀδικίᾳ, καὶ ἡμεῖς ἐπιβοήσομεν· Ὃ φίλον τῷ Θεῷ, τοῦτο γινέσθω. καὶ ἐξ ἐπιστολῆς δὲ τοῦ μεγίστου καὶ ἐπιφανεστάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρὸς ὑμῶν, ἔχοντες ἀπαιτεῖν ὑμᾶς καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γίνεσθαι, οὐκ ἐκ τοῦ κεκρίσθαι τοῦτο ὑπὸ Ἀδριανοῦ μᾶλλον ἠξιώσαμεν, ἀλλ' ἐκ τοῦ ἐπίστασθαι δίκαια ἀξιοῦν, τὴν προσφώνησιν καὶ ἐξήγησιν πεποιήμεθα. Ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ κατὰ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε· καὶ ἔστι τὸ ἀντίγραφον τοῦτο.

ΑΔΡΙΑΝΟΥ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ ἐπιστολή.

Μινουκίῳ Φουνδανῷ. Ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερηνίου Γρανιανοῦ λαμπροτάτου ἀνδρὸς, ὅντινα σὺ διεδέξω. Οὐ δοκεῖ οὖν μοι τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. ἂν οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνωνται διισχυρίζεσθαι κατὰ τῶν Χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνεσθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν, οὐδὲ μόναις βοαῖς. πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τις κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. εἴ τις οὖν κατηγορεῖ, καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως διόριζε κατὰ τὴν δύναμιν τοῦ ἁμαρτήματος. ὡς μὰ τὸν Ἡρακλέα, εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνοι, διαλάμβανε ὑπὲρ τῆς δεινότητος, καὶ φρόντιζε ὅπως ἂν ἐκδικήσειας.

ΑΝΤΩΝΙΝΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ τὸ κοινὸν τῆς Ἀσίας.

Αὐτοκράτωρ Καῖσαρ Τίτος Αἴλιος Ἀδριανὸς Ἀντωνῖνος σεβαστὸς εὐσεβὴς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας [τὸ ιέ] ὕπατος τὸ δ', πατὴρ πατρίδος τὸ κά, τῷ κοινῷ τῆς Ἀσίας χαίρειν. Ἐγὼ ᾤμην ὅτι καὶ τοὺς Θεοὺς ἐπιμελὲς ἔσεσθαι μὴ λανθάνειν τοὺς τοιούτους. πολὺ γὰρ μᾶλλον ἐκείνους κολάσοιεν, εἴπερ δύναιντο, τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν· οἷς ταραχὴν ὑμεῖς ἐμβάλλετε, καὶ τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν ὡς ἀθέων κατηγορεῖτε, καὶ ἕτερά τινα ἐμβάλλετε, ἅτινα οὐ δυνάμεθα ἀποδεῖξαι. εἴη δ' ἂν ἐκείνοις χρήσιμον, τὸ δοκεῖν ἐπὶ τῷ κατηγορουμένῳ τεθνάναι· καὶ νικῶσιν ὑμᾶς προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράσσειν αὐτούς. περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων, καὶ τῶν γινομένων, οὐκ εἰκὸς ὑπομνῆσαι ὑμᾶς ἀθυμοῦντας, ὅτανπερ ὦσι, παραβάλλοντας τὰ ὑμέτερα πρὸς τὰ ἐκείνων, ὅτι

» ὡς παρρησιαστότεροι ὑμῶν γίνονται πρὸς τὸν Θεόν· » καὶ ὑμεῖς μὲν ἀγνοεῖν δοκεῖτε παρ' ἐκεῖνον τὸν χρό- » νον τοὺς θεούς, καὶ τῶν ἱερῶν ἀμελεῖτε. θρησκείας » δὲ τὴν περὶ τὸν Θεὸν οὐκ ἐπίστασθε. ὅθεν καὶ τοὺς θρη- » σκεύοντας ἐζηλώκατε, καὶ διώκετε ἕως θανάτου.
» ὑπὲρ τῶν τοιούτων καὶ ἄλλοι τινὲς τῶν περὶ τὰς ἐπαρ- » χίας ἡγεμόνων, τῷ θειοτάτῳ μου πατρὶ ἔγραψαν· οἷς » καὶ ἀντέγραψε μηδὲν ὀχλεῖν τοῖς τοιούτοις, εἰ μὴ φαί- » νοιντό τι ἐπὶ τὴν ἡγεμονίαν Ῥωμαίων ἐγχειροῦντες·
164 καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν· οἷς δὴ » καὶ ἀντέγραψα, τῇ τοῦ πατρός μου κατακολουθῶν » γνώμῃ. εἰ δέ τις ἔχει πρός τινα τῶν τοιούτων πρᾶ- » γμα καταφέρειν ὡς τοιούτου, ἐκεῖνος ὁ καταφερό- » μενος ἀπολελύσθω τοῦ ἐγκλήματος, κἂν φαίνη- » ται τοιοῦτος ὤν· ἐκεῖνος δὲ ὁ καταφέρων, ἔνοχος ἔσται » τῇ δίκῃ.

ΜΑΡΚΟΥ ΒΑΣΙΛΕΩΣ ΕΠΙΣΤΟΛΗ

πρὸς τὴν σύγκλητον, ἐν ᾗ μαρτυρεῖ Χριστιανοὺς αἰτίους γεγονέναι τῆς νίκης αὐτῶν.

» Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντω- » νῖνος Γερμανικὸς Παρθικὸς Σαρματικός, δήμῳ Ῥω- » μαίων καὶ τῇ ἱερᾷ συγκλήτῳ χαίρειν. Φανερὰ ὑ- » μῖν ἐποίησα τὰ τοῦ ἐμοῦ σκοποῦ μεγέθη, ὁποῖα ἐν τῇ » Γερμανίᾳ ἐκ περιστάσεως διὰ περιβολῆς ἐπακολου- » θήματα ἐποίησα ἐν τῇ μεθορίᾳ καμὼν καὶ παθών, » ἐν Κοτίνῳ καταλαμβανομένου μου ὑπὸ δρακόν- » των ἑβδομήκοντα τεσσάρων ἀπὸ μιλίων ἐννέα. γε- » νομένων δὲ αὐτῶν ἐγγὺς ἡμῶν, ἐξπλωράτωρες ἐμή- » νυσαν ἡμῖν, καὶ Πομπηϊανὸς ὁ ἡμέτερος πολέμαρχος » ἐδήλωσεν ἡμῖν ἅτινα εἴδομεν· (καταλαμβανόμενος » δὲ ἤμην ἐν μεγέθει πλήθους ἀμίκτου, καὶ στρατευ- » μάτων λεγεῶνος πρίμας δεκάτης, Γεμινα Φρεντη- » σία μίγμα κατηριθμημένον) πλήθη παρεῖναι » παμμίκτου ὄχλου χιλιάδων ἐννακοσίων ἑβδομή- » κοντα ἑπτά. ἐξετάσας οὖν ἐμαυτὸν καὶ τὸ πλῆθος » τὸ ἐμὸν πρὸς τὸ μέγεθος τῶν βαρβάρων καὶ πο- » λεμίων, κατέδραμον εἰς τὸ θεοῖς εὔχεσθαι πατρῴοις. » ἀμελούμενος δὲ ὑπ' αὐτῶν, καὶ τὴν στενοχω- » ρίαν μου θεωρήσας τῆς δυνάμεως, παρεκάλεσα » τοὺς παρ' ἡμῖν λεγομένους Χριστιανούς· καὶ ἐπε- » ρωτήσας, εὗρον πλῆθος καὶ μέγεθος αὐτῶν, καὶ » ἐμβριμησάμενος εἰς αὐτούς· ὅπερ οὐκ ἔπρεπε, » διὰ τὸ ὕστερον ἐπεγνωκέναι με τὴν δύναμιν αὐτῶν· » ὅθεν ἀρξάμενοι, οὐ βελῶν παράρτησιν, οὔτε ὅπλων, » οὔτε σαλπίγγων, διὰ τὸ ἐχθρὸν εἶναι τὸ τοιοῦτο αὐτοῖς, » διὰ τὸν Θεὸν ὃν φοροῦσι κατὰ συνείδησιν. εἰκὸς οὖν ἐστιν, » οὓς ὑπολαμβάνομεν ἀθέους εἶναι, Θεὸν ἔχουσιν αὐ- » τόματον ἐν τῇ συνειδήσει τετειχισμένον. ῥίψαντες » γὰρ ἑαυτοὺς ἐπὶ τὴν γῆν, οὐχ ὑπὲρ ἐμοῦ μόνον » ἐδεήθησαν, ἀλλὰ καὶ ὑπὲρ τοῦ παρόντος στρατεύμα- » τος, παρήγοροι γενέσθαι δίψης καὶ λιμοῦ τῆς παρούσης.

longe illi sunt, quam vos, erga Deum liberiores atque fidentiores. Ac vos quidem ignorare videmini per id tempus deos, & sacrorum obliuiscimini, & cultum Dei non tenetis. Quocirca & illũ colentibus æmulatione inuidetis, & ad mortem vsq; eos persequimini. De reb. eiuscemodi & alii quidã prouinciarũ rectores diuinissimo patri meo scripserunt. Quibus ille rescripsit, nihil molestiæ facessendum esse talibus viris, nisi quid aduersus Imperium Romanum moliti esse deprehenderẽtur. Quin & ad me multi de eis litteras dederunt. quibus de patris mei, quem imitandum mihi esse duxi, sentẽtia respondi: Si quis actionem aduersus quẽpiam eiusmodi habẽs, deferat illum dumtaxat vt huiuscemodi hominem; delatus quidem a crimine absoluatur, etiam si talis esse appareat: ipse autem delator iudicio pœnas pendat.

MARCI IMPERATORIS EPISTOLA

ad Senatum Romanum: qua testatur, Christianos victoriæ Romanorum contra barbaros causam fuisse.

Imperator Cæsar M. Aurelius Antoninus [Philosophus] Germanicus, Parthicus, Sarmaticus, populo Romano & sacro Senatui salutem. De magnitudine consilii institutique mei vos certiores feci. Supra modum consequutæ sunt in Germania ærumnæ graues, ad cõfinium periclitantibus laborãtibusq;, & a septuagintaquatuor draconibus nono miliario oppressis nobis in Cotino. Qui cum nõ lõge abessent, exploratores id nobis indicarũt: & itidem Pompeianus copiarum nostrarum militarium præfectus ea significauit, quæ prius nobis cognita erant. Oppressus autem eram ab ingenti multitudine, cum mecum essent copiæ delectæ legionis primæ, decimæ geminæ, ferentariorũ mistæ. Cũ ergo renunciatum esset, exercitum ex omni turba conferta nongentorum septuaginta millium adesse: ipse quoq; vires meas inquirens, & copiarũ numerũ iniẽs, & cum multitudine barbarorũ atq; hostiũ cõferens, ad rẽ diuinã diis patriis per preces faciendã decurri. Et vires meas in angustum redigi cernens, euocaui qui apud nos dicuntur Christianos: ac per inquisitionem magnum eorum inueni numerũ: acriusq; in eos infremui. Quod quidẽ minime factũ oportuit, propter eam quã in illis postea cõperi esse virtutem: vnde illi pugnam nõ autem a telorum armorumq; expeditione, neque a tubarum classico, exordiuntur: quod ingratum atq; inimicũ hoc eis sit, propter Deum, quem in conscientia gerunt. Quapropter æquum est, quos ἀθέους & a Diis alienos esse suspicati sumus, vt eos norimus Deũ in cõscientia, suapte sponte illapsum, atq; ibi inclusum [seu potius incolentẽ.] habere. Nã proiiciẽtes se in terrã, nõ pro me tãtũ sed & pro exercitu qui tũ ibi aderat vniuerso, precati sunt; ita vt solatio nobis essent in præsenti fame & siti.

in quintum enim iam diem aquam, quod ea defeciſſet, nõ ceperamus. nam in meditullio Germaniæ, & in finibus hoſtiũ eramus. Simulatque vero illi in terram ſunt prouoluti, & Deũ precatione inuocarunt, quem ego ignorabam, confeſtim aqua de cælo eſt conſequuta: ad nos illa quidem frigidiſsima, in Romanorum vero imminentes hoſtes grando ignea. Sed & cum oratione ipſa illico præſentia Dei affuit, tamquam inſuperabilis & inuicti. Inde igitur incipientes, permittemus hiſce, Chriſtianis eſſe: vt ne id genus armorum aduerſus nos [precibus] illi vtentes, voti compotes fiant. Quocirca conſulens ſtatuo, ne hominem huiuſmodi, quod videlicet Chriſtianus ſit, accuſare liceat. Si quis autem inueniatur Chriſtianum, propterea quod Chriſtianus ſit, deferre; delatum ipſum Chriſtianum, qui hoc ſit profeſſus, nulloque alio crimine accuſatum quam quod Chriſtianus ſit, manifeſto ſe pro eo gerere; delatorem vero ipſum viuum comburi volo. At Chriſtianum confeſſum, ac proinde eo nomine tutum atq; ſecurum, is cui prouinciæ præfectura credita eſt, ad pœnitentiam eiuſmodi profeſſionis & ſtatum illiberalẽ non traducet. Hæc vero etiam Senatuſconſulto confirmari volo: & conſtitutionem hanc meam in foro Traiani proponi iubeo, vt legi poſſit. Illam quoque in prouincias quaſque mittẽdum curabit Veraſius Pollio præfectus. Quicũque autẽ hac vti, & habere exemplar eius voluerit, ne recipere id ex eo quod a nobis propoſitũ eſt, prohibeatur.

πεμπταῖοι γὰρ ὕδωρ οὐκ εἰλήφειμεν διὰ τὸ μὴ παρεῖναι. ἦμεν γὰρ ἐν τῷ μεσομφάλῳ τῆς Γερμανίας, καὶ τοῖς ὅροις αὐτῶν. ἅμα δὲ τῷ τούτους ῥῖψαι ἐπὶ τὴν γῆν ἑαυτοὺς, καὶ εὔχεσθαι Θεῷ, ᾧ ἐγὼ ἠγνόουν, εὐθέως ὕδωρ ἠκολούθει οὐρανόθεν, ἐπὶ μὲν ἡμᾶς ψυχρότατον, ἐπὶ δὲ τοὺς Ῥωμαίων ἐπιβούλους, χάλαζα πυρώδης· ἀλλὰ καὶ εὐθὺ Θεοῦ παρουσίαν ἐν εὐχῇ γινομένην παραυτίκα, ὡς ἀνυπερβλήτου καὶ ἀκαταλύτου. αὐτόθεν οὖν ἀρξάμενοι, συγχωρήσωμεν τοῖς τοιούτοις εἶναι Χριστιανοῖς, ἵνα μὴ καθ' ἡμῶν τι τοιοῦτον αἰτησάμενοι ὅπλον, ἐπιτύχωσι. τὸν δὲ τοιοῦτον συμβουλεύω, διὰ τὸ τοιοῦτον εἶναι Χριστιανὸν, μὴ ἐγκαλεῖσθαι. εἰ δὲ εὑρεθείη τις ἐγκαλῶν τῷ Χριστιανῷ ὅτι Χριστιανός ἐστι, τὸν μὲν προσαγόμενον Χριστιανὸν πρόδηλον εἶναι βούλομαι γίνεσθαι ὁμολογήσαντα τοῦτο, ἄλλο ἕτερον μηδὲν ἐγκαλούμενον, ἢ ὅτι Χριστιανός ἐστι μόνον· τὸν προσάγοντα δὲ τοῦτον, ζῶντα καίεσθαι. τὸν δὲ Χριστιανὸν ὁμολογήσαντά τε, καὶ συνασφαλισάμενον περὶ τοῦ τοιούτου, τὸν πεπιστευμένον τὴν ἐπαρχίαν εἰς μετάνοιαν καὶ ἀνελευθερίαν τὸν τοιοῦτον μὴ μετάγειν. ταῦτα δὲ καὶ τῆς συγκλήτου δόγματι κυρωθῆναι βούλομαι, καὶ κελεύω τοῦτό μου τὸ διάταγμα ἐν τῷ φόρῳ τοῦ Τραϊανοῦ προτεθῆναι, πρὸς τὸ δύνασθαι ἀναγινώσκεσθαι. Φροντίσει ὁ πραίφεκτος Βηράσιος Πολλίων εἰς τὰς πέριξ ἐπαρχίας 165 πεμφθῆναι· πάντα δὲ τὸν βουλόμενον χρῆσθαι καὶ ἔχειν, μὴ κωλύεσθαι λαμβάνειν ἐκ τῶν προτεθέντων παρ' ἡμῶν.

EIVSDEM IVSTINI DE MONARCHIA DEI, LIBER.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ περὶ [Θεοῦ] μοναρχίας.

CVm principio natura humana coniunctionẽ ſapientiæ & ſalutis [ſiue Religionis] ad cognitionem veritatis atque vnius eiuſdemque omnium Domini cultum accepiſſet, inuidia obiter ſubingreſſa, ad ſimulacra fingenda excellentem hominũ amplitudinẽ auertit: & longinquo tempore prolixa durans cõſuetudo, errorem permultis, tamquam vernaculum quiddã & verum, [per manus] tradidit. Perhumani porro ſeu potius diuini opus eſt hominis, eos quidiſcere ſuperſederunt, quæ cognita oportuit, docere. Sufficiebat ſane quidẽ per ſeipſam veritas, ad oſtẽdendũ ex reb. ſub polo apte munus ſuum continuãtibus, Opificis, qui eas cõdidit, ordinem: verum hominũ ſententiæ, per longanimitatem Dei, victrix obliuio, praue & ſegniter agens, quod ſoli vero Deo congruit nomen, in mortales tranſtulit. Ac multi per paucos prauitatis pabulũ habuere, notione, quã de eo quod certum & incõmutabile eſt obtinebãt, per turbulẽtã cõſuetudinẽ oblitterata. Nã qui primitus in præſtantium

Τῆς ἀνθρωπίνης φύσεως τὸ κατ' ἀρχὴν συζυγίαν συνέσεως καὶ σωτηρίας λαβούσης, εἰς ἐπίγνωσιν ἀληθείας, θρησκείας τε τῆς εἰς τὸν ἕνα τὸν πάντων δεσπότην, παρεισδῦσα εἰς εἰδωλολατρείας ἐξέτρεψε βασκανία τὸ ὑπερβάλλον τῆς τῶν ἀνθρώπων μεγαλειότητος· καὶ πολλῷ χρόνῳ μεῖναν τὸ περιλατὸν ἔθος, ὡς οἰκείαν καὶ ἀληθῆ τὴν πλάνην τοῖς πολλοῖς παραδέδωσι. Φιλανθρώπου δὲ ἢ μᾶλλον φιλοθέου ἔργον ἐστὶν, ὑπομνῆσαι τοὺς ἀπερίφρονας εἰδέναι παραλελοιπότας. ἣν μὲν γὰρ καθ' αὑτὴν ἀρκετὴ ἡ ἀλήθεια δεικνύναι ἐκ τῶν συνεχόντων ὑπὸ τὸν πόλον τὴν τοῦ δημιουργήσαντος ταῦτα τάξιν· λήθη δὲ διὰ τὸ μακρόθυμον τοῦ Θεοῦ περικρατήσασα τῆς τῶν ἀνθρώπων γνώμης, ῥᾳδιούργησε, τὸ μόνῳ τῷ ὄντως Θεῷ πρέπον ὄνομα, ἐπὶ θνητοὺς μεταφέρουσα· καὶ δι' ὀλίγων, νομὴν πονηρίας ἔχον οἱ πολλοὶ, ἀμαυρούμενοι τῇ εἰς τὸ βέβαιον καὶ ἄτρεπτον γνώσει, ὀχλικῇ συνηθείᾳ. οἱ μὲν γὰρ τὸ κατ' ἀρχὴν εἰς τιμὴν τῶν

ὑπερεχόντων, τελετὰς καὶ λειτουργίας πλειώστης, ἀμνηστίαν τοῖς μετ' αὐτοὺς τῆς καθολικῆς δόξης ἐνέβαλον. ἐγὼ δὲ, ὡς μικρῷ πρόσθεν ὑπέσχην, φιλοθέῳ τῇ γνώμῃ κεχρημένος, φιλανθρώπῳ χρήσομαι τῇ φωνῇ, καὶ παραγγέλλω τοῖς γε νοῦν ἔχουσι δέον ὑπάρχειν πᾶσι τοῖς κεχρημένοις τῇ τῶν ὅλων διοικήσει, ἀπερίτρεπτον ἔχειν τὴν εἰς τὸν πάντων γνώστην θρησκείαν. τοῦτο δὲ οὐ λόγῳ καλλωπίζων φράσω, ἀποδείξει δὲ τῇ ἐκ τῶν κατὰ τὸ παλαιὸν εἰς τὸ παντελὲς τῆς Ἑλληνικῆς ἱστορίας ποιήσει κεχρημένος, ἐκ τῶν πᾶσι κοινῇ διδομένων γραμμάτων. ἐξ ὧν γὰρ οἱ πάνυ τὰς τῶν εἰδώλων θρησκείας νόμον τοῖς πολλοῖς παρέδοσαν, μαθόντες ἐξ αὐτῶν ἀγνοῶντες νοῦ ἐλεγχθήσονται ὑπὸ τῶν παρ' αὐτοῖς ποιητῶν καὶ μελογράφων. πρῶτος μὲν γὰρ Αἰσχύλος τὴν τῶν καθ' αὐτὸν λόγων σύνταξιν ἐκθεὶς, καὶ τὴν περὶ Θεοῦ τοῦ μόνου ἐξενήνοχε φωνὴν ὡς λέγει·

» Χώριζε θνητῶν [τὸν] Θεὸν, καὶ μὴ δόκει
» Ὅμοιον αὐτῷ σάρκινον καθεστάναι.
166 Οὐκ οἶσθα δ' αὐτόν· ποτὲ μὲν ὡς πῦρ φαίνεται,
» Ἄπλατος ὁρμὴ, ποτὲ δ' ὕδωρ, ποτὲ γνόφος·
» Καὶ θηρσὶν αὐτὸς γίνεται παρεμφερὴς,
» Ἀνέμῳ, νεφέλῃ τε κἀστραπῇ, βροντῇ, βροχῇ·
» Ὑπηρετεῖ δ' αὐτῷ θάλασσα, καὶ πέτραι,
» Καὶ πᾶσα πηγὴ, καὶ ὕδατος συστήματα·
» Τρέμει δ' ὄρη, καὶ γαῖα, καὶ πελώριος
» Βυθὸς θαλάσσης, κὠρέων ὕψος μέγα,
» Ὅταν ἐπιβλέψῃ γοργὸν ὄμμα δεσπότου·
» Πάντα δύναται γάρ· δόξα δ' ὑψίστου Θεοῦ.

Οὐ μόνον δὲ οὗτος τὴν περὶ Θεοῦ ἐμυήθη γνῶσιν, ἀλλὰ καὶ Σοφοκλῆς τὴν τοῦ μόνου ποιητοῦ τῶν ὅλων καὶ ἑνὸς Θεοῦ ἱστορεῖ τάξιν οὕτως·

» Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν Θεὸς,
» Ὃς οὐρανόν τ' ἔτευξε, καὶ γαῖαν μακρὰν,
» Πόντου τε χαροπὸν οἶδμα, κἀνέμων βίας.
» Θνητοὶ δὲ πολλοὶ καρδίαν πλανώμενοι,
» Ἱδρυσάμεσθα πημάτων παραψυχὰς
» Θεῶν ἀγάλματ' ἐκ λίθων, ἢ χαλκέων,
» Ἢ χρυσοτεύκτων, ἢ ἐλεφαντίνων τύπους·
» Θυσίας τε τούτοις καὶ καλὰς πανηγύρεις
» Τεύχοντες οὕτως εὐσεβεῖν νομίζομεν.

ἀλλὰ καὶ Φιλήμων τὰ ἀρχαῖα διαπορήσας φράσαι, κοινωνεῖ τῇ περὶ τῶν ὄντων γνώσει, ὡς γράφει·

» Θεὸν δὲ ποῖον, εἰπέ μοι, νομιστέον;
» Τὸν πάνθ' ὁρῶντα, καὐτὸν οὐχ ὁρώμενον.

μαρτυρήσει δέ μοι καὶ Ὀρφεὺς, ὁ παρεισάγων τοὺς τριακοσίους ἑξήκοντα θεοὺς ἐν τῷ Διαθῆκαι ἐπιγραφομένῳ βιβλίῳ, ὁπότε μετανοῶν ἐπὶ τούτῳ φαίνεται ἐξ ὧν γράφει· (λοι

» [Φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βέβη-
» λοι πάντες ὁμῶς· σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε μήνης]
» Μουσαῖ'· ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν
» Ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ·
» Εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
» Ἰθύνων κραδίης νοερὸν κύτος, εὖ τ' ἐπίβαινε

tium virorum honorem sacra & rem diuinam faciebant, obliuionem vniuersalis communisque omnium opinionis ad posteros suos transmisere. Ego vero, sicuti paulo ante promisi, diuina vsurpata sententia, humana etiam vtar voce: atque eis qui mentem obtinent, verum vniuersarum administratione [& prouidentia] vtentibus, adstruo & asseuero, hoc in se debere omnibus, vt firmam immutabilemque erga Omnium cognitorem teneant religionem. Hoc ipsum vero nō ornata exponam oratione, sed demonstratione ex poetica, in quam antiquitus Græci omnem contulere scientiam, petita vtar: ex publicis nimirum atque omnibus in commune propositis litteris. Vnde enim maximi quique viri, idolorum cultu percepto, multis legē tradiderunt: inde a poetis suis carminumque scriptoribus, sententiæ eorum ignari & mentis fuisse coarguentur. Ac primus *Æschylus* in scriptis suis, opinione temporibus suis obtinente exposita, de Deo quoque singulari vocem protulit, inquiens:

Discerne mortales Deo. hunc ne existimes
Ipsi tibi similem esse, & esse carneum.
Non nosti eum, ignis quod quasi nunc cernitur,
Vis increata, nunc tenebra, nunc aqua:
Ventus & ille est, fulmina, tonitrua
Ac nubibus, pluuiis, & ipsis par feris.
Huic seruiunt dura petra, & salsum mare,
Et fons perennis omnis, amnes & vagi.
Hunc celsitudo montium, & iuga collium,
Oceanus ingens, & grauis tellus tremit,
Domini intuentur cum seuera lumina.
Summa est potestas omnis & gloria Dei.

Non hic vero tantum notione Dei est initiatus, sed & ipse *Sophocles*, solius Conditoris vniuersorum atque singularis Dei ordinem ita describit:

Vnum profecto Numen, vnus est Deus.
Qui condidit calum, & solum terra patens,
Marisque fluctus, vimque ventorum grauem.
Plerique nostrum mente sed capti, Deum
Simulacra nobis, ceu mali solatium,
Cum saxea atque aerea consecrauimus,
Tum & aureas eburneasque imagines.
Hos victimis placamus, his festos dies
Agimus: pios hoc esse nos rati modo.

Quin & *Philemon* in rebus priscis exponendis copiosus, a veri cognitione alienus non est, pro eo atque scribit:

Qualis Deus, mihi dicito, censendus est?
Qui cuncta cernit, ipse sed non cernitur.

Testimonium mihi quoque dicet *Orpheus*, qui trecentos sexaginta deos subintroduxit, in libello quem *Testamentorum* titulo inscripsit. vbi eum pœnitentia ductum resipiscere apparet, ex eo quod scribit:

[Solis canto piis, procul o procul este profani]
Tu Musae audi, Luna sate stirpe silentis.
Perniciosa prius vitaque aduersa futura
Ex me cognosti: sed nunc te vera docebo.
Inspectans Verbum diuinum, huic totus inhaeres
Pectoris hoc mentem sacri, gressusque guberna.

Incedens recta, Regemq; hunc orbis adora.
Vnicus est per se exsistens, qui cuncta creauit.
Inq; his ipse exstat; nulli e mortalibus vnquam
Lumine conspectus, mortales conspicit omnes.
Hic bonus, exundansq; bonis, generi mala nostro,
Et bellum lacrymosum, & luctum immittit acerbũ.
Non alius constat Regnator magnus ab illo.
Hunc ego non video: nubes quia densa resistit.
Namq; hominis cuiuis acies obtusa videndi,
Atq; Deum mundi rectorem cernere non est.
Æratis sedes cæli tenet ille beatas,
Aureo suffultus solio, vestigia terræ
Ponit, & Oceanum dextra complectitur omnem.
Excelsi hunc mõtes, & flumina magna tremiscũt,
Canaq; cæruleis veneratur Tethys in vndis.

Atque hæc ille ita profert, perindeatque spectator ipse magnitudinis Dei fuisset. Consentit autem ei & *Pythagoras*, quibus ita scripsit verbis:

Extra vnum, si fors iactet sua numina quisquam,
Debet & is merito talem sibi condere mundum.
Hic meus est, recte tum dicat: & incolat orbem
Ipse suum, testans quo sit factore creatus,
Et qua de causa. --

Enimuero solum eum, & de perpetratis in vita factis, & de diuini numinis ignoratione iudicium facere posse, domesticos producere testes habeo. ac primum *Sophoclem*, de hac etiam re dicentem:

Venient enim illa seculorum tempora,
Cum soluet imbres ignis æther aureus.
Cremabit ergo flamma vi grassans sua,
Et hic & illic summa & infima omnia.
Sic vniuersitate cuncta perdita,
Vndis carebit omnis alueus suis.
Sedes requiret terra, nec posthac aues
Gestabit aer igne vastatus leues.
Binas auarus semitas Orcus habet:
Vnam bonis, sed alteram partem malis.
Est omnibus quoq; terminus rebus suus:
Sed cuncta quæ periere, restituet Deus.

Sed & *Philemonem* rursum:

An mortuos existimas Nicostrate,
Qui luxu in omni omnes peregerunt dies,
Terra sepultos, iam inde & omni tempore
Tamquam latentes, posse Numen fallere?
Habet oculum Vindicta, cernentem omnia.
Nam si loco pius sit vno, & impius,
I, falle, misce, fœnera, fraude, rape.
Errare noli: Ius habent manes suum,
Quod vniuersi conditor peraget Deus;
Cuius tremendum nemo nomen dixerit.

Et *Euripidem*:

Ad quæstionem homini datur longæuitas:
Namq; mâles quicumq; quid faciens mali,
Ceu nescium celare confidit Deum,
Malus videtur, & malus deprenditur,

Ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.
Εἷς ἔστ' αὐτογενής, ἑνὸς ἔκγονα πάντα τέτυκται·
Ἐν δ' αὐτοῖς αὐτὸς περιγίγνεται, οὐδέ τις αὐτὸν
Εἰσοράᾳ θνητῶν, αὐτὸς δέ γε πάντας ὁρᾶται.
Οὗτος [δ'] ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι,
Καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
Οὐδέ τις ἔσθ' ἕτερος, χωρὶς μεγάλοιο ἄνακτος·
Αὐτὸν δ' οὐχ ὁρόω· περὶ γὰρ νέφος ἐστήρικται·
Πᾶσι γὰρ θνητοῖς θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις,
Ἀσθενέες δ' ἰδέειν Δία τὸν πάντων μεδέοντα.
Οὗτος γὰρ χάλκειον ἐπ' οὐρανὸν ἐστήρικται, 167
Χρυσέῳ εἰνὶ θρόνῳ, γαίης δ' ἐπὶ ποσσὶ βέβηκε,
Χεῖρά τε δεξιτερὴν ἐπὶ τέρματος ὠκεανοῖο
Πάντοθεν ἐκτέτακεν. περὶ γὰρ τρέμει οὔρεα μακρά,
Καὶ ποταμοὶ, πολιῆς τε βάθος χαροποῖο θαλάσσης:-

καὶ ταῦτα οὕτως φράζει, ὡς αὐτόπτης γεγονὼς τοῦ μεγέθους Θεοῦ. κοινωνεῖ δ' αὐτῷ καὶ Πυθαγόρας ἐν οἷς γράφει·

Εἴ τις ἐρεῖ, Θεός εἰμι, πάρεξ ἑνὸς, οὗτος ὀφείλει
Κόσμον ἴσον τούτῳ στήσας εἰπεῖν, Ἐμὸς οὗτος·
Κοὐχὶ μόνον στήσας εἰπεῖν Ἐμὸς, ἀλλὰ κατοικεῖν
Αὐτὸς ἐν ᾧ πεποίηκε· πεποίηται δ' ὑπὸ τούτου.

Καὶ περὶ τοῦδε, Ὅτι μόνος δυνατός ἐστι, καὶ τῶν ἐν τῷ βίῳ συντελεσμένων πράξεων, καὶ τῆς περὶ τὸ θεῖον ἀγνωσίας κρίσιν ἐνστήσασθαι, οἰκείους μάρτυρας παραστῆσαι ἔχω· καὶ πρῶτόν γε Σοφοκλέα, καὶ περὶ τούτου λέγοντα·

Ἔσται γὰρ ἔσται κεῖνος αἰώνων χρόνος,
Ὅταν πυρὸς γέμοντα θησαυρὸν σχάσῃ
Χρυσωπὸς αἰθήρ· ἡ δὲ βοσκηθεῖσα φλὸξ,
Ἅπαντα τἀπίγεια καὶ μετάρσια
Φλέξει μανεῖσ'. ὅταν δ' ἐκλίπῃ τὸ πᾶν,
Φροῦδος μὲν ἔσται κυμάτων ἅπας βυθὸς,
Γῆ δ' ἑδράνων ἔρημος, οὐδ' ἀὴρ ἔτι
Πτερωτὰ φῦλα βαστάσει πυρουμένη.
Καὶ γὰρ καθ' ᾅδην δύο τρίβους νομίζομεν,
Μίαν δικαίων, χἀτέραν ἀδίκων ὁδόν·
Κἄπειτα σώσει πάνθ' ἃ πρόσθ' ἀπώλεσεν.-

ἀλλὰ καὶ Φιλήμων πάλιν·

Οἴει σὺ τοὺς θανόντας, ὦ Νικόστρατε,
Τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ,
Καὶ γῆ καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον
Πεφευγέναι τὸ θεῖον ὡς λεληθότας;
Ἔστιν Δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ.
Εἰ γὰρ ὁ δίκαιος καὶ ἀσεβὴς ἕξουσιν ἓν,
Ἅρπαζ' ἀπελθὼν, κλέπτ', ἀποστέρει, κύκα·
Μηδὲν πλανηθῇς, ἔστι κἀν ᾅδου κρίσις,
Ἥνπερ ποιήσει Θεὸς ὁ πάντων δεσπότης,
Οὗ τοὔνομα φοβερὸν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ:-

Καὶ Εὐριπίδης,

Ἄφθονον βίου μῆκος δίδωσι πρὸς κρίσιν·
Ὅστις δὲ θνητῶν οἴεται τοὐφ' ἡμέραν,
Κακόν τι πράσσων τὸν Θεὸν λεληθέναι,
Δοκεῖ πονηρὸς, καὶ δοκῶν ἁλίσκεται

Vir-

Ὅπου σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.
168 Ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι Θεὸν,
Δὶς ἐξαμαρτάνοντες οὐκ εὐγνωμόνως.
Ἔστιν γὰρ, ἔστιν· εἰ δέ τις πράσσει κακῶς,
Κακὸς πεφυκὼς, τὸν χρόνον κερδαινέτω·
Χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην:-

καὶ ὅτι οὐ σπονδῇ καὶ θυμιάματι κακούργων προσφέρεται ὁ Θεὸς, ἀλλ' εὐθύτητι τὰς τιμωρίας προσνέμει ἑκάστῳ, μαρτυρήσει μοι Φιλήμων πάλιν·

Εἴ τις [δὲ] θυσίαν προσφέρων ὦ Πάμφιλε,
Ταύρων τι πλῆθος, ἢ ἐρίφων, ἢ νὴ Δία
Ἑτέρων τοιούτων ἢ κατασκευάσματα,
Χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφύρας,
Ἢ δι' ἐλέφαντος ἢ σμαράγδου ζώδια,
Εὔνουν νομίζει τὸν Θεὸν καθιστάναι,
Πλανᾶτ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.
Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον καθεστάναι,
Μὴ παρθένους φθείροντα, καὶ μοιχώμενον,
Κλέπτοντα, καὶ σφάζοντα χρημάτων χάριν,
Τἀλλότρια βλέποντα, κἀπιθυμοῦντα
Ἤτοι γυναικὸς πολυτελοῦς, ἢ δώματος,
Ἢ κτήσεως, παιδός τε, παιδίσκης θ' ἁπλῶς,
Ἵππων, βοῶν τὸ σύνολον, ἢ κτηνῶν. τί δή;
Μηδὲ βελόνης ἔναμμ' ἐπιθυμῇς Πάμφιλε.
Ὁ γὰρ Θεὸς βλέπει σε πλησίον παρών,
Ὃς ἔργοις ἥδεται δικαίοις, οὐκ ἀδίκοις·
Πονοῦντα δ' ἐᾷ τὸν ἴδιον ὑψῶσαι βίον,
Τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
Θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
Μὴ λαμπρὸς ὢν ταῖς χλαμύσιν ὡς τῇ καρδίᾳ.
Βροντῆς ἀκούσας, μηδαμῶς πόρρω φύγῃς,
Μηδὲν συνειδὼς αὐτὸς σαυτῷ δέσποτα.
Ὁ γὰρ Θεὸς βλέπει σε πλησίον παρών:-

πάλιν τε Πλάτων ἐν Τιμαίῳ, Εἰ δέ τις τούτων τῶν ἔργων σκοπούμενος λαμβάνοιτο, τῆς ἀνθρωπίνης καὶ θείας φύσεως ἠγνοηκὼς ἂν εἴη τὸ διάφορον, ὅτι Θεὸς μὲν τὰ πάντα εἰς ἓν συγκεραννύναι ἱκανῶς ἐπιστάμενος ἅμα καὶ δυνατὸς ὤν· ἀνθρώπων δὲ οὐδεὶς οὐδέτερα τούτων οὔτ' ἐστὶ νῦν, οὔτ' εἰσαῦθις ἔσται ποτὲ:- Περὶ δὲ τῶν δοκούντων παρά τισι μετέχειν τοῦ ἁγίου καὶ τελείου ὀνόματος, ὅπερ παραδόσει ματαίᾳ τινὲς ἀπηνέγκαντο ὡς Θεῷ, Μένανδρος ἐν Ἡνιόχῳ λέγει·

Οὐθείς μ' ἀρέσκει περιπατῶν ἔξω Θεὸς,
Οὐδεὶς οἰκίαν περιπατῶν ἐπὶ τοῦ σανιδίου·
——— Τὸν δίκαιον δεῖ Θεὸν
Οἴκοι μένειν σώζοντα τοὺς ἱδρυμένους:-

ὁ αὐτὸς Μένανδρος ἐν Ἱερείᾳ,

169 Οὐθεὶς δι' ἀνθρώπου Θεὸς σώζει, γύναι,
Ἑτέρου τὸν ἕτερον· εἰ γὰρ ἕλκει τινὰ Θεὸν
Τοῖς κυμβάλοις ἄνθρωπος εἰς ὃ βούλεται,
Ὁ τοῦτο ποιῶν, ἐστὶ μείζων τοῦ Θεοῦ.
Ἀλλ' ἐστὶ τόλμης καὶ βίας ταῦτ' ὄργανα,
Εὑρημέν' ἀνθρώποις ἀναιδέσιν, Ῥόδη,
Εἰς καταγέλωτα τῷ βίῳ πεπλασμένα:-

ἐν Μισουμένῳ δὲ πάλιν ἀποφαίνων τῶν εἰς θεοὺς

Vindicta quum primum vacare cœperit.
Cauete, qui non esse creditis Deum,
Errore non recto implicati duplici.
Est ille: sed si quis malum patrauerit
Male natus, hic vt temporis lucrum ferat,
Pœnas tamen dabit graues in tempore.

Et quod ad libationes atque incensa maleficorum Deus non accedat, neque ea recipiat, sed vnicuique iudicio recto pœnas retribuat, testis mihi iterum *Philemon* erit:

Si victimas quisquam offerens, o Pamphile,
Magnum boum numerum, aut capros, aut quodpiā
Aliud pecus, preciosa vel donaria,
Aurove textum purpurave pallium,
Vel e smaragdo signa facta vel ebore,
Placare tali se putat modo Deum:
Valde errat ille, mente deceptus leui.
Oportet esse quemlibet virum bonum,
Non virgines & coniuges corrumpere,
Circumuenire, ob rem necare quempiam,
Aliena spectare, atq; concupiscere
Possessionem, coniugem, lautam domum,
Equum, bouem, pecus, puellam, seruulum.
Multis nihil sed est opus: Non expetes
Acûs vel vnum vile filum, Pamphile.
Nam te videt, qui presto adest tibi Deus,
Pietate gaudens, non iniquis actibus.
Et opes parare cuiq; permittens suas.
Terram diebus & colenti noctibus.
Iustus Deo, faciens sacrum, factis lita.
Cœlo tonante ne fugam capesseris,
Si nullius mali tibi sis conscius.
Nam te videt, qui presto adest tibi Deus.

Ac rursum *Plato* in Timæo: *Si quis autem opera hæc considerare atque scrutari deprehendatur, discriminis humanæ & diuinæ naturæ ignarus fuerit: quod Deus quidem omnia in vnum contemperet, scientia simul & potentia abunde preditus. Hominum autem omnium nemo vel hac vel illa aut nunc est, aut posthac erit satis vnquā instructus.* Porro de his qui apud quosdam existimantur participes esse sancti & perfecti Nominis, (quod sane nonnulli traditione vana nō nemini tamquam Deo attribuerunt) *Menander* in Heniocho (hoc est in Auriga) dicit:

Illos vagantes non probo foris deos:
Nullus domi manens, in albo scribitur.
——— Decet iustum Deum,
Qui se colunt seruare viuentem domi.

Idem *Menander* in Hierea, id est Sacerdote:

Hominem Deus non seruat, vxor, alterum
Per alterum. nam cymbalis si quempiam
Homo trahit quocumq; vult loci Deum;
Id perpetrans, ipso potentior est Deo.
Audacia hæc vitaq; sunt ludibria,
Mortalibus reperta ab impudentibus,
Conficta risus gratia; Rhode mea.

In Misumeno autem (hoc est Odioso) rursum de eis qui inter deos surrepticie

recce-

recepti sunt, sententiam suam declarans, immo potius illos vt non exsistentes arguens, idem *Menander* inquit:

Id namq; si viderem, animum caperem bonum:
Sed tempus vt nunc est, deos inter, Geta,
Quis inuenire possit aequos iudices?

Et in Paracatatheca, id est Deposito:

Et ius videtur esse corruptum diis.

Et *Euripides Tragicus* in Oreste:

Caedem parentis imperauit exsequi
Apollo, iuris atq; honesti nescius.
Colimus deos, quoscumq; tandem illos deos.
Vt vmbilicum [Graeciae] Phoebus colens
Responsa clara proferas nobis. Vides
Cui credimus, quaecumq; demum dixerit?
Huic obsequutus, intuli matri manus.
Illum impium censete, & illum cadite.
Peccauit ille, non ego. Quid agam rei?
Annon idoneus est Deus, piaculum
In se relatum soluere?

Idem in Hippolyto:

Non rite & ordine ista iudicant dij.

Et in Ione:

Erechthei non curo quidquam filiam:
Nil spectat ad nos. aureo vadens scypho,
Vnde liquorem in ipsa lustratoria
Mittam. Sed ipse qui coercendus venit,
Quid fert Apollo, diminutor virginum,
Latens maritus, liberorum proditor
Viuorum, & idem mortuorum negligens?
Tu vero quidquam tale feceris caue,
Sectare virtutem, probri omnis abstinens;
Homines dij quando malos mulctant male.
Aequumne, leges qui datis mortalibus,
Iniuriarum vos teneri crimine?
Quamuis abestis, attamen verbis agam.
Poenas stupri feretis, & violentiae,
Neptunus & tu, & Iupiter caelo imperans:
Scelus luentes templa desolabitis.
Nam posthabentes suauibus recta & bona,
Agitis superbe. Homines malos iam dicere,
Deum sequentes facta honesta, non decet,
Sed ista moribus docentes improbis.

Et in Archelao:

Homines dij fallunt magis, quam liberi.

Et in Bellerophonte:

Si dij malum faciunt, quis hos credat deos?

Ac rursus in eodem:

An esse credis quospiam in caelo deos?
Non sunt profecto. Si quis hoc hominum asserit,
Non perperam priscas loquatur fabulas.
Non ex meis verbis, sed hoc sententia
Censete vestra. Quis tyrannidem neget,
Necare plurimos, bonis euertere,
Exscindere vrbes, fallere & datam fidem?
Atqui patrantes ista felicius agunt,
Quam qui solum tacitis in dies bonum & pium
Vrbes scio paruas verentes numina.

παραλαμβανομένων τὰς γνώμας, μᾶλλον δὲ ἐλέγχων ὡς οὐκ ὄντας, ὁ αὐτὸς Μένανδρος,

Εἰ γὰρ ἐπίδοιμι τοῦτ', καὶ ψυχὴν
Λάβοιμ' ἐγώ. νυνὶ γὰρ ἀλλὰ τοὺς θεοὺς
Οὕτως δικαίους ἐστὶν εὑρεῖν, ὦ Γέτα.

Καὶ ἐν Παρακαταθήκῃ,

Ἔστιν κρίσις ἄδικος, ὡς ἔοικε, κἀν θεοῖς.

Καὶ Εὐριπίδης ὁ τραγῳδιογράφος ἐν Ὀρέστῃ,

Φοῖβος κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον,
Ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
Δουλεύομεν θεοῖς, ὅ τι ποτ' εἰσὶ θεοί·
Ὁρᾷς δ' Ἀπόλλων', ὃς μεσομφάλους ἕδρας
Ναίων, βροτοῖσι στόμα νέμει σαφέστατον,
Ὧι πειθόμεσθα πάνθ' ὅσ' ἂν κεῖνος λέγῃ.
Τούτῳ πιθόμενος τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε·
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ. τί χρή με δρᾶν;
Ἢ οὐκ ἀξιόχρεως ὁ Θεὸς ἀναφέροντι μοι
Μίασμα, σῶσαι; ὁ αὐτὸς καὶ ἐν Ἱππολύτῳ·
Ἀλλ' οὐ γὰρ ὀρθῶς ταῦτα κρίνουσιν θεοί.

Καὶ ἐν τῷ Ἴωνι·

Ἀτὰρ θυγατρὸς τῆς Ἐρεχθέως τί μοι
Μέλει; προσήκει μ' οὐδέν. ἀλλὰ χρυσέοις
Πρόχοισιν ἐλθὼν εἰς ἀπορραντήρια,
Δρόσον καθήσω. νουθετητέος δέ μοι
Φοῖβος τί πάσχει παρθένους βίᾳ γαμῶν,
Προδίδωσι παῖδας, ἐκτεκνούμενος λάθρᾳ,
Θνήσκοντας. ἀμέλει μὴ σύ γ'· ἀλλ' ἐπεὶ κρατεῖς,
Ἀρετὰς δίωκε· καὶ γὰρ ὅστις ἂν βροτῶν
Κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί·
Πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
Γράψαντας, αὐτοὺς ἀδικίας ὀφλισκάνειν;
Εἰ δ' οὐ πάρεστι, τῷ λόγῳ κεχρήσομαι·
Δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
Σὺ καὶ Ποσειδῶν, Ζεύς θ' ὃς οὐρανοῦ κρατεῖ.
Ναοὺς τίνοντες ἀδικίας κενώσετε·
Τὰς ἡδονὰς γὰρ τῆς προμηθίας πέρα
Σπεύδοντες, ἀδικεῖτ'· οὐκέτ' ἀνθρώπους κακοὺς
Λέγειν δίκαιον, εἰ τὰ τῶν θεῶν καλὰ
Μιμούμεθ', ἀλλὰ τοὺς διδάξαντας τάδε.

Καὶ ἐν Ἀρχελάῳ,

Πολλῶν τέκνων σφάλλουσιν ἀνθρώπους θεοί.

Καὶ ἐν Βελλεροφόντῃ,

Εἰ θεοί τι δρῶσι φαῦλον, οὐκ εἰσὶ θεοί.

Καὶ πάλιν ἐν τῷ αὐτῷ,

Φησίν τις εἶναι δῆτ' ἐν οὐρανῷ θεούς.
Οὐκ εἰσίν, οὐκ εἴσ'. εἴ τις ἀνθρώπων λέγει,
Μὴ τῷ παλαιῷ μωρὸς ὢν χρήσθω λόγῳ.
Σκέψασθε δ' αὐτά, μὴ 'πὶ τοῖς ἐμοῖς λόγοις
Γνώμην ἔχοντες. φήμ' ἐγὼ τυραννίδα,
Κτείνειν τε πλείστους, κτημάτων τ' ἀποστερεῖν,
Ὅρκους τε παραβαίνοντας ἐκπορθεῖν πόλεις.
Καὶ ταῦτα δρῶντες, μᾶλλον εἰσ' εὐδαίμονες
Τῶν εὐσεβούντων ἡσυχῇ καθ' ἡμέραν.
Πόλεις τε μικρὰς οἶδα τιμώσας θεοὺς,

Parere

Αἳ μειζόνων κλύουσι δυσσεβεστέρων
Λόγχης ἀριθμῷ πλείονος κρατούμεναι.
Οἶμαι δ' ἂν ὑμᾶς, εἴ τις ἀργὸς ὢν θεοῖς
Εὔχοιτο, καὶ μὴ χειρὶ συλλέγοι βίον,
Τὰ θεῖα πυργοῦσ' αἱ κακαί τε συμφοραί:-

Καὶ Μένανδρος ἐν Διφίλῳ,

Διότι τὸν ὄντα Κύριον πάντων ἀεὶ,
Καὶ πατέρα, τοῦτον διὰ τέλους τιμᾶν μόνον,
Ἀγαθῶν τοσούτων εὑρετὴν καὶ κτίστορα:-

Ὁ αὐτὸς καὶ ἐν Ἁλιεῦσι,

Τὸ γὰρ τρέφον με, τοῦτ' ἐγὼ κρίνω θεόν:- τὸ δ' εἰθισμένον τρέφειν, οὐ δεῖται παρὰ τῶν δεομένων χορηγίας.

Ὁ αὐτὸς ἐν Ἀδελφοῖς.

——Θεός ἐστι τοῖς χρηστοῖς ἀεί.
Ὁ νοῦς γάρ, ὡς ἔοικεν, οἱ σοφώτατοι.

Καὶ ἐν Αὐλητρίσι,

——Πάντ' ἐστὶ τῷ καλῷ λόγῳ
Ἱερόν. ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων Θεός:-

Ἐν Φρίξῳ ὁ τραγικός,

Εἰ δ' εὐσεβὴς ὢν τοῖσι δυσσεβεστάτοις
Ἐς ταὐτὸ ἔπραττον, πῶς τάδ' ἂν καλῶς ἔχοι
Εἰ Ζεύς, ὁ λῷστος, μηδὲν ἔνδικον φρονεῖ:-

Ἐν Φιλοκτήτῃ,

Ὁρᾶτε δ' ὡς κἀν θεοῖσι κερδαίνειν καλόν,
Θαυμάζεται δ' ὁ πλεῖστον ἐν ναοῖς ἔχων
Χρυσόν· τί δῆτα καὶ σὲ κωλύει
Κέρδος παρόν γε, κἀξομοιοῦσθαι θεοῖς:-

Ἐν Ἑκάβῃ,

Ζεύς, ὅστις ὁ Ζεύς· οὐ γὰρ οἶδα πλὴν λόγῳ·
Ζεὺς εἴτ' ἀνάγκη φύσεως, εἴτε νοῦς βροτῶν,
Προσηυξάμην σε:-

Ἐνταῦθα τοίνυν ἐστὶν ἔλεγχος ἀρετῆς καὶ γνώμης σύνεσιν ἀγαπώσης, ἐπαναδραμεῖν ἐπὶ τὴν τῆς συζυγίας κοινωνίαν, καὶ συμπέμψαι ἑαυτὸν συνέσει εἰς σωτηρίαν, αἱρεῖσθαί τε τὴν τῶν κρειττόνων ἐκλογήν, κατὰ τὸ ἐπ' ἀνθρώπῳ κείμενον αὐτεξούσιον, μὴ τοὺς ἀνθρωποπαθεῖς ἡγουμένους τῶν ὅλων δεσπότας, ὅπου γε οὐδὲ ἀνθρώποις ἴσην ἔχοντες φανήσονται. παρ' Ὁμήρῳ γὰρ ὁ μὲν Δημόδοκος αὐτοδίδακτος φησὶν εἶναι,

——Θεὸς δέ μοι ἔμβαλεν οἴμας:-

Θνητὸς ὢν Ἀσκληπιὸς καὶ Ἀπόλλων, παρὰ Χείρωνι τῷ κενταύρῳ ἰᾶσθαι διδάσκονται, τὸ καινότατον παρὰ ἀνθρώπῳ θεοί. τί γὰρ δέομαι περὶ Διονύσου, ὃν μαινόμενόν φησιν ὁ ποιητής· ἢ Ἡρακλέους, ὃν καὶ αὐτὸν σχέτλιον λέγει; τί δέ μοι ἀναγορεύειν Ἄρη καὶ Ἀφροδίτην τοὺς τῆς μοιχείας ἀρχηγούς. καὶ ἐξ ἁπάντων τούτων κρίσιν ἐπάγειν τοῖς δεικνυμένοις; εἰ γάρ τις μὴ μαθὼν τὰς περὶ τὰ λεγόμενα θεῖα πράξεις μιμήσαιτο, κἂν ἐπὶ τῶν κιβδήλων ἀλλότριος βίου καὶ ἀνθρωπότητος λογισθείη· γνοὺς δέ τις, εὔλογον ἕξει τὴν τῶν τιμωριῶν ἀποφυγήν, οὐ παρανομίαν δεικνὺς τὴν τῶν θείων τολμημάτων μίμησιν.

Parere magnis impia victas manu
Longe potentiore multitudinis.
Quin si piger vestrûm aliquis est, hic arbitror
Deos precetur, nec manu victum paret.
[Videbit ille quid sive hæc dent numina.]
Casus acerbi construunt hominis deos.

Et *Menander* in Diphilo:

Dominum vniuersitatis huius, & patrem,
Solennibus solum decet colere sacris.
Qui fictor omnis & repertor est boni.

Idem quoq; in Halieusi, hoc est Piscatoribus:

Victum mihi quod præbet, id puto Deum:
Et alterum quod copiis alit suis,
Largitionem ab inagente non petit.

Et rursû in Adelphis, hoc est Fratribus:

Nam præsto semper est bonis veris Deus,
Mens ipsa, sic censentibus doctissimis.

Et in Auletrids, id est Tibicinis:

Rationis omnia sunt bona templum sacrum:
Est namq; mens responsa recta dans Deus.

Et *Tragicus* in Phrixo:

Quod si pius loco est eodem quo impius,
Constare quo modo hæc potest ratio sibi,
Si Iupiter iusti nihil sapit optimus?

In Philoctete:

Videte, lucra honesta quam sint & diis,
Miramur in templis habentem plurimum
Auri. Quid ergo te sequi lucrum vetet
Præsens, & ipsis cum diis æquarier?

In Hecuba:

O Iupiter, quicunq; tandem es Iupiter,
Sermone namq; notus es solo mihi:
Te, siue Naturæ necessitas velis,
Seu Mens vocari hominum, rogarim Iupiter.

Hìc igitur est documētum virtutis & sententiæ sapientiam complexæ, vt ad coniunctionis huius communionem recurramus, & nosmetipsos sapientia ad salutem accommodemus, delectuque meliora sequamur, pro eo quod in homine est, libero arbitrio: neque eos qui affectibus & perpessionibus humanis aguntur, rerum vniuersarum dominos esse existimemus; cum ne hominibus quidē pares esse appareant. Apud Homerum namque Demodocus se *αὐτοδίδακτον* (hoc est per seipsum, absque vllius magistri institutione doctum) cantorem esse dicit:

--Afflauit mihi carmina numen.

At immortalis cum esset Æsculapius & Apollo, apud Chironem tamen centaurū medicinam docentur: quod nouum maxime est, dii scilicet apud hominem. Quid enim de Baccho memorem, quem poeta furentem dicit: aut de Hercule, quem idē miserum vocat? Quid Martem & Venerē præconio renunciem, adulterii duces & antesignanos? atque ex illis omnibus, hisce deprehensis atque exhibitis, iudicium intentem? Quod si quis diuina facta in his de quibus dictū est, cū ea non legerit, imitetur, quāuis ex incorruptis adhuc sit; a vita tamen cōmuni & humanitate alienus reputetur. Qui legerit aūt, rationabile habuerit suppliciorū effugiū, minime trāsgressionē esse ostendēs diuinæ temeritatis imitationē,

Sin opera quis ipsa reprehenderit, nomina quoque ex illis nota abolebit, neque ea illecebrosis & scitis obteget verbis. Verum itaque nos & immutabile ipsum nomen [& numen] complecti oportet, nō per meam modo vocem, sed per eos quoque deprædicatum, qui nos ad principia liberalioris institutionis adduxerūt: vt ne segniter decursis huius vitæ spaciis, nō solum vt cælestis gloriæ nescii, verumetiam ingratæ mentis vitio obnoxii, rationem iudici reddamus [pœnasq; luamus.]

εἰ δ᾽ ἄρα τις τοῖς ἔργοις ἐπιμέμψαιτο, ἀνελεῖ καὶ τὰ ἐκ τούτων γνωσθέντα ὀνόματα, καὶ μηδὲ πεπλασμένοις καὶ στωμύλοις ῥήμασιν ἐπισκεπάσει αὐτοῖς. ἀσπάζεσθαι δὲ χρὴ τὸ ἀληθινὸν καὶ ἄτρεπτον ὄνομα, οὐχὶ διὰ τῆς ἐμῆς φωνῆς μόνον, ἀλλὰ καὶ διὰ τῶν εἰσαγαγόντων ἡμᾶς εἰς τὴν ἀρχὴν τῆς παιδείας κηρυσσόμενον, ἵνα μὴ ἀργῶς τελειώσαντες τὸν ἐνταῦθα τοῦ ζῆν χρόνον, οὐ μόνον ὡς ἀγνοῶτες τῆς οὐρανίου δόξης, ἀλλὰ καὶ ὡς ἀχάριστοι τῷ κριτῇ τὰς εὐθύνας παρέξωμεν.

EIVSDEM IVSTINI QVORVNDAM ARISTOtelicorum dogmatum euersio: ad Paulum presbyterum.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ 183 ἀνατροπὴ δογμάτων τινῶν Ἀριστοτελικῶν.

IN his rebus quæ humano studio ab hominibus, colendi Dei gratia recte fiunt, nihil illi tam gratum acceptumque est, quam pro virili operam dare vt homines reddantur meliores. Egregiam hanc animi voluntatem, cum in vobis sane quam flagrantem esse animaduerterem, præstantissime presbyter Paule, nō grauate vobis morem gessi, vt pro eo atque iussistis, breues quasdam Eclogas & Annotationes Græcorum, de Deo & creatura, placitorum conscriberem: non equidem vt tu aliquid ex eis veri addisceres; (quomodo enim id fiat, cum rerum istarum doctrinā cælitus, per Prophetas ab ipso creaturæ opifice Deo acceptam, dudum perceperis?) verum vt cognosceres, non ea quæ demonstrationibus constat scientia, qua se Græci homines de Deo & creatione libros suos componere pollicentur, sed opinionibus quas coniecturis definiunt, illos id præstare. Homines qui de Deo & creatione scripsere, partim ab ipso creaturæ opifice Deo institutionem de Deo & creatione acceperunt, per Prophetas, administros hac in re Dei: quos primum diuinis, quæ per eos edita sunt, operibus fide dignos esse ostendit, atque ita deinceps disciplinam rerum obscurarum discentibus tradidit: partim propheticis scriptis fidem non habentes, ingenio rationique suæ notionis Dei inuentionem commiserunt. Ac secundum eos qui doctrinam a Deo receperunt, & discrimen inter Deum & creaturam cognouerunt, singularis & vnus est Deus, iuxta vtrumque ingeniti modum ingenitus, qui Deum deosve neque ante se, neque post se habuit coæternos: neque subiectum siue subiacens, neque obiectum siue oppositum habens; incorruptibilem obtinens naturam & essentiam, operandique, cui nihil prorsus intercedat impedimenti, efficaciam; mundi totius architectus. Qui mundus quod esse cœpit, & aliquid est, & mire durat, voluntas eius in causa est. aut enim sine corruptione per-

ΤΩΝ κατὰ τὴν ἀνθρωπίνην σπουδὴν εἰς θεραπείαν τοῦ Θεοῦ ὑπὸ τῶν ἀνθρώπων γινομένων καλῶν, οὐδὲν οὕτως ἐστὶ δεκτὸν τῷ Θεῷ, ὡς τὸ κατὰ δύναμιν σπουδάζειν βελτίους ποιεῖν τοὺς ἀνθρώπους. ταύτην οὖν τὴν προθυμίαν ἐν ὑμῖν, ὦ τιμιώτατε πρεσβύτερε Παῦλε, σφόδρα οὖσαν διάπυρον, ἑτοίμως ὑμῖν ὑπήκουσα περὶ ὧν ἐνετείλασθέ μοι βραχεῖαν ἵνα ποιήσασθαι τὴν ἐκλογὴν τῶν Ἑλληνικῶν περὶ Θεοῦ καὶ κτίσεως δογμάτων· οὐχ ἵνα τι γνῷς ἀληθὲς ἐξ αὐτῶν· πῶς γὰρ ἄν, ὁ ἄνωθεν ἔχων τὴν διὰ τῶν προφητῶν περὶ τούτων διδασκαλίαν, παρ᾽ αὐτοῦ τοῦ τὴν κτίσιν πεποιηκότος Θεοῦ; ἀλλ᾽ ἵνα γνῷς, μὴ κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην, καθ᾽ ἣν ἐπαγγέλλονται Ἕλληνες περὶ Θεοῦ τε καὶ κτίσεως τοὺς λόγους ποιεῖν, τοῦτο πεποιηκότας, ἀλλ᾽ εἰκασμῷ τὸ δοκοῦν διορισαμένους. τῶν περὶ Θεοῦ καὶ κτίσεως τοὺς λόγους πεποιημένων ἀνθρώπων, οἱ μέν, παρ᾽ αὐτοῦ τοῦ τὴν κτίσιν πεποιηκότος Θεοῦ τὴν διδασκαλίαν ἐδέξαντο περὶ Θεοῦ καὶ κτίσεως, διὰ τῶν προφητῶν τῶν πρὸς τοῦτο ὑπουργησάντων τῷ Θεῷ· οὓς πρῶτον θείοις ἔργοις τοῖς δι᾽ αὐτῶν γεγενημένοις ἀξίους πιστεύεσθαι ἀνέδειξεν, εἶθ᾽ οὕτως περὶ τῶν τοῖς διδασκομένοις ἀδήλων τὴν διδασκαλίαν παρέσχεν· οἱ δέ, τοῖς διὰ τῶν προφητῶν ἀπιστήσαντες λόγοις, τοῖς οἰκείοις αὐτῶν λογισμοῖς ἐπιτρέψαι θεογνωσίας τὴν εὕρεσιν. καὶ κατ᾽ ἐκείνους μὲν τοὺς ἐκ διδασκαλίας Θεοῦ, καὶ κτίσεως ἐγνωκότας τὴν διαφοράν, εἷς ἐστιν ὁ Θεός, καθ᾽ ἑκάτερον τὸν τῆς ἀγεννησίας τρόπον ἀγέννητος ὤν· Θεὸν ἢ θεοὺς οὔτε πρὸ αὐτοῦ, οὔτε μετ᾽ αὐτὸν ἐσχηκώς, συναΐδιον οὐκ ἔχων οὔτε ὑποκείμενον, οὔτε ἀντικείμενον, ἄφθαρτον ἔχων τὴν οὐσίαν, καὶ ἀνεμπόδιστον τὴν ἐνέργειαν, δημιουργὸς ὢν τοῦ κόσμου παντός, ἀρχὴν ἔχοντος τοῦ εἶναι, καὶ τοῦ τί εἶναι, καὶ τοῦ πῶς διαμένειν, τὴν ἐκείνου θέλησιν. ἢ γὰρ ἐν ἀφθαρσίᾳ

διαμένει τὰ μέρη τοῦ κόσμου, ὡς ὁ οὐρανὸς καὶ τὰ οὐράνια, καὶ αἱ ἀόρατοι δυνάμεις· ἢ ἐν τῷ γίνεσθαί τι καὶ φθείρεσθαι, ὡς τὰ ἐπὶ γῆς ζῶά τε καὶ φυτά. καὶ ὥσπερ τὸ γεγονὸς οὐκ ἂν ἐγένετο μὴ ἐκείνου προστάξαντος, Γενηθήτω· οὕτως οὐδ᾽ ἂν διέμεινε μὴ ἐκείνου θεμένου τὸ πρόσταγμα, τοῖς μὲν ἀφθάρτοις, τοῦ ἱστάναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τοῖς δὲ ἐν γενέσει καὶ φθορᾷ, τοῦ, Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. πρὸς ἔνδειξιν δὲ τῆς θείας αὐτοῦ δυνάμεως, καὶ τοῦ μὴ νόμῳ φύσεως αὐτὸν δουλεύειν, ἀλλὰ αὐθεντίᾳ βουλήσεως τὸ δοκοῦν ἐργαζόμενον, τὰ μὲν ἐν ἀρχῇ
184 τῶν ἐν γενέσει καὶ φθορᾷ φύσεως ἐκ τῆς γῆς καὶ τῶν ὑδάτων ἐποίησε, προστάξας, Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, καὶ φυτὰ ἔχοντα ἐν ἑαυτοῖς τὸ σπέρμα, καὶ ξύλα ποιοῦντα καρπούς:- καὶ πάλιν, Ἐξαγαγέτω τὰ ὕδατα ψυχὴν ζῶσαν κατὰ γένος:- τὰ δὲ ἐκ τῶν γεναρχῶν γεγεννημένα, ἐκ τῆς καταβολῆς τοῦ σπέρματος γενέσθαι ὡρίσατο. καὶ περὶ τούτων πάντες οἱ παρὰ τοῦ Θεοῦ πρὸς πάντας ἀνθρώπους ἀποσταλέντες προφῆται, ταὐτὰ φρονοῦντες διετέλεσαν, καὶ διαφωνία ἐν αὐτοῖς γέγονεν οὐδεμία· κατὰ δὲ τοὺς ἀπιστήσαντας μὲν ταῖς τῶν προφητῶν λέξεσιν, οἰκείῳ δὲ στοχασμῷ περὶ Θεοῦ καὶ κτίσεως τὸ δοκοῦν διορισαμένους, πολλή τις ἐστὶν ἡ πρὸς ἀλλήλους τε καὶ πρὸς ἑαυτοὺς διαφωνία ἐν τοῖς περὶ τῶν ὄντων καὶ τῆς τούτων ἀρχῆς, κατ᾽ οὐσίαν τε, καὶ ἀριθμὸν, καὶ κίνησιν, καὶ πέρας· καθὼς δείκνυται ἐκ τοῦ πρώτου λόγου τῆς Φυσικῆς ἀκροάσεως Ἀριστοτέλους, μετὰ τοῦ μηδὲν αὐτὸν ἀληθεύειν περὶ ὧν διείληφε διορίσασθαι πραγμάτων.

ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ ΤΗΣ Φυσικῆς ἀκροάσεως Ἀριστοτέλους.

Ἀεὶ γάρ ἐστι τὶ ὃ ὑπόκειται, ἐξ οὗ γίνεται τὸ γινόμενον· οἷον τὰ φυτὰ καὶ τὰ ζῶα ἐκ σπέρματος. γίνεται δὲ τὰ γιγνόμενα ἁπλῶς, τὰ μὲν, μετασχηματίσει, οἷον ἀνδριάς· τὰ δὲ, προσθέσει, οἷον τὰ αὐξανόμενα· τὰ δὲ, ἀφαιρέσει, οἷον ἐκ τοῦ λίθου ὁ Ἑρμῆς· τὰ δὲ, συνθέσει, οἷον οἰκία· τὰ δὲ, ἀλλοιώσει, οἷον τὰ τρεπόμενα κατὰ τὴν ὕλην. πάντα δὲ τὰ οὕτω γινόμενα, φανερὸν ὅτι ἐξ ὑποκειμένων γίνεται. [ὥστε δῆλον ἐκ τῶν εἰρημένων ὅτι τὸ γινόμενον ἅπαν ἀεὶ συνθετόν ἐστι· καὶ ἔστι μέν τι τὸ γινόμενον, ἔστι δέ τι ὃ τοῦτο γίνεται.] καὶ τοῦτο διττόν· ἢ γὰρ τὸ ὑποκείμενον, ἢ τὸ ἀντικείμενον. λέγω δὲ ἀντικεῖσθαι μὲν τὸ ἄμουσον· ὑποκεῖσθαι δὲ, τὸν ἄνθρωπον:-

Εἰ πρῶτόν ἐστι τὸ σπεῖρον σπέρμα, καὶ ὕστερον τὸ ἐκ σπέρματος γιγνόμενον, καὶ γενητὰ ἀμφότερα, τῇ μὲν γενέσει τοῦ κειμένου ἐκ σπέρματος γιγνομένου ὑπόκειται τὸ σπέρμα· τῇ δὲ γενέσει τοῦ σπείραντος ὑποκεῖσθαι τὸ σπέρμα οὐ δυνατόν. οὐκ ἄρα ἀεὶ τὰ ζῶα καὶ τὰ φυτὰ ἐκ σπέρματος γίνεται.

permanent mundi partes, sicuti cælum & cælestia, [ad tempus tamen suum] & quæ sub visum non cadunt virtutes: aut per generationem & corruptionem perdurant, vt quæ in terris sunt animantes & plantæ. Et sicuti, quod conditum est, non exstaret, nisi ille præcepisset, *Fiat*: ita etiam non permaneret, nisi idem ille præceptum posuisset, incorruptibilibus quidem, vt constarent in seculum seculi; eis vero quæ in generatione & corruptione consistunt, vt crescerent & multiplicarentur, & replerent terram. Atque diuinæ potestatis suæ ostendendæ gratia, vt declararet non legi naturæ se inseruire, sed voluntatis suæ auctoritate, quod sibi videretur, efficere: ea quidem quæ ab initio generationis & interitus sunt naturam consequuta, e terra & aquis creauit, præcipiens: *Producat terra animam viuentem in genere suo, & plantas semen in seipsis habentes, & ligna facientia fructus.* ac rursum; *Producant aquæ animam viuentem, secundum genus suum.* Ea aût quæ ex primigeniis seu generis principibus procreata sunt, vt e iactis seminis fundamentis fierent, constituit. De his omnes a Deo ad homines omnes missi sacri vates eadem senserunt, neque vlla inter eos fuit dissensio. Inter eos vero qui prophetarum scriptis fidem non habuerunt, ac cōiectura propria ducti, quod eis placitū esset, de Deo & creatione definierunt, magnum est & inter ipsos inuicem, & apud quemque eorum aduersus seipsum, de rebus earumque principio, iuxta substantiā, & numerum & motum, & finem, dissidium. id quod ex Aristotelis (præterquā quod is nihil veri de rebus quas definiendas sibi commentationibus suis statuit, affert) libro primo de Naturali auscultatione [& aliis] declaratur.

1. EX LIBRO I. NATVRALIS Auscultationis Aristotelis.

Semper enim est aliquid quod subiicitur seu subiacet, unde id fit quod fit: veluti plantæ & animantes e semine. Fiunt autem omnino quæ fiūt, quædam transformatione, vt statua: nonnulla accessione, sicuti ea quæ crescunt augenturq;: aliqua decessione, quemadmodum e saxo Mercurius: alia compositione, vt domus: alia alteratione, vt ea quæ materia ipsa mutantur. Omnia vero quæ ita fiunt, ex subiectis siue subiacentibus fieri rebus, manifestum est. [idcirco satis ex eis quæ dicta sunt patet, id omne quod fit, semper compositū esse: atq; equidem est, quod fit: est quoque aliquid, quod hoc ipsum fit] idque dupliciter, nimirum aut subiectum, aut obiectum. Dico autem obiici, amusum, hoc est a Musis alienum: subiici, hominem.

Si primum est semen seminans, & postea id quod e semine fit, & vtraque genita sunt: eius sane quod satu fieri ponitur, generationi semen subiicitur: eius autem quod seminauit, generationi semen subiicere non est. Proinde non semper animantes & plantæ satu fiunt.

Prӕterea si vtrumque genitum animal est, & quod seminat, & quod e semine gignitur: & vtrumque non ex eodem est subiecto. sed alterum e semine, alterum non e semine: quo pacto hoc falsum non est, quod semper animantes satu procreētur? Eadē est de plantis ratio. Item, si principium eius quod satu fit, est sator: is autem in commentatione Naturalis auscultationis Aristotelis denotatus designatusq; nō est: quanam de causa commentatio ea instituta est? cum primigenii animalis & plātæ principium & causa ignoretur. Ignorationem namque principii, eorum quæ inde proueniunt ignoratio cōsequitur. Si animal quod satu gignitur, iuxta naturam gignitur: videlicet idem animal, si gignatur quidem, sed non satu, non iuxta naturam gignitur. Dicant ergo Aristotelici, quomodo [τὸ μὴ] animal gignatur, quod non natura gignitur? Item si [differentia animantis gignendæ concessa, vt vel e semine & iuxta naturam; vel non e semine, neque secundum naturam fiat] generationem necesse est definitam esse: quomodo Græci, animantes & plantas secundum naturam genitas, principium suum cū Deo obtinuisse dicunt, quæ nec primogeniæ quidē animanti & plantæ æquales, eiusdemq; cum ea tēporis esse possunt? Item si omne quod gignitur, semper compositum est: quid ita modum eorum quæ per compositionem fiunt, peculiari eiusmodi differētia ab aliis generationis modis distinxit? Si namque quidquid fit, cōpositum est, per compositionem videlicet id fieri necesse est. Sed enim si modus generationis iuxta compositionem cuiuis generationi cōuenit, superfluum fit, eam discrimine proprio ab aliis generandi modis distinguere. Itē, si, quæ subiecta sunt eis quas diximus generationibus, essentiæ sunt, atque in eis contemplatione subiectum bifariam consideratur, hoc est subiectum & obiectū: materia autem essentia non est: quonam pacto modus generationis eorum quæ ex essentiis fiunt, modo generationis eorum quæ non ex essentiis fiunt, congruit? necesse certe fuerit, aut substantiam esse materiam, aut alio gigni modo quæ ex materia gignuntur, quam eis qui dicti sunt fiendi modis. Quandoquidem autem in libris Naturalis auscultationis Aristotelis materia, quod substātia non sit, definita est, & modus generationis eorum quæ inde gignuntur traditus non est: quomodo ea ipsa commēta superuacanea nō sunt, in quib. id quod dilucidū esse debet, anceps & incertū est? Itē, si, quemadmodū necesse est naturæ & arti nō e fortuitis facere fortuita, sed ex destinatis destinata; itidē quoq; Deo necessitas incūbat, ex designatis facere designata: quis est qui hūc finē Deo statuit? Deū aūt & naturæ & arti hunc posuisse finē, manifestū est. Quod si Deus fini eiuscemodi non subęst, sed fortuito fortuita facit,

Ἔτι εἰ ζῶον γεννητὸν ἑκάτερον, τὸ σπεῖρον καὶ τὸ ἐκ σπέρματος γιγνόμενον, καὶ οὐκ ἐκ τοῦ αὐτοῦ ὑποκειμένου ἑκάτερον, ἀλλὰ θάτερον μὲν ἐκ τοῦ σπέρματος, ἕτερον δὲ οὐκ ἐκ τοῦ σπέρματος, πῶς οὐ ψευδὲς τὸ ἀεὶ τὰ ζῶα γίνεσθαι ἐκ τοῦ σπέρματος; καὶ περὶ τῶν φυτῶν ὁ αὐτὸς λόγος. Ἔτι εἰ ἀρχὴ μὲν τοῦ ἐκ σπέρματος γιγνομένου ἐστὶ τὸ σπεῖρον, ἄγνωστον δὲ τοῦτο καὶ ἀδιόριστον ἐν τῇ πραγματείᾳ τῆς φυσικῆς ἀκροάσεως Ἀριστοτέλους, τίνος ἕνεκεν ἐγράφη αὕτη ἡ πραγματεία, τῆς ἀρχῆς ἀγνοουμένης τοῦ πρώτου ζώου τε καὶ φυτοῦ; ἀκολουθεῖ γὰρ τῇ ἀγνωσίᾳ τῆς ἀρχῆς ἡ ἀγνωσία τῶν ἐξ ἀρχῆς. Εἰ τὸ ζῶον, τὸ ἐκ σπέρματος γιγνόμενον, γίνεται δὲ κατὰ φύσιν, δῆλον ὅτι τοῦ αὐτοῦ ζώου γιγνομένου μέν, μὴ ἐκ σπέρματος δέ, οὐ γίνεται κατὰ φύσιν. εἰπάτωσαν οὖν οἱ Ἀριστοτελικοί, κατὰ τί γίνεται τὸ ζῶον τὸ μὴ κατὰ φύσιν γιγνόμενον. Ἔτι εἰ διαφορᾶς κατὰ γένεσιν τοῦ ζώου δοθείσης, τοῦ τε ἐκ σπέρματος καὶ κατὰ φύσιν, καὶ τοῦ μὴ ἐκ σπέρματος μήτε κατὰ φύσιν γιγνομένου, ἀνάγκη πεπερασμένην εἶναι τὴν γένεσιν· πῶς οὖν συνάναρχα λέγουσιν Ἕλληνες τά τε ζῶα καὶ τὰ φυτὰ τῷ Θεῷ, τὰ κατὰ φύσιν γεγονότα, τὰ μήτε τῷ πρώτῳ ζώῳ τε καὶ φυτῷ σύγχρονα εἶναι δυνάμενα; Ἔτι εἰ ἅπαν τὸ γιγνόμενον ἀεὶ σύνθετόν ἐστι, πῶς τὸν τρόπον τῶν κατὰ σύνθεσιν γινομένων τῇ οἰκείᾳ τοῦ τρόπου διαφορᾷ, τῶν ἄλλων τῶν τῆς γενέσεως τρόπων διέστειλας; εἰ γὰρ ἅπαν γεννητὸν σύνθετον, κατὰ σύνθεσιν ἀνάγκη γίνεσθαι. ἀλλ' εἰ ὁ τρόπος τῆς κατὰ σύνθεσιν γενέσεως πάσῃ γενέσει ἁρμόττει, περιττῶς τῶν ἄλλων τῆς γενέσεως 185 τρόπων διέσταλται τῇ οἰκείᾳ διαφορᾷ. Ἔτι εἰ τὰ ὑποκείμενα ταῖς ῥηθείσαις γενέσεσιν οὐσίαι εἰσί, καὶ ἐν αὐταῖς θεωρεῖται τὸ διττὸν τοῦ ὑποκειμένου, τουτέστι τὸ ὑποκείμενον καὶ τὸ ἀντικείμενον· ἡ δὲ ὕλη οὐσία οὐκ ἔστι, πῶς ἁρμόττει ὁ τρόπος τῆς γενέσεως τῶν ἐξ οὐσιῶν γιγνομένων, τῷ τρόπῳ τῆς γενέσεως τῶν μὴ ἐξ οὐσίας γιγνομένων; ἀνάγκη ἄρα ἢ οὐσίαν εἶναι τὴν ὕλην, ἢ τρόπῳ ἑτέρῳ γίγνεσθαι τὰ ἐκ τῆς ὕλης γιγνόμενα παρὰ τοὺς ῥηθέντας τρόπους τῆς γενέσεως. ἀλλ' ἐπειδὴ τῇ πραγματείᾳ τῆς φυσικῆς ἀκροάσεως ἡ ὕλη διώρισται μὴ εἶναι οὐσία, καὶ ὁ τρόπος τῆς γενέσεως τῶν ἐξ αὐτῆς γιγνομένων οὐ παραδίδοται, πῶς οὐ περιττὴ αὕτη ἡ πραγματεία, ἐν ᾗ τὸ σαφὲς ἄπορον; Ἔτι εἰ, ὡς ἀνάγκη τῇ φύσει καὶ τῇ τέχνῃ τὸ μὴ ἐκ τοῦ τυχόντος ποιεῖν τὰ τυχόντα, ἀλλ' ἐκ τῶν ὡρισμένων τὰ ὡρισμένα, οὕτως ἀνάγκη καὶ τῷ Θεῷ ἐκ τῶν ὡρισμένων ποιεῖν τὰ ὡρισμένα, τίς ἐστιν ὁ τῷ Θεῷ τοῦτον τὸν ὅρον θέμενος; ὅτι δὲ τῇ φύσει καὶ τῇ τέχνῃ ὁ Θεὸς ἔθηκε τοῦτον τὸν ὅρον, φανερόν. εἰ δὲ ὁ Θεὸς ὑπὸ τὸν ὅρον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ ἐκ τοῦ τυχόντος τὰ τυχόντα,

ἐπὶ τοῦ ὅρου ἀνάγκη μὴ κωλυόμενος τοῦ ποιεῖν ἃ βούλεται, πῶς οὐκ ἠλευθέρωται καὶ τοῦ ὅρου καὶ τοῦ ποιεῖν ἐκ τῶν ὑποκειμένων κατ᾽ ἀνάγκην;

ΤΟΥ ΑΥΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔστι δὲ τὸ ὑποκείμενον, ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο. ὁ μὲν γὰρ ἄνθρωπος, καὶ ὁ χρυσός, καὶ ὅλως ἡ ὕλη, ἀριθμητή· τόδε γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γιγνόμενον· ἡ δὲ στέρησις καὶ ἡ ἐναντίωσις, συμβεβηκός· ἓν δὲ τὸ εἶδος, οἷον ἡ τάξις ἢ ἡ μουσική, ἢ τῶν ἄλλων τι τῶν οὕτω κατηγορουμένων· διὸ ἔστι μὲν ὡς δύο λεκτέον εἶναι τὰς ἀρχάς, ἔστι δὲ ὡς τρεῖς· καὶ ἔστι μὲν ὡς τὰ ἐναντία, οἷον εἴ τις λέγοι τὸ μουσικὸν καὶ τὸ ἄμουσον, ἢ τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἢ τὸ ἡρμοσμένον καὶ τὸ ἀνάρμοστον· ἔστι δὲ ὡς οὔ. ὑπ᾽ ἀλλήλων γὰρ πάσχειν τὰ ἐναντία ἀδύνατον. λύεται δὲ καὶ τοῦτο, διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκείμενον· τοῦτο γὰρ οὐκ ἐναντίον. ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά, ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ· οὔτ᾽ αὖ παντελῶς δύο, διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐτοῖς, ἀλλὰ τρεῖς:-

Εἰ ἔστι τὸ ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο, ἀφ᾽ ὧν δεῖ ἐν τῷ ἑνὶ ὑποκεῖσθαι, πῶς οὐκ ἔστι τὸ ὑποκείμενον αὐτὸ ἑαυτῷ ὑποκείμενον; εἰ δὲ τοῦτο ἀδύνατον, πῶς οὐκ ἔστι ψεῦδος, τὸ εἴδει δύο εἶναι τὸ ὑποκείμενον; Ἔτι εἰ δεῖ ὑποκεῖσθαί τι ἀεὶ τῶν γιγνομένων, ἔστι δὲ τοῦτο ἡ ὕλη, πῶς οὐκ ἔστιν ἡ ὕλη ἀεὶ γεννητή; ἀεὶ γὰρ τῷ ἑνὶ τῶν ἐναντίων ὑπόκειται. ἢ γὰρ τῇ στερήσει ὑπόκειται, ἢ τῷ εἴδει, ἐναντίῳ ὄντι τῇ στερήσει· καὶ τῷ εἴδει μὲν γίνεται εὔμορφος· τῇ στερήσει δέ, ἄμορφος. πῶς οὖν οὐκ ἔστιν οὐσία γεννητὴ ἡ ὕλη, ἀεὶ τὸ εἶναι γεννητῶς ἔχουσα; Ἔτι εἰ ἡ στέρησις οὐδέν ἐστιν ἕτερον παρὰ τὴν ἀναίρεσιν παντὸς τοῦ ὄντος, ἔχουσα δὲ ταύτην ἡ ὕλη, πῶς οὐκ ἀναιρεῖται αὐτῆς καὶ τὸ εἶναι αὐτὴν ὕλην; Ἔτι, εἰ ἀπιόντος τοῦ εἴδους τῆς ὕλης, ἄπεισιν αὐτῆς καὶ τὸ εἶναι αὐτὴν οὐσίαν, καὶ τὸ τόδε τι καὶ τὸ ὄν, οὐδαμοῦ ἄρα ἡ ὕλη ἀπιόντος αὐτῆς τοῦ εἴδους. Ἔτι εἰ ἀριθμητὴ ἡ ὕλη, τὰ δὲ ἐναντία ταύτῃ συμβεβηκότα οὐκ ἀριθμητά, πῶς τρεῖς ἀρχαί, ἥτε ὕλη, καὶ τὰ ταύτῃ συμβεβηκότα; Εἰ οὐδὲν ὂν ἐν τῇ συστάσει τῶν φύσεων γιγνομένων θεωρούμενόν ἐστιν ἐκ τῆς ὕλης, οὐδὲ τὸ ποιόν, οὐδὲ τὸ ποσόν, πῶς ἐξ αὐτῆς τὰ γιγνόμενα γίγνεται καθ᾽ αὐτά; Εἰ ἀδύνατόν τι εἶναι μὴ
186 εἶναι καὶ τόδε τι, πῶς διὰ τὴν στέρησιν τόδε τι μὴ οὖσα ἡ ὕλη, τὸ εἶναι ἔχει; Εἰ ἡ στέρησις καὶ τὸ εἶδος τῇ ὕλῃ συμβέβηκεν, οὐσία δὲ οὐκ ἔστιν ἡ ὕλη, πῶς ταύτῃ συμβέβηκε τὰ ἐναντία; τῇ γὰρ οὐσίᾳ συμβαίνει τὰ συμβεβηκότα. Εἰ ὥσπερ ἡ τάξις

nulla pręscripti finis necessitate impeditꝰ, quo minus quæ velit faciat: quonã modo nõ & liber est & immunis præscripto atq; fine ex subiectis per necessitatẽ creandis?

2. EIVSDEM ARISTOTELIS,
ex eodem libro.

Subiectum numero quidem unum est, specie autem duplex. nam homo, & aurũ, & uniuersim materia, numero subiecta est; & hoc ipsum aliquid magis etiam: nec id quod fit, accidentiâ ex ipso fit: Priuatio vero & Repugnãtia, accidentiâ consequũtur. Una aũt species est, ut ordo, musica, aut aliud quidquã eorũ quæ ita appellatione proferuntur. Quapropter licet quidem ut quasi duo dicamus esse principia; licet vero etiam quasi tria: & licet item tamquam contraria, (veluti si quis dicat, musicum & amusum, aut calidum & frigidum, aut congruens & incongruens:) licet autem & tamquam non cõtraria. Contrariorum enim fieri nequit ut alterum ab altero perpessione afficiatur. Soluitur vero & hoc per id quod aliud est subiectum: hoc enim non est contrarium. Quocirca neque plura contrariorum sunt quodammodo principia, sed duo, ut ita dicam, numero: neque rursus duo omnino, propterea quod alia eis sit essentia: sed tria. [alia enim est essentia homini, & alia amuso: alia aeri, & alia informi massæ.]

Si subiectum numero quidem est vnũ, specie aũt duplex, vnde vnũ vni subiici necesse sit: quomodo subiectum sibiipsi subiectum non est? Sin hoc fieri nequit, quomodo falsum non est, specie duplex esse subiectum? Item, si subiici semper aliquid eorum quæ fiunt oportet, atque id materia est: quomodo materia nõ semper est generationi subdita? semper enim vni contrariorum subiicitur: aut enim priuationi subiacet, aut formæ, quæ priuationi est contraria: ac formâ quidem illa fit formosa, priuatione vero informis. Qui ergo fieri potest vt materia substantia ad generationẽ apta & idonea non sit, substãtiam suã generationis modo semper obtinẽs? Item, si priuatio nihil est aliud quã cuiusq; rei quæ exstat abolitio, & materia hanc habet: quonam modo nõ id quoque in materia abolet, quod materia est? Itẽ, si a materia absistente forma, ab eadem etiam absistit substantia, & hoc ipsum aliquid, & quod sit: haudquaquam certe constiterit materia, forma absistente. Item, si numero subdita est materia, quæ autẽ ipsam consequuntur inter se diuersa numerari nequeunt: quomodo tria sunt principia, materia ipsa, & quæ eã consequuntur? Si nihil eorum quæ in constitutione naturarum fiunt, ex materia esse, contemplatione mentis cernitur, neque qualitas, neque quantitas: quomodo quæ ex ipsa fiunt, per seipsa fiunt? Si impossibile est esse quidquam quin & hoc ipsum aliquid sit: qui fieri potest vt per priuationem materia, cum hoc ipsum aliquid non sit, essentiam obtineat? Si Priuatio & Forma materiam consequuntur, & materia non est substantia: quomodo eam res inter se pugnantes consequuntur? Substantiam namque consequentia (siue accidentia) cõsequuntur. Si, quemadmodum se habet ordo

in rebus ordinatis, ita quoq; forma in materia: quomodo, cum res inordinatæ ante ordinē acceptū, vt hoc ipsum aliquid sint, habeāt: materia autem ante formę aduentum, vt hoc ipsum aliquid sit, non habeat, in materia conseruatur analogia & proportio ordinis ad formam? Si in cōpositione eorum quę fiunt, duo tantū mente percipiuntur principia, materia & forma: absque compositione vero tria sunt principia, materia, priuatio, & forma: satis patet, nō exstante eo quod fit, tria posita esse principia: exstante autem illo, non tria, sed duo. Quomodo igitur id quod fit, principium & causa non est vt vnum dispereat principiorum? quod certe quidem nisi interiisset, id quod fit nō exstaret. Si, quēadmodum afficitur homo a musico & amuso, & corpus a calido & frigido, & vox a consonantia & dissonantia; sic afficitur materia a forma & priuatione: sit sane materia substātia, vt homo & corpus; aut cōsequens, vt vox [modulata;] quo proportionis retineatur ratio Sin materia neque substantia, neq; consequens est, nō etiam vtique a rebus afficitur inter se diuersis.

3. EIVSDEM EX eodem libro.

Quot quidem sint eorum quæ natura creantur principia, & quomodo, dictum est: & satis constat, oportere subiici aliquid rebus inter se pugnantibus, & pugnantia duo esse. Quodam vero alio modo necesse id non est. Satis enim est, alterū dumtaxat contrariorum præsentia & absentia sua facere mutationem. Quæ autem subiecta est natura, sub scientiam cadit iuxta analogiam & proportionem. Sicuti namque se habet ad statuā æs, aut ad lectum lignum, aut ad rerum aliarum quidquam formam habentium materia & informitas, priusquam formam recipit: sic ipsa se ad substantiam, & hoc ipsum aliquid, & quod sit, habet. Vnum ergo ipsa principium & causa: non equidem ita vna, neque ita vnum, vt hoc ipsum aliquid; sed quatenus ratio permittit vnum. Contrarium vero huic [τῷ λόγῳ] est priuatio. Vtrū aūt substātia sit forma aut subiectū, necdū liquet.

Si forma præsentiā suā materiam conformat, & absentiā suā informem efficit; sunt autem principia duo, Forma & Informitas: hæc vero ipsa quoque præstat sua præsentia & absentia Priuatio: erunt principia quę se inuicem generent & perimant, & haudquaquam perpetua. Perpetuum enim vt sit, præsentia & absentia cuiuspiam non indiget. Si præsentia & absentia cōtrariorū, principiorum cōstat mutatio: manifestū fuerit, eo mutationē fieri, quod ipsa sint principia. Quo igitur pacto principia manere possunt, quę principiorū naturā abiecerint? Si principiū aliud habēs, principium nō est, quomodo materia, vt sit, principiū habens formā; vt vero non sit, priuationem, potest esse principiū? *Naturam* id appellare quod priuationi subiicitur, cū neq; substātia sit, neq; hoc ipsum aliquid, neq; quod sit; quomodo superfluū nō est?

ἐν τοῖς τεταγμένοις, οὕτως καὶ τὸ εἶδος ἐν τῇ ὕλῃ, πῶς τὰ μὲν ἄτακτα πρὸ τῆς τάξεως τὸ εἶναι τόδε τι ἔχει; ἡ γὰρ ὕλη πρὸ τοῦ εἴδους τὸ εἶναι τόδε μὴ ἔχουσα, σώζεται ἐν τῇ ὕλῃ, ἡ ἀναλογία τῆς τάξεως, ὡς πρὸς τὸ εἶδος. Εἰ ἐν τῇ συνθέσει μὲν τῶν γιγνομένων δύο θεωροῦνται μόναι ἀρχαί, ἥτε ὕλη καὶ τὸ εἶδος· χωρὶς δὲ συνθέσεως τρεῖς εἰσὶν ἀρχαί, ἥτε ὕλη καὶ ἡ στέρησις καὶ τὸ εἶδος· δῆλον ἄρα ὅτι μὴ ὄντος μὲν τοῦ γιγνομένου, κείμεναι τρεῖς ἦσαν ἀρχαί· ὄντος δὲ τοῦ γιγνομένου, οὐ τρεῖς ἀλλὰ δύο. πῶς οὖν οὐκ ἔστι τὸ γιγνόμενον ἀρχὴ τῆς ἀπωλείας τῆς μιᾶς ἀρχῆς; ἣ εἰ μὴ ἀπώλετο, οὐκ ἂν ἐγίνετο τὸ γιγνόμενον. Εἰ ὥσπερ πάσχει ὁ ἄνθρωπος ὑπὸ τοῦ μουσικοῦ καὶ τοῦ ἀμούσου, καὶ τὸ σῶμα ὑπὸ ψυχροῦ καὶ θερμοῦ, καὶ ἡ φωνὴ ὑπὸ τῆς ἁρμονίας τε καὶ ἀναρμοστίας, οὕτως πάσχει ἡ ὕλη ὑπὸ τοῦ εἴδους καὶ τῆς στερήσεως, ἔστω ἡ ὕλη οὐσία, ὡς ἄνθρωπος καὶ τὸ σῶμα· ἢ συμβεβηκός, ὡς ἡ φωνή, ἵνα σωθῇ τὸ τῆς ἀναλογίας ἀκόλουθον. εἰ δὲ οὔτε οὐσία ἐστὶν ἡ ὕλη, οὔτε συμβεβηκός, οὐδ᾽ ἄρα πάσχει ὑπὸ τῶν ἐναντίων.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΑΥΤΟΥ λόγου.

Πόσαι μὲν οὖν αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, καὶ πῶς, εἴρηται. καὶ δῆλόν ἐστιν ὅτι δεῖ ὑποκεῖσθαί τι τοῖς ἐναντίοις, καὶ τὰ ἐναντία δύο εἶναι· τρόπον δέ τινα ἄλλον, οὐκ ἀναγκαῖον. ἱκανὸν γὰρ [ἔσται] τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ τὴν μεταβολήν· ἡ δὲ ὑποκειμένη φύσις ἐπιστητὴ κατ᾽ ἀναλογίαν. ὡς γὰρ πρὸς ἀνδριάντα χαλκός, ἢ πρὸς κλίνην ξύλον, ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφήν, ἡ ὕλη καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὕτη πρὸς οὐσίαν ἔχει, καὶ τὸ τόδε τι καὶ τὸ ὄν. μία μὲν οὖν ἀρχὴ αὕτη, οὐχ οὕτω μία οὖσα, οὐδὲ ἓν ὡς ἐστὶ τόδε τι, μία δὲ ἡ ὁ λόγος· ἔτι δὲ τὸ ἐναντίον τούτῳ ἡ στέρησις. πότερον δὲ οὐσία τὸ εἶδος, ἢ τὸ ὑποκείμενον, [οὔπω δῆλον.]

Εἰ τὸ εἶδος τῇ παρουσίᾳ αὐτοῦ εἰδοποιεῖ τὴν ὕλην, καὶ τῇ ἀπουσίᾳ αὐτοῦ ποιεῖ ἀνείδεον, εἰσὶ δὲ ἀρχαὶ δύο, τό τε εἶδος καὶ τὸ ἀνείδεον· ποιεῖ δὲ αὐτὰ τοῦτο καὶ ἡ στέρησις τῇ παρουσίᾳ αὐτῆς καὶ τῇ ἀπουσίᾳ, ἔσονται ἄρα αἱ ἀρχαὶ ὑπ᾽ ἀλλήλων γιγνόμεναί τε καὶ ἀναιρούμεναι, καὶ οὐκ ἀΐδιοι. τὸ γὰρ ἀΐδιον παρουσίας τινὸς καὶ ἀπουσίας οὐ χρήζει πρὸς τὸ εἶναι. Εἰ τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ τῶν ἐναντίων γίνεται τῶν ἀρχῶν ἡ μεταβολή, δῆλον ὅτι γίνεται ἡ μεταβολὴ ἐκ τοῦ εἶναι αὐτὰς ἀρχάς. πῶς οὖν δύνανται μένειν ἀρχαί, αἱ ἀποβεβληκυῖαι τὸ εἶναι ἀρχαί; Εἰ ἡ ἀρχὴ ἀρχὴν ἔχουσα, οὐκ ἔστιν ἀρχή, πῶς ἡ ὕλη, τοῦ μὲν εἶναι ἀρχὴν ἔχουσα τὸ εἶδος, τοῦ δὲ μὴ εἶναι τὴν στέρησιν, δύναται εἶναι ἀρχή; Τὸ φύσιν ὀνομάζειν τὸ ὑποκείμενον τῇ στερήσει, τὸ μήτε οὐσίαν ὄν, μήτε τόδε τι, μήτε ὄν, πῶς οὐκ ἔστι περιττόν;

Si prin-

Εἰ ἀρχαὶ οὔτε ἐξ ἄλλων εἰσὶν, οὔτε ἐξ ἀλλήλων, ἔστι δὲ ἐκ τῆς ἀπουσίας τοῦ εἴδους ἡ στέρησις, καὶ ἐκ τῆς ἀπουσίας τῆς στερήσεως τὸ εἶδος, πῶς οὐκ εἰσὶν ἐξ ἀλλήλων ἀρχαὶ, τό τε εἶδος καὶ ἡ στέρησις; τῇ γὰρ ἀπουσίᾳ ἀλλήλων ποιητικαὶ ἀλλήλων. Εἰ ὃν ἔχει λόγον ὁ χαλκὸς πρὸς τὸν μέλλοντα ἐξ αὐτοῦ γίνεσθαι ἀνδριάντα, τοῦτον ἔχει ἡ ὕλη πρὸς τὴν οὐσίαν, καὶ τὸ τόδε τι καὶ τὸ ὄν, πῶς ὁ μὲν χαλκὸς, ἐὰν μὴ ᾖ οὐσία, καὶ τόδε τι καὶ ὄν, λόγον ἔχειν πρὸς τὸν ἀνδριάντα οὐ δύναται· ἡ δὲ ὕλη, μήτε οὐσία οὖσα, μήτε τόδε τι, μήτε ὄν, ἀναλογίαν ἔχειν πρὸς
187 τὸν χαλκὸν δύναται; Εἰ πάντα τὰ ἐν συστάσει τῶν φυσικῶν θεωρούμενα, αἰσθήσει ἐστὶν ἐπιστητὰ, πῶς ἡ ὕλη ἐξ ἧς τὰ αἰσθητὰ, ἀναλογίᾳ ἐστὶν ἐπιστητὴ, καὶ οὐκ αἰσθήσει· ἢ πῶς ὅλως ἐκ μὴ αἰσθητοῦ δυνατὸν γενέσθαι τὰ αἰσθητά; Εἰ τόδε τι ἐστὶ καὶ τὸ μίαν ἀρχὴν εἶναι, πῶς ἡ ὕλη τὸ μὲν εἶναι μίαν ἀρχὴν ἔχει, τὸ δὲ εἶναι αὐτὴν τόδε τι οὐκ ἔχει; καὶ εἰ τὸ εἶναι τόδε τι, καὶ τὸ τόδε τι μὴ εἶναι οὐσία ἐστὶ, πῶς ἡ ὕλη τὸ μὲν τόδε τι μὴ εἶναί ἐστιν, οὐσία δὲ οὐκ ἔστι; πῶς δὲ δύναταί τις ἐκβάλλειν τὴν ὕλην τοῦ εἶναι ἓν, ὁ διελὼν αὐτὴν εἰς δύο εἴδη, εἴς τε τὸ ὑποκείμενον τῷ γιγνομένῳ, καὶ εἰς τὸ ἀντικείμενον; Εἰ οὔπω δῆλον ἐκ τῶν εἰρημένων, εἰ οὐσία ἐστὶ τὸ εἶδος, ἢ τὸ ὑποκείμενον, πῶς ἀποφαντικῶς εἴρηκε περὶ τῆς ὕλης, τὸ μὴ εἶναι αὐτὴν οὐσίαν, μήτε τόδε τι μήτε ὄν; τὸ γὰρ ὑποκείμενον εἴρηκεν εἶναι τὴν ὕλην· ποτὲ μὲν μὴ εἶναι αὐτὴν οὐσίαν, μήτε τόδε τι, μήτε ὄν· ποτὲ δὲ ἄδηλον εἰ οὐσία ἐστί. πῶς οὐκ ἔστι τῶν οὐκ εἰδότων ὃ φασιν;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

" Ζητοῦντες οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀ-
" λήθειαν καὶ τὴν φύσιν τὴν τῶν ὄντων, ἐξετράπη-
" σαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρί-
" ας, καὶ φασὶν οὔτε γίγνεσθαι τῶν ὄντων οὐδὲν, οὔτε
" φθείρεσθαι, διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίγνεσθαι τὸ
" γιγνόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος· ἐκ δὲ τούτων
" ἀμφοτέρων, ἀδύνατον εἶναι· οὔτε γὰρ τὸ ὂν γίγνεσθαι·
" εἶναι γὰρ ἤδη· ἔκ τε μὴ ὄντος οὐθὲν ἂν γενέσθαι· ὑποκεῖ-
" σθαι γάρ τι δεῖν· καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔ-
" ξοντες οὐδὲ εἶναι πολλά φασιν, ἀλλὰ μόνον αὐτὸ τὸ ὄν.

Ἱκανὰ καὶ ταῦτα μαρτυρῆσαι τῇ ἀληθείᾳ τοῦ ὑφ᾽ ἡμῶν ῥηθέντος περὶ τῶν παρ᾽ Ἕλλησι φιλοσόφων, ὡς κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην περὶ τῶν ὄντων τοὺς λόγους μὴ πεποιηκότων, ἀλλ᾽ εἰκασμῷ τὸ δοκοῦν διορισαμένων.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

" Ἡμεῖς δὲ λέγομεν, ὅτι τὸ ἐξ ὄντος ἢ μὴ ὄντος γίνεσθαι,
" ἢ τὸ μὴ ὂν ἢ τὸ ὂν ποιεῖν τι ἢ πάσχειν, ἢ ὁτιοῦν τόδε γί-
" γνεσθαι, ἕνα μὲν τρόπον οὐδὲν διαφέρει, ἢ τὸ τὸν
" ἰατρὸν ποιεῖν τι ἢ πάσχειν, ἢ τὸ ἐξ ἰατροῦ εἶναί τι
" ἢ γίνεσθαι. ὥστε ἐπειδὴ τοῦτο διχῶς [ἢ πλεοναχῶς]
"

Si principia neq; ex aliis, neque altera ex alteris sunt: absentia autem formæ Priuatio, & absentia priuationis Forma exstat: quomodo non est alterum ex altero principium, Forma & Priuatio? alterũ siquidem ex altero absentia alterius creatur. Si, quam rationem obtinet æs ad futuram ex se statuam, eandem materia ad substantiam, & hoc ipsum aliquid, & quod sit, habet: quomodo æs quidem, nisi substãtia, & hoc ipsum aliquid, & quod sit exsistat, rationem ad statuam habere non potest: materia autem, cum neque substantia, neque hoc ipsum aliquid, neq; quod sit exsistat, comparationem ad æs obtinere potest? Si cuncta quæ in constitutione rerum naturalium contemplatione cernuntur, sub sensuum etiam scientiam veniunt: quomodo materia, vnde ea sunt quæ sensibus percipiuntur, mentis ratiocinatione, non etiam sensu cognoscitur? aut quonã prorsus pacto ex insensibilibus fieri queunt sensibilia? Si hoc ipsum aliquid, etiam principiũ vnum esse potest: quomodo materia vt vnum sit principiũ, habet: vt vero hoc ipsum aliquid sit, non habet? Ac si, quod hoc ipsum aliquid sit, & quod hoc ipsum aliquid nõ sit, substãtia est: quomodo materia quod hoc ipsum aliquid nõ sit, est; substantia autem non est? Quomodo vero quisquam materiã eiicere ita potest, vt vnum sit, qui eam in duas distribuit species: in id videlicet quod ei rei quæ fit subiicitur, & in id quod obiicitur? Si nõdũ ex eis quæ dicta sunt, liquido patet, substãtia ne sit forma an subiectum: quomodo de materia pronunciauit, nõ esse eam substantiam, neque hoc ipsum quid, neque quod sit? nam subiectum esse dixit materiam, & quandoque non esse ipsam substantiam, neque hoc ipsum quid, neque quod sit. Hoc vero quomodo non eorum est qui quid dicant nesciunt?

4. EX EODEM LIBRO.

Principes philosophi veritatem & naturam eorum quæ exstant inquirentes, per imperitiam siue rerum infinitatem transuersim impulsi, in quandam aliam viam declinarunt, & eorum quæ sunt, neque fieri neq; interire quidquam dicunt: propterea quod necesse sit, id quod fit fieri, vel ex eo quod sit, vel ex eo quod non sit: ex vtroque autem istorum impossibile esse quidquã fieri. neq; enim id quod fit fieri, quod iam sit: neque ex eo quod non sit, fieri quidquam. Subiici namque oportere aliquid: atque ita id quod deinceps consequutum est, augentes, non multa esse aiunt, sed id ipsum saltem quod sit.

Vel hęc ipsa sufficiũt verba, ad testimoniũ veritati, in eo quod de Gręcis philosophis a nobis dictũ est, perhibendũ: minime eos de reb. exstãtibus, iuxta eã quæ demõstrationib. nititur scientiã, libros suos cõposuisse; sed cõiecturis ea quæ ipsis videntur, definire.

5. EX EODEM LIBRO.

Nos vero dicimus, ex eo quod sit, aut quod nõ sit, fieri: & id quod nõ sit, aut quod sit, facere quidquã vel pati: aut hoc ipsum quodcũq; fieri, & vno modo nihil differre, vel medicũ facere quidquã aut pati, vel ex medico aliquid esse aut fieri. Idcirco quia hoc bifariam

dicitur, manifestum est, etiam id quod ex eo quod existat fit, & quod fit, vel facere quidquam, vel pati. Ædificat igitur medicus, non quatenus medicus, sed quatenus architectus: & candidus fit, non qua medicus, sed qua niger est: medetur autem, & non medetur, qua medicus. Quandoquidem vero potissimum dicimus, medicum proprie aliquid facere aut pati, vel fieri ex medico, cum quatenus medicus est, ea faciat aut patiatur: nimirum & ex eo quod non sit fieri, significat quatenus non sit. Quod illi non distinguentes, a veritate desciuerunt: & per eiusmodi ignorationem eo insuper inscitiæ peruenerunt, vt opinarentur, nihil fieri neque esse rerum aliarum, & generationem omnem tollerent. Nos vero & ipsi nihil omnino fieri ex eo quod non sit, sed tamen ex eo quod non sit fieri tamquam accidentia. ex priuatione namque quod per se ipsum non est, fieri, eius quod non insit modo, dicimus. Admirationi vero est, & pro impossibili hoc sic habetur, fieri aliquid ex eo quod non sit: consimiliter autem neque ex eo quod sit, id quod sit fieri, præterquam accidentia: sic autem & hoc ipsum fieri dicimus eodem modo, quemadmodum si ex animante animans fiat, & ex animante quapiam animans quepiam: veluti si canis ex equo fiat. fiat namque non solum ex animante quapiam canis, sed etiam ex animante; verum non quatenus animans: iam enim ea exsistit. Quod si quidpiam futurum est animal non accidentia, non ex animali id erit: atque etiam si aliquid fiat quod sit, non ex eo tamen quod sit, neque ex eo quod non sit, fiat. Quid enim significet fieri ex eo quod non sit, dictum a nobis est: videlicet quatenus non sit. Præterea vero quidque aut esse aut non esse, non tollimus.

λέγεται, δῆλον ὅτι καὶ τὸ ἐξ ὄντος, καὶ τὸ ὂν, ἢ ποιεῖν [τι] ἢ πάσχειν. οἰκοδομεῖ μὲν οὖν ὁ ἰατρὸς, οὐχ ᾗ ἰατρὸς δὲ, ἀλλ' ᾗ οἰκοδόμος· καὶ λευκὸς γίνεται, οὐχ ᾗ ἰατρὸς, ἀλλ' ᾗ μέλας. ἰατρεύει δὲ καὶ ἀνίατρος γίνεται, ᾗ ἰατρός. ἐπειδὴ μάλιστα λέγομεν τὸν ἰατρὸν κυρίως ποιεῖν τι ἢ πάσχειν, ἢ γίγνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾗ ἰατρὸς ταῦτα ποιῇ ἢ πάσχῃ· δῆλον ὅτι καὶ τὸ μὴ ἐξ ὄντος γίγνεσθαι τοῦτο σημαίνει, τὸ ᾗ μὴ ὄν. ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες, ἀπέστησαν· καὶ διὰ ταύτην τὴν ἄγνοιαν τοσοῦτον προσηγνόησαν, ὥστε μηθὲν οἴεσθαι γίγνεσθαι μήτ' εἶναι τῶν ἄλλων, ἀλλ' ἀνελεῖν πᾶσαν τὴν γένεσιν. ἡμεῖς δὲ καὶ αὐτοὶ φαμὲν γίνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ μὴ ὄντος· ὅμως μέντοι γίγνεσθαι ἐκ μὴ ὄντος, οἷον κατὰ συμβεβηκός. ἐκ γὰρ τῆς στερήσεως ὅ ἐστι καθ' αὑτὸ μὴ ὂν, οὐκ ἐνυπάρχοντος γίνεται. θαυμάζεται δὲ τοῦτο, καὶ ἀδύνατον οὕτω δοκεῖ, γίγνεσθαί τι ἐκ μὴ ὄντος. ὡσαύτως δὲ οὐδὲ ἐξ ὄντος, οὐδὲ τὸ ὂν γίγνεσθαι, πλὴν κατὰ συμβεβηκός. οὕτω δὲ καὶ τοῦτο γίγνεσθαι τὸν αὐτὸν τρόπον, οἷον εἰ ἐκ ζώου ζῷον αὖ γίνοιτο, καὶ εἰ ἔκ τινος ζώου τὶ ζῷον, οἷον εἰ κύων ἐξ ἵππου γίγνοιτο· γίγνοιτο μὲν γὰρ [αὖ] οὐ μόνον ἔκ τινος ζώου ὁ κύων, ἀλλὰ καὶ ἐκ ζώου, ἀλλ' οὐχ ᾗ ζῷον· ὑπάρχει γὰρ ἤδη τοῦτο. εἰ δέ τι μέλλοι γίγνεσθαι ζῷον μὴ κατὰ συμβεβηκὸς, οὐκ ἐκ ζώου ἔσται· καὶ εἴ τι ὂν, 188 οὐκ ἐξ ὄντος, οὐδὲ ἐκ μὴ ὄντος. τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται ἡμῖν τί σημαίνει, ὅτι ᾗ μὴ ὄν. ἔτι δὲ καὶ τὸ εἶναι ἅπαν, ἢ μὴ εἶναι οὐκ ἀναιροῦμεν:-

Si neque ex eo quod simpliciter sit, neque ex eo quod simpliciter non sit, fieri quidquam posse, cõmune est, & eorũ qui per imperitiam & ignorationem, generationẽ abolent, & huius qui hallucinantes corrigit: quomodo non abrogata est generatio per correctorẽ, sicuti est per hallucinãtes sublata? Si fieri nequit vt aliquid accidentiã ex eo quod nõ sit, & ex eo quod sit, fiat, nisi animo generationem eius præsumpseris, quod per seipsum genitum sit: vt impossibile est medicum candidum fieri, si nigrum non factum fuerit candidum: & impossibile medicum ædes construere, si constructor non ædificauerit, si quidem niger & architectus medicus ipse sit: quomodo accidẽtiã fit aliquid ex eo quod sit, & ex eo quod non sit, cum nihil quod per seipsum genitum sit, præcesserit? Si primum quidem est animãs, postea autem animans ex animante, & aliqua animans ex aliqua animante: ac generationi quidem animantis ex animante subiicitur semen, potentia quidem animans, actu vero non animans: generationi autem eius quod simpliciter fit animantis subiectum, non fuit semen: quomodo non præter naturam animans ex non animante gignitur? Si, antequam gigneretur quod gignitur, materia quidem erat; id autem quod ex ea gignitur, non erat: quid fuit materia? vt puta, si equi materia fuit, priusquam equus fieret. Si omnia

Εἰ τὸ μήτε ἐκ τοῦ ἁπλῶς ὄντος, μήτε ἐκ τοῦ ἁπλῶς μὴ ὄντος δυνατόν ἐστι γενέσθαι τι, κοινόν ἐστι τῶν ἐξ ἀπειρίας τε καὶ ἀγνοίας ἀναιρούντων τὴν γένεσιν, καὶ τούτου τοὺς σφαλλομένους διορθωσαμένου· πῶς οὐκ ἀνῄρηται ἡ γένεσις κατὰ τὸν διορθωσάμενον, ὡς ἀνῄρηται κατὰ τοὺς σφαλλομένους; Εἰ ἀδύνατόν ἐστι γενέσθαι τι κατὰ συμβεβηκὸς ἐξ ὄντος, καὶ ἐκ μὴ ὄντος, μὴ προεπινοουμένης τῆς γενέσεως τοῦ καθ' αὑτὸ γιγνομένου· οἷον ἀδύνατον τὸν ἰατρὸν γενέσθαι λευκὸν, μὴ τοῦ μέλανος λευκοῦ γιγνομένου· καὶ ἀδύνατον τὸν ἰατρὸν οἰκοδομεῖν μὴ τοῦ οἰκοδόμου οἰκοδομοῦντος, εἰ ᾖ μέλας καὶ οἰκοδόμος ὁ ἰατρός· πῶς γίνεταί τι κατὰ συμβεβηκὸς ἐξ ὄντος, καὶ ἐκ μὴ ὄντος, μηδενὸς προηγουμένου καθ' αὑτὸ γιγνομένου; Εἰ πρῶτον μὲν τὸ ζῷον, ὕστερον δὲ τὸ ζῷον ἐκ ζώου, καὶ τὸ τὶ ζῷον ἔκ τινος ζώου· καὶ τῇ μὲν γενέσει τοῦ ζώου ἐκ ζώου ὑπόκειται τὸ σπέρμα, τῇ δυνάμει μὲν ζῷον, ἐνεργείᾳ δὲ οὐ ζῷον. τῇ δὲ γενέσει τοῦ ἁπλῶς ζώου τὸ ὑποκείμενον οὐκ ἦν σπέρμα, πῶς οὐκ ἔστι παρὰ φύσιν γιγνόμενον τὸ ζῷον ἐκ ζώου; Εἰ πρὸ τοῦ γενέσθαι τὸ γιγνόμενον, ἡ μὲν ὕλη ἦν, τὸ δὲ γιγνόμενον ἐξ αὐτῆς οὐκ ἦν, τί ἦν ἡ ὕλη, οἷον εἰ ὕλη ἦν τοῦ ἵππου πρὸ τοῦ γενέσθαι τὸν ἵππον; Εἰ πάν-

quæ

ταῦτα ἐν τῇ οὐσίᾳ τοῦ ἵππου θεωρούμενά ἐστι γεννητὰ, πῶς ἦν ἀγέννητος ἡ ὕλη ἐξ ἧς γέγονεν ἵππος; Εἰ καθ' αὑτὸ μὲν οὔτε ἡ στέρησις ὄν ἐστιν, οὔτε ἡ ὕλη, τὸ δὲ συμβεβηκὸς τῷ καθ' αὑτὸ ὄντι συμβαίνει, πῶς κατὰ συμβεβηκὸς δυνατὸν γενέσθαι τι ἐκ τῆς στερήσεως, μήτε καθ' αὑτὸ, μήτε κατὰ συμβεβηκὸς οὔσης; Ὧν διεζευγμένων ὄντων, ἀδύνατόν ἐστι γενέσθαι τι ἐξ οὐδετέρου αὐτῶν, τούτων οὔτε συμπεπλεγμένων δυνατὸν γενέσθαι τι· οἷον ἐκ τοῦ ὄντος ἁπλῶς οὐ δυνατὸν γενέσθαι τι· ὡσαύτως καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος, ἵνα ταῖς Ἀριστοτέλους χρησώμεθα φωναῖς· πῶς ἀμφότερα γέγονε δυνατὰ, καὶ τὸ γενέσθαι ἐξ ὄντος, καὶ τὸ γενέσθαι ἐκ μὴ ὄντος; Εἰ τὸ ὑποκείμενον ἐξ οὗ γίγνεται τὸ γιγνόμενον τοῖς ἐναντίοις ἀνάγκη ὑποκεῖσθαι, οὐκ ἄρα γίγνεταί τι ἐκ τῆς στερήσεως κατὰ συμβεβηκὸς τοῖς ἐναντίοις μὴ ὑποκειμένης. Ὁ τὸ πᾶν μὴ ἀναιρῶν, μήτε εἶναι, μήτε τὸ μὴ εἶναι, ἀλλὰ συγχωρῶν τὸ πῶς εἶναι, καὶ μὴ εἶναι, πῶς δύναται ἀληθεύειν λέγων τὴν ὕλην μὴ εἶναι, μήτε οὐσίαν, μήτε τόδε τι, μήτε ὄν; Εἰ γίγνεται μὲν τὸ γιγνόμενον, οὐκ ἐξ ἁπλῶς δὲ μὴ ὄντος, οὔτε ἐξ ἁπλῶς ὄντος, ἀλλὰ ἐξ ἀμφοτέρων, γίγνεται ἄρα καὶ ἐκ τῆς ὕλης ὡς ἐκ τοῦ ὄντος, καὶ ἐκ τοῦ μὴ ὄντος, καὶ ὡς ἐκ τοῦ τόδε τι ὄντος, καὶ τόδε τι μὴ ὄντος. ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, ψευδὲς ἄρα τὸ ῥηθὲν περὶ τῆς ὕλης, τὸ μήτε αὐτὴν εἶναι οὐσίαν, μήτε τόδε τι, μήτε ὄν. Ὥσπερ ἡ ὕλη ἐστὶν ἄμορφος, οὕτως καὶ τὸ εἶδός ἐστιν ἄυλον. ἀλλ' εἰ μὲν ἡ ὕλη καὶ τὸ ἄμορφον αὐτῆς εἰσὶ δύο ἀρχαὶ, καὶ τὸ εἶδος ἄρα καὶ τὸ ἄυλον αὐτοῦ δύο ἔσονται ἀρχαί. πῶς οὖν τεσσάρων οὐσῶν τῶν ἀρχῶν, τρεῖς μόναι ἐτέθησαν ἀρχαί;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

» Ἡμεῖς γὰρ ὕλην καὶ στέρησιν ἕτερον εἶναι φαμέν· » καὶ τούτων τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμβεβηκὸς, τὴν » ὕλην· τὴν δὲ στέρησιν [καὶ] καθ' αὑτήν· καὶ τὴν » μὲν, ἐγγὺς καὶ οὐσίαν πως, τὴν δὲ, οὐδαμῶς. οἱ δὲ » τὸ μὴ ὂν [εἶναί φασι,] τὸ μέγα καὶ τὸ μικρὸν, ὁμοίως » ἢ τὸ συναμφότερον, ἢ τὸ χωρὶς ἑκάτερον. ὥστε παν-
189 τελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος κἀκεῖνος.

Εἰ κατὰ συμβεβηκὸς οὐκ ὂν εἶναι τῇ ὕλῃ ἐστὶ, δηλονότι κατὰ συμβεβηκὸς ἡ ὕλη οὔτε ὕλη ἐστὶν, οὔτε ἀρχή. ὄντος γάρ ἐστι τὸ εἶναι ὕλη, καὶ τὸ εἶναι ἀρχή. καὶ εἰ κατὰ συμβεβηκὸς οὐκ ὂν εἶναί ἐστι τῇ ὕλῃ διὰ τὴν στέρησιν, δηλονότι κατὰ συμβεβηκὸς ὄν ἐστι διὰ τὸ εἶδος. ἔσται ἄρα ἡ ὕλη καθ' αὑτὸ μὲν, οὐδέποτε ὄν· κατὰ συμβεβηκὸς δὲ, ἀεὶ, ποτὲ μὲν οὐκ ὂν εἶναι, ποτὲ δὲ ὂν εἶναι. πῶς οὖν οὐκ ἔστιν ἄτοπον τὸ λέγειν ἐγγὺς εἶναι οὐσίας καὶ οὐσίαν πως τὸ μηδέποτε καθ' αὑτὸ ὄν; Εἰ ἄλλο τὸ ὕλην εἶναι, καὶ ἄλλο τὸ τινὸς εἶναι ὕλην·

quæ in equi substantia contemplatione cernuntur, ad id vt gignatur apposita sunt: quomodo materia ingenita fuit, vnde equus genitus est? Si per seipsum neque priuatio neque materia est; accidentia autem id quod per seipsum est, consequitur: quomodo iuxta accidentiam ex priuatione quidquam fieri potest, quæ neque per seipsum, neque per accidentiam est? Si, ex quorum, cum disiuncta sint, alterutro fieri quidquam non potest, ex eisdem neq; complicatis fieri etiã aliquid potest; sicut ex eo quod simpliciter sit, fieri quidquã nequit; ita etiam ex eo quod simpliciter non sit, vt vocibus Aristotelis vtamur: qui factum vt vtrumque, videlicet & ex eo quod sit fieri, & ex eo quod non sit fieri, possibile sit? Si subiectum, vnde id gignitur quod gignitur, contrariis subiici necesse est: nõ gignitur e priuatione quidquam accidentia, quæ contrariis non subiicitur. Qui quidque vel esse vel nõ esse, non infitiatur, sed quidq; esse aut non esse concedit: quomodo verus esse potest, dicens, materiam non esse neque essentiam, neque hoc ipsum aliquid, neq; quod sit? Si id quod fit, non ex eo quod simpliciter non sit, fit; neque ex eo quod simpliciter sit, sed ex vtroque: fit certe etiam ex materia, quasi ex eo quod sit, & ex eo quod nõ sit, & tamquam ex eo quod hoc ipsum quidquam sit, & ex eo quod hoc ipsum quidquam non sit. At si hæc ita habent, falsum certe fuerit quod de materia est dictum, neque substantiam eam esse, neque hoc ipsum aliquid, neque quod sit. Si, quemadmodum materia est absq; forma, ita & forma absque materia: ac si materia & informitas eius duo sunt principia, forma quoque & immateriale eius duo erũt principia: quomodo, cum quatuor sint, tria dumtaxat posita sunt principia?

6. EX EODEM LIBRO.

Nos enim materiam & priuationem diuersum esse dicimus: atque horum alterum quidem quod non sit, esse accidentiã, materiam videlicet; alterum autem per seipsum, nimirum priuationem: & illam prope, & quodammodo substantiã, materiam; hanc vero haudquaquam, priuationem. At illi, quod non sit, esse dicunt, magnum & paruum similiter, aut vtrumque simul, aut alterum seorsum; ita vt omnino alter sit hic modus ternionis ab illo.

Si accidentiã, vt quod non sit exsistat, materia obtinet: accidentia nimirum materia neque materia sit, neque principiũ. Eius enim quod sit, est, vt materia sit, & vt principium sit. Et, si accidentia, vt quod non sit exsistat, materia obtinet, propter priuationem: videlicet accidentia, quod sit exsistat, propter formam. Proinde materia per seipsam quidem, quod nunquam sit, erit: accidentia autem semper, aliquando quod non sit, aliquando quod sit, fuerit. Itaque quomodo absurdum non est dicere, prope substantiã esse, & quodãmodo substãtiã, id quod per seipsum nũquã sit? Si aliud est materiã esse, & aliud alicuius materiã

esse, & materia eo priuatur vt alicuius sit materia: eo aũt vt materia sit, nó priuatur: erit profecto materia, & id quod sit, & id quod non sit. quod sit, quod materia sit: quod non sit, quia alicuius materia nõ sit. Sed enim si materia nullius est materia, neque informitatis materia fuerit. Sin informitatis materia est, numquã sane materia fuit, quatenus materia: sed semper alicuius materia, aliquãdo informitatis, aliquando formæ. Informitatem vero esse aliquid, inde satis liquet, quod eorum quę fiunt, posita est principiũ esse. At hęc si ita habent, numquam profecto quod non sit, materia fuerit. Sin quod sit fuerit, aliquando informis, aliquando conformata fuerit, ac proinde semper ad id vt gignatur apposita. Si materia coæternam suam informitatem abiicere potest, nimirum etiam coæternam suam ortu carenté perpetuitatem abiicere potest. Sin secũdum minus, neque sane & primum. Quomodo igitur quod fit, ex materia fit, materia coæternam suam informitatem non abiiciẽte? Si, quemadmodum modus eius qui secundum Aristotelem est ternionis, diuersus est ab eo qui iuxta Platoné est, ternionis modo: sic etiam ternio diuersus: quomodo eorum quæ fiunt, principium nó senio fuerit, sed ternio? Ac si ternio nó diuersus, quomodo modus eius diuersus?

7. EX EODEM LIBRO.

Ipsa quidem materia sustinens, eorũ quæ fiũt, vna cũ forma causa est, perinde atq; mater. Pars autem altera repugnantia persæpe ei qui mentem ad maleficium eius intendat, quod plane non sit, imaginatione animi videatur. nam cum sit diuinum quiddam, & bonum & expetendum: alterũ quidem contrarium ei esse dicimus; alterum vero, quod ea est propensione vt illud diuinum expetat & affectet, secundũ naturam suã. His porro euenit vt contrariũ expetant, ad sui ipsorũ interitum. Forma certe ipsa neque seipsam expetere potest propterea quod indigens non sit: neque contrarium; seipsa namque inuicem interimunt quæ cõtraria sunt. Sed id est materia, haud aliter atq; si fœmina virum, & turpe pulchrũ expetat. sed enim nõ per seipsum, vel turpe vel fœmina, sed accidentiã. Interit aũt & gignitur, ac quodammodo tum interit & gignitur, tũ nec interit nec gignitur. Nã quatenus quidem aliquid est in quopiã, per seipsum interit: quod enim in eo interit, priuatio ipsa est: quatenus vero secundum potentiam, nõ per seipsum, sed incorruptibilem & ingenitam eam esse necesse est. nam siue gignitur quid, subiici aliquid primum oportet, vnde ita vt insit gignatur: (id autẽ est eius natura. quocirca prius erit quam gignatur. Dico enim materiam subiectum primum cuiusque, vnde aliquid ita vt insit gignitur, non secundum accidentiam) siue interit quid, in hoc extremum abit. proinde prius interierit, quam intereat.

καὶ στερεῖται μὲν ἡ ὕλη τοῦ τινὸς εἶναι ὕλην, τοῦ δὲ εἶναι αὐτὴν ὕλην οὐ στερεῖται, ἔσται ἄρα ἡ ὕλη ὂν καὶ οὐκ ὄν· ὂν μὲν, διὰ τὸ εἶναι αὐτὴν ὕλην· οὐκ ὂν δὲ, διὰ τὸ μὴ εἶναι αὐτὴν τινὸς ὕλην. ἀλλ' εἰ μηδενός ἐστιν ὕλη ἡ ὕλη, οὐδὲν ἄρα τῆς ἀμορφίας ἐστὶν ἡ ὕλη. εἰ δὲ τῆς ἀμορφίας ἐστὶν ἡ ὕλη, οὐδέποτε ἄρα ἦν ἡ ὕλη, ἡ ὕλη, ἀλλ' ἀεί τινος ὕλη, ποτὲ μὲν τῆς ἀμορφίας, ποτὲ δὲ τῆς μορφῆς. ὅτι δέ τι ἐστὶν ἡ ἀμορφία, δῆλον ἐκ τοῦ εἰπεῖν ἀρχὴν εἶναι τῶν γιγνομένων. ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, οὐδέποτε ἄρα οὐκ ὂν εἶναι τὴν ὕλην· ἀλλ' εἰ ὂν εἶναι, ποτὲ μὲν ἄμορφον, ποτὲ δὲ μεμορφωμένην, διὸ καὶ ἀεὶ γενητήν. Εἰ δύναται ἡ ὕλη τὴν συναΐδιον αὐτῆς ἀποβαλεῖν ἀμορφίαν, δύναται ἄρα καὶ τὴν συναΐδιον αὐτῆς ἀποβαλεῖν ἀγεννησίαν· εἰ δὲ μὴ τὸ δεύτερον, οὐδὲ ἄρα τὸ πρῶτον. πῶς οὖν γίγνεται τὸ γιγνόμενον ἐκ τῆς ὕλης, τῆς ὕλης τὴν συναΐδιον αὐτῆς ἀμορφίαν μὴ ἀποβαλλομένης; Εἰ ὥσπερ ὁ τρόπος τῆς κατὰ τὸν Ἀριστοτέλην τριάδος ἕτερός ἐστι παρὰ τὸν τρόπον τῆς κατὰ Πλάτωνα τριάδος, οὕτω καὶ ἡ τριὰς ἑτέρα, πῶς οὐκ ἔστιν ἀρχὴ τῶν γιγνομένων ἡ ἑξὰς, ἀλλ' ἡ τριάς; καὶ εἰ ἡ τριὰς οὐχ ἑτέρα, πῶς ὁ τρόπος αὐτῆς ἕτερος;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἡ μὲν γὰρ ὑπομένουσα, συναιτία τῇ μορφῇ τῶν γιγνομένων ἐστὶν, ὥσπερ μήτηρ· ἡ δὲ ἑτέρα, μοῖρα τῆς ἐναντιώσεως, πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν, οὐδὲ εἶναι τὸ παράπαν. ὄντος γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν ἐναντίον αὐτῷ φαμὲν εἶναι· τὸ δὲ ὃ πέφυκεν ἐφίεσθαι καὶ ὀρέγεσθαι αὐτοῦ, κατὰ τὴν φύσιν αὐτοῦ. τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς αὐτοῦ φθορᾶς· καίτοι οὔτε αὐτὸ αὐτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος, διὰ τὸ μὴ εἶναι ἐνδεές, οὔτε τὸ ἐναντίον· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία· ἀλλὰ τοῦτό ἐστιν [ἡ] ὕλη, ὥσπερ ἂν εἰ θῆλυ ἄρρενος, καὶ αἰσχρὸν καλοῦ· πλὴν οὐ καθ' αὐτὸ αἰσχρὸν, ἀλλὰ κατὰ συμβεβηκὸς, οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός. φθείρεται δὲ καὶ γίνεται, ἔστι μὲν ὡς, ἔστι δὲ ὡς οὔ. ὡς μὲν γὰρ τὸ ἐν ᾧ, καθ' αὐτὸ φθείρεται· τὸ γὰρ φθειρόμενον ἐν τούτῳ ἐστὶν ἡ στέρησις· ὡς δὲ κατὰ δύναμιν, οὐ καθ' αὐτὸ, ἀλλὰ ἄφθαρτον καὶ ἀγένητον, ἀνάγκη αὐτὴν εἶναι. εἴτε γὰρ ἐγίγνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον, τὸ ἐξ οὗ ἐνυπάρχοντος· τοῦτο δ' ἐστὶν αὐτὴ ἡ φύσις· ὥστ' ἔσται πρὶν γενέσθαι· λέγω γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον [ἑκάστῳ] ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός· εἴτε φθείρεται δὲ, εἰς τοῦτο ἔσχατον ἀφίξεται. ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι:-

Εἰ ὥσπερ ἀρχὴ τῶν γιγνομένων ἡ ὕλη, καὶ τὸ εἶδος, οὕτω καὶ ἡ στέρησις, πῶς ἡ μὲν ὕλη συναιτία τῇ μορφῇ τῶν γιγνομένων, ἡ δὲ στέρησις οὐ συναιτία; Εἰ διὰ τοῦτο

Si eorum quæ gignuntur, vt materia & forma, sic etiam priuatio principium est: quomodo materia quidem eorum quæ fiunt, vna cú forma causa est, priuatio vero minus? Si propterea

prin-

ἀρχὴ τὸ εἶδος, ἐπειδὴ ἐξ αὐτοῦ τὸ εἶναι τῷ γιγνομένῳ, δηλονότι καὶ ἡ στέρησις διὰ τοῦτο ἀρχή, ἐπειδὴ δι' αὐτὴν τὸ μὴ εἶναι τῷ γιγνομένῳ. πῶς οὖν ἀρχὴ λέγεται τῶν γιγνομένων ἡ στέρησις; Εἰ, ὅτι πάρεστι τὸ εἶδος, τότε ἡ στέρησις οὐχ ὑπομένει, δῆλον ὅτι μὴ παρόντος τοῦ εἴδους, ὑπομένει ἡ στέρησις. πῶς οὖν οὐκ ἔστιν ἄτοπον τὸ λέγειν μὴ εἶναι τὸ ὑπομένον, ὄντος γάρ ἐστι τὸ ὑπομένειν. Εἰ ἑτέρα μοῖρα τῆς ἐναντιώσεως ἐστὶν ἡ στέρησις, καὶ τὸ κακοποιὸν ταύτης ἐστὶ τὸ εἶδος, πῶς οὐκ ἔστι τὸ εἶδος ἀγαθόν τι καὶ κακόν; ἀγαθὸν μὲν τῇ ὕλῃ, ὡς δι' αὐτοῦ ὑπάρχειν τῇ ὕλῃ τὸ οὐσίᾳ εἶναι· κακὸν δὲ τῇ στερήσει, ὡς δι' αὐτοῦ ἀναιρουμένῃ. Εἰ ἔστι τὸ θεῖόν τι καὶ ἀγαθὸν καὶ ἐφετόν, καὶ ἔχει τὸ ἐναντίον ὃ οὐκ ἔστιν οὔτε ἀγαθὸν οὔτε ἐφετόν, ἔσται ἄρα τὸ θεῖον ἀγαθόν τι καὶ οὐκ ἀγαθόν, ἐφετόν τι καὶ οὐκ ἐφετόν· διὸ καὶ θεῖόν τε καὶ οὐ θεῖον. εἰ δὲ ἄτοπον τοῦτο, οὐκ ἄρα τὸ θεῖον τὸ ἀγαθόν τε καὶ ἐφετόν, ἔχει τὸ ἐναντίον. τὸ γὰρ ἁπλῶς ἀγαθόν, πᾶσιν ἀγαθόν, οὐ τισὶ μόνον. Εἰ τὸ ἐναντίον τοῦ ἀγαθοῦ οὐκ ἐφίεται τοῦ ἀγαθοῦ· φθορᾶς γὰρ τῆς αὐτοῦ φύσεως ἐφίεται, εἰ ἐφίεται τοῦ ἀγαθοῦ· καὶ τὸ εἶδος ἑαυτοῦ οὐκ ἐφίεται· ἀνενδεὲς γὰρ τὸ εἶδος· ἔστι δὲ τὸ θεῖον ἐφετόν τε καὶ ὀρεκτόν· τίνι δὲ ἐφετόν τε καὶ ὀρεκτόν, εἰ μὴ τῇ ὕλῃ; ἔμψυχος ἄρα ἡ ὕλη. ἐμψύχου γάρ ἐστι τὸ ἐφίεσθαι καὶ ὀρέγεσθαι· εἰ δὲ ἔμψυχος ἡ ὕλη, πῶς οὐκ ἔστι ψευδές, τὸ οὐκ ὂν εἶναι κατὰ συμβεβηκὸς τὴν ὕλην; ἡ γὰρ ψυχὴ ὄν ἐστι, καὶ τὸ ψυχὴν ἔχον ὄν ἐστιν. Εἰ, ὡς θῆλυ ἐφίεται τοῦ ἄρρενος, καὶ ὡς αἰσχρὸν τοῦ καλοῦ, ἡ ὕλη ἐφίεται τοῦ ἀγαθοῦ, καὶ οὐκ ἔστιν ἡ ὕλη καθ' αὑτὸ θῆλυ καὶ αἰσχρόν, ἀλλὰ κατὰ συμβεβηκός, δηλονότι οὐδὲ καθ' αὑτὸ ἐφίεται τοῦ ἀγαθοῦ, ἀλλὰ κατὰ συμβεβηκός. ἔσται ἄρα καὶ τὸ θεῖον οὐ καθ' αὑτὸ ἀγαθόν τε καὶ ἐφετὸν καὶ ὀρεκτόν, ἀλλὰ κατὰ συμβεβηκός· ὅπερ ἐστὶν ἄτοπον λέγειν. Εἰ ἔστιν ἡ ὕλη γεννητὴ μὲν διὰ τὸ εἶδος, φθαρτὴ δὲ διὰ τὴν στέρησιν, ἀγέννητος δὲ δι' ἑαυτὴν καὶ ἄφθαρτος, ἔσται ἄρα ἡ ὕλη ἀεὶ μὲν φθαρτὴ ἢ γεννητή, ἄφθαρτος δὲ καὶ ἀγέννητος οὐδέποτε. ἀεὶ γὰρ ἢ στερήσει ὑπόκειται τῇ ἐν αὐτῇ φθειρομένῃ, ἢ τῷ εἴδει τῷ ἐν αὐτῇ γιγνομένῳ. Τὸ ἀγέννητον ἐπὶ μὲν τῶν γεννητῶν τὴν στέρησιν σημαίνει γενέσεως δυναμένης ἔσεσθαι· ἐπὶ δὲ τῶν ἀϊδίων, τὴν ἀπόφασιν πάσης σημαίνει γενέσεως, τῆς τε προγεγονυίας καὶ τῆς μελλούσης ἔσεσθαι· οἷον ὁ χαλκὸς ὁ μέλλων ἔσεσθαι ἀνδριάς, πρὶν γένηται ἀνδριάς, ἀγέννητος λέγεται κατὰ στέρησιν, διὰ τὸ δύνασθαι αὐτὸν γενέσθαι ἀνδριάντα· ἐπὶ δὲ θεοῦ τὸ ἀγέννητον, πάσης ἀπόφασιν σημαίνει τῆς κατ' οὐσίαν γενέσεως προγεγονυίας τε καὶ μελλούσης. δύο τοίνυν ὄντων τῶν τῆς ἀγεννησίας τρόπων, κατὰ ποῖόν ἐστιν ἀγέννητος ἡ ὕλη; εἰ μὲν κατὰ στέρησιν, ἀγέννητος ἄρα ἡ ὕλη ὥσπερ ὁ χαλκός· εἰ δὲ κατὰ

principiũ est forma, quod ex ipsa id quod gignitur sit: scilicet eo quoque principiũ est priuatio, quod per eam id quod gignitur nõ sit. quomodo ergo principium eorum quæ gignuntur, priuatio dicitur? Si, cum forma adest, tum priuatio nõ permanet: nempe forma absente, priuatio manet. Qui ergo non potest esse absurdũ dicere, id quod manet, nõ esse? Eius enim quod sit, manere est. Si altera pars repugnantiæ priuatio est, & quod huic malefacit forma est: quo pacto forma non est bona & mala? bona materiæ, vt per quam materia, vt essentia sit, obtineat: mala priuationi, vt per quam ipsa aboleatur. Si quid est diuinum & bonum & expetendum, & sibi repugnans habet, quod neque bonum sit neque expetendũ: nempe erit diuinum bonum & non bonum, expetendum & non expetendum: ac proinde diuinum & non diuinum. At hoc si absurdum est, non habebit aliquid repugnans diuinum quod bonum sit & expetendum. nam quod simpliciter bonum est, vniuersis, & non quibusdam tantummodo bono est. Si id quod bono repugnat, bonum non expetit; (corruptelam enim naturæ suæ expetat, si bonum expetat) & forma seipsam non expetit; (forma enim indigens non est) diuinum vero est quod expetitur, & affectatur: cui porro id expetendum & affectandum, nisi materiæ? animata profecto materia fuerit. animati namque est, expetere & affectare. Sin animata materia, quî falsum nõ est, materiam quod non sit esse accidentia? anima enim quod sit, est: & animam habens quod sit, est. Si, quemadmodum fœmina marem appetit & turpe pulchrũ, sic materia concupiscit bonum: & materia non per se est fœmina & turpe, sed per accidentiam: nimirum neque per se concupiscit bonum, sed accidentiã. Quocirca & diuinum per se ipsum non erit bonum & expetendum, sed per accidẽtiam. quod sane absurdum est dicere. Si materia idonea est ad generationem propter formam, ad internecionem vero propter priuationem: erit certe materia semper subiecta internecioni aut generationi, incorruptibilis autem & ingẽnita numquam. semper etenim vel priuationi subiicitur in ipsa occidenti, vel formæ in ipsa nascenti. Ingenitum, in eis quæ generationi subdita sunt, generationis quæ in futuro esse potest, priuationem significat: in sempiternis autem generationis omnis, quæ vel præcesserit, vel futura sit, infitiationem denotat: veluti æs quod statua futurum sit, priusquam statua fiat, ingenitum dicitur, iuxta priuationẽ, eo quod statua fieri queat: in Deo aũt ingenitũ generationis vniuersę, & præteritæ & futuræ, designat negationem. Cum igitur duo sint Ingeniti modi, quomodo est materia ingenita? ac siquidem secundum priuationem, ingenita fuerit sicut æs: sin iuxta

infitiationẽ, nihil materia fuerit: neq; quã rationẽ habet æs ad statuã, eãdem habere poterit materia ad essentiã, sicut ait Aristoteles. Si materia perinde est ingenita atq; Deus, & Deus ex ingenito [materia tali videlicet] facere aliquid potest: certum est Deũ ex eo etiã quod simpliciter nõ sit [ex nihilo] aliquid facere posse. Quã enim inhabile est id quod non fit ad id vt inde aliquid fiat natura & arte: tam inhabile est id quod perpetuo sit ingenitum, ad id vt aliquid ex eo fiat natura & arte. Quinã igitur ex eo quod perpetuo ingenitũ sit, Deus aliquid cõdere potuit: ex eo aũt quod omnino nõ sit, nõ potuit? Sed enim aperte incredulitas, Deũ aliquid ex eo quod nõ sit, creare posse, primos quidẽ philosophos, ad eorũ quæ fiunt ex materia procreationis omnis negationẽ; eorũ vero correctorẽ Aristotelem, ad generationis materiæ [quod eam Deus creauerit] impulit abrogationem. Si est quod gignitur, & aliquid est quod hoc ipsum gignitur; quemadmodũ in superioribus dixit: nullum certe horum est materia, si ingenita est & incorruptibilis. Si materia ingenita est & incorruptibilis, necessario iuxta vtrumque ingeniti modum ingenita est neque sane ex ea gignitur, neq; interit in ea quidquã. Qui ergo in eo quod nõ interit, priuatio interit? Si vna est materia, multa vero & varia quæ ex ipsa fiunt, quomodo necesse est materiã manere ingenitã, cũ id quod semper in ea diuiditur, indiuiduum manere nequeat? Si numero quidem materia vna est, specie autem duplex, ingenitaq; est & incorruptibilis: nempe aut tota est ingenita & incorruptibilis, aut dimidium eius. Ac si quidem tota ingenita est & incorruptibilis, nimirum & dimidium eius huiusmodi est. Sin dimidiũ eius est ingenitum & incorruptibile, & dimidium eius non itidem: assertio sibi ipsi repugnans de re eadem vera fuerit; quod fieri non potest. Si id quod formam recipit, aut ea ipsa gignitur, aut ex illa gignitur: quomodo materia ingenita, quæ formam recipit? Si ingenitum esse, & incorruptibile, eorum est quæ sunt: quomodo materia & id quod sit, non est, & ingenita incorruptibilisque est? Si, quod in ingenito est, ingeniti modo ingenitum quoq; ipsum est: quomodo quæ in materia ingenita est priuatio, & oritur, & interit? Si, quemadmodum dictum est, alterum contrariorum satis est ad faciendam præsentia & absentia sua mutationem: quidnam est in materia, cum ingenita sit & incorruptibilis, quod mutetur? Si ingenitum & incorruptibile circa substantiam contemplatione perspicitur, cum id quod ingenitum est, incorruptibile quoq; sit: vbi est ingenitum & incorruptibile materiæ, cum materia substantia non sit? Nisi æs genitũ esset, iuxta præcedẽtem eius generationẽ, statua facta non fuisset: quomodo ergo materia, aut ex materia aliquid fit, cũ materia prius genita non fuerit?

ἀπόφασίν ἐστιν ἡ ὕλη ἀγένητος, οὐδὲν ἄρα γίνεται ἡ ὕλη· οὔτε ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς τὸν ἀνδριάντα, τοῦτον δύναται ἔχειν ἡ ὕλη πρὸς τὴν οὐσίαν, καθὰ εἶπεν Ἀριστοτέλης. Εἰ οὕτως ἐστὶν ἡ ὕλη ἀγένητος ὡς ὁ Θεός, καὶ δύναται ὁ Θεὸς ἐκ τοῦ ἀγενήτου ποιῆσαί τι, δῆλον ὡς δύναται ὁ Θεὸς καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ποιῆσαί τι. ἣν γὰρ ἔχει ἀνεπιτηδειότητα τὸ μὴ ὂν πρὸς τὸ μὴ γενέσθαι τι ἐξ αὐτοῦ κατὰ φύσιν καὶ κατὰ τέχνην, τὴν αὐτὴν ἔχει καὶ τὸ ἀϊδίως ἀγένητον πρὸς τὸ γενέσθαι τι ἐξ αὐτοῦ κατὰ φύσιν, καὶ κατὰ τέχνην. πῶς οὖν ἐκ μὲν τοῦ ἀϊδίως ἀγενήτου ἠδυνήθη ὁ Θεὸς ποιῆσαί τι· ἐκ δὲ τοῦ ἁπλῶς μὴ ὄντος οὐκ ἠδυνήθη; ἀλλὰ πρόδηλος ἡ ἀπιστία τοῦ δύνασθαι τὸν Θεὸν ἐκ μὴ ὄντος ποιῆσαί τι, τοὺς μὲν πρώτους φιλοσόφους εἰς ἄρνησιν πάσης τῶν ὄντων ἐκ τῆς ὕλης γενέσεως, ἀπώσατο· τὸν δὲ τοῦτο διορθωσάμενον Ἀριστοτέλην, εἰς ἀναίρεσιν τῆς γενέσεως τῆς ὕλης. Εἰ ἔστι τὸ γιγνόμενον, καὶ ἔστι τὸ ὃ τοῦτο γίγνεται, καθὰ εἶπεν ἐν τοῖς ἀνωτέρω· οὐδὲν ἄρα τούτων ἐστὶν ἡ ὕλη, εἰ ἀγένητός ἐστι καὶ ἄφθαρτος. Εἰ ἀγένητός ἐστιν ὕλη καὶ ἄφθαρτος, ἐξ ἀνάγκης καθ' ἑκάτερον τὸν τῆς ἀγενησίας τρόπον ἀγένητός ἐστιν. οὔτ' ἄρα γίνεταί τι ἐξ αὐτῆς, οὔτε φθείρεται ἐν αὐτῇ. πῶς οὖν φθείρεται ἐν ἀφθάρτῳ ἡ στέρησις; Εἰ μία ἐστὶν ἡ ὕλη, πολλὰ δὲ καὶ 198
διάφορα τὰ ἐξ αὐτῆς γιγνόμενα, πῶς ἀνάγκη μένειν τὴν ὕλην ἀγένητον, τοῦ ἀεὶ διαιρετοῦ αὐτῆς μὴ δυναμένου μένειν ἀδιαιρέτου; Εἰ ἀριθμῷ μὲν μία ἐστὶν ἡ ὕλη, εἴδει δὲ δύο, καὶ ἔστιν ἀγένητος καὶ ἄφθαρτος· ἢ ἄρα ὅλη ἐστὶν ἀγένητος καὶ ἄφθαρτος, ἢ τὸ ἥμισυ αὐτῆς. ἀλλ' εἰ μὲν ὅλη ἐστὶν ἀγέννητος καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ τὸ ἥμισυ αὐτῆς τοιοῦτον· εἰ δὲ τὸ ἥμισυ αὐτῆς ἐστιν ἀγένητόν τι καὶ ἄφθαρτον, καὶ τὸ ἥμισυ αὐτῆς οὐ τοιοῦτον, ἔσται ἄρα ἡ ἀντίφασις περὶ τοῦ αὐτοῦ ἀληθής· ὅπερ ἀδύνατον. Εἰ τὸ δεχόμενον τὸ εἶδος ἢ ἐκεῖνο γίγνεται, ἢ ἐξ ἐκείνου γίγνεται, πῶς ἀγέννητος ἡ ὕλη τὸ εἶδος δεχομένη; Εἰ τῶν ὄντων ἐστὶ τὸ ἀγένητον εἶναι, καὶ ἄφθαρτον, πῶς ἡ ὕλη καὶ ὃ οὐκ ἔστι, καὶ ἀγένητός καὶ ἄφθαρτός ἐστιν; Εἰ τὸ ἀγεννήτως ὂν ἐν τῷ ἀγεννήτῳ ἀγένητόν ἐστι καὶ τοῦτο, πῶς ἡ ἀγένητος οὖσα ἐν τῇ ὕλῃ στέρησις γίνεται καὶ φθείρεται; Εἰ, καθὼς εἴρηται, ἱκανὸν τὸ ἕτερον τῶν ἐναντίων τῇ ἑαυτοῦ παρουσίᾳ τε καὶ ἀπουσίᾳ ποιεῖν τὴν μεταβολήν, τί τὸ μεταβαλλόμενον, τῆς ὕλης ἀγεννήτου καὶ ἀφθάρτου οὔσης; Εἰ τὸ ἀγένητον καὶ ἄφθαρτον περὶ τὴν οὐσίαν θεωρεῖται, τοῦ ἀγεννήτου καὶ ἀφθάρτου ὄντος, ποῦ τὸ ἀγένητον καὶ ἄφθαρτον τῆς ὕλης, οὐσίας μὴ οὔσης τῆς ὕλης; Εἰ μὴ ἦν γεννητὸς ὁ χαλκὸς κατὰ τὴν προηγουμένην αὐτοῦ γένεσιν, οὔτε ἀνδριὰς ἐγένετο· πῶς τοίνυν γίνεται ἡ ὕλη ἢ ἐκ τῆς ὕλης τι, τῆς ὕλης μὴ προηγουμένης;

Εἰ μὴ ἐφθείρετο ὁ χαλκὸς, οὐδὲ τὸ χαλκοῦν ἐφθείρετο· πῶς τοίνυν φθείρεται τὸ ὑλικὸν, τῆς ὕλης ἀφθάρτου οὔσης; Εἰ ἐκ τῶν ἀσωμάτων σῶμα οὐκ ἀποτελεῖται, πῶς γέγονε σῶμα ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, καθ' αὐτὰ ἀσωμάτων ὄντων; Εἰ φυσικῇ ἀνάγκῃ ἀκολουθεῖ τῷ ἀγενήτῳ καὶ ἀφθάρτῳ τὸ ἀδιαίρετον καὶ τὸ ἄτρεπτον, πῶς ἐν τοῖς διῃρημένοις κατὰ γένη εἴδεσιν ἐστὶν ἡ ἀγένητος καὶ ἄφθαρτος ὕλη, καὶ πῶς κατὰ ἀλλοίωσιν γίνεται τὰ τρεπόμενα κατὰ τὴν ὕλην; καθὼς ἐν τῇ ἐκθέσει τῶν τῆς γενέσεως τρόπων διωρίσατο ἐν τοῖς ἀνωτέρω.

ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ ΤΗΣ φυσικῆς ἀκροάσεως Ἀριστοτέλους.

Ἕνα μὲν οὖν τρόπον ἡ φύσις οὕτω λέγεται, ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη, τῶν ἐχόντων ἐν αὐτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς· ἄλλον δὲ τρόπον, ἡ μορφὴ καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. ὥσπερ γὰρ τέχνη λέγεται τὸ κατὰ [τὴν] τέχνην, καὶ τὸ τεχνικὸν, οὕτω καὶ φύσις τὸ κατὰ φύσιν λέγεται, καὶ τὸ φυσικόν:-

Τί οὖν ἂν εἴποιμεν τὸ κατὰ τὴν ὕλην, καὶ τὸ ὑλικὸν, εἰ μὴ ὕλην; εἰ ποῦ τι ἕτερον; εἰ δὲ ὕλην λέγοιμεν τοῦτο, ἔσται ἄρα τότε ὕλην εἶναι τὴν ὕλην, ὅτε τὸ κατὰ τὴν ὕλην, καὶ τὸ ὑλικόν ἐστι· γὰρ ἡ φύσις τότε φύσις, ὅτε τὸ κατὰ φύσιν, καὶ τὸ φυσικόν· ὡσαύτως δὲ καὶ ἡ τέχνη. τὰ γὰρ κατὰ τὸν αὐτὸν τρόπον ἐκφωνούμενα, τὸν αὐτὸν πρὸς ἄλληλα ἔχει λόγον. ἀλλ' εἰ τότε ἡ ὕλη ὑπάρχει, ὅτε τὸ κατὰ τὴν ὕλην καὶ τὸ ὑλικὸν, οὐκ ἄρα ἀγένητος ἡ ὕλη.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ὥστε ἄλλον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων
194 ἐν αὐτοῖς κινήσεως ἀρχὴν, ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωριστὸν ὂν, ἀλλ' ἢ κατὰ τὸν λόγον· τὸ δὲ ἐκ τούτων, φύσις μὲν οὐκ ἔστι, φύσει δὲ, οἷον ἄνθρωπος:-

Εἰ κατὰ φύσιν ἐστὶν ὁ ἄνθρωπος, καὶ φυσικόν τι ζῶον, πῶς οὐκ ἔστι φύσις ὁ ἄνθρωπος; διοριζόμενος γὰρ ἔλεγε, φύσις λέγεται τὸ κατὰ φύσιν καὶ τὸ φυσικόν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

192 Ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα· ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα:-

Ἐπειδή ἐστιν ἔργον ἕτερον τὸ μήτε κατὰ φύσιν μήτε κατὰ τέχνην, ποῦ τοῦ τοῦ ἔργου τὴν ὕλην θετέον; γίνεται γὰρ ζῶον ἐκ ζώου· καὶ εἰ μὴ πρῶτον τὸ ζῶον, οὔτε ζῶον ἐκ ζώου. καὶ κατὰ φύσιν μὲν γίνεται τὸ ἐκ ζώου ζῶον, οὐ κατὰ φύσιν δὲ τὸ ζῶον ἁπλῶς. ἀλλ' εἰ μὲν ἐν τοῖς κατὰ τέχνην ἡ ὕλη ἔξωθεν, ἐν δὲ τοῖς κατὰ φύσιν ἡ ὕλη ἐν τοῖς φυσικοῖς, δηλονότι ἐν τοῖς μήτε κατὰ τέχνην μήτε κατὰ φύσιν ἔργοις ἡ ὕλη ἑτέρως ὑπάρχει· ἧς εἰ μὴ ποιήσῃς τὸν διορισμὸν, ὁ περὶ τῶν φυσικῶν τὴν πραγματείαν ἔχων, ἀσύστατα ποιεῖ καὶ τὰ ἤδη διορισθέντα. εἰ γὰρ τότε οἰόμεθα εἰδέναι ἕκαστον, ὅταν τὰ αἴτια γνωρίζωμεν τὰ πρῶτα, καὶ τὰς ἀρχὰς τὰς πρώτας, πῶς ἂν γνωρίσειεν αὖ τις τὸ ἐκ ζώου ζῶον, ὁ τὸ ζῶον ἀγνοῶν τὸ μὴ ἐκ ζώου; ἐκεῖνο γὰρ τούτου ἀρχή τε καὶ αἴτιον.

Nisi æs interiret, neque opus æneum interiret: quonam igitur modo quod e materia fit, interit, quum materia fit extra interitum? Si ex incorporeis corpus nō efficitur, quomodo ex materia & forma corpus est factum, quæ per seipsa incorporea sunt? Si naturali necessitate ingenitū & incorruptibile cōsequitur vt sit indiuiduum & immutabile: quomodo in formis iuxta genera sua distributis, ingenita & incorruptibilis est materia? Et quomodo secundum alterationem ea fiunt, quæ secundū materiā mutantur? sicuti supra in modis generationis exponēdis definiuit.

8. EX SECVNDO LIBRO NATVralis Auscultationis Aristotelis.

Uno quidem modo Natura dicitur, prima cuique subiecta materia, eorum quæ in seipsis habent principium motus & mutationis: alio autem modo forma & species, quæ est iuxta rationem. Sicuti namque Ars dicitur id quod secundum artē est, & artificiale: sic & Natura id dicitur quod secundum naturam est & naturale.

Quid ergo dixerimus id quod iuxta materiam est & materiale, nisi materiam? Dic, quid aliud? atque hoc si materiam vocemus, tum demum materia erit materia, cum id quod secundum materiam & materiale est: nam & Natura tū natura dicitur, cum secundū naturam est & naturale. Cōsimiliter & ars. Quæ nāq; iuxta eūdem efferūtur modū, eandē inter se inuicē habent rationē. Cæterū, si tū demum materia est cum secundum materiam & materiale: nempe materia ingenita non fuerit.

9. EIVSDEM EX EODEM LIBRO.

Proinde alio modo natura eorum quæ in se habent motionis principium, fuerit forma & species: & inseparabilis quidem illa, præter quam ratione & cogitatione. Et quod ex his cōstat, natura quidē nō est: iuxta naturā autē est, sicuti homo.

Si iuxta naturam est homo, & naturale quoddam animans: quomodo homo natura nō est? Definiēdo enim dixit: *Natura dicitur id quod secundū naturā est, & naturale.*

10. EX EODEM LIBRO.

In his quæ arte fiunt, nos ipsi materiam facimus operis gratia: in naturalib. aūt exstat, & est.

Quandoquidem opus aliud est quod neq; natura neq; arte fit: vbi eius ipsius operis materia ponenda? Gignitur namq; animal ex animali; ac nisi sit primū animal [primigeniū a Deo creatū,] neq; animal ex animali fuerit. Et secūdū naturā quidē fit animal ex animali: non secūdum naturam aūt, animal simpliciter. Porro si in his quæ arte fiunt, materia aliunde & extrinsecus est: in his vero quæ natura fiunt, in ipsis reb. naturalibus: videlicet in his quæ neq; arte neq; natura fiūt operibus, materia aliter se habeat: quā tu nisi definias, qui de natura cōmentaris, etiā ea quæ iā definieris, vt nō cōsistant, efficias. Nam si tū demū rem quamq; nos scire putamus, cū primas norimus causas, & prima principia: qui tādem aliquis animans ex animante cognorit, qui animantē ex non animāte ignoret? Illud enim huius principiū & causa.

11. EX EODEM LIBRO.

Quandoquidem Casus & Fortuna causæ eorum sunt quorum Mens auctor fuerit aut Natura, cum accidentia eorum ipsorum causa quæpiam sit: nihil autem eorum quæ accidentia sunt, prius exstat quam quæ per seipsa sunt: certum itaque est, neque eam quæ iuxta accidentiam est, prius quam quæ per seipsam est, causam exstare. Posterius nimirum Mente & Natura fuerint Casus & Fortuna. Quocirca etiamsi casus fortuitus cæli maxime causa fuerit, necesse tamen est, mentem & naturam prius causam fuisse & aliorum multorum & huius vniuersi.

In his non modo primarum & secundarum causarum, quem non seruauit, ordinem expressit: verumetiam cælũ, quod in secundo hoc Naturalis auscultationis libro superius fortuita generatione exemit, generationi subiecit; non fortuitæ solummodo, sed ei etiam quæ mente & natura fit. quod aperte perquam est absurdum: Videlicet quod prius, quæ per mentem & naturam, primas causas, fit, receperit essentialem generationem; idipsum rursum, quæ per secundas causas fit, eandem recipere generationem. Præterea autem quomodo absurdissimum non est, quod idem aliquando eximit, aliquando subiicit eidem fortuitæ generationi: & nunc ingenitum vocat, nunc natura genitum? Proferam vero verba ipsa, in quibus hæc ille facit; vt ex mutua collatione eorum, id quod inuolutum est, cognoscatur falsum.

12. EX EODEM LIBRO.

Sunt vero qui cæli istius & rerum huius mundi omnium Fortuitum euentum pro causa afferunt. fortuito namque dicunt conuersionem & motum esse factum, quæ vniuersitatem hanc in ordinem istum digesserint atque constituerint. Sane quidem hoc eos ita dicere, dignum est admiratione; nempe quod animantes quidem & plantæ fortuito euentu nec sint, nec fiant; sed vel natura, vel mens, vel aliud quidquam eiusmodi, causæ earum sint. non enim temere, quod fors ferat, e quouis semine fit: verum ex huiusmodi olea, ex huiusmodi homo. Quæ vero his quæ manifesto in conspectum cadunt, diuiniora sunt: quod ea fortuito casu constent, & quod eorum istiusmodi causa nulla sit, cuiusmodi animantium est & plantarum. Quod si ita habet, causa idipsum fuerit quæstionis, & recte de eo aliquid dicatur. Præterquam enim quod hoc alioqui contra rationem est dictum, longe insuper absurdius est hoc asserere; cum videamus in cælo nihil euentu fortuito fieri; in his vero quæ non a fortuna sunt, multa fortuito euenire; cum quidem diuersum fieri æquum fuerit.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἐπεὶ δή ἐστι τὸ αὐτόματον καὶ ἡ τύχη αἴτια ὧν ἂν νοῦς γένοιτο αἴτιος, ἢ φύσις, ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται τούτων αὐτῶν, οὐδὲν δὲ κατὰ συμβεβηκός ἐστι πρότερον τῶν καθ' αὐτό, δῆλον ὅτι οὐδὲ τὸ κατὰ συμβεβηκὸς αἴτιον πρότερον τοῦ καθ' αὐτό· ὕστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη [ἐστὶ] νοῦ καὶ φύσεως· ὥστε [εἰ] ὅτι μάλιστα τοῦ οὐρανοῦ αἴτιον τὸ αὐτόματον, ἀνάγκη πρότερον νοῦν αἴτιον καὶ φύσιν εἶναι, καὶ ἄλλων πολλῶν, καὶ τοῦδε τοῦ παντός:-

Ἐν τούτοις οὐ μόνον τῶν πρώτων καὶ τῶν δευτέρων αἰτίων ἣν οὐκ ἐφύλαξεν εἶπε τὴν τάξιν· ἀλλὰ καὶ τὸν οὐρανόν, ὃν καὶ αὐτὸν ἐν τῷ δευτέρῳ λόγῳ τῆς φυσικῆς ἀκροάσεως ἐν τοῖς ἀνωτέρω ὑπεξείλετο τῆς αὐτομάτου γενέσεως, ἐνταῦθα ὑπέβαλε τῇ γενέσει, οὐ μόνῃ τῇ αὐτομάτῳ, ἀλλὰ καὶ τῇ διὰ νοῦ τε καὶ φύσεως· ὅπερ ἐστὶ προδήλως ἄτοπον, τὸ τὸν εἰληφότα διὰ νοῦ τε καὶ φύσεως τὴν κατ' οὐσίαν γένεσιν διὰ τῶν πρώτων αἰτίων, τοῦτον πάλιν διὰ τῶν δευτέρων αἰτίων τὴν αὐτὴν λαβεῖν γένεσιν. Ἔτι δὲ πῶς οὐκ ἔστι τῶν ἀτοπωτάτων, τὸ τὸν αὐτὸν ποτὲ μὲν ἐξελεῖν τῆς αὐτομάτου γενέσεως, ποτὲ δὲ ὑποβάλλειν ταύτῃ· καὶ ποτὲ μὲν ἀγένητον ὀνομάζειν, ποτὲ δὲ γενητὸν ὑπὸ φύσεως; παρέθεμαι δὲ τῶν φωνῶν τούτων τὴν ἔκθεσιν ἐν αἷς ταῦτα ποιεῖ, ἵν' ἐκ παραλλήλου γνωσθῇ τὸ ἐν αὐτῷ περιεχόμενον ψεῦδος.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Εἰσὶ δὲ οἳ καὶ τοῦ οὐρανοῦ τοῦδε, καὶ τῶν κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον· ἀπὸ ταὐτομάτου γάρ φασι γενέσθαι τὴν δίνην καὶ τὴν κίνησιν, τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν· καὶ μάλα τοῦτό γε αὐτὸ θαυμάσαι ἄξιον λέγοντας. τὰ γὰρ μὲν ζῶα, καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι, μήτε γίνεσθαι, ἀλλ' ἤτοι φύσιν, ἢ νοῦν, ἢ τοιοῦτον ἕτερον εἶναί τι. οὐ γὰρ ὅτι ἔτυχεν ἐκ τοῦ σπέρματος ἑκάστου γίνεσθαι, ἀλλ' ἐκ μὲν τοῦ τοιουδὶ ἐλαίαν, ἐκ δὲ [τοῦ] τοιουδὶ ἄνθρωπον· τὰ δὲ θειότερα τῶν φανερῶν ἀπὸ τοῦ αὐτομάτου γίνεσθαι· τοιαύτην δὲ αἰτίαν μηδεμίαν εἶναι οἵαν τῶν ζῴων, ἢ τῶν φυτῶν. καίτοι εἰ οὕτως ἔχει, τοῦτό γ' αὐτὸ αἴτιον εἴη ἂν ζητήσεως, καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ αὐτοῦ τούτου. πρὸς γὰρ τῷ καὶ ἄλλως ἄλογον εἶναι τὸ λεγόμενον, ἔτι ἀτοπώτερον τὸ λέγειν ταῦτα, ὁρῶντας ἐν μὲν τῷ οὐρανῷ οὐδὲν ἀπὸ ταὐτομάτου γιγνό- 193
μενον· ἐν δὲ τοῖς οὐκ ἀπὸ τύχης, πολλὰ συμβαίνοντα ἀπὸ τύχης· καίτοιγε εἰκός γε ἦν τὸ ἐναντίον:-

Ὅτι μὲν ἀπὸ ταὐτομάτου γεγενῆσθαι τὸν οὐρανόν, καὶ πάλιν μὴ ἀπὸ ταὐτομάτου, δηλοῦσιν αἱ λέξεις ὧν τὴν ἔκθεσιν πεποιήκαμεν ἐκ τοῦ δευτέρου λόγου τῆς φυσικῆς ἀκροάσεως, ἐν τοῖς δυσὶ κεφαλαίοις, τῷ τε ἑνδεκάτῳ, καὶ τῷ δωδεκάτῳ·

Quod quidem fortuito cælum factum esse, & contra non fortuito, dixerit; verba ipsa quæ ex secundo libro Naturalis auscultationis, in duobus capitulis, vndecimo nempe & duodecimo, protuli, declarant.

ὅτι δὲ ἀγέννητον, καὶ πάλιν γεννητὸν ὑπὸ φύσεως λέγει αὐτὸν, ποιήσομαι καὶ τούτων τῶν λέξεων τὴν ἔκθεσιν, ἐν αἷς τοῦτο πεποίηκεν.

Quod autem ipsum ingenitum, & rursum a natura genitum dicat; verba quoque ea producam quibus hoc scripsit.

ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΠΕΡΙ ΟΥρανοῦ λόγου Ἀριστοτέλους.

Ὅτι μὲν οὖν οὔτε γέγονεν ὁ πᾶς οὐρανὸς, οὔτε ἐνδέχεται φθαρῆναι, καθάπερ τινές φασιν, ἀλλ᾽ ἔστιν εἷς καὶ ἀΐδιος, ἀρχὴν μὲν καὶ τελευτὴν οὐκ ἔχων τοῦ παντὸς αἰῶνος, ἔχων δὲ καὶ περιέχων ἐν ἑαυτῷ τὸν ἄπειρον χρόνον, ἔκ τε τῶν εἰρημένων ἐξέστι λαμβάνειν τὴν πίστιν:-

13. EX SECVNDO LIBRO Aristotelis de Cælo.

Cælum vniuersum genitum non esse, neque interiturum esse, vt nonnulli dicunt; sed vnum esse & æternum, principium quidem & finem non habens æui vniuersi: infinitum autem tempus in seipso habens & complectens, fidem ea quæ sunt dicta, facere possunt.

Ταῦτα περὶ τῆς ἀγεννησίας τοῦ οὐρανοῦ εἰπὼν Ἀριστοτέλης, ὅρα οἷα πάλιν περὶ τῆς γενέσεως αὐτοῦ λέγει ἐν τῷ πρώτῳ περὶ οὐρανοῦ λόγῳ· Καὶ ὀρθῶς ἔοικεν ἡ φύσις τὸ μέλλον ἔσεσθαι ἀγέννητον καὶ ἄφθαρτον, ἐξελέσθαι ἐκ τῶν ἐναντίων· ἐν τοῖς ἐναντίοις γὰρ ἡ γένεσις καὶ ἡ φθορά. Εἰ τῶν ἀδυνάτων μὲν οὐδὲν οὔτε ἐστὶν, οὔτε ἔσεσθαι δυνατόν· ἔστι δὲ τῶν ἀδυνάτων, τὸ μέλλον ἔσεσθαι, ἀγέννητον εἶναι ἄναρχόν τε καὶ ἀτελεύτητον, ἔχον τε καὶ περιέχον ἐν ἑαυτῷ τὸν ἄπειρον χρόνον· ἔσται ἄρα ὁ ταῦτα λέγων, δυνατοῦ τε καὶ ἀδυνάτου πράγματος ἀγνοῶν τὴν διαφοράν.

Hæc Aristoteles de cælo ingenito dixit. Vide autem quæ de generatione eius in primo de Cælo libro dicat:

[14. EX PRIMO LIBRO DE CÆLO.]

Et recte videtur natura id quod futurum est sit ingenitum & incorruptibile, repugnantia exemisse. In his enim quæ inter se pugnant, generatio consistit & interitus.

Si, vt eorum quæ fieri nequeunt, quidquam vel sit vel futurum sit, impossibile est: ex impossibilibus autem est, vt aliquid in futuro sit, quod ingenitum sit, principiique & finis expers, tempus infinitum in seipso habens & complectens: erit profecto qui hoc dicit, possibilis atque impossibilis rei differentiæ ignarus.

ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΠΕΡΙ ΟΥΡΑΝΟΥ λόγου Ἀριστοτέλους. ἐν τῷ τέλει τοῦ λόγου.

Οὐθὲν γὰρ ἀπὸ ταὐτομάτου, οὔτε ἄφθαρτον οὔτε ἀγέννητον οἷόν τε εἶναι:-

15. EX PRIMO LIBRO de Cælo, in fine.

Nihil enim quod fortuito sit, neque incorruptibile, neque ingenitum esse potest.

Πῶς οὖν ἄν τις πιστεύσειε τῷ ἀμφότερα λέγοντι περὶ τοῦ οὐρανοῦ; ἐν μὲν τῷ ἑνδεκάτῳ κεφαλαίῳ, τὸ αὐτόματον αἴτιον εἶναι λέγει τοῦ οὐρανοῦ· ἐν δὲ τῷ τρισκαιδεκάτῳ, ἄναρχόν τε καὶ ἀγέννητον τὸν οὐρανὸν εἶναι λέγει.

Quomodo ergo aliquis ei fidē habeat, qui vtrumque de cælo refert? nam in vndecimo capite fortuitum casum dicit esse cæli causam: in tredecimo vero, cælū principio & generatione carere ait.

ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ τῆς φυσικῆς ἀκροάσεως.

Διτταὶ δὲ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς· ὧν ἡ ἑτέρα οὐ φυσική· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν ἑαυτῇ. τοιοῦτον δέ ἐστιν εἴ τι κινεῖ μὴ κινούμενον· ὥστε τό τε παντελῶς ἀκίνητον καὶ τὸ πάντων πρῶτον:-

16. EX SECVNDO LIBRO Naturalis Auscultationis.

Duplicia autem sunt principia quæ naturaliter mouent: quorum alterum naturale non est. nō enim in seipso habet motionis principiū. Eiusmodi vero est aliquid mouēs, quod ipsū nō moueatur, vtpote immobile prorsus, & omniū primū.

Πῶς αὖ οὖν κινήσειε φυσικῶς ἡ ἀρχὴ, ἡ μήτε φυσικὴ οὖσα, μήτε κατὰ φύσιν κινοῦσα; τῇ γὰρ μόνῃ φυσικῇ ἀρχῇ τῇ κατὰ φύσιν κινούσῃ, ἀκόλουθόν ἐστι τὸ φυσικῶς κινεῖν. Εἰ ἀρχὴ ἡ μὴ οὖσα φυσικὴ οὐκ ἔχει ἐν ἑαυτῇ ἀρχὴν κινήσεως, δῆλον ὅτι ἡ φυσικὴ ἀρχὴ ἔχει ἐν ἑαυτῇ ἀρχὴν κινήσεως· ἀλλ᾽ ἡ ἀρχὴ ἡ ἀρχὴν ἔχουσα, οὐκ ἔστιν ἀρχή. Εἰ ἐν τοῖς ἀϊδίοις ἀγεννήτοις οὐδὲν οὐδενὸς πρότερον ἢ ὕστερον εἶναι δύναται, πῶς ἡ ἀρχὴ ἀκίνητος, ἡ μὴ κινουμένη, κινοῦσα, πάντων πρῶτόν ἐστιν, ἢ ὅλως ἀρχή;

Qui igitur moueat naturaliter principium, quod neque naturale sit, neq; iuxta naturam moueat? Solum namque principium naturale, quod secundum naturam mouet, vt naturaliter moueat consequitur. Si principiū quod naturale non est, in seipsō principium motionis nō habet: satis liquet, principiū naturale habere in se principiū motionis. Sed enim principiū quod principiū habet, nō est principiū. Sin in his quæ perpetuo ingenita sunt, aliquid aliquo prius aut posterius esse nequit: quomodo principium immobile, quod ipsum non mouetur & mouet, omniū est primū, aut omnino principium?

ΕΚ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ τῆς αὐτῆς πραγματείας.

Τοῦ δὲ εἶναι ἄπειρον, τὴν πίστιν λαμβάνουσιν ἔκ
194 τε τοῦ χρόνου· οὗτος γὰρ ἄπειρός ἐστι· [ἔτι] τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθορὰν εἰ ἄπειρον εἴη, ὅθεν ἀφαιρεῖται τὸ γινόμενον:-

17. EX TERTIO LIBRO eiusdem commentationis.

Infinitum esse, fidem etiam adstruunt tēpore: id enim infinitum est: præterea quod eo saltem modo generatio & corruptio non deficiat, si infinitum sit. Vnde id quod per generationem fit, abstrahitur.

Si tempus semper in eo vt fiat, esse suũ habet: id vero quod fit, priusquam fieret, non fuit: quomodo tempus infinitum est, cuius semper exsistentiam præcedit nonexsistentia? nam quod nondum adest, affuturum est: & futurum, præteritum est: & quod præteriit, futurum fuerat. Si eo quod generatio & corruptio non deficit, necesse est infinitam esse generationem & corruptionem: expers etiam erit generatio & corruptio principio, sicut ingenitũ & incorruptibile. Sin hoc est impossibile, non est infinita generatio & corruptio.

18. EX EODEM LIBRO.

[Si ratio corporis est, superficie terminatum esse: non fuerit infinitum vllum, siue quod intelligentia, seu quod sensu percipitur, corpus:] ac ne numerus quidem ita, tamquam separatus & infinitus. numerationi enim subiacet numerus, aut id quod numerum continet. Si ergo quod numerationi subiacet, numerari potest: fieri quoq; possit vt infinitum percurratur.

Si eius quod numerationi subiectum est, & eius quod numerum continet, non infinitus est numerus: numerari aũt quod præteriit tempus potest: finitum certe fuerit quod fuit tempus.

19. EX EODEM LIBRO.

Quod nisi infinitum sit simpliciter, multa impossibilia consequi patet. nam temporis quoddam erit principium & finis, & magnitudines non poterunt diuidi in magnitudinem, & numerus non erit infinitus.

Si infinitum partim actu est, partim potentia: impossibile autem, quod nunc actu est infinitum, quin prius potentia fuerit: impossibile certe quoque infinitum semper esse actu, partim potentia: sed prius quidem potentia, posterius vero actu.

Si tempus, quemadmodum iuxta futurũ, fine, sic iuxta præteritum, principio caret: erit nimirum tempus, sicuti secundum futurum, ita & secundũ præteritum, ingenitum. Hoc vero si impossibile est, vt tempus iuxta futurum sit ingenitum, eo quod nõdum fuit; fuit autem iuxta præteritum: videlicet non fuerit absque principio tempus. Eius enim quod principio caret, generatio non est: temporis autem est.

Si nihil potest actu esse infinitũ, non equidem quæ iam sumptæ sunt magnitudinis diuisiones, infinitæ fuerint, neque iam numerus sumptus. vtraque namq; actu sunt. Sin infinita non sunt, finita scilicet. Quod si finita, nempe & principium habent: magnitudo quidem, diuisionis; numerus autem, numerationis.

Εἰ ὁ χρόνος ἀεὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, τὸ δὲ γινόμενον πρὸ τοῦ γίνεσθαι οὐκ ἦν, πῶς ἄπειρος ὁ χρόνος, οὗ ἀεὶ τῆς ὑπάρξεως προηγεῖται ἡ ἀνυπαρξία; καὶ γὰρ τὸ μήπω ὂν μέλλει παρεῖναι, καὶ τὸ μέλλον μέλλει παρελθεῖν, καὶ τὸ παρελθὸν ἔμελλε γίνεσθαι. Εἰ τῷ μὴ ἀπολείπεσθαι τὴν γένεσιν καὶ τὴν φθορὰν, ἀνάγκη ἄπειρον εἶναι τὴν γένεσιν καὶ τὴν φθορὰν, ἔσται ἄρα καὶ ἡ γένεσις καὶ ἡ φθορὰ ἄναρχος, ὥσπερ τὸ ἀγέννητον καὶ τὸ ἄφθαρτον. εἰ δὲ τοῦτ' ἀδύνατον, οὐκ ἄρα ἄπειρος ἡ γένεσις καὶ ἡ φθορά.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἀλλὰ μὴν οὐδὲ ἀριθμὸς οὕτως ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ὁ ἀριθμὸς, [ἢ τὸ ἔχον ἀριθμόν.] εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμηθῆναι, καὶ τὸ διεξελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον.

Εἰ τοῦ ἀριθμητοῦ, καὶ τοῦ ἔχοντος ἀριθμὸν, οὐκ ἔστιν ἄπειρος ὁ ἀριθμὸς, ἀριθμητὸς δὲ ὁ γεγονὼς χρόνος, πεπερασμένος ἄρα ἂν εἴη ὁ γεγονὼς χρόνος.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

Ὅτι δὲ εἰ μὴ ἔστιν ἄπειρον οὐδαμῶς πολλὰ ἀδύνατα συμβαίνει, δῆλον· τοῦ τε γὰρ χρόνου ἔσται τις ἀρχὴ καὶ τελευτὴ, καὶ τὰ μεγέθη οὐ διαιρετὰ εἰς μέγεθος, καὶ ἀριθμὸς οὐκ ἔσται ἄπειρος.

Εἰ τοῦ ἀπείρου τὸ μέν ἐστιν ἐνεργείᾳ, τὸ δὲ δυνάμει· ἀδύνατον δὲ τὸ νῦν ἐνεργείᾳ ὂν, τοῦ ἀπείρου μὴ πρότερον εἶναι δυνάμει, ἀδύνατον ἄρα τὸ ἄπειρον ἀεὶ τὸ μὲν εἶναι ἐνεργείᾳ, τὸ δὲ δυνάμει· ἀλλὰ εἰ πρότερον μὲν δυνάμει, ὕστερον δὲ ἐνεργείᾳ. Εἰ ὥσπερ κατὰ τὸ μέλλον ἀτελεύτητος ὁ χρόνος, οὕτως καὶ κατὰ τὸ παρεληλυθὸς ἄναρχος, ἔσται ἄρα ὁ χρόνος, ὥσπερ ἀγέννητος κατὰ τὸ μέλλον, οὕτως καὶ κατὰ τὸ παρεληλυθός. εἰ δὲ τοῦτο ἀδύνατον, ἀγέννητον εἶναι τὸν χρόνον κατὰ τὸ μέλλον καθ' ὃ οὔπω ἦν γεγονώς. γεγονὼς δὲ κατὰ τὸ παρεληλυθός. οὐκ ἄρα ἄναρχος ὁ χρόνος. τοῦ μὲν γὰρ ἀνάρχου οὐκ ἔστι γένεσις· τοῦ δὲ χρόνου ἐστίν.

Εἰ οὐδὲν δύναται ἐνεργείᾳ εἶναι ἄπειρον, οὐκ ἄρα αἱ ἤδη ληφθεῖσαι διχοτομίαι τοῦ μεγέθους ἄπειροί εἰσιν, οὔτε ὁ ἤδη ληφθεὶς ἀριθμός. ἀμφότεροι γὰρ ἐνεργείᾳ εἰσίν· εἰ δὲ οὐκ εἰσὶν ἄπειροι, πεπερασμένοι ἄρα· εἰ δὲ πεπερασμένοι, καὶ ἀρχὴν ἄρα ἔχουσι, τὸ μὲν, τοῦ διχοτομεῖσθαι· ὁ δὲ, τοῦ ἀριθμεῖσθαι.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

Τὸ ἄπειρον, ἔστι μὲν προσθέσει, ἔστι δὲ [καὶ] ἀφαιρέσει· τὸ δὲ μέγεθος ὅτι μὲν κατ' ἐνέργειαν οὐκ ἔστιν ἄπειρον, εἴρηται, διαιρέσει δὲ ἔστι. λείπεται οὖν δυνάμει εἶναι τὸ ἄπειρον. οὐ δεῖ δὲ τὸ δυνάμει ὂν λαμβάνειν, ὥσπερ, εἰ δυνατὸν τουτὶ ἀνδριάντα εἶναι, ὡς καὶ ἔσται τουτὶ ἀνδριάς· οὕτω τι καὶ ἄπειρον, ὃ ἔσται ἐνεργείᾳ.

20. EX EODEM LIBRO.

Infinitum est quidem accessione, est vero quoque decessione. Porro magnitudinem non esse actu infinitam, dictum est: diuisione autem esse. non enim est difficile, tollere lineas indiuiduas. relinquitur ergo, potentia esse finitum. Non oportet autem id quod potentia infinitum sit, ita accipere, vt ad actum euasurum sit: sicuti si possibile sit, hoc statuam esse, quod etiam statua futurum sit.

Sed

ἀλλ' ἐπεὶ πολλαχῶς τὸ [δυνάμει] εἶναι, ὥσπερ ἡ ἡμέρα ἐστὶ καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο καὶ ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. καὶ γὰρ ἐπὶ τούτων ἐστὶ καὶ δυνάμει καὶ ἐνεργείᾳ· ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμβανόμενον [μὲν] ἀεὶ πεπερασμένον εἶναι, ἀλλ' ἀεὶ ἕτερον καὶ ἕτερον:-

Εἰ κατ' ἐνέργειαν οὐκ ἔστι τὸ ἄπειρον, δηλονότι πᾶν τὸ ἐνεργείᾳ ὂν, ἀεὶ πεπερασμένον ἐστί· πεπερασμένον δὲ ὂν, ἐξ ἀνάγκης ἀρχὴν ἔχει· ἀρχὴν δὲ ἔχον, ἐξ ἀνάγκης ἐστὶ γενητόν. γενητὸν δὲ ὂν, ἦν ἄρα ποτὲ ὅτε
195 οὐκ ἦν. τοῦτο ἐπὶ παντὸς ἀπείρου προσθέσει τε καὶ ἀφαιρέσει, δυνάμει τε καὶ διαιρέσει λεγομένου.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Οὐχ οὗ τι ἔξω ἐστί, τοῦτο ἄπειρόν ἐστιν· ἀλλὰ τὸ δεχόμενον τὸ ἔξωθεν, μεῖζον γίνεται οὗ ἦν πρὸ τοῦ δέξασθαι τὸ ἔξωθεν· τὸ δὲ τῇ προσθήκῃ τοῦ ἔξωθεν μεῖζον ἑαυτοῦ γιγνόμενον, ἀεὶ πεπερασμένον ἐστίν:-

Εἰ τὸ ἄπειρον ἀεὶ ἐν προσθήκῃ καὶ ἀφαιρέσει, ἀεὶ ἄρα ἐν προσθήκῃ τὸ ἄπειρον. πῶς οὖν ἄναρχον τὸ ἀεὶ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχον; γενητὸν γὰρ, ἄναρχον οὐκ ἔστιν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἄπειροι αἱ διχοτομίαι τοῦ μεγέθους. ὥστε δυνάμει μέν ἐστιν, ἐνεργείᾳ δὲ οὔ· ἀλλ' ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον παντὸς ὡρισμένου πλήθους· ἀλλ' οὐχ ὡρισμένος οὗτος ὁ ἀριθμὸς, οὐδὲ μένει ἡ ἀπειρία, ἀλλὰ γίνεται, ὥσπερ καὶ ὁ χρόνος, καὶ ὁ ἀριθμὸς τοῦ χρόνου:-

Εἰ οὐ μένει ἡ ἀπειρία, ἀλλὰ γίνεται ὥσπερ καὶ ὁ χρόνος, καὶ ὁ ἀριθμὸς τοῦ χρόνου, οὐδὲν ἄρα ἄπειρον ἀγένητον. εἰ δὲ πᾶν ἄπειρον γενητὸν, γενητὰ ἄρα καὶ τὰ ἄλλα πάντα ἐν οἷς λέγεται εἶναι τὸ ἄπειρον. Εἰ τὸ συμβαῖνον τῷ ἀπείρῳ ἐξ ἀνάγκης συμβαίνει κἀκείνοις ἐν οἷς ἐστὶν ἡ ἀπειρία· συμβαίνει δὲ τῷ ἀπείρῳ τὸ γενέσθαι καὶ τὸ εἶναι ἠργμένον· γενητὸς ἄρα ὁ χρόνος καὶ ἠργμένος· ὡσαύτως δὲ καὶ ἡ κίνησις, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός.

ΕΚ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ ΤΗΣ αὐτῆς πραγματείας.

Τὸ γὰρ μὴ ὂν, οὐδαμοῦ εἶναι:-

Πῶς οὖν ἡ ὕλη, μηδὲν οὖσα, μήτε οὐσία μήτε ὂν, μήτε τόδε τι;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Δόξειε δ' ἂν καὶ Ἡσίοδος ὀρθῶς λέγειν, ποιήσας πρῶτον τὸ χάος· λέγει γοῦν,

Πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος:-

ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν, ὥσπερ οἱ πολλοί, πάντα εἶναί που καὶ ἐν τόπῳ· εἰ δὲ ἐστὶ τοιοῦτον, θαυμαστή τις ἂν εἴη ἡ τοῦ τόπου δύναμις, καὶ προτέρα πάντων. οὗ γὰρ ἄνευ τῶν ἄλλων οὐδέν ἐστιν, ἐκεῖνο τῶν ἄλλων ἀνάγκη πρῶτον εἶναι:-

Εἰ τοίνυν πρῶτος ὁ τόπος, καὶ ὕστερα τὰ ἐν τῷ τόπῳ φυσικῇ ἀνάγκῃ, καθὼς εἶπεν ὁ Ἡσίοδος,

Sed quia multifariam quidquam potentia est, proinde & infinitum: sicuti dies est & certamen, [Olympicum vel simile;] eo quod aliud semper atq; aliud fit. haec enim & potentia sunt, & actu. [Olympia namque sunt, tum quod certamen fieri possit, tum quod fiat.] Eodem omnino modo infinitum est, eo quod aliud semper atque aliud sumitur, & sumptum semper finitum est: sed alterum semper atque alterum.

Si actu aliquid infinitum non sit, nimirum quidquid actu sit, semper finitum sit. finitum vero quod sit, principium habeat necesse est. Porro quod principium habeat, necessario genitum sit: genitum autē quod sit, fuerit aliquādo cū nō fuerit. Hoc in omni eo est, quod infinitū accessione & decessione, potentia & diuisione dicitur.

21. EX EODEM LIBRO.

Infinitum id est extra quod semper aliquid est.

Atqui id quod introrsum aliquid recipit, maius eo fit quod ante fuit quā illud extrinsecus reciperet. Quod aūt accessione eius quod extrinsecus est, introrsum acceptū maius seipso fit, finitū semper est. Si infinitum semper accessione & decessione cōstat, semper videlicet infinitū in accessione fuerit. Quomodo ergo principio caret, quod semper in gignēdo vt sit cōsistit? genitū namque principii expers non est.

22. EX EODEM LIBRO.

Infinitæ sunt magnitudinis in duas partes diuisiones. Quocirca potentia quidem est [infinitum,] actu autem non est. Sed semper id quod sumitur, omnem excellit definitam multitudinem. Verum nō terminabilis huiusmodi numerus est, neque infinitas manet, sed gignitur: sicut & tempus & numerus temporis.

Si non manet infinitas, sed gignitur, sicut tēpus & numerus tēporis: nullū sane infinitum fuerit ingenitū. Sin omne quod infinitum sit, genitum est: genita quoque profecto fuerint alia cuncta, in quibus consistere dicitur infinitum. Si, quod infinito accidit, necessario eis etiam accidit in quibus cōsistit infinitas: accidit autē infinito vt gignatur & ortum suū habeat: genitum certe tempus fuerit, & principium habeat: consimiliter vero & motus, quem tempus dinumerat.

23. EX LIBRO QVARTO eiusdem operis.

Quod enim non sit, nusquam fuerit.

Quomodo ergo materia quæ nihil est, neque essentia, neque hoc ipsum quid, neque quod sit?

24. EX EODEM LIBRO.

Videatur certe quidem Hesiodus quoq; recte dicere, primū omniū Chaos faciens. inquit enim:

Principio Chaos immensum, mox deinde patentes
Telluris campi geniti.--

quod conueniret, primū esse rebus exstātibus locū suum. Arbitratus namq; est, sicuti multi, omnia alicubi & in loco esse. Quod si ita est, admirabilis fuerit loci vis, & omnibus prior. nā sine quo rerū aliarū nihil consistit, id primū earū esse necesse est.

Itaq; si primus locus est, & posteriora quæ in loco sunt, naturali quadā necessitate, prout dixit Hesiodus,

& Aristoteles dicto eius tamquã recto attestatione sua adstipulatus est: quonã modo ex impossibilib. nõ est, cęlũ, quod in loco est, dicere ingenitũ esse? Hoc enim perinde est, atq; si dicas, prius genitũ esse quã ingenitũ.

25. EX EODEM LIBRO.

Primum quidẽ animaduertere oportet quod de loco non quæreretur, nisi motus in loco esset. nã ob hanc maxime causam cælum quoq; in loco esse arbitramur, quia semper est in motu.

Si fieri nõ potest vt ingenitum, ea gratia vt sit & moueatur, re quapiam ad motum indigeat: fieri certe quoq; non potest vt cælum sit ingenitum. Indiget enim ea gratia, vt sit & moueatur loco.

26. EX EODEM LIBRO.

Magnitudinem quidem locus obtinet, corpus vero minime est.

Si finita certaq; locus habet interstitia & magnitudinem, genitus fuerit locus: sin infinita, videlicet vel potentia, vel actu. Si potentia genitus fuerit locus, perinde atq; tẽpus, & temporis numerus: sin actu, falsum dictũ illud fuerit, quo asseritur, nil actu esse posse infinitum. Si per prouidentiam cuiusquã locus est id quod est, & id habet quod habet, genitus fuerit locus, & a prouidentia secundus. Sin locus est id quod est, & id habet quod habet, eo modo vt genitus non sit & principio careat, ingenitus fuerit locus, & eorũ quæ in loco sunt, omnium primus; in quibus cælũ est, & quæ in cælo apparent, astra. Sine quo enim rerum cæterarum nihil est, id profecto cæterorum omnium primum esse necesse est. [Atenim magnitudinem suã habens locus, vt ipse testatur Aristoteles, cũ interstitiis suis, vtcumque prior cæteris rebus fuerit, ingenitus tamen, & sine principio non fuerit.]

27. EX EODEM LIBRO.

Quemadmodum aliquid, si alteretur, nunc quidem est candidum, quod dudum nigrum fuit; [& nunc durum, quod olim molle] proindeque aliquid dicimus esse materiam: sic & locus eiuscemodi quadam imaginatione esse videtur. cæterum illud quidem, eo quod cum aer fuerit, nunc aqua sit: locus autem, eo quod vbi aer fuerit, ibi nunc aqua sit.

Si, quam rationẽ habet locus ad ea quæ in eo sunt, eandem obtinet materia ad ea quæ in ea sunt, pari imaginatione: incomprehensibilis autem est locus & materia ipsa: nihil profecto fuerit materia, eis quæ in ipsa continentur alterandis atque gignendis, & plane non substantia. Quomodo igitur positũ est, materiam substantiam esse eorum quæ simpliciter fiunt?

καὶ ὁ Ἀριστοτέλης προσεπιμαρτύρησε τῇ τοῦ λόγου ὀρθότητι, πῶς οὐκ ἔστι τῶν ἀδυνάτων, τὸ τὸν ὄντα ἐν τῷ τόπῳ οὐρανὸν, λέγειν ἀγέννητον; τοῦτο γὰρ ἴσον ἐστὶ τῷ λέγειν, πρὸ τοῦ ἀγεννήτου εἶναι τὸ γεννητόν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Πρῶτον μὲν οὖν δεῖ κατανοῆσαι, ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος, εἰ μὴ [ἡ] κίνησις ἦν ἡ κατὰ τὸν τόπον. διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν οἰόμεθα μάλιστα ἐν [τῷ] τόπῳ, ὅτι ἀεὶ ἐν κινήσει:-

Εἰ ἀδύνατόν ἐστι τὸ ἀγέννητον πρὸς τὸ εἶναί τι καὶ πρὸς τὸ κινηθῆναι δεῖσθαι τοῦ κινητοῦ, ἀδύνατον ἄρα τὸν οὐρανὸν εἶναι ἀγέννητον. ἐπιδεῖται γὰρ τοῦ τόπου πρὸς τὸ εἶναί τι καὶ πρὸς τὸ κινηθῆναι.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Μέγεθος μὲν γὰρ ἔχει ὁ τόπος, σῶμα δὲ οὐθέν:-

Εἰ μὲν πεπερασμένα ἔχει ὁ τόπος τὰ διαστήμα- 196
τα καὶ τὸ μέγεθος, γεννητὸς ἄρα ὁ τόπος· εἰ δὲ ἄπειρα, ἢ ἄρα δυνάμει, ἢ ἐνεργείᾳ. ἀλλ' εἰ μὲν δυνάμει, ἔστι γεννητὸς ἄρα ὁ τόπος ὥσπερ ὁ χρόνος, καὶ ὁ τοῦ χρόνου ἀριθμός· εἰ δὲ ἐνεργείᾳ, ψευδὴς ἄρα ὁ λόγος ὁ λέγων μηδὲν ἐνεργείᾳ δύνασθαι εἶναι ἄπειρον.

Εἰ κατὰ μὲν πρόνοιάν τινος ἐστὶν ὁ τόπος ὅ ἐστι, καὶ ἔχει ὃ ἔχει, γεννητὸς ἄρα ὁ τόπος, καὶ τῆς προνοίας δεύτερος. εἰ δὲ ἀγεννήτως τε καὶ ἀνάρχως ἐστὶν ὁ τόπος ὅ ἐστι, καὶ ἔχει ὃ ἔχει, ἀγέννητος ἄρα ὁ τόπος καὶ πρῶτος τῶν ἐν τόπῳ πάντων, ἐν οἷς ἐστὶν ὁ οὐρανὸς, καὶ τὰ ἐν τῷ οὐρανῷ φαινόμενα. οὗ γὰρ ἄνευ τῶν ἄλλων οὐδέν ἐστιν, ἐκεῖνο δὴ τῶν ἄλλων ἀνάγκη πρῶτον εἶναι.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ὡς γὰρ εἰ ἀλλοιοῦται, ἔστι τοῦτο ὃ νῦν μὲν λευκὸν, πάλαι δὲ μέλαν. διὸ φαμὲν εἶναί τι τὴν ὕλην. οὕτως καὶ ὁ τόπος διὰ [τῆς] τοιαύτης τινὸς εἶναι δοκεῖ φαντασίας· πλὴν, ἐκεῖνο μὲν, διότι ὃ ἦν ἀὴρ, τοῦτο νῦν ὕδωρ· ὁ δὲ τόπος, ὅτι οὗ ἦν ὁ ἀὴρ, ἐνταῦθα ἐστὶν [νῦν] ὕδωρ:-

Εἰ ὃν ἔχει λόγον ὁ τόπος πρὸς τὰ ἐν αὐτῷ, τοῦτον ἔχει ἡ ὕλη πρὸς τὰ ἐν αὐτῇ διὰ τῆς ὁμοίας φαντασίας· ἄληπτος δὲ ὁ τόπος, καὶ ἡ ὕλη· οὐδὲν ἄρα ἐστὶν ἡ ὕλη, τῶν ἐν αὐτῇ ἀλλοιουμένων τε καὶ γιγνομένων, καὶ οὐκ οὐσία. πῶς οὖν ἐτέθη ἡ ὕλη οὐσία εἶναι τῶν ἁπλῶς γιγνομένων;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

τόμου τοῦ δευτέρου.

Πᾶν σῶμα ἢ κατὰ φορὰν ἢ [κατ'] αὔξησιν κινητὸν, καθ' αὑτό που· ὁ δὲ οὐρανὸς, ὥσπερ εἴρηται, οὐ πού ὅλως, οὐδὲ ἔν τινι τόπῳ ἐστὶν, εἴ γε μηδὲν αὐτὸν περιέχει σῶμα:-

Εἰ τὸ κατὰ φορὰν κινητὸν καθ' αὑτό που, κατὰ φορὰν δὲ κινητὸς ὁ οὐρανὸς, καὶ καθ' αὑτὸ ἄρα ἀνάγκη εἶναί που τὸν οὐρανόν. εἰ δὲ μὴ τὸ δεύτερον, οὐδὲ ἄρα τὸ πρῶτον· ἀχώριστα γὰρ ἀλλήλων· καὶ τῇ ἀναιρέσει τοῦ θατέρου ἐξακολουθεῖ ἡ τοῦ δευτέρου ἀναίρεσις.

28. EX EODEM LIBRO. *Corpus quodlibet, quod vel delatione vel actu mouetur per se, alicubi est. Calũ aũt, sicut dictũ est, non alicubi prorsus, neq; in aliquo loco est: siquidẽ id nullũ circũplectitur corpus.*

Si, quod delatione mouetur per se, alicubi est: delatione autẽ mouetur cælũ, & per seipsum: alicubi certe cælũ esse necesse est. Si secundũ non fuerit, minime quoque primum. alterum namque ab altero non segregatur: & altero sublato, vt alterũ quoque tollatur, consequitur.

Sicæ-

Εἰ οὐκ ἔστιν ὁ οὐρανὸς ἐν τόπῳ καθ' αὑτὸ, πῶς κυκλικὴν φορὰν φερόμενος, τῶν μερῶν αὐτοῦ τὰ μὲν ἄνω γίνεται κάτω, τὰ δὲ κάτω, γίνεται ἄνω; ἄνω δὲ καὶ κάτω ὢν τοῖς ἑαυτοῦ μέρεσι, πῶς οὐκ ἔστι ψευδὲς τὸ λέγειν τὸν οὐρανὸν μὴ εἶναι ἐν τόπῳ;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Στιγμῆς οὐκ ἔστιν ὁ τόπος:-

Οὐκοῦν οὐκ ἔστι πού ἡ στιγμὴ, ὥσπερ καὶ τὸ μὴ ὄν· εἰ δὲ ψευδὲς τοῦτο, ὂν ἄρα ἐστὶν ἡ στιγμὴ, καὶ πού. εἰ δὲ πού, καὶ τόπον αὐτῆς εἶναι ἐξ ἀνάγκης.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Καὶ ἔστιν ὁ τόπος καὶ πού οὐχ ὡς ἐν τόπῳ δε. ἀλλ' ὡς [τὸ] πέρας ἐν τῷ πεπερασμένῳ. οὐ γὰρ ἐν τόπῳ τὸ ὄν, ἀλλὰ τὸ κινητὸν σῶμα:-

Εἰ πᾶν τὸ ἐν τόπῳ πού ἐστι, καὶ οὐ πᾶν τὸ πού ἐν τόπῳ ἐστὶ, πλέον ἄρα τὸ πού τοῦ ἐν τόπῳ. πῶς οὖν μιᾶς κατηγορίας εἶναι λέγεται τὸ πού καὶ τὸ ἐν τόπῳ, τὰ τοσοῦτον ἀλλήλων διαφέροντα, ὥστε καὶ τὸν τόπον λέγειν εἶναι μὲν πού, οὐκ ἐν τόπῳ δέ; καὶ εἰ τὸ πέρας τοῦ πεπερασμένου, ἑτέρου μὲν πεπερασμένου ἐστὶ τόπος, ἑτέρου δὲ πέρας, πῶς οὐκ ἔστιν ἀνάγκη ἀεὶ τὸν τόπον εἶναι καὶ τόπον καὶ πέρας; καὶ εἰ πρὸ τῶν ἐν τόπῳ ὁ τόπος ἐστὶ, πῶς οὐ λέλυται ἡ ἀνάγκη τοῦ ἀεὶ

197 τὸν τόπον εἶναι τόπον μὲν ἄλλου, πέρας δὲ ἄλλου;

Καὶ εἰ τὸ μηδαμῶς ὂν, οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν πού, καθώς εἶπε· πῶς οὐκ ἔστι ταὐτὸν τὸ πού τῷ ἐν τόπῳ; καὶ εἰ μὴ ἅπαν ἐν τόπῳ τὸ ὄν, πῶς οὐκ ἔσται ταὐτὰ τῷ μὴ ὄντι τινὰ τῶν ὄντων, εἴ γε τὸ μὴ εἶναι ἐν τόπῳ, κοινόν ἐστιν ἀμφοτέρων; καὶ εἰ τὸ κινητὸν σῶμα μόνον ἐν τόπῳ ἐστὶ, πῶς ὁ οὐρανὸς, σῶμα ὂν κινητὸν, οὐκ ἔστιν ἐν τόπῳ;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ
περὶ τοῦ χρόνου.

Ὅτι μὲν οὖν [ἢ] ὅλως οὐκ ἔστιν, ἢ μόλις καὶ ἀμυδρῶς, ἐκ τῶνδε τις ἂν ὑποπτεύσειε. τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει καὶ οὔπω ἐστίν· ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ [ὁ] ἀεὶ λαμβανόμενος χρόνος σύγκειται· τὸ δὲ ἐκ μὴ ὄντων συγκείμενον, ἀδύνατον ἂν δόξειε μετέχειν οὐσίας. πρὸς τούτοις γὰρ μεριστοῦ, ἐάνπερ ᾖ, ἀνάγκη, ὅτι ἐστίν, ἢ πάντα ἢ ἔνια, ἢ πάντα τὰ μέρη εἶναι. τοῦ δὲ χρόνου τὰ μὲν γέγονε, τὰ δὲ μέλλει. ἔστι δὲ οὐθὲν, ὄντος μεριστοῦ. τὸ δὲ νῦν οὐ μέρος· μετρεῖται γὰρ τὸ μέρος, καὶ συγκεῖσθαι δεῖ τὸ ὅλον ἐκ τῶν μερῶν· ὁ δὲ χρόνος, οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν:-

Εἰ πᾶν τὸ γιγνόμενον πρὸ τοῦ γενέσθαι οὐκ ἦν, οὐκ ἄρα ἀΐδιός τε καὶ ἄναρχος ὁ χρόνος. διὸ οὔτε ἡ κίνησις ἐστιν ἀΐδιός τε καὶ ἄναρχος, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός· εἰ γὰρ τὸ μέλλον μέρος τοῦ χρόνου, οὔπω ἐστίν· ἦν δὲ καὶ τὸ γεγονὸς μέρος τοῦ χρόνου πρὸ τοῦ γενέσθαι μέλλον· ἦν ἄρα ὅτε οὐκ ἦν τὸ γεγονὸς

Si cælū per seipsum in loco non est: quomodo, dum circulari fertur delatione, partes eius supernæ deorsum, infernæ autem sursum vergunt? at quod partibus suis supra & infra est, [ipsum quoque per se ita esse necesse est.] Qui igitur illud falsum non est, quod dicit, Cęlu non esse in loco?

29. EX EODEM LIBRO.

Puncti locus non est.

Ergo punctum alicubi non est sicuti & id quod non sit. Quod si hoc falsum est, pūctum videlicet id quod sit fuerit, & alicubi fuerit. Si vero alicubi sit, locum quoque eius esse necesse est.

30. EX EODEM LIBRO.

Est & Locus & Alicubi; non autem vt in loco, sed vt finis in finito. non enim quicquid sit, in loco fuerit, sed id quod mouetur corpus.

Si quidque quod in loco sit, alicubi est, & non quidq; quod alicubi sit, in loco est: plus sane *Alicubi esse* fuerit, quā *In loco* esse. Quomodo ergo vnius eloquutionis esse dicitur, *Alicubi esse & In loco esse*: quæ ita inter se differunt, vt etiam locū quidem esse alicubi dicamus, non autem in loco? Et si finis finitæ rei, alterius quidem finitæ locus est, alterius vero finis: quomodo necesse non est, locum semper & locum esse, & finem? Et, si ante ea quæ in loco sint, locus est: quomodo non soluta est necessitudo illa, [propositio necessaria vera] *Locum semper esse*. locum quidem alterius, finem autem alterius? Et, si quod nequaquam sit, non est in loco, alicubi sane fuerit, quemadmodum dixit: quomodo non idem fuerit, *Alicubi esse*, & *In loco esse*? Et, si non quidque quod sit, in loco est: quomodo cum eo quod non sit, non eadē fuerint quædam quæ sint? siquidē hoc quod in loco nō sint, commune est vtrorūq;. Et, si mobile dumtaxat corpus in loco sit, quomodo cælum, quod mobile corpus est, in loco non sit?

31. EX EODEM LIBRO.

Tempus sane quidem aut plane non esse, aut vix tenuiterque esse, inde suspicari quisquam potest. nam pars eius iam fuit & non est: pars futura est, & nondum est. atque ex his & infinitum, & quod semper sumitur tempus componitur. Sed enim quod ex eis componantur quæ non sint, fieri non potest vt essentiam participare videantur. Cuiusque enim quæ partiri possit rei, si quidē exstet, necesse est quum exstat, quasdam saltem, si nō omnes, esse partes. Porro temporis quædam fuere, quædam futura sunt: nihil autem earum est quod partiri queat. Ipsum porro Nunc, pars non est. nam partem metiri est, & integrum ex partibus componere oportet. Tempus vero non videtur ex eis quæ nunc sint componi.

Si quidque quod fit, antequam fiat, non sit: tempus æternum & initii expers non fuerit, eo quod neque motus æternus sit, & initii expers, quem tempus dinumerat. nam si futura temporis pars nondum sit, præteriti autem temporis pars prius futura fuerit quam fuerit: fuit profecto quum non esset præteriti

pars temporis. Atque si infinitum necesse sit principii expers esse, nō fuerit tempus infinitum: eo quod principium vt sit, futuri vicissitudinem sine mutationem habeat. Et si præterita temporis pars actu est tempus, futura autem potentia, & actus atque potentia in eis quæ sint, est: nempe non ex eis quæ nō sint, tempus constituatur, quod e præterito & futuro constituitur. Atque etiam si substātiam tempus non participat, id tamen quod substantiis adiacet participat: vt inde quoque satis pateat, ex eis quæ sint, esse tempus. Item si pars præterita temporis, in præteritis eius quod partiri potest partibus intelligentia cōspicitur: quomodo nulla pars est, quod ita sit vt partiri queat, tēporis? Et si ipsum Nunc non est vel minima pars temporis, quid est quod dicitur Repentinū, & Indiuiduum, & Punctum temporis? qui fit vt ex eo quidem quod futurū sit, in id quod nunc sit, vt ex eo quod nunc sit, in id quod præterierit vicissitudo sit, si ipsum Nunc pars temporis non est? Omnia namq; pars temporis sunt, Primum, Futurum, Posterius, Nunc, Postea, Præteritum.

μέρος τῦ χρόνυ. καὶ εἰ δεῖ τὸ ἄπειρον ἄναρχον εἶναι, οὐκ ἄρα ἄπειρος ὁ χρόνος, τὴν μεταβολὴν τοῦ μέλλοντος ἔχων ἀρχὴν τῦ εἶναι. καὶ εἰ μὲν τὸ γεγονὸς μέρος τῦ χρόνυ, ἐνέργειά ἐστι χρόνυ, τὸ δὲ μέλλον δυνάμει· ἐν δὲ τοῖς οὖσιν ἡ ἐνέργεια καὶ δύναμις· οὐκ ἄρα ἐκ μὴ ὄντων σύγκειται ὁ ἐκ τῦ γεγονότος καὶ μέλλοντος συγκείμενος χρόνος. καὶ εἰ τῆς οὐσίας οὐ μετέχει ὁ χρόνος, ἀλλ' ὅμως τῦ παρακειμένου ταῖς οὐσίαις μετέχει· ὡς καὶ ἐκ τύτυ φανερὸν ὅτι τῶν ὄντων ἐστὶν ὁ χρόνος. καὶ εἰ τὸ γεγονὸς μέρος τοῦ χρόνου, ἐν τοῖς γεγονόσι μέρεσι τοῦ μεριστοῦ θεωρεῖται, πῶς οὐδὲν μέρος ἐστὶ τῦ χρόνυ, μεριστοῦ ὄντος; καὶ εἰ τὸ νῦν οὐκ ἔστιν ἐλάχιστον μέρος τῦ χρόνυ, τί ἐστι τὸ ἐξαίφνης καὶ τὸ ἄτομον, καὶ ἡ στιγμὴ τῦ χρόνου λεγόμενον; πῶς ἐνδέχεται ἐκ μὲν τῦ μέλλοντος γίνεσθαι εἰς τὸ νῦν τὴν μεταβολήν, ἐκ δὲ τοῦ νῦν εἰς τὸ παρεληλυθός, τῦ νῦν μὴ ὄντος μέρους τῦ χρόνυ; πάντα γὰρ μέρος τοῦ χρόνυ, πρῶτον, μέλλον, ὕστερον, νῦν, ἔπειτα, παρεληλυθός.

32. EX EODEM QVARTO LIBRO, eiusdem commentationis.

Itaque neque motum, neque absque motu tempus esse manifestum est.

Enimuero genitum esse tempus, & nō perpetuum; exordium habens, & non exordii expers; finitum, & non infinitum: manifestum & id est. Quod si tempus est huiusmodi, necessario quoque & motus, cuius numerus est tempus.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΤΕΤΑΡΤΟΥ ΛΟΓΟΥ τῆς αὐτῆς πραγματείας.

"Ὅτι μὲν τοίνυν οὔτε κίνησις, οὔτε ἄνευ κινήσεως ὁ χρόνος ἐστὶ, φανερόν:-

Ἀλλ' ὅτι γενητὸς ὁ χρόνος καὶ οὐκ ἀΐδιος, ἠργμένος καὶ οὐκ ἄναρχος, πεπερασμένος καὶ οὐκ ἄπειρος, φανερόν ἐστι καὶ τῦτο. εἰ δὲ ὁ χρόνος τοιῦτος, ἐξ ἀνάγκης καὶ ἡ κίνησις, ἧς ἀριθμός ἐστιν ὁ χρόνος.

33. EX EODEM LIBRO.

Cuiusmodi enim motus, eiusmodi etiam tempus semper esse videtur.

Quibus generatio, & quod genita sint, adest: ab eis vt æternitas, & principii vacuitas, & infinitas absit, necesse est.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

"Ὅση γὰρ ἡ κίνησις, τοσοῦτος καὶ ὁ χρόνος ἀεὶ δοκεῖ γεγονέναι:-

Οἷς τὸ γενητὸν καὶ τὸ γεγενέναι πρόσεστι, τύτων ἐξ ἀνάγκης τὸ ἀΐδιόν τι καὶ ἄναρχον, καὶ τὸ ἄπειρον ἄπεστιν.

34. EX EODEM LIBRO.

Tum fuisse tempus dicimus, cum prius & posterius in motione sensu perceperimus. Definimus autem eo, quod aliud atque aliud ipsum esse putamus, atque aliud insuper quod illis intercedat, quiddam. Cum namque ipsas ab interposito medio extremitates considerauerimus, & animus duplex esse Nunc, prius & posterius esse dixerit: tū hoc tempus esse dicimus. Quod enim ipso Nūc definitur, id tēpus esse videtur. Est quippe Tempus motionis numerus, priore & posteriore momento. Sane tempus motio non est, nisi quatenus numerum motio habet. Indicio est, quod id quod maius & minus est, numero discernimus: motum vero prolixiorem & remissiorem tempore.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ. 198

Τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν· ὁρίζομεν δὲ τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτὸ, καὶ τὸ μεταξὺ αὐτῶν ἕτερον. ὅταν γὰρ ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, τότε καὶ τοῦτο φαμὲν εἶναι χρόνον. τὸ γὰρ ὁριζόμενον τῷ νῦν, χρόνος εἶναι δοκεῖ. ἐστὶ γὰρ ὁ χρόνος ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. οὐκ ἄρα κίνησις ὁ χρόνος, ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις. σημεῖον δέ. τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ· κίνησιν δὲ πλείω καὶ ἐλάττω, χρόνῳ:-

Qui temporis generationem priore & posteriore motionis momento designat, is neque tempus, neque motionem perpetuam, principiique expertem & infinitam esse dicit. Si enim genita est, neque perpetua est, neque principii expers: & si propriis finibus terminata, infinita non est.

Ὁ τὴν γένεσιν τῦ χρόνυ τῷ ἐν τῇ κινήσει πρώτῳ καὶ ὑστέρῳ ὁριζόμενος, ἀΐδιόν τι καὶ ἄναρχον καὶ ἄπειρον οὔτε τὸν χρόνον λέγει, οὔτε τὴν κίνησιν. εἰ γὰρ γέγονεν, οὔτε ἀΐδιόν ἐστιν, οὔτε ἄναρχον· καὶ εἰ τοῖς οἰκείοις ἄκροις ἐστὶ πεπερατωμένη, ἄπειρος οὐκ ἔστιν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

„ Τὸ δὲ νῦν, τὸν χρόνον μετρεῖ ᾗ πρότερον καὶ ὕστερον, καὶ ἀκολουθεῖ τῷ [μὲν] μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος:-

Εἰ οὐκ ἔστι τὸ νῦν μέρος τοῦ χρόνου, καθὼς εἶπεν ἐν τῷ τριακοστῷ τρίτῳ κεφαλαίῳ, πῶς μετρεῖ τὸν χρόνον; ἢ ἄρα οὐ μετρεῖ τὸν χρόνον τὸ νῦν, ἢ μέρος αὐτὸ ἀνάγκη εἶναι τοῦ χρόνου· καὶ εἰ ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, γενητὸν ἄρα τὸ μέγεθος, ὥσπερ ἡ κίνησις καὶ ὁ χρόνος, τὰ ἐκείνῳ ἀκολουθοῦντα.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

„ Τῆς γραμμῆς ἐλάχιστος ἀριθμὸς, πλήθει μέν ἐστι δύο ἢ μία· μεγέθει δὲ οὐκ ἔστιν ἐλάχιστος. ἐλάχιστος γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν ὁ εἷς ἢ δύο, κατὰ δὲ μέγεθος οὐκ ἔστιν:-

Εἰ μὴ ἐλάχιστόν ἐστι μέρος, ἐν τῇ γραμμῇ μὲν ἡ στιγμὴ, ἐν τῷ χρόνῳ δὲ τὸ νῦν, τί ἕτερόν ἐστιν ἡ στιγμὴ ἐν τῇ γραμμῇ, καὶ τὸ νῦν ἐν τῷ χρόνῳ; εἰ δὲ οὐκ ἐλάχιστόν ἐστι μέρος, ἀλλὰ πέρας, πῶς οὖν χωρὶς μὲν τοῦ πεπερασμένου, ἀδύνατόν ἐστιν εἶναι τὸ πέρας, χωρὶς δὲ τῆς γραμμῆς ἐνδέχεται εἶναι τὴν στιγμήν; καὶ εἰ ἐν οἷς οὐκ ἔστι τὸ ἐλάχιστον, ἐν τούτοις οὐδὲ τὸ μέγιστον, κατὰ τί ἡ λοιπὴ διαφορὰ τῶν μερῶν, τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου ἀναιρουμένης τῆς διαφορᾶς;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

„ Ὥστε φανερὸν ὅτι τὰ ἀεὶ ὄντα ᾗ τὰ ἀεὶ μὴ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ. οὐ γὰρ περιέχεται ὑπὸ [τοῦ] χρόνου, οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου:-

Ὡς οὖν τὴν κίνησιν εἴρηκας εἶναι ἀΐδιον, καὶ τὸν χρόνον ταύτης ἀριθμόν; ὧν γὰρ ὁ χρόνος ἐστὶν ἀχώριστος, ταῦτα οὐκ ἐνδέχεται μὴ εἶναι ἐν χρόνῳ.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

„ Ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ. τὸ μὲν γὰρ ἐν χρόνῳ [εἶναι,] ἐστὶ τὸ μετρεῖσθαι χρόνῳ· ὁ δὲ χρόνος, κινήσεως καὶ ἠρεμίας μέτρον:-

Εἰ τὸ ὂν ἐν τῷ χρόνῳ, ἐκεῖνο κινεῖται καὶ ἠρεμεῖ·
199 κινεῖται δὲ ὁ οὐρανὸς κατὰ τὸν λέγοντα, καὶ ἠρεμεῖ ἡ γῆ· ἐν χρόνῳ ἄρα ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ ἡ τούτων κίνησίς τε καὶ ἠρεμία. καὶ εἰ γενητὸς ὁ χρόνος, ἐξ ἀνάγκης . . . . .

. . . . .

ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον. οὐδαμοῦ ἄρα ἡ ὕλη, ἣν εἶπες ἐν τοῖς ἀνωτέρω ὑποκειμένην τοῖς γινομένοις τε καὶ φθειρομένοις, τοῖς μὲν ὡς ἐξ οὗ, τοῖς δὲ ὡς εἰς ὅ.

35. EX EODEM LIBRO.

Ipsum quidem Nunc, tempus metitur, qua prius, & qua posterius: & magnitudinem consequitur Motus, hunc autem Tempus.

Si ipsum Nunc pars non est temporis, sicuti dixit trigesimoprimo capitulo, quomodo metitur tempus? aut enim ipsum Nunc metitur tempus, aut partem [si metitur] id esse temporis necesse est. Et si magnitudinem consequitur motus, hunc autem tempus: genita fuerit magnitudo, sicut & motus & tempus, quæ illam consequuntur.

36. EX EODEM LIBRO.

Lineæ minimus numerus, multitudine quidem, dua aut vna: magnitudine autem, non minimus: [semper enim quæuis diuiditur linea: quocirca & tempus cõsimiliter] minimus namque numerus est, vnus aut duo: magnitudine autem non est.

Si non vel minima pars est, in linea quidem Punctus, in tempore vero ipsum Nunc: quid tandem aliud est Punctus in linea, & ipsum Nunc in tempore? Sin non vel minima pars est, sed finis: quomodo ergo sine re finita quidem impossibile est esse finem, sine linea autem esse potest punctus? Et, si in quibus rebus non est minimum, in eisdem etiam non est maximum: quomodo reliqua differentia partium, maximi & minimi differentia sublata, consistit?

37. EX EODEM LIBRO.

Idcirco manifestum est, ea quæ semper sint, quatenus semper sint, non esse in tempore. nõ enim ea circumplectitur tempus, neque essentiam eorum tempus metitur.

Quomodo igitur motum dixisti esse æternum, & tempus numerum eius? a quibus namque separari tempus non potest, ea fieri non potest quin sint in tempore.

38. EX EODEM LIBRO.

Quæcunque neq; mouentur, neque quiescunt, in tempore non sunt. nam in tempore quidquam esse, mensionem temporis subire est: tempus autem motus & quietis mensio est.

Si id quod in tempore sit, mouetur & quiescit: mouetur autem, iuxta eum qui hoc dixit, cælum, & quiescit terra: in tempore nimirum fuerit cælum & terra, eorumque & motus & quies. Quod si genitum sit tempus, necessario [quoque cælum & terra genita fuerint.]

39. EX LIBRO QVINTO eiusdem operis.

Tres esse vicissitudines siue mutationes, necesse est: eam quæ ex subiecto in subiectum, & eam quæ ex subiecto in non subiectum, nec non eam quæ ex non subiecto in subiectum fit. ea enim quæ ex non subiecto in non subiectum fit, vicissitudo seu mutatio non est, eo quod non fit per oppositionẽ. neq; enim rẽpugnantiã, neq; contradictionẽ habet. Ea quæ ex nõ subiecto in subiectũ fit mutatio, per contradictionẽ, generatio est: ea vero quæ ex subiecto in nõ subiectũ, interitus.

Nusquã videlicet materia fuerit, quam in superioribus dixisti subiectam eis quæ gignuntur & intereunt: his quidem, tamquam ex quo fiant; his autem, tamquam in quod abeant.

40. EX EODEM LIBRO.

Nam id quod non album, aut non bonum sit, moueri tamen potest accidentiâ. Homo enim fuerit, id quod album non sit: id autem quod simpliciter non hoc ipsum sit, minime. Impossibile enim est vt id quod non sit, moueatur.

Si ex eo quod non mouetur, fieri non potest vt essentia sit, & id quod simpliciter sit: id vero quod non sit, minime mouetur genitū: impossibile namque est vt id quod non sit, moueatur: quomodo ex materia quę hoc ipsum quidquam non sit, essentia simpliciter exstiterit?

41. EX LIBRO NONO eiusdem commentationis.

Si impossibile est vt sit & consideretur tempus absque ipso Nunc: & ipsum Nunc quoddam interiectum medium est, & principium simul & finem habens, ac principium quidem futuri temporis, finem autem praeteriti: vt tempus continenter sit, necessè est. Extremitas enim eius quod vltimum est sumptum temporis, ipsum Nunc est. siquidem nihil est quod in tempore sumatur, praeterquam ipsum Nunc. Quocirca cum & principium sit, & finis, necesse est vt respectu vtriusq; sit tēpus. Si tēpus, necessario quoq; motus: siquidē tēpus perpessio quadā seu affectio est motionis.

In his verbis adstruit Aristoteles, cælum esse æternum. nam si medium quiddā est, & principium & finis est, & vtrimque semper tempus habet. atque id ita positū, necessario consequitur, tempus esse perpetuum. Quod si tempus sit perpetuum & æternum, etiam motus necessario æternus fuerit; quem tēpus dinumerat. Quod si motus æternus, vt quoque quod mouetur, corpus æternum sit, necesse est. Illud autem absurde posuit, ipsum Nunc simul æternū esse. id hoc modo confutabitur. Sicut gignetur quod futurum est tempus, ita genitum quoque fuit quod præteriit. Sed quod futurum est tempus, veluti futuram generationem habet, sic & principium. Et quemadmodum nihil præteriti temporis in futuro, ita nihil quoq; futuri in [præterito &] præsenti est. Sed enim si præsens nunc est & adest, futurum autem necdum est, vt quod neque sit, neque adsit: nō equidē idipsum Nūc quod præsens est, principium fuerit tēporis futuri; verū quod futurū est Nunc, id principiū fuerit futuri tēporis: quod neq; interiectū medium, respectū obtinens aliquem ad vtrūque tempus, sed alterum tantū, neq; principiū & finis sit. Idē sane quidē Nunc, sed alterius atque alterius temporis, videlicet principium futuri, finis autem præteriti: at aliud Nunc principium, & aliud finis, eiusdem vero temporis. Denique si fieri nequit vt ipsum Nunc sit nunc, nisi prius fuerit futurum & quod non sit: fieri etiam nequit vt ipsum Nunc coæternumq; sit. nam si quidque quod prius non sit, posterius autem id ipsum fiat, genitum est: huiusmodi vero & Nunc est; genitum videlicet ipsum Nunc fuerit. Quod si Nūc, necessario quoque tempus omne, cuius initium & finis est ipsum Nunc. tum autem si tempus, necessario & motus, cuius tempus est numerus. rursum si motus, necessario etiam id quod mouetur corpus, genitum fuerit.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Τὸ μὲν γὰρ μὴ λευκὸν, ἢ μὴ ἀγαθὸν, ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός· εἴη γὰρ ἄνθρωπος τὸ μὴ λευκόν· τὸ δὲ ἁπλῶς μὴ τόδε, οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι:-

Εἰ ἐκ τοῦ μὴ κινουμένου ἀδύνατον γίνεσθαι οὐσίαν καὶ τὸ ἁπλῶς· τὸ δὲ μὴ ὂν, οὐδαμῶς κινεῖται· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι· πῶς γέγονεν ἐκ τῆς ὕλης οὐσία ἁπλῶς τόδε τι οὐκ οὔσης;

ΕΚ ΤΟΥ ΕΝΑΤΟΥ ΛΟΓΟΥ ΤΗΣ αὐτῆς πραγματείας.

Εἰ δὲ ἀδύνατον εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν· τὸ δὲ νῦν μεσότης τις, καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον· ἀλλ' ἀρχὴν μὲν τοῦ ἐσομένου χρόνου, τελευτὴν δὲ τοῦ παρελθόντος· ἀνάγκη ἀεὶ εἶναι τὸν χρόνον. τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου, τὸ νῦν ἐστιν. οὐδὲν γάρ ἐστι λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν· ὥστε ἐπεί ἐστιν ἀρχὴ καὶ τελευτὴ, ἀνάγκη ἐπ' ἀμφότερα εἶναι χρόνον· ἀλλ' εἰ χρόνον, ἀνάγκη καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος ἐστὶ κινήσεως:-

Ἐν τούτοις κατασκευάζει ὁ Ἀριστοτέλης τὸν οὐρανὸν εἶναι ἀΐδιον. εἰ γὰρ μεσότης τίς ἐστι, καὶ ἀρχὴ, καὶ τελευτὴ, καὶ ἑκατέρωθεν ἀεὶ ἔχει χρόνον, ὡς τεθέντι ἀναγκαίως ἕπεται τὸ τὸν χρόνον εἶναι ἀΐδιον· καὶ εἰ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις ἐξ ἀνάγκης ἐστὶν ἀΐδιος, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός· καὶ εἰ ἡ κίνησις ἀΐδιος, ἐξ ἀνάγκης καὶ τὸ κινούμενον σῶμα ἀΐδιόν ἐστι. τοῦτο δὲ ἀτόπως ἔθηκε τὸ συναΐδιον εἶναι καὶ ἐλεγχθήσεται οὕτως· ὡς γὰρ γενήσεται ὁ μέλλων γίνεσθαι χρόνος, οὕτως γέγονε καὶ ὁ παρελθών. ἀλλ' ὁ μέλλων γίνεσθαι χρόνος, ὥσπερ τὴν μέλλουσαν γένεσιν ἔχει, οὕτως καὶ τὴν ἀρχήν· καὶ ὥσπερ οὐδὲν τοῦ παρελθόντος ἐστὶν ἐν τῷ μέλλοντι, οὕτως οὐδὲ τοῦ μέλλοντός ἐστιν ἐν τῷ παρόντι· ἀλλ' εἰ τὸ νῦν ὄν ἐστι καὶ πάρεστι, τὸ δὲ μέλλον οὔπω ἐστὶν, οὔτε ὂν, οὔτε παρόν· οὐκ ἄρα ἐστὶ τὸ παρὸν νῦν ἀρχὴ τοῦ μέλλοντος χρόνου, ἀλλὰ τὸ μέλλον ἔσεσθαι νῦν, ἐκεῖνό ἐστιν ἀρχὴ τοῦ μέλλοντος, ὃ οὔτε μεσότης τίς ἐστιν, ἔχον ἐπ' ἀμφότερα χρόνον, ἀλλ' ἐπὶ θάτερον, οὔτε ἀρχὴ καὶ τελευτή· τὸ αὐτὸ μὲν νῦν, ἄλλου δὲ καὶ ἄλλου χρόνου· οἷον, ἀρχὴ μὲν τοῦ μέλλοντος, τελευτὴ δὲ τοῦ παρελθόντος· ἀλλ' ἄλλο μὲν νῦν ἀρχὴ, καὶ ἄλλο τελευτὴ, τοῦ αὐτοῦ δὲ χρόνου. ἄλλως δὲ, εἰ ἀδύνατον τὸ νῦν εἶναι νῦν, ἐὰν μὴ πρότερον ἦ μέλλον καὶ οὐκ ὂν, ἀδύνατον ἄρα τὸ νῦν συναΐδιον εἶναι. εἰ γὰρ πᾶν τὸ πρότερον οὐκ ὂν, ὕστερον δὲ γενητὸν τοῦτο, τοιοῦτον δὲ καὶ τὸ νῦν, γενητὸν ἄρα τὸ νῦν· εἰ δὲ τὸ νῦν, ἐξ ἀνάγκης καὶ ὁ πᾶς χρόνος, οὗ ἀρχὴ καὶ τελευτὴ τὸ νῦν· καὶ εἰ ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ἡ κίνησις, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός· καὶ εἰ ἡ κίνησις, ἐξ ἀνάγκης καὶ τὸ κινούμενον σῶμά ἐστι γενητόν.

200 ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ὅλως δὲ τὸ νομίζειν ταύτην τὴν ἀρχὴν εἶναι ἱκανήν, ὅτι ἀεὶ ἐστὶν οὕτως, ἢ γίνεται, οὐκ ὀρθῶς ἐστὶν ὑπολαβεῖν· ἐφ' ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας, ὅτι οὕτως καὶ τὸ πρότερον ἐγίνετο· τοῦ δ' ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν, λέγων ἐπὶ τινῶν ὀρθῶς· ὅτι δε ἐπὶ πάντων, οὐκ ὀρθῶς. καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας· ἀλλ' ὅμως ἐστί τι τῆς αἰδιότητος ταύτης ἕτερον αἴτιον [ἀΐδιον·] τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν [ἕτερον] αἴτιον, ἀιδίων οὐσῶν:-

Εἰ τοίνυν ὡς γίνεται νῦν, οὕτως καὶ τὸ πρότερον ἐγίνετο, οὐκ ὀρθῶς ἐστὶν ὑπολαβεῖν ἀρχὴν εἶναι τῶν ἀεὶ κατὰ φύσιν γιγνομένων· ἐξ ἀνάγκης ἄρα ὀρθῶς ἐστὶν ὑπολαβεῖν ἀρχὴν εἶναι τῶν κατὰ φύσιν γινομένων τὸ μὴ οὕτως γεγονὸς, ὡς τὸ νῦν γίγνεται, ἀλλ' ἑτέρως· διὸ δίκαιόν ἐστι καὶ τοῦ ἀεὶ γινομένου ζητεῖν τὴν ἀρχήν. ἄλλως γίνεται ζῶον ἐκ ζώου, καὶ ἄλλως γέγονε ζῶον ἐκ μὴ ζώου. καὶ τὸ μὲν ζῶον ἐκ μὴ ζώου οὔτε κατὰ φύσιν γέγονεν, οὔτε ἀεὶ γίνεται· τὸ δε ζῶον ἐκ ζώου ἀεί τε καὶ κατὰ φύσιν γίνεται ἐξ ὅτου ἔλαβεν ἀρχὴν τοῦ γίνεσθαι ἐκ ζώου οὐ μὴ ἐκ ζώου. καὶ τοῦτο ἐπὶ πάντων τῶν ἀεὶ κατὰ φύσιν γιγνομένων, οὐκ ἐπὶ τινῶν μόνον· ἀδύνατον γὰρ τὰ ἐξ ἀρχῶν γενητῶν, τὴν αὐτὴν ἔχειν φύσιν ἣν ἐσχήκασιν αἱ ἀρχαί. Ἡ ἐν τοῖς γενητοῖς αἰδιότης, ἄναρχος εἶναι οὐ δύναται. καὶ γὰρ τὸ τρίγωνον ἀεὶ ταῖς δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας, ἀρχὴν ἔχον γενητὴν τὴν εὐθεῖαν, ἧς ὁ λόγος ἐστὶ, γραμμὴ ἄκρως τεταμένη. αὕτη γάρ ἐστιν αἰτία τοῦ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας· καὶ ταύτης μὲν οὐκ οὔσης, οὐκ ἐνδέχεται εἶναι τρίγωνον· τριγώνου δὲ μὴ ὄντος, ἐνδέχεται εἶναι εὐθεῖαν. Αἱ ἀρχαὶ τῶν κατὰ φύσιν ἀεὶ γινομένων, ἀΐδιοι εἶναι οὐ δύνανται. εἰ γὰρ ἣν ἔχουσι φύσιν, ταύτην μεταδιδόασι τοῖς ἐξ αὐτῶν γιγνομένοις· γενητὴ δὲ αὕτη· γενητὴ ἄρα καὶ ἡ τῶν ἀρχῶν φύσις, εἰ καὶ ὁ τρόπος τῆς γενέσεως ἐνήλλακται, καί ἐστιν ἕτερος τῆς τῶν ἐξ ἀρχῶν.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἀνάγκη εἶναί τι ἓν καὶ ἀΐδιον, τὸ πρῶτον κινοῦν· δέδεικται γὰρ ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι· εἰ δὲ ἀεὶ, ἀνάγκη [καὶ] συνεχῆ εἶναι· καὶ γὰρ τὸ ἀεὶ [ὂν] συνεχές. τὸ γὰρ ἐφεξῆς, οὐ συνεχές. ἡ δὲ συνεχὴς μία, μία δ' ὑφ' ἑνός τε κινοῦντος, καὶ ἑνὸς τοῦ κινουμένου. εἰ γὰρ [τι] ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ [ὅλη] κίνησις, ἀλλ' ἐφεξῆς:-

Εἰ τὸ πρῶτον κινοῦν τὴν κατὰ φορὰν κίνησιν, ἡ δὲ κατὰ φορὰν κίνησίς ἐστι τοῦ οὐρανοῦ, ὁ δὲ οὐρανός ἐστι τὸ φυσικὸν σῶμα, τὸ δε φυσικὸν σῶμα ἐν ἑαυτῷ ἔχει φυσικῶς τῆς κατὰ φύσιν κινήσεως τὴν ἀρχήν,

42. EX EODEM LIBRO.

Omnino vero arbitrari, principium & causam huiusmodi satis esse, quod scilicet semper ita vel sit vel fiat, nō rectū fuerit opinio: ad quod Democritus de natura causas refert, quod sic prius quoque fuerit. Eius autem quod semper ita sit vel fiat, non dignum ducit principium & causam inquirere. quod quidem ille de nonnullis rebus rectè dicat, de omnibus non rectè. siquidem triangulus duabus rectis semper aquales habet angulos. Verumtamē eiusmodi perpetuitatis alia quædam æterna est causa. Principiorum autem non est causa, cum sint æterna.

Quapropter si, sicut nunc aliquid gignitur, ita etiam prius genitum esse, non recta est opinio, principium & causam eorum esse quæ semper natura gignuntur: necessario nimirum recta fuerit sentētia, principium esse eorum quæ natura gignuntur, non ita genita esse vti nunc gignuntur, sed aliter. Idcirco æquum est, & eius quærere initium quod semper fit. Aliter gignitur animal ex animali, & aliter genitum est animal ex eo quod non sit animal. Atque animal ex eo quod animal nō sit, neque natura genitum est, neque semper gignitur: animal autē ex animali semper, & quidem naturaliter gignitur, iam inde ex eo tempore quo ortum & principium cepit, vt ex animali eo gigneretur, quod nō ex animali exsisteret. Atque hoc de vniuersis quæ semper natura gignuntur, non de quibusdam tantummodo dicitur. Fieri enim haudquaquam potest, vt ea quæ ex principiis genitis prouenìunt, eandem habeant naturam quam principia ipsa habuere. Æternitas quæ est in genitis, principii expers esse nequit. Triangulus etenim duabus rectis tres æquales obtinet angulos, principium habens genitum, lineam rectam, cuius ratio refertur ad lineam accuratissime protēsam. ipsa namque causa est vt triāgulus duabus rectis pares tres habeat angulos: quę si decollet, trigonus constare nequit. Porro etiāsi trigonus desit, linea tamē recta esse potest. Eorū principia quæ semper natura fiunt, æterna esse nequeunt. Si enim quā habent naturam, eā ad ea quæ ex ipsis gignuntur, transmittunt, eaq; ipsa genita est: nēpe & principiorū natura genita fuerit, quamuis gignendi modus sit immutatus, qui alius est ab ea generatione qua ea fiunt quæ ex principiis gignuntur.

43. EX EODEM LIBRO.

Necesse est vnū quiddam esse, idque perpetuū, quod princeps motū cieat. Demonstratū enim est, necessariū esse vt semper sit motus. quod si semper, necesse est continuum esse. nam quod semper est, continuum est: Intermissum autem, non continuum. Enimuero si continuum, vnum scilicet: vnum autem, cum ab vno qui motum cieat, tum in vno quod moueatur. nam si quid aliud atque aliud moueat, motus totus non continuus, sed interpellatus fuerit.

Si id quod princeps motū ciet, eū motū qui delatione fit ciet: motus vero qui delatione fit, cæli est: cælū aūt est naturale illud corpus, & corpus naturale in seipso natura principiū motus

naturalis habet: abundantiæ nimirum superuacaneæ est, quod cęlum principe impulsore ciente, motu eo qui delatione fit, mouetur; quo illud etiamsi a primo concitatore non impelleretur, a seipso tamen moueretur: propterea quod quintum sit elementum, neque grauitatem habens quæ id deorsum versum impelleret, neq; leuitatem quæ id sursum versum ferret, sed vim aliam nomine carentem, circum medium id voluentem. Si id quod princeps causa motus est, cælum ea motione quæ delatione fertur, neque iuxta naturã, (superflua namque est eiusmodi motio) neque præter naturam (secunda enim est ea quæ præter naturam est, ab ea quæ iuxta naturam fit motione) incitat: haud sane quidquam cælum mouerit. Si quilibet motus vt nũc fit, ita etiam prius factus est: nũc autem fit iuxta vicissitudinem seu mutationem futuri: quod vero futurum fuerat, priusquam fieret, non fuit: & quod primum non fit, sed posterius exstet, genitum est, quidquid id sit: porro autẽ quod genitum sit, principii expers & perpetuũ esse non potest: motus certe quidem perennis, & sine principio non fuerit.

44. EX EODEM LIBRO.

Manifestum est, primũ esse motum qui delatione fit. Primum etenim, quemadmodum & in aliis, ita & in motu plurifariam dici potest. Dicitur autem Prius, quod si non sit, alia non exstabunt. Illud ipsum vero absque aliis exstabit: & tum id quod tempore, tum id quod substantia, prius est. [Quapropter quum opus sit esse motum, necesse est eum continenter esse: continenter porro fuerit, si vel continuus vel intermissus; magis tamen si continuus: & melius fuerit cõtinuum esse, quam interpolatum. Semper autem id quod præstantius sit, in natura esse, quoad eius fieri possit, opinamur. Atqui continuus esse potest; idque postea demonstrabitur nunc autem eum esse positum sit, & quidem non alium eum esse posse, quã qui delatione fit] Proinde delationem primã esse necesse est. nulla enim est necessitas neque augendi id quod defertur, neque alterandi, neque item gignendi, neque perimendi. Quorum nihil locum habet præterquam si motus sit continuus, quem princeps motus impulsor ciet. Is motus tempore quoque ipso primus est. nam quæ perpetua sunt, hoc ipso dumtaxat moueri queũt. (aterũ in vnoquoque, quodcumque tandem id sit eorũ quæ gignuntur, motũ eum qui delatione fit, extremum omnium esse oportet. Posteaquã enim genitũ aliquid sit, augetur & alteratur primũ atq; adhuc motus qui delatione fit, & eorũ est quæ perfecta sunt, insuper accedit. Sed enim aliud quod eo motu qui delatione fit, moueatur, prius esse necesse est. quod etiã generationis eorũ causa fuerit quæ gignuntur: ipsum tamen genitum non sit, velut id quod gignit eius quod gignitur: cum generatio motuũ omniũ videatur esse primus, eo quod gigni primum rem quamque oporteat. Atqui hoc quidem in vnoquoque, quodcumque tandem id sit, eorum quæ gignuntur, sic se habet. Sed oportet aliud quidpiam prius moueri quam quæ gignuntur, quod ipsum sit, & genitum non sit, atque hoc ipso prius aliud.

περιττῶς ἄρα κινεῖται ὁ οὐρανὸς ὑπὸ τοῦ πρώτου κινοῦντος τὴν κατὰ φορὰν κίνησιν· ἦν καὶ εἰ μὴ τὸ πρῶτον κινοῦν ἐκίνει αὐτὸν, ἐκινεῖτο ἂν αὐτὸς ὑφ' ἑαυτοῦ, διὰ τὸ εἶναι αὐτὸν πέμπτον στοιχεῖον, μήτε βαρύτητα ἔχον κινοῦσαν αὐτὸν ἐπὶ τὸ κάτω, μήτε κουφότητα κινοῦσαν αὐτὸν ἐπὶ τὸ ἄνω, ἀλλ' ἑτέραν δύναμιν ἀνώνυμον κινοῦσαν αὐτὸν περὶ τὸ μέσον. Εἰ τὸ πρῶτον κινοῦν τὴν κατὰ φορὰν κίνησιν τὸν οὐρανὸν, οὔτε κατὰ φύσιν αὐτὸν κινεῖ· περιττὸν γὰρ τὸ οὕτως κινεῖν· οὔτε παρὰ φύσιν· δευτέρα γάρ ἐστι κίνησις ἡ παρὰ φύσιν τῆς κατὰ φύσιν κινήσεως· οὐκ ἄρα κινεῖ τι τὸν οὐρανόν. Εἰ πᾶσα κίνησις ὡς γίνεται νῦν, οὕτως καὶ τὸ πρότερον ἐγίνετο· γίνεται δὲ νῦν κατὰ μεταβολὴν τοῦ μέλλοντος γίνεσθαι· τὸ δὲ μέλλον γίνεσθαι, πρὸ τοῦ γενέσθαι οὔπω ἦν· τὸ δὲ πρῶτον μὲν οὐκ ὂν, ὕστερον δὲ γενητὸν, τοῦτο πᾶν· τὸ δὲ γενητὸν, ἄναρχόν τι καὶ ἀΐδιον οὐ δυνατὸν εἶναι· οὐκ ἄρα ἡ κίνησις ἀΐδιός τι καὶ ἄναρχος.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ

Φανερὸν ὅτι ἡ φορὰ πρώτη· τὸ γὰρ πρῶτον ὥσπερ ἐφ' ἑτέρων, οὕτως καὶ ἐπὶ κινήσεως ἂν λέγοιτο πλεοναχῶς. λέγεται δὲ πρότερον, οὗ γε μὴ ὄντος, οὐκ ἔσται τὰ ἄλλα, ἐκεῖνο δὲ ἄνευ τῶν ἄλλων καὶ τὸ χρόνῳ, καὶ τὸ κατ' οὐσίαν. ὅτι ἀνάγκη τὴν φορὰν εἶναι πρώτην. οὐδε γὰρ μία ἀνάγκη, οὔτε αὐξάνεσθαι, οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον, οὐδὲ δὴ γίνεσθαι, ἢ φθείρεσθαι. τούτων δὲ οὐδεμίαν ἐνδέχεσθαι τῆς συνεχοῦς μὴ οὔσης, ἣν κινεῖ τὸ πρῶτον κινοῦν. ἔτι χρόνῳ πρώτη· τοῖς γὰρ ἀϊδίοις μόνον ἐνδέχεται κινεῖσθαι ταύτην, ἀλλ' ἐφ' ἑνὸς μὲν [ὁτουοῦν] τῶν ἐχόντων τὴν γένεσιν, τὴν φορὰν ὑστάτην ἀναγκαῖον εἶναι τῶν κινήσεων. μετὰ γὰρ τὸ γενέσθαι, πρῶτον αὔξησις καὶ ἀλλοίωσις· φορὰ δὲ ἤδη τελειουμένων κίνησίς ἐστιν· ἀλλὰ ἕτερον ἀνάγκη κινούμενον εἶναι κατὰ φορὰν πρότερον, ὃ καὶ τῆς γενέσεως αἴτιον ἔσται τοῖς γιγνομένοις οὐ γιγνόμενον, οἷον τὸ γεννῆσαν τοῦ γεννηθέντος· ἐπεὶ δόξειεν ἂν ἡ γένεσις εἶναι πρώτη τῶν κινήσεων, διὰ τοῦτο, ὅτι γενέσθαι δεῖ τὸ πρᾶγμα πρῶτον. τὸ δὲ ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γιγνομένων οὕτως ἔχει, ἀλλ' ἕτερον ἀναγκαῖον πρότερόν τι κινεῖσθαι τῶν γιγνομένων ὂν αὐτὸ, καὶ μὴ γιγνόμενον, καὶ τούτου ἕτερον πρότερον:-

Εἰ τὸ αὐξανόμενον τοῦτό ἐστι γενητὸν, αὐξάνει δὲ ἡ φορὰ τῷ ποσῷ τῆς κινήσεως, οὐκ ἀΐδιος ἡ φορά. τὸ γὰρ φερόμενον σῶμα ἔχει τόπους διαφόρους ἐν οἷς κατατείνειν τὴν μετάστασιν τοῦ αὐτοῦ μέτρων, φερόμενον ποιεῖ τῆς κατὰ φορὰν κινήσεως τὴν αὔξησιν. Εἰ ὁ

Si id quod incrementũ capit, genitũ est: incrementum autẽ capit pro motus quantitate, delatio: non fuerit perpetua delatio. nã id quod defertur corpus, varia habet loca: in quibus mensura eorum transcunda, dum defertur, eius motus qui delatione fit, incrementa capit. Si delatio

αὐτῇ ἔχει ἡ φορὰ τῷ ποσῷ τῆς κινήσεως τὴν αὔξησιν, πῶς λέγεται ἡ φορὰ τῆς κατ' αὔξησιν κινήσεως εἶναι πρώτη; Εἰ ἀδύνατόν ἐστι τὸ μὴ ἠργμένον καὶ πεπερασμένον δέξασθαι τῇ προσθήκῃ τὴν αὔξησιν, οὐκ ἄρα ἄναρχος ἡ φορὰ τῷ ποσῷ τῆς κινήσεως. ἀεὶ μείζων οὖσα ἢν γινομένη. Εἰ ἡ φορὰ ἐν τῷ γίνεσθαι καὶ ἀπογίνεσθαι τὸ εἶναι ἔχει, οὐκ ἄρα ἀΐδιος ἡ φορὰ, ἧς ἀεὶ προηγεῖται τοῦ εἶναι τὸ μὴ εἶναι. πᾶσα γὰρ κίνησις κατὰ μεταβολὴν γίνεται τοῦ μήπω ὄντος, ἀλλὰ μέλλοντος. Εἰ πᾶσα φορὰ τῷ παρελθόντι πεπερασμένον ἐστὶ, τὸ δὲ πεπερασμένον πᾶν ἐξ ἀνάγκης καὶ ἠργμένον, τὸ δὲ ἠργμένον πᾶν γεννητὸν, γεννητὴ ἄρα ἡ φορά. καὶ εἰ ἡ φορὰ τοῦ φερομένου σώματος οὐκ ἔστι προτέρα, γεννητὸν ἄρα καὶ τὸ φερόμενον.

Εἰ ἐν τοῖς ἀϊδίοις τὸ μὲν μόνον κινεῖ, τὸ δὲ μόνον κινεῖται ἀϊδίως τὴν κατὰ φορὰν κίνησιν, πῶς οὐκ ἔστι τῶν ἀδυνάτων τὸ τὸν ἄναρχον ἠργμένην κινεῖσθαι κίνησιν; Εἰ τὸ οὗ ἄνευ τῶν ἄλλων οὐδέν ἐστι, τοῦτο οὐσίᾳ τε καὶ χρόνῳ τῶν ἄλλων πρῶτόν ἐστι, πῶς οὐκ ἔστιν ἀγέννητον; ἐπειδὴ γὰρ τὸ πρῶτον κινοῦν, πάντων πρῶτον εἶναι καὶ ἀγέννητον. ἔτι δὲ ὁ οὐρανὸς καὶ τὰ ἐν τῷ οὐρανῷ φαινόμενά τε καὶ κινούμενα, εἶναι ἀγέννητα πάντα· ὅπερ ἐστὶν ἄτοπον, τὸ λέγειν ἀγέννητόν τι εἶναι πρὸ τινὸς ἀϊδίου ἐν τοῖς ἀϊδίοις. Εἰ τὸ πρῶτον κινοῦν τὴν συνεχομένην κίνησιν, κινεῖ δὲ οὔτε τὴν κατὰ φύσιν, οὔτε τὴν παρὰ φύσιν, ἐκείνην μὲν ὡς προειρημένην καθὼς ἐρρέθη, ταύτην δὲ ὡς δευτέραν οὖσαν τῆς κατὰ φύσιν κινήσεως, οὐκ ἄρα κινεῖ τὴν συνεχῆ κίνησιν οὐδέν.

Εἰ τῶν ἀϊδίων κινουμένων οὔτε ἡ κίνησις προτέρα τῶν κινουμένων, οὔτε τὰ κινούμενα πρότερα τῆς κινήσεως· ἔστι δὲ ἡ κίνησις πᾶσα κατὰ μεταβολὴν τοῦ μήπω ὄντος, ἀλλὰ μέλλοντος· ἔσται ἄρα τὰ κινούμενα πάντα ἐκ μεταβολῆς τοῦ μήπω ὄντος, ἀλλὰ μέλλοντος, τὸ εἶναι ἔχοντα. Εἰ ἐφ' ἑνὸς τῶν γινομένων ἡ φορὰ ὑστάτη τῶν κινήσεων, ἀλλ' ἀνάγκη ἕτερον κινούμενον κατὰ φορὰν εἶναι πρότερον, ὃ καὶ τῆς γενέσεως αἴτιον ἀγέννητον ὄν, πῶς ἐνδέχεται τὸ αὐτὸ τῆς κατὰ φύσιν γενέσεως αἴτιον εἶναι, καὶ τῆς ὑ-

202 πὲρ τὴν φύσιν γενέσεως; ὁ γὰρ πρώτως γεννήσας οὐκ ἐγεννήθη, καίτοι τὸ πρότερον κινούμενον, οὕτως ἐκινεῖτο ἐπὶ τῆς γενέσεως τοῦ πρώτως γενομένου, ὡς ὕστερον ἐκινήθη ἐπὶ τῆς γενέσεως τῶν ἐξ ἐκείνου. ἢ ἄρα οὐκ ἔστιν αἴτιον τῆς πάσης γενέσεως τὸ οὕτω κινούμενον ἀγεννήτως, ἢ οὐ κινεῖ τὸ πρῶτον κινοῦν τὴν συνεχῆ κίνησιν, διὰ φορᾶς γενέσεως ἐν τοῖς γιγνομένοις θεωρουμένης, καθ' ἣν τὰ μὲν ὑπὲρ τὴν φύσιν γέγονε, τὰ δὲ κατὰ φύσιν. Εἰ ἔστιν ἀγέννητον τὸ πρότερον καὶ ὕστερον, ἔσται ἄρα ὅτε τὸ ἀγέννητον οὐκ ἀγέννητον ὅπερ ἐστὶν ἄτοπον, τὸ ποτὲ μὴ εἶναι τὸ ἀγέννητον.

latio in seipsa habet, pro motus quãtitate, augmentũ: quomodo delatio prior esse eo motu dicitur qui crescẽdo fit? Si impossibile est, id quod cœptu & finitu nõ sit, accessione capere incrementũ: minime sine ortu delatio fuerit, quæ semper pro motus quãtitate maior quã antea fuerit, fiat. Si delatio in eo quod fit & desit consistit, non fuerit perpetua delatio: quã semper, priusquã sit, id præcedit quod nõ sit. Quęuis nãq; motio mutatione seu successione eius fit, quod necdũ sit, sed futurum sit. Si quæuis delatio eo quod præterijt, finita est, vnũquodq; aũt quod finitũ est, necessario quoq; principiũ habet: tũ vero quod principiũ habet, id omne genitum etiam est: genita fuerit delatio. Et, si delatio eo quod fertur corpore, prior non est, genitũ videlicet quoque quod fertur, fuerit. Si in reb. æternis hoc quidẽ mouet solũ, hoc vero mouetur solum perpetuo, motu eo qui delatione fit: quo pacto ex impossibilibus nõ sit, vt quod principio careat, motu eo qui principium habeat, moueatur? Si id absq; quo cæterarũ rerum nihil constat, substãtia iuxta & tempore cæterarum primum est: quomodo ingenitum nõ sit? Positum enim est, principem motus auctorem, omnium esse primum & ingenitum: præterea vero cælum, & quæ in cælo apparẽt & mouẽtur, ingenita esse omnia. quod sane est perquam absurdum; dicere scilicet ingenitũ quippiã esse ante æternũ quodquam in rebus æternis. Si primus motus impulsor continuum ciet motum; idque neque iuxta naturam, neque præter naturam: illum quidem, tamquam superfluum, prout dictum est; hunc autẽ, velutĩ secundum ab eo qui natura fit motu: nihil sane cõtinuum mouerit motum. Si rebus perpetuis mouẽdis, neque res motus reb. ipsis quæ mouẽtur, prior, neq; resque mouentur motu ipso sunt priores: motus vero quisq; vicissitudine & successione eius cõstat quod necdũ sit, sed futurũ sit, nimirũ ea quæ mouentur omnia, in vicissitudine eius quod nõ sit, sed futurũ sit, essentia sua cõstiterint. Si in quolibet eorũ quæ fiunt, delatio motuũ vltima est: necessitatis aũt est, aliud esse quod delatione moueatur, prius. quod quidem ingenitũ ipsum gignendi causa sit quinam fieri potest vt idem & eius quæ iuxta naturam, & eius quæ supra naturam est generationis sit causa? nam qui princeps genuit, genitus non est. Atqui id quod prius motu incitatum est, ita incitatum est in generatione eius quod primum genitum est, sicuti posterius incitatum est in generatione eorum quæ ex illo genita sunt. Proinde vtique, aut causa non est generationis cuiusque id quod ita non geniti siue non gignentis modo motu incitatur, aut non ciet continuũ motũ primus motor: cũ in eis quæ gignũtur, differẽtia generationis intelligẽtia perspiciatur, qua hæc quidẽ supra naturã genita sunt, hæc autẽ secũdũ naturã. Si ingenitũ est prius & posterius, fuerit aliquando cũ ingenitũ nõ fuerit ingenitũ. quod certe est absurdũ, videlicet ingenitũ aliquãdo non esse.

45. EX EODEM LIBRO.

In continuo autem insunt quidem infinita dimidia; verum non actu, sed potentia.

Si actu nihil est infinitum, nimirum ne tempus quidem, nedum motus infinitus fuerit. Cum autem motus & tempus, eo quod præterijt, finita sint: vt initium habeant necesse est. initium vero cum habeant, necessario etiã genita sunt. Sin motus & tempus genita sint, necessario sane & id quod mouetur corpus in perenni motu cõsistens, genitũ est. Quod si quoq; semper ipsius quod sumptũ est tẽporis dimidiũ liceat sumere ex futuro, & adijcere præterito: ne hoc qdẽ modo fieri queat vt tẽpus, quatenus pręterijt, infinitũ sit actu.

46. EX PRIMO LIBRO Aristotelis de Cælo.

Corpus aliquod simplex esse necesse est, aptum quod sit, vt suapte natura circulari feratur motu.

Quid igitur opus est vt princeps motus causa eiusmodi moueat corpus, quod suapte natura impulsũ orbico feratur motu?

47. EX EODEM LIBRO.

Satis liquet aliam esse corporis substantiam, præter hasce hic constitutas, omnibus illis & diuiniorem & priorem.

Si corpus istud perpetuo & absque initio circum terram, infernalem hanc substãtiam, voluitur: quo pacto prius esse quã terra potest, sine qua circularem non posset tenere cursum? Ac si perpetuitas, & principij vacuitas, & ad constitutionẽ eorũ quæ hic gignũtur cõmoditas, sicut huiusmodi corpori, ita & terræ adest: quare illud terra prius fuerit ac præstabilius?

48. EX EODEM LIBRO.

Corpus quod in orbem fertur, fieri nequit vt pondus aut leuitatem obtineat.

Si id quod grauitatem & leuitatem nõ habet, tractabile non est: ea namque quæ grauitatem & leuitatem habent, tractabilia sunt: quomodo id quod absque illis esse non potest, habet, illa autem nõ habet? Quo pacto enim motu suo vim quandam excalfactoriam aeris efficit? quemadmodum corpora ista pondus & leuitatem habentia, actus sua ipsorum commotione efficiunt excalfactorios.

49. EX EODEM LIBRO.

[Loca inter se contraria sunt, Sursum & Deorsum, Ante & Pone, Ad lauã & Ad dexterã:] delationes autem, pro eo atq; loca contraria sunt, contrariæ quoque ipsæ inter se sunt. Si enim æquales essent, motus earum nõ esset: sin alter eorum exsuperaret, alter non esset. Quod si vterque esset, frustra corpus alterum esset, quod suo non moueretur motu. Frustra enim eum esse dicimus calceum, quem pedi non aptamus. Deus autem & Natura nihil faciunt frustra.

Si in delatione corporũ essent motus cõtrarij: aut pares, qui per antiperistasim (siue aduersam cõpressionem) se inuicem impedirẽt: aut impares, & propter excellẽtiã alterius alter fieret immobilis, violẽtia superioris q inferiorẽ supe-

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἐν δὲ τῷ συνεχεῖ ἔνεστι μὲν ἄπειρα ἡμίσεα, ἀλλ' οὐκ ἐντελεχείᾳ, ἀλλὰ δυνάμει.

Εἰ ἐντελεχείᾳ μὲν οὐδὲν ἄπειρον, δηλονότι οὐδὲ ἡ κίνησις οὐδὲ ὁ χρόνος ἐστὶν ἄπειρος· κινήσεώς τε καὶ χρόνου τῷ παρελθόντι πεπερασμένων ὄντων, ἐξ ἀνάγκης εἰσὶν ἠργμένοι· ἠργμένων δὲ αὐτῶν, ἐξ ἀνάγκης εἰσὶ καὶ γενητοί. εἰ δὲ ἡ κίνησις καὶ ὁ χρόνος εἰσὶ γενητοὶ, ἐξ ἀνάγκης ἄρα καὶ τὸ κινούμενον σῶμα, τὸ ἀεὶ ἐν τῷ κινεῖσθαι τὸ εἶναι ἔχον· εἰ δὲ καὶ ἀεὶ τὸν ληφθέντα χρόνον τούτου τὰ ἡμίσεα ἐνδέχεται ληφθῆναι ἐκ τοῦ μέλλοντος, καὶ προστεθῆναι τῷ παρελθόντι, ἀλλ' οὐδ' οὕτως ἐνδέχεται τὸν χρόνον τῷ παρελθόντι ἄπειρον εἶναι ἐντελεχείᾳ ποτέ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΕΚ ΤΟΥ ΠΕΡΙ οὐρανοῦ πρώτου λόγου.

Ἀναγκαῖον εἶναί τι σῶμα ἁπλοῦν, ὃ πέφυκε φέρεσθαι τὴν κύκλῳ κίνησιν κατὰ τὴν ἑαυτοῦ φύσιν.

Τίς οὖν χρεία τοῦ πρώτως κινοῦντος κινεῖν τοιοῦτον σῶμα, τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν τὴν κύκλῳ κινούμενον κίνησιν;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος ἄλλη παρὰ τὰς ἐνταῦθα συστάσεις, θειοτέρα καὶ προτέρα τούτων ἁπάντων.

Εἰ τοῦτο τὸ σῶμα ἀϊδίως καὶ ἀνάρχως περὶ τὴν γῆν τὴν ἐνταῦθα οὖσαν οὐσίαν κινεῖται, πῶς δύναται τῆς γῆς εἶναι πρότερον, ἧς χωρὶς οὐκ ἂν ἐκινεῖτο τὴν κύκλῳ κίνησιν; καὶ εἰ τὸ ἀΐδιον, καὶ τὸ ἀγένητον, καὶ τὸ χρήσιμον πρὸς σύστασιν τῶν ἐνταῦθα γιγνομένων, ὡς πρόσεστι τῷ τοιούτῳ σώματι, οὕτως πρόσεστι τῇ γῇ, διὰ τί τὸ σῶμα ἐκεῖνο τιμιώτερον καὶ πρότερον τῆς γῆς;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Τὸ δὲ κύκλῳ σῶμα φερόμενον, ἀδύνατον ἔχειν βάρος ἢ κουφότητα.

Εἰ τὸ μὴ ἔχον βάρος καὶ κουφότητα, οὐ δυνατὸν εἶναι ἁπτόν· ἐν γὰρ τοῖς ἔχουσι βάρος καὶ κουφότητα ἐστὶ τὸ ἁπτόν· πῶς τὸ ἐκείνων ἄνευ μὴ δυνάμενον εἶναι ἔχει, ἐκεῖνα δὲ οὐκ ἔχει, πῶς δὲ τῇ αὐτοῦ κινήσει θερμαντικήν τινα δύναμιν ἀέρος ἀποτελεῖ, καθάπερ τὰ ἐνταῦθα σώματα τὰ ἔχοντα βαρύτητα καὶ κουφότητα, ταῖς ἑαυτῶν κινήσεσι θερμαντικὰς ἐκτελοῦντα ἐνεργείας;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Αἱ δὲ τῆς φορᾶς ἐναντιώσεις κατὰ τὰς τῶν τόπων εἰσὶν ἐναντιώσεις. εἰ μὲν γὰρ ἴσαι ἦσαν, οὐκ ἂν ἦν κίνησις 203 αὐτῶν· εἰ δὲ ἡ ἑτέρα κίνησις ἐπεκράτει, ἡ ἑτέρα οὐκ ἂν ἦν. ὥστε εἰ ἀμφότερον ἦν, μάτην ἂν ἦν θάτερον σῶμα μὴ κινούμενον τὴν αὐτοῦ κίνησιν. μάτην γὰρ ὑπόδημα τοῦ λεγομένου οὗ μή ἐστιν ὑπόδεσις. ὁ δὲ Θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν.

Εἰ ἦσαν ἐν φορᾷ σωμάτων κινήσεις ἐναντίαι ἢ ἴσαι κατὰ τὴν ἀντιπερίστασιν κωλύουσαι τὰς ἀλλήλων κινήσεις, εἴτε ἄνισοι, καὶ διὰ τὴν ἐπικράτειαν τοῦ θατέρου τὸ ἕτερον ἀκίνητον ἐγίνετο, τῇ βίᾳ τοῦ ἐπικρατοῦντος

τὸ κρατούμενον, τὴν αὐτοῦ κατὰ φύσιν μὴ ἀνύειν κίνησιν, μάτην ἂν ἐγένετο τὰ οὕτως πρὸς τὰς οἰκείας τε καὶ κατὰ φύσιν κινήσεις ἐμποδισμένα, καὶ Θεοῦ οὐκ ἂν ἦν ἔργα ταῦτα, οὔτε φύσεως δηλονότι. εἰ τῶν μάτην γινομένων ὁ Θεὸς τούτων ποιητὴς οὐκ ἦν, οὔτε ἡ φύσις, τῶν οὐ μάτην ἄρα γιγνομένων, ἀλλ᾽ ἀνεμποδίστως τὰς κατὰ φύσιν αὐτῶν κινήσεις ἐκτελούντων, ὁ Θεὸς τούτων ἐστὶ ποιητὴς καὶ ἡ φύσις. πῶς οὖν οὐκ ἔστι τῶν ἀτοπωτάτων, τὸ ἀγένητα λέγειν, ἀΐδιά τε καὶ ἄναρχα ταῦτα, ὧν ὁ Θεὸς καὶ ἡ φύσις ἐστὶ ποιητής; καὶ, εἰ ὑποδήματα ἔργα τεχνίτου ἐκεῖνα λέγομεν τὰ ἔχοντα ὑπόδεσιν, διὰ τί μὴ καὶ τὰ σώματα τὰ κατὰ φύσιν τὰς οἰκείας ἐκτελοῦντα κινήσεις, λέγομεν ποιήματα Θεοῦ τε καὶ φύσεως;

superaret, naturalẽ cursum suum non cõficientem: frustra huiuscemodi motiones quæ ita in naturalibus suis cursibus impedirentur, essent factæ: ac Dei scilicet opera hæc non essent, neque naturæ. Si eorũ ipsorum quæ frustra gignuntur, Deus cõditor non est, neque natura: eorum nimirum quæ citra obstaculum naturales motus suos perficiunt, Deus & natura opifex fuerit. Qui ergo absurdissimum nõ est, dicere, ea ipsa esse ingenita perpetua, & principii expertia, quorum Deus est fabricator & natura? Et si calceos eos artificis esse opus dicimus qui ligulam habẽt, & pedi recte adaptãtur: quid ita tandẽ & corpora ea quæ natura cursus suos tenẽt, Dei & naturæ inuẽtũ esse nõ dicimus?

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

» Τὸ μὲν οὖν ἕτερον εἶναι τὸν λόγον τὸν ἄνευ τῆς ὕλης, καὶ τὸν ἐν τῇ ὕλῃ τῆς μορφῆς, καλῶς [τι] λέγεται, καὶ ἔστω τοῦτο ἀληθές· ἀλλ᾽ οὐδὲν ἧττον οὐδεμία ἀνάγκη διὰ τοῦτο πλείους εἶναι κόσμους, οὐδὲ ἐνδέχεται πλείους γενέσθαι, ἐπείπερ οὗτος ἐκ πάσης ἐστὶ τῆς ὕλης, ὥσπερ ἐστίν.

Εἰ τῷ ἀΰλως καὶ ἐνύλως ἐστὶ τοῦ λόγου πρὸς τὸν λόγον ἡ διαφορὰ, δηλονότι ὕστερον τοῦ λόγου τοῦ ἀΰλου ὁ λόγος ὁ ἔνυλος. πῶς οὖν ἀγένητος ὁ κόσμος, ἐκ τοῦ ὑστέρου λόγου τὴν σύστασιν ἐσχηκώς; Εἰ ἀνείδεος καὶ ἀνούσιος, καὶ τοῦ εἶναι τόδε τι ἐστερημένη ἡ ὕλη πρὸ τοῦ λαβεῖν τὸ εἶδος, καὶ γενέσθαι οὐσία, καὶ τόδε τι, πῶς ἀγένητος ὁ κόσμος, ἐκ τῆς τοιαύτης ὕλης γεγονώς; Εἰ ὁ ἐσχηκὼς τὸν λόγον τοῦ ἑνὸς κόσμου, οὗτος καὶ πλειόνων κόσμων εἶχε τοὺς λόγους, καὶ μὴ τῷ ἀρεσκομένῳ τοῦ κόσμου ἐποίει τὴν ποίησιν κατὰ τὴν οἰκείαν βούλησιν, ἀλλὰ τῇ εὐπορίᾳ τῆς ὕλης ἴσχυσε ποιεῖν κόσμον ἕνα, καὶ τῇ ἀπορίᾳ αὐτῆς οὐκ ἴσχυσε ποιεῖν πλείονας κόσμους, πῶς οὐ δοκεῖ μάτην ἐσχηκέναι πλειόνων κόσμων τοὺς λόγους, ὧν τὴν ποίησιν οὐκ ἴσχυσε διὰ τὴν ἀπορίαν τῆς ὕλης; Εἰ ἐξ ἀγενήτου ἀδύνατον γενέσθαι ἀγένητον, πῶς, εἰ ἀγένητος μὲν ἡ ὕλη, ἀγένητος δὲ καὶ ὁ κόσμος, γέγονεν οὗτος ἐξ ἐκείνης; Εἰ μὴ ὡς ἐποίησεν ὁ Θεὸς τὰ ἐκ τῆς ὕλης, οὕτως καὶ τὴν ὕλην ἐποίησεν, οὐκ ἄρα ποιεῖ ὁ Θεὸς ὅσα βούλεται, ἀλλ᾽ ὅσα ἰσχύει. εἰ δὲ ἴσην τῇ βουλήσει ἔχει τὴν ἰσχὺν ἐν πᾶσι, ποιητὴς ἄρα τῆς ὕλης ὁ Θεὸς, ὥσπερ καὶ τῶν ἐκ τῆς ὕλης. Εἰ ἡ ὕλη ὑποκειμένη Θεῷ εἰς ποίησιν τῶν ἐξ αὐτῆς ἀνείδεος οὖσα καὶ ἀνούσιος, ἄποιός τε καὶ ἄποσος, ὑπὸ τῆς τοῦ Θεοῦ δυνάμεως μετεβλήθη εἰς ταῦτα πάντα καὶ γέγονεν οὐσία πεποιωμένη καὶ πεποσωμένη, πῶς οὐκ ηὐξήθη ὑπὸ τῆς αὐτῆς τοῦ Θεοῦ δυνάμεως, τὰς τοσαύτας ἐν αὐτῇ ἐργασαμένης μεταβολὰς εἰς τοσοῦτον, ὥστε καὶ πλείονας κόσμους γενέσθαι ἐξ αὐτῆς, ἀλλ᾽ εἰς γένεσιν ἑνὸς κόσμου ἀναλωθεῖσα, ἄκοντα τὸν Θεὸν ἔπαυσε τοῦ ποιεῖν πλείονας κόσμους;

EX EODEM LIBRO.

Aliam esse absque materia, aliam in materia formæ rationem, recte dicitur. Ac sit hoc sane ita vero; nihilo tamen minus propterea aut plures esse mundos, aut plures esse posse, necesse est: siquidem iste sicut est, ex tota est materia.

Si sine materia constare, & materia cõstare, rationis ad rationem est differentia: videlicet post rationem substantiæ absq; materia constantis, ratio substãtiæ materia constãtis fuerit. Quomodo ergo ingenitus mundus, ex posteriore ratione constitutionem suam obtinens? Si informis, substantiæque expers, & eo vt hoc ipsum aliquid sit, priuata est materia, antequam formam capiat, & substantia atq; hoc ipsum quidquã fit; quomodo ingenitus mundus, qui istiusmodi materia constat? Si, cui ratio vnius cõstitit mũdi, eidẽ quoq; pluriũ constitere rationes; atq; is non quod ita ei placitũ satisq; visum esset, pro volũtate sua mundũ fecit, sed materiæ copia vnum mundũ condere potuit; inopia aũt eius plures creare nõ potuit: quomodo non videtur pluriũ fabricandorum frustra tenuisse rationes. quos fingere nõ potuit, propter materiæ inopiã? Si ex ingenito gigni ingenitũ nequit; quomodo, si materia ingenita est, ingenitus vero & mũdus, hic ex illa genitus? Si Deus, sicuti quæ ex materia creauit, nõ ita etiã materiã creauit: nõ vtiq; Deus quæ vult facit, sed quæ potest. Sin in omnibus parẽ habet voluntati facultatẽ, conditor certe materiæ sic De^9^ est, vt eorũ quæ ex materia sunt condita. Si materia quæ subiecta fuit Deo, ad eorũ quæ ex ipsa facta sunt creationem, cum sine forma esset, sine substãtia, sine qualitate, & sine quãtitate, Dei potentia in vniuersa ista mutata est, & essentia facta qualitatem & quantitẽ suã habẽs: quomodo ea ipsa Dei potentia, quæ tot & tantas in ea fecit mutationes, non in tantũ illa aucta est, vt etiã mũdi plures ex ea fierent; sed in vnius opificio mũdi consumpta, effecit vt Deus inuitus, quo minus plures crearentur, cessaret?

51. EX EODEM LIBRO.

Cœlum ex eis est quæ singularia sunt, & quæ ex materia [& forma] sunt. Verum & si non ex parte eius constitit, sed ex ea tota: essentia quidem cæli ipsius alia, & huiusce cæli alia est: attamen neque aliud cælum fuerit, neque plures cæli fieri possint: eo quod hoc ipsum materiam vniuersam sit circumplexum.

Si cælum est ex eis quæ singula sunt, & ex eis quæ ex materia & forma componũtur, adeo vt cælo quidem sua sit essentia, formæ autẽ materiæ experti, alia: qui genitum non est, principium essentiæ suæ habens, materiæ & formæ, vnde constat, compositionem? Si materia per sese neque grauitatem habet, neque leuitatem: sunt hæc enim eorum corporum quę ex ipsa fiunt, perpessiones: & si ex huiusmodi materia vniuersa conditum est cælum, neque pondus, neque leuitatem habens: vnde alia omnia condita sunt, materia tota in cæli facturam consumpta? Si, priusquam materia ita cõformaretur, cæli forma non habuit grauitatem & leuitatẽ, sicuti nũc non habet, postea quam ea ipsa conformata est: quomodo ante conformationem non mota est, sicuti nunc post conformationẽ mouetur? Si motio substantiæ est, & vacuitas grauitatis & leuitatis materiæ est, & non substãtiæ: cælũ autem circulari voluitur motu, propterea quod neque grauitatem neque leuitatem habeat: nimirum propter materiam motionem huiusmodi cælum obtinet, & nõ propter formam. Quonam ergo modo ante formã acceptam materia motu orbico moueri non potuit, neque pondus habens neque leuitatem?

52. EX SECVNDO LIBRO DE CÆLO.

Quarum rerum aliquod est opus, earum qualibet operis gratia est. Dei autem operatio est immortalitas, vita scilicet æterna. Idcirco necessario Deo motum æternum esse oportet. Cum autẽ cælum huiusmodi sit; (diuinum namque quoddam corpus est) non abs re orbiculatum obtinet corpus, quod in orbem semper natura mouetur.

Si eorum quæ ingenita sunt & perpetua, vt sint nulla est causa: quorum vero opus est, ea operis gratia sunt: perpetua vtique non fuerint, quorum causa vt sint, opera sunt. Si inanimatorum est, præsentia sua tantum efficere naturales operationes; rationalium autem, voluntate: quomodo cælum Deus est, quod non volũtate immortalitatem operatur, sed motione, & partium suarum transitione? Si ingenitum quod est, neque ad id vt sit, neque ad id vt faciat, quopiam indiget, neque aliquorum quæ extra sunt, opem & operam requirit: quomodo cælum, cum & ad id vt mobile sit, terra opus habeat, circũ quã circũagitur; & ad id vt faciat, sole & luna & reliqs astris, ingenitũ est? Si ingeniti ratio nõ in eo est quod facit, quomodo, si cælũ est ingenitũ, rationẽ habet immaterialẽ in eo quod facit, & rationẽ materialẽ in materia? qua ratione alia cælo ipsi est, & huicce cælo alia essentia?

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ὁ δὲ οὐρανὸς, ἐστὶ μὲν τῶν καθ᾽ ἕκαστα, καὶ τῶν
ἐκ τῆς ὕλης· ἀλλ᾽ εἰ μὴ ἐκ μορίου αὐτῆς συνέστη- 204
κεν, ἀλλ᾽ ἐξ ἁπάσης. τὸ μὲν εἶναι αὐτῷ οὐρανῷ, καὶ
τῷδε τῷ οὐρανῷ, ἕτερόν ἐστιν. οὐ μέντοι οὔτε εἴη ἂν ἄλ-
λος, οὔτ᾽ ἂν ἐνδέχοιτο γενέσθαι πλείους, διὰ τὸ πᾶ-
σαν τὴν ὕλην περιειληφέναι τοῦτον:·

Εἰ ἔστιν ὁ οὐρανὸς τῶν καθ᾽ ἕκαστα, καὶ τῶν ἐκ τῆς ὕλης καὶ λόγου συγκειμένων, ὥστε τὸ μὲν εἶναι αὐτῷ οὐρανῷ, τῷ ἀΰλῳ ἢ λόγῳ εἶναι ἕτερον, πῶς οὐκ ἔστι γεννητὸς, ἀρχὴν ἔχων τῆς οἰκείας οὐσίας, τὴν σύνθεσιν ὕλης τε καὶ λόγου ἐξ ὧν ἐστίν; Εἰ ἡ ὕλη καθ᾽ ἑαυτὴν οὔτε βαρύτητα ἔχει, οὔτε κουφότητα· ἔστι γὰρ ταῦτα τῶν ἐξ αὐτῆς γινομένων σωμάτων πάθη· εἰ ἐκ πάσης τῆς τοιαύτης ὕλης γέγονεν ὁ οὐρανὸς ὁ μήτε βαρύτητα ἔχων, μήτε κουφότητα, πόθεν γέγονε τὰ ἄλλα πάντα, τῆς ὕλης ἀναλωθείσης πάσης εἰς τὴν τοῦ οὐρανοῦ ποίησιν; Εἰ πρὸ τοῦ εἰδοποιηθῆναι τὴν ὕλην τῷ εἴδει τοῦ οὐρανοῦ οὕτως, οὐκ εἶχε βαρύτητα καὶ κουφότητα, ὡς νῦν οὐκ ἔχει μετὰ τὸ εἰδοποιηθῆναι αὐτὴν, πῶς οὐκ ἐκινεῖτο πρὸ τῆς εἰδοποιήσεως, ὡς νῦν κινεῖται μετὰ τὴν εἰδοποίησιν; Εἰ τὸ κινεῖσθαι οὐσίας ἐστὶ, καὶ τὸ μὴ ἔχειν βαρύτητα καὶ κουφότητα ὕλης ἐστὶ, καὶ οὐκ οὐσίας· κινεῖται δὲ ὁ οὐρανὸς τὴν κύκλῳ κίνησιν, διὰ τὸ μὴ ἔχειν βαρύτητα καὶ κουφότητα· δηλονότι διὰ τὴν ὕλην τὸ κινεῖσθαι οὕτως ἔχει ὁ οὐρανὸς, καὶ οὐ διὰ τὸ εἶδος. πῶς οὖν ἀκίνητος ἡ ὕλη πρὸ τοῦ εἴδους κατὰ τὴν κύκλῳ κίνησιν, οὔτε βαρύτητα ἔχουσα, οὔτε κουφότητα;

ΕΚ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΛΟΓΟΥ

περὶ οὐρανοῦ.

Ἕκαστόν ἐστιν ὧν ἔστιν ἔργον ἕνεκα τοῦ ἔργου· Θεοῦ δὲ ἐνέργεια ἀθανασία· τοῦτο δ᾽ ἐστὶ ζωὴ ἀΐδιος· ὥστε ἀνάγκη τῷ Θεῷ κίνησιν ἀΐδιον ὑπάρχειν. ἐπεὶ δ᾽ ὁ οὐρανὸς τοιοῦτον· σῶμα γάρ τι θεῖον· διὰ τοῦτο ἔχει [τὸ] ἐγκύκλιον σῶμα, ὃ φύσει κινεῖται [κύκλῳ] ἀεί:·

Εἰ τοῦ μὲν ἀγεννήτου καὶ ἀϊδίου οὐδέν ἐστι τοῦ εἶναι αἴτιον· ὧν δέ ἐστιν ἔργον, ταῦτα δ᾽ ἕνεκεν τοῦ ἔργου ἐστίν· οὐκ ἄρα ἀΐδια, ὧν τὰ ἔργα τοῦ εἶναί ἐστιν αἴτια. Εἰ ἀψύχων ἐστὶ τὸ τῇ παρουσίᾳ μόνον ἐνεργεῖν τὰς κατὰ φύσιν ἐνεργείας· λογικῶν δὲ, τὸ τῇ βουλήσει· πῶς ἐστὶ Θεὸς ὁ οὐρανὸς, ὁ μὴ βουλήσει τὴν ἀθανασίαν ἐνεργῶν, ἀλλὰ τῇ κινήσει τε καὶ τῇ μεταστάσει τῶν ἑαυτοῦ μερῶν; Εἰ τὸ ἀγέννητον οὔτε πρὸς τὸ εἶναι, οὔτε πρὸς τὸ ποιεῖν χρήζει τινὸς, ἢ τινῶν τῶν ἔξωθεν τῆς συνεργίας, πῶς ὁ οὐρανὸς, καὶ πρὸς τὸ εἶναι αὐτὸν κινητὸν χρήζων τῆς γῆς περὶ ἣν κινεῖται, καὶ πρὸς τὸ ποιεῖν, τοῦ ἡλίου, καὶ τῆς σελήνης, καὶ τῶν λοιπῶν ἄστρων, ἐστὶν ἀγέννητος; Εἰ τοῦ ἀγεννήτου οὐκ ἔστι λόγος ἐν τῷ ποιοῦντι, πῶς, εἰ ἀγέννητος ὁ οὐρανὸς, ἔχει λόγον ἄϋλον ἐν τῷ ποιοῦντι, καὶ λόγον ἔνυλον ἐν τῇ ὕλῃ, δι᾽ ὃν ἕτερον τὸ οὐρανῷ εἶναι τῷ τόδε οὐρανὸν εἶναι;

Εἰ οὐ δύναται ὁ οὐρανὸς ποιῆσαι τῇ βουλήσει ἃ ποιεῖ τῇ κινήσει, πῶς Θεός ἐστιν ἀΐδιος, ἀΐδιον ἐνεργῶν ζωὴν ἀβουλήτως; Εἰ ἐν τοῖς ἀϊδίοις οὐκ ἐνεργεῖ ὁ οὐρανὸς τὴν αἰώνιον ζωήν· ἔχουσι γὰρ ταύτην ἐκ τῆς οἰκείας φύσεως· τὰ γενητὰ δὲ καὶ φθαρτὰ αἰωνίως οὐ ζῶσι, ποῦ ἡ αἰώνιος ζωὴ ἣν ἐνεργεῖ ὁ οὐρανός; Εἰ μὴ μόνον πρὸς γένεσιν τῶν γιγνομένων, ἀλλὰ καὶ πρὸς τὴν τῶν φθειρομένων χρησίμη ἡ τοῦ οὐρανοῦ κίνησις, πῶς Θεὸς ὁ οὐρανὸς, καὶ ἡ ἐνέργεια αὐτοῦ ζωὴ αἰώνιος, δι' ἧς φθείρεται τὰ φθαρτά; Εἰ ἐκ τῆς ὕλης συναγένητον τῇ ὕλῃ οὐ δυνατὸν εἶναι, πῶς ἀγένητος ὁ οὐρανὸς ὁ ὢν ἐκ τῆς ὕλης; Εἰ τὸ ἐξ ἀμφοτέρων, ὕστερον ἀμφοτέρων, πῶς ὁ οὐρανὸς, ὁ ὢν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, συναΐδιός ἐστιν ἀμφοτέροις; Εἰ τὸ εἶδος οὐκ ἐκ τῆς ὕλης, ἀλλὰ ἐκ τοῦ ποιοῦντος, πῶς ὁ οὐρανὸς, ἄλλοθεν ἔχων τὴν ὕλην καὶ ἑτέρωθεν τὸ
205 εἶδος, ἀγένητός ἐστιν; Εἰ ὑλικόν ἐστι σῶμα ὁ οὐρανὸς, καὶ σφαιρικὸν ἔχει τὸ σχῆμα, καί ἐστιν ἀγένητος, πῶς οὐκ ἀμφότερα ἔχει ἐκ τῆς ὕλης, καὶ τὸ εἶναι ὅ ἐστι, καὶ τὸ ἔχειν ὃ ἔχει; Εἰ ἔστιν ἡ ὕλη, τὸ τοῖς καθ' αὑτὸ ἐξ αὐτῆς γιγνομένοις πρώτως ὑποκείμενον καὶ ἐνυπάρχον, πῶς ἀγένητος ὢν ὁ οὐρανὸς, ὡς τὰ γενητὰ τὴν ὕλην ἔχει ὑποκειμένην τε καὶ ἐνυπάρχουσαν;

Si cælum voluntate efficere nequit quod motione efficit: quomodo id Deus sempiternus est, quando præter voluntatem vitam æternam efficit? Si in eis quæ æterna sunt, cælum vitam æternam non efficit; (obtinent enim eã suapte natura) ea vero quæ gignuntur & intereunt, æternũ non viuunt: vbi tandem est quã cælum efficit, vita sempiterna? Si non modo ad generationem eorum quæ gignuntur, verum ad eorum quoque quæ intercidunt exitium, commoda est cæli motio: quomodo cælũ Deus est, & opus operatioq; eius vita perpetua, per quod intercidunt quę occidũt? Si fieri nequit vt ex materia aliquid fiat quod simul cum illa sit ingenitum, quomodo cælum ingenitum, quod ex materia est? Si id quod ex vtroq; est, vtroque est posterius: quo pacto cælum, quod ex materia est & forma, coæternũ est vtriq;? Si forma nõ ex materia est, sed ex eo quod facit, quomodo cælum aliunde materiam habens, & aliunde formã, ingenitũ est? Si cælum corpus est materiã constans, & rotundam habet formam, & ingenitũ est, quomodo vtrumque non ex materia habet, tũ vt sit quod est, tum vt habeat quod habet? Si materia id est quod eis quæ per se ex ipsa gignuntur, primũ subiicitur, eisque inest, quomodo cælũ, ingenitum cum sit, quemadmodum quæ genita sunt, ita materiam subiectam habet vt ei insit?

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἐπειδὴ ὁ οὐρανὸς σῶμά τι θεῖον, διὰ τοῦτο ἔχει τὸ ἐγκύκλιον σῶμα ὃ φύσει κινεῖται κύκλῳ ἀεὶ, διὰ τί οὖν οὐχ ὅλον τοῦ οὐρανοῦ τὸ σῶμα τοιοῦτον; ὅτι ἀνάγκη μένειν τι τοῦ σώματος τοῦ φερομένου κύκλῳ, τὸ ἐπὶ τοῦ μέσου· τούτου δ' οὐδὲν οἷόν τε μένειν μόριον οὔθ' ὅλως, οὔτ' ἐπὶ τοῦ μέσου· καὶ γὰρ ἂν ἡ κατὰ φύσιν κίνησις ἦν αὐτοῦ ἐπὶ τὸ μέσον· φύσει δὲ κύκλῳ κινεῖται· οὐ γὰρ ἂν ἦν ἀΐδιος ἡ κίνησις. οὐθὲν γὰρ παρὰ φύσιν ἀΐδιον· ὕστερον δὲ τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν· [καὶ ἔκστασίς τις ἐστὶν ἐν τῇ γενέσει τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν] ἀνάγκη τοίνυν γῆν εἶναι. τοῦτο γὰρ ἠρεμεῖ ἐπὶ τοῦ μέσου. ἀλλὰ μὴν εἰ γῆν, ἀνάγκη καὶ πῦρ εἶναι. τῶν γὰρ ἐναντίων θάτερον εἴπερ φύσει, ἀνάγκη καὶ θάτερον εἶναι φύσει, ἐάνπερ ᾖ ἐναντίον, καὶ [τὸ] εἶναί τινα αὐτοῦ φύσιν. ἡ γὰρ αὐτὴ ὕλη τῶν ἐναντίων καὶ τῆς στερήσεως προτέρα· λέγω δὲ οἷον τὸ θερμὸν τοῦ ψυχροῦ. ἀλλὰ μὴν εἴπερ ἐστὶ πῦρ καὶ γῆ, ἀνάγκη καὶ τὰ μεταξὺ αὐτῶν εἶναι σώματα. ἐναντίωσιν γὰρ ἕκαστον ἔχει πρὸς ἕκαστον τῶν στοιχείων· τούτων δὲ ὑπαρχόντων, [φανερὸν ὅτι] ἀνάγκη γένεσιν εἶναι διὰ τὸ μηδὲν οἷόν τ' αὐτῶν εἶναι ἀΐδιον. πάσχει γὰρ καὶ ποιεῖ τὰ ἐναντία ὑπ' ἀλλήλων, καὶ φθαρτικὰ ἀλλήλων ἐστίν. ἔτι δ' οὐκ εὔλογον, εἶναί τι κινητὸν ἀΐδιον οὗ μὴ ἐνδέχεται κατὰ φύσιν εἶναι τὴν κίνησιν ἀΐδιον. τούτων δ' ἐστὶ κίνησις. ὅτι μὲν τοίνυν ἀναγκαῖον εἶναι γένεσιν,

13. EX EODEM LIBRO.

Quandoquidem cælum diuinum quoddam corpus est, non abs re corpus rotundum obtinet, quod natura semper in orbem agitur. quapropter autem non totum cæli corpus eiusmodi est? Quoniam in eo corpore quod in orbem fertur, aliquid consistere oportet, id videlicet quod in medio est. Porro huius corporis fieri nequit vt pars vlla, ne in medio quidem, prorsus consistat. Alioqui enim naturalis eius motus ad medium ferretur; (natura vero in orbem mouetur) neque motus esset perpetuus. nihil enim quod præter naturam est, perpetuum est. Et id quod præter naturam est, eo quod iuxta naturam est, posterius est. [Et ecstasis siue emotio alienatioque quædam in generatione est eius quod iuxta naturam fit, id quod præter naturam exsistit.] Terram igitur esse necesse est. nam hæc in medio conquiescit. Quod si terram, ignem quoque esse oportet. Eorum quippe quæ diuersa inter se sunt, si alterum natura est, alterum etiam natura esse. (siquidem contrariũ sit) & aliquam eius naturam esse, necesse est. Eadem namque est contrariorum materia, & post affirmationem negatio est; [priuatione prior affirmatio.] Dico autem, sicuti post calidum frigus. Sed enim si ignis est & terra, & ea quæ his intercedunt, corpora esse, necessitatis est. Repugnantiam enim obtinet quoduis aduersus quodlibet elementorum. Hæc cum ita sint, necessarium est esse generationem; eo quod nihil eorum esse queat perpetuum. faciunt enim & patiuntur inter se inuicem Contraria, & aliud mutuo perimit aliud. Præterea vero rationi consentaneum non est, esse aliquid quod moueatur, perpetuum, cuius non possit esse natura motus perpetuus. Horum autem motus est. Ac generationem equidem necessariam esse,

ex hisce satis patet. Sin generationem, necesse etiã erit aliam esse delationem, vel vnam, vel plures. Nam pro eo atque integrum se habet corpus, necessarium est sic corporum quoque elementa inter se inuicem habere. In præsentia quidem tantum liquet, quam ob causam plura sint orbiculata corpora; quoniam generationem esse necesse est: generationem autem, siquidem & ignem: hunc vero & alia, siquidem & terram: hanc porro, quia consistere semper aliquid necesse est; siquidem mouere quoque semper aliquid oportet.

Si cæli corpus, propterea quod grauitatem & leuitatem nõ habeat, corpus est, quod circum medium semper voluatur: totum vtique corpus cæli circum mediũ volui necesse est. Sin cælum huiusmodi quidem corpus habet, motum autem huiusmodi non habet: nimirũ præter naturã mouetur. Si cæli corpus circũ mediũ mouetur, non totum vero iuxta delationẽ elementi, ex quo corpus esse dicitur, sed in orbem, iuxta aduersam obsistentiam partium: quomodo motus qui in orbem fit, elementi motum non superat? Atqui corporibus quæ elementis constant, motus haudquaquam iuxta formam est, sed iuxta elementa vnde constant: quomodo igitur e cæli corpore motionis necessitas mota & immutata non est? Corpori quod neque grauitatem neque leuitatem habeat, necesse est immobilem magis esse stabilitatem, quam motum instabilem. Si namque neque pondere deorsumversum fertur, neq; leuitate sursumversum: vt immobile maneat, necesse est. Si saxum in globi speciem rotundaretur, & in aere collocaretur vt in locum suum deorsum deferretur; non illud profecto deorsum in orbem, propter formam ipsam sese voluntando deferretur, sed recta pro grauitate sua pessum iret: quomodo quintum elementum, vnde cælum est, quod ita natura comparatum est, vt circum mediũ voluatur, eo quod grauitatem non obtineat neque leuitatem, non totum iuxta naturam suam cum partibus suis circum medium fertur, sed in orbem, iuxta aduersam partiũ obsistentiã, motu cietur, qui nõ naturę elemẽtariæ, sed formæ globosæ sit? Si in rebus æternis nihil quidquã aut præter naturam, aut superfluũ, aut etiam frustra est: quomodo cælum non præter naturam mouetur, & frustra non habet elementi naturam, qua non mouetur, & non superuacanee a primo motore qui ipse non mouetur, ad motũ cietur, quo motu sine ipso etiam moueri potest? Si nõ id quod conquiescit, semper in medio conquiesceret: non id certe quod mouetur, semper circum medium moueretur. Qui falsum ergo non est, cælum natura sua semper moueri? Nisi eam terra naturam & posturã haberet quã habet; consimiliter autẽ cælũ, nisi eã naturam & posituram haberet quã habet: non id quod mouetur, moueretur; neque id quod quiescit, quiesceret. Quomodo igitur perpetua hæc sunt, & ingenita? quæ vtraque quod ali-

ἐκ τούτων δῆλον· εἰ δὲ γένεσιν, ἀναγκαῖον εἶναι καὶ ἄλλην φορὰν, ἢ μίαν, ἢ πλείους. κατὰ γὰρ τὴν τοῦ ὅλου, ὡσαύτως ἀναγκαῖον ἔχειν [καὶ] τὰ στοιχεῖα τῶν σωμάτων πρὸς ἄλληλα. νῦν δὲ τοσοῦτόν ἐστι δῆλον διὰ τίνα αἰτίαν πλείω τὰ ἐγκύκλιά ἐστι σώματα, ὅτι ἀνάγκη γένεσιν εἶναι εἴπερ καὶ πῦρ· τοῦτο δὲ καὶ τὰ ἄλλα, εἴπερ καὶ [τὴν] γῆν· ταύτην δὲ, ὅτι ἀνάγκη μὲν εἶναί τι ἀεὶ, εἴπερ [καὶ] κινεῖσθαί τι ἀεί:-

Εἰ διὰ μὲν τὸ μὴ ἔχειν βαρύτητα καὶ κουφότητα, ἐστὶ σῶμα ἀεὶ κινητὸν περὶ τὸ μέσον τὸ τοῦ οὐρανοῦ σῶμα, ἀνάγκη ἄρα ὅλον τὸ σῶμα τοῦ οὐρανοῦ κινεῖσθαι περὶ τὸ μέσον· εἰ δὲ σῶμα μὲν τοιοῦτον ἔχει ὁ οὐρανὸς, κίνησιν δὲ τοιαύτην οὐκ ἔχει, δηλονότι παρὰ φύσιν κινεῖται. Εἰ περὶ τὸ μέσον κινεῖται τὸ τοῦ οὐρανοῦ σῶμα, οὐχ ὅλον δὲ κατὰ τὴν φορὰν τοῦ στοιχείου ἐξ οὗ εἶναι λέγεται τὸ σῶμα, ἀλλὰ σφαιρικῶς κατὰ ἀντιμετάστασιν τῶν μερῶν, πῶς οὐχὶ ἡ σφαιρικὴ κίνησις ἐπικρατεῖ τὴν στοιχείου κίνησιν; καίτοι οὐδαμῶς τοῖς ἐκ τῶν στοιχείων σώμασιν ἡ κίνησις κατὰ τὸ εἶδος ὑπάρχει, ἀλλὰ κατὰ τὰ στοιχεῖα ἐξ ὧν εἰσί· πῶς οὖν ἐκ τοῦ οὐρανοῦ σώματος ἡ ἀνάγκη τῆς κινήσεως ἐνήλλακται; Σώματι μήτε βαρύτητα ἔχοντι, μήτε κουφότητα, ἀναγκαῖον ἐστιν ἔχειν στάσιν ἀκίνητον μᾶλλον, ἢ κίνησιν ἄστατον. εἰ γὰρ μήτε ὑπὸ βαρύτητος ἐστὶ καταφερὲς, μήτε ὑπὸ κουφότητος ἀναφερὲς, ἀνάγκη μένειν αὐτὸ ἀκίνητον. Εἰ ἐσχηματίζετο λίθος τῷ τῆς σφαίρας σχήματι, καὶ ἐτίθετο ἐν τῷ ἀέρι, ἐνεχθῆναι κάτω εἰς τὴν ἑαυτοῦ χώραν, οὐκ ἂν ἐφέρετο κάτω κυλιόμενος σφαιρικῶς διὰ τὸ σχῆμα, ἀλλὰ κατ' εὐθεῖαν ἐφέρετο κατὰ τὴν ἑαυτοῦ βαρύτητα· πῶς τὸ πέμπτον στοιχεῖον ἐξ οὗ ἐστιν ὁ οὐρανὸς, τὸ πεφυκὸς περὶ τὸ μέσον κινεῖσθαι, διὰ τὸ μὴ ἔχειν βαρύτητα ἢ κουφότητα, οὐ κατὰ τὴν οἰκείαν φύσιν ὅλον σὺν τοῖς ἑαυτοῦ μέρεσι φέρεται περὶ τὸ μέσον, ἀλλὰ σφαιρικῶς κατὰ ἀντιμετάστασιν τῶν μερῶν κινεῖται τὴν κίνησιν, οὐκ οὖσαν τῆς τοῦ στοιχείου φύσεως, ἀλλὰ τοῦ σφαιρικοῦ 206
σχήματος; Εἰ οὔτε παρὰ φύσιν, οὔτε περιττὸν, οὔτε μάτην ἐστὶν ἐν τοῖς ἀϊδίοις, πῶς οὐκ ἔστιν ὁ οὐρανὸς παρὰ φύσιν κινούμενος, καὶ μάτην ἔχει τοῦ στοιχείου τὴν φύσιν καθ' ἣν οὐ κινεῖται, καὶ περιττῶς ὑπὸ τοῦ πρώτως κινοῦντος μὴ κινουμένου κινεῖται κίνησιν, ἣν καὶ χωρὶς ἐκείνου ἠδύνατο κινηθῆναι; Εἰ μὴ τὸ ἠρεμοῦν ἠρέμει ἀεὶ ἐπὶ τοῦ μέσου, οὐκ ἂν τὸ κινούμενον ἀεὶ περὶ τὸ μέσον ἐκινεῖτο· πῶς οὐκ ἔστι ψευδὲς τὸ τὸν οὐρανὸν κινεῖσθαι ἀεὶ τῇ ἑαυτοῦ φύσει; Εἰ μὴ τὴν φύσιν καὶ τὴν θέσιν ἣν ἔχει εἶχεν ἡ γῆ, ὡσαύτως δὲ καὶ ὁ οὐρανὸς εἰ μὴ τὴν φύσιν καὶ τὴν θέσιν ἣν ἔχει εἶχεν, οὐκ ἂν τὸ κινούμενον ἐκινεῖτο, οὔτ' ἂν τὸ ἠρεμοῦν ἠρέμει· πῶς οὖν ἀΐδια ταῦτα καὶ ἀγένητα, ὧν τὸ τί εἶναι, καὶ τὸ πῶς εἶναί ἐστιν ἑκα-

πέρου διὰ θάτερον· ὅπερ ἐστὶν ἴδιον τῶν γενητῶν; Εἰ ἐν τοῖς ἀϊδίοις οὔτε κατὰ πρόνοιάν ἐστί τι, οὔτε τὸ αὐτόματον· τὰ γὰρ κατὰ πρόνοιαν, δεύτερα τῆς προνοίας· καὶ τὸ κατ' αὐτόματον, ἢ παρὰ φύσιν, ἢ συμβεβηκός, ἐν τοῖς κατὰ προαίρεσιν γιγνομένοις ἐστίν· ἀλλὰ τὸ μὲν παρὰ φύσιν, δεύτερόν ἐστι τοῦ κατὰ φύσιν· κατὰ γὰρ τὴν ἐκτροπὴν τοῦ κατὰ φύσιν, γίνεται τὸ παρὰ φύσιν· καὶ τὸ συμβαῖνον ἐν τοῖς κατὰ προαίρεσιν γινομένοις, δεύτερόν ἐστι τῆς προαιρέσεως. πῶς οὖν ὑπάρχει ἐν τοῖς ἀϊδίοις τὸ εἶναι τόδε, διὰ τὸ εἶναι ἄλλο τόδε τι; οἷον, ἐπειδὴ ὁ οὐρανός ἐστιν, ἀναγκαῖον εἶναι καὶ τὴν γῆν· εἰ δὲ γῆ καὶ οὐρανός ἐστι, τὸ δὲ προνοίας ἐστὶν ἔργον, τοῦ τόδε τὸ πᾶν ἐκ διαφόρων κατ' οὐσίαν τε καὶ χρείαν μερῶν ποιησάσης· ἢ ἄρα οὐκ ἀΐδια ὅ τε οὐρανὸς καὶ ἡ γῆ, καὶ τὰ ἐν αὐτοῖς πάντα, τὰ πρὸς τὸ εἶναί τε καὶ ποιεῖν καὶ πάσχειν ἀλλήλοις συντελοῦντα· ἢ εἰ ἀΐδια, οὐκ ἀνάγκη τόδε τόδε εἶναι, ἐπειδὴ τόδε τόδε ἐστιν.

Μίαν ἀΐδιον ἀνάγκην ὑποθέμενος ὁ Ἀριστοτέλης, πολλὰς ἄλλας ἀϊδίους ἀνάγκας ἐκ τῆς ὑποτεθείσης ἐξήρτησεν. ἀνάγκη φησὶν εἶναι κίνησιν ἀΐδιον· εἰ δὲ κίνησις, ἀνάγκη εἶναι καὶ χρόνον ἀΐδιον· ἀριθμὸς γὰρ κινήσεως ὁ χρόνος. εἰ δὲ ἀΐδιος ἡ κίνησις, ἀνάγκη ταύτην εἶναι συνεχῆ. εἰ δὲ συνεχὴς ἡ κίνησις, ἀνάγκη εἶναι σῶμα ἁπλοῦν παρὰ τὰ ἐνταῦθα σώματα, μήτε βαρύτητα μήτε κουφότητα ἔχον. τὰ γὰρ βαρέα καὶ κοῦφα σώματα, ἐπειδὴ κατ' εὐθεῖαν κινεῖται, συνεχῶς κινεῖσθαι οὐ δύναται· εἰ δὲ συνεχῶς κινεῖται, ἀνάγκη σφαιρικὸν ἔχειν σχῆμα. τούτῳ γὰρ τῷ σχήματι ἐνδέχεται μόνῳ τὴν συνεχῆ γίνεσθαι κίνησιν· εἰ δὲ σφαιρικῶς κινεῖται, ἀνάγκη τὴν γῆν εἶναι ἐν τῷ μέσῳ ἀεὶ ἠρεμοῦσαν, ἵνα περὶ αὐτὴν γίνηται τῆς σφαίρας ἡ κίνησις· εἰ δὲ ἡ γῆ, ἀνάγκη καὶ τὰ μεταξὺ γῆς τε καὶ πυρὸς σώματα· εἰ δὲ ταῦτα, ἀνάγκη εἶναι τὴν γένεσιν. ἐπεὶ δὲ ταῦτα ἀΐδια εἶναι οὐ δύναται, οὐδὲ ἡ γένεσις ἀνάγκη εἶναι, καὶ ἄλλα ἐγκύκλια σώματα. ἀλλ' εἰ, τόδε τοδέ ἐστιν, ἀνάγκη τοῦδε τόδε εἶναι, ἐν τοῖς ἀγενήτοις τε καὶ ἀϊδίοις χώραν οὐκ ἔχει, οὐκ ἄρα ἀΐδιά τε καὶ ἀγένητα τὰ ῥηθέντα. εἰ δὲ ἀΐδια ταῦτα καὶ ἀγένητα, οὐκ ἄρα τοῦτο δι' ἐκεῖνο, οὔτε ἐκεῖνο διὰ τοῦτο. Ἐπειδὴ εἰ ἡ γῆ ἐστιν, ἀνάγκη καὶ τὸ πῦρ εἶναι, καὶ τὰ μεταξὺ αὐτῶν σώματα, πῶς εἰ ἡ μὲν γῆ ἀγένητός τε καὶ ἀΐδιος, τὸ πῦρ οὐκ ἀΐδιον, τὸ ὑπάρχον κοῦφόν τε καὶ ἀναφερές; εἰ γάρ, ὥς φησιν, ὧν ἐναντίων τὸ θάτερον φύσει, καὶ τὸ θάτερον ἀνάγκη φύσει εἶναι, πῶς οὐκ ἄτοπον τὴν γῆν εἶναι ἀΐδιόν τε καὶ ἀγένητον, τὸ δὲ πῦρ μὴ εἶναι ἀΐδιον; ἢ τὸ πῦρ μὴ εἶναι ἀΐδιον, τὴν δὲ γῆν εἶναι ἀΐδιον, τὰ δι' ἄλληλα ὄντα; Εἰ διὰ τὴν γένεσιν ἀνάγκη εἶναι ἄλλα ἐγκύκλια σώματα, πῶς οὐχ ἡ γένεσις ἐστὶν αἰ-

quid sint, & ita sint, alterum ab altero habet. quod quidem proprium eorũ est quæ gignuntur. Si in rebus æternis neque prouidentia, neque casu fortuito quicquã est: quæ enim prouidentia sunt, secunda ab ipsa prouidentia sunt; & quod casu fit, aut præter naturam, aut accidentiã, fit in his rebus quæ studio institutoque fiunt: At id quod præter naturam est, eo quod iuxta naturam est, posterius est: nam degeneratione eius quod iuxta naturam est, id fit quod præter naturam est; atque id quod in eis quę instituto fiunt, accidit, instituto posterius est: Quomodo in rerum æternarum ratione esse potest, vt quidquam propterea aliquid sit, quia aliud sit, quod hoc ipsum quid sit? vtputa, quoniã cælum sit, terram quoque esse oportere: sin terram, cælum itidem. Prouidentię nimirum opus hoc est, quę vniuersitatem hanc ex multifariã, substantia iuxta & vsu, partibus condidit. Itaque aut æterna non sunt cælum & terra, & quæ in eis sunt cũcta, ad id vt sint, & faciãt, & patiantur, sibi inter se inuicem multum conferẽtia momẽti: aut si æterna sunt, nihil necesse est id hoc ipsum esse, quia illud hoc ipsum sit.

Aristoteles necessitudine æterna vna posita, plures alias æternas, ex ea quę posita est, suspendit necessitudines. Necesse ait esse motum perennem. Si vero motum, necesse quoque tẽpus esse perenne; quod tẽpus ipsius motus numerus sit. Sin motus sit perennis, necesse esse hunc continuum. Si motus continuus, necessario sequi, esse corpus simplex, aliter quã ista hic corpora, quod neque graue sit, neque leue: Grauia enim & leuia corpora, quandoquidem directo motu ferantur, continue moueri non posse. Sin continue moueatur, necesse esse id globosam habere figuram: huic namque figurę soli continuũ licere habere motũ. Quod si in orbẽ moueatur, terram in medio esse semper quietam necesse esse, vt circum eã motus orbicus fiat. Si terrã, ea quoq; esse oportere quæ inter terrã & ignem media sunt corpora: sin & hęc, generationem etiam esse, necesse esse. Cũ vero ista perpetua esse nõ possint, neq; adeo ipsa generatio: necessario & alia esse orbiculata corpora. Enimuero si, cum hoc ipsum sit, vt hoc etiã idipsum sit, necesse esse, in ingenita & æterna non cadit: non vtique ea quæ sunt dicta, æterna & ingenita sunt. Sin hęc æterna & ingenita, non tamen illud propter hoc, neq; hoc propter illud erit. Quandoquidẽ si terra sit, ignẽ quoque, & quæ media sunt inter hęc corpora, esse necesse est: quomodo, si terra ingenita sit & ęterna, ignis ęternus non est, qui leuis est, & sursumversum fertur? Si enim (vt inquit) eorũ quę cõtraria sunt, alterũ natura sit, necessario alterum, etiã natura est: quomodo igitur absurdum nõ est, terram esse ęternã & ingenitam, ignem autem nõ esse æternum; aut ignem non esse æternũ, terrã vero esse æternã, res quæ alteræ propter alteras sunt? Si generationis gratia, alia circularia corpora esse necesse est: quomodo generatio non est æ-

ternorum causa? Æterna namq; sunt circularia corpora, & generatio ex motu eorum dependet. Sin id absurdum, nempe circularia corpora ingenita non sunt. Quę enim propterea sunt quod alia fint, genita ea sunt, non perpetua. Si in res perpetuas cadit vt in eis sit quod in rebus genitis sit; necesse videlicet esse, hoc ipsum esse, quādoquidem hoc ipsum sit: nullum fuerit inter genita & ingenita discrimen. Quod enim, inquit, in rebus ęternis possibilę est, nihil ab eo quod sit differt.

54. EX EODEM LIBRO.

Dupliciter potest fieri in orbem motus: & motus huiusmodi contrarii non sunt. Cæterum si in rebus æternis nihil temere aut fortuito casu fieri potest, cælum autem æternum est, & ea quæ in orbem fit delatio: quamnam ob rem in partem alteram fertur, & non in alteram? nam & hoc aut principium & causam esse necesse est, aut principium & causam eius esse. Natura certe semper id quod optimum est, eorum quæ fieri possunt, facit. Porro delationum, sicut & ea quæ directe mouetur, præstabilior est quæ ad locum superiorem tendit: superior enim inferiore diuinus magis est locus. Eundem modum etiam ea obtinet quæ a fronte fit, præ ea quæ a tergo: & item quæ dextrorsum, præ ea quæ sinistrorsum. Et ea quæ in mediū producta est quæstio testatur cælum priorem habere, & posteriorem partem. nam hæc ipsa causa quæstionem soluit. Si enim habet quam fieri potest optima, hæc ipsa sane etiam eius fuerit quod dictū est causa. Optimum namque est simplici & irrequieto, eoque qui in præstabiliorem fertur partem, moueri motu.

Si cælum natura fecit vt in eam quæ a fronte, non in eam quæ a tergo est partem motu feratur; quæ natura, quoad eius fieri posſit, quam optima facit: quomodo cęlum ęternum est, & eius delatio, cum a natura sit factum, atque id vt præstantissimo voluatur motu, ab ea habeat? Si, quam habet differentiam superior locus ad inferiorem, eandem etiam obtinet qui a fronte fit motus, ad eum qui a tergo cietur, pro eius ratione quod est præstabilisſimum & optimum & maxime diuinum: quomodo motus isti contrarii non sunt, qui inter se tantopere differunt? Si simplicium corporum motus simplex, non posſibilis accidentiæ sed necesſitatis est, quomodo cælum dupliciter moueri potest, simplex habens corpus; & quomodo posſibili accidentia mouetur? Si cęlum vndequaque sibi ipsi simile est, & similes habet partibus partes; & quemadmodum cum mouetur, circularem & orbicum seruat cursum, sic vtique etiam a meridie in septemtrionem, & a septemtrione in meridiem moueri potest, pro eo atque ab oriente in occidentem, & ab occidente in orientem volui potest: quomodo igitur natura cæli corpori non incassum tot motionum vires indidit, si quadrifariam quidem mouendi habet vires, vno autem dumtaxat mouetur motu?

τια τῶν ἀϊδίων; ἀΐδια γὰρ τὰ ἐγκύκλια σώματα, καὶ ἡ γένεσις κατὰ τὴν τούτων κίνησιν· εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἄρα τὰ ἐγκύκλια σώματα ἀγένητα. ὧν γὰρ τὸ εἶναι διὰ τὰ ἄλλα γίνεσθαί ἐστι, γενητὰ ταῦτα, καὶ οὐκ ἀΐδια. 207 Εἰ ἐνδέχεται ἐν τοῖς ἀϊδίοις ὑπάρξειν τὸ ὑπάρξειν ἐν τοῖς γενητοῖς, τόδε ἀνάγκη εἶναι, ἐπεὶ τόδε ἐστὶ τόδε· οὐδὲν ἄρα διαφέρει τὰ ἀγένητα τῶν γενητῶν. ἐν γὰρ, φησὶ, τοῖς ἀϊδίοις τὸ ἐνδεχόμενον οὐδὲν διαφέρει τοῦ εἶναι.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἐπειδὴ ἐστὶ διχῶς ἐπὶ τοῦ κύκλου κινηθῆναι, καὶ οὐκ εἰσὶν ἐναντίαι αὗται, ἀλλὰ εἰ μηθὲν ὡς ἔτυχε μηδ᾽ ἀπὸ ταυτομάτου ἐνδέχεται ἐν τοῖς ἀϊδίοις εἶναι· ὁ δὲ οὐρανὸς ἀΐδιος, καὶ ἡ κύκλῳ φορά· διὰ τίνα ποτὲ αἰτίαν ἐπὶ θάτερα φέρεται, ἀλλ᾽ οὐκ ἐπὶ θάτερα; ἀνάγκη γὰρ καὶ τοῦτ᾽ [ἢ] ἀρχὴν εἶναι, ἢ εἶναι αὐτοῦ ἀρχήν· ἡ γὰρ ἡ φύσις ἀεὶ ποιεῖ τῶν ἐνδεχομένων τὸ βέλτιστον· ἔστι δὲ καθάπερ τῶν ἐπὶ τῆς εὐθείας φορῶν ἡ πρὸς τὸν ἄνω τόπον τιμιωτέρα· θειότερος γὰρ ὁ τόπος ὁ ἄνω τοῦ κάτω· τὸν αὐτὸν τρόπον καὶ ἡ εἰς τὸ πρόσθεν τῆς εἰς τὸ ὄπισθεν ἔχει, εἴπερ καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν· [καὶ] μαρτυρεῖ δ᾽ ἡ ῥηθεῖσα ἀπορία, ὅτι [ἔχει] τὸ πρότερον καὶ τὸ ὕστερον· αὕτη γὰρ ἡ αἰτία λύει τὴν ἀπορίαν· εἰ γὰρ ἔχει ὡς ἐνδέχεται βέλτιστα, αὕτη ἂν εἴη [ἡ] αἰτία καὶ τοῦ εἰρημένου. βέλτιστον γὰρ κινεῖσθαι ἁπλῆν τε κίνησιν, καὶ ἀπαυστον, καὶ ταύτην ἐπὶ τὸ τιμιώτερον.

Εἰ τὸν οὐρανὸν ἡ φύσις ἐποίησε κινηθῆναι εἰς τὸ ἔμπροσθεν, καὶ μὴ εἰς τὸ ὀπίσω, ἡ ἀεὶ τῶν ἐνδεχομένων τὸ βέλτιστον ποιουμένη, πῶς ἀΐδιος ὁ οὐρανὸς, καὶ ἡ τούτου φορὰ, ὑπὸ τῆς φύσεως γεγενημένος, καὶ τὸ τὴν βελτίστην κινηθῆναι κίνησιν ἔχων; Εἰ τὴν διαφορὰν ἣν ἔχει ὁ ἄνω τόπος πρὸς τὸν κάτω, ταύτην ἔχει ἡ εἰς τὸ πρόσθεν κίνησις πρὸς τὴν εἰς τὸ ὄπισθεν κίνησιν κατὰ τὸ τιμιώτερον καὶ θειότερον καὶ βέλτιστον, πῶς οὐκ εἰσὶν ἐναντίαι αἱ κινήσεις αὗται, τοσοῦτον ἀλλήλων διαφέρουσαι; Εἰ τῶν ἁπλῶν σωμάτων ἡ κίνησις ἁπλῆ οὐ κατὰ τὸ ἐνδεχόμενον, ἀλλὰ κατὰ τὸ ἀναγκαῖον, πῶς διχῶς κινηθῆναι δύναται ὁ οὐρανὸς ἁπλοῦν σῶμα ἔχων, καὶ κινεῖται ἐνδεχομένως; Εἰ πανταχόθεν ἐστὶν ὁ οὐρανὸς ἴσος ἑαυτῷ, καὶ ἴσα ἔχων τὰ μέρη τοῖς μέρεσι, καὶ ὡς ἐὰν κινηθῇ, τὴν σφαιρικήν τε καὶ ἔγκυκλον σώζει κίνησιν, δύναται ἄρα καὶ ἀπὸ μεσημβρίας κινηθῆναι εἰς ἄρκτον, καὶ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν, ὡς δύναται κινηθῆναι ἀπὸ ἀνατολῆς εἰς δύσιν, καὶ ἀπὸ τῆς δύσεως εἰς ἀνατολήν. πῶς οὖν οὐ μάτην ἡ φύσις τῷ σώματι τοῦ οὐρανοῦ ἐνέθηκε τοσούτων κινήσεων τὰς δυνάμεις, εἰ τετραχῶς μὲν ἔχει τὰς δυνάμεις, μοναχῶς δὲ κινεῖται;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Περὶ δὲ τῶν καλουμένων ἄστρων ἑπόμενον ἂν εἴη λέγειν, ἐκ τίνων συνέστηκε, καὶ τίνες αἱ κινήσεις αὐτῶν. εὐλογώτατον δὲ καὶ τοῖς εἰρημένοις ἑπόμενον, τὸ ἕκαστον τῶν ἄστρων ποιεῖν ἐκ τούτου τοῦ σώματος, ἐν ᾧ τυγχάνει τὴν φορὰν ἔχον, ἐπειδὴ ἔφαμέν τι εἶναι ὃ κύκλῳ φέρεσθαι πέφυκεν. ὥσπερ γὰρ οἱ πύρινα φάσκοντες εἶναι, διὰ τοῦτο λέγουσιν, ὅτι τὸ ἄνω σῶμα πῦρ εἶναί φασιν, ὡς εὔλογον ὂν ἕκαστον συνεστάναι ἐκ τούτων ἐν οἷς ἕκαστόν ἐστιν, ὁμοίως καὶ ἡμεῖς λέγομεν· ἡ δὲ θερμότης ἀπ' αὐτῶν καὶ τὸ φῶς γίνεται, παρατριβομένου τοῦ ἀέρος ὑπὸ τῆς ἐκείνων φορᾶς· πέφυκε γὰρ ἡ κίνησις ἐκπυροῦν καὶ λίθους, καὶ ξύλα, καὶ σίδηρον. εὐλογώτερον οὖν τὸ ἐγγύτερον τοῦ πυρός· ἐγγύτερον δὲ ὁ ἀήρ, οἷον καὶ ἐπὶ τῶν φερομένων βελῶν· ταῦτα γὰρ [αὐτὰ] ἐκπυροῦται οὕτως, ὥστε τήκεσθαι τὰς μολυβδίδας· καὶ ἐπείπερ αὐτὰ ἐκπυροῦται, ἀνάγκη καὶ τὸν κύκλῳ αὐτῶν ἀέρα τὸ αὐτὸ [τοῦτο] πάσχειν. ταῦτα μὲν οὖν αὐτὰ
208 ἐκθερμαίνεται διὰ τὸ ἐν ἀέρι φέρεσθαι, ὃς διὰ τὴν πληγὴν τῇ κινήσει γίνεται πῦρ. τῶν δὲ ἄνω ἕκαστον ἐν τῇ σφαίρᾳ φέρεται, ὥστε αὐτὰ μὲν μὴ ἐκπυροῦσθαι· τοῦ δὲ ἀέρος ὑπὸ τὴν τοῦ κυκλικοῦ σώματος σφαῖραν ὄντος ἀνάγκη φερομένης ἐκείνης, θερμαίνεσθαι καὶ ταύτῃ, μάλιστα ᾗ ὁ ἥλιος τυγχάνει ἐνδεδεμένος· διὸ δὴ πλησιάζοντός τε αὐτοῦ καὶ ἀνίσχοντος, καὶ ὑπὲρ ἡμᾶς ὄντος, γίνεται [ἡ] θερμότης. ὅτι μὲν οὖν οὔτε πύρινά ἐστιν, οὔτε ἐν τῷ πυρὶ φέρεται, ταῦτα ἡμῖν εἰρήσθω περὶ αὐτῶν:-

Εἰ ἐκ τῆς αὐτῆς ὕλης ἐξ ἧς ἐστιν ὁ οὐρανός, ἐκ ταύτης ἐστὶ καὶ τὰ ἄστρα, πῶς οὐκ ἔστι ψευδές τό, Ἐκ πάσης γέγονε τῆς ὕλης ὁ οὐρανός, καὶ τό, Πᾶσαν τὴν ὕλην περιείληφεν; Εἰ τὸ κινούμενον καὶ τῇ κινήσει θερμαντικὸν ἑτέρου γιγνόμενον, ἐὰν μὴ προηγουμένως αὐτὸ τῇ ἑαυτοῦ κινήσει θερμανθῇ, θερμαντικὸν ἑτέρου γίνεσθαι οὐ δύναται, πῶς ἡ σφαῖρα καὶ τὰ ἐν αὐτῇ ἄστρα, θερμαίνουσι τῇ ἑαυτῶν κινήσει τὸν ἀέρα, αὐτὰ μὴ θερμαινόμενα; Εἰ τὸ τῇ ἑαυτοῦ κινήσει θερμαντικὰς ἐνεργείας ἐκτελοῦν, ἀνάγκη τοῦτο ἢ βαρύτητα ἔχειν ἢ κουφότητα, πῶς ὁ οὐρανὸς καὶ τὰ ἐν αὐτῷ ἄστρα, μήτε βαρύτητα ἔχοντα, μήτε κουφότητα, τὰς θερμαντικὰς ἐκτελεῖ ἐνεργείας; Εἰ τὰ τὴν αὐτὴν ἔχοντα κινητὴν οὐσίαν, τούτοις ἀνάγκη τὴν αὐτὴν καθ' αὑτὸ κινεῖσθαι κίνησιν, καὶ μὴ κατὰ συμβεβηκός, πῶς οὐκ ἔστιν ὁ ἥλιος κατὰ συμβεβηκὸς κινούμενος, εἰ τῇ σφαίρᾳ ἐνδέδεται; καὶ περὶ τῶν ἄλλων ἄστρων ὁ αὐτὸς λόγος, εἰ μὴ δι' ἑαυτῶν κινοῦνται τὰς κατὰ φύσιν αὐτῶν κινήσεις, ἀλλὰ διὰ τῶν σφαιρῶν αἷς εἰσιν ἐνδεδεμένα. Εἰ ἐκ τῆς αὐτῆς ὕλης ἐστὶν ὁ ἥλιος ἧς ἐστιν ὁ οὐρανός, τῆς μήτε βαρύτητα μήτε κουφότητα ἐχούσης, καὶ σφαιρικὸν ἔχει τὸ σχῆμα, ὥσπερ ἔχει καὶ ὁ οὐρανός· διὰ τί μὴ ὡσαύτως κινοῦνται ἀμφότεροι, ἢ κατ' ἀντιμετάστασιν τῶν μερῶν, ὥσπερ κινεῖται ὁ ἥλιος; Εἰ οὐδὲν παρὰ φύσιν ἐν τοῖς ἀιδίοις, πῶς οὐκ ἔστι παρὰ φύσιν

55. EX EODEM LIBRO.

De astris vero quæ dicuntur, consequens fuerit vt dicamus, vnde constent, & qui sint motus eorum. Porro rationi maxime conueniens, & his quæ dicta sunt consequens fuerit, stellam quamlibet ex eo corpore facere in quo delationem habet. quoniam esse quidquam diximus, quod ita sit natura comparatum, vt in orbem circumferatur. Sicut enim qui igneas stellas esse dicunt, eo id dicunt, quod supernum corpus igneum esse aiunt; ita vt absque ratione non sit, vnamquamque ex eis constare, in quibus quæque est: itidem & nos dicimus. Calor vero & lumen ab eis resultant, aere ipsarum delatione attrito. Natura enim motus ignem elicit, inceditque etiam lapides, & ligna, & ferrũ. Rationabilius vero id quod igni sit propinquius: propinquior autem aer: veluti etiam in eis fit quæ iaciuntur feruntürque telis hac vsque adeo ignescunt, vt plumbatæ diffluant. Quod si ea ita ignescunt, vt circumfusus illis aer idem perpetiatur necesse est. Hæc ipsa quidem incalescunt, propterea quod in aere feruntur, qui propter plagam ipso motu fit ignis. Illa autem sursum pro se quæque in suo globo feruntur, ita quidem vt ipsa non ignescant: aer autem qui sub globo rotundi corporis est, illo voluente necessario incalescat, atq; eo maxime globo cui sol est deuinctus. Quocirca cum ille propinquat & oritur & supra nos est, calor generatur. Atque quod illa neque ignea sint, neque in igne ferantur, hæc a nobis de eis sint dicta.

Si, ex qua materia cælum est, ex eadem sunt stellę, quomodo illud falsum nõ est, ex vniuersa materia cælum factum? item illud, materiam id omnem circumplexũ esse? Si id quod mouetur, & motu vt aliud excalfaciat, idoneum factum est, nisi in primis ipsum suopte motu incalescat, excalfactorium alterius fieri nequit: quomodo globus, & quæ in eo sunt stellæ, motu suo aerem excalfaciunt, ipsæmet non incalescũt? Si id quod suapte motione operationes excalfactorias perficit, necessario aut grauitatem aut leuitatem habet: quomodo cælum & stellę eius, cũ nec grauitatem nec leuitatem habeant, excalfactorias perficiũt operationes? Si, quæ eandem obtinent mobilem substantiam, ea necessario eodem per se & non accidẽtiâ cientur motu: quomodo sol accidentiâ non mouetur, si globo deuinctus est? De aliis astris eadẽ est ratio, si nõ per seipsa naturali suo voluũtur motu, sed per sphęras quib. sunt deuincta. Si ex qua cælũ, ex eadem est materia sol, quæ neque pondus neque leuitatem habeat, & globosam obtinet formam, quemadmodum & cælum: quid ita tandem non eodem vtrique mouentur modo? aut per aduersam obsistentiam partium, sicuti sol mouetur? Si nihil est in rebus æternis præter naturam, quomodo præter naturam non est,

quam

quam quisque iuxta naturam obtinet motionem, ea non per seipsum sed per alium moueri? Voluūtur enim sol & stellæ non per se, sed per orbes in quibus sunt deuinctæ. Si, sicuti res genitæ iuxta rationem sunt id quod genitæ sunt, ita quoque ingenitę iuxta ratione id sunt quod sunt: posteriores certe ratione res fuerint ingenitæ. Sin hoc impossibile est, (vt ita sint ingenita, sicuti genita, ratione posteriora) non vtique iuxta rationem fuerint res ingenitæ. Quod si iuxta rationem non sint, quomodo quæque earū vtiliter sunt quod sunt, & habent quod habent, & faciunt quod faciunt? nam quæ vsus & commodi alicuius sunt, rationis & prouidentiæ sunt opera. Si res genitas cōsequitur vt ex ratione & materia sint, non vtique ex ratione & materia fuerint res ingenitę. Quomodo ergo cælum, & quæ in eo sunt cuncta, ingenita sunt, & simul ex ratione & matéria sunt? Si pro eo atque dixit Aristoteles, in ratione rerum æternarum, neque frustra quidquam, neque præter naturā est: quomodo iuxta id quod de motu solis idem retulit, soli vtrumque contingit, & quod frustra est, & quod præter naturam? nam si sol globo eum mouenti nō deuinctus, eodem iuxta naturam moueretur motu quo nunc mouetur: quomodo non frustra globo est deuinctus? Sin non eodem, sed alio præter istum iuxta naturam moueretur, seu quātitate, seu qualitate: quomodo nunc præter naturam non mouetur?

56. EX EODEM LIBRO.

Orbes quidem mouentur, stella autem quieta sunt, orbibusque deuincta feruntur.

Si iuxta naturā in orbibus stellæ quiescunt, frustra orbibus sunt deuinctæ. Sin præter naturam quiescunt, nempe per violentiam quiescūt. Atqui in rebus perpetuis nihil quidquam est vel frustra, vel præter naturam. Itaque Aristoteles rationem motus siderum nō inuenit. perpetua namque ea esse asserit; & vbi de illorum motu tractauit, vtrumque apparet, frustra videlicet, & præter naturam. Si stellæ æternæ; æternum vero & cælū in quo stellæ sunt deligatæ, & quælibet earum Deus dicitur: quomodo dii a diis non trahūtur? quæ enim in eo quod mouetur, sunt deligatę, tractim mouentur. Si alia est cōpositio substantię; (ex materia nimirum & forma) & alia compositio quę ex partibus substantiā habētibus constat: quomodo ęterna dicuntur, vtramq; obtinentia compositionem? Cęlū namque, solē & stellas in se deuinctas partes habēs, cōpositū ex eis est: hasce enim in seipso habens, cęlū est.

τὸ τὴν κίνησιν ἣν ἔχει τις κατὰ φύσιν, ταύτην μὴ δι᾽ ἑαυτοῦ κινεῖσθαι, ἀλλὰ δι᾽ ἑτέρου; κινοῦνται γὰρ ὅ τε ἥλιος καὶ τὰ ἄστρα, οὐ δι᾽ ἑαυτῶν, ἀλλὰ διὰ τῶν σφαιρῶν ἐν αἷς εἰσὶν ἐνδεδεμένοι. Εἰ, ὥσπερ τὰ γεννητὰ κατὰ λόγον ἐστὶν ὃ γέγονεν, οὕτως καὶ τὰ ἀγέννητα κατὰ λόγον ἐστὶν ὅ ἐστιν· ὕστερα ἄρα τοῦ λόγου τὰ γεννητά. εἰ δὲ τοῦτο ἀδύνατον, οὐκ ἄρα κατὰ λόγον ἐστὶ τὰ ἀγέννητα· μὴ ὄντων δὲ αὐτῶν κατὰ λόγον, πῶς ἕκαστον αὐτῶν χρησίμως ἐστὶν ὅ ἐστι, καὶ ἔχει ὃ ἔχει, καὶ ποιεῖ ὃ ποιεῖ; τὰ γὰρ χρειωδῶς ὄντα, λόγου τε καὶ προνοίας ἐστὶν ἔργα. Εἰ ἀκολουθεῖ τοῖς γεννητοῖς τὸ ἐκ λόγου εἶναι καὶ ὕλης, οὐκ ἄρα ἐκ λόγου καὶ ὕλης τὰ ἀγέννητα. πῶς οὖν ἀγέννητα ὅ τε οὐρανὸς, καὶ τὰ ἐν αὐτῷ πάντα, καὶ ἔστιν ἐκ λόγου καὶ ὕλης; Εἰ, καθὰ εἶπεν ὁ Ἀριστοτέλης, ἐν τοῖς ἀϊδίοις οὐδὲν μάτην, οὐδὲ παρὰ φύσιν, πῶς ἀφ᾽ ὧν εἶπε περὶ τῆς τοῦ ἡλίου κινήσεως, συμβαίνει τῷ ἡλίῳ ἀμφότερα, καὶ τὸ μάτην, καὶ τὸ παρὰ φύσιν; εἰ γὰρ τοῦ ἡλίου τῇ κινούσῃ αὐτὸν σφαίρᾳ μὴ ἐνδεδεμένου τὴν αὐτὴν κατὰ φύσιν ἐκινεῖτο κίνησιν ἣν νῦν κινεῖται, πῶς οὐ μάτην ἐνδέδεται τῇ σφαίρᾳ; εἰ δὲ μὴ ταύτην ἐκινεῖτο κατὰ φύσιν, ἀλλ᾽ ἑτέραν παρὰ ταύτην, εἴτε τῷ ποσῷ, εἴτε τῷ ποιῷ, πῶς οὐ παρὰ φύσιν κινεῖται νῦν;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Τοὺς μὲν κύκλους κινεῖσθαι, τὰ δὲ ἄστρα ἠρεμεῖν, καὶ ἐνδεδεμένα τοῖς κύκλοις φέρεσθαι.

Εἰ μὲν κατὰ φύσιν ἠρεμεῖ ἐν τοῖς κύκλοις τὰ ἄστρα, μάτην ἐνδέδεται τοῖς κύκλοις. εἰ δὲ παρὰ φύσιν ἠρεμεῖ, δηλονότι βίᾳ ἠρεμεῖ. ἀλλὰ ἐν τοῖς ἀϊδίοις οὐθὲν οὔτε μάτην, οὔτε παρὰ φύσιν· οὐκ ἄρα εὗρεν ὁ Ἀριστοτέλης τὸν περὶ τῆς τῶν ἄστρων κινήσεως λόγον· 209 ἀΐδια γὰρ λέγει τὰ ἄστρα· καὶ ἐν οἷς εἶπε περὶ τῆς αὐτῶν κινήσεως, ἀμφότερα φαίνεται, τὸ μάτην, καὶ παρὰ φύσιν. Εἰ ἀΐδια μὲν τὰ ἄστρα, ἀΐδιος δὲ καὶ ὁ οὐρανὸς ἐν ᾧ ἐστὶ τὰ ἄστρα δεδεμένα, καὶ θεὸς ἕκαστον αὐτῶν προσαγορεύεται, πῶς οὐκ εἰσὶ θεοὶ ὑπὸ θεῶν συρόμενοι; τὰ γὰρ τῷ κινουμένῳ ἐνδεδεμένα, συρομένως κινεῖται. Εἰ ἄλλη ἡ σύνθεσις οὐσίας, (ἐξ ὕλης γὰρ καὶ εἴδους) καὶ ἄλλη ἡ σύνθεσις ἡ ἐκ τῶν οὐσίαν ἐχόντων μερῶν, πῶς ἀΐδια ταῦτα λέγεται, τὰ ἀμφοτέρας ἔχοντα τὰς συνθέσεις; ὁ γὰρ οὐρανὸς ἔχων τὸν ἥλιον καὶ τὰ ἄστρα ἐνδεδεμένα μέρη, σύνθετος ἐξ αὐτῶν ἐστίν· ἔχων γὰρ ταῦτα ἐν ἑαυτῷ ἐστὶν ὁ οὐρανός.

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Πρὸς δὲ τούτοις, ἄλογον τὸ μηθὲν ὄργανον αὐτοῖς ἀποδοῦναι τὴν φύσιν πρὸς τὴν κίνησιν. οὐθὲν γὰρ ὡς ἔτυχε ποιεῖ ἡ φύσις, οὐδὲ τῶν μὲν ζώων φροντίσαι, τῶν δὲ οὕτω τιμίων ὑπεριδεῖν, ἀλλ᾽ ἔοικεν ὥσπερ ἐπίτηδες ἀφελεῖν πάντα δι᾽ ὧν ἐνδέχεται προϊέναι καθ᾽ αὑτά.

57. EX EODEM LIBRO.

Ad hæc naturā illis nullū instrumentū ad motū attribuisse, præter rationem est. Atenim nihil temere natura facit; neq; illa animantiū quidē curā gerit, res vero tā præstantes despicit: sed videtur veluti de industria omnia ea ademisse, quibus progredi per se potuissent, atq; ab eis quibus instrumenta sunt ad motū, quā longissime remouisse.

Si æ-

Εἰ τῶν ἀϊδίων τε καὶ ἀγεννήτων οὐδείς ἐστι ποιητής, οὐδὲ φροντίδι τινός εἰσιν ἃ εἰσιν, ἢ ἔχουσιν ἃ ἔχουσι κατὰ φύσιν, πῶς, εἰ ἀγέννητός ἐστιν ὁ οὐρανὸς, καὶ τὰ ἐν τῷ οὐρανῷ φαινόμενα συναγέννητα ὑπάρχει αὐτῷ, τὴν φύσιν ἔχει ποιητήν τε καὶ φροντιστὴν τῶν πρὸς τὴν σύστασιν αὐτῶν τελουμένων; Εἰ ἥρμοττε τῷ περὶ τῆς κινήσεως τῶν ἀϊδίων τὸν λόγον ποιουμένῳ τὸ λέγειν τὴν φύσιν μηδὲν ὡς ἔτυχε ποιεῖν, πῶς οὐκ ἔστι δῆλον ὅτι ἔργα εἰσὶ τῆς φύσεως ὅ τε οὐρανὸς καὶ τὰ ἐν τῷ οὐρανῷ φαινόμενα, τῆς ἀφελούσης αὐτῶν τὰ ὄργανα τῆς κινήσεως;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

» Ἐπεὶ οὖν δεῖ τὸν μὲν οὐρανὸν κινεῖσθαι τὴν ἑαυτοῦ κίνησιν, τὰ δ' ἄλλα ἄστρα μὴ προϊέναι δι' αὐτῶν, εὐλόγως ἂν ἑκάτερον εἴη σφαιροειδές. οὕτω γὰρ ἂν μάλιστα τὸ μὲν κινηθήσεται, τὸ δὲ ἠρεμήσει:-

Εἰ τὸ ἠρεμοῦν ἐκεῖνο λέγεται τὸ δυνάμενον κινηθῆναι τὴν κίνησιν ἐκείνην ἀφ' ἧς ἠρεμεῖ, πῶς ἠρεμεῖ τὰ ἄστρα, ἰδίαν οὐκ ἔχοντα κίνησιν καθ' ἣν κινεῖσθαι ἐχρῆν; εἰ δὲ δύναμιν μὲν ἔχει τοῦ κινεῖσθαι, κωλύεται δὲ διὰ τὸ ἐνδεδέσθαι τῇ σφαίρᾳ, πῶς οὐ παρὰ φύσιν ἔχει τὸ κινεῖσθαι ἀεί; Εἰ τοῖς ἀεὶ κινουμένοις ὡς ἁρμόδιον ἐδόθη τὸ σφαιρικὸν σχῆμα, πῶς τῶν ἐχόντων τὸ σφαιρικὸν σχῆμα τὸ μὲν κινεῖται ἀεὶ ὡς ὁ οὐρανὸς, τὸ δὲ ἀεὶ ἠρεμεῖ;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

» Ὥστ' ἐπείπερ οὐ φαίνεται τοῦτο [ἀεὶ] συμβαῖνον, οὔτε ἂν ἔμψυχον οὔτε βίαιον φέροιτο φορὰν οὐθὲν αὐτῶν, ὥσπερ τὸ μέλλον ἔσεσθαι προνοούσης τῆς φύσεως, ὅτι μὴ τοῦτον τὸν τρόπον ἐχούσης τῆς κινήσεως, οὐθὲν ἂν ἦν τῶν περὶ τὸν δεῦρο τόπον ὁμοίως ἔχον:-

Πῶς οὖν ἀΐδια καὶ ἀγέννητα τὰ κατὰ τὴν πρόνοιαν τῆς φύσεως τὸ εἶναι τοιάδε, καὶ τὸ κινεῖσθαι τοιῶσδε εἰληφότα; τὰ γὰρ κατὰ πρόνοιαν, δεύτερα τῆς προνοίας· καὶ τὰ ἀΐδια, οὐδενός ἐστι δεύτερα. Εἰ τὸ μέλλον ἔσεσθαι πρὸ τοῦ εἶναι οὐκ ἦν, πῶς ἐνδέχεται περὶ τοῦ οὐρανοῦ, καὶ τῶν ἄστρων, καὶ τῆς αὐτῶν κινήσεως ἀμφότερα εἶναι ἀληθῆ, τὸ μέλλον ἔσεσθαι, καὶ τὸ ἀΐδια καὶ ἀγέννητα αὐτὰ εἶναι; τὸ γὰρ μέλλον οὔπω ἐστὶ, καὶ τὸ ἀΐδιόν τε καὶ ἀγέννητον πάντοτε ἔστιν. Εἰ ἕνεκα τοῦ τὰ περὶ τὸν δεῦρο τόπον ὡς ἔχει ὁμοίως ἔχειν, τὸν εἰρημένον τρόπον τῆς κινήσεως τοῦ οὐρανοῦ ἡ φύσις προενόησεν εἶναι, πῶς ἀΐδιά τε καὶ ἀγέννητα ταῦτα, ἃ ἕνεκεν τῶν γεννητῶν ἐστὶν ὥς ἐστι, καὶ κινεῖται ὡς κινεῖται;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

» Ἐπειδὴ γὰρ δέδεικται ὅτι οὐ πεφύκασι κινεῖσθαι δι' αὐτῶν, ἡ δὲ φύσις οὐδὲν ἀλόγως οὐδὲ μάτην ποιεῖ, δῆλον ὅτι καὶ σχῆμα τοιοῦτον ἀποδέδωκε τοῖς ἀκινήτοις ὃ ἥκιστά ἐστι κινητικόν. ἥκιστα δὲ κι-

Si ęternorum atque ingenitorum nullus est conditor, neque cura alicuius eã sunt quæ sunt, aut habent quæ natura habent: quomodo, si ingenitum est cęlum, & quę in eo apparẽt stellę vna ingenitę sunt, naturam habent & conditricem, & curatricem earum quæ ad constitutionem cõseruationemque ipsorũ faciunt rerum? Si conueniens ei fuit qui de motu rerum æternarum ageret, dicere, Naturam nihil temere facere: quomodo perspicuum nõ est, naturę opera esse cælum, & quæ in cęlo conspiciuntur sidera, quæ illis motionis instrumenta ademerit?

58. EX EODEM LIBRO.

Cum igitur cælum quidem suopte moueri motu, astra vero alia per sese non progredi oporteat: rationis fuerit, vtraque esse rotunda. Hoc quippe maxime modo alterum mouebitur, alterum conquiescet.

Si illud quiescere dicitur, quod eo motu potest moueri a quo conquiescit, quomodo stellæ quiescunt, motum suum non habentes, quo moueri eas oportuisset? Sin vim quidem mouendi habent, eo autem impediuntur, quod globo sint deinctæ: quomodo non præter naturam id habent quod semper mouentur? Si rebus continenter mouendis, forma globosa tamquã apta & habilis est attributa: quomodo eorum quæ globosam obtinẽt formã, partim semper mouetur, vt cælũ; partim semper cõquiescit? [vt stellæ scilicet.]

59. EX EODEM LIBRO.

Quocirca cum hoc non semper contingere appareat, neque animata neque violenta delatione stellarum aliqua fertur: Prouidentia natura, id quod futurum esset, veluti prauidente, nisi hoc sese haberet modo motus, quod nihil circa locum hũc, quod se consimiliter haberet, foret.

Proinde quomodo æterna ea sunt & ingenita, quæ quod eiusmodi sint, & eiusmodi motu cieantur, naturæ prouidentia acceperint? Quæ namq; prouidentia sunt, secunda a prouidentia sunt: Æterna autẽ, a re nulla secunda sunt. Si, quod futurũ fuerat, priusquam fieret, non fuit: qui fieri potest vt de cælo & stellis, & motu earum vtrumque in vero sit, futura scilicet esse, & sempiterna ingenitaque ea esse? futurũ enim, necdum est; & sempiternum atque ingenitum, semper est. Si ea gratia, vt ea quæ circum locũ hunc sunt, quemadmodum sese habuere, consimiliter habeant, natura talem esse, qualẽ diximus, cæli motum prouidẽtia sua voluit: quonam modo hæc perpetua sunt & ingenita, quæ propter genita sunt sicuti sunt, & mouentur sicuti mouentur?

60. EX EODEM LIBRO.

Demonstratum est, non ita natura comparatas esse stellas vt per seipsas moueantur. Natura autem nihil præter rationem neque frustra facit. Nimirum & formam eam rebus immobilibus attribuit quæ minime sit ad mouendum apta: minime vero ad

mouendū accommodatus globus, eo quod instrumentum nullum ad motum habeat. Idcirco videlicet globosa est moles stellarum.

Si natura eis quæ continue mouentur, formā rotundā ad motus facilitatē appositam dedit: quomodo stellæ non incassum eiuscemodi receperūt formam, quæ orbibus deuinctæ sunt, & naturalem cursum suum perficere non possunt? Si stellæ non ita comparatæ sunt vt per seipsas moueantur, non vtique natura perpetuū obtinent motum: quomodo ergo ex eodē sunt elemento vnde & cælum, quod neq; grauitatem habeat neque leuitatem? Si cælum quidē, eo quod ex eiusmodi cōstet elemento, & quod rotundam habeat speciem, ita natura comparatū est vt continenter circum medium per seipsum moueatur. stellæ autē, eiusmodi cum sint elementi, eandemque habeant formam, non ita comparatæ natura sunt vt per seipsas moueātur: frustra igitur, vt videtur, eis natura substantiam simul & formam tribuit, ad continuum motum appositam, si stabilitatem habēt immobilem. Quod stellæ & substantiā & formam habent ad motum continentem accōmodatam, stabilitatemq; immobilem: quomodo id nō est facturæ irrationabilis & frustraneæ indicium, quæ, vt præter naturam stellæ quiescerent, fecit? Si eorū quæ ingenita sunt & æterna, substātiæ supra facturam omnē sunt, quæ vel ratione vel præter rationem fiunt: quomodo, si cęlū & sidera ingenita sunt, per prouidentiam naturæ, quæ nihil præter rationem neque frustra facit, sunt id quod sunt, & habent id quod habent? Si stellas non moueri oportuit, quid ita omnino aliorū mouentur opera? Sin moueri oportuit, quid ita non per seipsas mouentur, sed per alia? cū natura potuerit facere vt per seipsas eo mouerentur motu quo nunc per alia mouentur, quæ in substantia earum ad mouēdum aptissima, eas vt per se immobiles sint, fecit. Si in reb. perēnibus nihil præter naturā est; præter naturā aūt est, substātiam quidem obtinere & formā continue mobilem, stabilitatē vero immobilē: nempe perennia non sunt in quibus est præter rationem aliquid: aut illud falsum est, in rebus æternis nihil esse præter naturam. Si nihil quidquam rerum ingenitarum id quod habet vel nō habet, per prouidentiam alicuius habet vel nō habet: quomodo, si ingenitum cælum est & stellæ, prouidentia naturæ instrumētum quidem motus non habent, formam autem globosam habent pro instrumēto, quæ ad motum cōtinuū sit aptior, quā quæ ad procedendum apposita sunt instrumenta.

νητικὸν ἡ σφαῖρα, διὰ τὸ μηδὲν ἔχειν ὄργανον πρὸς τὴν κίνησιν. ὥστε δηλονότι σφαιροειδὴ ἂν εἴη τὸν ὄγκον:-

Εἰ ἡ φύσις δέδωκε τοῖς ἀεὶ κινητοῖς τὸ σφαιρικὸν σχῆμα ἐπιτήδειον πρὸς τὴν εὐκινησίαν, πῶς οὐκ ἔστι τὰ ἄστρα μάτην εἰληφότα σχῆμα τοιοῦτον, ἐνδεδεμένα τοῖς κύκλοις, καὶ τὴν κατὰ φύσιν αὐτῶν μὴ δυνάμενα ἐκτελεῖν κίνησιν; Εἰ οὐ πεφύκασι τὰ ἄστρα δι' αὐτῶν κινεῖσθαι, οὐκ ἄρα ἔχουσι κατὰ φύσιν τὴν ἀΐδιον κίνησιν· πῶς οὖν εἰσιν ἐκ τοῦ αὐτοῦ στοιχείου ἐξ οὗ καὶ ὁ οὐρανὸς, τοῦ μήτε βαρύτητα ἔχοντος, μήτε κουφότητα; Εἰ ὁ μὲν οὐρανὸς, διὰ τὸ εἶναι αὐτὸν ἐκ τοιούτου στοιχείου, καὶ διὰ τὸ σφαιρικὸν ἔχειν τὸ σχῆμα, πέφυκε περὶ τὸ μέσον κινεῖσθαι ἀεὶ δι' ἑαυτοῦ· τὰ δὲ ἄστρα ἐκ τοῦ αὐτοῦ ὄντα στοιχείου, καὶ τὸ αὐτὸ ἔχοντα σχῆμα, οὐ πεφύκασι κινεῖσθαι δι' ἑαυτῶν· μάτην ὡς ἔοικε δέδωκεν αὐτοῖς ἡ φύσις οὐσίαν τε καὶ σχῆμα πρὸς τὴν ἀεὶ κίνησιν ἐπιτήδειον, εἰ στάσιν ἔχουσιν ἀκίνητον. Τὸ οὐσίαν ἔχειν καὶ σχῆμα ἀεικίνητον τὰ ἄστρα, καὶ στάσιν ἀκίνητον, πῶς οὐκ ἔστι δεῖγμα τῆς ἀλόγου τε καὶ ματαίας ποιήσεως τῆς παρὰ τὴν φύσιν πεποιηκυίας ἠρεμεῖν τὰ ἄστρα; Εἰ τῶν ἀγεννήτων τε καὶ ἀϊδίων αἱ οὐσίαι πάσης ποιήσεως τῆς τε κατὰ τὸν λόγον, καὶ τῆς παρὰ τὸν λόγον ἀνώτεραί εἰσι, πῶς, εἰ ἀγέννητος ὁ οὐρανὸς καὶ τὰ ἄστρα, κατὰ πρόνοιαν τῆς φύσεως τῆς μηδὲν ἀλόγως μήτε ματαίως ποιούσης, εἰσὶν ὅ εἰσι, καὶ ἔχουσιν ἃ ἔχουσιν. Εἰ οὐκ ἐχρῆν κινεῖσθαι τὰ ἄστρα, διὰ τί ὅλως κινοῦνται δι' ἑτέρων; εἰ δὲ ἐχρῆν κινεῖσθαι, διὰ τί μὴ δι' ἑαυτῶν κινοῦνται, ἀλλὰ δι' ἑτέρων, δυναμένης τῆς φύσεως ποιεῖν αὐτὰ κινεῖσθαι δι' ἑαυτῶν τὴν κίνησιν ἣν νῦν κινοῦνται δι' ἑτέρων, τῆς ἐν τῇ εὐκινητοτάτῃ αὐτῶν οὐσίᾳ πεποιηκυίας αὐτὰ ἀκίνητα καθ' αὑτά; Εἰ ἐν τοῖς ἀϊδίοις οὐδὲν παρὰ φύσιν, παρὰ φύσιν δὲ τὸ οὐσίαν μὲν καὶ σχῆμα ἔχειν ἀεικίνητον, στάσιν δὲ ἀκίνητον, ἄρα οὐκ ἀΐδια τὰ ἐν οἷς τὸ παρὰ φύσιν, ἢ ψευδὲς τὸ ἐν τοῖς ἀϊδίοις οὐδὲν παρὰ φύσιν. Εἰ οὐδὲν τῶν ἀγεννήτων, οὔτε ὃ ἔχει, οὔτε ὃ μὴ ἔχει, κατὰ πρόνοιάν τινος ἔχει, ἢ οὐκ ἔχει, πῶς, εἰ ἀγέννητος ὁ οὐρανὸς καὶ τὰ ἄστρα, κατὰ πρόνοιαν τῆς φύσεως ὄργανον μὲν οὐκ ἔχει κινήσεως, σχῆμα δὲ ἔχει σφαιρικὸν ἀντὶ τοῦ ὀργάνου, πρὸς τὴν συνεχῆ κίνησιν ἐπιτηδειότερον ὂν τῶν πορευτικῶν ὀργάνων;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἡ μὲν πρώτη, μία οὖσα, πολλὰ κινεῖ τῶν σωμάτων τῶν θείων· αἱ δὲ, πολλαὶ οὖσαι, ἓν μόνον ἑκάστη τῶν γὰρ πλανωμένων ἓν ὁποιοῦν, πλείους φέρεται φοράς· ταύτῃ [τε] οὖν ἀνισάζει ἡ φύσις, καὶ ποιεῖ τινα τάξιν, τῇ μὲν μιᾷ [φορᾷ] πολλὰ ἀποδιδοῦσα σώματα, τῷ δὲ ἑνὶ σώματι πολλὰς φοράς. ἐν πολλαῖς

61. EX EODEM LIBRO.

Prima quidē delatio, cum vna sit, permulta mouet diuina corpora: quæ vero plures sunt, vnū duntaxat quæuis. Errabundorū enim vnumquodque pluribus defertur delationibus. Itaque hoc modo natura rem ad æqualitatē redigit, & ordinē quendā facit, tū vni delationi multa corpora, tū vni corpori multas attribuēs delationes. In plurib.

errant

211 γὰρ σφαίραις ἡ μία σφαῖρα ἐνδεδεμένη φέρεται· ἑκάστη δὲ σφαῖρα σῶμα τυγχάνει ὄν:-

Εἰ τῶν ἀγενήτων τε καὶ ἀιδίων οὐσιῶν ποιητὴς οὐδείς, πῶς ἀίδιά τε καὶ ἀγένητα ταῦτα, ὧν ἡ φύσις τῆς τάξεώς ἐστι ποιητής, τῇ μὲν μιᾷ ἀποδιδοῦσα πολλὰ σώματα, τῷ δὲ ἑνὶ σώματι πολλὰς φοράς, τὰ πλήθη τῶν τοῦ ἑνὸς σώματος φορῶν ἰσάζουσα τῷ πλήθει τῶν σωμάτων. Εἰ τὰ ἀγένητα ταῦτα καὶ ἀποίητα, πῶς ἐνδέχεται ἐν τοῖς ἀγενήτοις πεποιημένην εἶναι τάξιν φυσικήν; Σφαῖρα σφαίρᾳ ἐνδεδεμένη, τὴν αὐτὴν ἔχουσα οὐσίαν ἣν ἔχει ἡ σφαῖρα ᾗ ἐνδέδεται, πῶς οὐ φαίνεται ἀμφοτέρας ἔχουσα τὰς ἀτοπίας τὰς ἐν τοῖς ἀιδίοις μὴ ὑπαρχούσας, τὸ μάτην ἔχειν τὴν κινητὴν οὐσίαν καθ' ἣν οὐ κινεῖται, καὶ τὸ παρὰ φύσιν κινεῖσθαι κατὰ συμβεβηκός;

ΕΚ ΤΟΥ ΤΡΙΤΟΥ ΛΟΓΟΥ περὶ οὐρανοῦ.

Τῶν φύσει λεγομένων τὰ μέν εἰσιν οὐσίαι, τὰ δὲ ἔργα καὶ πάθη τούτων. λέγω δὲ οὐσίας μέν, τά [τε] ἁπλᾶ σώματα, οἷον πῦρ, καὶ γῆν, καὶ τὰ σύστοιχα τούτοις, καὶ ὅσα ἐκ τούτων, [οἷον] τόν τε σύμπαντα οὐρανόν, καὶ τὰ μόρια τούτου, [καὶ] πάλιν τά [τε] ζῶα, καὶ τὰ φυτά, καὶ τὰ μόρια τούτων:-

Ὁ εἰρηκὼς τὸν οὐρανὸν εἶναι ἐξ ἁπλοῦ τινὸς στοιχείου ἑτέρου ὄντος παρὰ τὰ ἐνταῦθα στοιχεῖα, καὶ ὅτι οὐκ ἐνδέχεται οὐρανὸν ἄλλον γενέσθαι, διὰ τὸ τοῦτον πᾶσαν περιειληφέναι τὴν ὕλην, πῶς νῦν λέγει ἐκ τῶν αὐτῶν εἶναι στοιχείων τὸν οὐρανόν, ἐξ ὧν καὶ τὰ ζῶα καὶ τὰ φυτά; ἀλλ' εἰ μὲν ἄλλον οὐρανὸν λέγει ἐξ ἄλλων στοιχείων γενέσθαι, πῶς οὐ ψεύδεται λέγων, Οὐκ ἐνδέχεται ἄλλον οὐρανὸν εἶναι πλὴν ἑνός; εἰ δὲ τὸν αὐτὸν λέγει οὐρανόν, ποτὲ μὲν ἐξ ἄλλου θειοτέρου στοιχείου παρὰ τὰ ἐνταῦθα, ποτὲ δὲ ἐκ τῶν αὐτῶν στοιχείων, πῶς οὐκ ἔστι θατέρως ψευδόμενος;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον:-

Εἰ στοιχεῖόν ἐστι τὸ ἐξ οὗ γίνεται τὸ γιγνόμενον ἐνυπάρχον αὐτῷ, πῶς ἐνδέχεται τὸ αὐτὸ καὶ στοιχεῖον εἶναι καὶ ἀγένητον; Εἰ πρῶτον τὸ στοιχεῖον, καὶ ὕστερον τὸ ἐκ τοῦ στοιχείου, πῶς ἀγένητον τὸ στοιχεῖον ἐξ οὗ ὁ οὐρανός, καὶ συναγένητος αὐτῷ ὁ οὐρανός; Εἰ διὰ τοῦτο ἀγένητον τὸ στοιχεῖον ὅτι οὐκ ἐκ στοιχείου, πῶς ἀγένητος ὁ οὐρανὸς ὁ ὢν ἐκ στοιχείου;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Ἀίδια μὲν οὖν εἶναι ἀδύνατον· ὁρῶμεν γὰρ καὶ πῦρ, καὶ ὕδωρ, καὶ ἕκαστον τῶν ἁπλῶν σωμάτων διαλυόμενον· ὥστ' ἀνάγκη γενητὰ καὶ φθαρτὰ εἶναι τὰ στοιχεῖα τῶν σωμάτων:-

eum orbibus vnus deuinctus defertur orbis. Quilibet autem orbis corpus est.

Si ingenitarũ & æternarum substantiarum nullus est opifex, quomodo æterna hæc sunt, & ingenita, quorum ordinem natura constituit, vni quidem delationi plura corpora, vni autem corpori plures assignans delationes, multitudinem vnius corporis motionũ, corporum multitudine ad æqualitatem reducendo? Si, quæ ingenita sunt, etiam infecta sunt: quomodo in rebus ingenitis esse potest qui factus est ordo naturalis? Globus globo deuinctus, eandem obtinens substantiam quã globus habet cui deuinctus est; quomodo non duplicem secũ affert absurditatem, quarũ neutra in res æternas cadit? videlicet quod frustra obtineat substantiã mobilem qua non mouetur. & quod præter naturam accidentiã moueatur.

62. EX LIBRO TERTIO de Cælo.

Earum quæ natura esse dicũtur, quædam sunt substantiæ, quædam opera & operationes earum. Substantias dico corpora simplicia, veputa ignem & terram, & quæ cum his sunt eiusdem seriei elementa, & quæcumque ex iis constant, totumq; adeo cælum & partes eius, item animantes & plantas, & harum partes: Perpessiones autem & Opera cuiusque istorum, Motiones.

Qui asseruit cælum esse e simplici quopiam elemento, quod aliud sit quam ista elementa, & non aliud fieri posse cælum, eo quod id vniuersam circumplexum sit materiam: quomodo nunc asserit, ex eisdem cælum esse elementis, ex quibus animantes sunt & plantæ? Porro, si cælũ aliud dicit factum esse ex elementis aliis, quomodo non falso ait, non aliud esse cælum posse, præter vnum? Sin idem asseuerat, cælum aliquando e diuiniore quam ista nostra sunt elemento; aliquando ex eisdẽ esse elementis: quomodo non in hanc vel illam partem falsus fuerit?

63. EX EODEM LIBRO.

De primo elemento dictum est, & quale id sit natura, & quod incorruptibile sit & ingenitum.

Si Elemẽtum id est vnde gignitur quod gignitur, ita vt illi insit: qui fieri potest vt idem ipsum elementum sit & ingenitũ? Si primum est elementum, & posterius id quod ex elemento fit: quomodo ingenitũ est elemẽtum vnde cælum est, & simul cũ eo ingenitum cælum? Si propterea ingenitum est elementum, quod non sit ex elemento: quomodo fuerit ingenitum cælum, quod ex elemento est?

64. EX EODEM LIBRO.

Æterna esse elementa, impossibile est. Videmus namq; & ignem, & aquam, & corporum simplicium quodque dissolui. Quocirca generationi & corruptioni subiecta esse corporum elementa, necesse est.

Si terra quoque corporum est elementum, quomodo terram quidem coæternã & coingenitam cælo esse dixisti, alia vero elementa genita & corruptibilia?

65. EX EODEM LIBRO.

Elementa alia ex aliis generantur.

Quomodo alia ex aliis fiunt elementa, cum primum genita non sint generatione ista qua aliud ex alio gignitur? vt enim hanc illa præcedat, necesse est. Exsistentibus namque eis, aliud mutetur in aliud, & alia ex aliis fiant.

Εἰ στοιχεῖον τῶν σωμάτων ἐστὶ καὶ ἡ γῆ, πῶς τὴν μὲν γῆν συναΐδιόν τι καὶ συναγένητον εἴρηκας τῷ οὐρανῷ, τὰ δὲ ἄλλα στοιχεῖα γενητὰ καὶ φθαρτά;

ΕΚ ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΥ.

Τῶν στοιχείων ἡ γένεσις ἐξ ἀλλήλων:-

Πῶς γίνεται ἐξ ἀλλήλων τὰ στοιχεῖα πρῶτον μὴ γινομένων κατὰ τὴν γένεσιν τὴν ἐξ ἀλλήλων; ταύτην γὰρ τὴν γένεσιν ἀνάγκη προηγεῖσθαι ἐκείνης τῆς γενέσεως. ὄντων γὰρ αὐτῶν, μεταβάλλεται εἰς ἄλληλα, καὶ γίνονται ἐξ ἀλλήλων.

EIVSDEM IVSTINI CHRISTIANARVM AD GRÆCOS Quæstionum, Græcarumque Responsionum, & earum Responsionum Confutationis, Liber.

QVÆSTIO I.

Si summo hominum bono summum opponitur malum: summũ autem hominibus bonum est, Deum verum nosse: summum certe malum fuerit, illum ignorare. Porro cum hoc malum nonnullis insit hominibus, vtrum magis architecto mundi Deo conuenit, præsentis mutare statum vitæ, atque hominem summo liberare malo, pro eo atq; Christianorum est ratio; an mundum in eodem relinquere statu, atque homines sinere in maximi esse potestate mali?

RESPONSIO GRÆCA.

Principio ad quæstionem primam dicẽdum, nullum esse summum malum. Nã si summum bonum Deus est, videlicet si quis ponat summum malum, principium aliud reperietur Deo contrarium. quod quidem Manichæi asserentes, perperam loquuntur. Absurdum enim sit, Deũ non vniuersa complecti, eiusq; bonitatem nõ omnibus illucescere. quocirca nullum est maximũ malũ: quippe ignorantia persæpe in ratione boni mortalibus datur. Proinde in multis videmus multoties accidere, vt magis cognita despiciãtur quã ignota; præsertim cum ignoratio singularis & veri Dei, non aliunde quam ex propria obliuione animo obueniat. Obuenit namque hic quoque animis notio Dei; videmusq; & in hac vita homines Deum cognoscentes: ac, si quis dicere verum velit, nulla fuerit omnino Dei ignoratio. Omnes enim Deũ esse communi fatentur intelligentia. Porro homines hoc etiam in mũdo Deũ cognoscere posse, orthodoxorum recteq; sentientium liquido declarat fides & persuasio, quæ Deum ipsum descendisse, & a mortalibus cognitũ esse asseuerat. Itaque si in hac vita mortales Deum nosse queunt, nihil eis quidquã summi hic versantib. accidit mali.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ 214

ΕΡΩΤΗΣΕΙΣ ΧΡΙΣΤΙΑΝΙΚΑΙ πρὸς τοὺς Ἕλληνας.

Ἐρώτησις α΄.

Εἰ τῷ μεγίστῳ ἐν ἀνθρώποις ἀγαθῷ μέγιστον ἀντίκειται κακόν· μέγιστον δὲ ἐν ἀνθρώποις ἀγαθὸν τὸ γνῶναι τὸν ὄντως ὄντα Θεόν· μέγιστον ἄρα κακὸν τὸ τοῦτον ἀγνοεῖν:- ἀλλ' ἐπειδή ἐστι τοῦτο κακὸν ἔν τισι τῶν ἀνθρώπων, ποῖόν ἐστι τῷ δημιουργῷ τοῦ κόσμου Θεῷ πρεπωδέστερον, τὸ ἐναλλάξαι τὴν τοῦ παρόντος βίου κατάστασιν, καὶ ἀπαλλάξαι τοὺς ἀνθρώπους τοῦ μεγίστου κακοῦ, καθὼς ὁ τῶν Χριστιανῶν βούλεται λόγος, ἢ τὸ ἐᾶσαι μένειν τὸν κόσμον ἐπὶ τῆς αὐτῆς καταστάσεως, καὶ τοὺς ἀνθρώπους τῷ μεγίστῳ κακῷ ἀεὶ κατεχομένους;

Ἀπόκρισις Ἑλληνική.

Πρῶτον μὲν πρὸς τὸ πρῶτον ἄπορον ῥητέον, ὡς μέγιστον κακὸν οὐδέν ἐστιν· εἰ γὰρ τῶν ἀγαθῶν τὸ μέγιστον ὁ Θεός ἐστι, δηλονότι εἴ τις ὑπόθοιτο μέγιστον κακόν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ Θεῷ· ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι. καὶ γὰρ ἄτοπον τὸν Θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα ἐπιλάμπειν. μέγιστον τοίνυν κακὸν οὐδέν. καὶ γὰρ ἡ ἄγνοια πολλάκις ἐπ' ἀγαθῷ δίδοται τοῖς ἀνθρώποις. ὁρῶμεν οὖν ἐπὶ πολλῶν, ὡς πολλάκις συμβαίνει μᾶλλον καταφρονεῖν τῶν γινωσκομένων, ἢ τῶν ἀγνοουμένων· ἄλλως τε καὶ τὸ ἀγνοεῖν τὸν ὄντως ὄντα Θεόν, οὐκ ἔκ τινος ἄλλου, ἀλλ' ἐκ τῆς οἰκείας λήθης ἡ ψυχὴ πάσχει· παραγίνεται δὲ καὶ τοῖς ἐνταῦθα ψυχαῖς γνῶσις Θεοῦ· ὥσπερ οὖν ὁρῶμεν καὶ ἐνταῦθα ἀνθρώπους γινώσκοντας τὸν Θεόν. εἰ δέ τις ἐθέλοι τὸ ἀληθὲς λέγειν, οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ Θεοῦ· πάντες γὰρ ὅτι ἔστιν ὁ Θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ· ὅτι δὲ καὶ ἐνταῦθα ὄντες δύνανται οἱ ἄνθρωποι γινώσκειν τὸν Θεόν, καὶ ἡ τῶν ὀρθοδόξων πίστις σαφῶς δηλοῖ, λέγουσα τὸν Θεὸν αὐτὸν καταληλυθέναι καὶ ἐγνῶσθαι τοῖς ἀνθρώποις. εἰ τοίνυν δυνατὸν καὶ ἐνταῦθα τοὺς ἀνθρώπους ὄντας γινώσκειν τὸν Θεόν, οὐδὲν αὐτοῖς μέγιστον κακὸν συμβαίνει ἐκ τοῦ ἐνταῦθα εἶναι.

Ete-

τοῖς ἀγνοοῦσι γάρ, καθὼς εἴρηται, ἐκ τῆς ἀπίστου φύσεως τὸ ἀγνοεῖν τὸν Θεὸν συμβαίνει. εἰ δέ τις καὶ συγχωρήσει, ὅπερ ἄτοπον, μέγιστον εἶναι κακὸν τὰ ἐνταῦθα, καὶ κάλλιον ὑπάρχειν τὸ μὴ εἶναι τὰ τῇδε ἢ εἶναι, εἰ μὲν λέγει κακὰ πεποιηκέναι τὰ τῇδε τὸν δημιουργὸν δι' ἀσθένειαν, ἀνοηταίνει, τὴν τοῦ Θεοῦ δύναμιν φάσκων μὴ καταλαμβάνειν πάντα. εἰ δὲ δυνάμενος καλὰ ποιῆσαι τὰ τῇδε, συνεχώρησεν ἑτέροις κακὰ ποιεῖν, καὶ τοῦτο ἔσται κατηγόρημα
215 Θεοῦ. ὁ γὰρ δυνάμενος μὲν παῦσαι, περιορῶν δέ, ἀληθέστερον αὐτὸς δρᾷ· εἰ δὲ αὐτός ἐστιν ὁ Θεὸς ὁ ποιήσας τὰ τῇδε, δῆλον ὅτι τοῦ αὐτοῦ Θεοῦ μένοντος, καὶ εἰς ὕστερον καὶ ἀεὶ τὰ αὐτὰ ἔσται. ἃ γὰρ πάλαι ἠδύνατο, καὶ νῦν δύναται. εἰ δὲ νῦν τι πλεῖον δύναται παρὰ τὰ πρὸ τοῦ, ἔγχρονος αὐτοῦ ἔσται ἡ τοιαύτη δύναμις· ὅπερ ἄτοπον· τὸ γὰρ ἔγχρονον, φθαρτόν. εἰ δὲ δυνάμενος καὶ πάλαι κωλῦσαι τὸ μέγιστον οὕτω κακόν, οὐκ ἐκώλυσε, φθονερὸς ἂν εἴη· ὅπερ ἀσεβὲς καὶ φαντάζεσθαι. δεῖ οὖν τὸν αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα τὰ αὐτὰ ποιεῖν.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς συσταθείσης.

Ἱκανὸς μὲν ἦν εἰς ἔλεγχον τοῦ ἀσυστάτου λόγου αὐτὸς ὁ λόγος νοούμενος. τῷ γὰρ λέγειν ἐν ἀρχῇ μὲν τοῦ λόγου μὴ εἶναι μέγιστον κακόν, ἐν τῷ τέλει δὲ τοῦ λόγου τὸ ἀσεβὲς εἶναι καὶ ἐκ μόνης φαντασίας τὰ ἀνάξια περὶ Θεοῦ φρονεῖν, πῶς οὐκ ἔστι κεχρημένως εἰσαγόμενον τὸ μέγιστον κακὸν τὸ ἀκρίτως ἐκβληθὲν παρὰ τοῦ ἀποκρινομένου. εἰ δὲ προστεθείη τῇ τοιαύτῃ ἐκ μόνης φαντασίας ἀσεβείᾳ καὶ τὸ λέγειν, μείζων γίνεται ἡ ἀσέβεια· εἰ δὲ σὺν τῷ λέγειν καὶ τὸ γράφειν, ἐξ ἀνάγκης πᾶσαν κακίας ὑπερβολὴν ἡ ἀσέβεια ἔχουσα. εἰ δὲ ταῦτα οὕτως ἔχει, καί ἐστιν ἐν πᾶσι τοῖς ἀναξίως περὶ Θεοῦ λεγομένοις τε καὶ γραφομένοις, ἢ καὶ μόνον φανταζομένοις ἀσέβεια καθαιρετικὴ τῆς δόξης τοῦ Θεοῦ· ἔστιν ἄρα ἐξ ἀγνοίας Θεοῦ τὸ μέγιστον κακὸν ἐν ἀνθρώποις. ἀλλ' ἐπειδὴ ἔδοξε τῇ σῇ θεοσεβείᾳ, τὸ καὶ παρ' ἡμῶν ἐγγράφως ἐλεγχθῆναι τοῦ λόγου τὸ ἀσύστατον, διὰ τοῦτο ἐν συντόμῳ γράφω τὰ ὑποτεταγμένα. τὸ γὰρ διὰ πλειόνων ἐλέγξαι πρόδηλον ψεῦδος, ναρκῶδες καὶ τῷ γράφοντι, καὶ τῷ ἀναγινώσκοντι. Δύο εἴδη τοῦ μεγίστου κακοῦ ἔθηκεν ὁ ἀποκρινάμενος ἐν τῇ ἑαυτοῦ ἀποκρίσει, καὶ τρία εἴδη τῆς ἀγνοίας τοῦ Θεοῦ· ἐκεῖνα μέν, κατὰ τοὺς Μανιχαίους· ταῦτα δέ, κατ' αὐτὸν τὸν ἀποκρινάμενον· καὶ τῶν δύο εἰδῶν τοῦ μεγίστου κακοῦ, τὸ μὲν ἔλεγε κατ' οὐσίαν, τὸ δέ, κατ' ἐνέργειαν τοῦ κατ' οὐσίαν· τῶν δὲ τριῶν εἰδῶν τῆς τοῦ Θεοῦ ἀγνοίας, τὸ μὲν ἔλεγε κατὰ λήθην, τὸ δὲ κατὰ τὴν ἄπιστον φύσιν, τὸ δὲ κατὰ τὴν ἀγαθὴν δόσιν. ποιῶ δὲ σύντομον τὴν ἀναίρεσιν ἐκείνων κατὰ Μανιχαίους, καὶ τῶν κατ' αὐτόν,

Etenim ignorantibus, vt dictũ est, infidelis naturæ vitio Dei ignoratio obuenit. Quod si quis etiam concedat, quod quidẽ est absurdum, res hic humanas in ratione esse mali maximi, præstabiliusque esse nõ exstare res hasce quam exstare: si quidem dicat, male eas opificem fecisse per infirmitatem, mente captus sit, Dei potentiam non complecti vniuersa dicens. Sin, cum res hasce bonas facere potuerit, aliis vt malas facerẽt, permisisse alleget: fuerit & hæc Dei culpatio. Nam qui inhibere potest, atq; id despicit, ipsemet reuera facit. Sin ipse Deus est qui res hasce fecit, certum fuerit, cum Deus idem maneat, eas quoque easdẽ & posthac & semper fore. Quæ enim dudum potuit, nunc quoque potest. Quod si nunc prolixius quidquam potest quam antea, temporaria erit eiuscemodi ipsius potentia: quod sane quam absurdum est. nam quod temporarium, idem corruptibile est. Sin, cum olim prohibere potuerit summum malũ, non prohibuerit, inuidus fuerit: quod certe vel imaginari saltem, impiũ est. Idcirco ipsum eundem in eisdem permanentem, eadem facere necesse est.

RESPONSIONIS NON RECTE institutæ Confutatio.

Ad confutationem assertionis non cõsistentis, ipsa satis esset, si probe consideraretur assertio. nam cum in initio quidẽ eius dicatur, *non esse summum malum* in fine autem eiusdem affirmetur, *impium esse, vel sola imaginatione ea quæ Deo indigna sunt sentire:* quomodo non opus est, introductum constitutumque esse summum malum, quod ab auctore responsi sine iudicio est reiectũ? At si ad huiusmodi, quæ sola concipitur imaginatione, impietatem insuper illud addatur, vt ea quoq; verbis proferatur: maior committitur impietas. Eaque deinceps etiam si scriptura accumuletur, omnem maliciæ supremæ excedit gradum. Atque hæc si ita habent, & in eis quæ præter dignitatem Dei dicuntur & scribuntur, aut saltem mentis cogitatione concipiuntur, impietas inest, gloriæ Dei abrogatrix: est profecto summum mortalibus ex ignoratione Dei malum. Sedenim cum pietati tuæ placitum sit, vt & a nobis scripto instabilitas argumentationis illiusmodi redarguatur: breuiter & succincte, quæ subiuncta sunt, scribenda duxi. nam pluribus id refellere quod manifeste falsum est, scribenti iuxta & legẽti tædiũ molestũ affert. Duas species maximi mali respondens in responso suo posuit, & species tres ignorationis Dei: ac illas quidẽ de Manichæorũ sentẽtia, has vero suapte opinione. Et duarũ maximi mali specierũ alterã dixit esse substantia, alterã operatione eius quæ substantia sit. Triplicis aũt, qua Deus ignoratur, speciei, vnã obliuione, secũdam natura infideli, tertiã donatione cõmoda esse ait. Breuiter vero & Manichæorũ, & suã ipsius aboleuit

sententiam. Manichæorum quidem tollens placitum quandoque, cum ait: *Nullū est summum malum. Si quis autem ponat summum esse malum, alterum reperietur Principium, Deo aduersum: quod quidem Manichæi asserentes, perperam loquuntur.* quandoq; vero cum inquit: *Ignoratio Dei non aliunde quam ex propria obliuione animo obuenit:* illic summum substantiâ malum; hic, quod operatione fit, abrogans. abrogans vero ille etiam trifariam Dei ignorationem, quam ipse statuit: *Non est omnino*, inquit, *Dei ignoratio. omnes enim Deum esse communi fatentur sententia.* Ac si quidem prorsus non est ignoratio Dei, illud falsum esse certum fuerit, ignorationem Dei obtingere mortalibus vel obliuione, vel natura infideli, vel donatione commoda. Si vero communem omnium sententiam dicit, etiam cuiusque praue sentiētium hæresis abrogatam [ab orthodoxis] opinionem, ne hoc quidem modo notio Dei in omnibus erit. Nos autem neque id quod secundum Manichæos est, maximū malum, neque eam quæ secundum ipsum respondētem est, ignorationem Dei, in quæstione posuimus: sed summum malum in mente esse dicimus, de Deo opinionem falsam. Ignorationem vero Dei, quæ opinionem huiusmodi falsam profert; quæ quidem tertia est species summi mali hominibus ex voluntaria rebellione & infidelitate obueniens. Quam cum instituisset respondens abolere, aboleuit quidem duas Manichæorum summi mali species, nostram autem non aboleuit. Quapropter duorum alterum de respondente dicere necesse habemus: aut ignorasse eum tertiam nostram summi mali speciem, aut ei iustam vt contradiceret causam non suppeditauisse, qua speciem eam aboleret. Enimuero summum sentētia nostra malum hominibus accidere ex ignoratione Dei, ita demonstratur. Summum malum quod substantia non sit, id per ignorationē Dei, placitis ipsi suis homines esse statuerunt. testatur hoc & ipse responsi auctor, cum infit: *Maximū malum nullum est. ac si quis ponat malum maximū, inuenietur alterū principiū Deo aduersum: quod quidē Manichæi asserentes, perperam loquuntur. Absurdum enim est, Deum non vniuersa complecti, neq; cunctis bonitatē eius illucescere. Summum ergo malum nullum est.* In his quidem sublatum est summum substantia malum: relictum autem id quod statuto positum est & nos in quæstione posuimus. Cæterum quia respondens ad summū, iudicio nostro, malum abolendū intentus dixit; *Summum malū nullū est*: propterea certū est, eū vel nō intellexisse, prout est dictū, summū opinione nostra malū, vel iusta contradicendi causa destitutū fuisse. id vero si ita habet, apertū est, summum esse in hominibus, quod decreto ab eis positum est, malum. Si namq; (inquit) summum bonum Deus est;

ἔφασκε, ποτὲ μὲν ἀναιρῶν τῶν Μανιχαίων τὴν δόξαν, καί φησι, Μέγιστον κακὸν οὐδέν ἐστιν· εἰ δέ τις ὑποθοῖτο μέγιστον κακὸν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ Θεῷ· ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι:- ποτὲ δὲ, ὅταν φησὶ, Τὸν ὄντως ὄντα Θεὸν οὐκ ἐξ ἄλλου τινὸς, ἀλλ' ἐκ τῆς οἰκείας λήθης ἡ ψυχὴ πάσχει:- ἐν ἐκείνοις μὲν ἀναιρῶν τὸ κατ' οὐσίαν μέγιστον κακὸν, ἐν τούτοις δὲ τὸ κατ' ἐνέργειαν. ἀναιρῶν δὲ καὶ τὰ εἴδη τῆς ἀγνοίας τοῦ Θεοῦ, ἃ αὐτὸς ἔθηκε, καί φησιν, Οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ Θεοῦ· πάντες γὰρ ὅτι ἔστι Θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ:- εἰ μὲν οὖν οὐκ ἔστιν ὅλως ἄγνοια περὶ Θεοῦ, δῆλον ὅτι ψευδὲς τὸ, Αγνοεῖν τὸν Θεὸν συμβαίνει τοῖς ἀνθρώποις ἢ κατὰ λήθην, ἢ κατὰ τὴν ἄπιστον φύσιν, ἢ κατὰ τὴν ἀγαθὴν δόσιν. εἰ δὲ κοινὴν ἔννοιαν πάντων λέγει, τὴν κατὰ τὴν ἰδικὴν ἔννοιαν ἑκάστης τῶν κακοδόξων αἱρέσεως ἀναιρουμένην, οὐδ' οὕτως ἔσται γνῶσις Θεοῦ ἐν τοῖς πᾶσιν. ἡμεῖς δὲ οὔτε τὸ κατὰ τοὺς Μανιχαίους μέγιστον κακὸν, οὐδὲ τὴν κατ' αὐτὸν τὸν ἀποκρινάμενον ἄγνοιαν Θεοῦ ἐθήκαμεν ἐν τῇ ἐρωτήσει, ἀλλὰ μέγιστον κακὸν κατ' ἔννοιαν εἴπομεν, τὸ κατὰ τοῦ Θεοῦ ψεῦδος· ἄγνοιαν δὲ Θεοῦ, τὴν τὸ ψεῦδος εἰρηκυῖαν· ὅπερ ἐστὶ τρίτον εἶδος τοῦ μεγίστου κακοῦ, ἐκ τῆς ἑκουσίου ἀπειθείας τε καὶ ἀπιστίας ἀνθρώπων συμβαῖνον αὐτοῖς· ὃ προθέμενος ὁ ἀποκρινάμενος ἀναιρεῖν, ἀνεῖλε μὲν τὰ κατὰ τοὺς Μανιχαίους δύο τοῦ μεγίστου κακοῦ εἴδη· τὸ δὲ καθ' ἡμᾶς 216
οὐκ ἀνεῖλε. διὸ δυοῖν θάτερον ἀνάγκη ἡμᾶς λέγειν περὶ τοῦ ἀποκριναμένου, ἢ τὸ μὴ νοῆσαι τὸ καθ' ἡμᾶς τρίτον εἶδος τοῦ μεγίστου κακοῦ· ἢ τὸ μὴ εὐπορῆσαι δικαίας ἀντιλογίας τούτου ἀναιρετικῆς.

Ὅτι δέ ἐστι τὸ καθ' ἡμᾶς μέγιστον κακὸν ἐξ ἀγνοίας Θεοῦ συμβαῖνον τοῖς ἀνθρώποις, δείκνυται οὕτως· τὸ μέγιστον κακὸν τὸ μὴ ὂν κατ' οὐσίαν, τοῦτο διὰ τὴν ἄγνοιαν τοῦ Θεοῦ ὑπέθεντο οἱ ἄνθρωποι εἶναι τοῖς ἑαυτῶν δόγμασι. μαρτυρεῖ δὲ τούτῳ καὶ αὐτὸς ὁ ἀποκρινάμενος ἐν οἷς ἔλεγε, Μέγιστον κακὸν οὐδέν ἐστι. καὶ εἴ τις ὑπόθοιτο μέγιστον κακὸν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ Θεῷ· ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι· καὶ γὰρ ἄτοπον τὸν Θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα ἐπιλάμπειν. μέγιστον τοίνυν κακὸν οὐδέν:- Εν τούτοις ἀνῄρηται μὲν τὸ κατ' οὐσίαν μέγιστον κακὸν, ὑπολέλειπται δὲ τὸ καθ' ὑπόθεσιν ἐν δόγματι, ὃ ἐθήκαμεν ἡμεῖς ἐν τῇ ἐρωτήσει. ἀλλ' ἐπειδὴ πρὸς ἀναίρεσιν τοῦ καθ' ἡμᾶς μεγίστου κακοῦ ὁ ἀποκρινάμενος ἀποτεινόμενος ἔλεγε, Μέγιστον κακὸν οὐδέν ἐστι, διὰ τοῦτο δῆλός ἐστιν ὁ ἀποκρινάμενος ἢ μὴ νοήσας, καθὰ εἴρηται, τὸ καθ' ἡμᾶς μέγιστον κακὸν, ἢ μὴ εὐπορήσας δικαίας ἀντιλογίας. ἀλλ' εἰ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι ἔστι μέγιστον κακὸν ἐν ἀνθρώποις καθ' ὑπόθεσιν ἐν δόγματι. εἰ γὰρ, φησὶ, μέγιστον τῶν ἀγαθῶν ὁ Θεός ἐστιν,

ἀληθὴς μὲν καὶ εὐσεβὴς ἡ φωνὴ ἡ λέγουσα τὸν Θεὸν μέγιστον εἶναι τῶν ἀγαθῶν. ἀλλ' ἐπειδή τινες τῶν ἀνθρώπων ἐξ ἀγνοίας Θεοῦ, ἀποστεροῦσι μὲν τὸν ὄντως ὄντα Θεὸν τῶν δικαίων αὐτῷ προσηγοριῶν τε καὶ τιμῶν, καὶ περιτιθέασιν αὐτὰς τοῖς οὐκ οὖσιν, ἆρά γε οὐ δοκεῖ τῷ ἀποκεκριμένῳ ἀσέβεια εἶναι διπλῆ, ἧς μεῖζον οὐκ ἔστι, τὸ τὸν μὲν ὄντως ὄντα Θεὸν ἀγνοεῖν, τὸν δὲ οὐκ ὄντα ταῖς ἐκείνου τιμᾶν προσηγορίαις καὶ τιμαῖς; πῶς δὲ ἐνδέχεται κατὰ τὴν ἐκείνου ἀπόφασιν λέγουσαν, μὴ εἶναι μέγιστον κακὸν ἐν ἀνθρώποις, τῆς μεγίστης ἀσεβείας οὔσης ἐν ἀνθρώποις, εἰ μή τι γε ἄρα τὴν μεγίστην ἀσέβειαν οὐχ ἡγεῖται μέγιστον εἶναι κακόν; Εἴ τις, φησίν, ὑπόθοιτο μέγιστον κακόν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ Θεῷ· ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι· καὶ γὰρ ἄτοπον, τὸν Θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα ἐπιλάμπειν. μέγιστον τοίνυν κακὸν οὐδέν:- Εἰ μέγιστον κακὸν οὐδέν ἐστιν ἐν ἀνθρώποις, πῶς διέβαλες τοὺς Μανιχαίους ὡς κακῶς λέγουσιν ἃ λέγουσιν; εἰ μὲν γὰρ κακῶς λέγουσιν οἱ Μανιχαῖοι ἃ λέγουσιν, δηλονότι κακόν ἐστι τὸ λεγόμενον παρ' αὐτῶν. πᾶς γὰρ ὁ λέγων κακῶς, τὸ κακὸν λέγει κακῶς· τὸ δὲ κατὰ τοὺς Μανιχαίους κακὸν τοιοῦτόν ἐστιν, οὗ μεῖζον οὐκ ἔστιν. ἀλλ' εἰ ἀληθὲς τοῦτο, ἀληθῶς ἄρα ἔστι μέγα κακὸν ἐν ἀνθρώποις, εἰ καὶ μὴ κατ' οὐσίαν, ἀλλ' ἐν ὑποθέσει καὶ δόγματι. Καὶ γάρ, φησίν, ἡ ἄγνοια πολλάκις ἐπ' ἀγαθῷ δίδοται τοῖς ἀνθρώποις· ὁρῶμεν γοῦν ἐπὶ πολλῶν ὡς πολλάκις συμβαίνει μᾶλλον καταφρονεῖν τῶν γινωσκομένων, ἤπερ τῶν ἀγνοουμένων. ἄλλως τε καὶ τὸ ἀγνοεῖν τὸν ὄντως ὄντα Θεόν, οὐκ ἐξ ἑνός ἄλλου, ἀλλ' ἐκ τῆς οἰκείας λήθης ἡ ψυχὴ πάσχει. περιγίνεται δὲ καὶ ταῖς ἐνταῦθα ψυχαῖς γνῶσις τοῦ Θεοῦ· ὥσπερ οὖν ὁρῶμεν καὶ ἐνταῦθα ἀνθρώπους γινώσκοντας τὸν Θεόν. εἰ δέ τις ἐθέλοι τὸ ἀληθὲς λέγειν, οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ τοῦ Θεοῦ. πάντες γὰρ ὅτι ἔστι Θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ· ὅτι δὲ καὶ ἐνταῦθα ὄντες δύνανται οἱ ἄνθρωποι γινώσκειν τὸν Θεόν, καὶ ἡ τῶν ὀρθοδόξων πίστις σαφῶς δηλοῖ, λέγουσα τὸν Θεὸν αὐτὸν καταληλυθέναι, καὶ ἐγνῶσθαι τοῖς ἀνθρώποις:- Εἶπεν ὅτι ἐπ' ἀγαθῷ δίδοται πολλάκις τοῖς ἀνθρώποις ἡ ἄγνοια· ἀλλ' εἰ μὲν τὴν τοῦ Θεοῦ λέγει ἄγνοιαν περὶ ἧς ἐστιν ἡμῖν
217 ὁ λόγος, προδήλως ἄτοπον τὸ τὴν ἄγνοιαν τοῦ Θεοῦ λέγειν ἐπ' ἀγαθῷ δίδοσθαι τοῖς ἀγνοοῦσι. τούτῳ γὰρ τῷ λόγῳ ἔσονται πᾶσαι αἱ θρησκεῖαι αἱ ἀγνοοῦσαι τὸν Θεόν, ἐπ' ἀγαθῷ ἑαυτῶν ἀγνοοῦσαι τὸν Θεόν· ἡ δὲ τὸν Θεὸν γινώσκουσα θρησκεία, οὐκ ἐπ' ἀγαθῷ ἑαυτῆς. εἰ δὲ ἑτέραν λέγει ἄγνοιαν περὶ ἧς προέκειτο ἡμῖν λέγειν, ἄκυρος ἡ παράθεσις αὐτῷ, τῆς ζητουμένης ἀγνοίας τὴν μὴ ζητουμένην ἔχουσα. Εἶπεν ὅτι ἐκ τῆς οἰκείας λήθης πάσχει ἡ ψυχὴ τὸ ἀγνοεῖν τὸν Θεόν· εἶπεν ὅτι καὶ ἐνταῦθα παραγίνεται ταῖς ψυχαῖς γνῶσις Θεοῦ· εἶπεν ὅτι καὶ ἐνταῦθα ὁρῶμεν γινώσκοντας τὸν Θεόν· εἶπεν ὅτι οὐδόλως ἐστὶν ἄγνοια περὶ Θεοῦ·

vera equidem atque pia vox est quæ Deũ summum bonum esse dicit. sed quia nonnulli homines ex ignoratione Dei, singularem & verum Deum iustis debitisque ei appellationibus & honoribus fraudant, eosque illis qui dii non sunt, accommodant: an non respondenti duplicata esse videtur impietas; qua maior non est? verum scilicet Deum ignorare; eum autem qui Deus non est, illius ornare titulis & honoribus. Quo autem modo fieri potest, iuxta illius sententiam qua negat esse in hominibus summum malum; cum in eis summa sit impietas? Quin, si non aliud, at summam dumtaxat impietatem, summum esse dicat malum? *Si quis, ait, ponat summum malum, inuenietur principiũ alterum Deo aduersum: quod Manichæi asserẽtes, perperam loquuntur. Absurdũ enim est, Deũ non vniuersa complecti, neq; eius bonitatem cunctis illucescere. Summum ergo malũ nullum.* Si nullum est in hominibus malum summũ: quomodo Manichæos in crimen vocas, male eos dicere quæ dicunt? Si enim male dicunt Manichæi quæ dicunt, nempe malũ est quod ab ipsis dicitur. Quiuis namq; qui male dicit, malũ male dicit. Porro Manichæorum malum huiusmodi est, vt eo maius non sit. Atqui hoc si verum est, reuera certe ingens est in hominibus malũ: quamuis non substantia, tamen constitutione & decreto. *Nam ignoratio,* inquit, *in ratione boni persæpe datur hominibus. Proinde in multis videmus multoties accidere vt magis cognita despiciantur quã ignota; præsertim cum ignoratio singularis & veri Dei non aliunde quã ex propria obliuione animo obueniat. Obuenit namq; hic quoq; animis notio Dei, sicut sane videmus & in hac vita homines Deum cognoscentes. Ac si quis verũ dicere velit, nulla fuerit omnino Dei ignoratio. Omnes enim Deũ nosse, cõmuni fatentur sententia. Porro homines hoc etiam in mundo Deũ cognoscere posse, orthodoxorum, recteque sentiẽtium, liquido declarat fides: quæ Deũ ipsum descendisse, & a mortalibus cognitum esse prædicat.* Hominibus dixit multoties datã esse in ratione boni ignorationem. Quod si eam dicit ignorationem de qua nobis sermo est: manifestæ absurditatis est, asserere ignorationem Dei ignorantibus ipsis in ratione boni esse concessam. Hac siquidem ratione, religiones omnes Dei ignaræ, bono suo Deum ignorauerint: at religio Deum agnoscens, non bono suo illum norit. Sin aliam nobis proposuit ignorantiam, intempestiua fuerit propositio, quæ pro ea quæ in quæstionem est deducta, aliam qua de quæsitum non est, affert ignorantiam. Dixit, ex propria obliuione animo prouenire ignorationem Dei. Dixit, nos homines hic etiam conspicere qui Deũ noscãt. Dixit, neutiquam esse ignorationem Dei

Vniuersos namque, Deum esse, communi fateri sententia. Dixit, hic quoq; homines cognoscere Deum posse. Cuius rei probandæ causa, orthodoxorum protulit fidem & persuasionem, Deum ipsum descẽdisse, & ab hominibus cognitum esse profitentium. Atqui si in vero est, animo ex propria obliuione ignorationẽ Dei prouenire: videlicet illud falsum fuerit, nõ esse prorsus ignorationẽ Dei. Omnes enim Deum esse communi fateri sentẽtia. Quid vero opus fuit, obuenire hic animis nostris noticiam Dei, omnibus Deũ cognoscentibus, & communi sententia fatentibus? Illud autẽ, *Videmus & hic homines Deũ cognoscentes:* de quibus hominibus dicit? Si quidem de illis qui Deum cognouerunt postquã descendit & cognoscendum se eis præbuit, iuxta orthodoxorum fidem, vera fuerit assertio. videmus enim eos. Quomodo vero Dei aduentu & præsentia, demonstrationis loco, vt probaret homines hic quoq; Deum cognoscere posse, vsus, ipsemet fidem illius dictis de mundi restitutione non habet? Infidelis certe & incredibilis demonstratio fidem ei rei non adstruit, cuius demonstrandæ gratia, illa est producta. Sin non eos dicit homines qui ex doctrina cælitus ad nos delapsi Dei, Deum cognouerunt: falsum fuerit dictũ hoc; *Videmus homines qui hic Deum cognouerunt.* Ego enim hos non video. Et si omnino non est ignoratio Dei, quod eum omnes communi fateantur sententia: cuiusmodi in hac vita obuenit mortalibus notio Dei, nisi ea quæ speciatim contigit notio, qua vniuersę in terris religiones, ab ea quæ veram profitetur rationem, religione, falsa plane opinione; a se autem inuicem, falsę opinionis diuersitate differũt? Quod si ita est, non equidem secũdum respondentis rationem, hic animis cognitio Dei contingit, sed magis ignoratio: siquidem non vniuersali Dei cognitione, quæ ipsis insit, inter se differunt religiones; sed ea potius quæ hic eis pro se cuiq; speciatim obuenit. *Itaque si in hac vita mortales Deum nosse queunt, nihil eis quidquam summi mali hic versantibus obuenit. Etenim ignorantibus, vt dictum est, infidelis natura vitio proprio Dei ignoratio euenit.* Duobus dictis, quæ se inuicem tollunt, complicatis respondẽs in responsione sua illud posuit: *Si homines in hac vita Deum cognoscere possunt, nullum eis contingit summum malum.* & illud; *Ignorantibus infidelis natura vitio proprio ignoratio Dei obuenit.* Et summum malum quod priore eiecit, id posteriore induxit dicto. Siquidem summum malum est, duplicata impietate in singularem & verum Deum impium esse: ipsum scilicet ea quam essentia obtinet, defraudando maiestate: eos autem qui dii non sunt, illius gloria falso honorando. quod profecto ad maliciam summam nihil facit reliqui.

πάντες γὰρ ὅτι ἔστι Θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ· εἰπὼν ὅτι καὶ ἐνταῦθα δύνανται οἱ ἄνθρωποι γινώσκειν τὸν Θεόν· καὶ τούτου εἰς ἀπόδειξιν παρέθετο τὴν πίστιν τῶν ὀρθοδόξων λεγουσῶν αὐτὸν τὸν Θεὸν καταπεληλυθέναι καὶ ἐγνῶσθαι τοῖς ἀνθρώποις:- ἀλλ᾽ εἰ μὲν ἀληθὲς ὅτι τῇ οἰκείᾳ λήθῃ πάσχει ἡ ψυχὴ τὸ ἀγνοεῖν τὸν Θεόν, δηλονότι ψευδές τό, Οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ Θεοῦ· πάντες γὰρ ὅτι ἔστι Θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ:- τίς δὲ ἦν χρεία τοῦ παραγενέσθαι ταῖς ἐνταῦθα ψυχαῖς γνῶσιν τοῦ Θεοῦ, πάντων γινωσκόντων τὸν Θεὸν καὶ ὁμολογούντων κοινῇ ἐννοίᾳ; τὸ δέ, Καὶ ἐνταῦθα ὁρῶμεν ἀνθρώπους γινώσκοντας τὸν Θεόν:- περὶ τίνων λέγει ἀνθρώπων; εἰ μὲν περὶ τῶν ἐγνωκότων τὸν Θεὸν κατελθόντα καὶ γνωρισθέντα αὐτοῖς κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων, ἀληθὴς ὁ λόγος· ὁρῶμεν γὰρ αὐτούς. πῶς δὲ ὁ τῇ τοῦ Θεοῦ πρὸς ἀνθρώπους παρουσίᾳ ἀποδείξει χρησάμενος τοῦ δυνατὸν εἶναι τοῖς ἀνθρώποις καὶ ἐνταῦθα γνῶναι Θεόν, αὐτὸς ἀπιστεῖ τοῖς παρ᾽ αὐτοῦ ῥηθεῖσι περὶ τῆς τοῦ κόσμου ἀνακτίσεως; ἡ γὰρ ἄπιστος ἀπόδειξις πίστιν οὐ δείκνυσι τοῦ εἰς δεῖξιν προκειμένου. εἰ δὲ μὴ τοὺς ἐκ διδασκαλίας τοῦ κατελθόντος Θεοῦ ἀνθρώπους λέγει ἐνταῦθα ἐγνωκότας τὸν Θεόν, ψευδὴς ὁ λόγος ὁ λέγων, Ὁρῶμεν ἀνθρώπους ἐνταῦθα ἐγνωκότας τὸν Θεόν:- ἐγὼ γὰρ τούτους οὐχ ὁρῶ. καὶ εἰ οὐκ ἔστιν ὅλως ἄγνοια περὶ Θεοῦ· πάντες γὰρ ὁμολογοῦσι κοινῇ ἐννοίᾳ· ποία γνῶσις τοῦ Θεοῦ ἐνταῦθα παραγίνεται τοῖς ἀνθρώποις, εἰ μὴ ἡ ἰδικὴ γνῶσις, καθ᾽ ἣν πᾶσαι αἱ οὖσαι ἐπὶ γῆς θρησκεῖαι, τῆς μὲν τὸν ἀληθῆ λόγον πρεσβευούσης θρησκείας, ἁπλῶς τῷ ψεύδει, ἀλλήλων δὲ ταῖς διαφοραῖς τοῦ ψεύδους διαφέρουσιν; ἀλλ᾽ εἰ τοῦτο οὕτως ἔχει, οὐκ ἄρα κατὰ τὸν λόγον τοῦ ἀποκρινομένου παραγίνεται ταῖς ἐνταῦθα ψυχαῖς γνῶσις Θεοῦ, ἀλλὰ μᾶλλον ἡ ἄγνοια, εἴγε μὴ τῇ καθόλου γνώσει τοῦ Θεοῦ οὔσῃ ἐν αὐταῖς ἀλλήλων διαφέρουσιν αἱ θρησκεῖαι, τῇ ἰδικῇ δὲ μᾶλλον τῇ ἐνταῦθα παραγινομένῃ αὐταῖς. Εἰ τοίνυν δυνατόν ἐστιν ἐνταῦθα τοὺς ἀνθρώπους ὄντας γινώσκειν τὸν Θεόν, οὐδὲν αὐτοῖς μέγιστον κακὸν συμβαίνει ἐκ τοῦ ἐνταῦθα εἶναι. τοῖς ἀγνοοῦσι γάρ, καθὼς εἴρηται, ἐκ τῆς οἰκείας ἀπίστου φύσεως τὸ ἀγνοεῖν τὸν Θεὸν συμβαίνει:- Δύο φωνὰς ἀλλήλων ἀναιρετικὰς συμπλέξας ὁ ἀποκρινάμενος, ἔθηκεν ἐν τῇ ἑαυτοῦ ἀποκρίσει, τό, Εἰ δυνατὸν τοὺς ἀνθρώπους ἐνταῦθα ὄντας γινώσκειν τὸν Θεόν, οὐδὲν αὐτοῖς μέγιστον συμβαίνει κακόν:- καὶ τό, Τοῖς ἀγνοοῦσιν ἐκ τῆς οἰκείας ἀπίστου φύσεως συμβαίνει τὸ ἀγνοεῖν τὸν Θεόν:- καὶ τὸ μέγιστον κακὸν ὃ ἐξέβαλε διὰ τῆς πρώτης φωνῆς, τοῦτο διὰ τῆς δευτέρας εἰσήγαγε φωνῆς· εἰ μέγιστόν ἐστι κακὸν τὸ κατὰ διπλῆν ἀσέβειαν ἀσεβεῖν εἰς τὸν ὄντως ὄντα Θεόν, αὐτὸν μὲν ἀποστερεῖν τῆς κατ᾽ οὐσίαν δόξης, τοὺς δὲ οὐκ ὄντας θεοὺς τῇ ἐκείνου δόξῃ ψευδῶς τιμᾶν· ὅπερ ὑπερβολὴν οὐδεμίας ἀπολέλοιπε κακίας. π

Illud

δὲ, διὰ τὸ δυνατὸν εἶναι ἀνθρώποις ἐν πίστει οὖσι γινώσκειν τὸν Θεὸν, μηδὲν αὐτοῖς μέγιστον συμβαίνειν κακὸν, τοῦτο οὐκ ἔστι τοῦ μεγίστου κακοῦ ἀναίρεσις, ἀλλ᾽ ἐπίτασις· ὅτι καὶ ἐν τῷ δυνατῷ ἀδυνατοῦσιν
318 οἱ ἄνθρωποι ἐκ τῆς οἰκείας ἑκουσίου ἀπιστίας, καὶ δυνάμενοι κατὰ ἁπλῆν εὐσέβειαν σώζουσαν ἀνθρώπων εὐσεβεῖν, προτιμῶσι ταύτης τὴν διπλῆν ἀσέβειαν· ἣν μὴ λέγειν μέγιστον κακὸν, τῶν ἀτοπωτάτων ἐστίν. „Εἰ δὲ ὡς καὶ συγχωρήσει, ὅπερ ἄτοπον, μέγιστον εἶναι κακὸν τὰ ἐν πάθει, καὶ κάλλιον ὑπάρχειν τὸ μὴ εἶναι τὰ τῇδε ἢ εἶναι· εἰ μὲν λέγει κακὰ πεποιηκέναι τὰ τῇδε τὸν δημιουργὸν δι᾽ ἀσθένειαν, ἀνοηταίνει, τὴν τοῦ Θεοῦ δύναμιν φάσκων μὴ καταλαμβάνειν πάντα. εἰ δὲ δυνάμενος ποιῆσαι καλὰ τὰ τῇδε συνεχώρησεν ἑτέροις κακὰ ποιεῖν, καὶ τοῦτό ἐστι κατηγόρημα τοῦ Θεοῦ. ὁ γὰρ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸς δρᾷ. Εἰ κατὰ τὰ ἐν τοῖς ἀνωτέρω εἰρημένα συμβαίνει τοῖς ἀγνοοῦσι τὸν Θεὸν τὸ ἀγνοεῖν τὸν Θεὸν ἐκ τῆς οἰκείας ἀπίστου φύσεως, ὅπερ ἐστὶ μέγιστον ὁμολογούμενον κακὸν, πῶς νῦν τοῦτο κατὰ τὴν ἄτοπον συγχωρεῖ συγχώρησιν ὁ ἀποκρινάμενος; ἀλλ᾽ εἰ μὴ τοῦτο, ἀλλ᾽ ἕτερον μέγιστον κακὸν κατὰ τὴν ἄτοπον συγχωρεῖ συγχώρησιν, ἀλλ᾽ οὐ καθ᾽ ἡμᾶς ἐστὶν ἐκεῖνο τὸ μέγιστον κακὸν, ἀλλὰ κατὰ τοὺς Μανιχαίους· καθ᾽ ἡμᾶς γὰρ καλὰ τὰ τῇδε πάντα, ὡς τὸν μέγιστον τῶν ἀγαθῶν ἔχοντα δημιουργόν· καὶ μέγιστον κακὸν κατ᾽ οὐσίαν οὐδέν ἐστιν ἐν αὐτοῖς, οὔτε κατὰ τὴν ἐνέργειαν τοῦ κατ᾽ οὐσίαν, ἀλλὰ κατὰ τὴν ἑκούσιον προαίρεσιν τῶν ἀνθρώπων, τὸ ψεῦδος προτιμώσαν τῆς ἀληθείας, κατὰ τὴν προειρημένην διπλῆν ἀσέβειαν. ἣν διορθούμενος ὁ τοῦ κόσμου δημιουργὸς καὶ Θεὸς, ἔταξε τὴν ἡμέραν καθ᾽ ἣν πάντων τῶν ἐν τῷ κόσμῳ ἐξ ἀπιστίας τε καὶ ἀπειθείας τοῦ Θεοῦ κακῶν ποιεῖ τὴν ἀναίρεσιν, κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων τῶν ἐν πίστει ἐπεγνωκότων τὸν Θεὸν, καὶ τὴν μαρτυρίαν τοῦ ἀποκριναμένου. οὐκ ἐχρῆν οὖν τὸν ἀποκρινάμενον πρὸς τὸ καθ᾽ ἡμᾶς μέγιστον κακὸν ἔχοντα τὸν λόγον, πρὸς τὸ κατὰ τοὺς Μανιχαίους μέγιστον κακὸν ἀποτείνεσθαι. ἀγνοίας γὰρ τοῦτο σημεῖον, καὶ ἀπορίας ἐλέγχου, καθὰ εἴρηται. συγχωρεῖ δὲ ἡμᾶς πράττειν ἃ ἑκουσίως αἱρούμεθα κακὰ, οὐ διὰ τὴν ἀσθένειαν τῆς αὐτοῦ δυνάμεως, ἀλλ᾽ ἵνα τὸ ἡμῶν αὐθαίρετον, καὶ τὸ αὐτοῦ μακρόθυμον δειχθῇ· ὧν χωρὶς οὔτε ἡμεῖς ἄνθρωποι, οὔτε αὐτὸς ἀγαθὸς ἐνεδέχετο εἶναι ἐπὶ τῆς παρούσης καταστάσεως.

„Εἰ δὲ αὐτός ἐστιν ὁ Θεὸς ὁ ποιήσας τὰ τῇδε, δῆλον ὅτι τοῦ αὐτοῦ Θεοῦ μένοντος, καὶ ἐς ὕστερον καὶ ἀεὶ ταῦτα ἔσται. ἃ γὰρ πάλαι ἠδύνατο, καὶ νῦν δύναται· εἰ δὲ νῦν πλέον τι δύναται παρὰ τὸ πρὸ τοῦ, ἔγχρονος αὐτοῦ ἔσται ἡ τοιαύτη δύναμις· ὅπερ ἄτοπον

Illud autem, eo quod homines hoc in mundo Deum nosse possint, nihil ipsis contingere summi mali, non modo non tollit verumetiam intẽdit summum malum, propterea quod in eo quoque quod præstare queant homines, voluntaria sua infidelitate, ad id præstandum reddantur inualidi, & cum possint simplici veri cultus Dei pietate, quæ homines saluat, pii esse, duplicatam ei præferant impietatem. quã summum malum non dicere, longe absurdissimum est. Quod si quis etiam côcedat, quod quidem est absurdũ, res hic humanas in ratione esse mali summi, præstabiliusque esse, nõ exstare res hasce quam exstare: si quidem dicat, male eas Opificẽ condidisse per infirmitatem, mẽte captus sit, Dei potentiam non complecti omnia dicens: sin, cum res hasce bonas facere potuerit, aliis, vt malas facerent, permisisse alleget; fuerit & hæc Dei culpatio. nã qui inhibere potest, atq; id despicit, ipsemet reuera facit. Si, iuxta ea quæ superius sunt dicta, ignorantib. Deũ contingit vt Deum infideles naturæ vitio proprio nõ norint; quod certe ex professo summi est mali. quomodo id nunc per absurdam cõcedit concessionem respondens? at si nõ hoc ipsum quidem, at certe aliud summũ malum per absurdam cõcedit concessionem. Sed nõ nostro iudicio illud est summum malum, verum de Manichæorum sententia. Nostra certe sententia in terris omnia bona sunt, vt quæ summum bonorum habeant opificem & auctorem, & summi substãtia mali in eis nihil est: ac ne operatione quidem eius quod substantia sit, verum voluntario hominum consilio & instituto, mendacium veritati præferẽtium, iuxta duplicatam quæ dicta est impietatem. Quam corrigens mundi fabricator & Deus, diem constituit, in qua cunctorum in mundo per infidelitatem & rebellionem aduersus eum patratorum malorum instituit abrogationem, secundum orthodoxorum, qui hic Deum cognouerunt, fidem atque professionem, & ipsius respondentis testificationem. Itaque is cum ad summum, sententia nostra, malum responderet, ad id quod secundum Manichæos est, summum malum intendere animum non debuit. nam hoc ignorantiæ & confutationis inopiæ est indicium, prout est dictum. Permittit quidem Deus, quæ sponte nostra deligimus, vt faciamus mala; non per potestatis suæ imbecillitatem, sed vt tum arbitrii nostri libertas, tũ lenitas eius & lõganimitas ostẽdatur: sine quib. neque nos homines neque ipse bonus esse posset, in præsenti rerum statu. *Sin ipse Deus est qui res hasce condidit, certum fuerit, cum Deus idem maneat, eas quoque easdem & posthac & semper fore. quæ enim dudum potuit, nunc quoque potest. Quod si nunc prolixius quidquam potest quam antea, temporaria erit eiuscemodi potentia eius: quod sane absurdum est.*

nam quod temporarium, idem corruptibile eſt. De quibus rebus dicitur, *Qui fecit*, de eiſdē etiam dicitur *Fecit*, & *Faciet*: & tamquam eorum quæ pari inter ſe ſunt poteſtate & æquipollentia, libera eſt ipſorū tranſumptio. Naturali autem neceſsitate verbum *Qui fecit*, præcedit verbum *Faciet*: quæ verba duarum temporis extremitatum ſunt notæ. Porro qui duas temporis habet extremitates, id eſt præteritum & futurum; eum neceſſe etiam eſt id quod inter temporis extrema medium eſt habere, hoc eſt præſens. Et cum verbum *Qui fecit*, ſingularem obtineat temporis ſignificationem, neceſſario quoque Deus, qui res haſce fecit, iuxta reſpōdentis dictum, in tempore eas fecerit. Verum qui has fecit, corruptibiles & incorruptibiles fecit: rerū namq; iſtarum hæ partes ſunt. Quapropter patet, ſecundum rationem quidem, reſponſi auctorem de Deo poſuiſſe, *Qui fecit*; præter rationem autem verbis *Temporaria* & *Temporarium*, corruptibilia ab incorruptibilib. diſtinxiſſe: cū ea verbo *Qui fecit*, inter ſe diſtincta non ſint; ſiquidem & corruptibilia & incorruptibilia fecit. Si ergo qui dicit de Deo, *Faciet*, reſtitutionem ſcilicet, aſſumptione tēporariæ potētiæ ſic loquitur: ſane quidē & qui de eo dicit, *Qui fecit*, aſſumptione tēporariæ potētiæ dicit: ſiquidem verbū *Qui fecit*, vbique præcedit verbum *Faciet*. Sin, qui fecit, nō aſſumptione fecit temporariæ potentiæ; nō vtique etiā faciet temporariæ potentiæ aſſumptione. *Sin, cum olim prohibere potuerit ſummum malū, non prohibuerit, inuidus fuerit: quod certe vel imaginari ſaltem, impium eſt. Idcirco ipſum eūdem in eiſdem permanentem, eadem facere neceſſe eſt.* Homines per ignorationem Dei, ſi verum non norint Deum, multifariam impios eſſe, in his quæ ſupra dicta ſunt, oſtendimus. aut enim Deum abolent, maieſtate eum ſua priuantes, & eos qui dii non ſunt, nominibus & rebus ipſius falſo honorantes: aut mundi opificium & prouidentiam diſſidio ſubiectam eſſe ponūt, opificibus inter ſe pugnantibus: aut nomine ingeniti, quod ſoli cōgruit architecto mundi Deo, partes mundi nominant, atq; abſque opificio Opificis nomē Deo obiiciunt. vt interim alias in hominibus maximorū malorum omittā ſpecies; quæ parem, ſeu potius maiorē in ſe habent impietatem, quam ea eſt quæ Deum inuidū imaginatur, impietas. Verumenimuero cum hæc ita ſint, & huiuſmodi inter homines ſumma mala; eam autē quæ a Chriſtianis deprædicatur, inſtaurationem, qua omniū in hominibus animæ iuxta & corporis fit abolitio malorū, reſpondens non credat: quomodo non eſt de ſententia eius, Deus inuidus? qui, cum poſsit inhibere inter homines, non inhibet ſumma mala; ſed in eodem rerum ſtatu manere eos ſinit, qui & in ipſum, & inter ſe inuicem, impietatem

τὸ γὰρ ἔγχρονον, φθαρτόν:- Ἐφ᾽ ὧν λέγεται τὸ ποιήσας, ἐπὶ τούτων λέγεται καὶ τὸ πεποίηκε, καὶ τὸ ποιήσει· καὶ ὡς ἰσοδυναμούντων ἀλλήλοις ἐστὶν αὐτῶν ἡ μετάληψις ἀκώλυτος· προηγεῖται δὲ τὸ ποιήσας τοῦ ποιήσει φυσικῇ ἀνάγκῃ· ἅτινά ἐστι σημαντικὰ τῶν δύο ἄκρων τοῦ χρόνου· τὸν δὲ ἔχοντα τὰ δύο ἄκρα τοῦ χρόνου, τουτέστι τὸ παρεληλυθὸς καὶ τὸ μέλλον, ἀνάγκη ἔχειν καὶ τὸ μεταξὺ τῶν ἄκρων τοῦ χρόνου, τουτέστι τὸ ἐνεστώς. καὶ ἐπειδὴ χρονικὴν ἔχει ἔμφασιν τὸ ποιήσας, ἐξ ἀνάγκης καὶ ὁ Θεὸς ποιήσας τὰ τῇδε κατὰ τὴν φωνὴν τοῦ ἀποκριναμένου, ἐν χρόνῳ αὐτὰ πεποίηκεν· ἀλλὰ ποιήσας ὁ Θεὸς τὰ τῇδε, τὰ ἄφθαρτα, καὶ τὰ φθαρτὰ ἐποίησε· μέρη γὰρ ταῦτα τῶν τῇδε· διὸ δῆλον ὅτι εὐλόγως μὲν ἔθηκεν ὁ ἀποκρινάμενος ἐπὶ τοῦ Θεοῦ τὸ ποιήσας· ἀλόγως δὲ τῷ ἐγχρόνῳ τὰ φθαρτὰ τῶν ἀφθάρτων διέστειλε, τῶν τῇ τοῦ ποιήσας φωνῇ ἀλλήλων μὴ διαστελλομένων, εἴ γε ἐποίησε τὰ φθαρτὰ καὶ τὰ ἄφθαρτα. εἰ τοίνυν ὁ λέγων περὶ τοῦ Θεοῦ τὸ ποιήσει, τὴν ἀνάκτισιν κατὰ πρόσληψιν λέγει τῆς ἐγχρόνου δυνάμεως, ἔσται ἄρα καὶ ὁ λέγων περὶ αὐτοῦ τὸ ποιήσας, κατὰ πρόσληψιν λέγων τῆς ἐγχρόνου δυνάμεως, εἴγε ἡγεῖται πανταχοῦ τὸ ποιήσας τοῦ ποιήσει· εἰ δὲ ποιήσας οὐ κατὰ πρόσ- 219
ληψιν ἐποίησε τῆς ἐγχρόνου δυνάμεως, οὐδ᾽ ἄρα ποιήσει κατὰ πρόσληψιν τῆς ἐγχρόνου δυνάμεως.

Εἰ δὲ δυνάμενος καὶ πάλαι κωλῦσαι τοῦτο τὸ μέγιστον κακόν, οὐκ ἐκώλυσε, φθονερὸς ἂν εἴη· ὅπερ ἀσεβὲς ἐστὶ φαντάζεσθαι· δεῖ οὖν τὸν αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα, τὰ αὐτὰ ποιεῖν:- Ὅτι ἕνεκεν ἀγνοίας Θεοῦ πολυτρόπως ἀσεβοῦσιν οἱ ἄνθρωποι, οἱ τὸν ὄντως ὄντα Θεὸν ἀγνοοῦσιν, ἐν τοῖς ἀνωτέρω ἐδείξαμεν. ἢ γὰρ ἀθετοῦσι τὸν Θεόν, ἀποστεροῦντες αὐτὸν τῆς ἰδίας δόξης, καὶ τοὺς οὐκ ὄντας θεοὺς τοῖς ἐκείνου ὀνόμασι καὶ πράγμασι ψευδῶς τιμῶσιν· ἢ τὴν δημιουργίαν τε καὶ πρόνοιαν τοῦ κόσμου ὑποτιθέασιν εἶναι, μαχομένων ἀλλήλοις δημιουργῶν· ἢ τῷ τοῦ ἀγεννήτου ὀνόματι μόνῳ πρέποντι τῷ δημιουργῷ τοῦ κόσμου Θεῷ, ὀνομάζουσι τὰ μέρη τοῦ κόσμου, καὶ χωρὶς τοῦ δημιουργεῖν προστιθέασι τῷ Θεῷ τὸ ὄνομα τοῦ δημιουργοῦ. ἵνα παραλείψω τὰ ἄλλα ἐν ἀνθρώποις εἴδη τῶν μεγίστων κακῶν, τὰ ἴσην ἢ καὶ μείζονα ἔχοντα ἀσέβειαν τῆς ἀσεβείας τῶν φθονερὸν τὸν Θεὸν φανταζομένων. ἀλλ᾽ εἰ ταῦτα μὲν καὶ τὰ τοιαῦτά ἐστιν ἐν ἀνθρώποις μέγιστα κακά· τὴν δὲ ὑπὸ Χριστιανῶν κηρυττομένην ἀνάκλησιν, ἐν ᾗ γίνεται πάντων τῶν ἐν ἀνθρώποις κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα κακῶν ἡ ἀναίρεσις, ὁ ἀποκρινάμενος ἀπιστεῖ· πῶς οὐκ ἔστι κατ᾽ αὐτὸν ὁ Θεὸς φθονερός, ὅς, δυνάμενος κωλῦσαι τὰ ἐν ἀνθρώποις μέγιστα κακά, οὐ κωλύει, ἀλλ᾽ ἐπὶ τῶν αὐτῶν μένειν ἀεὶ ποιεῖ τοὺς εἰς αὐτόν τε καὶ εἰς

ἀλλήλους ἀποβουλῶντας; τίνος δὲ εἵνεκεν ἀπιστεῖ ὁ ἀποκρινάμενος τοῦ κόσμου τὴν ἀνάκτισιν; διὰ τὴν ἀδυναμίαν τοῦ ποιοῦντος, ἢ διὰ τὸ ἀπρεπὲς τοῦ ἔργου; ἀλλ' εἰ μὲν διὰ τὴν ἀδυναμίαν τοῦ ποιοῦντος, ἔσται ὁ Θεὸς οὔτε ποιητής· ὧν γὰρ τῆς μεταποιήσεως ὁ Θεὸς οὐκ ἔχει τὴν δύναμιν, τούτων οὐδὲ τῆς ποιήσεως ἔχει· ἑπόμενα γάρ ἐστι ταῦτα ἀλλήλοις, τιθέμενα, ἢ ἀναιρούμενα. εἰ δὲ διὰ τὸ ἀπρεπὲς τοῦ ἔργου, ἔσται ἄρα τὸ κρεῖττον ἔργον μὴ πρέπον αὐτῷ· ὅπερ ἄτοπον· τὸ λέγειν φθαρτοὺς μὲν ἀνθρώπους πρέπειν αὐτῷ ποιεῖν, ἀφθάρτους δὲ μὴ πρέπειν αὐτῷ ποιεῖν.

Ἐρώτησις Χριστιανικὴ πρὸς τοὺς Ἕλληνας β'.

Εἰ ἀδύνατον εἶναι Θεὸν τὸν μηδὲν πεποιηκότα, πῶς ἐστὶ Θεὸς, εἰ ὁ κόσμος ἀγέννητος, καθά τισι δοκεῖ;

Ἀπόκρισις Ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Τὸ λέγειν ἀδύνατον εἶναι Θεὸν τὸν μηδὲν πεποιηκότα, ἄτοπόν ἐστι. πάλιν γὰρ κἀνταῦθα ὁ αὐτὸς ἐφαρμόζει λόγος, ὡς οὐδὲν ἔγχρονόν ἐστι παρὰ τῷ Θεῷ. εἰ δὲ μηδὲν ἔγχρονόν ἐστι παρὰ τῷ Θεῷ, δῆλον ὡς οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἁρμόζει ἐπιφέρειν τῷ Θεῷ· εἰ δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πεποιηκέναι τὸν Θεὸν τὸ ὁποιονοῦν οὐχ ἁρμόττει λέγειν. Τί οὖν; φαίης ἀνενέργητόν τι τὸν Θεὸν ἡμᾶς λέγοντας ἁμαρτάνειν; ἀλλ' οὐ τοῦτο φαμὲν, ἀλλ' ὅτι οὐ πεποίηκε μὲν ὁ Θεὸς, οὔτε ποιεῖ, οὔτε ποιήσει ἐν χρόνῳ· οὐδὲν γὰρ μᾶλλον πεποίηκεν ἢ ποιεῖ, οὐδ' αὖ ποιεῖ ἢ ποιήσει· ἀλλὰ τό τε παρελθὸν παρὰ τῷ Θεῷ ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι· ὡς οὐδὲν μὲν ῥευστὸν ἔχοντος τοῦ Θεοῦ, ἀεὶ δὲ τὰ αὐτὰ ποιοῦντος, διὰ τὴν τελείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν τε καὶ ἐνέργειαν. ποιεῖ τοίνυν τὸν κόσμον ἐν αὐτῷ τούτῳ ὅπερ ἐστὶ, τὴν κίνησιν αὐτοῦ ἄπαυστον παρέχων, τῷ ἐλλάμπειν αὐτὸν δι' αἰῶνος. ὥστε πεποίηκε μὲν οὐδὲν, οὔτε ποιήσει· ποιεῖ δὲ ἀεὶ ὁ αὐτὸς τὸ αὐτὸ, μὴ ἔχων ἀρχὴν τῆς ποιήσεως, ἵνα μὴ καὶ τέλος· ὡς εἴγε ἀρχὴν ἔχουσι καὶ τελευτὴν αἱ ἐνέρ-
220 γειαι αὐτοῦ, φθαρτὸς ἔσται ὁ Θεὸς τῇ ἐνεργείᾳ· ὅπερ ἄτοπον. ἔσται γὰρ καὶ ἡ δύναμις αὐτοῦ μεταβλητὴ, ὡς ἄλλοτε ἄλλαις κεχρημένος ἐνεργείαις· καὶ ἡ οὐσία σαλευθήσεται, ἄλλοτε ἄλλας γεννῶσα δυνάμεις, καὶ μὴ μένουσα ἐν ταῖς αὐταῖς. ὥστε εἰ ταῦτα διὰ πάντων, δῆλον ὡς ὁ Θεὸς ἔσται μεταβλητὸς οὐσίᾳ, δυνάμει, καὶ ἐνεργείᾳ· ὅπερ ἄτοπον. ὁ αὐτὸς τοίνυν μένων, οὐδὲν ἔχει ἔγχρονον. ποιεῖ τοίνυν τὸν κόσμον τάττων αὐτὸν ἀεί· καὶ ὁ κόσμος τῷ μὲν ἀεὶ φρουρεῖσθαι γίνεται, τῷ δὲ ἀεὶ εἶναι ὁ αὐτὸς, ἀγέννητος ὑπάρχει.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης.

" Τὸ λέγειν ἀδύνατον εἶναι Θεὸν τὸν μηδὲν πεποιη-
" κότα, ἄτοπόν ἐστι. πάλιν γὰρ κἀνταῦθα ὁ αὐτὸς

pietatem patrant. Quanam autẽ gratia, responsi auctor mundi nõ credit restitutionem? vtrumne propter conditoris impotentiam, an propter operis indignitatem? Quod si ob conditoris impotentiam, non fuerit etiam Deus cõditor. quarum enim rerum restitutionis non obtinet Deus potestatem, earum quoque constitutionis non obtinet virtutem Consequuntur nãque hęc inter sese mutuo, seu ponantur, siue tollantur. Sin propter rei indignitatẽ, præstantius ergo opus indignum Deo fuerit; quod affirmare absurdum est; nempe conueniens esse Deo, homines efficere corruptibiles; inconueniens vero esse, efficere incorruptibiles.

QVÆSTIO CHRISTIANA ad Græcos secunda.

Si fieri non potest vt Deus sit qui nihil fecerit: quomodo Deus est, si mundus ingenitus est sicuti quibusdam videtur?

RESPONSIO GRÆCA AD Christianos.

Fieri nõ posse dicere, vt Deus sit qui nihil fecerit, absurdum est. Rursus enim huc verbum idem quadrat, apud Deum non esse tẽporaneum quidquam. Quod si nihil est apud Deum temporaneum, certũ fuerit, neq; præteritum competere tempus, vt Deo attribuatur Sin hoc nõ competit, etiam Deum fecisse rem quamcumque tãdem, dicere non cõueniet. Quid ergo? pec care nos dixeris qui Deum ociosum dicamus? Verum nõ hoc affirmamus, sed Deũ neq; fecisse, neq; facere, neq; factu rũ esse in tẽpore. Neq; enim quidquã fecit magis quam facit; neque rursus facit quã faciet. Sed & præteritum apud Deum in præsenti, & futurum in præterito est: Deo quippe nihil fluxi obtinẽte, sed eadem semper faciente, propter perfectam eius & immu tabilem potentiam & actum. Itaque mũdum efficit in eo ipso quod est. (mundus scilicet) motum ei perennem suppeditãs, eo quod eum per æuũ luce illustrat Quocirca nihil quidem effecit, neque efficiet Efficit autem idem ipse semper idem, non hãbẽs facturæ suæ exordium, vt neque finem habeat: eo quod si actus eius principium habeant & exitũ, corruptibilis actu Deus fuerit: quod absurdum est Quin & potẽtia eius mutabilis erit, vt alias alio indigens & vtens actu: & substantia concutietur, alias aliter generans facultates, ac non in eisdem consistens. Quapropter si hæc sint per omnia, liquidum fuerit, Deũ fore mutabilẽ substantia potentia & actu: quod est absurdũ. Itaque idẽ ille manens, nihil habet temporarium. Efficit ergo mũdum, semper eum ordinans: & mundus eo quod semper custodiatur, gignitur. Eo autem quod idem semper sit, ingenitus est.

CONFVTATIO NON RECTE INSTITVTÆ RESPONSIONIS.

Fieri non posse dicere, vt Deus sit qui nihil fecerit, absurdum est. Rursus enim huc verbum

idem quadrat; *Apud Deum esse temporaneum quidquam*. Si propterea absurdum est, de a Deo dicere verbum *Fecit*, quod apud eum nihil est temporaneum: eiusdem absurditatis fuerit & verbum *Facere*. non minus temporarium quam verbum *Fecit*. Quonam igitur modo respondens dicit, non competere Deo verbum *Fecit*, competere autem verbum *Facit*? Ac si verbum *Qui fecit*, idem valet quod verbum *Fecit*: cōsimiliter autem & verbum *Facit*, idē quod verbum *Faciet*, valet: eorū vero quæ pari sunt valore, & æquipollent, libera est trāsumptio: quomodo in prima responsione posuit respondens de Deo verba *Qui fecit & facit*, & nunc ab eo vtraque tollit? Et verbum *Qui fecit*, de Deo ita posuit: *Ipse Deus est*, inquit, *qui res hasce fecit*. verbum autem *Facere*, ita: *Idcirco*, inquit, *ipsum eundem in eisdem permanentem eadem facere necesse est*. Abolens autem in responso secundo ea quæ in primo sunt posita, sic ait: *Absurdum est dicere, Deum esse qui nihil fecerit*. & rursum: *Neque fecit Deus neque facit, neque facturus est in tempore*. Fortasse autem vt ipse contra seipsum diceret, per propriam ipsius obliuionem est factum: quæ, sicuti dixit, hominibus ignorantiam affert. Nos vero ea quæ sequuntur, inquisitione perpendamus. *Nihil*, inquit, *apud Deum temporaneum est*. ideo certum fuerit, neque præteritum cōpetere tempus, vt Deo attribuatur. Sin hoc non competit, etiam Deum fecisse tē quamcumque tandem, dicere non conueniet. Porro absurde se illud posuisse, *Apud Deum nihil esse temporale*, (ad quod probandum eis quæ deinceps adduxit, vsus est) ipse seipsum coarguit responsionis auctor in prima respōsione, vbi dixit. *Sin ipse Deus est qui res hasce fecit; certum fuerit, cum Deus idem maneat, eas quoque eadem & posthac & semper fore. quæ enim dudum potuit, nunc quoq; potest*. Quod si nihil est tēporale apud Deū, liquidum fuerit, neque *qui fecit* esse, neque *facit*, neque *prius & posterius*, neque *dudum & nunc*, neque *potuit & potest*. Nam *qui fecit*, & *prius*, & *dudum*, & *potuit*, præteriti tēporis sunt significationes: & *facit*, & *posthac*, & *nunc*, & *potest*, præsentis & futuri temporis sunt notæ. Sin hæc sic de Deo posita designāt & ponunt vniuersam facturā Dei temporariam esse apud eum: certum est, inconuenienter ab eo positum esse, *Nihil esse apud Deum temporaneum*. Hoc vero, vt quod absurde positum sit, sublato: necessario simul tollitur hoc etiam, non competere in Deum verbum *Fecit*. In re namque qualibet, aut affirmationem verā esse necesse est, aut negationem. Porro si ponas competere in Deum verbum *Fecit*: di-

ἐφαρμόζει λόγος, ὡς οὐδὲν ἔγχρονόν ἐστι παρὰ τῷ Θεῷ:- Εἰ διὰ τὸ μηδὲν ἔγχρονον εἶναι παρὰ τῷ Θεῷ, ἄτοπόν ἐστι τὸ λέγειν περὶ αὐτοῦ τὸ πεποίηκε, τῆς αὐτῆς ἐστὶν ἀτοπίας, καὶ τὸ ποιεῖν ἔγχρονον, ὡς τὸ πεποίηκε. πῶς οὖν ἀνάρμοστον μὲν λέγει ὁ ἀποκρινάμενος τῷ Θεῷ τὸ πεποίηκεν, ἐφάρμοστον δὲ τὸ ποιεῖ; καὶ εἰ μὲν τὸ ποιήσας ἴσον δύναται τῷ πεποίηκεν, ὡσαύτως δὲ καὶ τὸ ποιεῖ τῷ ποιήσει· τῶν δὲ ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις· πῶς ἐν μὲν τῇ πρώτῃ ἀποκρίσει ἔθηκεν ὁ ἀποκρινάμενος ἐπὶ τοῦ Θεοῦ τὸ ποιήσας καὶ τὸ ποιεῖ, νῦν δὲ ἀναιρεῖ ἀπ' αὐτοῦ ἀμφότερα, καὶ τὸ μὲν ποιήσας οὕτως ἔθηκεν ἐπὶ τοῦ Θεοῦ· "Ὁ αὐτός ἐστι, φησίν, ὁ Θεὸς ὁ ποιήσας τὰ τῇδε:- τὸ δὲ ποιεῖν οὕτως ἔθηκε· Δεῖ οὖν, φησί, τὸν αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα, τὰ αὐτὰ ποιεῖν:- ἀναιρῶν δὲ ἐν τῇ δευτέρᾳ ἀποκρίσει τὰ κείμενα ἐν τῇ πρώτῃ ἀποκρίσει, οὕτως φησίν, Ἄτοπον τὸ λέγειν Θεὸν τὸν μηδὲν πεποιηκότα:- καὶ πάλιν, Οὔτε πεποίηκεν ὁ Θεός, οὔτε ποιεῖ, οὔτε ποιήσει ἐν χρόνῳ:- ἀλλ' ἴσως τὸ αὐτὸς ἑαυτῷ ἀντιλέγειν κατὰ τὴν οἰκείαν λήθην ὑπέμεινε, καθ' ἥν, ὡς εἶπε, συμβαίνει τοῖς ἀνθρώποις τὸ ἀγνοεῖν. ἐξετάσωμεν δὲ ἡμεῖς τὰ τούτων ἑξῆς. Οὐδέν, φησίν, ἔγχρονόν ἐστι παρὰ τῷ Θεῷ· δῆλον ὡς οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἁρμόζει ἐπιφέρειν τῷ Θεῷ. εἰ δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πεποιηκέναι τὸν Θεὸν τὸ οἱονοῦν οὐχ ἁρμόττει λέγειν:- Ἐν τούτοις τὸ ἄτοπον ὑποθέμενος ὁ ἀποκρινάμενος, ὡς οὐδὲν ἔγχρονον παρὰ τῷ Θεῷ, τὰ τῷ ἀτόπῳ ἐξ ἀνάγκης ἑπόμενα ὡς εὔλογα ἐπιφέρει· τὸ, Εἰ μηδὲν ἔγχρονον παρὰ τῷ Θεῷ, δῆλον ὡς οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἁρμόζει ἐπιφέρειν τῷ Θεῷ· εἰ δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πεποιηκέναι τὸν Θεὸν τὸ οἱονοῦν οὐχ ἁρμόζει λέγειν - ὅτι δὲ ἀτόπως ὑπέθηκε τὸ μηδὲν ἔγχρονον εἶναι παρὰ τῷ Θεῷ, οὗ πρὸς τὴν ἀπόδειξιν τοῖς ἑξῆς ἐπαγομένοις ἐχρήσατο, ἐλέγχει αὐτὸς ἑαυτὸν ὁ ἀποκρινάμενος, ἐν οἷς ἔφασκεν ἐν τῇ πρώτῃ ἀποκρίσει. Εἰ δὲ αὐτός, φησίν, ὁ Θεὸς ὁ ποιήσας τὰ τῇδε, δηλονότι τοῦ αὐτοῦ Θεοῦ μένοντος, καὶ εἰς ὕστερον καὶ ἀεὶ τὰ αὐτὰ ἔσται. ἃ γὰρ πάλαι ἠδύνατο, καὶ νῦν δύναται:- Εἰ τοίνυν μηδὲν ἔγχρονον ἐστι παρὰ τῷ Θεῷ, δῆλον ὅτι οὔτε τὸ ποιήσας, οὔτε τὸ ποιεῖ, οὔτε τὸ πρότερον καὶ ὕστερον, οὔτε τὸ πάλαι καὶ τὸ νῦν, οὔτε τὸ ἠδύνατο καὶ δύναται. τὸ γὰρ ποιήσας, καὶ τὸ πρότερον, καὶ τὸ πάλαι, καὶ τὸ ἠδύνατο, τοῦ παρεληλυθότος χρόνου ἐστὶ δηλωτικά· καὶ τὸ ποιεῖ, καὶ τὸ ὕστερον, καὶ τὸ νῦν, καὶ τὸ δύναται, τοῦ ἐνεστῶτος καὶ τοῦ μέλλοντος χρόνου ἐστὶ σημαντικά:- εἰ δὲ ταῦτα κείμενα ἐπὶ τοῦ Θεοῦ, σημαντικά τι ἐστι τοῦ ἔγχρονα γίνεσθαι τοῦ πάντα τὰ ποιήματα τοῦ Θεοῦ ἔγχρονα εἶναι παρ' αὐτῷ, δῆλον ὅτι ἀτόπως ὑπέθηκε τὸ, μηδὲν ἔγχρονον εἶναι παρ' αὐτῷ. τούτου δὲ ὡς ἀτόπως ὑποτεθέντος ἀναιρουμένου, συναναιρεῖται ἐξ ἀνάγκης καὶ τὸ μὴ ἁρμόττειν τῷ Θεῷ τὸ πεποίηκε. καὶ τούτου γὰρ ἀναιρεθέντος, ἐξ ἀνάγκης τίθεται τὸ τούτου ἐναντίον, τουτέστι τὸ ἁρμόζειν τῷ Θεῷ τὸ πεποίηκεν. ἐπὶ παντὸς γὰρ χρὴ ἢ τὴν φάσιν εἶναι ἀληθῆ, ἢ τὴν ἀπόφασιν. κειμένου δὲ τοῦ ἁρμόττειν τῷ Θεῷ τὸ πεποίηκεν, 221

ἀδύνατον

ἀδύνατον λέγειν Θεὸν τὸν μηδὲν πεποιηκότα· τοῦτο γάρ ἐστιν ἐκείνῳ ἑπόμενον. Τί οὖν; Φαίης ἀνενέργητον ἡμᾶς τὸν Θεὸν λέγοντας ἁμαρτάνειν; ἀλλ' οὐ τοῦτο φαμέν, ἀλλ' ὅτι Οὐ πεποίηκε μὲν ὁ Θεὸς οὐδέν, οὔτε ποιεῖ, οὔτε ποιήσει ἐν χρόνῳ· οὐδὲν γὰρ μᾶλλον πεποίηκεν ἢ ποιεῖ, οὐδ' αὖ ποιεῖ ἢ ποιήσει· ἀλλὰ τό τε παρελθὸν παρὰ τῷ Θεῷ ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι· ὡς οὐδὲν μὲν ῥευστὸν ἔχοντος τοῦ Θεοῦ, ἀεὶ δὲ τὰ αὐτὰ ποιοῦντος διὰ τὴν τελείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν τε καὶ ἐνέργειαν:- Ἀλλὰ τὸ φεύγειν μὲν τὴν ἁμαρτίαν λέγουσαν τὸν Θεὸν ἀνενέργητον, λέγειν δὲ περὶ αὐτοῦ τὸ οὔτε πεποίηκεν, οὔτε ποιεῖ, οὔτε ποιήσει ἐν χρόνῳ, εἰς τὴν αὐτήν ἐστιν ἁμαρτίαν ἐμπεσεῖν. εἰ γὰρ ἠβουλήθης ἁμαρτάνειν, καὶ λέγειν τὸν Θεὸν ἀνενέργητον, τί πλέον εἶχες λέγειν ὧν νῦν εἴρηκας, μὴ βουλόμενος ἁμαρτάνειν, καὶ λέγειν ἀνενέργητον τὸν Θεόν, τοῦ, μήτε πεποιηκέναι τὸν Θεόν, μήτε ποιεῖν, μήτε ποιήσειν; τῶν γὰρ ῥημάτων τῶν χρονικὴν ἔμφασιν δηλούντων καὶ ἐχόντων, ἐκ τῆς ἐνεργείας τοῦ Θεοῦ ἀναιρουμένων, εὑρεθήσεται ὁ Θεὸς ἀνενέργητος· διὸ οὔτε ποιητής. Εἰ μηδὲν ἔγχρονόν ἐστι παρὰ τῷ Θεῷ, δῆλον ὅτι οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἐστὶ παρ' αὐτῷ, οὔτε τὸ ἐνεστώς, οὔτε τὸ μέλλον. πῶς οὖν ὁ ἀποκρινάμενος, ἀναιρῶν ἀπὸ τοῦ Θεοῦ τὰ ἔγχρονα, τίθησιν ἐπὶ τοῦ Θεοῦ τὰ ἔγχρονα, καὶ φησίν, Ἀλλὰ τό τε παρελθὸν παρὰ τῷ Θεῷ ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι; τοῦτο δυεῖν τινῶν ἔχει τὴν ἔμφασιν. ἢ τοῦτο μὴ ὂν παρὰ τῷ Θεῷ ἐστιν ἐν τῷ μὴ ὄντι, ἢ τοῦτο ὂν παρὰ τῷ Θεῷ ἐστὶν ἐν τῷ ὄντι. ἀλλ' εἰ μὲν τὸ πρῶτον, ἔστιν ἀδύνατον· (τὸ γὰρ ἔν τινι εἶναι, ἢ μὴ εἶναι, τοῦ ὄντος ἐστίν) εἰ δὲ τὸ δεύτερον, ἔστι παρὰ τῷ Θεῷ τὸ μὴ ὂν ἐν τῷ ὄντι, τουτέστι τὸ παρεληλυθὸς τοῦ χρόνου ἐν τῷ ἐνεστῶτι τοῦ χρόνου. τούτου δὲ κειμένου, ἔλεγχος γίνεται τοῦ μὴ ὀρθῶς εἰρῆσθαι τὸ οὐδὲν ἔγχρονον παρὰ τῷ Θεῷ, τὸ παρεληλυθὸς ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι· ἅπερ ἐστὶν ἔγχρονα. καὶ εἰ ἐνήλλαξε τὸν τρόπον τοῦ πῶς ἐστι παρὰ τῷ Θεῷ τὰ τοῦ χρόνου μέρη, ἀλλ' ὅμως δέδωκεν εἶναι παρ' αὐτῷ τοῦ χρόνου τὸ παρεληλυθός, καὶ τὸ ἐνεστώς, καὶ τὸ μέλλον. Καὶ εἰ μὴ μᾶλλον τὸ πεποίηκε τοῦ ποιεῖ, οὐδ' αὖ τὸ ποιεῖ τοῦ ποιήσει· ἐπεὶ τίς ἦν χρεία τῆς τοῦ μᾶλλον ἀναιρέσεως ἀπὸ τῶν ποιήσεων τῶν κατὰ τὸ πεποίηκε, καὶ ποιεῖ, καὶ ποιήσει, ἀλλήλων διαφερουσῶν τῶν ποιήσεων, οὐκ οὐσῶν τῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον μὴ διαφερουσῶν ἀλλήλων; οὐδὲ γὰρ ἀναίρεσίς ἐστι τοῦ πεποιηκέναι τὸ μὴ μᾶλλον πεποίηκεν, ἢ ποιεῖ, ἀλλὰ θέσις μᾶλλον τοῦ πεποίηκεν. ἀλλὰ προδήλως πάντα ὅσα ἀνεῖλεν ἀπὸ τοῦ Θεοῦ τὰ ἔγχρονα ἐν τῷ προοιμίῳ τῆς δευτέρας ἀποκρίσεως, ταῦτα αὐτῷ κατέλιπεν ἐνταῦθα, Ὡς οὐδὲν ῥευστὸν ἔχοντος τοῦ Θεοῦ, ἀεὶ δὲ τὰ αὐτὰ ποιοῦντος, διὰ τὴν τελείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν τε καὶ ἐνέργειαν:- Ὁ ἀναιρῶν τὰ ἔγχρονα, οὐ τίθησι τὰ ἔγχρονα· πῶς

cere non posiis, Deum esse qui nihil fecerit. Hoc enim illud consequitur. *Quid ergo? peccare nos dixeris, qui Deum ociosum dicamus? Verum non hoc affirmamus, sed Deum neque fecisse, neque facere, neque facturum esse in tempore. Neque enim quicquam fecit magis quā facit; neque rursus facit quam faciet. Sed & præteritum apud Deum in præsenti, & futurum in præterito est: Deo quippe nihil fluxi obtinente, sed eadem semper faciente, propter perfectam eius & immutabilem potentiā & actum.* Sed enim fugere peccatum, quod Deum cessatorem esse dicat; & de eo affirmare, Neque fecisse, neque facere, neque facturum esse in tempore: in idem est incidere peccatū. Nam si velles peccare, & Deum ociosum esse dicere: quid posses amplius dicere, quam quod es proloquutus, cum peccare & Deum ociosum dicere noluisti; neque fecisse Deum, neque facere, neque facturum esse? Verbis namque quæ singularem temporis significationem denotāt & obtinent, ex actu Dei sublatis, reperietur Deus cessator, ac proinde neq; cōditor. Si nihil est apud Deum temporarium, nimirum neque præteritum tempus apud eum est, neque futurum. Quomodo igitur respondens, tollendo a Deo temporanea, ponit in Deo temporanea, & inquit; *Verum & præteritum apud Deum in præsenti, & futurum in præterito.* Hoc ipsum duorum quorundam habet significationem: aut eius, vt quod non sit, in eo quod itidem nō sit, apud Deum sit: aut eius, vt quod nō sit in eo quod sit, apud Deum sit. Si primum, impossibile id fuerit. vt enim in quopiam sit, vel non sit, eius est quod sit. Sin secundum, fuerit apud Deum id quod non sit, in eo quod sit: id est, præteritum temporis in præsenti temporis. Hoc autem posito, eius quod non recte est dictum, Nihil esse apud Deum temporale, confutatio fuerit: præteritum in præsenti, & futurū in præterito. quæ vtique temporalia sunt. Atque etiam si eum modum immutasset, quo modo sint apud Deū temporis partes: nihilominus tamen apud eum concederet esse temporis, præteritum, præsens, & futurum. Ac, si non magis fecit quam facit, neque rursum facit quam faciet: quidnam opus fuit verbi *magis* negatione in eis quæ iuxta verba *Fecit & Facit & Faciet*, inter se differunt, facturis: cum quæ iuxta verba *magis & minus*, inter se varient, facturæ nō sint? non enim verbi *Fecit*, verbum *non magis fecit*, aut *facit*, sublatio; sed verbi *Fecit*, potius positio est. Porro manifeste quæcumque a Deo in prooemio secundi responsi ademit temporalia, ea illi hic reliquit omnia: *Deo quippe nihil fluxi obtinente, sed eadem semper faciente, propter perfectam eius & immutabilem potentiam & actum.* Qui tēporaria tollit, non ponit temporaria. Quō

ergo, si nihil est de respondêtis sententia, apud Deum temporarium, Deus eadem facit? verbum enim *Facit*, mente concipi nõ potest extra præsens tempus. Quomodo vero perfectam obtinet Deus potentiam & actionẽ, si nulla interposita intermissione semper eadem facit? Nam si ob eam causam Motio imperfectus dicitur actus, quia continenter mouetur, & ad eius imitationẽ Deus quoque facit: imperfectus eius fuerit, & non cõsummatus actus. Absolutus enim actus seu operatio, in cõsummato, non in imperfecto perspicitur opere. Cæterum si propter imperfectam operationem & imperfectissimam rationem, respondens asserit, Deum nihil fecisse: in eo verus non fuerit, quod perfectam esse ait Dei operationem, nihil quidquam neque integro opere, neque parte eius consummantem. Sin opere non absoluto, fieri nequit vt Opificis perfecta sit opera: certum fuerit, neque Deũ obtinere perfectam operationem & actum, semper id quod fit facientem. *Itaque mundum effecit in eo ipso quod est, motum ei perennem suppeditans, eo quod illum, per seculum luce illustrat.* Sin suppeditatione motus Deus mundum efficit: satis constat, temporaneum eum efficere mundum. nõ enim absque tempore est motus, qui mũdo ad volutionem ipsius a Deo præbetur. Si igitur efficere præsentis est temporis, & motus temporaneus est: quomodo falsum non est, Nihil esse apud Deum temporaneum? Qui autem fieri potest vt mundus qui necdum factus sit, moueatur, nisi forte interea dum efficitur, sit: dum Deus quidem absque tempore efficit, mundus vero in tempore efficitur? [quod absurdũ est dicere] necesse namque est, sicut effector facit, ita quoque effectum effici absque tempore. Sin motus subministratione Deus mundum facit, & minus cõgruit vt de eo dicatur, mundũ eũ fecisse: nec ipsi etiam mũdo congruet vt motũ cũ esse dicamus. Si aliud est quod mouetur, & alius motus: vtputa, Sit id quod mouetur sol, motus autem eius transitio per delationẽ e loco in locum: & motus quidem soli essentiam non præbet, præbet autem ei vt delatione moueatur: duplicem videlicet facturam sol habuerit; vnam, essentiæ; alteram, motionis. est quippe Sol concretio, ætheris modo pellucidus substantia, splẽdidus specie, globosus forma: quarum rerum nihil per motum sol habet. at si nihil earum per motum habet, nẽpe neque per facturã Dei. Si vero subministratione perennis motionis Deus solem facit, qui pars est mundi, sicut vniuersum facit mũdum ac prius necesse est exstare id quod mobile sit, atque posterius motum: videlicet vel infectus est sol substantia, vel alia factura substantiam eius fecit, & alia motum: cũ quidẽ prius substantiã eius fecerit, posterius vero ei motũ præbuerit.

σιν; εἰ κατὰ τὸν ἀποκρινάμενον μηδὲν ἔγχρονον παρὰ τῷ Θεῷ, ποιεῖ τὰ αὐτὰ ὁ Θεός; τὸ γὰρ ποιεῖ, ἀδύνατον νοηθῆναι τοῦ ἐνεστῶτος χρόνου ἐκτός. πῶς δὲ ἔχει τελείαν δύναμίν τε καὶ ἐνέργειαν ὁ Θεός, εἰ δὴ ἀπαύστως ποιεῖ τὰ αὐτά; εἰ γὰρ διὰ τοῦτο λέγεται ἡ κίνησις ἐνέργεια ἀτελὴς διὰ τὸ ἀεὶ κινεῖσθαι· ἧς εἰ κατὰ μίμησιν καὶ ὁ Θεὸς ἐποίει, ἀτελὴς ἔσται ἡ αὐτοῦ ἐνέργεια, καὶ οὐ τελεία· ἡ γὰρ τελεία ἐνέργεια ἐν τῷ ἤδη ἀποτελεσθέντι ἔργῳ θεωρεῖται, καὶ οὐκ ἐν τῷ ἀτελέστῳ· ἀλλ' εἰ μὲν διὰ τὸ ἀτελὲς τῆς ἐνεργείας, καὶ διὰ τὸ ἀτελέστατον τοῦ λόγου λέγει τὸν Θεὸν μηδὲν πεποιηκέναι ὁ ἀποκρινάμενος, οὐκ ἀληθεύσει λέγων τελείαν εἶναι τὴν ἐνέργειαν τοῦ Θεοῦ, τὴν μηδὲν οὔτε τῷ ὅλῳ, οὔτε τῷ μέρει τελέσασαν. εἰ δὲ τοῦ ἔργου μὴ τελεσθέντος, ἀδύνατον τελείαν εἶναι τὴν ἐνέργειαν τοῦ ποιοῦντος, δῆλον ὅτι οὐδὲ ὁ Θεὸς ἔχει τελείαν ἐνέργειαν, ἀεὶ ποιῶν τὸ ποιούμενον. Ποιεῖ τοίνυν τὸν κόσμον ἐν αὐτῷ τούτῳ ὅπερ ἐστι, τὴν κίνησιν αὐτῷ ἄπαυστον παρέχων, τῷ ἐλλάμπειν αὐτὸν δι' αἰῶνος. Εἰ ἐν τῇ παροχῇ τῆς κινήσεως ποιεῖ τὸν κόσμον ὁ Θεός, δῆλον ὅτι ἔγχρονον ποιεῖ τὸν κόσμον. οὐ γὰρ ἄνευ χρόνου ἡ κίνησις ἡ τῷ κόσμῳ παρὰ τοῦ Θεοῦ πρὸς τὴν αὐτοῦ κίνησιν παρεχομένη. εἰ τοίνυν τὸ ποιεῖν τοῦ ἐνεστῶτός ἐστι χρόνου, καὶ ἡ κίνησις ἔγχρονός ἐστι, πῶς οὐκ ἔστι ψεῦδος τὸ, Οὐδὲν ἔγχρονον ἐστι παρὰ τῷ Θεῷ; πῶς δὲ δυνατὸν κινεῖσθαι τὸν κόσμον τὸν μήπω γεγονότα, ἀλλ' εἰ ἐν τῷ ποιεῖσθαι ὄντα, τῷ τὸν μὲν Θεὸν ποιεῖν ἀχρόνως, τὸν δὲ κόσμον ἐν τῷ χρόνῳ ποιεῖσθαι; ἀνάγκη γὰρ, ὥσπερ ποιεῖ ὁ ποιῶν, οὕτως ποιεῖσθαι τὸ ποιούμενον ἀχρόνως. εἰ δὲ τῇ παροχῇ τῆς κινήσεως ποιεῖ τὸν κόσμον ὁ Θεός, καὶ οὐχ ἁρμόττει τὸ λέγεσθαι περὶ αὐτοῦ τὸ πεποίηκε τὸν κόσμον, οὐδ' ἄρα τῷ κόσμῳ ἁρμόττει τὸ κινηθῆναι. εἰ ἕτερον μὲν τὸ κινούμενον, ἑτέρα δὲ ἡ κίνησις· οἷον, ἔστω τὸ μὲν κινούμενον ὁ ἥλιος, ἡ δὲ κίνησις αὐτοῦ μετάστασις κατὰ φορὰν ἐκ τόπου εἰς τόπον· καὶ ἡ κίνησις οὐ παρέχει μὲν τῷ ἡλίῳ τὴν οὐσίαν, παρέχει δὲ αὐτῷ τὸ κινεῖσθαι κατὰ φοράν· δῆλον ὅτι δύο ποιήσεις ἔχει ὁ ἥλιος, μίαν μὲν τῆς οὐσίας, ἑτέραν δὲ τῆς κινήσεως· εἰ ὄν ἐστιν ὁ ἥλιος πίλημα αἰθεροειδὲς τῇ οὐσίᾳ, λαμπρὸς τῷ εἴδει, σφαιροειδὴς τῷ σχήματι· ὧν οὐδὲν διὰ κινήσεως ἔχει ὁ ἥλιος. ἀλλ' εἰ μηδὲν τούτων διὰ τῆς κινήσεως ἔχει ὁ ἥλιος, δῆλον ὅτι οὐδὲ διὰ τῆς ποιήσεως τῆς παρὰ τοῦ Θεοῦ. εἰ δὲ τῇ παροχῇ τῆς ἀπαύστου κινήσεως ποιεῖ τὸν ἥλιον ὁ Θεὸς τὸν ὄντα μέρος τοῦ κόσμου, ὥσπερ ποιεῖ ὅλον τὸν κόσμον, καὶ δεῖ πρῶτον εἶναι τὸ κινητὸν καὶ ὕστερον τὴν κίνησιν, ἢ ἄρα ἀποίητός ἐστιν ὁ ἥλιος τῇ οὐσίᾳ, ἢ κατὰ ἄλλην ποίησιν ἐποίησεν αὐτοῦ τὴν οὐσίαν, καὶ κατὰ ἄλλην ποίησιν τὴν κίνησιν· καὶ ποιήσας μὲν πρῶτον 220 αὐτοῦ τὴν οὐσίαν, ὕστερον δὲ παρασχὼν αὐτῷ τὴν κίνησιν.

ἀλλ' εἰ τὸ κινεῖσθαι αὐτὸν ἀεὶ ποιεῖ, τὴν δὲ οὐσίαν αὐτοῦ οὐκ ἀεὶ ποιεῖ, δῆλον ὅτι μετὰ τὴν ποίησιν τῆς οὐσίας αὐτοῦ, παρέχει αὐτῷ τὴν ἄπαυστον κίνησιν, καὶ ἔστι τὸ τέλος τῆς οὐσίας τῆς ποιήσεως αὐτοῦ, ἀρχὴ τῆς κινήσεως αὐτοῦ. εἰ δὲ ταῦτα οὕτως ἔχει, δῆλον ὅτι οὐδὲν ἄχρονον παρὰ τῷ Θεῷ· ἡ γὰρ ποίησις ποίησιν διαδεχομένη, ἄχρονος οὐκ ἔστιν. Ὥστε πεποίηκε μὲν οὐδέν, οὔτε ποιήσει· ποιεῖ δὲ ἀεὶ ὁ αὐτὸς τὸ αὐτό, μὴ ἔχων ἀρχὴν τῆς ποιήσεως, ἵνα μὴ καὶ τέλος:- Δειχθέντος τοῦ ἄλλην εἶναι τοῦ ἡλίου τὴν ποίησιν τῆς οὐσίας, καὶ ἄλλην τὴν διὰ κινήσεως, ἣν ἄπαυστον ὠνόμασεν ὁ ἀποκρινάμενος, καὶ ὅτι προηγεῖται ἡ ποίησις τῆς οὐσίας αὐτοῦ, τῆς διὰ κινήσεως ποιήσεως, πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἄναρχον λέγειν τοῦ ἡλίου τὴν ποίησιν, τὴν διὰ τῆς κινήσεως τοῦ ἡλίου πρὸ τῆς ἀπαύστου διὰ κινήσεως ποιήσεως, τὴν τῆς οὐσίας πεπαυμένην ποίησιν ἐσχηκότος; ἢ τοίνυν οὐκ ἔστι ποιητὴς τῆς τοῦ ἡλίου οὐσίας ὁ Θεός, ἢ οὐκ ἔστιν ἄναρχος ἡ διὰ τῆς κινήσεως ποίησις τοῦ ἡλίου. ἀλλ' εἰ μὲν τὸ πρῶτον, εἰ οὐκ ἔστι ποιητὴς τῆς τοῦ ἡλίου οὐσίας ὁ Θεός, οὐδ' ἄρα διὰ τῆς κινήσεώς ἐστιν αὐτοῦ ποιητής. παρ' οὗ γὰρ ἔχει τὴν οὐσίαν, παρὰ τούτου ἀνάγκη ἔχειν καὶ τὴν κίνησιν. εἰ δὲ τὸ δεύτερον, φθαρτὸς ἔσται ὁ Θεὸς τὴν ἐνέργειαν, εἴγε κατὰ τὸν ἀποκρινάμενον παυομένης τῆς ἐνεργείας τοῦ Θεοῦ, φθείρεται ὁ Θεὸς τῇ ἐνεργείᾳ. εἰ δὲ ποιητὴς τῆς τοῦ ἡλίου οὐσίας ἐστὶν ὁ Θεός, καὶ ταύτην ἀεὶ οὐ ποιεῖ, δῆλον ὅτι πεποίηκε ταύτην πρὸ τοῦ κινεῖσθαι αὐτόν, καὶ οὐδὲν ποίημα ἄχρονον παρὰ τῷ Θεῷ. ὡς εἴγε ἀρχὴν ἔχουσι 823 καὶ τελευτὴν αἱ ἐνέργειαι αὐτοῦ, φθαρτὸς ἔσται ὁ Θεὸς τῇ ἐνεργείᾳ· ὅπερ ἄτοπον. ἔσται δὲ καὶ ἡ δύναμις αὐτοῦ μεταβλητή, ἄλλοτε ἄλλας ἐνεργείας προέχουσα. εἰ δὲ ἡ δύναμις μεταβλητὴ ἄλλοτε ἄλλαις κεχρημένη ἐνεργείαις, καὶ ἡ οὐσία σαλευθήσεται, ἄλλοτε ἄλλας γεννῶσα δυνάμεις, καὶ μὴ μένουσα ἐν τῇ αὐτῇ. ὥστε εἰ ταῦτα διὰ πάντων, δῆλον ὅτι ὁ Θεὸς ἔσται μεταβλητὸς οὐσίᾳ, δυνάμει, ἐνεργείᾳ· ὅπερ ἄτοπον:- Ὥσπερ αὐτὸς ὁ Θεὸς οὐκ ἔχει ἀρχὴν καὶ τελευτήν, οὕτως οὐδὲ ἡ ἐνέργεια αὐτοῦ, οὐδὲ τὰ ἔργα αὐτοῦ. αἱ γὰρ ἐνέργειαι αὐτοῦ ἐν τοῖς ἔργοις αὐτοῦ εἰσίν. ἔσται ἄρα ὥσπερ μὴ χρήζων αὐτὸς τοῦ ποιοῦντος, οὕτως οὐδὲ τὰ λεγόμενα αὐτοῦ ἔργα· ἔσται ψεῦδος καὶ τὸ λέγειν τὸν Θεὸν ποιητὴν τῶν κατ' αὐτὸν ἀνάρχων τε εἶναι καὶ ἀτελευτήτων. εἰ δὲ πανταχοῦ κατὰ διαφορὰν προϋπάρξεώς τε καὶ μεθυπάρξεως διέστηκεν ὁ ποιητὴς τοῦ ποιήματος, δῆλον ὅτι ὁ ἀναιρῶν ἀπὸ τοῦ Θεοῦ καὶ τῶν ἔργων αὐτοῦ τὴν διαφορὰν ταύτην, ἀμφότερα ἀποστερεῖ, τὸν Θεὸν καὶ τὰ ποιήματα, τὸν μέν, τῆς τοῦ ποιητοῦ προσηγορίας, τὰ δέ, τῆς τῶν ποιημάτων. καὶ εἰ ἔστι μὲν ἡ τοῦ Θεοῦ δύναμις ἄπειρος, ὥσπερ οὖν καὶ ἔστι, πεπερασμένα δὲ τὰ ἔργα αὐτοῦ, πῶς οὐκ ἔστιν ὁ Θεὸς καθ' ἃς ἔχει μὲν δυνάμεις,

Porro si eo quod mouetur ipsum semper facit, substantiam autem eius non semper facit: manifesto apparet, post creationem essentiæ eius, præbere illi Deum motionem perpetuam: & finem creationis substantiæ eius, principium esse motionis eius. Quod si hæc ita se habent, nimirũ nihil apud Deũ absque tempore fuerit. Creatio enim creationi succedens, tempore minime vacat. *Quocirca nihil quid. m effecit, neq; efficiet: Efficit autem idem ipse semper idem, non habẽs finem exordium, vt neque finem habeat.* Cum demonstratum sit, aliam esse substãtiæ Solis creationem, & aliam motionis, quam perennem nominauit responsi auctor, & creationem substantiæ eius præcedere eam quæ per motionem fit creationem: quomodo inconueniens non est, principio vacantem dicere Solis creationem, quæ per motionem fit Solis, ante eam quæ motione fit, irrequietam creationem, substãtiæ cessantem [vtpote iam absolutam] creationem habentis? Itaque aut Deus conditor substantiæ Solis non est: aut creatio quæ per motionem fit, Solis, principii expers non est. Quod si primum obtinet, & essentiæ Solis Deus creator non est: neque sane motus quoq; eius creator fuerit. a quo namque habet essentiam, ab eo motum quoque habere eum necesse est. Sin secundum, corruptibilis erit actu Deus: siquidem iuxta respondentem, actu Dei cessante, occidit Deus actu. At si Deus substantiæ Solis conditor est, eamque non semper condit: condidit scilicet hanc, prius quam ille moueretur: nulla est apud Deum sine tempore creatura: eo quod, si actus eius principium habeat & exitum, corruptibilis Deus actu fuerit: quod absurdum est. Quin & potentia eius mutabilis erit, vt alias alio indigẽs atque vtens actu: & substantia concutietur, alias aliter generans facultates, ac non in eisdem consistens. Quapropter si hæc sint per omnia, liquidum fuerit, Deũ fore mutabilem substantia, potentia & actu: quod est absurdum. Quemadmodum Deus ipse nõ habet ortum & finem, sic & operatio & opera eius non habent. Operationes enim ipsius in operibus eius sunt. Quocirca sicuti neque ipsi, ita neq; eis quæ dicuntur operibus eius, factore erit opus. Falsum quoque erit, Deum effectorem dicere eorum quæ secundum ipsum sint, principioque & fine careant. Sin omnino secundum rationem differentiæ eius, quæ reperitur inter id quod prius est & id quod posterius est, creator creaturæ differt: satis patet, qui a Deo & operibus eius differentiam hanc tollit, eum vtraque, & Deum & creaturas scilicet, priuare: illum quidem, Creatoris appellatione; has autẽ, Creaturarũ. Præterea si Dei potẽtia infinita est, sicut est; finita aũt opera eius: quomodo Deus iuxta eas quas habet quidẽ virtutes,

non autem eas ad opus confert, non est actu corruptibilis, iudicio respondentis? Sin, quas habet, & ad opus non confert, facultatibus corruptibilis Deus non est: profecto neque operatione Dei cessante, quæ mundum produxit, operatione Deus corruptibilis fuerit: qua quodcunque vult, non quodcumque potest, operatur. Neque Deum operationis cõtractio corruptibilem efficit; neque cum operationem contrahit, per potentiæ mutabilitatẽ contrahit: sed potentia quidem Dei immutabilis semper est; operationibus autẽ, quatenus ei visum est, vtitur. Non enim Deus operatur & agit sicut agunt quæ id vt sint actioni debent: qua desinente, & ipsa esse desinunt; velut ignis & nix. Nam si Deus ita agat & operetur, non tam eorum gratia quæ fiant, quam sua ipsius causa, vt sit, agat & operetur, ita vt si agere desinat, esse quoque desinat. Id vero si incõueniens est, inconueniens certe quidem etiam fuerit, dicere mutabilem esse potẽtiam Dei, actionis remissione; aut substantiam eius concuti variis actionibus, aliâs eas aliter proferentem. Et quemadmodum nos Deus primum efficit infantes, mox adolescentes, deinde senes; non mutabilitate potentiæ, neque operationis interitu, neque etiam concussione substantiæ id facit, ætatem corporaturamque nostram immutãs, iuxta diuersa tempora, eo quod prius, & eo quod posterius est, inter se variantia, sed intentione & remissione operationis: ita non mutatione potentiæ initium & finem operatio eius habet, sed intentione & remissione. Nam si operatione contracta, non amplius posset Deus operatione intermissa vti, recte diceretur esse operationis interitus. Sin eandem potest semper, quando vult, proferre operationem: nempe nõ interit operatio Dei contracta. potentia namque non intercidente, fieri nequit vt operatio siue actus intercidat. alia quippe est actionis corruptio, & alia est actionis contractio. Proinde nisi remissa esset operatio quæ mundum effecit, infiniti exstitissent multitudine mũdi, per operationem perennem. Nunc vero vno tantum condito mundo per opus finitum, finita ostenditur esse operatio ea quæ mundũ effecit. *Itaque idem ille manens, nihil habet temporariũ. Efficit ergo mundum, semper eum ordinans: & mundus eo quod semper custodiatur, gignitur: eo autem quod semper sit, ingenitus est.* Si nihil habet temporaneum Deus, neque creationem habet. temporanea siquidem creatio est. Et si mundum Deus creat, non essentiam eius producens, minime creat mundum. mundus namque absque essentia non est mundus. Sin mundus essentiam habet, (per seipsum videlicet,) infectus necessario atque incustoditus fuerit. Cuius enim vt substantia constet, indigens non est, eo quo-

μὴ ἐνεργῶν δὲ κατ' αὐτάς, οὐ φθαρτὸς τῇ ἐνεργείᾳ, κατὰ τὴν κρίσιν τοῦ ἀποκεκριμένου; εἰ δὲ καθ' ἃς ἔχει δυνάμεις, καὶ μὴ ἐνεργῶν κατ' αὐτάς, φθαρτὸς οὐκ ἔστιν, οὐδὲ ἄρα παυσαμένης τῆς ἐνεργείας τοῦ Θεοῦ τῆς τὸν κόσμον παραγούσης, φθείρεται Θεὸς τῇ ἐνεργείᾳ, ὅσον δὴ καὶ βούλεται, καὶ οὐχ ὅσον δύναται· καὶ οὐ ποιεῖ φθαρτὸν τὸν Θεὸν ἡ τῆς ἐνεργείας συστολή· οὐδὲ ἄρα ὅταν συστέλλῃ τὴν ἐνέργειαν, κατὰ μεταβολὴν συστέλλει τῆς δυνάμεως· ἀλλ' ἔστι μὲν ἡ δύναμις τοῦ Θεοῦ ἀεὶ ἀμετάβλητος, κέχρηται δὲ ταῖς ἐνεργείαις ἐφ' ὅσον βούλεται. οὐ γὰρ ἐνεργεῖ Θεὸς καθάπερ ἐνεργοῦσιν οἱ ἐν τῷ ἐνεργεῖν τὸ εἶναι ἔχοντες, καὶ παυσαμένης τῆς ἐνεργείας παύονται καὶ αὐτοὶ τοῦ εἶναι, οἷον τὸ πῦρ καὶ ἡ χιών· εἰ γὰρ οὕτως ἐνεργεῖ Θεός, οὐχ ἕνεκεν τῶν γινομένων μᾶλλον, ἢ ἕνεκεν τοῦ εἶναι αὐτὸν ἐνεργεῖ. ὡς εἰ παύσαιτο τοῦ ἐνεργεῖν, παύσεται καὶ τοῦ εἶναι. εἰ δὲ ἄτοπον τοῦτο, ἄτοπον ἄρα καὶ τὸ λέγειν μεταβλητὴν τὴν τοῦ Θεοῦ δύναμιν τῇ συστολῇ τῆς ἐνεργείας, ἢ σαλευομένην τὴν οὐσίαν αὐτοῦ ταῖς ποικίλαις ἐνεργείαις ἄλλοτε ἄλλας προβαλλομένην· καὶ καθάπερ ποιεῖ ἡμᾶς ὁ Θεὸς πρῶτον μὲν βρέφη, ἔπειτα δὲ νεανίσκους, εἶτα γέροντας, οὐ κατὰ τὴν μεταβολὴν ποιεῖ τῆς δυνάμεως, οὐδὲ κατὰ τὴν φθορὰν τῆς ἐνεργείας, οὔτε κατὰ τὴν σαλευομένην αὐτοῦ οὐσίαν ἐναλλάσσων ἡμῶν τὰς ἡλικίας κατὰ διαφόρους καιροὺς τῷ πρώτῳ καὶ ὑστέρῳ ἀλλήλων διαφερούσας, ἀλλὰ κατὰ τὴν προβολὴν καὶ συστολὴν τῆς ἐνεργείας· οὕτως οὐ κατὰ τὴν μεταβολὴν τῆς δυνάμεως ἀρχὴν καὶ τέλος ἡ ἐνέργεια αὐτοῦ ἔχει, ἀλλὰ κατὰ προβολὴν καὶ συστολήν. εἰ μὲν γὰρ συστελλομένης τῆς ἐνεργείας οὐκέτι ἠδύνατο ὁ Θεὸς τῇ παυσαμένῃ ἐνεργείᾳ κεχρῆσθαι, δικαίως ἂν ἐλέγετο φθορὰ ἐνεργείας. εἰ δὲ ἀεὶ δύναται τὴν αὐτὴν ἐνέργειαν ὅτε βούλεται προβάλλεσθαι, οὐκ ἄρα φθείρεται ἡ ἐνέργεια τοῦ Θεοῦ συστελλομένη. τῆς γὰρ δυνάμεως μὴ φθειρομένης, ἀδύνατον φθαρῆναι τὴν ἐνέργειαν. ἄλλη γάρ ἐστιν ἡ φθορὰ τῆς ἐνεργείας, καὶ ἄλλη ἡ συστολὴ τῆς ἐνεργείας· ὡς εἰ μὴ συνεστέλλετο ἡ ἐνέργεια ἡ τὸν κόσμον ποιοῦσα, ἄπειροι ἂν κόσμοι ἐγένοντο τῷ πλήθει κατὰ τὴν ἄπαυστον ἐνέργειαν. νῦν δέ, ἑνὸς μόνου τοῦ κόσμου γινομένου, τῷ πεπερασμένῳ τοῦ ἔργου δείκνυται πεπερασμένη ἡ ἐνέργεια ἡ τὸν κόσμον ποιήσασα. Ὁ αὐτὸς τοίνυν μένων, οὐδὲν ἔχει ἔγχρονον. ποιεῖ τοίνυν τὸν κόσμον τάττων αὐτὸν ἀεί, καὶ ὁ κόσμος τῷ μὲν ἀεὶ φρουρεῖσθαι γίνεται, τῷ δὲ ἀεὶ εἶναι, ὁ αὐτὸς ἀγένητος ὑπάρχει:- 224 Εἰ μηδὲν ἔχει ἔγχρονον ὁ Θεός, οὐδ' ἄρα τὸ ποιεῖν ἔχει· ἔγχρονον γὰρ τὸ ποιεῖν. καὶ εἰ ποιεῖ τὸν κόσμον ὁ Θεός, μὴ τὴν οὐσίαν αὐτοῦ παράγων, οὐ ποιεῖ τὸν κόσμον· ὁ γὰρ κόσμος χωρὶς οὐσίας οὐκ ἔστι κόσμος. εἰ δὲ ὁ κόσμος οὐσίαν ἔχει, ἀποίητος ἐξ ἀνάγκης καὶ ἀφρούρητός ἐστιν. οὐ γὰρ πρὸς τὸ γενέσθαι κατ' οὐσίαν οὐ δεῖται,

τούτου οὐδὲ πρὸς τὸ φρουρεῖσθαι ἐπιδέεται. ἡ γὰρ ἀγέννητος φύσις, οὐδενὸς τῶν ἔξωθεν ἑαυτῆς ἐστὶν ἐπιδεκτική. καὶ εἰ ἐπὶ παντὸς χρὴ ἢ τὴν φάσιν ἢ τὴν ἀπόφασιν εἶναι ἀληθῆ, πῶς ὁ ἀποκρινάμενος ἀμφότερα ἔθηκεν ἐπὶ τῆς τοῦ κόσμου γενέσεως, καὶ τὴν φάσιν, καὶ ἀπόφασιν, λέγων αὐτὸν εἶναι γενητὸν καὶ ἀγέννητον; Ἔτι δέ, εἰ, καθάπερ εἶπεν ἐν τῇ τρίτῃ ἀποκρίσει, ἀγέννητος ὢν ὁ Θεὸς ἀγεννήτως ποιεῖ πάντα, οὐ γινόμενα, ἀλλὰ συνυφιστάμενα· ἀλλ' ἐπειδὴ πᾶν συνυφιστάμενον τῇ τοῦ ᾧ συνυφίσταται σωτηρίᾳ σώζεται, μὴ χρῇζον ἑτέρας φρουρᾶς πλὴν τῆς ἐκείνου σωτηρίας· σωζομένου γὰρ ἐκείνου, σέσωσται καὶ αὐτὸς διὰ τοῦτο· εἰ χρεία ἐστὶ φρουρᾶς πρὸς σωτηρίαν, ἐκεῖνο χρῄζει φρουρᾶς πλὴν τῆς ἐκείνου σωτηρίας· οὗ ὑφισταμένου συνυφίσταται τὰ συνυφιστάμενα, οὐχὶ τὰ συνυφιστάμενα. ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, οὐκ ἄρα ὁ κόσμος χρῄζει φρουρᾶς ὁ συνυφιστάμενος τῷ Θεῷ· ἀλλ' αὐτὸς ὁ Θεὸς ᾧ συνυφίσταται ὁ κόσμος. εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ τὸν κόσμον λέγειν συνυφιστάμενον τῷ Θεῷ. χρὴ οὖν λέγειν βουλήσει τοῦ Θεοῦ ὑφίστασθαι τὸν κόσμον, καὶ βουλήσει τοῦ Θεοῦ διαμένειν ὁ αὐτός, εἰ καὶ μὴ ἀεὶ ὡσαύτως τὰ τῇ ὑποστάσει τινὸς συνυφιστάμενα τῇ ἐκείνου διαμονῇ διαμένει, οὐχὶ ἑαυτῶν· οἷον τῇ συνθέσει τῶν γραμμῶν συνυφίστανται αἱ γωνίαι· καὶ μενούσης τῆς συνθέσεως, μένουσι καὶ αἱ γωνίαι· καὶ ἀναιρουμένης τῆς συνθέσεως, ἀναιροῦνται καὶ αἱ γωνίαι· καὶ εἰ χρεία ἐστὶ τοῦ διαμένειν τὰς γωνίας, ἀνάγκη δοῦναι φρουρὰν τῇ συνθέσει τῶν γραμμῶν, οὐχὶ ταῖς γωνίαις καθ' ἑαυτάς. ἀλλὰ κατὰ συμβεβηκὸς μὲν ταῖς γωνίαις, καθ' ἑαυτὸ δὲ τῇ συνθέσει τῶν γραμμῶν. κατὰ ταῦτα χρὴ νοεῖν τὸν κόσμον, εἰ ἀγεννήτως συνυφίσταται τῷ Θεῷ, καθά φησιν ὁ ἀποκρινάμενος.

Ἐρώτησις Χριστιανικὴ πρὸς τοὺς Ἕλληνας γ.

Εἰ τῷ εἶναι, καὶ οὐ τῷ βούλεσθαι ποιεῖ ὁ Θεός, οἷον θερμαίνει τὸ πῦρ τῷ εἶναι, πῶς αὐτὸς μέν ἐστι τὶ καὶ ἁπλοῦν καὶ μονοειδές, διαφόρων δὲ οὐσιῶν ἐστι ποιητής;

Ἀπόκρισις Ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Οὐκ εἰπτέον, ὥσπερ ἐν ἡμῖν ἄλλο μέν ἐστι τὸ εἶναι, ἄλλο δὲ τὸ βούλεσθαι, οὕτω καὶ ἐν τῷ Θεῷ· ἀλλὰ τὸ αὐτὸ ἄντικρυς ὑπάρχει τὸ εἶναι καὶ τὸ βούλεσθαι ἐν τῷ Θεῷ. ὃ γάρ ἐστι, καὶ βούλεται· καὶ ὃ βούλεται, ἐστὶ καὶ οὐδεμία διαίρεσις ἐπὶ τοῦ Θεοῦ, διὰ τὸ αὐτοπάρακτον εἶναι τὸν Θεόν. ὥστε καὶ τὴν διαίρεσιν τοῦ εἶναι πρὸς τὸ βούλεσθαι ἐπὶ τοῦ Θεοῦ ἀπορριπτέον. ἀλλὰ μὴν οὐδ' οὕτως τὸν Θεὸν τῷ εἶναι ποιεῖν ὑποθετέον ὡς τὸ πῦρ θερμαίνει. τὸ γὰρ πῦρ, εἰ καὶ οὐσιωδῶς, ἀλλ' ὅμως συμβεβηκυῖαν ἔχει τὴν θερμότητα· παρὰ δὲ τῷ Θεῷ οὐδὲν οὔτε οὐσιωδῶς συμβέβηκεν, οὔτε συμβεβηκότως. ἐπεὶ οὖν συμβέβηκε μὲν αὐτῷ οὐδέν, τὸ δὲ εἶναι καὶ τὸ βούλεσθαι ταὐτὸν ὑπάρχει τῷ Θεῷ, ἁπλοῦν τί ἐστι καὶ μονοειδές, ποιητικὸν ἀγεννήτως τῶν ὄντων.

eo quoque inſuper ad cuſtodiam non indiget. nam natura ingenita, nullius rei quę extra eam eſt, capax eſt. Et ſi in re quauis vel affirmationem vel infitiationem veram eſſe oportet: quomodo reſpondens vtramque in mundi generatione poſuit, affirmationē ſcilicet, & infitiationem; genitum eū eſſe dicens, & ingenitum? Adhæc ſi, quemadmodum in tertia reſponſione ait, Deus cum ingenitus ſit, ingenite efficit omnia, non genita illa, ſed ſimul exſiſtentia; poſteaquam quidquid ſimul ſubſiſtit, eius ſalute, quo cum ſimul ſubſiſtit, ſaluatur, non alterius cuſtodiæ præſidio, quam illius ſalute opus habens. nam ſaluo illo, ipſum quoque eſt incolume. ac propterea ſi cuſtodia ad ſalutem indiget tuendam, non alia eget cuſtodia quam illius incolumitate: quo ſubſiſtente, ſimul ſubſiſtunt ea quæ conſubſiſtunt, non genita illa, ſed ſimul ſubſiſtentia. atque hæc ſi ita habent, nempe cuſtodia mundus nō indiget, quia vna cum Deo ſubſiſtit; verū ipſe Deus, cum quo ſimul ſubſiſtit mundus. Sin hoc abſurdum eſt, abſurdum profecto etiam eſt dicere, mundum cum Deo ſubſiſtere. Itaque dicendum, voluntate Dei ſubſiſtere mundum, & voluntate Dei permanere eundem: quamuis non ſemper eodem modo ea quæ ſubſiſtentia cuiuspiam ſimul ſubſiſtunt, illius, non ſua ipſorum perſeuerantia durent: ſicuti compoſitione linearum ſimul ſubſiſtunt anguli: & compoſitione manente, anguli quoque manent: atque illa ſublata, & anguli tolluntur. Quod ſi opus ſit permanere angulos, neceſſe fuerit cuſtodiam attribuere linearum compoſitioni, non angulis per ſe ſimpliciter; ſed accidentia quidē angulis, per ſe autem compoſitioni linearum. Iuxta hæc conſiderare mundū oportet, an ingenite Deo conſubſiſtat, ſicuti dicit reſponſi auctor.

TERTIA AD GRÆCOS CHRIſtiana quæſtio.

Si eo quod ſit, non eo quod velit, facit Deus: veluti eo quod ſit, ignis calfacit: quomodo, cum ipſe ſimplex ſit & vniforme, diuerſarum eſt conditor ſubſtantiarū?

GRÆCVM AD CHRISTIAnos Reſponſum.

Non exiſtimādum, quemadmodum in nobis eſt, aliud quidem quod ſimus, aliud autē quod velimus, ſic etiā in Deo eſſe: ſed in Deo & quod ſit, & quod velit, idē plane eſt. nā quod eſt, etiā vult; & quod vult, eſt: & nulla eſt in Deo diſtinctio, eo quod Deus per ſeipſum productus eſt. Quocirca & diſtinctio eius quod ſit, & eius quod velit, in Deo reiicienda eſt. Sedenim nō ponendū perinde Deum eo quod ſit, facere, atq; ignis calfacit. Nā ignis etiāſi ſubſtātialiter ſiue ſubſtātiæ modo, attamen accidentiā calorem habet: apud Deū autem, neque ſubſtantiæ, neq; accidentiæ modo quidquā euenit. Proinde quia illi nihil accidit, & idē eſt Deo & eſſe & velle: ſimplex eſt & vniforme; quod ingenite ea quæ ſint, facere poſsit,

Sicut enim videmus ea quæ genita sunt, velut hominem certum per generationẽ genitum, cum ad gignendum appositus sit, genita creare; & in vniuersum genita per generationem procreata, genita etiã ex ipsis creare: ita & Deus, ingenitus cum sit, ingenite facit omnia; non genita, sed simul existentia. Nõ consideremus autem, Deum humano modo facere. non enim sicut nos, primũ aliter habentes, postea in aliud mutantes, facere dicimur, sic Deus quoque facit: sed propter ineffabilem & excellentem potentiam absque tẽpore faciens omnia, perficit omnia, & simul vna cum eo quod ipse sit, ea etiã quæ sint facit; non necesse habens, veluti nos, vt prius gignatur & consummetur, atque ita postea faciat: propterea quod in eũ nõ cadat, vel quod prius vel quod posterius sit. Idcirco cernimus & naturam, eo ipso quod sit, facientem & vniuersam semper mutationem operãtem: quemadmodum lacte coagulãdo, cernimus vniuersim coagulationem lacti aduenire. Sane quidem multo magis putandum Deum cumulate & absque tempore facere cũcta; cum ipse quidem sit vnum; infinita vero potentia diuersa producat; quæ quidem omnino per seipsa producta sint.

RESPONSI NON RECTE
instituti Confutatio.

Non existimandum, inquit, quemadmodum in nobis est, aliud quidem quod simus, aliud autem quod velimus, sic etiam in Deo esse: sed in Deo & quod sit, & quod velit, idem plane est. nam quod est, etiam vult: & quod vult, est: & nulla est in Deo distinctio, eo quod Deus per se productus est. Cum Deus obtineat essentiam quidem ad id vt subsistat, voluntatem vero ad id vt faciat: qui differentiam essentiæ & voluntatis abiicit, subsistentiam iuxta & facturam Dei abiicit: subsistẽtiam quidem, ipsius; facturam autem, eorũ quæ nõ sint. Porro aliam esse essentiã Dei, & aliam voluntatem, ex verbis etiam respõdentis demonstratur, cum dicit: *Nam quod est, etiam vult: & quod vult, est.* Conuertit substantia voluntatem, & voluntate substantiam. Conuersio autem haudquaquam fieri potest, nisi ea quæ conuertuntur, sint aliud atque aliud, siue ratione, siue numero. Id quod numero vnum est, nihil obstat quin ratione aliud sit atque aliud: veputa, linea recta, subsistentia quidem, quantum ad numerum pertinet, vna est: quantum autem ad rationem rectitudinis & lineæ, aliud atque aliud. Iuxta hunc modum non diuiditur natura Dei, ratione substantiæ & voluntatis. Si aliud est esse, & aliud inesse: & est quidem Dei essentia, inest vero essentiæ voluntas: alia vtriq; est essentia Dei, & alia voluntas. Si voluntas Dei ex essentia est, essentia autem non ex voluntate: alia certe essentia Dei, & alia voluntas est.

ὥσπερ γὰρ ὁρῶμεν ὅτι τὰ γεννητὰ οἷον ἄνθρωπος ὁ δεῖνα γεννητὸς γενόμενος, γεννητός τι ὢν γεννητὰ ποιεῖ· καὶ καθόλου τὰ γεννητὰ γεννητῶς γενόμενα, γεννητὰ ποιεῖ, καὶ ἐξ αὐτῶν ποιεῖ· τὸν αὐτὸν τρόπον καὶ ὁ Θεὸς, ἀγέννητος ὢν, ἀγεννήτως ποιεῖ πάντα, οὐ γενόμενα, ἀλλὰ συνυφιστάμενα· καὶ τῇ μὲν τῆς δυνάμεως ἀπειρίᾳ διάφορα ποιεῖ. μὴ προσέχωμεν δὲ τὸν Θεὸν ἀνθρωπίνως. οὐ γὰρ ὥσπερ ἡμεῖς τὸ πρότερον ἄλλως ἔχοντες, ὕστερον εἰς ἄλλο μεταβάλλοντες λεγόμεθα ποιεῖν, οὕτως καὶ ὁ Θεὸς ποιεῖ· 225 ἀλλὰ δι' ὑπερβάλλουσάν τι δύναμιν ἀχρόνως ποιῶν πάντα, τελειοῖ πάντα· καὶ ἅμα τῷ αὐτὸν εἶναι καὶ τὰ ὄντα ποιεῖ, οὐ χρείαν ἔχων ὥσπερ ἡμεῖς τὸ πρότερον γενέσθαι, καὶ τελειωθῆναι, καὶ οὕτως ποιῆσαι τὸ ὕστερον, διὰ τὸ μηδὲν εἶναι ἐν αὐτῷ πρότερον καὶ ὕστερον. ὁρῶμεν οὖν καὶ τὴν φύσιν αὐτῷ τῷ εἶναι ποιοῦσαν, καὶ ἀθρόον ἀεὶ τὴν μεταβολὴν ἐργαζομένην· ὥσπερ καὶ ἐπὶ τῆς πήξεως τοῦ γάλακτος, ἀθρόως τὴν πῆξιν θεώμεθα παραγινομένην τῷ γάλακτι. πολλῷ τοίνυν τὸν Θεὸν μᾶλλον οἰητέον ἀθρόως καὶ ἀχρόνως πάντα ποιεῖν, αὐτὸν μὲν ὄντα ἕν, τῇ δὲ ἀπειρίᾳ τῆς δυνάμεως τὰ διάφορα παράγοντα, καὶ αὐτὰ παντελῶς αὐτοπάρακτα τυγχάνοντα.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης.

Οὐκ οἰητέον, φησὶν, ὥσπερ ἐν ἡμῖν ἄλλο μέν ἐστι τὸ εἶναι, ἄλλο δὲ ἐστι τὸ βούλεσθαι, οὕτως καὶ ἐν τῷ Θεῷ· ὃ γάρ ἐστι, καὶ βούλεται· καὶ ὃ βούλεται, ἐστί· καὶ οὐδὲ μία διαίρεσις ἐπὶ τοῦ Θεοῦ, διὰ τὸ αὐτοπάρακτον εἶναι τὸν Θεόν. ὥστε τὴν διαίρεσιν τὴν τοῦ εἶναι πρὸς τὸ βούλεσθαι ἐπὶ τοῦ Θεοῦ ἀπερριπτέον. Τοῦ Θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀπορρίπτων οὐσίας τε καὶ βουλῆς τὴν διαφορὰν, καὶ τὴν ὕπαρξιν ἀπορρίπτει τοῦ Θεοῦ, καὶ τὴν ποίησιν· ὕπαρξιν μὲν, τὴν αὐτοῦ· ποίησιν δὲ, τῶν οὐκ ὄντων. Ὅτι δὲ ἄλλη ἐστὶν ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλὴ, δείκνυται καὶ ἐκ τοῦ λόγου τοῦ ἀποκεκριμένου τὸ εἰπόντος· Ὃ γάρ ἐστι, καὶ βούλεται· καὶ ὃ βούλεται, ἐστίν. ἀντιστρέφει τῇ οὐσίᾳ τὴν βουλὴν, καὶ τῇ βουλῇ τὴν οὐσίαν. ἀντιστροφὴ δὲ οὐδαμῶς ἐνδέχεται γενέσθαι τῶν ἀντιστρεφομένων οὐκ ὄντων ἄλλο καὶ ἄλλο, ἢ λόγῳ, ἢ ἀριθμῷ. Τὸ τῷ ἀριθμῷ ἓν ὂν οὐδὲν κωλύει τῷ λόγῳ ἄλλο καὶ ἄλλο εἶναι· οἷον ἡ εὐθεῖα γραμμὴ τῇ μὲν ὑποστάσει ἀριθμῷ μία ἐστὶ, τῷ δὲ λόγῳ τῆς εὐθύτητος καὶ τῆς γραμμῆς ἄλλο καὶ ἄλλο. κατὰ τὸν τρόπον τοῦτον οὐ διαιρεῖται τοῦ Θεοῦ ἡ φύσις τῷ λόγῳ τῆς οὐσίας καὶ τῆς βουλῆς. Εἰ ἄλλο τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ ἐνυπάρχειν· καὶ ὑπάρχει μὲν τοῦ Θεοῦ ἡ οὐσία, ἐνυπάρχει δὲ τῇ οὐσίᾳ ἡ βουλή· ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλή. Εἰ ἡ μὲν βουλὴ τοῦ Θεοῦ ἐκ τῆς οὐσίας, ἡ δὲ οὐσία οὐκ ἐκ τῆς βουλῆς, ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλή.

Essentia

Ἡ οὐσία τοῦ Θεοῦ, τὸ μὴ εἶναι οὐσία οὐ δέχεται· ἡ δὲ βουλὴ τοῦ Θεοῦ, δέχεται τὸ μὴ βούλεσθαι· οἷον, ἐβούλετο ὁ Θεὸς ποιῆσαι ἕνα ἥλιον, δεύτερον ἥλιον οὐκ ἐβούλετο ποιῆσαι, ὅτι ὥσπερ ἐλυσιτέλει τοῖς οὖσι τὸ ἕνα εἶναι τὸν ἥλιον, οὕτως οὐκ ἐλυσιτέλει τοῖς οὖσι τὸ γενέσθαι δεύτερον ἥλιον· καὶ ἐβούλετο μὲν τὸ λυσιτελὲς, τὸ δὲ μὴ λυσιτελὲς οὐκ ἐβούλετο. ἀλλ' εἰ τοῦτο, ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλή. Εἰ ὅ ἐστιν ὁ Θεὸς τοῦτο καὶ βούλεται, δηλονότι βουλητόν ἐστι, καὶ οὐ βουλή. πῶς οὖν ταὐτόν ἐστι τῇ οὐσίᾳ ἡ βουλὴ, τοῦ βουλητοῦ καὶ τῆς βουλῆς ἄλλου καὶ ἄλλου ὄντος, καθάπερ τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις. Εἰ ἄναρχος καὶ ἀΐδιός ἐστι Θεός, οὔτε αὐτοπέρακτός ἐστιν, οὔτε ἑτεροπέρακτος· ὁ γὰρ ἁπλῶς αὐτοπέρακτος, οὐδενὶ λόγῳ ἐστὶν ἀΐδιος καὶ ἄναρχος. Ὁ ἀποκρινάμενος δι' ἑτέρας φωνῆς ἀναιρεῖ τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῆς βουλῆς τὸ ἕτερον, δι' ἑτέρας δὲ φωνῆς τοῦτο τίθησιν· ἀναιρῶν μὲν τῆς οὐσίας τοῦ Θεοῦ καὶ τῆς βουλῆς τὸ ἕτερον, » ἔλεγεν, Οὐκ οἰητέον, ὥσπερ ἐν ἡμῖν ἄλλο μέν ἐστι τὸ » εἶναι, ἄλλο δὲ τὸ βούλεσθαι, οὕτω καὶ ἐν τῷ Θεῷ. τι» θέμενος δὲ τὸ ἕτερον, φησίν, Ἀλλὰ τὸ αὐτὸ ἄντικρυς » ὑπάρχει. καὶ πάλιν, Τὸ δὲ εἶναι καὶ τὸ βούλεσθαι ταὐ» τὸν ὑπάρχει τῷ Θεῷ: ὥσπερ γὰρ τὸ ἕτερον ἄλλο ἄλλῳ ἐστὶν ἕτερον, οὕτως καὶ τὸ ταὐτὸν ἄλλο ἄλλῳ ἐστὶν 226 ἄντικρυς ταὐτόν· ὡσαύτως δὲ καὶ τὸ ἄντικρυς ἄλλο ἄλλῳ ἐστὶν ἄντικρυς. ἀλλ' εἰ ταὐτόν ἐστιν ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἡ βουλὴ, ἄντικρυς ἔσται ἄλλο καὶ ἄλλο. εἰ δὲ μήγε, ἀναιρουμένου τοῦ ἄλλου καὶ ἄλλου, ἀναιρεθήσεται ἐξ ἀνάγκης τὸ ταὐτὸν τῆς οὐσίας τοῦ Θεοῦ, καὶ τῆς βουλῆς, καὶ τοῦ ἄντικρυς. Ὥσπερ τὸ κινεῖσθαι ἐνέργειά ἐστι κινήσεως, οὕτως καὶ τὸ βούλεσθαι βουλῆς ἐστὶν ἐνέργεια· καὶ ἣν ἔχει διαφορὰν ἡ δύναμις πρὸς τὴν ἐνέργειαν, ταύτην ἔχει ἡ βουλὴ πρὸς τὸ βούλεσθαι. ἀδύνατον δὲ τὸ βούλεσθαι πρὸς μὲν τὴν βουλὴν ἔχειν τὴν διαφορὰν, πρὸς δὲ τὸν βουλόμενον μὴ ἔχειν. εἰ δὲ οὐδενὶ λόγῳ δυνατὸν ταὐτὸν εἶναι τὸ βούλεσθαι, καὶ τὴν βουλὴν, καὶ τὸν βουλόμενον, δῆλον ὅτι ὁ ἀπορρίπτων τοῦ Θεοῦ καὶ τοῦ βούλεσθαι τὸ ἄλλο καὶ ἄλλο, τοῦ ἐνεργοῦντος καὶ τῆς ἐνεργείας ἀπορρίπτει τὴν διαφοράν· ὅπερ ἄτοπον. Εἰ ἄλλο τὸ ἐνυπόστατον, καὶ ἄλλο τὸ ἀνυπόστατον· καὶ Θεὸς μὲν ἐκεῖνο, τὸ βούλεσθαι δὲ τοῦτο· δηλονότι ὁ τοῦ Θεοῦ καὶ τοῦ βούλεσθαι ἀπορρίπτων τὸ ἄλλο καὶ ἄλλο, ἢ τὸ ἐνυπόστατον ἀπορρίπτει, ἢ τὸ ἀνυπόστατον. Εἰ κατὰ τὸν λόγον τοῦ ἀντικειμένου, ὅπερ ἐστὶ Θεὸς, καὶ βούλεται, καὶ ὃ βούλεται, ἔστι, δηλονότι εἰ μὴ βουληθείη Θεὸς τὸ μὴ φθείρεσθαι τὴν ἐνέργειαν αὐτοῦ, παυομένης αὐτῆς οὐ φθείρεται βουληθέντος αὐτοῦ. οὐκ ἄρα ἐστὶν ὁ Θεὸς ὃ βούλεται. Εἰ τὸ ποιεῖν ἐστὶ τῆς τοῦ Θεοῦ βουλῆς, δῆλον ὅτι ὥσπερ διαφέρει τὸ ποιεῖν ἁπλῶς τοῦ ποιὰ, καὶ πόσα, καὶ ποτὲ ποιεῖν, οὕτω διαφέρει τὸ εἶναι τοῦ βούλεσθαι.

Essentia Dei fieri non potest vt essentia nō sit: voluntas autem Dei, vt non velit, fieri potest: veluti, voluit Deus facere solē vnū, secundum solem facere nō voluit: quoniā sicut ex vsu fuit eorum quæ sint, vnū esse solem, sic ex vsu non fuit eorum quæ sint, secundum esse solem. Ac id quidem quod vtile fuit & commodum, voluit: quod vero incommodum, id non voluit. Verum si id ita habet, alia est nimirum essentia Dei, & alia voluntas. Si Deus id quod est etiā vult, nēpe non volūtas fuerit, sed id quod voluntate expetitur. quomodo igitur idē est cum essentia voluntas? cum voluntas & id quod volūtate expetitur, aliud & aliud sit, sicuti sensus & id quod sub sensum cadit. Si principio carens & sempiternus Deus est, neque per seipsum productus, neque aliter siue per alium productus est. nam qui omnino per seipsum productus est, nulla ratione principio carens & sempiternus est. Respondens per dictum aliud, essentiæ & voluntatis Dei tollit differentiam, per aliud autem dictum eam ponit. Ac tollens ille quidem essentiæ & voluntatis Dei differentiam, dicit: *Non existimandum, quemadmodum in nobis est aliud quidem quod simus, aliud autem quod velimus, sic etiam in Deo esse.* Differentiam vero ponēs, ait; *Sed idem plane est.* & iterum; *Sed & quod sit, & quod velit, idem est in Deo.* Nam sicut Aliud, respectu alius, alterum est, sic & Idem respectu alius omnino idem est. Contimiliter autem & Omnino, respectu alius omnino est. At si idem est essentia Dei & voluntas, erit omnino aliud atque aliud: sin minus, alio atq; alio sublato, tolletur necessario & id quod idem sit essentiæ Dei & voluntatis, atque etiam eius quod omnino sit. Quēadmodū quod aliquid mouetur, motionis operatio est: ita quod quispiā quid vult, voluntatis est operatio. Et quæ differentia est potentiæ ad actum, ea est voluntati ad ipsum velle. fieri autē nequit, vt velle quidem a voluntate differat, a volente autem non differat. At si nulla ratione fieri potest vt idem sit velle, & voluntas, & volens: certum fuerit, qui a Deo & voluntate aliud atque aliud reiicit, eum differentiam inter agentem & actum reiicere: quod absurdum est. Si aliud est id quod subsistit, & aliud quod nō subsistit; atque illud quidē Deus, hoc aūt voluntas est: videlicet qui a Deo & voluntate reiicit aliud atque aliud, vel id quod subsistit reiicit, vel id quod non subsistit. Si iuxta rationem oppositionis quod Deus est, id vult; & quod vult, id est: nimirū nisi quod Deus velit non interire operationem suam, illa cessante, voluntate eius non interiit. Itaque non est Deus quod vult.

Si efficere, voluntatis Dei est: nempe quemadmodum simplex factura ab ea differt quæ certa qualitate & quantitate & tempore efficit, ita differt essentia a voluntate.

Sed enim non ponendum, perinde Deū, eo quod sit, facere, atque ignis calfacit. Nā ignis, etiamsi substantiæ modo, attamen accidentaliter calorē habet: apud Deum autē neque substantiæ neque accidētia modo quidquā euenit. Proinde quia illi nihil euenit, & idē est Deo & esse & velle: simplex est & vniforme; quod ingenite ea quæ sunt facere possit.

Quomodo igni calor obueniat, sicuti dicere vult Respondēs, dicat. non enim nunc, quomodo ei calor obueniat, in quæstionē est deductū; sed de operatione nō voluntaria, per quā eo quod sit, operatur. Volūtas aut substātia est, aut adest substātiæ. At si substantia est, nō est is qui vult. Sin substantiæ adest, necessario aliud atque aliud est. Nō enim est id quod sit, & id quod adsit, idē. Si multa quidem vult Deus, multa autem non est: non fuerit ergo idem cū substantia voluntas apud Deū. Deus si, quæcumque vult, facere potest: non autem quæcumq; facere potest, facere vult: non est apud Deum substantia & voluntas idem. Deus si vnum & simplex & vniforme est, ac multa vult, & multa non vult: veluti, vult ille quidē varietate multa quæ sint, exstare, multitudine autem ea infinita esse non vult: Proinde apud eū esse & velle, idem non fuerit. Si Deus id quod exsistit non facit, sed quæ vult facit: vult autem mundum facere; non est ergo essentia & voluntas eius idem. Si ingenita ingenite non fiunt, certe neque Deus ingenita ingenite facit. Impossibile namque est, vt id quod factura fit, ingenitum sit. Sicuti Doctrina operatio est docētis in discipulo, sic Creatio operatio est creātis, in eo quod creatur. Is qui creationē a creato tollit, operationē etiā a factura effectoris tollit. Frustra Deus creationē operetur, si id quod creatur non exstat. Si Deus infecte nō facit, neque certe ingenite facit. *Deus facit*, affirmatio est creationis: at *infecte facit*, potentia affirmationis est negatio. Pugnantia inter se sunt nomina, *Ingenitū* & *Factum*. Si id quod per facturam fit, ingenitum est: non fuerit ingenitum id quod non per facturam fit. Nihil interest dicere, *Factor quidem fecit; id autem quod factum est, non exstitit*; dicto huic; *Deus facit ingenita*. Si cum ratione dicere est, Deus ingenita ingenite facit: non absque ratione quoque dicatur, Ingenite ingenita fiūt. Consequitur namque creationem id quod creatur, necessitate naturali. Sin secundum absurdum est, absurdū vtiq; fuerit & primum. Si *fieri* temporaneum est, temporaneum quoque *efficere*: pari enim sūt valore. Impossibile nāq; est, si effector efficiat, quin id quod efficitur fiat. Si ingenite nihil fit, neq; sane ingenite quidquā efficitur. nā *Fieri* & *Effici*, verbo quidē nō idē, re vero ipsa idē est. Deus, si eo quod sit efficit, coactu efficit quæ

Ἀλλὰ μὴν οὐδ᾽ οὕτως τὸν Θεὸν τῷ εἶναι ποιεῖν ὑποθετέον, ὡς τὸ πῦρ θερμαίνει. τὸ γὰρ πῦρ εἰ καὶ οὐσιωδῶς, ἀλλ᾽ ὅμως συμβεβηκυῖαν ἔχει τὴν θερμότητα. παρὰ δὲ τῷ Θεῷ οὐδὲν οὔτε οὐσιωδῶς συμβέβηκεν, οὔτε συμβεβηκότως. ἐπεὶ οὖν συμβέβηκε μὲν αὐτῷ οὐδὲν, τὸ δὲ εἶναι καὶ τὸ βούλεσθαι ταὐτὸν ὑπάρχει τῷ Θεῷ, ἁπλοῦν τί ἐστι, καὶ μονοειδὲς, ποιητικὸν ἀγεννήτως τῶν ὄντων. Τὸ μὲν πῶς συμβέβηκε τῷ πυρὶ ἡ θερμότης, ὡς βούλεται λέγειν ὁ ἀποκρινάμενος, λεγέτω. οὐ γὰρ περὶ τοῦ πῶς αὐτῷ συμβέβηκεν ἡ θερμότης, νῦν ἐστι τὸ ζητούμενον, ἀλλὰ περὶ τῆς ἀβουλήτου ἐνεργείας, καθ᾽ ἣν τῷ εἶναι ἐνεργεῖ. Τὸ βούλεσθαι, ἢ οὐσία ἐστὶν, ἢ πρόσεστι τῇ οὐσίᾳ. ἀλλ᾽ εἰ μὲν οὐσία ἐστὶν, οὐκ ἔστιν ὁ βουλόμενος· εἰ δὲ πρόσεστι τῇ οὐσίᾳ, ἐξ ἀνάγκης ἄλλο καὶ ἄλλο ἐστίν· οὐκ ἔστι γὰρ τὸ ὂν καὶ τὸ προσόν, ταὐτόν. Εἰ πολλὰ μὲν βούλεται ὁ Θεὸς, πολλὰ δὲ οὐκ ἔστιν, οὐκ ἄρα ταὐτὸν παρὰ τῷ Θεῷ τὸ εἶναι τῷ βούλεσθαι. Ὁ Θεὸς, εἰ ὅσα μὲν βούλεται ποιεῖν, δύναται ποιεῖν· οὐχ ὅσα δὲ δύναται ποιεῖν, βούλεται ποιεῖν· οὐ ταὐτὸν ἄρα παρ᾽ αὐτῷ τὸ εἶναι τῷ βούλεσθαι. Ὁ Θεὸς εἰ ἓν μέν ἐστι, καὶ ἁπλοῦν, καὶ μονοειδές· πολλὰ δὲ βούλεται, καὶ πολλὰ οὐ βούλεται· οἷον, βούλεται μὲν τῇ ποικιλίᾳ πολλὰ εἶναι τὰ ὄντα, ἄπειρα δὲ αὐτὰ εἶναι τῷ πλήθει οὐ βούλεται· οὐκ ἄρα ταὐτὸν παρ᾽ αὐτῷ τὸ εἶναι τῷ βούλεσθαι. Ὁ Θεὸς εἰ ὃ ὑπάρχει οὐ ποιεῖ, ποιεῖ δὲ ὃ βούλεται, βούλεται δὲ ποιεῖν τὸν κόσμον, οὐκ ἄρα ταὐτὸν παρ᾽ αὐτῷ τῷ εἶναι τὸ βούλεσθαι. Εἰ ἀγεννήτως ἀγέννητα οὐ γίνεται, οὐδ᾽ ἄρα ἀγεννήτως ἀγέννητα ποιεῖ ὁ Θεός. ἀδύνατον γὰρ εἶναι ποιητὸν ἀγέννητον. Ὥσπερ ἡ διδασκαλία ἐνέργειά ἐστι τοῦ διδάσκοντος ἐν τῷ μανθάνοντι, οὕτως ἡ ποίησις ἐνέργειά ἐστι τοῦ ποιοῦντος ἐν τῷ ποιουμένῳ. ὁ ἄρα ἀναιρῶν τὴν γένεσιν ἀπὸ τοῦ ποιουμένου, ἀναιρεῖ καὶ τὴν ἐνέργειαν ἀπὸ τῆς ποιήσεως τοῦ ποιοῦντος. Μάτην ἐνεργεῖ Θεὸς τὴν ποίησιν, οὐκ ὄντος τοῦ γινομένου. Εἰ ἀποιήτως οὐ ποιεῖ ὁ Θεὸς, οὐδὲ ἄρα ἀγεννήτως ποιεῖ. τὸ ποιεῖ ὁ Θεὸς, φάσις ἐστὶ ποιήσεως· τὸ δὲ ἀποιήτως ποιεῖ, δυνάμει ἀπόφασίς ἐστι τῆς φάσεως. Μαχόμενα ὀνόματα, τὸ ἀγέννητον καὶ τὸ ποιητόν. Εἰ τὸ διὰ ποιήσεως ἀγέννητον, οὐκ ἄρα ἀγέννητον τὸ μὴ διὰ ποιήσεως. 127 Οὐδὲν διαφέρει τὸ λέγειν, Ὁ μὲν ποιήσας ἐποίησε, τὸ δὲ ποιούμενον οὐκ ἐγένετο, τοῦ λέγειν, Ποιεῖ ὁ Θεὸς τὰ ἀγέννητα. Εἰ εὔλογον τὸ λέγειν, ὁ Θεὸς ἀγεννήτως ἀγέννητα ποιεῖ, εὔλογον ἄρα καὶ τὸ λέγειν, ἀγεννήτως τὰ ἀγέννητα γίνεται. ἀκολουθεῖ γὰρ τῷ ποιεῖν τὸ γίνεσθαι φυσικῇ ἀνάγκῃ. εἰ δὲ ἄτοπον τὸ δεύτερον, ἄτοπον ἄρα καὶ τὸ πρῶτον. Εἰ ἔγχρονον τὸ γίνεσθαι, ἔγχρονον καὶ τὸ ποιεῖσθαι· ἰσοδύναμα γάρ. ἀδύνατον γὰρ ὄντως ποιεῖν τὸν ποιοῦντα, μὴ γίνεσθαι τὸ ποιούμενον. Εἰ ἀγεννήτως οὐδὲν γίνεται, οὐδ᾽ ἄρα ἀγεννήτως ποιεῖταί τι. τὸ γὰρ γίνεσθαι καὶ τὸ ποιεῖσθαι, λέξει μὲν οὐ ταὐτὸν, ἔργῳ δὲ ταὐτόν. Ὁ Θεὸς εἰ τῷ εἶναι ποιεῖ, ἀναγκαστικῶς ποιεῖ ἃ ποιεῖ·

ποιεῖ· εἰ δὲ τῷ βούλεσθαι ποιεῖ, αὐθεντικῶς ποιεῖ· αὐθεντικῶς δὲ ποιῶν, ὅσα βούλεται, καὶ οἷα βούλεται, καὶ ὅτε βούλεται, ποιεῖ. Ὁ Θεὸς εἰ τῷ εἶναι ποιεῖ, εἰς οὐδὲν αὐτῷ χρησιμεύει τὸ βούλεσθαι, ᾧ οὐδαμῶς δύναται κεχρῆσθαι. Δύο ἀσύμβατα ἔθησιν ἐπὶ τοῦ Θεοῦ ὁ ἀποκρινάμενος· ποιητικὸν αὐτὸν ὀνομάζει τῶν ὄντων, καὶ προσάπτει αὐτῷ τὸ ἀγεννήτως ποιεῖν. εἰ γὰρ αὐτὸς μὲν ἀγεννήτως ποιεῖ, τὸ δὲ ποιούμενον οὐδαμῶς γίνεται, οὔτε γεννητῶς οὔτε ἀγεννήτως, οὔτε ποιητῶς οὔτε ἀποιήτως· ὥσπερ ἄρα οὐ γίνεται τὸ ποιούμενον, οὕτως οὐδὲ ποιεῖ ὁ ποιῶν. Ὥσπερ, φησὶν, ὁρῶμεν ὅτι τὰ γεννητὰ, οἷον ἄνθρωπος γεννητῶς γενόμενος, γεννητός τις ὢν, γεννητὰ ποιεῖ· καὶ καθόλου τὰ γεννητὰ γεννητῶς γενόμενα, γεννητὰ καὶ τὰ ἐξ αὐτῶν ποιεῖ· τὸν αὐτὸν τρόπον καὶ ὁ Θεὸς, ἀγέννητος ὢν, ἀγεννήτως ποιεῖ πάντα, οὐ γενόμενα, ἀλλὰ συνυφιστάμενα· καὶ τῇ μὲν τῆς δυνάμεως ἀπειρίᾳ τὰ διάφορα ποιεῖ. Τίς οὖν ἐστιν ὁ ποιήσας τὸν ἄνθρωπον τὸν κατὰ τὴν φωνὴν τοῦ ἀποκρινάμενου γεννητῶς γενόμενον, καὶ αὐτὸν ὄντα γεννητὸν, γεννητῶς γεννητὰ ποιοῦντα; ἀλλὰ εἰ μὲν ὁ Θεὸς, πῶς οὐκ ἐψεύσατο ὁ ἀποκρινάμενος, εἰπών, Ὁ Θεὸς, ἀγέννητος ὢν, ἀγεννήτως ἀγέννητα ποιεῖ; εἰ δὲ οὐχ ὁ Θεὸς, πῶς οὐ τῶν ἀλλοτρίων προνοεῖ ὁ Θεὸς, προνοῶν τῶν ἀνθρώπων, ὧν οὐκ ἐστι ποιητής; εἰ δὲ ἄτοπον τὸ μὴ λέγειν τὸν Θεὸν ποιητὴν τοῦ ἀνθρώπου, ἄτοπον ἄρα καὶ τὸ λέγειν τὸν Θεὸν ἀγεννήτως ἀγέννητα ποιεῖν. ἰδοὺ γὰρ πεποίηκε τὸν ἄνθρωπον γεννητῶς, ὄντα γεννητόν. Εἰ οὖν τὸ μέρος γεννητὸν, τούτου ἐξ ἀνάγκης καὶ τὸ ὅλον γεννητόν· μέρος δὲ τοῦ κόσμου ὁ ἄνθρωπος ὁ κατὰ τὴν φωνὴν τοῦ ἀποκρινάμενου γεννητῶς γενόμενος· γεννητὸς ἄρα καὶ ὁ κόσμος. Εἰ ἀγέννητός ἐστιν ὁ Θεὸς, καὶ τὰ ἀγέννητα ποιεῖ, πῶς οὐ κατὰ κοινοῦ φέρει τὸ τοῦ ἀγεννήτου ὄνομα, τῷ μηδενὶ αὐτὸν ἀντιδιαστέλλων; Εἰ ὁ Θεὸς ὃ ἐστιν οὐ ποιεῖ· ἀδύνατον γάρ· ποιεῖ δὲ ἃ οὐκ ἐστι· γεννητὰ ἄρα ποιεῖ ἀγέννητος αὐτὸς ὤν. οὐ ζητοῦμεν δὲ πρῶτον τὸ πῶς ποιεῖ ὁ Θεὸς, ἀλλὰ τὸ τί ποιεῖ. εὑρεθὲν γὰρ τὸ τί ποιεῖ, εὑρηται καὶ τὸ πῶς ποιεῖ. Εἰ ἀγέννητος ὑπάρχων ὁ Θεὸς, ἀγεννήτως ἀγέννητα ποιεῖ, καὶ ἀδέσποτος ἄρα ὑπάρχων, ἀδεσπότως ἀδέσποτα ποιεῖ. εἰ δὲ ἄτοπον τὸ δεύτερον, ἄτοπον ἄρα καὶ τὸ πρῶτον. Τὰ ἀδιαστάτως συνυφιστάμενα ἀλλήλοις, οὐδὲν αὐτῶν οὐδενὸς αὐτῶν δύναται εἶναι ποιητής. εἰ δὲ μή γε, ἀλλήλων ἔσονται ποιητικά· εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν τὸν Θεὸν ποιητὴν τῶν ἀδιαστάτως αὐτῷ συνυφισταμένων. Εἰ ἄπειρα μὲν δύναται ποιεῖν ὁ Θεὸς, ἀλλὰ τῷ βούλεσθαι· ὁ Θεὸς δὲ διάφορα μὲν εἶναι οὐ δύναται· ἓν γάρ ἐστι, καὶ ἁπλοῦν, καὶ μονοειδές· διάφορα δὲ βούλεται· οὐκ ἄρα τῷ εἶναι ποιεῖ, ἀλλὰ τῷ βούλεσθαι.

efficit: sin eo quod velit efficit, suapte potestate efficit. Qui autem suapte potestate efficit, quæcumque vult, & qualiacumque vult, & quandocumque vult, efficit. Si Deus, eo quod sit efficit, nulli ei est voluntas vsui: qua nullo modo vti potest. Respondens duo incõuenientia minusque consentanea in Deo posuit Effectorem ipsum eorũ quæ sint, nominat: & annectit ei, ingenite quæ sit, creationẽ. nam si ipse quidem ingenite efficit; id autẽ quod efficitur haudquaquam fit, neque geniti neque effecti, neque ingeniti neq; infecti modo: nimirum sicut id quod efficitur non fit, ita neque effector efficit. *Sicut*, inquit, *videmus ea quæ genita sunt, velut hominem certum per generationem genitum, cũ genitus sit, genita creare; & in vniuersum genita per generationem procreata; genita etiam ex ipsis creare: ita & Deus, ingenitus cum sit, ingenite facit omnia: non genita illa, sed simul subsistẽtia: qui quidem virtutis siue potentiæ infinitate multifaria facit.* Quis igitur hominem condidit, qui iuxta respõdentis verba, per generationem siue genite genitus, & ipse, cum genitus sit, genite genita creat? Si quidem Deus, quomodo respondens fallus non est cum dicit: *Deus, cum ingenitus sit, ingenite ingenita facit?* At si non Deus, quomodo Deus prouidentia sua non aliena curat, cui homines curæ sunt, quorum cõditor non est? Sin absurdum est dicere, Deum hominum non esse effectorem: absurdum profecto etiam erit dicere, Deum ingenite ingenita efficere. Ecce enim hominem ingenite qui & ipse ad gignendum sit idoneus, effecit. Sed cuius pars genita est, vniuersum etiã genitũ esse necesse est: pars autem mundi homo est, iuxta respondentis verba, genite genitus: proinde genitus quoque mundus. Si ingenitus est Deus, & ingenita efficit: quomodo nõ aduersus communem vsum fert ingeniti nomẽ, eo quod se nulli cõfert rei? Si Deus id quod est nõ facit: (impossibile enim hoc est) facit autem ea quæ non est: genita videlicet facit; cũ ipse ingenitus sit. Nõ quærimus autem, quomodo Deus faciat, sed quid faciat. Cum namque inuẽtum fuerit quid faciat, inuenietur etiam quomodo faciat. Si Deus, cũ ingenitus sit, ingenite ingenita creat: nimirum etiã suapte summa potestate liber cũ sit, eadem potestate libere res itidem liberas creat. Sin secundũ absurdũ est, absurdũ fuerit & primũ. Eorũ quæ nullo interposito interstitio & momento simul aliud cũ alio subsistũt, aliud alii effectrix causa esse nequit: sin secus, fuerint alia aliis effectrices causæ. Id vero si absurdum est, absurdum quoque fuerit dicere, Deũ esse eorũ effectorẽ quæ vna cum eo, nullo interposito interstitio & momẽto cõsubsistunt. Si infinita quidẽ creare potest Deus, sed volũtate; Deus aũt varia esse nõ potest: vnũ nãq; est, & simplex, & vniforme; varia vero vult: quocirca nõ essentia, sed volũtate creat.

Si, quemadmodũ cum cõpositione linearũ simul subsistũt anguli, sic & mundus cõ subsistit Deo: sane quidẽ præter volũtatẽ coactus mundũ Deus creat, nõ per se, sed accidentiã: coactu enim & accidẽtia simul cũ linearũ positura, anguli consistunt.

Conditor id quod non sit, condit: nã quod sit, conditore non indiget. Quod si ita est, videlicet Deus eorum quæ simul cum ipso consistunt, sicut respondens ait, conditor non est. Deus domum non construxit, sed hominem fecit; eique facultatem qua domum cõstruere posset, dedit. Nihil certe eorum ingenite est apud Deum, neque hominis creatio, neq; facultatis donatio.

Respondens duas posuit regulas; vnam, de creatione eorum quæ ingenita sint, & ingenite creẽt: alteram de creatione eorum quæ genita sint, & genite procreẽt. Et Opera quidem, inquit, ingenitorum simul cum auctorib. suis ingenite consubsistũt: opera autem genitorum, temporalia sunt. Porro cũ nullum eorũ quæ ingenita sunt, in tempore creet, nempe ea quæ genita sunt, neque genita ab ingenito sunt, neque gigni potuerunt. *Non cõsideremus autem, Deum humano modo facere: nõ enim sicut nos, primum aliter habentes, postea in aliud mutantes, facere dicimur, sic Deus quoque facit: sed propter ineffabilem & excellentem potẽtiam, absq; tempore faciens omnia, perficit omnia. & simul vna cum eo quod ipse sit, ea etiam quæ sint, facit: nõ necesse habens, veluti nos, vt prius gignatur & consummetur, atque ita postea faciat. propterea quod in eum non cadat, vel quod prius vel quod posterius sit.* Nos quidem id quod prius est, mutamus in id quod posterius est, si melius quidquam reperiamus: Deus autem non itidem. Verum ille, pro eo atq; par est, ab initio facit, priora in posterius non commutans. Nam si statueret ab initio priora mutare in posteriora, ac nõ mutaret, vel quod parum valida eius esset potestas, vel quod melius eo quod destinauerit, quidquam reperiret, facere id existimaretur. Quorum nihil Deo adest: videlicet neque potentiæ infirmitas, neque posterius melioris quam prius fuerit inuentio.

Si Deus facit omnia, non quæ fiant, sed quæ simul subsistant: superuacaneum est, ea quæ simul atque ipse sit, vna cũ eo sint facere. vt enim superfluum est, linearum compositione exstante, angulos facere: sic superuacuum est, cum Deus simul cum mundo sit, facere mundum: si quidem is, prout responsi auctor ait, simul cum Deo subsistit. Si simul cũ essentia Dei etiam mundus est, & mundus semper in motu; motus autem in tempore est: nẽpe in tempore cum mũdo fuerit Deus.

Si Deus, cum ingenitus sit, ingenite ingenita efficit, non ea quæ fiant, sed ea quæ ipsi consubsistant: ingenitus certe & homo fuerit; quippe qui pars sit mũdi. Quomodo igitur eum genitũ respondẽs dicit? Et si Deus, ingenitus quod

Εἰ ὥσπερ τῇ συνθέσει τῶν γραμμῶν συνυφίστανται αἱ γωνίαι, οὕτως καὶ ὁ κόσμος τῷ Θεῷ· ἀναγκαστικῶς ἄρα καὶ ἀβουλήτως ποιεῖ τὸν κόσμον ὁ Θεός, 228
κατὰ συμβεβηκός, καὶ οὐ καθ' αὑτό. ἀναγκαστικῶς γὰρ καὶ κατὰ συμβεβηκὸς συνυφίστανται αἱ γωνίαι τῇ θέσει τῶν γραμμῶν.

Ὁ ποιῶν, τὸ μὴ ὂν ποιεῖ· τὸ γὰρ ὄν, οὐ χρήζει ποιητοῦ. ἀλλ' εἰ τοῦτο, οὐκ ἄρα ποιητής ἐστιν ὁ Θεὸς τῶν συνυφισταμένων αὐτῷ, καθά φησιν ὁ ἀποκρινάμενος. Ὁ Θεὸς οἰκίαν οὐκ ἐποίησεν, ἀλλ' ἐποίησε τὸν ἄνθρωπον, καὶ δέδωκεν αὐτῷ δύναμιν ποιητικὴν τῆς οἰκίας. οὐδὲν οὖν τούτων ἀγεννήτως παρὰ τῷ Θεῷ, οὔτε ἡ ποίησις τοῦ ἀνθρώπου, οὔτε ἡ δόσις τῆς δυνάμεως.

Δύο κανόνας ἔθηκεν ὁ ἀποκρινάμενος· ἕνα μέν, ἐπὶ τῆς ποιήσεως τῶν ἀγεννήτων ὄντων, καὶ ἀγεννήτως ποιούντων· ἕνα δέ, ἐπὶ τῆς ποιήσεως τῶν γεννητῶν ὄντων καὶ γεννητῶς ποιούντων· καὶ τὰ μέν, φησίν, ἔργα τῶν ἀγεννήτων συνυφίσταται τοῖς ἑαυτῶν ποιηταῖς ἀγεννήτως· τὰ δὲ ἔργα τῶν γεννητῶν, ἔγχρονα. μηδενὸς τοίνυν τῶν ἀγεννήτων ἐγχρόνως ποιούντων, δηλονότι τὰ γεννητὰ οὔτε γέγονεν ὑπὸ τοῦ ἀγεννήτου, οὔτε γενέσθαι δύναται. Μὴ προσέχωμεν δὲ τὸ ποιεῖν τὸν Θεὸν ἀνθρωπίνως, οὐδ' ὥσπερ ἡμεῖς τὸ πρότερον ἄλλως ἔχοντες, ὕστερον εἰς ἄλλο μεταβάλλοντες λεγόμεθα ποιεῖν, οὕτως καὶ ὁ Θεὸς ποιεῖ· ἀλλὰ δι' ἄρρητον ὑπερβάλλουσάν τε δύναμιν ἀχρόνως ποιῶν πάντα τελειοῖ, καὶ ἅμα τῷ αὐτὸν εἶναι καὶ τὰ ὄντα ποιεῖ, οὐ χρείαν ἔχων ὥσπερ ἡμεῖς τοῦ πρότερον γενέσθαι καὶ τελειωθῆναι, καὶ οὕτως ποιῆσαι, διὰ τὸ μηδὲν εἶναι ἐν αὐτῷ πρότερον καὶ ὕστερον:- Ἡμεῖς μὲν τὸ πρότερον μεταβάλλομεν εἰς τὸ ὕστερον, τῇ εὑρέσει τοῦ βελτίονος· ὁ δὲ Θεός, οὐχ οὕτως. ἀλλ' ὥσπερ προσήκει, τὸ ἐξ ἀρχῆς ποιεῖ οὐ μεταβάλλων εἰς ὕστερον τὰ πρότερα. εἰ γὰρ προέθηκε μὲν ἐξ ἀρχῆς τὸ μεταβαλεῖν εἰς ὕστερα τὰ πρότερα, καὶ οὐ μεταβάλλει, ἢ ἀσθένεια ἐνομίζετο τῆς δυνάμεως, ἢ ὅτι εὗρε τοῦ προκειμένου τὸ βέλτιον· ὧν οὐδὲν πρόσεστι τῷ Θεῷ, οὔτε ἡ ἀσθένεια τῆς δυνάμεως, οὔτε τὸ ὕστερον εὑρεῖν τοῦ προτέρου τὸ βέλτιον.

Εἰ ποιεῖ ὁ Θεὸς πάντα τὰ μὴ γινόμενα, ἀλλὰ συνυφιστάμενα, περιττὸν ἦν τὸ τὰ ἅμα τῷ εἶναι αὐτὸν ὄντα ποιεῖν. ὥσπερ γὰρ περιττὸν ἦν οὔσης τῆς συνθέσεως τῶν γραμμῶν ποιῆσαι τὰς γωνίας, οὕτως περιττὸν ἦν ὄντος τοῦ Θεοῦ σὺν τῷ κόσμῳ ποιῆσαι τὸν κόσμον, εἰ ἄρα συνυφίσταται τῷ Θεῷ, καθά φησιν ὁ ἀποκρινάμενος. Εἰ ἅμα τῷ εἶναι τὸν Θεόν, ἔστι καὶ ὁ κόσμος· ὁ δὲ κόσμος ἀεὶ ἐν κινήσει· ἡ δὲ κίνησις ἐν χρόνῳ· ἐν χρόνῳ ἄρα ὁ Θεὸς σὺν τῷ κόσμῳ.

Εἰ ἀγέννητος ὢν ὁ Θεός, καὶ ἀγεννήτως ἀγέννητα ποιεῖ, οὐ τὰ γινόμενα, ἀλλὰ τὰ συνυφιστάμενα αὐτῷ· ἀγέννητος ἄρα καὶ ὁ ἄνθρωπος, μέρος ὢν τοῦ κόσμου. πῶς οὖν γεννητὸν τοῦτον ὁ ἀποκρινάμενος καλεῖ; καὶ εἰ ἀγέννητος ὢν ὁ Θεὸς

καὶ ἀγεννήτως ἀγέννητα ποιεῖ, δηλονότι καὶ ἁπλοῦς
ὤν, ἁπλᾶ πάντα συνυφιστάμενα αὐτῷ ποιεῖ. ἀλλ'
εἰ τοῦτο, οὐκ ἄρα συνυφίσταται τῷ Θεῷ ὁ κόσμος,
σύνθετος ὢν καὶ ὅλῳ, καὶ μέρει. Εἰ ἕν ἐστιν ὁ Θεός,
καὶ οὐχ ἓν τὸ συνυφιστάμενον αὐτῷ, οὐδὲ ἄρα συνυφί-
σταται αὐτῷ τὰ γεννητὰ ἀγεννήτῳ ὄντι. Ὁ Θεὸς
εἰ νοητῶν τε καὶ αἰσθητῶν ἐστιν ἐπέκεινα, καὶ οὐ ποιεῖ
ἔργα νοητῶν τε καὶ αἰσθητῶν ἐπέκεινα, οὐδ' ἄρα ἀ-
γέννητος ὤν, ἀγέννητα ποιεῖ. Εἰ ἀδύνατον συνυ-
φίστασθαι τῷ ἐπέκεινα ἑαυτοῦ, πῶς συνυπέστη ὁ κό-
σμος τῷ Θεῷ, ἐπέκεινα ὄντι αὐτοῦ; Εἰ ἀδύνα-
τον εἶναι ἀγέννητα τὰ σύνθετα, πῶς ὁ οὐρανὸς καὶ ὁ
ἥλιος καὶ κόσμος ἐστὶν, ἀγέννητοι σύνθετοι ὄντες, ἄλ-
» λοθεν ἔχοντες τὴν ὕλην, καὶ ἄλλοθεν τὸ εἶδος; Ὁ-
» ρῶμεν καὶ τὴν φύσιν αὐτῷ τῷ εἶναι ποιοῦσαν, καὶ ἀ-
» θρόαν ἀεὶ τὴν μεταβολὴν ἐργαζομένην· ὥσπερ ἐ-
» πὶ τῆς πήξεως τοῦ γάλακτος ἀθρόως τὴν πῆξιν
229 θεώμεθα παραγινομένην τῷ γάλακτι. πολλῷ
» τοίνυν τὸν Θεὸν μᾶλλον αἴτιον ἀθρόως καὶ ἀχρόνως
» πάντα ποιεῖν, αὐτὸν μὲν ὄντα ἕν, τῇ δὲ ἀπειρίᾳ
» τῆς δυνάμεως διάφορα προάγοντα, καὶ αὐτὰ
» παντελῶς αὐτοπάρακτα τυγχάνοντα.— Ἡ μὲν
φύσις ἀθρόαν τὴν μεταβολὴν ἐργάζεται, οὐ πρὸς
ποίησιν οὐσίας, ἀλλὰ πρὸς ποίησιν τοῦ πάθους· ἡ
γὰρ πῆξις ἐν τῷ γάλακτι, πάθος ἐστὶ τοῦ γάλακτος·
οὐσίαν δὲ οὐδαμῶς ἀθρόως ποιεῖ ἡ φύσις. πῶς
οὖν οὐκ ἔστιν ὁ ἀποκρινάμενος ἀνοικείῳ ὑποδεί-
γματι τῇ ἐργασίᾳ τῆς φύσεως χρησάμενος πρὸς
παράστασιν τῆς τοῦ Θεοῦ ἀχρόνως ἐργασίας, δη-
μιουργοῦ πολλῶν καὶ διαφόρων οὐσιῶν ὄντος, ἃς
κἂν ἀθρόως ποιῇ ὁ Θεός, οὐδ' οὕτως ἀχρόνως. τὸ
γὰρ ἀθρόον τοῦ χρόνου ἐστὶ τὸ ἄτομον. Τῶν αὐτο-
παράκτων οὐ κυριεύει ἡ τοῦ Θεοῦ βούλησις· κυρι-
εύει δὲ ἡ βούλησις τοῦ Θεοῦ ὧν αὐτὴ παράγει. ἀλλ'
εἰ κυριεύει ἡ βούλησις τοῦ Θεοῦ πάντων, οὐδὲν ἄ-
ρα αὐτοπάρακτον. αὐτοπάρακτον ὀνομάζει ὁ ἀ-
ποκρινάμενος καὶ τὸν Θεόν, καὶ τὸν κόσμον. ἀλλ'
εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος, συνυφιστάμενος τῇ
αἰτίᾳ τῆς ὑποστάσεως αὐτοῦ, ἀνάγκη ἄρα καὶ τὸν
Θεὸν αὐτοπάρακτον ὄντα, συνυφίστασθαι τῇ αἰτίᾳ
τῆς ὑποστάσεως αὐτοῦ. ἀλλ' εἰ τοῦτο ἄτοπον, ἄτοπον
ἄρα καὶ τὸ λέγειν τὸν Θεὸν καὶ τὸν κόσμον αὐτοπα-
ράκτους, καὶ συνυφισταμένους ἀλλήλοις ἀδιαστά-
τως. Εἰ καθ' αὑτὸ μέν ἐστιν ὁ Θεὸς αὐτοπάρακτος,
κατὰ συμβεβηκὸς δὲ ὁ κόσμος ὁ συνυφιστάμενος
αὐτῷ, πῶς οὐκ ἔστι ψευδὲς τό, Οὐδὲν συμβαίνει Θεῷ,
εἴ γε αὐτοπαράκτως παραγομένου τοῦ Θεοῦ, συνυπέ-
στη αὐτῷ αὐτοπάρακτος ὁ κόσμος; Εἰ τὰ φυ-
σικῇ ἀνάγκῃ τινὶ συμβησόμενα, ἀβουλήτως συμ-

quod sit, ingenite ingenita efficit: nimirũ & simplex cum sit, simplicia omnia, quæ simul cum ipso subsistunt, efficit. Quod si hoc obtinet, videlicet non simul subsistit cum Deo mũdus, eo quod compositus sit, qua in vniuersitate, qua in partibus. Si Deus vnum est, non vnum vero quod simul cum ipso consubsistit: itaque non simul cum eo consubsistunt genita, cũ ipse sit ingenitus. Si Deus longe est vltra ea & quæ animo cernuntur, & quæ sub sensus cadunt; & opera quæ longe supra ea sunt, & quæ ratione perspiciuntur, & quæ sensibus percipiuntur, non efficit: neque sane, cum ingenitus sit, ingenita efficit. Si fieri haudquaquam potest vt aliquid cũ eo simul subsistat quod longe vltra id ipsum est: quomodo mũdus cum Deo, qui vltra mundũ ipsum est, simul subsistit? Si impossibile est vt quæ composita sint, eadem sint ingenita: quomodo cælum, sol & mundus, cum cõpositi sint, ingeniti esse possunt, & materiam aliunde, & formam aliũde habentes? *Idcirco cernimus & naturam eo ipso quod sit facientem, & vniuersam semper mutationem operantem: quemadmodum lacte coagulando, cernimus vniuersim coagulationem lactis aduenire. Sane quidem multo magis putandum, Deum cumulate atque absque tempore facere cuncta: cum ipse quidem sit vnum, infinita vero potẽtia diuersa producat, quæ quidem omnino per seipsa producta sint.* Natura quidem vniuersam efficit mutationem, non substantia autem creanda, sed perpessione efficienda. nam coagulatio in lacte, perpessio est lactis; substãtiam vero nequaquam natura vniuersim efficit. Quomodo igitur responsi auctor minus proprio minusque apposito exemplo, naturæ scilicet actione, ad Dei non temporariam actionẽ adstruendam vsus non est, cum multæ sint & diuersæ substantiæ conditoris, quas, etiamsi cumulate, non tamen absque tempore creat. Cumulatum enim temporis, est indiuiduum momẽtum. Eis quæ per seipsa producta sunt, voluntas Dei nõ dominatur. In ea autem dominatur Dei voluntas, quæ ipsa producit. Sin volũtas Dei in rebus omnibus dominatur, nimirum nihil fuerit quod per seipsum sit productum. Respondens per seipsum productum nominat & Deum & mundum. Enimuero si per seipsum productus est mundus, qui simul cum causa subsistentiæ eius consubstiterit: necesse profecto fuerit, & Deum qui per seipsum productus sit, simul cũ causa subsistentiæ eius consubstitisse. Sin id incõueniens est, inconueniens etiam fuerit dicere, & Deum & mũdum per seipsos productos esse, & simul alterũ cũ altero nullius interuẽtu interstitii & momẽti substitisse. Si per se quidẽ Deus per seipsum productus est, accidentia autẽ mundus cum eo simul subsistit: quomodo falsum non est illud; *Nihil Deo euenit*: siquidem Deo per seipsum producti in modũ producto, per seipsum productus consubsistit mundus? Si, quæ alicui naturali necessitate eueniunt, præter voluntatem ipsius

ei eueniunt: quomodo, si naturali necessitate simul cum Deo mundus subsistit, non inuito ipso accidentia cum eo simul subsistit? Si idem est apud Deū, Esse & Velle: videlicet in eis quæ nō velit Deus, nō fuerit. Quomodo igitur cum is non esset, cū ipso mundus simul subsistet? Præter voluntatem namq; eius cum eo simul mūdus subsistit. Si ingenitus ingenite ingenita efficit, nēpe & incōpositus incōposite incōposita efficit. Sin secundū non obtinet, nō obtinet & primum. Compositus enim est mundus. Si Deus diuino modo deos non creat: quomodo ingenitus ingenito modo ingenita creat? Non enim ipse sibiipsi cōsubsistit, sed alius. Aliud est Deus, aliud ingenitum: illud quidem exsistit, hoc autem secernitur a genitis. Et faciēs Deus exsistit, facit; nō secernitur. Sin & eo quod secernitur, facit; accidentiā non per se facit. Quo modo igitur nihil accidit Deo, accidentiā facienti? Si, quemadmodum vna cum globo simul subsistit concauum & conuexum, sic vna cum Deo simul subsistit mundus: fuerit certe inuicem alter alterius causa, Deus mundi, mundus Dei: haud aliter atque illa. Si quis suapte voluntate ea non facit quæ etiam inuitus facit itaque quomodo mundum Deus volēs fecit, quem etiam facere nolens, necessitate vrgente fecit? Si Deus vnum quidem est essentia, infinitus autem potētia: ea vero quæ cum eo simul subsistunt, neq; vnum iuxta essentiam eius, neque infinita iuxta potentiam eius sunt: minime ergo simul cū eo subsistūt. Deus semper perfectus est, semper potēs est. Atque in ipso nihil est quod prius sit & posterius. In operibus autē eius est vtrūque. Si opera eius composita sunt: quidquid vero cōpositū est, ex simplicibus cōstituitur: fieri certe nequit vt simul simplicia cum compositis exsistant. Primum namque simplicia, postea autem composita constant. Quemadmodum calumniose incusari nō potest Deus de potentiæ imbecillitate, quod plures mundos nō creauerit, sed vno condito, creatione supersederit: ita extra calumniam est potentiæ imperfectionis, quod non simul atque ipse fuerit, sed cum voluerit, mundum effecerit. Nihil interest id quod per seipsum productū est, et quod per seipsum genitum est. Cæterū, si per seipsum productus est Deus, & per seipsum productus est mūdus: fuerint per seipsos geniti Deus & mundus. Si, quēadmodum videmus vniuersim coagulationem lacti aduenire, ita vniuersim essētia mundo aduenit: genitus fuerit mūdus, & translatus ex eo quod non sit in id quod sit, nam *Aduenire* significat *fieri*. Si per seipsum productus est Deus, & per seipsum productus mundus: per seipsum productio vtriusque principium fuerit subsistentiæ vtriusque. proinde quomodo principii expers & æternus est Deus & mundus, per seipsum productiones suas principia obtinētes subsistentiarum suarum? Per seipsum

βαίνει αὐτῷ, πῶς, εἰ φυσικῇ ἀνάγκῃ συνυφίσταται ὁ κόσμος τῷ Θεῷ, οὐκ ἀβουλήτως αὐτῷ συνυφίσταται κατὰ συμβεβηκός; Εἰ ταὐτόν ἐστι παρὰ τῷ Θεῷ τὸ εἶναι τῷ βούλεσθαι, δηλονότι ἐν οἷς οὐ βούλεται ὁ Θεός, ἐν τούτοις οὐδέ ἐστι. πῶς οὖν μὴ ὄντος αὐτοῦ, ὁ κόσμος αὐτῷ συνυφίσταται; ἀβουλήτως γὰρ αὐτῷ συνυφίσταται ὁ κόσμος. Εἰ ὁ ἀγέννητος ἀγεννήτως ἀγέννητα ποιεῖ, δηλονότι καὶ ὁ ἀσύνθετος ἀσυνθέτως ἀσύνθετα ποιεῖ. εἰ δὲ μὴ τὸ δεύτερον, οὐδὲ ἄρα τὸ πρῶτον. σύνθετος γὰρ ὁ κόσμος. Εἰ ὁ Θεὸς θεϊκῶς θεοὺς οὐ ποιεῖ, πῶς ὁ ἀγέννητος ἀγεννήτως ἀγέννητα ποιεῖ; οὐ γὰρ αὐτὸς ἑαυτῷ συνυφίσταται, ἀλλὰ ἕτερος. Ἄλλο ὁ Θεός, ἄλλο τὸ ἀγέννητον· ἐκεῖνο μὲν ὑπάρχει, τοῦτο δὲ χωρίζεται τῶν γεννητῶν. καὶ ποιῶν ὁ Θεὸς ὑπάρχει, ποιεῖ οὐ χωρίζεται. εἰ δὲ καὶ ᾧ χωρίζεται ποιεῖ, ἀλλὰ κατὰ συμβεβηκός, καὶ οὐ καθ' αὑτό, πῶς οὐδὲν συμβαίνει τῷ Θεῷ κατὰ συμβεβηκὸς ποιοῦντι; Εἰ ὥσπερ συνυφίσταται τῇ σφαίρᾳ τὸ κοῖλον καὶ τὸ κυρτόν, οὕτως συνυφίσταται τῷ Θεῷ ὁ κόσμος· ἀλλήλων αἴτιοι ἄρα ὁ μὲν Θεὸς τοῦ κόσμου, ὁ δὲ κόσμος τοῦ Θεοῦ, καθάπερ κἀκεῖνα. Εἰ οὐ ποιεῖ τις βουλήσει ἃ καὶ μὴ βουλόμενος ἐποίει, πῶς οὖν βουλήσει τὸν κόσμον ἐποίησεν ὁ Θεός, ὃν καὶ μὴ βουλόμενος ποιεῖν, ἐξ ἀνάγκης ἐποίει; Εἰ ἓν μὲν τῇ οὐσίᾳ ὁ Θεός, ἄπειρος δὲ τῇ δυνάμει· τὰ δὲ συνυφιστάμενα αὐτῷ, μήτε ἓν κατὰ τὴν οὐσίαν αὐτοῦ, μήτε ἄπειρα κατὰ τὴν δύναμιν αὐτοῦ· οὐδὲ ἄρα συνυφίσταται αὐτῷ. Ὁ Θεὸς ἀεὶ τέλειός ἐστιν. ἀεὶ δυνατός ἐστιν· καὶ ἐν αὐτῷ μὲν πρότερον καὶ ὕστερον οὐδέν, ἐν δὲ τοῖς ἔργοις αὐτοῦ ἐστιν ἀμφότερα. Εἰ σύνθετα τὰ ἔργα αὐτοῦ, πᾶν δὲ σύνθετον ἐξ ἁπλῶν συγκεῖται, καὶ ἀδύνατον ἅμα εἶναι τὰ ἁπλᾶ τοῖς συνθέτοις. πρῶτα γὰρ τὰ ἁπλᾶ, ὕστερον δὲ τὰ σύνθετα. Ὥσπερ ἀδιάβλητος ὁ Θεὸς ἐπὶ τῇ ἀσθενείᾳ τῆς δυνάμεως, ὅτι μὴ ποιήσας πλείους κόσμους, ἀλλὰ ποιήσας ἕνα κόσμον ἔπαυσε τὴν ποίησιν· οὕτως ἀδιάβλητος ὁ Θεὸς ἐπὶ τῷ ἀτελεῖ τῆς δυνάμεως, ὅτι μὴ ἅμα τῷ εἶναι αὐτόν, τὸν κόσμον ἐποίησεν, ἀλλ' ὅτι ἐβούλετο. 230 Οὐδὲν διαφέρει τὸ αὐτοπάρακτον τοῦ αὐτογενοῦς. ἀλλὰ εἰ αὐτοπάρακτος ὁ Θεὸς καὶ αὐτοπάρακτος ὁ κόσμος, ἔσονται αὐτογέννητοι ὅ τε Θεὸς καὶ ὁ κόσμος. Εἰ, ὥσπερ ὁρῶμεν ἀθρόως τὴν πῆξιν τῷ γάλακτι παραγινομένην, οὕτως ἀθρόως παραγίνεται τῷ κόσμῳ τὸ εἶναι, γεννητὸς ἄρα ὁ κόσμος, καὶ μεταβλητὸς ἐκ τοῦ ἀνουσίου εἰς οὐσίαν· τὸ γὰρ παραγίνεται, τὸ γενέσθαι δηλοῖ. Εἰ αὐτοπάρακτος ὁ Θεός, καὶ αὐτοπάρακτος ὁ κόσμος, ἡ αὐτοπαραξία ἑκατέρου, ἑκατέρῳ ἔσται ἀρχὴ τῆς ὑπάρξεως. πῶς οὖν ἄναρχος καὶ ἀΐδιος ὁ Θεὸς καὶ ὁ κόσμος, τὰς αὐτοπαραξίας ἔχοντες αὐτῶν ἀρχὰς τῆς ὑπάρξεως αὐτῶν; Τὸ

αὐτοπάρακτον, παραγωγῆς ἔχει σημασίαν τοῦ ἀφ' ἑαυτοῦ παραγομένου. ἀλλὰ ἐπειδὴ πᾶν τὸ παραγόμενον ἢ τῇ παρουσίᾳ παράγεται κατὰ μετάβασιν ἐκ τόπου εἰς τόπον, ἢ τῇ οὐσίᾳ παράγεται κατὰ ποίησιν ἄγουσαν ἐκ τῆς ἀνυπαρξίας εἰς ὕπαρξιν· μηδὲν δὲ τούτων πρόσεστι τῷ Θεῷ, δηλονότι οὐκ ὀρθῶς αὐτὸν ὠνόμασεν ὁ ἀποκρινάμενος αὐτοπάρακτον. τὸ γὰρ αὐτοπάρακτον τοῦ ἑτεροπαράκτου τῷ ὅλως αὐτοπαράκτῳ οὐδὲν διαφέρει. Εἰ ἀδύνατον εἶναι τὸ ἀγέννητον ποιητόν, ἀδύνατον εἶναι τὸν κόσμον ἀγέννητον, καὶ τὸν ποιήσαντα αὐτὸν Θεόν. εἰ δὲ τῷ ποιητῷ διαφέρει ὁ κόσμος τοῦ Θεοῦ, ἐξ ἀνάγκης καὶ τῷ γεννητῷ διαφέρει. ποιητὸς γὰρ ὁ κόσμος, ἀποίητος δὲ ὁ Θεός. Εἰ ὁ φυσικῇ ἀνάγκῃ τῷ ἀγεννήτῳ συνυφιστάμενος, ἀποίητός ἐστι, πῶς οὖν οὐκ ἔστι ψευδὲς τό, Ἐποίησε ποιητὸν τὸν κόσμον ὁ Θεός, ἀποίητον ὄντα καὶ ἀγέννητον κατ' αὐτόν. Εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος καὶ οὐ ποιητός, ἐξ ἀνάγκης καὶ αὐτοποίητός ἐστιν. Τοῦ αὐτοπαράκτου τὸ αὐτογέννητον καὶ αὐτοποίητον οὐδὲν διαφέρει· ἀλλὰ εἰ αὐτοπάρακτος ὅ τε Θεὸς καὶ ὁ κόσμος, αὐτογέννητοι καὶ αὐτοποίητοι εἶεν ἄν. εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν, αὐτοπάρακτον μὲν τὸν ἄναρχόν τε καὶ ἀΐδιον Θεόν, ἀγέννητον δὲ καὶ αὐτοπάρακτον τὸν ποιητὸν κόσμον. Εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος, οὐκ ἔστι θεοπάρακτος· καὶ εἰ μὴ θεοπάρακτος, οὐδὲ παρήγαγεν αὐτὸν ὁ Θεός. πῶς οὖν ὁ ἀποκρινάμενος, ὅταν λέγῃ προάγοντα μὲν τὸν Θεόν, αὐτοπάρακτον δὲ τὸν κόσμον, οὐκ ἔστι ψευδῆ καὶ ἀσύμβατα λέγων;

„Πολλῷ τοίνυν, φησί, τὸν Θεὸν μᾶλλον οἰητέον ἀθρόως καὶ ἀχρόνως πάντα ποιεῖν, αὐτὸν μὲν ὄντα ἕν, τῇ δὲ ἀπειρίᾳ τῆς δυνάμεως τὰ διάφορα προάγοντα, καὶ αὐτὰ παντελῶς αὐτοπάρακτα τυγχάνοντα. Καὶ εἰ ἰσοδυναμεῖ τὸ ποιεῖν τῷ ποιῆσαι, πῶς ὁ ἀναιρῶν ἀπὸ τοῦ Θεοῦ τὸ ποιῆσαι ὡς ἔμφασιν μὲν ἔχον τοῦ μέλλοντος χρόνου, νῦν τίθησιν ἐπ' αὐτοῦ τὸ ποιεῖν, τὴν αὐτὴν ἔχον τοῦ χρόνου ἔμφασιν; εἰ δὲ σὺν τῇ ἐμφάσει τοῦ μέλλοντος χρόνου ἔχει τὸ ποιεῖν καὶ τοῦ παρεληλυθότος τὴν ἔμφασιν, πῶς οὐκ ἔστιν ἐν τῇ τοῦ Θεοῦ ἐργασίᾳ τοῦ χρόνου πάντα τὰ μέρη ὑπάρχοντα;

Ἐρώτησις Χριστιανικὴ πρὸς τοὺς Ἕλληνας δ'.

Εἰ ἀδύνατον τῷ πρότερον μὲν οὐκ ὄντι, ὕστερον δὲ ὄντι, συναΐδιον εἶναι τῷ ἀεὶ ὄντι, πῶς, εἰ γεννητὸς ὁ κόσμος, συναΐδιός ἐστι παρὰ τῷ Θεῷ;

Ἀπόκρισις Ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Ὅτι μὲν ἀδύνατον τὸ ἔγχρονον (τοῦτο γὰρ σημαίνει τὸ πάλαι μὲν μὴ ὄν, ὕστερον δὲ ὄν) ἀΐδιον εἶναι καὶ συναΐδιον τῷ ἀεὶ ὄντι, δῆλον· ὅτι δὲ καὶ ἐκ τούτου τοῦ λόγου δείκνυται ὁ κόσμος ἀγέννητος, καὶ τοῦτο παν-

seipsum produci, significationem productionis habet eius quod a seipso producitur. Sed enim cum, quidquid producitur, aut aduentu per transitionem e loco in locum, aut substantia per creationem, ex eo quod non subsistat in id quod subsistat, ducétem producitur: nihil vero horum Deo adest: ergo non recte eũ respondens per seipsum productum nominauit. Id enim quod per seipsum productum sit, ab eo quod aliter vel per aliũ productũ sit, ipsa omnino productione nihil differt. Si impossibile est, id quod ingenitum sit, factum esse: impossibile fuerit, mundũ ingenitum esse, & opificem eius esse Deum. Sin eo mundus quod factus sit, a Deo differt: necessario quoque eo quod genitus sit, differt. factus enim est mundus, non factus autem Deus. Si, qui naturali necessitate simul cum ingenito subsistit, infectus est: quomodo igitur falsum illud non est; Fecit Deus mundum factitium, cum per se infectus esset & ingenitus? Si mũdus per seipsum productus est, & non factus, necessario etiam per seipsum factus est. Ei quod per seipsum est productum, id quod per seipsum genitum est, & quod per seipsum factum est, nihil interest. At si per seipsos producti sunt Deus & mundus, per seipsos geniti, & per seipsos facti fuerint. Sin hoc absurdum, absurdũ profecto etiam est dicere, per seipsum productum quidem principio vacantem & sempiternum Deum, ingenitum autem & per seipsum productum factitium mundũ. Si per seipsum productus est mundus, nõ fuerit per Deum productus: & si non per Deum productus, nõ produxerit eũ Deus. quocirca quomodo respondens non falsa & minus cõsentanea loquitur, cum dicit; Deum quidem producentem, mundũ aũt per seipsum productũ? *Sane quidem multo magis* (inquit) *putandum, Deum vniuersim, sine cumulate, & absque tempore facere cuncta, cum ipse quidem sit vnum, infinita vero potentia multa producat, quæ quidem omnino per seipsa producta sint.* Et si idem valet verbum *Facere*, cum verbo *Facturum esse*: quomodo qui a Deo tollit *Facturum esse*, verbum futuri temporis disertam habens significationem, nunc de Deo ponit verbum *Facit*, temporis itidem obtinens significationem? Sin verbum *Facit*, cum designatione futuri temporis & præteriti continet significationem, quomodo in Dei operatione non sunt cunctæ temporis partes?

QVARTA CHRISTIANA ad Græcos quæstio.

Si impossibile est vt id quod antea non fuerit, & postea sit, coæternũ ei sit quod semper sit: quomodo, si genitus sit mũdus, coæternus est apud Deum?

RESPONSVM GRÆCVM AD CHRISTIANOS.

Fieri quidem non posse vt, temporarium quod sit (quo significatur id quod antea non fuerit, postea autem sit) æternum sit, & ei quod semper sit, consempiternum, perspicuum est. Ex hisce vero quoque verbis mundum ingenitum esse demonstrari, & id cuius fere

liquidum est. Porro si quis dicere velit, quemadmodum veterum nonnulli dicunt, mundum genitum, qui summam tãtum speciem verborum eorum intueantur, iure eos qui id dixerint, reprehendẽt: Sin penitus latentem in dictis sensum accuratius perspiciant, exquisite & aperte illos mundum ingenitum esse pronunciare inuenient. Nam illi ipsi qui & exempli præbitricem & effectricem causam ingenitam esse dicunt: videlicet & mundum, qui harum opificium sit, aperte ingenitum pronunciant. Demonstratum enim est a veteribus, ea quæ vocãtur πρός τι, quæ cum aliquo conferuntur, vnà naturà subsistere. Quando igitur & imago cum exẽplari, atque exemplar cũ imagine, & opificium cum opifice, atque opifex cũ opificio simul naturà subsistit; ac proinde si ingenitus est opifex, & ingenitum exemplar: scilicet & mundus ingenitus fuerit, qui sit & exemplaris imago, & opificis opificiũ. Quod vero ea quæ cum aliquo conferuntur, vna natura subsistant: id clare satis omnibus probatum testatumque est. Et id inde facile est cognoscere. nam dextrum & sinistrum eorum sunt quæ cum aliquo conferuntur Sicuti ergo dextrum esse nõ potest, si sinistrum nõ sit; neque sinistrum sine dextro: sic esse non potest opifex absque opificio, neque opificium sine opifice. Quocirca si opifex ingenitus, ingenitũ & opificium. At si quis dicere velit, prius fuisse opificem, posterius autem opificiũ: alio quoque implicabitur absurdo. Comperietur namque dicere, potẽtia esse opificem, non actu. quod sane aliud non est, quam Deum imperfectum dicere. Atque ad hæc nihilominus cũ opifice simul subsistit opificium, quod & idipsum potentia sit, sicut opifex; eis omnino quæ cum aliquo conferuntur, pariter subsistentibus. Quapropter si opifex potentià est, potentià quoque opificium: Sin opifex actu & perfectus, similiter & opificium. Liquido igitur cuiuis patet, vna cum opifice, pro eo quod opifex est, simul subsistere opificium.

NON RECTE INSTITVTI
Responsi refutatio.

Perinde atque in aliis suis responsionibus, mundum ingenitum esse respondens ostendisset, haud aliter & in præsenti responsione, mundum ingenitum esse, se ostensurum pollicetur. Atqui in illis respõsis, neque ex his quæ manifesta & nota sunt, mundum ingenitum esse certo statuit, neque per demonstrationem id probauit, sed tãtum suapte auctoritate, quod sibi placitum esset, pronunciauit. Vbi autem ad responsum præsens peruenit, in quo mundum ingenitum esse probare contendit, primum antiquorum infert mẽtionem, qui genitũ mundũ dixere, atque eos qui hoc dixerint, reprehen-

τί που δῆλον. ἀλλ᾽ εἴ τις ἐθέλοι λέγειν ὡς τινες τῶν παλαιῶν τὸν κόσμον ἀγέννητον καλοῦσιν, οἱ μὲν ἐπιπολαίως σκέψοιντο τοὺς λόγους, μέμψοιντο ἂν δικαίως τοὺς τοῦτο λέγοντας· εἰ δὲ τὸ βάθος κατανοήσωσιν ἀκριβῶς τῶν λεχθέντων, εὑρήσουσιν [231] ἀκριβῶς καὶ σαφῶς ἀγέννητον τούτους τὸν κόσμον ἀποφαινομένους. αὐτοὶ γὰρ λέγοντες τήν τε παραδειγματικὴν καὶ τὴν ποιητικὴν αἰτίαν ἀγέννητον εἶναι, δηλονότι καὶ τὸν κόσμον δημιούργημα τούτων ὄντα, σαφῶς ἀγέννητον ἀποφαίνουσι. τοῖς γὰρ παλαιοῖς ἀποδέδεικται τὰ καλούμενα πρός τι ἅμα τῇ φύσει ὑπάρχειν. ἐπεὶ οὖν ἥτε εἰκὼν πρὸς τὸ παράδειγμα, καὶ τὸ παράδειγμα πρὸς τὴν εἰκόνα, καὶ τὸ δημιούργημα πρὸς τὸν δημιουργόν, καὶ ὁ δημιουργὸς πρὸς τὸ δημιούργημα ἅμα τῇ φύσει ὑπάρξει. εἰ τοίνυν ἀγέννητος ὁ δημιουργός, καὶ τὸ παράδειγμα ἀγέννητον· καὶ ὁ κόσμος τοῦ μὲν παραδείγματος εἰκὼν ὤν, τοῦ δὲ δημιουργοῦ δημιούργημα. Ὅτι δὲ τὰ πρός τι ἅμα τῇ φύσει ὑπάρχει, σαφῶς πᾶσιν ἀποδέδεικται καὶ ὡμολόγηται, καὶ αὐτόθεν ῥᾴδιον γινώσκειν· τὸ γὰρ δεξιὸν καὶ ἀριστερὸν, τῶν πρός τι. ὥσπερ οὖν οὐκ ἐνδέχεται δεξιὸν εἶναι μὴ ὄντος τοῦ ἀριστεροῦ, μηδὲ τὸ ἀριστερὸν ἐκτὸς τοῦ δεξιοῦ, οὕτως οὐκ ἐνδέχεται τὸν δημιουργὸν εἶναι ἄνευ τοῦ δημιουργήματος, ἢ τὸ δημιούργημα ἄνευ τοῦ δημιουργοῦ. εἰ οὖν ἀγέννητος ὁ δημιουργός, ἀγέννητον ἐστὶ τὸ δημιούργημα. εἰ δέ τις θέλοι λέγειν, ὅτι πρότερον μὲν ἦν ὁ δημιουργός, ὕστερον δὲ γέγονε τὸ δημιούργημα, καὶ ἄλλῳ περιπεσεῖται ἀτόπῳ. εὑρεθήσεται γὰρ δυνάμει εἶναι λέγων τὸν δημιουργόν, καὶ οὐκ ἐνεργείᾳ· ὅπερ οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸν Θεὸν ἀτελῆ λέγειν. καὶ πρὸς τούτοις οὐδὲν ἧττον συνυφίστασθαι τῷ δημιουργῷ τὸ δημιούργημα, δυνάμει ὂν καὶ τοῦτο ὥσπερ ὁ δημιουργὸς, ἁπανταχοῦ τῶν πρός τι ὑφισταμένων ὁμοίως. εἰ μὲν οὖν ὁ δημιουργὸς δυνάμει, καὶ τὸ δημιούργημα δυνάμει· εἰ δὲ ὁ δημιουργὸς ἐνεργείᾳ, καὶ τέλειος, καὶ τὸ δημιούργημα ὁμοίως. σαφῶς τοίνυν παντὶ δῆλον ὑπάρχει, τὸ συνυφίστασθαι τῷ δημιουργῷ, καθὸ δημιουργός, τὸ δημιούργημα.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης.

Ὡς δείξας ὁ ἀποκρινάμενος ἐν ταῖς ἄλλαις αὐτοῦ ἀποκρίσεσι τὸν κόσμον ἀγέννητον, οὕτως καὶ ἐν τῇ παρούσῃ ἀποκρίσει ἐπαγγέλλεται δεῖξαι τὸν κόσμον ἀγέννητον· καίτοι ἐν ταῖς ἄλλαις αὐτοῦ ἀποκρίσεσιν, οὔτε ἐκ τῶν φανερῶν τε καὶ γνωρίμων τοῦ κόσμου ἐδογμάτισε τὴν ἀγεννησίαν, οὔτε διὰ τῆς ἀποδείξεως ταύτην ἔθηκεν, ἀλλὰ μόνον κατὰ τὴν οἰκείαν αὐθεντίαν τὸ δοκοῦν αὐτῷ ἀπεφήνατο. ἐλθὼν δὲ εἰς τὴν παροῦσαν ταύτην ἀπόκρισιν, ἐν ᾗ πειρᾶται δεῖξαι τὸν κόσμον ἀγέννητον, πρῶτον μέμνηται τῶν παλαιῶν, γεννητὸν εἰρηκότων τὸν κόσμον· οὓς δι-

καίας μέμψεως ἔλεξεν ἀξίους, γεννητὸν τὸν κόσμον
εἰρηκότας, εἰ μὴ ταῖς ἑτέραις αὐτῶν φωναῖς τὰς οἰ-
κείας αὐτῶν φωνὰς ἀνέτρεψαν λεγούσας τὸν κό-
σμον γεννητόν. τοῦτο δὲ οὐ δικαίας ἐστὶ μέμψεως ἀ-
παλλακτικὸν, ἀλλὰ ποιητικὸν μᾶλλον τῆς μεγάλης
καὶ δικαίας μέμψεως, τὸ θεῖναι ἐπὶ τῆς τοῦ κόσμου
γενέσεως τὴν φάσιν καὶ τὴν ἀπόφασιν, καὶ τοῖς
οἰκείοις λόγοις μάχεσθαι αὐτὸν ἑαυτῷ. καὶ ταῦτα
μὲν εἰρήσθω εἰς ἔλεγχον τοῦ μὴ δικαίως κεχρῆσθαι
τὸν ἀποκρινάμενον ταῖς ἀλλήλαις μαχομέναις
φωναῖς, πρὸς ἀπόδειξιν συστατικὴν τοῦ τὸν κόσμον
εἶναι ἀγέννητον· ἡμεῖς δὲ ἐξετάσωμεν τὰς τῶν πα-
λαιῶν ἐκείνων φωνὰς, ἐν αἷς δεδειγμένως τὸν κό-
σμον ἀγέννητον ἀποφαίνουσι, καθά φησιν ὁ ἀπο-
κρινάμενος. Ὅτι δὲ, φησὶ, καὶ ἐκ τούτου τοῦ λόγου
δείκνυται ὁ κόσμος ἀγέννητος, καὶ τοῦτο παντί που
δῆλον· ἀλλὰ καὶ εἴ τις ἐθέλοι λέγειν ὥς τινες τῶν
παλαιῶν τὸν κόσμον γεννητὸν καλοῦσιν, εἰ μὲν ἐπι-
πολαίως προσέχουσι τοῖς λόγοις, μέμψοιντο ἂν δι-
B32 καίως τοὺς τοῦτο λέγοντας· εἰ δὲ τὸ βάθος κατανο-
ήσουσιν ἀκριβῶς τῶν λεχθέντων, εὑρήσουσιν ἀκρι-
βῶς καὶ σαφῶς ἀγέννητον τοὺς τὸν κόσμον ἀποφαινο-
μένους. αὐτοὶ γὰρ λέγοντες τήν τε παραδειγματικὴν
καὶ ποιητικὴν αἰτίαν ἀγέννητον εἶναι, δηλονότι καὶ
τὸν κόσμον δημιούργημα τούτων ὄντα, σαφῶς ἀγέν-
νητον ἀποφαίνουσιν:- Εἰ κεῖται τοῖς παλαιοῖς τὸ
γεννητὸν εἶναι τὸν κόσμον, καὶ ἐπιπολαίως μὲν νοού-
μενον τὸ κείμενον μένει ἀμετάβλητον, βαθέως δὲ νο-
ούμενον, εἰς τὸ ἀντικείμενον μεταπίπτει, διὰ τί μὴ
τὴν παραδειγματικήν τε καὶ ποιητικὴν αἰτίαν τὴν
κειμένην τοῖς παλαιοῖς, ταῖς ὁμοίαις προσοχαῖς τοῦ
ἐπιπολαίως τῷ βαθέως χρησαμένου εἰς ἀντικείμε-
νον μεταβαλλομέναις χρησάμενος ὁ ἀποκρινάμε-
νος, τὸν γεννητὸν κόσμον τὸν κείμενον τοῖς παλαιοῖς, εἰς
τὸ ἀγέννητον μετέβαλεν, ἵνα τοὺς τοῦτο εἰρηκότας δι-
καίας μέμψεως ἀπαλλάξῃ. εἰ δὲ τοῦτο ποιεῖν ἄτοπον,
χρὴ ταῖς τῶν πραγμάτων φύσεσι νοῆσαι τῶν παλαιῶν
τοὺς λόγους, καὶ μὴ ταῖς διαφόροις προσοχαῖς μεταβαλ-
λούσαις τὰ κείμενα εἰς τὰ ἀντικείμενα. Εἰ ἄλλο τὸ
παράδειγμα καὶ ἄλλο τὸ κατὰ τὸ παράδειγμα· ἁπλοῦν
γὰρ τὸ παράδειγμα, σύνθετον δὲ τὸ κατὰ τὸ παράδειγμα·
τὸ δὲ οὕτως ἄλλο καὶ ἄλλο, ἐξ ἀνάγκης ἄλλοτε καὶ ἄλλοτε·
τὸ δὲ ἄλλοτε καὶ ἄλλοτε, πρότερον καὶ ὕστερον, οὐ δύναται
ἅμα εἶναι τῇ φύσει. οὐκ ἄρα ἅμα τῇ φύσει τὸ παρά-
δειγμα καὶ τὸ κατὰ τὸ παράδειγμα. Ὁ ἀποκρινά-
μενος ποτὲ μὲν κοινὸν δημιούργημα λέγει τὸν κόσμον
τῆς τε παραδειγματικῆς αἰτίας καὶ τῆς ποιητικῆς,
καί φησι, Δῆλον ὅτι καὶ τὸν κόσμον δημιούργημα τού-
των ὄντα: ποτὲ δὲ τῆς μὲν ποιητικῆς δημιούργημα, τῆς
δὲ παραδειγματικῆς εἰκόνα. καὶ δῆλον ἐκ τούτου,
ὅτι οὔτε τῷ δημιουργῷ πρὸς τὸ ἐστὶ, καθὸ εἰκὼν ὁ κό-
σμος· οὔτε τῷ παραδείγματι, καθὸ δημιούργημα.

prehensione dignos esse censuit; nisi aliis verbis suis, sua ipsorum verba, genitum mundum esse asserētia, euertissent. Hoc ipsum autem tantum abest vt iusta reprehēsione liberet, vt maiorē etiam & iustiorem efficiat reprehensionem: de mundi scilicet generatione & affirmationem & infitiationem ponere, & eundem suis sibi ipsum verbis repugnare. Atque hæc dicta sufficiant ad id corrigendum quod responsionis auctor non conuenienter vocibus inter se pugnantibus vsus sit, ad demonstrandum eam, qua mundum ingenitum esse adstruendum suscepit, assertionem. Nos autem priscorum illorum scrutemur dicta, quibus mundum ingenitum esse statuunt, prout ait responsi auctor. *Ex hisce vero*, inquit, *mundum ingenitum esse demonstrari, & id cuius fere liquidum est. Porro si quis dicere velit, quemadmodum veterum nonnulli dicunt, mūdum genitum: qui summam tantum speciem verbi intueantur, iure eos qui id dixerint, reprehendent. Sin penitus latentem in dictis sensum accuratius perspiciant, exquisite & aperte illos mundum ingenitum esse, pronunciare inuenient. Nam qui & exempli præbitricem, & effectricem causam ingenitam esse dicūt; videlicet & mundum, qui harum opificium sit, aperte ingenitum pronunciant.* Si a veteribus ponitur, mundum esse genitum; ac si quidem iuxta summā speciē id consideretur quod positum est, immutabile consistit: penitus autem si expendatur, in oppositum contrariumque recidit: quid ita respondēs nō & exempli præbitrice & effectrice causa, a veteribus posita, per eandem intentionē, summam verborum speciem penitius cōtemplātem, & quod positum sit, in oppositum transmutantem, vsus, mundum genitum, sicut a priscis positus est, in ingenitum, itidem per eas causas inuersas vertit, vt eos qui id dixerint, iusta liberaret reprehensione? Id vero si absurdum est factu, antiquorum scilicet dicta iuxta rerum naturas considerare atque intelligere oportet, non secundum diuersas intētiones ea quæ posita sunt in opposita vertere. Si aliud est exemplar, & aliud id quod ad exēplar est factum: simplex namque est exemplar, compositum autem id quod ad exemplar est factum: ac quod ita est, aliud atque aliud est, & necessario alias atque alias: quod vero alias atque alias, prius atque posterius est, id simul natura esse non potest: Idcirco simul natura nō est exemplar, & id quod iuxta exemplar est factum. Respondens aliquando mundum commune opificium esse dicit, & exempli præbitricis & effectricis causæ, & inquit: *videlicet & mundum, qui harum opificium sit*: aliquando effectricis quidem opificium, exempli præbitricis autem imaginem. Atque inde constat, mundum neque cum opifice, pro eo quod imago est, neque cum exemplari, pro eo quod opificium est, conferri.

Atqui si hoc sic habet, non in vero fuerit, horum esse opificium mundi. Si exemplari fabricator struit mūdum, volēs eum struit: sin substantiā eum condit, supervacaneum est exemplar, eo ipso quod Deus sit, ad id quod efficitur, efficiendum sufficiente, & voluntas intercidit. non enim sunt voluntaria, quæ etiam non volēte eo qui efficit, fiunt. Huiusmodi namque eorum opus est qui eo quod sint, efficiūt.

Deus quidem ipse ingenitus est, exemplar autem ex mente sua edidit; mundum vero e materia, iuxta exemplar construxit. Sed enim si secundum respondētem, quia mundus opificis ingeniti opificiū est, propterea & ipse ingenitus est fuerit quoque exemplar ingenitum, quoniam ingeniti germen est. Sin absurdum est dicere, germen ingenitum esse: nimirum absurdum quoque sit dicere, ingenitum esse id quod genitum sit. Si eo quod opifex ingenitus sit, necesse est opificium quoque ingenitum esse: scilicet eo pacto necesse etiā fuerit, opificium non conditum esse: non conditus namque conditor. Sin hoc inconueniens, inconueniens quoque sit dicere, mundum esse ingenitum. Id quod cōditum est, ab eo quod genitum est, solo verbo differt: & eo quod paria sint, citra exceptionem alterum altero conuertitur. nam quod genitum sit, id necessario quoque conditum: & quod conditum sit, id necessario etiam genitum. Porro cum fieri nequeat vt mundus sit ingenitus & genitus: in re enim quauis, vel affirmationem vel negationem in vero esse oportet: fieri quoque certe non potest vt mundus conditus sit & ingenitus. Id quod bis idē est in alio, necessario est alias atque alias: vt puta: Exēplar in Deo est, & in materia: atque in Deo quidem infectitium, in materia autem factitium. Et in Deo mundus non est, sed mundi exēplar: in materia vero est mūdus. Quod si alias atque alias est, nimirum & aliter atque aliter; proindeq; necessario prius atque posterius. Sin prius atque posterius, minime certe id est quod coæternum est. *Demonstratum a veteribus est, ea quæ vocantur πρός τι, quæ cum aliquo conferuntur, vnà naturā subsistere. Quando igitur & imago cum exemplari, atque exemplar cum imagine, & opificium cum opifice, atque opifex cum opificio, simul natura huiusmodi subsistunt: ac proinde si ingenitus est opifex, & ingenitum exemplar: scilicet & mundus ingenitus fuerit, qui sit & exemplaris imago, & opificis opificium.* A quibus veteribus viris demonstratum est, ea quæ cum alio conferuntur, simul natura existere, ab eisdem imaginis reddita est ratio. Imago (inquit) est, cuius est per imitationem generatio. At si iuxta respondentem, mundus ingenitus est: nempe mundus perdiderit imaginis nomen. nomen autem? immo & nomen simul, & rem ipsam.

ἀλλ' εἰ τοῦτο, οὐκ ἄρα ἀληθὲς τὸ τούτων εἶναι δημιούργημα τὸν κόσμον. Εἰ τῷ παραδείγματι δημιουργεῖ ὁ δημιουργὸς τὸν κόσμον, βουλόμενος αὐτὸν δημιουργεῖ· ἀλλ' εἰ τῷ εἶναι αὐτὸν δημιουργεῖ, περιττὸν τὸ παράδειγμα τῷ εἶναι τὸν Θεὸν ἀρκοῦντος πρὸς ποίησιν τοῦ ποιουμένου, καὶ παρέλκει τὸ βούλημα. οὐ γὰρ γίνεται βουλητὰ ἃ καὶ μὴ βουλομένου τοῦ ποιοῦντος γίνεται. τοιοῦτον γὰρ τὸ ἔργον τῶν τῷ εἶναι ποιούντων.

Ὁ Θεὸς μὲν αὐτός ἐστιν ἀγέννητος, τὸ δὲ παράδειγμα ἐγέννησεν ἐκ τῆς ἑαυτοῦ διανοίας, τὸν δὲ κόσμον ἐδημιούργησεν ἐκ τῆς ὕλης κατὰ τὸ παράδειγμα. ἀλλ' εἰ κατὰ τὸν ἀποκρινάμενον, ἐπειδὴ δημιούργημα τοῦ ἀγεννήτου δημιουργοῦ ἐστιν ὁ κόσμος, διὰ τοῦτο καὶ αὐτὸς ἀγέννητός ἐστιν, ἔσται ἄρα καὶ τὸ παράδειγμα ἀγέννητον, ἐπεὶ γέννημα τοῦ ἀγεννήτου ἐστίν. εἰ δὲ ἄτοπον τὸ λέγειν ἀγέννητον τὸ γέννημα, ἄτοπον ἄρα καὶ τὸ λέγειν ἀγέννητον τὸ γεννητόν. Εἰ διὰ τὸ εἶναι τὸν δημιουργὸν ἀγέννητον, ἀνάγκη καὶ τὸ δημιούργημα εἶναι ἀγέννητον, δῆλον ὅτι τούτῳ τῷ τρόπῳ ἀνάγκη εἶναι καὶ ἀδημιούργητον τὸ δημιούργημα· ἀδημιούργητος γὰρ ὁ δημιουργός. εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν τὸν κόσμον ἀγέννητον. Τὸ δημιουργητὸν τοῦ δημιουργοῦ ἤγουν τοῦ γεννητοῦ λέξει μόνῃ διαφέρει, πράγματι δὲ οὐ διαφέρει· διὸ καθόλου ἀντιστρέφει ἀλλήλοις διὰ τὸ εἶναι αὐτὰ ἐπ' ἴσης. εἴ τι γὰρ γεννητὸν, τοῦτο ἐξ ἀνάγκης καὶ δημιουργητόν· καὶ εἴ τι δημιουργητὸν, τοῦτο ἐξ ἀνάγκης καὶ γεννητόν. ἀλλ' ἀπεὶ δὴ ἀδύνατόν ἐστι τὸν κόσμον εἶναι ἀγέννητον καὶ γεννητόν· ἐπὶ παντὸς γὰρ ἢ τὴν φάσιν ἀληθῆ, ἢ τὴν ἀπόφασιν· [πῶς] ἄρα τὸν κόσμον δυνατὸν εἶναι δημιουργητὸν καὶ ἀγέννητον; Τὸ δὶς εἶναι τὸ αὐτὸ ἐν ἄλλῳ, ἐξ ἀνάγκης ἄλλοτε καὶ ἄλλοτε· οἷον, τὸ παράδειγμά ἐστιν ἐν τῷ Θεῷ, καὶ ἐν τῇ ὕλῃ· καὶ ἐν τῷ Θεῷ μὲν ἀποίητον, ποιητὸν δὲ ἐν τῇ ὕλῃ· καὶ ἐν τῷ Θεῷ μὲν οὐ κόσμος, ἀλλὰ τοῦ κόσμου παράδειγμα, ἐν τῇ ὕλῃ δὲ κόσμος. ἀλλ' εἰ μὲν ἄλλοτε καὶ ἄλλοτε, καὶ ἄλλως καὶ ἄλλως, ἐξ ἀνάγκης 233
καὶ πρότερον καὶ ὕστερον· εἰ δὲ πρότερον καὶ ὕστερον, δηλονότι οὐ συναΐδιον. Τοῖς παλαιοῖς ἀποδέδεικται τὰ καλούμενα πρός τι ἅμα τῇ φύσει ὑπάρχειν. ἐπεὶ οὖν ἥ τε εἰκὼν πρὸς τὸ παράδειγμα, καὶ τὸ παράδειγμα πρὸς τὴν εἰκόνα, καὶ τὸ δημιούργημα πρὸς τὸν δημιουργὸν, καὶ ὁ δημιουργὸς πρὸς τὴν εἰκόνα, δημιούργημα, ἅμα τῇ φύσει τὰ τοιαῦτα ὑπάρξει. εἰ τοίνυν ἀγέννητος ὁ δημιουργὸς καὶ τὸ παράδειγμα, ἀγέννητος καὶ ὁ κόσμος, τοῦ μὲν παραδείγματος εἰκὼν ὢν, τοῦ δὲ δημιουργοῦ δημιούργημα:- οἷς παλαιοῖς ἀποδέδεικται τὰ πρός τι ἅμα τῇ φύσει, αὐτοῖς ἀποδέδοται τῆς εἰκόνος ὁ λόγος. εἰκὼν, φησὶν, ἐστὶν ἧς ἡ γένεσις διὰ μιμήσεως. ἀλλὰ εἰ κατὰ τὸν ἀποκρινάμενον ἀγέννητός ἐστιν ὁ κόσμος, δηλονότι ἀπώλεσεν ὁ κόσμος τῆς εἰκόνος τὸ ὄνομα· καὶ τὸ ὄνομα, καὶ τὸ πρᾶγμα.

ἐν ἀγεννησίᾳ γὰρ ἀδύνατον τῷ κόσμῳ σώζειν τῆς εἰκόνος τὸν λόγον. Ὁ λέγων τὸ δημιούργημα ἀγέννητον, ἐπειδὴ ὁ δημιουργὸς αὐτοῦ ἀγέννητός ἐστιν, ὀφείλει καὶ ἀδημιούργητον λέγειν τὸ δημιούργημα· ἐπειδὴ ὁ δημιουργὸς αὐτοῦ ἀδημιούργητός ἐστιν. ἀντακολουθοῦσι γὰρ ἀλλήλοις ἐξ ἀνάγκης, τῷ μὲν ἀγεννήτῳ τὸ ἀδημιούργητον, καὶ τῷ ἀδημιουργήτῳ τὸ ἀγέννητον. εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν δημιούργημα ἀγέννητον. Εἰ ἅμα τῇ φύσει τὰ πρός τι, καὶ διὰ τοῦτο ἀνάγκη συναγέννητον εἶναι τῷ δημιουργῷ τὸ δημιούργημα, καθὰ τῷ ἀποκεκριμένῳ δοκεῖ, ἀνάγκη ἄρα τὸν αὐτὸν τρόπον συναγέννητον λέγειν τὸ ἀγέννητον τῷ ἀγεννήτῳ· πρός τι γὰρ καὶ ταῦτά ἐστι· πρὸς γὰρ τὸ γεννητὸν τὸ ἀγέννητον, καὶ πρὸς τὸ ἀγέννητον τὸ γεννητόν. εἰ δὲ τοῦ γεννητοῦ μὲν οὐκ ὄντος, δυνάμει ἐστὶ τὸ ἀγέννητον ἀγέννητον· ὄντος δὲ τοῦ γεννητοῦ, ἐνεργείᾳ ἐστὶν ἀγέννητον τὸ ἀγέννητον· ἀνάγκη ἄρα καὶ ἐπὶ τοῦ δημιουργοῦ, καὶ τοῦ δημιουργήματος, καὶ τοῦ παραδείγματος, καὶ τῆς εἰκόνος τοῦτο ὡσαύτως νοεῖν· καὶ οὐδὲν ἄτοπον συμβαίνει. ἣν γὰρ ἔχει φύσιν τὸ πρός τι κατὰ τὸν δημιουργὸν καὶ τὸ δημιούργημα, τὴν αὐτὴν ἔχει καὶ κατὰ τὸ γεννητὸν καὶ ἀγέννητον. καὶ τὸ πρῶτον καὶ ὕστερον τῶν πρός τι ἐστί. πρὸς γὰρ τὸ πρῶτον τὸ ὕστερον, καὶ πρὸς τὸ ὕστερον τὸ πρῶτον, καὶ ἅμα εἰσὶ τῇ φύσει δυνάμει, ἢ τῇ φύσει ἐνεργείᾳ. ἀλλ' εἰ κατὰ τὸν ἀποκεκριμένον τὸ δημιούργημα συναγέννητόν ἐστι τῷ ἀγεννήτῳ δημιουργῷ, ἐπειδὴ πρός τι ἐστὶ καὶ ἅμα τῇ φύσει, ἔσται ἄρα τούτῳ τῷ τρόπῳ καὶ τὸ γεννητὸν συναγέννητον τῷ ἀγεννήτῳ Θεῷ. πρῶτος μὲν γὰρ ὁ Θεός, ὕστερον δὲ τὸ γεννητόν· καί ἐστιν ὡς πρός τι ἅμα τῇ φύσει τὸ πρότερον καὶ ὕστερον. εἰ δὲ χωρὶς τοῦ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ, ἀδύνατόν ἐστι τὸ πρῶτον καὶ ὕστερον εἶναι ἅμα τῇ φύσει, οὐδὲ ἄρα τὸ δημιούργημα συναΐδιόν ἐστι τῷ δημιουργῷ οὔτε ἡ εἰκὼν τῷ παραδείγματι.

"Ὅτι δὲ τὰ πρός τι ἅμα τῇ φύσει ὑπάρχει, σαφῶς πᾶσιν ἀποδέδεικται, καὶ ὡμολόγηται, καὶ αὐτόθεν ῥᾴδιον γινώσκειν. τὸ γὰρ δεξιὸν καὶ τὸ ἀριστερὸν τῶν πρός τι. ὥσπερ οὖν οὐκ ἐνδέχεται τὸ δεξιὸν εἶναι μὴ ὄντος τοῦ ἀριστεροῦ, μηδὲ τὸ ἀριστερὸν ἐκτὸς τοῦ δεξιοῦ, οὕτως οὐκ ἐνδέχεται τὸν δημιουργὸν εἶναι ἄνευ τοῦ δημιουργήματος, ἢ τὸ δημιούργημα ἄνευ τοῦ δημιουργοῦ. εἰ οὖν ἀγέννητος ὁ δημιουργός, ἀγέννητον καὶ τὸ δημιούργημα:-

Εἰ μὲν γὰρ ὥσπερ κατὰ τὴν αὐτὴν οὐσίαν ὑπῆρχε τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν ἐν τῷ ὅλῳ μέρει πρὸς ἄλληλα, οὕτως ὑπῆρχε καὶ ὁ δημιουργὸς καὶ τὸ δημιούργημα κατὰ τὴν αὐτὴν οὐσίαν ἐν τῷ ὅλῳ μέρει πρὸς ἄλληλα, εἶχεν ἂν χώραν τὸ ὑπόδειγμα, ᾧ χρησάμενος ὁ ἀποκεκριμένος ἐπειρᾶτο δεῖξαι συναγέννητον τῷ δημιουργῷ τὸ δημιούργημα. εἰ δὲ τὸ μὲν δεξιὸν καὶ τὸ ἀριστερὸν κατὰ τὴν αὐτὴν οὐσίαν ἐστὶν ἐν τῷ ὅλῳ μέρει πρὸς ἄλληλα·

In eo enim vt mundus ingenitus sit, impossibile est eum imaginis conseruare rationem. Qui opificium propterea ingenitum esse dicit, quod conditor eius ingenitus sit; debet is quoque non conditum dicere opificium; quoniam conditor eius non conditus sit. Consequutione enim sibi inuicē necessario succedunt, ingenito non conditum, & non cōdito ingenitum. Sin hoc absurdum, absurdum quoque dicere est opificium ingenitum. Si simul naturâ sunt ea quæ cum aliquo conferuntur, proindeq; necesse est opificium simul ingenitum esse cum opifice, sicuti Respōdenti videtur: necesse videlicet fuerit, eodem modo genitum simul cum ingenito dicere coingenitum. nam & hæc ex eis sunt quæ cum aliquo conferuntur. cum genito enim confertur ingenitum, & cum ingenito genitum. Ac si genitum non exstet, potētia ingenitum fuerit ingenitum: sin genitum existet, actu ingenitum fuerit ingenitum. Quocirca necessariū sit, & de opifice atque opificio, & de exēplari atq; imagine, hoc ipsum itidem intelligere, & nihil acciderit absurdi. Quam enim obtinet naturam id quod cum alio confertur in opifice & opificio, eandem habet in genito & in ingenito. Et prius atque posterius eorum sunt quæ cum alio conferuntur. quippe cum eo quod primum est, confertur id quod postea est: & cum eo quod postea est, id quod primum: & simul sunt natura vel potentia, vel actu. Cæterum si, pro respondentis opinione, creatura simul ingenita est cum ingenito creatore: quandoquidem cum aliquo cōfertur, & simul natura exstat: erit vtique hoc modo genitum etiam simul ingenitū cū ingenito Deo. Primus namq; est Deus, posterius aūt genitum: ac fuerit velut id quod cū aliquo cōfertur, id quod prius sit, naturâ simul cum eo quod posterius. Sin (præterquā aliquando quidem potentia, aliquādo vero actu) impossibile est vt prius & posterius naturâ simul sint: nēpe neque opificium simul cū opifice coæternum sit, neque imago cum exemplari. *Quod autem ea quæ cum aliquo conferuntur, vnà natura subsistant, id clare omnibus satis probatum atque testatum est. & id inde facile est cognoscere. Nam dextrum & sinistrum eorum sunt quæ cum aliquo conferuntur. Sicuti ergo dextrum esse non potest, si sinistrum non sit; neque sinistrū sine dextro: sic esse non potest opifex absque opificio, neque opificium sine opifice. Quocirca si opifex ingenitus, ingenitum & opificium.* Si quidem, quemadmodum dextrum & sinistrū, iuxta eandem essentiā in parte vniuersa alterū ad alterū est, itidē & opifex & opificium, iuxta eandē essentiā, in parte vniuersa alter ad alterum esset: locus esset exemplo quo responsi auctor vsus, connisus est probare cū opifice simul ingenitū esse opificiū. Sin dextrū & sinistrū, iuxta eandem essentiā in parte omni alterū ad alterū est;

opifex autem & opificium eiusmodi non est: impropria certe similitudine respondens vsus est, ad naturam rei quæ demonstranda venit, nullam habente proportionem. Eorum quæ cum aliquo conferuntur, quædam alterum alterius inuicem esse dicuntur quod dicuntur: veluti pater dicitur filii pater, & filius patris dicitur esse filius. Quædam alterum alterius non esse dicuntur, quod dicuntur, sicuti rectum & rotundum: quorum commune est, vt quandoque potentia alterum dicantur esse quod dicuntur, quandoque actu. Quædam vtraque semper sunt, vel potentia, vel actu: sicut Concauum & Conuexum. Quædam semper actu, vt Sursum & Deorsum. Ad hunc modum cum ea quę cum aliquo conferũtur, distinguantur, quando quæstionis alicuius ambiguitatem per id quod cum aliquo confertur, soluere voluerimus, cognoscere primum oportet, cuius distinctionis eorũ quæ cũ aliquo cõferuntur, id sit quod in quæstionẽ venit: atque ita deinde secundum distinctionis naturã, proportionis comparationem instituere, quã exemplum demonstrationis habeat ad id quod demonstrãdum est. Sin secus, reperietur exemplum non appositum, & quæstio non soluetur. Si opifex & opificiũ ex eo genere eorum quæ cum aliquo cõferuntur, sunt quæ alterum alterius dicũtur quod dicuntur; (opificis enim est opificium, & opificii opifex) respondens aũt exemplo demõstrare volens, genitum cũ ingenito simul esse ingenitum, ad eius rei demõstrationem, id quod cum aliquo cõfertur, eius generis accepit, in quo alterũ alterius nõ dicitur: (nam dextrum sinistri non dicitur, neq; sinistrũ dextri) perspicuum est, inconueniens eum vsurpasse exẽplum, quod iuxta naturam eius quod demonstret, ad id quod demõstratur, cõparationem & proportionem non habeat ambiguitatem quæstionis soluentem.

Ac si quis dicere velit, primum fuisse opificem, posterius autem opificium: alio quoque implicabitur absurdo. Comperietur namque dicere, potentiã esse opificem, non actu: quod sane non aliud est quam Deum imperfectum dicere. atque ad hæc, nihilominus cum opifice simul subsistit opificium, quod & ipsum potentia sit, sicut opifex, eis omnino quæ cum aliquo conferuntur, pariter subsistentibus. Quapropter si opifex potentiã est, potentiã quoque opificium: sin opifex actu & perfectus, similiter & opificium. Liquido igitur cunctis patet, vna cum opifice, pro eo quo opifex est, simul subsistere opificium. Si, quemadmodum Deus vt creator, iuxta rationem eius quod cum aliquo confertur, se ad creaturam habet, sic tamquam ingenitus itidem iuxta rationem eius quod cum aliquo confertur, se ad genitum habet: & ad ea quæ postea sunt, veluti primus, nihil quidquam imperfectum obtinet, vel in eo quod ingenitus, vel in eo quod primus sit: nulla namque ratione dici potest, Deum

ὁ δὲ δημιουργὸς καὶ τὸ δημιούργημα οὐκ ἔστι τοιοῦτον· 234 δῆλον ὅτι ἀνοικείῳ ὑποδείγματι ἐχρήσατο ὁ ἀποκρινάμενος, πρὸς τὴν φύσιν τοῦ πράγματος μηδεμίαν ἀναλογίαν ἔχοντι πρὸς τὸ ὑποδεικνύμενον. Τῶν πρός τι τὰ μὲν ἀλλήλων λέγονται ὅπερ λέγονται· οἷον ὁ πατὴρ τοῦ υἱοῦ λέγεται πατήρ, καὶ ὁ υἱὸς τοῦ πατρὸς λέγεται υἱός· τὰ δὲ, οὐ λέγονται ἀλλήλων ὅπερ λέγονται, ὡς τὸ εὐθὺ καὶ τὸ περιφερές· ὧν ἐστὶ κοινὸν τὸ ποτὲ μὲν δυνάμει λέγεσθαι θάτερον ὅπερ λέγονται, ποτὲ δὲ ἐνεργείᾳ· τὰ δὲ, ἀμφότερα ἀεὶ ἢ δυνάμει ἐστὶν, ἢ ἐνεργείᾳ, ὡς τὸ κοῖλον καὶ τὸ κυρτόν· τὰ δὲ, ἀεὶ ἐνεργείᾳ, ὡς τὸ ἄνω καὶ κάτω. τούτων οὐσῶν τῶν πρός τι τῶν διαιρέσεων, ὅταν βουλώμεθά τινος ζητουμένου λῦσαι τὸ ἄπορον διὰ τοῦ πρός τι, χρὴ πρῶτον καταμαθεῖν, ποίας διαιρέσεως τῶν πρός τι ἐστὶ τὸ ζητούμενον· εἶθ' οὕτως κατὰ τὴν φύσιν τῆς διαιρέσεως κατασκευάζειν τὴν ἀναλογίαν ἣν ἔχει τὸ ὑπόδειγμα πρὸς τὸ ὑποδεικνύμενον· εἰ δὲ μήγε, εὑρεθήσεται τὸ ὑπόδειγμα ἀνοίκειον, καὶ τὸ ἄπορον ἄλυτον. Εἰ ὁ δημιουργὸς καὶ τὸ δημιούργημα τῶν πρός τι ἐστὶ τῶν ἀλλήλων λεγομένων ὅπερ λέγονται· δημιουργοῦ γὰρ τὸ δημιούργημα, καὶ τοῦ δημιουργήματος ὁ δημιουργός· ὁ δὲ ἀποκρινάμενος βουλόμενος ὑποδείγματι δεῖξαι συναγένητον τῷ ἀγεννήτῳ τὸ γεννητὸν, ἔλαβεν εἰς τὴν τούτου δεῖξιν τὸ πρός τι τῶν ἀλλήλων μὴ λεγομένων· τὸ γὰρ δεξιὸν οὐ λέγεται τοῦ ἀριστεροῦ, οὔτε τὸ ἀριστερὸν τοῦ δεξιοῦ· δῆλός ἐστιν ὅτι ἀνοικείῳ ὑποδείγματι ἐχρήσατο κατὰ τὴν φύσιν τοῦ δεικνυμένου ἀναλογίαν οὐκ ἔχοντι λυτικὴν ἀπορίας τοῦ ζητουμένου πρὸς τὸ ὑποδεικνύμενον. Εἰ δέ τις θέλει λέγειν ὅτι πρότερον μὲν ἦν ὁ δημιουργὸς, ὕστερον δὲ γέγονε τὸ δημιούργημα, καὶ ἄλλῳ περιπεσεῖται ἀτόπῳ. εὑρεθήσεται γὰρ δυνάμει εἶναι λέγων τὸν δημιουργὸν καὶ οὐκ ἐνεργείᾳ· ὅπερ οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸν Θεὸν ἀτελῆ λέγειν· καὶ πρὸς τούτοις οὐδὲν ἧττον συνυφίσταται τῷ δημιουργῷ τὸ δημιούργημα, δυνάμει ὂν καὶ αὐτὸ ὥσπερ ὁ δημιουργὸς, ἁπανταχοῦ τῶν πρός τι ὑφισταμένων ὁμοίως. εἰ μὲν οὖν ὁ δημιουργὸς δυνάμει, καὶ τὸ δημιούργημα δυνάμει· εἰ δὲ ὁ δημιουργὸς ἐνεργείᾳ, καὶ τέλειος, καὶ τὸ δημιούργημα ὁμοίως. σαφῶς τοίνυν παντὶ δῆλον ὑπάρχει τὸ συνυφίστασθαι τῷ δημιουργῷ, καθὸ δημιουργὸς, τὸ δημιούργημα:- Εἰ, ὥσπερ πρὸς τὸ δημιούργημα τὴν κατὰ τὸ πρός τι σχέσιν ἔχει ὁ Θεὸς ὡς δημιουργὸς, οὕτως ἔχει τὴν αὐτὴν κατὰ τὸ πρός τι σχέσιν, καὶ πρὸς τὸ γεννητὸν ὡς ἀγέννητος, καὶ πρὸς τὰ ὕστερα ὡς πρῶτος, καὶ οὐδὲν ἀτελὲς ἔχει οὔτε ἐν τῇ ἀγεννησίᾳ αὐτοῦ, οὔτε ἐν τῇ πρωτείᾳ αὐτοῦ· οὐδενὶ γὰρ λόγῳ δυνατὸν εἰπεῖν

τὸν Θεὸν ἀγέννητον ἀτελῆ, ἢ πρῶτον ἀτελῆ, διὰ τὸ εἶναι αὐτὸν ποτὲ δυνάμει ἀμφότερα, ἀγέννητόν τε καὶ πρῶτον· οὕτως οὐκ ἐνδέχεται ἀτελῆ εἶναι τὸν Θεὸν, πρότερον ὄντα δυνάμει δημιουργόν. εἰ δὲ διὰ τὸ εἶναι αὐτὸν πρῶτον μὲν δυνάμει δημιουργὸν, ὕστερον δὲ ἐνεργείᾳ, διαβάλλεται εἰς ἀτέλειαν, ἀνάγκη ἄρα καὶ διὰ τὸ εἶναι αὐτὸν πρῶτον μὲν δυνάμει, ἀγέννητόν τε καὶ πρῶτον, ὕστερον δὲ ἐνεργείᾳ, διαβληθῆναι αὐτὸν εἰς ἀτέλειαν. εἰ δὲ ἄτοπον τὸ διαβάλλειν τὸν Θεὸν ἐπὶ τῇ ἀτελείᾳ τῆς ἀγεννησίας τε καὶ πρωτείας, ἄτοπον ἄρα καὶ τὸ διαβάλλειν αὐτὸν ἐπὶ τῇ ἀτελείᾳ τῆς δημιουργικῆς αὐτοῦ δυνάμεως, διὰ τὸ μὴ ἅμα τῷ εἶναι αὐτὸν πεποιηκέναι τὸν κόσμον, ἀλλὰ ὕστερον ὅτε ἐβούλετο. οὐκ ἐνδέχεται γὰρ τὸν κατά τινα τοῦ πρός τι σχέσιν ἀτελῆ ὄντα, μὴ κατὰ τὰς λοιπὰς πάσας τοῦ πρός τι σχέσεις ὁμοίως εἶναι ἀτελῆ.

235 Ἐρώτησις Χριστιανικὴ πρὸς τοὺς Ἕλληνας ε΄.

Εἰ ἀγέννητος ὁ οὐρανὸς καὶ ἀγέννητος ὁ Θεός, καὶ οἰκεῖ ἐν τῷ οὐρανῷ ὁ Θεός, πῶς κατοικῶν ἐν τοῖς οὐκ αὐτοῦ ὁ Θεός, οὐχ ὑβρίζεται; ὃν γὰρ οὐκ ἐποίησεν οὐρανὸν, οὗτος οὐκ ἔστιν αὐτοῦ.

Ἀπόκρισις Ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Ὅτι μὲν ἀγέννητος ὁ Θεὸς, καὶ ἀγέννητος ὁ οὐρανὸς, δῆλον ἔκ τε τῶν ἐπιπολαίως ταυτὶ εἰρημένων, καὶ ἐκ τῶν παρὰ πολλῶν γνησίως ἀποδεδειγμένων· ὅτι δὲ τὸν Θεὸν φάναι κατοικεῖν ἐν τῷ οὐρανῷ οὐκ ἔστιν εὔλογον, σκοπήσωμεν τῇδε. πρῶτον μὲν γὰρ τὸ οἰκούμενον τοῦ οἰκοῦντος πρὸς σωτηρίαν γέγονεν. ὥστε εἰ ὁ μὲν κόσμος οἰκητήριον, ὁ δὲ Θεὸς οἰκῶν, δῆλον ὅτι ὁ μὲν κόσμος σώζει τὸν Θεὸν, ὁ δὲ Θεὸς σώζεται ὑπὸ τοῦ κόσμου· ὅπερ ἐστὶ πάντων ἀτοπώτατον. ἄλλως τε τὸ κρεῖττον τοῦ καταδεεστέρου ἐστὶ περιεκτικόν· τὸ δὲ καταδεέστερον, ὑπὸ τοῦ κρείττονος περιέχεται. ἀλλὰ μὴν τὸ οἰκοῦν ὑπὸ τῆς οἰκήσεως περιέχεται. καὶ τὸν Θεὸν ἄρα περιέξει τὸ οἰκητήριον· καὶ ἔσται ἐκ τούτου τοῦ λόγου ὁ μὲν Θεὸς ἐν τῇ χείρονι τάξει, τὸ δὲ δημιούργημα ἐν τῇ κρείττονι. ἄλλως τε καὶ τὸ περιεχόμενον ἐν τόπῳ ἐστί. πᾶν δὲ ἐν τόπῳ ὂν, σῶμά ἐστι· καὶ ὁ Θεὸς ἄρα εἰ ἐν τόπῳ ἐστὶ, σῶμα ἔσται. πῶς οὖν συνέξει σῶμα ὂν ἔλαττον, καθὸ περιέχεται, τὸ μεῖζον σῶμα; ἄτοπον λέγειν. ὅτι δὲ τὸ οἰκοῦν ἐν τόπῳ, περιεχόμενόν ἐστι τῇ οἰκίᾳ, παντί που δῆλον καὶ τῷ αὐτόθεν τυφλώττοντι. τί οὖν; φαίης ἄν. πῶς Ὅμηρος λέγει τοῦ δημιουργοῦ οἴκημα τὸν οὐρανόν; ἢ ὅτι πανταχοῦ μὲν τὴν ἔλλαμψιν τοῦ Θεοῦ θεασάμενος περὶ τὸν κόσμον, οἴκησιν τὸν κόσμον ἐκάλεσε τοῦ Θεοῦ, ὡς ὑποδοχὴν ὄντα τῆς ποιήσεως καὶ δημιουργίας πάσης τοῦ Θεοῦ; ἐξαιρέτως δὲ τὸν οὐρανὸν καλοῦσι, διότι τοῦ παντὸς κόσμου τὸ ἀκρότατον τὸν οὐρανὸν πᾶσιν εἶναι ὁμολόγηται.

Deum aut ingenitum imperfectũ, aut primum imperfectum esse, eo quod aliquando potestate sit vtrumque, & ingenitus & primus: itidẽ fieri nequit vt Deus sit imperfectus, eo quod prius sit potentia creator. Quod si propterea quod primũ sit potẽtia, postea actu creator, imperfectionis nomine calumniose suggilletur, necesse fuerit, & eo quod primũ potẽtia, postea actu ingenitus sit & primꝰ, imperfectionis ipsum calumniã sustinere. Sin absurdũ est, Deo calumniam impingere imperfectionis nomine, in eo quod ingenitus sit & primus: nõ minus absurdum vtique erit, ipsum calumniari de imperfectione creatricis potentiæ, eo nomine quod nõ simul cum essentia sua, sed postea cum voluit, mũdum condiderit. Fieri namque nequit, qui iuxta aliquem eius quod cum aliquo cõfertur habitũ imperfectus sit, quin etiam iuxta reliquos eius quod cum alio confertur habitus omnes, sit imperfectus.

AD GRÆCOS QVÆSTIO Christiana quinta.

Si cælum ingenitũ est, atque ingenitus etiam Deus est, & in cælo Deus habitat: quomodo Deus in his quæ sua non sunt habitans, non contumelia afficitur? Quod enim non fecit cælum, id eius non est.

AD CHRISTIANOS RESponsio Græca.

Deum quidem ingenitum esse, & cælũ ingenitũ, cũ ex his quæ in præsentia summatim sunt dicta, satis euidens est; tum ex eis quæ exquisite & accurate sunt demõstrata, patet. Dicere autem Deum in cælo habitare, præter rationem esse, hic consideremus. Primum equidem domicilium, salutis & conseruationis eius qui id habet, gratia factum est. Quocirca si quidem mũdus est domicilium; Deus autẽ qui incolit: videlicet mundus Deum seruet, Deus vero a mundo seruetur. quod profecto est omnium absurdissimum: præsertim cũ id quod est præstabilius, cõtineat id quod sit indigẽtius: atque id quod indigentius est, ab eo quod præstabilius sit, contineatur. Atqui id quod inhabitat, ab habitatione cõtinetur. Et sic Deum complectetur habitatio. & hac ratione Deus deteriore opificium aũt meliore fuerit loco: præterquã quod id quod continetur, in loco est: & quidquid in loco est, corpus est. atq; Deus certe q̃dẽ si in loco est, corpus erit. Quomodo igitur id quod minus corpus sit, pro eo quod continetur, continebit corpus maius? Absurdũ dictu est. Habitatorẽ vero in loco habitatione cõtineri, cuiuis etiam per seipsum cæcutiẽti perspicuũ est. Quid igitur dicas? Quomodo Homerus opificis habitaculũ dicit esse cælũ? An quia vbiq; quidẽ locorũ in mũdo Dei illuminationẽ cernẽs, mundũ domiciliũ vocauit Dei, tamquã qui sit creationis & opificii Dei vniuersi receptaculũ? præcipue aũt Cælum vocant, eo quod cælum mundi totius summam esse partem, omnibus pro confesso est.

RESPONSIONIS NON RECTE conceptæ confutatio.

Dicere, Deum quidem esse cōditorem, mundum autem non conditum: quod enim non conditum est, idem valet quod ingenitum; & eorum quæ idem valent, libera est transsumptio. Et dicere; Non cōditus Deus, non condita efficit: quod perinde est atq; si dicas, Ingenitū Deū ingenite ingenita efficere. Et dicere; Æternū esse Deū, coæternū aūt mundū: Et ex eo quod non subsistat, in id quod subsistat, Deū & mūdum per seipsum producti modo productum. nam Per seipsum productū si de Deo & mundo dicatur, eandem habet significationē. Et dicere; Per seipsum productum, & per alium custoditum, esse mūdum. nam Per alium custoditum, significat Per Deum custoditum. alius enim est mūdus, & alius qui cælum custodit: quod cælum, cum per seipsum productū sit, necessario debebat esse per seipsum custoditū. Et dicere; Deum & mūdum esse ingenitos & per seipsos genitos. nā Per seipsum productum de Deo & mundo si dicatur, idem denotat quod Per seipsum genitum. Et dicere; *Qui fecit res hasce Deus*; & rursum, *Nō fecit*. temporaneum enim est sicuti *Fecit*, ita & *Qui fecit*. Et dicere; Perpetuo cum Deo nullius interuentu interstitii & momēti simul substitisse mundum, qui ex materia & forma geniti modo per compositionē ab opifice subsistentiam cepit. Et dicere; Incorruptibilē & corruptibilē esse mundū: incorruptibilē quidē, eo quod sit; corruptibilē aūt, eo quod custodiatur. Et dicere; Gignitur mūdus. id vero quod gignitur, temporarium est; temporarium autē corruptibile. Et dicere; Omnis creationis & opificii Dei receptaculū esse mundum, & Deū non esse corruptibilium cōditorem. Deus namque de respondentis sententia, nihil efficit tēporarium. Genita aūt, secūdum eum, & temporaria & corruptibilia sunt semper: Hæc atq; eiuscemodi alia proferre, nō in eos cadit viros, qui naturæ rerū scientiā, per exquisitā & validā demonstrationem, ea quæ ad Deū & mundū pertinent, demonstrant: sed eorum id est hominum, qui ad audendū proiecti per impudentiam, id quod opinantur, de Deo & mundo temere pronūciant. Porro per detractionē id ridere quod diximus in cælo esse habitationem Dei, tamquam ea parum deceat Deū; hominū est qui absurde dictorū tenent sensum. Vitiosa nāq; dictio vitiosam quoq; habet mentē. Nos vero in quæstione nō posuimus habitationis Dei in cælo modū, quē respōsi auctor fraudulenter per calumniā carpit; sed hoc: Si cęlū ingenitū est, Dei nō est: & qui Deū in illo habitare dicūt, ad contumeliā Dei id dicunt, qui cælū quod suum non sit, incolat. Sane quidē domum & thronum Dei cęlū esse dicimus: non quasi Deus illo ad habitationē & sedē indigeat, qui omnino incircūscriptus & nullius rei indigēs est:

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης.

Τὸ λέγειν δημιουργεῖν μὲν τὸν Θεὸν, ἀδημιούργητον δὲ τὸν κόσμον· τὸ γὰρ ἀδημιούργητον ἴσον δύναται τῷ ἀγεννήτῳ· τῶν ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις· καὶ τὸ λέγειν, Ὁ ἀδημιούργητος Θεὸς ἀδημιούργητα ποιεῖ, ὅμοιόν ἐστι τῷ τὸν ἀγέννητον Θεὸν ἀγεννήτως ἀγέννητα ποιεῖν. καὶ τὸ λέγειν ἀΐδιον μὲν τὸν Θεὸν, συναΐδιον δὲ τὸν κόσμον, καὶ ἐκ τῆς ἀνυπαρξίας εἰς ὕπαρξιν τὸν Θεὸν καὶ τὸν κόσμον αὐτοπαράκτως παρηγμένον· τὸ γὰρ αὐτοπάρακτον, ἐπὶ τοῦ Θεοῦ καὶ τοῦ κόσμου λεγόμενον, ταὐτὴν ἔχει τὴν δήλωσιν. καὶ τὸ λέγειν αὐτοπάρακτον καὶ ἑτεροφρούρητον τὸν κόσμον· τὸ γὰρ θεοφρούρητον δηλοῖ τὸ ἑτεροφρούρητον· ἕτερος γὰρ ὁ κόσμος, καὶ ἕτερος ὁ Θεὸς ὁ τὸν κόσμον φρουρῶν· ὃν αὐτοπάρακτον ὄντα, ἀναγκαίως ἐχρῆν καὶ αὐτοφρούρητον εἶναι. καὶ τὸ λέγειν τὸν Θεὸν καὶ τὸν κόσμον ἀγεννήτους, καὶ αὐτογεννήτους· τὸ γὰρ αὐτοπάρακτον, ἐπὶ τοῦ Θεοῦ καὶ τοῦ κόσμου λεγόμενον, δηλοῖ τὸ αὐτογέννητον. καὶ τὸ λέγειν, Ποιήσας ταῦτα ὁ Θεός· καὶ πάλιν τὸ, Οὐκ ἐποίησεν· ἔγχρονον γὰρ ὡς τὸ ἐποίησεν, οὕτως καὶ τὸ ποιήσας. καὶ τὸ λέγειν ἀϊδίως συνυφεστάναι ἀδιαστάτως τῷ Θεῷ τὸν κόσμον, τὸν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους γεννητῶς διὰ συνθέσεως τὴν ὕπαρξιν παρὰ τοῦ δημιουργοῦ λαβόντα. καὶ τὸ λέγειν ἄφθαρτον καὶ φθαρτὸν εἶναι τὸν κόσμον· ἄφθαρτον μὲν, τῷ εἶναι· φθαρτὸν δὲ, τῷ φρουρεῖσθαι. καὶ τὸ λέγειν, γίνεται ὁ κόσμος· τὸ δὲ γινόμενον, ἔγχρονον· καὶ τὸ ἔγχρονον, φθαρτόν. καὶ τὸ λέγειν πάσης ποιήσεώς τε καὶ δημιουργίας Θεοῦ ὑποδοχὴν εἶναι τὸν κόσμον· καὶ τὸ φθαρτῶν μὴ εἶναι δημιουργὸν τὸν Θεόν· ὁ γὰρ Θεὸς κατὰ τὸν ἀποκρινάμενον οὐδὲν ἔγχρονον ποιεῖ· τὰ δὲ γεννητὰ καὶ ἔγχρονα, πάντα κατ᾽ αὐτὸν ἐστὶν ἀεὶ φθαρτά· ταῦτά τε καὶ τὰ τοιαῦτα οὐκ 236
ἔστιν ἀνδρῶν τῶν κατὰ τὴν εἴδησιν τῆς τῶν πραγμάτων φύσεως διὰ γνησίας ἀποδείξεως τὰ περὶ τοῦ Θεοῦ καὶ τοῦ κόσμου ἀποδεικνυόντων, ἀλλὰ ῥιψοκινδύνων ἀνθρώπων, τῶν κατὰ τὴν ἀναισχυντίαν τὸ δοκοῦν αὐτοῖς περὶ τοῦ Θεοῦ καὶ τοῦ κόσμου ἀποφαινομένων. Τὸ δὲ κακίζειν μὲν τῆς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ οἰκήσεως τὴν λέξιν, ὡς μὴ πρέπουσαν Θεῷ, ἀνθρώπων ἐστὶ τῶν ἐχόντων τῶν ἀτόπως λεγομένων τὴν αἴσθησιν. ἡ γὰρ κακέμφατος λέξις, κακέμφατον ἔχει καὶ τὴν ἔννοιαν. ἡμεῖς δὲ, οὐκ ἐθήκαμεν ἐν τῇ ἐρωτήσει τὸν τρόπον τῆς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ οἰκήσεως, ὃν ὁ ἀποκρινάμενος διέβαλεν· ἀλλὰ τὸ, εἰ ἀγέννητός ἐστιν ὁ οὐρανὸς, οὐκ ἔστι τοῦ Θεοῦ. καὶ οἱ λέγοντες κατοικεῖν τὸν Θεὸν ἐν αὐτῷ, ἐφ᾽ ὕβρει λέγουσι τοῦ Θεοῦ κατοικοῦντος ἐν τῷ οὐρανῷ οὐκ αὐτοῦ. οἶκον δὲ καὶ θρόνον λέγομεν τοῦ Θεοῦ τὸν οὐρανὸν, οὐχ ὡς τοῦ Θεοῦ τούτου πρὸς οἴκησιν ἢ πρὸς καθέδραν χρήζοντος, ἀπεριγράπτου καὶ ἀνενδεοῦς παντελῶς ὑπάρχοντος·

ἀλλ' ἵνα μὴ πρὸς τὸ μέγεθος τῆς αὐτοῦ ὑποστάσεως, καὶ τὸ ἄφθαρτον τῆς οὐσίας αὐτοῦ ἀφορῶντες, Θεὸν τοῦτον, ἢ ἰσότιμον Θεῷ ὑπολάβωμεν, διὰ τοῦτο ὀνομάζομεν αὐτὸν οἶκον καὶ θρόνον τοῦ Θεοῦ· ταύτῃ τῇ ὀνομασίᾳ πάσης τῆς πρὸς τὸν Θεὸν κατ' οὐσίαν καὶ κατὰ τὰς τῆς οὐσίας προσηγορίας κοινωνίας αὐτὸν χωρίζοντες. ὥσπερ γὰρ ὁ οἶκος καὶ ὁ θρόνος ὕστερός ἐστι τοῦ πεποιηκότος αὐτόν, οὕτως καὶ ὁ οὐρανὸς ὕστερός ἐστι τοῦ Θεοῦ, ὡς γεννητὸς τοῦ ἀγεννήτου. καὶ εἰ ἄφθαρτον λέγομεν τὸν οὐρανὸν τὸ νῦν, οὐ συνωνύμως αὐτὸν τῷ Θεῷ ὀνομάζομεν ἄφθαρτον· ὁ μὲν γὰρ Θεός, ἀκτίστως ἐκ τῆς αὐτοῦ οὐσίας καὶ ἀϊδίως τὸ ἄφθαρτον ἔχει· ὁ δὲ οὐρανός, κτιστῶς ἐκ τῆς τοῦ Θεοῦ βουλήσεως ἔχει τὸ ἄφθαρτον, πρὸς τὴν χρείαν τῶν τῇδε· καὶ πληρωθείσης τῆς χρείας, εἰς ἕτερον τρόπον ἀφθαρσίας μεταφέρεται· ὁ γὰρ δεδωκὼς αὐτῷ Θεὸς σώματος μέγεθος, ὅσον ἠβουλήθη καὶ οὐχ ὅσον ἠδυνήθη. ἠδύνατο γὰρ ποιῆσαι αὐτὸν τῷ μεγέθει πολὺ μείζονα, ἢ ὅπερ ἐστὶ νῦν· αὐτὸς αὐτὸν ἔταξε τῷ οἰκείῳ ὅρῳ ἐν ἀφθαρσίᾳ διαμένειν, ἕως τοῦ καιροῦ τῆς τῶν ὄντων εἰς τὸ κρεῖττον μεταποιήσεως κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων, τῶν ἐκ διδασκαλίας τοῦ γνωσθέντος αὐτοῖς Θεοῦ, Θεὸν ἐγνωκότων, καὶ κατὰ τὴν μαρτυρίαν τοῦ ἀποκρινομένου.

verū, ne ad illius subsistētiæ amplitudinē, & substātiæ incorruptibilitatem respiciētes, Deum ipsum aut dignitate honoreq; Deo parem esse suspicaremur, propterea Dei habitaculū & thronū dicimus: ab omni ipsum huiusmodi verbis tum substātiæ cum Deo, tum substātiæ appellationis communione excludentes. nam sicuti domicilium & thronus posterius eo sunt qui ea effecit: sic & cælum posterius Deo est vt genitum ingenito. Atq; etiāsi cælū vt nūc est, incorruptibile dicimus: non tamē itidem id, vt Deum, incorruptibile dicimus. Deus namque, suapte essentia non conditi modo & perpetuo incorruptibilitatē obtinet: mundus vero, cōditi modo, Dei volūtate incorruptibilitatem habet, ad reū istarum vsum: quo vsu completo, in alium incorruptibilitatis modum transferetur. Deus enim, qui illi tribuit amplitudinem quantam voluit, non quantam potuit: potuisset namque eum magnitudine multo ampliorem efficere quam est: nunc illum ipse, vt intra finē suum in incorruptibilitate permaneat, ordinauit, vsque ad tēpus eorum quæ constant in melius mutationis; secundum orthodoxorum recteque sentientium, qui ex cogniti eis Dei doctrina Deum cognouerunt, fidem & persuasionem, & respondentis attestationem.

299 ## ΠΡΟΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ.

α'. Ἡ φύσις ἡ ποιοῦσα τὰ φυσικά, ἐὰν μὴ προηγουμένως γένηται ὑπὸ τοῦ μὴ κατὰ φύσιν ποιοῦντος, οὔτε ὑπάρχει, οὔτε ποιεῖ.

β'. Ὅτι οὐχ ἁπλῶς πᾶν πρᾶγμα γεννητόν τι καὶ φθαρτόν, ἐν τῇ γενέσει ἔχει τὸν τετραμερῆ χρόνον, ἀρχὴν καὶ ἐπίδοσιν, ἀκμὴν καὶ παρακμήν, ἀλλὰ τὸ φύσει ἢ τέχνῃ γινόμενον.

γ'. Εἰ τοῖς ἡμετέροις ὀνόμασι καλεῖται [ὁ] Θεός, πᾶν εἴ τι καλεῖται, οὐκ ἔστιν ἀνάγκη ἕπεσθαι τῷ Θεῷ διὰ τὸ ὄνομα, ὅσα ἕπεται τῷ ἡμετέρῳ ὀνόματι. καλεῖται δὲ ὁ Θεὸς καὶ ἀλήθεια, καὶ ἀγαθός· καὶ τῇ μὲν ἀληθείᾳ ἀντίκειται τὸ ψεῦδος· τῷ δὲ ἀγαθῷ, τὸ κακόν· τῷ δὲ Θεῷ οὐδὲν ἀντίκειται. τοῦτο μὴ νοήσας ὁ Πλάτων, ὑπεναντίον τι ἐδογμάτισε τῷ Θεῷ, κακὸν ἀναγκαῖόν τι καὶ ἀΐδιον.

δ'. Οὐκ ἔστι τι ὂν μὴ τόδε τι ὄν· οἷον, οὐκ ἔστι σῶμα ἀλλ' ἢ τόδε σῶμα ὄν. ἀλλ' εἰ ἡ ὕλη τὸ εἶναι τόδε οὐκ ἔχει, οὐδ' ἄρα τὸ εἶναι ἔχει· ἀχώριστον γὰρ τοῦ εἶναι τὸ τόδε εἶναι.

ε'. Ἡ φύσις καὶ ἡ τέχνη ἐκ τῶν οὐσιῶν ποιοῦσιν ἅπερ ποιοῦσιν· οἷον, ἐκ σπέρματος ποιεῖ ἡ φύσις τὸν ἄνθρωπον, καὶ ἐξ ἀνθρώπου τὸ σπέρμα· οὐσίαι δέ εἰσι τό τε σπέρμα καὶ ὁ ἄνθρωπος. ὁμοίως καὶ αἱ τέχναι ποιοῦσιν ἐκ τοῦ χαλκοῦ ἀνδριάντα, καὶ ἐκ πλίνθων οἰκίαν· οὐσίαι δέ εἰσιν ὅ τε χαλκὸς καὶ αἱ πλίνθοι. τοίνυν τῆς ὕλης οὐσίας οὐκ οὔσης, τίς ἐστιν ὁ ποιήσας ἐξ αὐτῆς [τὰ γενόμενα ἐξ αὐτῆς,] τῆς φύσεώς τε καὶ τῆς τέχνης ἀδυνατούσης ποιεῖν τι ἐκ μὴ οὐσίας;

CONFVTATIONIS QVARVNDAM GRÆCARVM OPINIONVM APPENDIX.

1. NATVRA quæ res creat naturales, nisi in primis ab eo qui natura non creat, genita sit, neque existit, neque creat.

2. Non simpliciter quælibet res genita & corruptibilis, in generatione iuxta quadripartitum tempus, ortum & auctū, vigorem & senectam habet; sed ea quæ natura vel arte fit.

3. Si nominibus nostris Deus appelletur, quidquid tandem appelletur, minime necesse est vt propter nomen Deum consequantur quæ nostra cōsequuntur nomina. Vocatur aūt Deus & Veritas, & Bonus. Ac veritati obiicitur falsum, bono opponitur malū: Deo aūt nihil opponitur. Hoc quia Plato ignorauit, cōtrariū quoddā Deo statuit malum, necessarium & perpetuū.

4. Non est quidquā quod sit, quin hoc ipsum aliquid sit: veluti corpus non est quin hoc ipsum corpus sit. At si materia, vt hoc ipsum sit, non habet; neque vt sit, habet. nam vt aliquid sit, ab eo vt hoc ipsum sit, separari non potest.

5. Natura & ars e substātiis faciūt, quæ quidē faciūt: veluti Natura e satu creat hominē, & satū ex homine: substantiæ autem sunt, & satus, & homo. Similiter & Artes ex ære faciunt statuā, & e laterib. domum: substantiæ autem sunt, & æs, & lateres. Itaque cū materia substantia non sit, quis est qui ex ea ipsa facit ea quæ ex ipsa fiunt: quando natura & ars aliquid ex eo quod non sit, facere nequeūt?

6. Si (quemadmodum dicit Aristoteles) corpus est quod neque graue neque leue, quodq; nec vnũ ex quatuor elementis sit, neque ex quatuor elementis constet: videlicet si hoc verũ est, corpus fuerit quod nec calidum nec frigidũ, vel natura vel perpesſione sit. Nam quod vel natura vel perpesſione calidum aut frigidum sit, vel vnũ e quatuor elementis est, vel e quatuor constat elementis. Sin corpus non est quod neque natura neque perpesſione calidum aut frigidum est, sane quidem neque corpus erit quod neque graue neq; leue, quodque neque quatuor elementorum vnum sit, neque ex quatuor constet elementis. Quinam igitur æther ab eo dicitur, propter cælestis corporis, & quæ in illo mouentur corporum motum, calidus esse? quæ enim motionibus calfaciũt corpora, prius ipsa incalescunt, quam ea quæ ab ipsis calorem concipiunt. Quod si incalescunt, nimirũ perpesſione incalescũt. Si vero perpesſione, nempe mutatione. Sin mutatione, contrarii in contrariũ mutatione videlicet. Cõtrarium vero frigori est calor. quocirca e frigido mutatur in calidum. Enimuero cũ corpus non sit quod e frigido in calidũ perpesſione mutetur, quod neque quatuor elemẽtorum vnum sit, neque ex quatuor constet elemẽtis: cõsequitur, corpus cæleste nõ aliud esse elementũ ab elementis quatuor. calefit enim perpesſione, dũ e frigido in calidũ mutat.

7. Si, quæ motu calesiunt corpora, prolixiore motu prolixius calesiunt: quomodo si secundum Aristotelem Sol corpus est, non natura sed motu calidum, nõ prolixitate motus prolixius vel calfit vel calefacit, sed motus inæquabilitate æquabilem retinet calorem?

8. Si iuxta Aristotelem finis substantię est vt rerũ cõtrariarum vicisſim sit capax; quomodo rursus idẽ dicit Aristoteles, materiam non esse substantiam; cum rerum contrariarum vicisſim capax sit, nempe habitus & priuationis?

Quod si quis eo quod hoc ipsum sit, priuatur, is eo quoque quod sit, priuatus est: quomodo ait Aristoteles, imposſibile esse, ex eo quod omnino non sit, fieri quidquam: cum materia (quam tamen rerum quæ fiunt subiectum facit) secũdum eum vtroque orbata sit, & eo quod sit, & eo quod hoc ipsum sit.

9. Si ex eo quod omnino non sit, nihil gignitur; certũ est ex eo quod sit, gigni aliquid. Quod si materia id est, quomodo Aristoteles verus est, materiam dicens non esse quod sit?

ϛʹ. Εἰ, καθώς φησιν Ἀριστοτέλης, ἔστι σῶμα μήτε βαρὺ, μήτε κοῦφον, μήτε ἓν τῶν τεσσάρων στοιχείων, μήτε ἐκ τῶν τεσσάρων στοιχείων, δῆλον ὅτι εἰ ἀληθές τοῦτό ἐστι σῶμα, μήτε θερμὸν μήτε ψυχρὸν, μήτε κατὰ φύσιν μήτε κατὰ πάθος· τὸ γὰρ κατὰ φύσιν ἢ κατὰ πάθος θερμὸν ἢ ψυχρὸν [ἢ τῶν τεσσάρων στοιχείων ἐστὶν, ἢ ἐκ] τῶν τεσσάρων ἐστὶ στοιχείων. εἰ δὲ σῶμα οὐκ ἔστιν μήτε κατὰ φύσιν θερμὸν ἢ ψυχρὸν, μήτε κατὰ πάθος, οὐκέτι ἐστὶ σῶμα μήτε βαρὺ, μήτε κοῦφον, μήτε ἓν τῶν τεσσάρων στοιχείων. πῶς οὖν λέγει θερμὸν εἶναι τὸν αἰθέρα διὰ τὴν κίνησιν τοῦ οὐρανίου σώματος, καὶ τῶν ἐν αὐτῷ κινουμένων σωμάτων; τὰ γὰρ ταῖς κινήσεσι θερμαινόμενα σώματα, εἰ πρὸ τῶν θερμαινομένων ὑπ' αὐτῶν θερμαίνεται, δῆλον ὅτι κατὰ πάθος θερμαίνεται· εἰ δὲ κατὰ πάθος, δῆλον ὅτι [καὶ] κατ' ἀλλοίωσιν· εἰ δὲ κατ' ἀλλοίωσιν, δῆλον ὅτι [καὶ] κατὰ μεταβολήν· εἰ δὲ κατὰ μεταβολὴν, δῆλον ὅτι ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεταβάλλεται. ἐναντίον δὲ τῷ θερμῷ τὸ ψυχρόν· ἐκ τοῦ ψυχροῦ ἄρα εἰς τὸ θερμὸν μεταβάλλεται. ἀλλ' ἐπειδὴ οὐκ ἔστι σῶμα ἐκ τοῦ ψυχροῦ εἰς τὸ θερμὸν κατὰ πάθος μεταβαλλόμενον, μὴ ὂν μήτε τῶν τεσσάρων στοιχείων, μήτε ἐκ τῶν τεσσάρων στοιχείων, διὰ τοῦτο οὐκ ἔστι τὸ οὐράνιον σῶμα ἕτερον στοιχεῖον παρὰ τὰ τέσσαρα στοιχεῖα. θερμαίνεται γὰρ κατὰ πάθος ἐκ τοῦ ψυχροῦ εἰς τὸ θερμὸν μεταβαλλόμενον.

ζʹ. Εἰ τὰ ἐκ τῆς κινήσεως θερμαινόμενα σώματα, τῷ πλείονι τῆς κινήσεως πλεόνως θερμαίνεται, πῶς, εἰ κατὰ τὸν Ἀριστοτέλην σῶμά ἐστιν ὁ ἥλιος, οὐ κατὰ φύσιν θερμὸν, ἀλλὰ κατὰ κίνησιν, εἰ τὸ πλεῖον τῆς κινήσεως 300 [πλειόνως] οὔτε θερμαίνεται οὔτε θερμαίνει, ἀλλ' ἐν τῷ ἀνίσῳ τῆς κινήσεως τὸ ἴσον ἔχει τῆς θερμότητος.

ηʹ. Εἰ κατὰ τὸν Ἀριστοτέλην ὅρος τῆς οὐσίας ἐστὶ τὸ τῶν ἐναντίων ἀνὰ μέρος δεκτικὸν, πῶς λέγει πάλιν ὁ αὐτὸς Ἀριστοτέλης τὴν ὕλην μὴ εἶναι οὐσίαν, οὖσαν τῶν ἐναντίων ἀνὰ μέρος δεκτικήν; [τῆς] στερήσεως γὰρ καὶ ἕξεως.

Εἰ δὲ ὁ στερούμενος τοῦ εἶναι τόδε, οὗτος καὶ τοῦ εἶναι ἐστέρηται, πῶς λέγει ὁ Ἀριστοτέλης ἀδύνατον ἐκ τοῦ [πάντη] μὴ ὄντος γενέσθαι τι, τῆς ὕλης κατ' αὐτὸν ἀμφοτέρων στερουμένης, καὶ τοῦ εἶναι, καὶ τοῦ τόδε εἶναι;

θʹ. Εἰ ἐκ τοῦ πάντη μὴ ὄντος οὐ γίνεταί τι, δῆλον ὅτι ἐκ τοῦ ὄντος γίνεταί τι. ἀλλ' ἐπεὶ ὕλη τοῦτο, πῶς ἀληθεύει Ἀριστοτέλης λέγων τὴν ὕλην οὐκ ὄν;

ιʹ. Εἰ μὴ ἀλλοιοῦται ἡ ὕλη, ἀδύνατον γενέσθαι τι ἐξ αὐτῆς. ἀλλ' εἰ πᾶν τὸ ἀλλοιούμενον ἐκ τοῦδε εἰς τόδε ἀλλοιοῦται· οὐκ ἔστι δὲ ἡ ὕλη τόδε· οὐκ ἄρα ἀλλοιοῦται· διὸ οὐ γίνεταί τι ἐξ αὐτῆς.

ιαʹ. Εἰ ἐκ τοῦ τυχόντος εἰς τὸ τυχὸν οὐ γίνεται μεταβολὴ, ἀλλ' εἰς τὸ ἐναντίον ἐν τῷ αὐτῷ γένει, οἷον ἐν

10. Si materia non alteratur, fieri nequit vt ex ea fiat aliquid. Sin, quidquid alteratur, ex hoc ipso in hoc ipsum alteratur: materia autem hoc ipsum non est, proindeque non alteratur: Itaque ex ea non fit quidquam.

11. Si ex quoq; in quodq; non fit mutatio, sed in id quod eodẽ in genere diuersum sit; velut in qua-

τῇ ποιότητι οὐ γίνεται μεταβολὴ ἐκ τοῦ λευκοῦ εἰς ἄλλο τι ἀλλ' εἰς τὸ μέλαν· κατὰ τί οὖν μεταβάλλεται ἡ ὕλη ἐν τῇ γενέσει τῶν ἐξ αὐτῆς γενομένων οὐσιῶν, οὐδὲν ἔχουσα δυνάμενον μεταβάλλεσθαι;

ιβʹ. Εἰ ὥσπερ ἐν τοῖς ζωϊκοῖς τὸ ζῷον, καὶ ἐν τοῖς χρωματικοῖς τὸ χρῶμα, οὕτως καὶ ἐν τοῖς ὑλικοῖς ἡ ὕλη, πῶς ἀναιρουμένων τῶν ζωϊκῶν, συναναιρεῖται καὶ τὸ ζῷον· καὶ ἀναιρουμένων τῶν χρωματικῶν, ἀναιρεῖται καὶ τὸ χρῶμα· καὶ ἀναιρουμένων τῶν ὑλικῶν, οὐκ ἀναιρεῖται καὶ ἡ ὕλη. [εἰ δὲ συναναιρεῖται τοῖς ὑλικοῖς ἡ ὕλη, πῶς προϋπάρχει τῶν ὑλικῶν ἡ ὕλη;]

ιγʹ. Εἰ τὸ ἀπέχειν καὶ τὸ μετέχειν τῶν ὄντων ἐστὶ, δῆλον ὅτι τὸ πάντη μὴ ὂν οὔτε ἀπέχει τινὸς, οὔτε μετέχει. πῶς οὖν μετέχει ἡ ὕλη τῆς στερήσεως, ἐπεὶ τῶν ὄντων οὐκ ἔστιν;

ιδʹ. Εἰ ἀδύνατον τὸ αὐτὸ ἐν τῷ αὐτῷ ἀμφοτέρας κινεῖσθαι τὰς κινήσεις, τήν τε κατὰ φύσιν καὶ τὴν παρὰ φύσιν, πῶς ὁ ἥλιος κατὰ φύσιν μὲν κινεῖται ἀπὸ τῆς ἀνατολῆς εἰς δύσιν, παρὰ φύσιν δὲ ἀπὸ τῆς δύσεως εἰς ἀνατολὴν, διὰ τὴν σφαῖραν. οὐ γὰρ δυνατὸν τὸ αὐτὸ ἐν τῷ αὐτῷ τὰς ἐναντίας κατὰ φύσιν κινεῖσθαι κινήσεις.

ιεʹ. Τοῦ ἡλίου μὴ ὄντος, περιττὸς ἦν ὁ ὀφθαλμός· καὶ τοῦ ὀφθαλμοῦ μὴ ὄντος, περιττὸς ἦν ὁ ἥλιος· ἀλλ' ἐπειδὴ δι' ἑκάτερον ἀναγκαῖος ἑκάτερος, γενητὸς ἄρα ἑκάτερος. τὸ γὰρ ἀγένητον δι' οὐδέν ἐστιν ἀγένητον, [ἀλλὰ δι' αὑτὸ μόνον, μᾶλλον δὲ οὐ δι' αὑτό· ἀναίτιον γὰρ τὸ ἀναίτιον.]

ιϛʹ. Εἰ ἀδύνατον χρόνου ὄντος τὸ γινόμενον γίνεσθαι μὲν κατ' αἰτίαν, οὐ κατὰ χρόνον δὲ, πῶς λέγουσιν οἱ Ἕλληνες τὸν κόσμον γεγενῆσθαι κατ' αἰτίαν, καὶ οὐ κατὰ χρόνον;

ιζʹ. Εἰ ἀδύνατον τὸν κόσμον εἶναι χωρὶς ἐνιαυτοῦ, πῶς ἀΐδιος καὶ ἀγένητος ὁ κόσμος, τοῦ ἐνιαυτοῦ οὐκ ὄντος ἀϊδίου, ἀλλ' ἐκ τῆς περιόδου πλειόνων ἡμερῶν τὸ εἶναι ἔχοντος;

ιηʹ. Εἰ γενητὸς ὁ ἐνιαυτὸς, πῶς ἀγένητα καὶ ἀΐδια τὰ ἐν τῷ ἐνιαυτῷ;

301 ## ΕΡΩΤΗΣΕΙΣ ΕΛΛΗΝΙΚΑΙ ΠΡΟΣ τοὺς Χριστιανοὺς, περὶ τοῦ ἀσωμάτου, καὶ περὶ τοῦ Θεοῦ, καὶ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν.

αʹ. Πόθεν δῆλον εἰ ἔστι τι ἀσώματον, καὶ εἰ ἔστιν ἀσώματον;

βʹ. Πόθεν δῆλον ὅτι αὐτὸ ἐφ' ἑαυτοῦ δύναται εἶναι ἐκτὸς σώματος, καὶ εἰ ἔστιν αὐτὸ ἐφ' ἑαυτοῦ ἀσώματον;

γʹ. Πόθεν δῆλον εἰ ἔστι κάλλιον τὸ ἀσώματον τοῦ σώματος, καὶ εἰ οὐ κάλλιον τὸ ἀσώματον τοῦ σώματος;

qualitate non fit mutatio candidi in magnum, sed in nigrum: Qua igitur re materia in generatione earum quę ex ipsa fiunt substantiarum mutabitur, quod mutari queat habens nihil?

12. Si, quemadmodum se habet in animalibus animans, & in coloratis color, ad eundem modum se habet in materialibus materia: quî fit vt, cum tollendis animalib. simul tollatur animans, & tollendis coloratis simul tollatur color; materialibus tollendis, non tollatur materia? Sin vna cum materialibus simul materia tollitur, quomodo prius exsistit materia quam materialia?

13. Si eorum quæ sint, est vt recipiant aliquid & non recipiant, videlicet id quod omnino non sit, neque recipit quidquam, neque non recipit. quomodo igitur priuationem recipit materia, quādoquidem ex his quæ sint, non est?

14. Si impossibile est vt idem in eodē vtroque incitetur motu, & eo qui iuxta naturam, & eo qui præter naturā est: quomodo Sol iuxta naturam quidem ab occidente mouetur in orientem, præter naturam autē ab oriēte in occidentem, propter globum siue sphæram? Fieri enim nequit vt idem in eodem naturā contrariis concitetur motibus.

15. Si Sol non esset, superuacaneus esset oculus: & si oculus nō esset, superuacaneus esset Sol. Sed cum vterque propter vtrumque sit necessarius, genitus vterque fuerit. nam id quod ingenitum est, nullius gratia ingenitum est; [sed propter seipsum dumtaxat, ac potius ne propter seipsum quidem. Præter causam enim est, cuius causa non est.]

16. Si impossibile est, tempore exstāte, id quod gignitur, gigni quidem iuxta causam, non autem iuxta tempus: quomodo Græci dicunt, mundum genitum esse secundum causam, & non secundum tēpus?

17. Si haudquaquam fieri potest vt mūdus absque anno sit; quomodo ęternus est & ingenitus, cū annus non sit æternus, sed vt sit, ex circuitu dierū compluriū habeat?

18. Si annus genitus, quomodo quæ in anno sunt, æterna sunt & ingenita?

EIVSDEM IVSTINI Quæstionum Græcanicarum ad Christianos, de Incorporeo, & de Deo, & de Resurrectione mortuorum; Christianarumque ad eas responsionum Liber.

1. Vnde constat an aliquid sit incorporeum, & an sit Incorporeum?

2. Vnde constat, ipsum in seipso esse posse extra corpus; & num sit ipsum in seipso incorporeum?

3. Vnde patet an corpore pulchrius sit incorporeum; & an non pulchrius corpore incorporeum?

4. Quid est incorporeum; vtrumne anima, an melius anima, veluti Deus?

5. Qua re differt anima a Deo?

6. Et vnde liquet an prorsus sit Deus?

7. Ac si Deus est, quærendum num faciat feceritve aliquando, facturusve sit id quod sit aliquando?

8. Et an fuerit, faciatve, facturusve sit?

9. Et quid faciat, & quomodo faciat; suapte voluntate, an præter voluntatem?

10. Et si suapte voluntate, instrumentone vsus, an absque instrumento?

11. Et si præter voluntatem, vtrũ etiam præter rationem facit sine cogitatione & deliberatione, an cum aliqua iudicii consideratione?

12. Et si cum cõsideratione, cuius considerationis vsu indiget? Sin absque consideratione, quanã ratione, inuestigandũ.

13. Et si demus fieri quidquam ab eo, num id quod fit, incorruptibile an corruptibile? ac si quidẽ corruptibile, addubitamus an quod omnino factum sit, incorruptibile esse possit, & qua ratione? Et si interit, qua re differunt immortalis [Dei] opera ab humanis operibus? [nam] horum permulta multoties ad multiplicata tempora durant, factoribus eorum corruptibilitate exstinctis, ipsa aliquatenus incorrupta: sicut in architectis [& ædificiis] similibusque [cernere est.]

14. Et si interit quod a Deo est factum, cuius vitio siue malicia interit, factorisne, an eius quod factum est, aut cuiuspiã externi, qui factoris sit aduersarius? Quodcumque vero horum posuerimus, perspicuum fuerit conditoris fore maliciam. Siue enim creatura, ob insitam sibi vitiositatẽ exitio est obnoxia, conditor in causa fuerit, quod talem ipsam cõdiderit, in qua mali quidquã relictum sit. Sin extrinsecus aliquid sit quod creatori aduersetur, sic quoque creatoris malignitas fuerit, propterea quod vincere ea nequeat quæ sibi sint contraria. Tum autẽ, si factoris sit malicia, malum ipsum esse certũ fuerit. Atque hæc de hisce in præsentia ex multis pauca dicta sufficiant. nã si vellemus, quærẽdum etiam esset quid sit corpus, & quib. rebus constet corpus; atque alias de istis proferremus dubitationes. Verum hisce relictis, tamquam in eis nihil esset ambigui, præstabilius quidquam nunc, quod admirationem mereatur, ex ea quæ de resurrectione est disputatione proponamus. Nam & hoc ex eis rebus vnum est, quę ab eis qui saxeo sunt corde, in dubium vocatæ quæruntur.

15. Nam si, inquit, homines mortuos resurgere oportet integros; si forte accidat vt homo in mari pereat, ac deinde a piscibus is deuoratus, rursum aliis hominibus qui pisces eos ederint, esca fiat: quomodo carnẽ suã ab aliis hominib. consumptã, atq; in illorũ corpus cõuersam recuperabit? Aut enim hic necessario sine carne resurget, quã homines alii, esu piscium inter-

δ΄. Τί ἐστι τὸ ἀσώματον· πότερον ψυχὴ, ἢ κρεῖττον ψυχῆς, οἷον Θεός;

ε΄. Καὶ τίνι διαφέρει ψυχὴ Θεοῦ;

ς΄. Καὶ πόθεν δῆλον εἰ ὅλως ἐστὶ Θεός;

ζ΄. Καὶ εἰ ἔστι Θεὸς, ζητητέον εἴτε ποιεῖ, εἴτε ἐποίησέ ποτε, εἴτε καὶ μέλλει ποιεῖν τὸ ὅ τί ποτε;

η΄. Καὶ εἴτε ἐποίησεν, εἴτε ποιεῖ, εἴτε ποιήσει;

θ΄. Καὶ τί ποιεῖ, καὶ πῶς ποιεῖ, εἴτε μετὰ βουλῆς, εἴτε καὶ ἄνευ βουλῆς;

ι΄. Καὶ εἰ μετὰ βουλῆς, ὀργάνῳ κεχρημένος, ἢ ἄνευ ὀργάνου;

ια΄. Καὶ εἰ ἄνευ βουλῆς, πότερον ἀλόγως ποιεῖ ἄνευ διανοίας καὶ ἐπισκέψεως, ἢ μετά τινος ἐπικρίσεως;

ιβ΄. Καὶ εἰ μετὰ ἐπικρίσεως, τίνος ἐνδείᾳ ἐπικρίσεως δεῖται· εἰ δὲ ἀκρίτως, ποίῳ τῷ λόγῳ διερευνητέον.

ιγ΄. Καὶ εἰ δοίημεν γίνεσθαί τι παρ' αὐτοῦ, πότερον τὸ γενόμενον ἄφθαρτον, ἢ φθαρτόν· καὶ εἰ μὲν φθαρτὸν, ἀπορῶμεν εἰ τὸ ὅλως γενητὸν ἄφθαρτον δύναται εἶναι, ποίῳ τῷ λόγῳ· καὶ εἰ φθείρεται, τί διαφέρει τὰ τοῦ ἀθανάτου ἔργα τῶν ἀνθρωπίνων . . . πολλαπλασίονα χρόνον πολλάκις πολλὰ τούτων διαμένει τοῦ ποιήσαντος αὐτὰ φθαρέντος, αὐτὰ ἄφθαρτα, ὥς πως ὡς ἐπ' οἰκοδομῶν . . . τοιούτων.

ιδ΄. Καὶ εἰ φθείρεται τὸ γενόμενον παρὰ τοῦ Θεοῦ, τίνος κακίᾳ φθείρεται, τοῦ ποιήσαντος, ἢ τοῦ γεγονότος, ἤ τινος ἔξωθεν ὑπεναντίου γενομένου τῷ ποιήσαντι. ὅ τι δ' ἂν αὐτῶν ὑποθώμεθα, δῆλον ὅτι τοῦ ποιήσαντος ἡ κακία. εἴτε γὰρ τὸ γεγονὸς διά τινα ἔμφυτον ἑαυτοῦ κακίαν ὀφείλει φθαρῆναι, ὁ ποιήσας αἴτιος, ὅτι τοιοῦτον αὐτὸ ἐποίησεν, ὥστε ὑπολιμπάνεσθαι ἐν ἑαυτῷ κακόν τι· εἴτε ἔξωθέν ἐστι τὸ ὑπεναντίον τῷ ποιήσαντι, καὶ οὕτως κακία τοῦ πεποιηκότος, διὰ τὸ μὴ δύνασθαι κατακρατεῖν τῶν ἐναντίων· εἴτε ἐκ τοῦ ποιήσαντος ἡ κακία, πρόδηλον ὡς αὐτὸς ὁ κακός. ταῦτα μὲν περὶ τούτων, πῶς ἐκ πολλῶν ὀλίγα. εἰ γὰρ ἠθέλομεν, ζητητέον καὶ τί ἐστι σῶμα καὶ ἐκ τίνων τὸ σῶμα, καὶ τὰς ἐπὶ τούτοις ἀπορίας. ταῦτα δὲ πως ἐάσαντες, ὡς ἐνούσης μηδὲν τῶν ἀπόρων, πῶς τῶν γνωριμωτέρων οὐ τὸ θαύματος ἀξιωμένου ἀπὸ τῶν περὶ τῆς ἀναστάσεως λόγων. ἓν γάρ τι τῶν ἐντελῶν ἀπόρων τῶν παρὰ τοῖς λιθοκαρδίοις κινουμένων ἐστὶ καὶ τοῦτο. Εἰ γὰρ δεῖ, φησὶ, σώους ἀνίστασθαι τοὺς τετελευτηκότας, πῶς, εἰ συμβαίη ἄνθρωπον ἀποθανεῖν εἰς θάλασσαν, εἶτα βρωθέντα τοῦτον ὑπὸ ἰχθύων, αὖθις ὑπὸ ἄλλων ἀνθρώπων καταβρωθῆναι διὰ μέσων τῶν ἰχθύων, πῶς ἂν ἀναλάβοι τὰς σάρκας τὰς εἰς ἄλλους ἀνθρώπους καταδαπανηθείσας; ἢ γὰρ τοῦτον ἀνάγκη παρὰ τὰς σάρκας ἀναστῆναι ἃς ἔφαγον οἱ ἄλλοι ἄν-

θρωποι διὰ μέζων τῶν ἰχθύων, καθὼς πολλάκις εἴρηται ἢ ἐκείνους, μέλη τῶν ἑαυτοῦ σαρκῶν ἀπηρ-
102 τευμένους, ἀποθέσθαι καὶ ἐλλιπεῖς γίνεσθαι ἵνα ἀποπληρώσωσι τὸ ἐλλεῖπον τῶν ὑπ᾽ αὐτῶν ἀδίκως καταβρωθέντων. καὶ ταῦτα οἷα γελῶντες οἱ λιθοκάρδιοί φασιν. ἐγὼ δὲ παρακαλῶ ἐκτὸς ἀπορίας κατασκευαστικὸν λόγον τῆς ἀναστάσεως μαθεῖν, τὸν ἐξ ἀνάγκης ἀποδεικνύντα ὅτι ἀνάγκη εἶναι ἀνάστασιν, διά τινων ἀποδεικτικῶν καὶ ἀληθῶν λόγων· τῶν γὰρ ἀποδείξεων ἐῤῥωμένων ταῖς ἀληθείαις, οὐδ᾽ ἵνα τῶν ἀπορῶν λόγον δι᾽ ἐστι ποιήσομαι· ἔστι γὰρ ἄτοπον καὶ φιλόνεικον πρὸς ἐῤῥωμένην ἀπόδειξιν ἐθέλειν ἐρίζειν.

interueniente, absumpserint, sicuti dictú est: aut illi membra carnis suæ repetitæ deponent & partibus suis deficientur, vt id quod per iniquam eorum vorationem deest, sarciatur impleaturq;? Et hæc ita per risum saxicordes dicūt. Ego vero peruelim probabilem de resurrectione, citra dubitationem, addiscere assertionem argumentis necessariis, necessario resurrectionem fieri oportere, per certas verasq; aliquas demonstrationes ostendentem. Demonstrationes namque vestræ si firmiter veritate fulcientur, nullam (mihi credite) quæstionem in medium producam. Absurdum quippe est, & iurgiosum, aduersus confirmatam probationem rixandi studio contendere velle.

ΑΠΟΚΡΙΣΕΙΣ ΧΡΙΣΤΙΑΝΙΚΑΙ

πρὸς τὰς προῤῥηθείσας ἐρωτήσεις ἀπὸ τῆς εὐσεβείας τῶν φυσικῶν λογισμῶν.

Οὗτοι οἱ λόγοι οὐκ εἰσὶ λογικαὶ ἀπορίαι, ἀλλ᾽ ἐρωτήσεις ἀτεχνοι. ὁ γὰρ λόγος ὁ κατασκευάζων λογικὰς ἀπορίας, ἐν τοῖς ἀκολούθως πως λεγομένοις συνάγει τὸ ἄτοπον· οἷον, μόνος ὁ ἄνθρωπος γελαστικόν· πᾶν γελαστικόν, ζῷον· μόνος ἄρα ὁ ἄνθρωπος ζῷον· αἵπερ εἰσὶν ἀκόλουθοι προτάσεις μέν, ἄτοπον δὲ τὸ συμπέρασμα. ἐν δὲ ταῖς προκειμέναις λόγεις οὐδὲν ἄτοπον κατὰ ἀκολουθίαν συνήχθη· διὸ οὐκ ἂν λόγως ἐκλήθησαν ἀπορίαι.

Εἰ ἀδύνατον τὸ αὐτὸ τὰ αὐτὰ καὶ ἀγνοεῖν καὶ γινώσκειν. (ἐπὶ παντὸς γὰρ ἀληθῆ τὴν κατάφασιν εἶναι δεῖ ἢ τὴν ἀπόφασιν) πῶς ὁ ἀγνοῶν εἰ ἔστιν ἀσώματον, γινώσκει βούλησιν τε καὶ ἐπίκρισιν, διάνοιάν τε καὶ ἐπίσκεψιν, νοῦν τε καὶ λόγον; ἅτινά ἐστι τοῦ ἀσωμάτου ἐνεργήματα. τὸ γὰρ ἐν ἀγνωσίᾳ τῆς τοῦ ἀσωμάτου ὑπάρξεως γινώσκειν τοῦ ἀσωμάτου τὰ ἐνεργήματα τῶν οὐκ εἰδότων ὅ φασίν ἐστι.

Τὸ κατασκευάζειν ἀπορίας, καὶ λύειν ἀπορίας, οὐκ ἔστιν αἰσθήσεως τοῦτο, οὐδὲ σώματός ἐστι. τὸ δὲ μὴ ὂν σώματος, τοῦτο ἀνάγκη εἶναι τοῦ ἀσωμάτου.

Ὅθεν ζητοῦμεν τῆς τοῦ ἀσωμάτου ὑπάρξεως τὴν δήλωσιν. εἰ μὲν γὰρ τὸ ζητεῖν περί τινος, εἰ ἔστιν ἢ οὐκ ἔστι, λόγου ἐστίν· ὁ δὲ λόγος, τοῦ λογικοῦ ὑπάρχει ἐνέργημα· ἄλογον δὲ τὸ σῶμα καθ᾽ ἑαυτό· δῆλον ὅτι ἔστι τι ἀσώματον, ᾧ ἴδιον ὑπάρχει τὸ ζητεῖν καὶ κρίνειν.

Ἄλλο. Τῷ μὴ ὁμολογοῦντι εἶναί τι ἀσώματον, ἀνοίκειον ὑπάρχει τὸ, λόγῳ ζητεῖν καὶ κρίνειν, εἰ ἔστι τι ἀσώματον. ἄλογον γὰρ τὸ κεχρῆσθαι μὲν ταῖς τοῦ ἀσωμάτου ἐνεργείαις, ἀγνοεῖν δὲ τοῦ ἀσωμάτου τὴν ὕπαρξιν.

Ἄλλο. Δύο εἰσὶν ἐν ἡμῖν καταληπτικαὶ τῶν πραγμάτων δυνάμεις, ἥτε αἴσθησις, καὶ ἡ νόησις· ὧν αἱ ἐνέργειαι τοσοῦτον ἀλλήλων διαφέρουσιν, ὅσῳ τὰ ὑπὸ θατέρου καταλαμβανόμενα μὴ δύνασθαι καταλαμβάνεσθαι ὑπὸ τοῦ ἑτέρου. ἀλλ᾽ ἐπειδὴ πε-

CHRISTIANÆ RESPONsiones ad quæstiones propositas, ex naturalibus & diuinis veræ pietatis rationibus delumptæ.

Interrogationes istæ non sunt rationabiles quæstiones, sed inartificiales percōtationes. Quæ namque rationabilem efficit quæstionem interrogatio, per ea quæ quodammodo consequuntur, id quod absurdum est inducit, veluti; Solus homo ridibundus: Omne ridibundum, animans: Solus igitur homo animans. vbi propositiones quidem consentaneæ sunt, conclusio autem absurda. In hisce vero interrogationibus, nihil quod cōsequatur absurdi inducitur. Rationabiliter ergo quæstiones nō dicuntur. Si impossibile est vt idem eadem ignoret & norit (in re quauis namque aut affirmationem veram esse oportet, aut infitiationem: quomodo is qui nescit num incorporeum sit, voluntatem & considerationem, cogitationem & deliberationem, mētem & rationem scit, quæ sunt incorporei effectus? Nam ignorare quidem incorporeum esse, nosse autem incorporei effectus, eorum est qui quid dicant nesciunt. Quæstionem instituere, & quęstionem soluere, non cadit in sensum, neque corporis est. Quod autē corporis non sit, id incorporei esse necesse est. Quapropter vt incorporeū esse declaremus, ita rē inquirimus: Si inquisitio rei cuiuspiam, an sit nec ne, rationis est: ratio autem, eius quod rationale sit, effectus est: corpus vero, per seipsum irrationale est: certum fuerit, esse aliquid incorporeum, cuius peculiare sit, quærere & iudicare.

Alia inqvisitio. Ei qui nō fatetur esse aliquid incorporeū, proprie nō cōuenit ratione quærere & iudicare an aliquid sit incorporeū. Pręter rationē enim est, vti quidē incorporei efficacia, incorporeū aūt esse ignorare. Alia. Duæ sunt in nobis cōprehēdendarū rerū facultates, Sensus & Intelligentia, quarū efficaciæ tantū inter se distant, quantum ea quę ab altera earum comprehenduntur, comprehendi ab altera nequeunt. Sed enim cū

omnes facultates essentiarum sint facultates, duas necesse est essentias esse: quarũ alterius sit sensus, alterius intelligentia. Quod si ita est, fuerit certe quidem essentia quædam incorporea, cuius peculiaris sit intelligentia, sicuti sensus corporis.

ALIA. Si aliquid animatum est, animã esse necesse est. animæ enim communicatione, animatum redditur animatum. Si scientia in seipsa non est, sed in anima: necesse sane est, animam in seipsa esse, in qua sit scientia.

ALIA. Si corpus anima indiget, viuẽdi & sentiendi gratia: anima vero nõ indiget corpore, neque viuendi neque intelligendi causa: aliud profecto fuerit anima a corpore.

ALIA. Si animus imperat corpori, corpus autem animi imperio deseruit: aliud vtique animus fuerit quam corpus.

ALIA. Si animus artificis instar est, corpus autem instrumenti: non idem autem est cum artifice instrumentum: non fuerit ergo idem cum animo corpus.

ALIA. Si primum est ratio, & posterius quod ratione fit: (in animo namq; est ratio, in materia autem quod ratione fit) aliud certe fuerit [materia] ab animo. Quod vero a materia aliud est, id aliud quoque fuerit a corpore.

ALIA. Si id quod corpus non sit, neq; substãtia est, quomodo substãtia diuiditur in corpus & incorporeũ; cũ id quod diuiditur, necessario in eis sit in quę diuiditur?

QVÆSTIO II. 4.

Si quid est incorporeum, vnde liquet id in seipso esse posse?

RESPONSIO.

Cuius præsentia corpus, quod per se est vitæ, sensus, & notionis expers, [vitale est, sensibile & intelligẽs:] & absentia ediuerso emortuum, insensibile & insipiens: id necesse est in seipso esse, vt quod suapte natura sit incorruptibile.

ALIA. Rationabiles quæstiones scienter instituere, easdemque itidem scienter soluere, non sensus est opus. pro confesso namque est, sensum non posse essentiæ & veritatis attingere cognitionem. Atque hoc si sic habet, & scientiæ est essentiæ & veritatis cognitionem attingere: sensus autem id non est: quod vero sensus nõ sit, id corporis quoque non est: necesse profecto fuerit, esse aliquid incorporeum in seipso, in quo scientia sit.

ALIA. Si essentiam in seipsa esse oportet, (diuiditur autem essentia, prima diuisione, in corporeum & incorporeũ) quomodo incorporeum essentia non est in seipsa exsistẽs? ALIA. Quod seipsum segregare potest a corporis perpessionibus, vt illas nõ sentiat, & nõ intereat: id etiã segregari a corpore potest, & nõ interire. Quocirca pulchrius præstabiliusque est corpore, vtpote quod causa sit præ-

σαι δυνάμεις οὐσιῶν εἰσὶ δυνάμεις, διὰ τοῦτο ἀνάγκη εἶναι οὐσίας δύο, ὧν τῆς μὲν ἴδιον τὸ αἰσθάνεσθαι, τῆς δὲ τὸ νοεῖν. ἀλλ' εἰ τοῦτο, ἔστιν ἄρα οὐσία τις ἀσώματος, ἧς ἴδιον ὑπάρχει τὸ νοεῖν, ὥσπερ τὸ αἰσθάνεσθαι τῷ σώματι.

Ἄλλο. Εἰ ἔστι τι ἔμψυχον, ἀνάγκη εἶναι τὴν ψυχήν· τῇ γὰρ τῆς ψυχῆς μετοχῇ τὸ ἔμψυχον ὑπάρχει ἔμψυχον. Εἰ ἡ ἐπιστήμη οὐκ ἔστιν ἐφ' ἑαυτῆς, ἀλλ' ἐν τῇ ψυχῇ, ἀνάγκη ἄρα εἶναι τὴν ψυχὴν ἐφ' ἑαυτῆς ἐν ᾗ ὑπάρχει ἡ ἐπιστήμη.

Ἄλλο. Εἰ τὸ μὲν σῶμα δεῖται τῆς ψυχῆς πρὸς τὸ ζῆν τε καὶ αἰσθάνεσθαι, ἡ δὲ ψυχὴ οὐ δεῖται τοῦ σώματος οὔτε πρὸς τὸ ζῆν, οὔτε πρὸς τὸ νοεῖν, ἕτερον ἄρα ἡ ψυχὴ παρὰ τὸ σῶμα.

Ἄλλο. Εἰ ἡ μὲν ψυχὴ προστάσσει τῷ σώματι, τὸ δὲ σῶμα ὑπουργεῖ τοῖς τῆς ψυχῆς προστάγμασιν, ἕτερον ἄρα τι ἡ ψυχὴ παρὰ τὸ σῶμα.

Ἄλλο. Εἰ ἡ μὲν ψυχὴ τεχνίτου λόγον ἐπέχει, 103
τὸ δὲ σῶμα ὀργάνου, οὐ ταὐτὸν δὲ ὑπάρχει τῷ τεχνίτῃ τὸ ὄργανον, οὐ ταὐτὸν ἄρα τῇ ψυχῇ τὸ σῶμα.

Ἄλλο. Εἰ πρῶτος ὁ λόγος, καὶ ὕστερον τὸ κατὰ τὸν λόγον· (ἐν μὲν γὰρ τῇ ψυχῇ ὁ λόγος, ἐν δὲ τῇ ὕλῃ τὸ κατὰ τὸν λόγον) ἕτερον ἄρα τι ἡ [ὕλη] παρὰ τὴν ψυχήν. τὸ δὲ ὕλης ἕτερον, τοῦτο καὶ σώματος ἕτερον.

Ἄλλο. Εἰ τὸ μὴ ὂν σῶμα, οὐδὲ οὐσία ἐστί, πῶς διαιρεῖται ἡ οὐσία εἰς σῶμα καὶ ἀσώματον, τοῦ διαιρουμένου ἀνάγκη ὑπάρχοντος ἐν τοῖς εἰς ἃ διαιρεῖται;

Ἐρώτησις.

Εἰ ἔστι τι ἀσώματον, πόθεν δῆλον ὅτι αὐτὸ ἐφ' ἑαυτοῦ δύναται εἶναι;

Ἀπόκρισις.

Οὗ τῇ παρουσίᾳ τὸ σῶμα τὸ καθ' ἑαυτὸ ζωῆς τε καὶ αἰσθήσεως καὶ διανοίας ἀμέτοχον, καὶ τῇ ἀπουσίᾳ πάλιν νεκρόν τι καὶ ἀναίσθητον καὶ ἀδιανόητον γίνεται, τοῦτο ἀνάγκη εἶναι ἐφ' ἑαυτοῦ, ὡς τῇ ἑαυτοῦ φύσει ὑπάρχον ἄφθαρτον.

Ἄλλο. Τὸ κατασκευάζειν ἐπιστημόνως τὰς λογικὰς ἀπορίας, καὶ ταύτας ὁμοίως ἐπιστημόνως λύειν, οὐκ ἔστιν αἰσθήσεως ἔργον. ὡμολόγηται γὰρ τὸ μὴ δύνασθαι τὴν αἴσθησιν οὐσίας τε καὶ ἀληθείας ἐφάπτεσθαι γνώσεως. εἰ δὲ τοῦτο, καὶ ἐπιστήμης μέν ἐστι τὸ ἐφάπτεσθαι οὐσίας τε καὶ ἀληθείας γνώσεως, αἰσθήσεως δὲ οὐκ ἔστι· τὸ δὲ μὴ ὂν τῆς αἰσθήσεως, οὐδὲ σώματός ἐστιν· ἀνάγκη ἄρα εἶναι τι ἀσώματον ἐφ' ἑαυτοῦ, ἐν ᾧ ὑπάρχει ἡ ἐπιστήμη.

Ἄλλο. Εἰ δεῖ τὴν οὐσίαν εἶναι ἐφ' ἑαυτῆς, διαιρεῖται δὲ ἡ οὐσία κατὰ τὴν πρώτην διαίρεσιν εἰς σῶμα καὶ ἀσώματον, πῶς οὐκ ἔστι τὸ ἀσώματον οὐσία ἐφ' ἑαυτῆς ὑπάρχουσα;

Ἄλλο. Τὸ δυνάμενον ἑαυτὸ χωρίζειν τῶν προσπαθῶν σώματι καὶ μὴ φθείρεσθαι, δύναται καὶ χωρισθῆναι τοῦ σώματος καὶ μὴ φθείρεσθαι· διὸ κάλλιον καὶ τιμιώτερόν ἐστι τοῦ σώματος, ὡς αἴτιον ὑ-

ὑπάρχον τοῦ καλὸν εἶναι τὸ σῶμα τῇ αὐτοῦ παρουσίᾳ. τὸ τοιοῦτόν φαμεν εἶναι τὴν λογικὴν ψυχήν, πνεῦμα οὖσαν νοερόν, ζωτικήν τε καὶ γνωστικὴν καὶ αὐτοκίνητον. ἧς ὁμοουσίους εἶναι φαμὲν τούς τε ἀγγέλους καὶ τοὺς δαίμονας. καὶ καθόλου εἰπεῖν, πᾶν ἐνούσιον τὸ ὑπό τινος μὴ δυνάμενον κρατεῖσθαι, σῶμά ἐστι τῷ κρατοῦντι αὐτό. καὶ τὸ θεῖον φαμὲν εἶναι ἀσώματον, οὐχ ὅτι ἐστὶν ἀσώματον· (ἐπέκεινα γάρ ἐστιν ὁ Θεὸς τῇ αὐτοῦ οὐσίᾳ, ὥσπερ τοῦ σώματος, οὕτως καὶ τοῦ ἀσωμάτου, ἀμφοτέρων τούτων ὑπάρχων δημιουργός· οὐδὲ γὰρ ἐποίησεν ὁ Θεὸς ἃ αὐτὸς ὑπάρχει) ἀλλ᾽ ὥσπερ εἰώθαμεν ἐν τοῖς παρ᾽ ἡμῖν τιμιωτέροις ὑλικοῖς ἀεὶ γεραίρειν τὸ θεῖον, οὕτως καὶ ἐν τοῖς ὀνόμασιν· οὐχ ὡς τοῦ Θεοῦ τούτων δεομένου, ἀλλ᾽ ἡμῶν τὴν περὶ αὐτοῦ ἔννοιαν αὐτοῖς ἐνδεικνυμένων. τούτῳ οὖν τῷ τρόπῳ ὀνομάζομεν αὐτὸν ἀσώματον, καίτοι εἰδότες αὐτὸν ἐπέκεινα ὑπάρχοντα τοῦ ἀσωμάτου, ὡς τούτου δημιουργόν. κείσθω δὲ ὅλως καὶ τοῦτο ἐν τῷ λόγῳ δεικτικὸν ὑπάρχον τοῦ εἶναί τι ἀσώματον. εἰ δὲ μηδὲν ἦν ἐν τοῖς οὖσιν ἀσώματον, οὐδ᾽ ἂν τὸ σῶμα. ἀλλ᾽ ἐπειδή ἐστι τὸ ἀσώματον, ὥσπερ ἐστὶ τὸ σῶμα, διὰ τοῦτο ἀνάγκη τοῖς ἐναντίοις ὀνόμασι τὰ ἐναντία ἀλλήλων διαστέλλειν. καὶ γὰρ τὸν Θεὸν καλοῦμεν ἄκτιστον, τῷ τοῦ ἀκτίστου ὀνόματι, τῶν κτιστῶν αὐτὸν διαστέλλοντες. καὶ εἰ μὴ ἦσαν τὰ κτιστά, οὐδὲ Θεὸς τούτων διεστέλλετο τῷ τοῦ ἀκτίστου ὀνόματι. κατὰ ταύτην οὖν τὴν γενομένην τῷ τοῦ ἀκτίστου ὀνόματι διαστολήν, δείκνυται ὁ Θεὸς σωμάτων τε καὶ ἀσωμάτων ὑπάρχων ἐπέκεινα. εἰ γὰρ τὸ κτιστὸν ὄνομα πάντα συλλήβδην περιέχει τά σωματικά τε καὶ τὰ ἀσώματα, δῆλον ὅτι ὁ τούτῳ τῷ ὀνόματι τῶν κτιστῶν διαστελλόμενος, ἐξ ἀνάγκης καὶ σωμάτων τε καὶ ἀσωμάτων διέσταλται· καὶ ὅπερ πρόσεστι τοῖς ἄλ-
804 λοις ἀσωμάτοις τὸ μὴ κρατεῖσθαι ὑπὸ σωμάτων, τοῦτο πρόσεστι καὶ τῷ Θεῷ, ὡς τῷ ἀσωμάτῳ οὐχί, ἀλλ᾽ ὡς τῷ ἐπέκεινα τοῦ ἀσωμάτου. καὶ ἐπειδὴ τὸ μὴ ἔχειν δημιουργὸν καὶ δεσπότην, τοῦ ἔχειν δημιουργὸν καὶ δεσπότην τιμιώτερόν ἐστι, διὰ τοῦτο τὸν Θεὸν καλοῦμεν ἄκτιστον. τὸ γὰρ ὑπάρχον ἄκτιστον, οὔτε δημιουργὸν δύναται ἔχειν, οὔτε δεσπότην. ὡσαύτως δὲ ἐπειδὴ τὸ μὴ κρατεῖσθαι ὑπό τινος, τοῦ κρατεῖσθαι τιμιώτερόν ἐστι, διὰ τοῦτο καλοῦμεν αὐτὸν ἀσώματον.

Ἐρώτησις.

Πόθεν δῆλον εἰ ὅλως ἐστὶ Θεός;

Ἀπόκρισις.

Ἐκ τῆς τῶν ὄντων συστάσεώς τε καὶ διαμονῆς. οὐ γὰρ ἂν ἦν τὰ ὄντα, μὴ τοῦ Θεοῦ προϋπάρχοντος αὐτῶν, τοῦ πάντα τὰ μέρη τῆς κτίσεως χρησίμως πρὸς λυσιτέλειαν τῆς ὅλης κτίσεως ὑποστησαμένου, τοῦ ἡμῖν γνωσθέντος διὰ προρρήσεως καὶ διδασκαλίας προφητῶν τε καὶ τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν αὐτοῦ ἀποστόλων λόγοις θείαις δυνάμεσι μεμαρτυρημένοις.

sit præsentia sua vt pulchrum sit corpus. Talem dicimus esse animum rationalem, qui est Spiritus mente præditus, vitalis, intelligens, & per seipsum mobilis: cui coessentiales siue consubstātiales esse dicimus angelos & dæmones. Atque (vt vniuersim dicam) quidquid est substantiale, quod ab aliquo prehendi non potest, corpus ei est quod id prehēdit. Et diuinitatem dicimus esse incorporeā non quod incorporea sit: (lōge namque Deus essentia sua est, sicuti supra corpus, ita & supra incorporeum: vtriusque scilicet horum conditor: nihil enim fecit Deus quod idem sit quod ipse est) sed quemadmodum soliti sumus in rebus materialibus quæ apud nos sunt, præstabilioribus Deitatē cohonestare, ita etiā in nominibus facimus: nō quod illis Deus indigeat, sed vt per ea nostram de ipso mētem declaremus. Hoc igitur modo illū dicimus incorporeum, non ignari illum esse incorporeo superiorem; opificem quippe eius. Sit autē & hoc sic in disputatione hac omnino positum; vt quod demonstrare queat esse aliquid incorporeū. Quod si in reb. quæ exstant, nihil esset incorporeū, non etiā esset corporeū. Sed quoniam aliquid est incorporeū, sicut aliquid est corpus: propterea necesse est vt quæ cōtraria inter se sunt, nominibus distinguantur cōtrariis. Etenim Deū increatū siue increabilē dicimus, Increati appellatione a creaturis eum secernentes. Et nisi creaturæ essent, neque Deus ab eis increati vocabulo secerneretur. Itaque per hanc ipsam quæ increati nomine fit, distinctionem ostenditur Deus longissime esse supra corporea & incorporea. Nam si nomen creati summatim corporea & incorporea complectitur, certum est, qui hoc ipso increati nomine a creatis secernitur, necessario eum etiam a corporeis & incorporeis secerni. Et quod aliis adest incorporeis, vt a corporeis non prehendātur, id quoque Deo adest; nō quidem vt incorporeo, sed vt ei qui lōge sit vltra incorporea. Et quia nō habere opificē & dominū, præstātius est quam opificem habere & dominū: ideo Deū vocamus increatū. Nā quod increatū est, neque opificē habere potest, neque dominū. Cōsimiliter vero quia nō prehēdi a quopiā, quā prehendi, honorificentius est, idcirco eum vocamus incorporeum.

QVÆSTIO III. 6.

Vnde liquet an prorsus sit Deus?

RESPONSIO.

Ex rerū quæ exstāt cōstitutione, & perseuerāti diuturnitate. Nō enim ea exstarēt quæ exstāt, nisi Deus prius quā illa exstitisset, qui partes creaturæ oēs vtiliter ex vsu & cōmodo vniuersæ creaturæ ordinauit. & cognitus nobis est, per prædictiones & doctrinas Prophetarum, atque Domini & Saluatoris nostri IESV CHRISTI, Apostolorumq; eius sermones, testificatione diuinarum virtutum confirmatos.

QVÆSTIO IIII. 7.8.9.

An Deus faciat, fecerítve, facturusve sit: Et si facit, suaptene voluntate, an præter voluntatem?

RESPONSIO.

Fecit Deus & facit, & facturus est, suapte sponte & volũtate. nám creaturã ipse condidit, quæ antehac non fuerat, volés. Eam prouidentia sua in eo vt sit, cõseruat: quod quidem est *facit*. Quam etiam instauraturus est, & in statum melioré redacturus, per restitutionem siue renouationé: quod est *facturus est*: vt repurget eam ab absurditate omni, ex rationalium ignauia contracta. Non quod per iudicii considerationem & deliberationem posterius id quod melius sit, inuenerit; sed quod longe antea & prius quam mundum condidit, constitutum habuerit vt faceret. Neq; enim possibile est vt vel ad notionem vel ad potentiam, Deo posterius quidquam accedat, quod prius non habuerit. Volentem autem Deum mundum creasse, illud est documento, quod cum Deus potuerit plures efficere soles, non plures, sed vnum dumtaxat effecerit. nam qui plures non potest condere soles, neque vnum cõdere potest: & qui vnum solem creare potuit, necessario quoque plures creare potuit. Quomodo igitur quos facere potuit plures soles Deus nõ fecit; nisi certe quod plures soles facere noluit? Sin quos nõ fecit soles, voluntate non fecit: perspicuum vtique fuerit, eum etiam quem fecit, volũtate fecisse. Et veluti sol, ita & reliquæ creaturæ partes omnes, quæ vel obnoxiæ vel non obnoxiæ sunt corruptibilitati, ex voluntate Dei & id quod sint, & id quod huiusmodi sint, habent.

QVÆSTIO V.

An incorporeũ pulchrius sit corpore?

RESPONSIO.

Si corpus vitam & intelligentiam recipit, nõ corporei alterius, sed incorporei præsentia: quomodo non corpore pulchrius sit incorporeum?

ALIA. Si quæuis corporata substantia, materia & forma cõstat: & non ex materia forma, sed aliunde ea materiæ prouenit: quomodo incorporeũ nõ pulchrius fuerit materia, vnde materiæ forma obuenit?

ALIA. Si æqualitas nosci nõ potest, inæqualitate ignorata: quomodo nosci potest corpus, incorporeo non cognito?

ALIA. Si corporalia omnia simulacri modo in corpore sunt, anima autem rationis modo: quomodo anima incorporea non est?

ALIA. Si anima ad instar mentis operari potest: operatur auté anima ad instar mentis, quando seipsam a sensu omni segregat: quomodo in seipsa non est anima?

QVÆSTIO VI. 3. Qua re differt Deus ab anima? RESPONSIO. Eo quo differt id quod opifex est & dominus, ab eo quod opificé & dominum habet: & quo id quod supra id quod sit est, ab eo quod sit, differt.

Ἐρώτησις.

Εἰ ποιεῖ Θεὸς, ἢ ἐποίησεν, ἢ μέλλει ποιεῖν· καὶ εἰ ποιεῖ, μετὰ βουλῆς, ἢ ἄνευ βουλῆς;

Ἀπόκρισις.

Ἐποίησεν ὁ Θεὸς, καὶ ποιεῖ, καὶ ποιήσει διὰ τῆς οἰκείας βουλήσεως. ἐποίησε γὰρ τὴν κτίσιν οὐκ οὖσαν πρότερον βουληθεὶς αὐτός· ἣν τῇ ἑαυτοῦ προνοίᾳ ἐν τῷ εἶναι διατηρεῖ· ὅπερ ἐστὶ ποιεῖ· ἣν καὶ μέλλει ἀνακαινίζειν, καὶ εἰς τὴν βελτίονα ἀγαγεῖν κατάστασιν διὰ τῆς ἀνακαινίσεως· ὅπερ ἐστὶ, ποιήσει· ἵνα καθαρίσῃ αὐτὴν ἀπὸ πάσης ἀτοπίας τῆς ἐκ τῆς τῶν λογικῶν ῥαθυμίας συμβάσης αὐτῇ· οὐκ ἐκ τῆς ἐπικρίσεως τε καὶ ἐπισκέψεως ὕστερον εὑρὼν τὸ βέλτιον, ἀλλὰ ἄνωθεν καὶ πρὸ τῆς τοῦ κόσμου ποιήσεως ἔχων αὐτὸ δεδογμένον τοῦ ποιεῖν. οὔτε γὰρ πρὸς γνῶσιν, οὔτε πρὸς δύναμιν δυνατὸν προσγενέσθαι τῷ Θεῷ ὕστερον, ὃ μὴ πρότερον εἶχε. δεῖγμα δὲ τοῦ βουλήσει τὸν Θεὸν ποιεῖν τὸν κόσμον, τοῦτό ἐστι, τὸ, δυναμένου τοῦ Θεοῦ πλείονας ποιεῖν ἡλίους, οὐκ ἐποίησε πλείονας, ἀλλ' ἕνα μόνον ἐποίησεν. ὁ γὰρ μὴ δυνάμενος πλείονας ποιῆσαι ἡλίους, οὔτε ἕνα δύναται ποιεῖν· καὶ ὁ τὸν ἕνα ἥλιον δυνάμενος ποιῆσαι, ἐξ ἀνάγκης καὶ πλείονας δύναται ποιεῖν. πῶς οὖν οὐκ ἐποίησεν ὁ Θεὸς πλείονας ἡλίους οὓς ἐδύνατο ποιεῖν, εἰ μή τι ἄρα οὐκ ἐβούλετο πλείονας ποιεῖν ἡλίους; εἰ δὲ οὓς οὐκ ἐποίησεν ἡλίους, βουλήσει οὐκ ἐποίησε, δῆλον ἄρα ὅτι καὶ ὃν ἐποίησε. καὶ καθάπερ τὸν ἥλιον, οὕτως καὶ τὰ λοιπὰ πάντα τὰ μέρη τῆς κτίσεως, τά τε ἄφθαρτα καὶ τὰ φθαρτὰ, τὰ ἐκ τῆς τοῦ Θεοῦ βουλῆς, τό τε εἶναι καὶ τὸ τοιάδε εἶναι ἔχοντα.

Ἐρώτησις.

Εἰ κάλλιον τὸ ἀσώματον τοῦ σώματος;

Ἀπόκρισις.

Εἰ ζωοῦται τὸ σῶμα, καὶ διανοητικὸν γίνεται, οὐ σώματος ἑτέρου παρουσίᾳ, ἀλλὰ τῇ τοῦ ἀσωμάτου, πῶς οὐκ ἔστι τὸ ἀσώματον τοῦ σώματος ὑπάρχον κάλλιον;

Ἄλλο. Εἰ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους ἐστὶ πᾶσα ἡ σωματικὴ οὐσία, καὶ οὐκ ἐκ τῆς ὕλης τὸ εἶδος, ἀλλ' ἀλλαχόθεν παραγίνεται τῇ ὕλῃ, πῶς οὐκ ἔστι τὸ ἀσώματον κάλλιον τῆς ὕλης, ἐξ οὗ παραγίνεται εἰς τὴν ὕλην τὸ εἶδος;

Ἄλλο. Εἰ οὐκ ἐνδέχεται γνωσθῆναι τὸ ἴσον τοῦ ἀνίσου ἀγνοουμένου, πῶς ἐνδέχεται γνωσθῆναι τὸ σῶμα τοῦ ἀσωμάτου ἀγνοουμένου;

Ἄλλο. Εἰ τὰ σωματικὰ πάντα ἐν σώματι μὲν 305 ὑπάρχει εἰδωλικῶς, ἡ ψυχὴ δὲ λογικῶς, πῶς οὐκ ἔστιν ἡ ψυχὴ ἀσώματος;

Ἄλλο. Εἰ δυνατὸν τῇ ψυχῇ κατὰ νοῦν ἐνεργεῖν· ἐνεργεῖ δὲ κατὰ νοῦν ἡ ψυχὴ, ὅταν χωρίζῃ ἑαυτὴν πάσης αἰσθήσεως, πῶς οὐκ ἔστιν ἐφ' ἑαυτῆς ἡ ψυχή;

Ἐρώτησις.

Τί διαφέρει Θεὸς ψυχῆς;

Ἀπόκρισις.

Ἧι διαφέρει τὸ δημιουργὸν καὶ δεσπότην εἶναι, τοῦ δημιουργὸν καὶ δεσπότην ἔχειν· καὶ ᾗ διαφέρει τὸ ὑπὲρ τὸ ὄν, τοῦ ὄντος.

QVÆ-

Ἐρώτησις.

Εἰ μετὰ βουλῆς ποιεῖ ὁ Θεὸς, ὀργάνῳ κεχρημένος, ἢ ἄνευ ὀργάνου;

Ἀπόκρισις.

Ἀνενδεής ἐστιν ὁ Θεὸς παντὸς τοῦ ἔξωθεν τῆς ἑαυτοῦ φύσεως· καὶ ὥσπερ ἄνευ ὀργάνου βουλεύεται, οὕτως καὶ ἄνευ ὀργάνου ποιεῖ. εἰ γὰρ ἅμα τῷ βούλεσθαι αὐτὸν γενέσθαι τι, ὑφίσταται, βουληθέντος, πῶς οὐ περιττὴ τῶν ὀργάνων ἡ φύσις τῶν γινομένων;

Ἐρώτησις.

Εἰ ἄνευ βουλῆς ποιεῖ ὁ Θεὸς, πότερον ἀλόγως ποιεῖ ἄνευ διανοίας καὶ ἐπισκέψεως, ἢ μετά τινος ἐπικρίσεως· καὶ εἰ μετὰ ἐπικρίσεως, τίνος ἔνδεια ἐπικρίσεως δεῖται· εἰ δὲ ἀκρίτως, ποίῳ τῷ λόγῳ;

Ἀπόκρισις.

Εἰ γνωστὰ τῷ Θεῷ τὰ ἔργα αὐτοῦ· τὰ δὲ γνωστὰ, λόγῳ ἐστὶ γνωστά· πῶς οὐ λόγῳ γινώσκει ὁ Θεὸς ἃ ποιεῖ; τὸ δὲ μετὰ διανοίας καὶ ἐπισκέψεως καὶ ἐπικρίσεως ποιεῖν τι, τῶν παρ' ἡμῖν τεχνιτῶν ἐστὶν ἴδιον, τῶν τούτοις πρὸς ἄμεινον τέλος τῶν γινομένων ἀφικνουμένων. ὁ δὲ Θεὸς, ἅτε μήτε προσλαμβάνων γνῶσιν, μήτε ἀποβαλὼν γνῶσιν, οὐδενὸς τούτων δεῖται.

Ἐρώτησις.

Εἰ τὸ ὅλως γεννητὸν δύναται ἄφθαρτον εἶναι, ποίῳ τῷ λόγῳ;

Ἀπόκρισις.

Ὧν ἡ ἀφθαρσία ἐκ τῆς ἑτέρου βουλῆς ἐξήρτηται, ταῦτα οὐ δύναται ἀγεννήτως ἄφθαρτα εἶναι· διὸ μόνον τὸν Θεὸν λέγομεν ἔχειν ἀθανασίαν, ὅτι ἐκ τῆς οἰκείας φύσεως, καὶ οὐκ ἐκ τῆς ἑτέρου βουλῆς, πρόσεστιν αὐτῷ ταῦτα.

306 Ἄλλο. Ὁ Θεὸς εἰ ὑπὲρ μὲν τοὺς ἀφθάρτους ἐστὶν ὡς τούτων ποιητὴς, ὑπὲρ δὲ τὸ ἀγέννητον οὐκ ἔστιν· οὐδὲ γάρ ἐστι τῶν ἀγεννήτων δημιουργός· οὐκ ἄρα ἕπεται τῷ ἀφθάρτῳ τὸ ἀγέννητον.

Ἄλλο. Εἰ ἄφθαρτός ἐστιν ὁ Θεὸς τῇ αὐτοῦ φύσει, ἄφθαρτος δὲ καὶ ἡ ψυχὴ τῇ [ἑαυτοῦ] βουλήσει τοῦ δημιουργοῦ, πῶς ἐν τοσαύτῃ ἀφθαρσίας διαφορᾷ ἕπεται καθ' ἡμᾶς τῷ ἀφθάρτῳ τὸ ἀγέννητον;

Ἄλλο. Εἰ οὖν πλεῖ τι πρὸς σύστασιν τῶν φθαρτῶν, πῶς οὐκ εἰσὶ τῶν φθειρίμων πραγμάτων τὰ ἄφθαρτα ὑπουργικὰ, τῆς αἰτίας τῆς ἀφθαρσίας αὐτῶν πρὸς τὴν τοιαύτην ἀγούσης αὐτὰ ὑπουργίαν; ἀλλ' εἰ τοῦτο, δῆλον ὅτι ἀφθαρσίαν μὲν διὰ χρειώδη τινὰ δύναταί τις ἔχειν, ἀγεννησίαν δὲ οὐκέτι· τὸ γὰρ ἀγέννητον, χωρὶς πάσης χρειώδους αἰτίας δεῖ ὑπάρχειν ἀγέννητον.

Ἄλλο. Εἰ πρῶτον μὲν σῶμα τὸ στοιχεῖον, δεύτερον δὲ σῶμα τὸ ἐκ στοιχείων· τὸ δὲ ἐκ στοιχείων σῶμα οὐκ ἐνδέχεται εἶναι ἀγέννητον· οὐδὲν γὰρ ἀγέννητον ὕστερον εἶναι δύναται γεννητοῦ· πῶς, εἰ ἔστι τὰ ἐκ στοιχείων σώματα ἄφθαρτα, οὐ γεννητὰ ἔσονται ἄφθαρτα;

QVÆSTIO VII. 10.

Num voluntatie Deus instrumento vtens, aut sine instrumento facit?

RESPONSIO.

Non indiget Deus vniuerso eo quod extra suam ipsius naturã est. Et sicuti absq; instrumento vult, sic quoque absque instrumento facit. Si enim simulatque ille vult aliquid, id vna cum volũtate est: quomodo instrumentorum creatorum natura superuacanea non sit?

QVÆSTIO VIII. 11. 12.

Si præter volũtatem Deus facit, vtrum præter rationem facit sine cogitatione & deliberatione, aut cum aliqua iudicii consideratione? Et si cum consideratione, cuius considerationis vsu indiget? Sin absq; consideratione; quanam tandem ratione?

RESPONSIO.

Si nota sunt Deo opera eius: nota autem, ratione nota sunt: quomodo non ratione Deus ea quæ facit, nouit? Porro cum cogitatione & deliberatione & consideratione aliquid facere, nostrorum est artificum, qui per hæc ad eorum quæ faciunt, finem meliorem pertingunt: Deus vero, vt qui neque recipiat neque abiiciat notionem, nullius rerum istarũ indigens est.

QVÆSTIO IX. 13.

An id quod omnino genitum sit, incorruptibile esse posit: & qua hoc ratione?

RESPONSIO.

Quorum incorruptibilitas ex alterius dependet voluntate, ea nequeant sine generatione esse incorruptibilia: quapropter solum Deum dicimus obtinere immortalitatem: quia ex sua ipsius natura, non ex alterius voluntate, hæc illi adest.

ALIA. Deus si supra incorruptibilia est, tamquam eorum conditor: supra ingenitum autem non est: non enim est ingenitorum opifex: proinde si quid incorruptibile est, necessario non consequitur vt id etiam ingenitum sit.

ALIA. Si incorruptibilis Deus est, sua ipsius natura: incorruptibilis vero & anima, opificis sui voluntate: quomodo in tãta incorruptibilitatis differentia, de sententia vestra consequitur, vt quod incorruptibile sit, etiam ingenitum sit?

ALIA. Si ergo aliquid est quod momentum affert ad constitutionem corruptibilium: quomodo rebus corruptibilib. incorruptibiles non subseruiunt, cũ causa incorruptibilitatis earum ad huiusmodi ipsas adducat ministeriũ? At si hoc ita habet, certum fuerit posse aliquẽ id quod incorruptibile sit obtinere, propter vtilitates quasdã: id vero quod ingenitũ sit, non itidẽ. Ingenitum enim, citra omnes vtilitatis causas oportet esse ingenitum.

ALIA. Si primum quidem corpus est elementum: secundum autem corpus, id quod est ex elementis id autem corpus quod ex elementis est, nõ potest esse ingenitum: nihil siquidem quod ingenitum sit, posterius eo esse potest quod genitum sit: quomodo, si ea quæ ex elementis sunt corpora, incorruptibilia sunt, non genita erunt incorruptibilia?

ALIA. Si omnia elementa genita sunt, quomodo nugatorium non est, ea quæ ex elementis sint, ingenita dicere? Nam etiamsi materia per seipsam neque elemẽtum sit, neque substantia; qualitate tamen & quãtitate accepta, elementũ fit & substantia: quomodo ea quæ ex huiusmodi perficiũtur elementis, esse etiam possunt ingenita, si illis contingat vt sint incorruptibilia?

ALIA. Si aliud est corpus, & aliud incorruptibile corpus, & aliud corruptibile corpus: iuxta differentiam vero incorruptibilitatis & corruptibilitatis, corpus diuiditur in incorruptibile & corruptibile corpus: quomodo necesse nõ est, propriũ eius esse quod diuiditur corporis, vt genitum sit aut ingenitum? Sin horũ nihil proprium eius est quod diuiditur corporis, quomodo non quod diuiditur corpus, erit neque genitum, neque ingenitũ? At enim si hoc impossibile est, vt quod diuiditur corpus neutrũ istorũ sit, necesse profecto fuerit vt ponatur, quod diuiditur corpus, id esse incorruptibile corpus & corruptibile: in quæ diuiditur id quod diuiditur corpus.

QVÆSTIO X. 14.

Si id interit, quod a Deo factũ est, cuius prauitate interit, an factoris, an eius quod factum est, aut etiam alicuius externi, qui factoris sit aduersarius?

RESPONSIO.

Nõ factoris, neq; aduersarii prauitate, intereũt ea quę per corruptionẽ intereũt; sed opificis fine & præscripto, qui in singulis corruptibilitatem, in vniuersis autẽ incorruptibilitatem efficit. Nã si alicuius eorũ qui dicti sunt, vitiositate quæ intereunt interirent: genus totum interiret, & singulatim, & vniuersim. Si enim concederemus, corruptibilitatẽ ex alicuius esse prauitate: non consecuaretur eorum quæ gignuntur in pereuntibus genus incorruptibile, prauitate sicut in singulos, ita quoque in vniuersos imperium habente. Sin alicuius prauitate vniuersitatem interire impossibile est, neq; itidem pro se quodque prauitate alicuius, sed fine atque præscripto Dei interit. Si namq; in rebus quæ exstant, prauitas aliqua non est, quæ generationem prohibere queat: neque sane in rebus quæ exstant, prauitas etiam quæpiã est, per quam genus intereat.

15. RESPONSIONES DE Resurrectione, ad eas quæ de ipsa propositæ sunt quæstiones.

1. Quod homo sit aut fiat esca pisciũ, & piscis esca hominum: neque hominem in piscem, neque piscem in hominem resoluit: sed vtriusque resolutio in elementa ea transit, vnde est primitus vtrumque compositum: etiamsi vtriusque resolutionis modus per id fiat quod alterum alterius esca factum sit. Cuiusque enim resolutionis, quocumque ea eueniat modo, finis est vt in ea abeat elementa, in quæ resoluitur. Minime ergo eo oportet, quod

Ἄλλο. Εἰ γενητὰ πάντα τὰ στοιχεῖα, πῶς οὐκ ἔστι ληρῶδες τὸ τὰ ἐκ στοιχείων λέγειν ἀγένητα; εἰ γὰρ ἡ ὕλη καθ' ἑαυτὴν μὲν οὐκ ἔστιν οὔτε στοιχεῖον, οὔτε οὐσία, προσλαβοῦσα δὲ ποιότητά τι καὶ ποσότητα, στοιχεῖον γίνεται καὶ οὐσία, πῶς τὰ ἐκ τῶν τοιούτων στοιχείων ἀποτελούμενα δύναται εἶναι καὶ ἀγένητα, εἰ συμβαίη αὐτοῖς εἶναι ἄφθαρτα;

Ἄλλο. Εἰ ἄλλο τὸ σῶμα, καὶ ἄλλο τὸ ἄφθαρτον σῶμα, καὶ ἄλλο τὸ φθαρτὸν σῶμα· κατὰ δὲ τὴν διαφορὰν ἀφθαρσίας τε καὶ φθορᾶς διαιρεῖται τὸ σῶμα εἰς ἄφθαρτόν τι καὶ φθαρτὸν σῶμα, πῶς οὐκ ἔστιν ἀνάγκη ἴδιον εἶναι τοῦ διαιρουμένου σώματος τὸ γενητὸν ἢ τὸ ἀγένητον; εἰ δὲ οὐδὲν τούτων ἴδιόν ἐστι τοῦ διαιρουμένου σώματος, πῶς οὐκ ἔσται τὸ διαιρούμενον σῶμα οὔτε γενητὸν, οὔτε ἀγένητον; εἰ δὲ τοῦτο ἀδύνατον τὸ μηδέτερον εἶναι τὸ διαιρούμενον σῶμα, ἀνάγκη ἄρα ἐστὶ τεθῆναι τὸ διαιρούμενον σῶμα, τοῦτ' εἶναι τὸ ἄφθαρτον σῶμα καὶ τὸ φθαρτὸν, εἰς ἃ διαιρεῖται τὸ διαιρούμενον σῶμα.

Ἐρώτησις.

Εἰ φθείρεται τὸ γενόμενον ὑπὸ τοῦ Θεοῦ, τίνος κακίᾳ φθείρεται· τοῦ πεποιηκότος, ἢ τοῦ γεγονότος, ἢ τινὸς ἔξωθεν ὑπεναντίου γινομένου τῷ ποιήσαντι;

Ἀπόκρισις.

Οὔτε ἐκ τῆς τοῦ πεποιηκότος κακίας, οὔτε ἐκ τῆς τοῦ ὑπεναντίου φθείρεται τὰ φθειρόμενα, ἀλλὰ τῷ ὅρῳ τοῦ δημιουργοῦ τοῦ ἐργαζομένου, ἐν μὲν τοῖς καθέκαστον τὴν φθορὰν, ἐν δὲ τοῖς καθόλου τὴν ἀφθαρσίαν. εἰ γὰρ ἐκ τῶν εἰρημένων τινὸς κακίας ἐφθείρετο τὰ φθειρόμενα, ὅλον ἂν τὸ γένος ἐφθείρετο, καὶ τὸ καθέκαστον, καὶ τὸ καθόλου. εἰ γὰρ δῶμεν ἐκ τινὸς κακίας εἶναι τὴν φθορὰν, οὐκ ἂν διεσώζετο ἐν τοῖς φθειρομένοις τὸ γένος τῶν γινομένων ἄφθαρτον, τῆς κακίας ὥσπερ τοῦ καθέκαστον, οὕτως καὶ τοῦ καθόλου κυριευούσης. εἰ δὲ τινὸς κακίᾳ τὸ καθόλου φθαρῆναι ἀδύνατον, οὐδ' αὖ τὸ καθέκαστον τινὸς φθείρεται κακίᾳ, ἀλλὰ τῷ ὅρῳ τοῦ Θεοῦ. εἰ γὰρ οὐκ ἔστιν ἐν τοῖς οὖσι κακία τις δυναμένη κωλῦσαι τὴν γένεσιν, οὐδ' ἄρα ἐστὶν ἐν τοῖς οὖσι κακία τις ἡ φθείρουσα τὸ γένος.

ΑΠΟΚΡΙΣΕΙΣ ΠΕΡΙ ΑΝΑΣΤΑσεως πρὸς τὰς προῤῥηθείσας ἐρωτήσεις περὶ αὐτῆς.

α΄. Τὸ τὸν ἄνθρωπον εἶναι ἢ γίνεσθαι ἰχθυόβρωτον, καὶ τὸν ἰχθὺν ἀνθρωπόβρωτον, οὔτε τὸν ἄνθρωπον εἰς ἰχθὺν ἀναλύει, οὔτε τὸν ἰχθὺν εἰς ἄνθρωπον· ἀλλ' ἑκατέρου ἡ ἀνάλυσις γίνεται εἰς τὰ στοιχεῖα ἐξ ὧν τὴν ἀρχὴν συνετέθησαν. εἰ δὲ ὁ τρόπος τῆς ἑτέρου ἀναλύσεως γίνεται διὰ τῆς ὑπ' ἀλλήλων βρώσεως· ἀλλὰ πάσης ἀναλύσεως τῆς καθ' οἱονδήποτε τρόπον γινομένης τὸ τέλος ἐστὶ, τὸ εἰς τὰ στοιχεῖα χωρεῖν τὰ ἀναλυόμενα. οὐ χρὴ οὖν

διὰ τὴν ὑπ' ἀλλήλων βρῶσιν ἀνθρώπου καὶ ἰχθύος, σεσοφισμένην κατασκευάζειν ζήτησιν ἀναιρετικὴν ἀναστάσεως, ἀλλὰ πρὸς τὴν δύναμιν ἀφορᾶν τοῦ Θεοῦ, τοῦ μὴ μόνον ἐπαγγελλομένου ποιεῖν τῶν νεκρῶν τὴν ἀνάστασιν, ἀλλὰ καὶ διὰ τῆς ἤδη ἠργμένης ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, βεβαίαν παρεσχηκότος ἡμῖν ταύτης τὴν πίστιν. ἀλλ' εἰ τὰ στοιχεῖα ὑπόκειται εἰς τὴν κτίσιν τῶν γινομένων, καὶ εἰς ἀνάκλησιν τῶν φθαρέντων, πῶς, εἰ ἄπιστον καὶ ἀδύνατον ἡγεῖται ὂν τὴν ἀνάκτησιν τῶν φθαρέντων, οὐκ ἄπιστος καὶ ἀδύνατος ἔσται καὶ ἡ κτίσις τῶν γινομένων τὴν ἀρχήν; ὅπερ ἐστὶν ἄτοπον.

β. Οὔτε τὴν κτίσιν τοῦ κόσμου, οὔτε τὴν ἀνάκτησιν αὐτοῦ πιστεύουσιν Ἕλληνες· ἀλλ' εἰ μὲν ἀληθεύουσι, τὸ πρῶτον οὕτως ἂν γνοίη τις δῆλον. λέγουσι γὰρ τὸν
307 χρόνον εἶναι ἀΐδιον. ἀλλ' εἰ μὲν ὁ χρόνος ἐστὶν ἀΐδιος, ἀνάγκη ἄρα καὶ τὰ μέρη τοῦ χρόνου εἶναι ἀΐδια, τουτέστι τάς τε ὥρας, καὶ τὰς ἡμέρας, τούς τε μῆνας, καὶ τὸν ἐνιαυτόν. εἰ δὲ ταῦτα οὐκ ἔστιν ἀΐδια, διὰ τὸ εἶναι ἐν αὐτοῖς τὰ μὲν πρότερα, τὰ δὲ ὕστερα, οὐδὲ ἄρα ὁ κόσμος, ὢν ἐν τῷ χρόνῳ, δύναται εἶναι ἀγέννητος.

γ. Διὰ δύο πράγματα χρὴ ἀπιστεῖν τῶν νεκρῶν τὴν ἀνάστασιν, ἢ διὰ τὸ μὴ δύνασθαι τὸν Θεὸν ἐγείρειν τοὺς νεκρούς, ἢ διὰ τὸ μὴ λυσιτελεῖν τοῖς ἀνισταμένοις εἶναι αὐτοὺς ἀφθάρτους. τούτων δὲ τὸ μέν ἐστιν ἀσεβές, τὸ δὲ γελοῖον. ἀλλ' εἰ τοῦτο, πῶς οὐκ ἐκ τῆς ἀσεβείας καὶ γέλωτος συνέστηκεν ὁ λόγος τῶν ἀπιστούντων τῶν νεκρῶν τὴν ἀνάστασιν;

δ. Ἃ ποιεῖ ὁ Θεός, αὐτουργικῶς ταῦτα προστάγματι ποιεῖ. σύγχρονος δὲ τῷ προστάγματι τοῦ Θεοῦ, ἡ ὕπαρξις τῶν ὑπ' αὐτοῦ ποιουμένων. Διενοήθης, φησί, καὶ παρέστης. ἀλλ' εἰ τοῦτο ἁρμοδίως εἴρηται περὶ τοῦ Θεοῦ, πῶς ὁ ἀπιστῶν τὴν ἀνάστασιν, οὐκ ἀπιστεῖ καὶ τῷ Θεῷ τὸ ἔχειν τὴν τοιαύτην δύναμιν; οὐδὲ γὰρ ἑτέρου τινὸς δέονται οἱ ἀνιστάμενοι ἐκ τῶν νεκρῶν, πλὴν τοῦ προστάγματος τοῦ Θεοῦ.

ε. Εἰ ἀληθές ἐστι τό, Τῶν ἀδοκήτων πόρον εὗρε Θεός, καθάπερ οὖν ἐστὶν ἀληθές, πῶς οὐ ψευδῆ τὸν λόγον ποιεῖ ὁ τῶν νεκρῶν ἀπιστῶν τὴν ἀνάστασιν;

ϛ. Εἰ, γινομένης τῆς ἀνακλήσεως, ἐξ ἀνάγκης ἀναιρεῖται πᾶσα ἡ περὶ τοῦ δημιουργοῦ τοῦ κόσμου καὶ τῶν ἔργων αὐτοῦ ἐν ἀνθρώποις διχόνοια, πῶς οὐκ ἔσται τοῦ κόσμου ἡ ἀνάκλησις καλλίων τῆς τοῦ κόσμου κτίσεως; διὰ γὰρ τὴν ἀνάκλησιν καλὴ καὶ ἡ κτίσις· ἐκείνης δὲ ἀπιστουμένης ὡς ἀδυνάτου, πῶς οὐ κάκιστος ἔσται ἡ τοῦ κόσμου κτίσις;

ζ. Ἄλλο τὸ πάντῃ ἀδύνατον, καὶ ἄλλο τὸ τινὶ ἀδύνατον. πάντῃ μὲν ἀδύνατόν ἐστιν, ὡς τῇ διαμέτρῳ τὸ σύμμετρον εἶναι τῇ πλευρᾷ. τινὶ δὲ ἀδύνατόν ἐστιν, ὡς τῇ φύσει τὸ χωρὶς σπέρματος ποιεῖν ζῷον. τίνι τούτων τῶν ἀδυνάτων ὑποβάλλουσι τὴν ἀνάστασιν οἱ ταύτην ἀπιστοῦντες; ἀλλ' εἰ μὲν τῷ πρώτῳ, ψευδής ἐστιν ὁ λόγος· οὐ γὰρ

quod homopiscis, & rursus piscis hominis cibus fiat, per cauillationē fallacē instituere quæstionē abolēdæ resurrectionis causa: sed ad potentiam Dei respiciēdum, qui nō modo mortuos se resuscitaturum esse pollicetur, verum etiam per eam quæ iam præcessit, saluatoris nostri CHRISTI resurrectionem, certam nobis eius fecit fidē & persuasionem. Porro si elementa subiiciuntur ad eorum quæ generātur creationem, & ad eorum quæ intereunt restitutionem: quomodo si incredibilis atq; impossibilis esse eorum quæ intereunt, existimatur restitutio: non incredibilis atque impossibilis etiam erit, eorum quæ ab initio genita sunt, creatio? Quod certe est perquam absurdum.

2. Græci & Pagani neque creationē neque restitutionē mundi credūt. An aūt veri sint, hoc modo perspicuum fiat. Dicūt namq; tēpus esse æternum. Atenim si tēpus æternum est, temporis quoque partes æternas esse necesse est; hoc est horas & dies & mēses & annū. Sin hæc æterna non sunt: propterea quod in eis quædā priora, quędā posteriora sint: neq; mūdus vtique, qui in tempore est, ingenitus esse potest.

3. Duabus de causis oportet homines nō credere mortuorum resurrectionem: vel quod Deus non possit resuscitare defunctos, vel quod eis qui resurgunt, incōmodū sit vt sint incorruptibiles: quorū alterum impiū est, alterū ridiculū. Quod si ita est, quomodo non ex impietate & risu profecta est eorum disputatio, qui mortuorum non credunt resurrectionem?

4. Quæ Deus creat, suapte vi & sponte ea iussione sua creat: atq; eorū quæ ab ipso creātur, essentia iussioni Dei coętanea est. *Considerasti*, inquit, *& produxisti*. Atqui si hoc cōuenienter de Deo dicitur: quomodo qui resurrectionem non credit, Deum quoque huiusmodi vim & potentiam obtinere non credit? Nō enim re vlla alia resurgētes ex mortuis egent quam iussu Dei.

5. Si verum est illud, *Inopinatum exitum inuenit Deus*, sicuti profecto verū est: quomodo verbum id falsi eos non arguit, qui mortuorum nō credunt resurrectionem?

6. Si eo quod restitutio fiat, necessario omnis de opifice mūdi & operib. eius, inter homines anceps tollitur dissēsio: quomodo mundi restitutio nō pulchrior fuerit mundi creatione? per restitutionem siquidē pulchra fit & creatio. Illa vero tamquam impossibili non credita, quomodo non deterrima fuerit mundi creatio?

7. Aliud est quod omnino est impossibile, & aliud quod alicui est impossibile. Omnino impossibile est, vt diametros siue media linea eiusdem cum latere sit mensuræ. Alicui impossibile est, vt natura absque satu animans procreet. Vtri igitur impossibilium istorum resurrectionem subiiciunt, qui eā non credūt? Si priori, falsa fuerit ratio. nō enim

per restitutionem media linea lateri mēsura æqualis redditur: Resurgentes autem per restitutionem resurgunt. Sin posteriori, at Deo omnia posibilia sunt, quæ alicui imposibilia sunt.

8. Si in præsenti vita pius ab impio sola spe differt: quomodo, qui futurorum spem tollit, non etiam pii & impii tollit differentiam?

9. Si absque rebus singulis, imposibile est esse vniuersitatem: quomodo, si singula pro se quæq; creata sint, non vniuersum quoque creatum fuerit? At hoc si ita est, quomodo falsum nō est, hominem, & partes creaturæ reliquas cum Deo esse coæternas? veluti si creatus Plato, quomodo non creatus homo?

10. Quomodo Græci, posito mundum esse æternum, quæ exinde necessario consequuntur, non decernerent? Cæterum si iuxta eorum sententiam, mundus esset æternus: cū ratione aliqua dicerent, nō esse futuram mūdi restitutionem. Nam creati mundi restitutio est, non increati. Mundū autem nō esse æternum, ex eo patet, quod homo nō sit Deo coæternus. Si enim Deo coæterna essent vniuersa, necessario certe singula quoq;. Sin minus singula, neque vniuersa etiam sunt coæterna Deo.

11. Homines vniuersos simul eodē tēpore per restitutionē, ad id vt incorruptibiles sint, traducere, lōge est diuinius, quā eos (longo temporis interuallo subinde per creationē siue generationem) in mortalem hunc in quo nūc sumus, statū producere. Reseruauit id autem nobis quod est conuenientius & diuinius, vt vicissitudine esset posterius: quippe in quo finis est cōstitutionis nostræ collocatus. Quo si priuaremur, secūdum eos qui resurrectionē non credunt: quanto præstantius pulchriúsq; esset, nos nō esse, quā esse? incōmodū náq; id omne est, quod fine priuatur suo.

12. Si fieri nequit vt pro re quæ nō exstet, mortē vitæ suæ aliquis præferat: quomodo, si iuxta vestram sententiam, doctrina de resurrectione vera nō est, vitam ipsi suam propter eā morti posthabuere martyres? Cuius vero religionis, plurib. mortis cruciatibus & suppliciis, quam eorum ipsorum pietatis doctrina est constabilita: Christianorum inquam, de resurrectione mortuorum?

13. Si, quæ Græci & Ethnici non credunt, ea neque sunt, neque erunt: in illorū videlicet notione situm fuerit vt ea quæ exstant, sint. Quomodo igitur in plurimis eorum quæ præcipua sunt placitorum, & sibiipsis, & inter se inuicem illi repugnare comperiuntur? Huiusmodi certe quidem dissensio, non permittit in Græcorum notione consistere, vt ea quæ exstant sint.

14. Si eorum traditioni, qui ducem resurrectionis ex mortuis ad vitam immortalem resurrexisse viderunt, fidem non habent: attamen insolubili certaque demonstratione resur-

κατὰ ἀνάκτισιν ἀσύμμετρος γίνεται ἡ διάμετρος τῇ πλευρᾷ· οἱ δὲ ἀνιστάμενοι, κατὰ ἀνάκτισιν ἀνίστανται. εἰ δὲ τῷ τινὶ, ἀλλὰ τῷ Θεῷ πάντα δυνατὰ τὰ τινὶ ἀδύνατα.

η'. Εἰ ἐπὶ τοῦ παρόντος βίου ὁ εὐσεβὴς τοῦ ἀσεβοῦς ἐλπίδι μόνῃ διαφέρει, πῶς ὁ ἀναιρῶν τῶν μελλόντων τὴν ἐλπίδα, οὐκ ἀναιρεῖ εὐσεβοῦς τε καὶ ἀσεβοῦς τὴν διαφοράν;

θ'. Εἰ χωρὶς τοῦ καθέκαστον ἀδύνατόν ἐστιν ὑπάρχειν τὸ καθόλου, πῶς, εἰ κτιστὸν τὸ καθέκαστον, οὐ κτιστὸν ἔσται καὶ τὸ καθόλου; ἀλλ' εἰ τοῦτο, πῶς οὐκ ἔστι ψευδὲς τὸ συναΐδιον εἶναι τὸν ἄνθρωπον, καὶ τὰ λοιπὰ μέρη τῆς κτίσεως τῷ Θεῷ; οἷον, εἰ κτιστὸς ὁ Πλάτων, πῶς οὐ κτιστὸς ὁ ἄνθρωπος;

ι'. Πῶς οἱ Ἕλληνες, ὑποθέμενοι τὸ ἀΐδιον εἶναι τὸν κόσμον, τὰ τῇ ὑποθέσει ἐξ ἀνάγκης ἑπόμενα ἐδογμάτισαν; ἀλλ' εἰ μὲν ἦν κατ' αὐτοὺς ἀΐδιος ὁ κόσμος, εὐλόγως ἂν ἔλεγον μὴ ἔσεσθαι τοῦ κόσμου τὴν ἀνάκλησιν. τοῦ γὰρ κτιστοῦ κόσμου ἐστὶν ἡ ἀνάκλησις, καὶ οὐχὶ τοῦ ἀκτίστου. ὅτι δὲ οὐκ ἔστιν ἀΐδιος ὁ κόσμος, δῆλον ἐκ τοῦ μὴ εἶναι τὸν ἄνθρωπον συναΐδιον τῷ Θεῷ. εἰ γὰρ συναΐδιον τῷ Θεῷ τὸ καθόλου, ἐξ ἀνάγκης ἐστὶ τὸ καθέκαστον· εἰ δὲ μὴ τὸ καθέκαστον, οὐδὲ τὸ καθόλου.

ια'. Τὸ ἐφάπαξ πάντας τοὺς ἀνθρώπους διὰ τῆς ἀνακλήσεως εἰς τὸ εἶναι αὐτοὺς ἀφθάρτους μεταγαγεῖν, πολὺ θειωδέστερον ὑπάρχει κατὰ μ[...] τοῦ αὐτοὺς εἰς τὴν θνητὴν ταύτην κατάστασιν, ἐν ᾗ νῦν ἐσμὲν, εἰσαγαγεῖν. ἐφύλαξε δὲ ἡμῖν τὸ καταλληλον καὶ θειωδέστερον ὡς ὕστερον, ὡς ἐν αὐτῷ τοῦ τέλους τῆς ἡμῶν ὑποστάσεως κείμενον· οὗ εἰ ἀπεστερημένοι ἦμεν κατὰ τοὺς ἀπιστοῦντας τὴν ἀνάστασιν, πόσῳ μᾶλλον ἂν ἦν κάλλιον τὸ μὴ εἶναι τοῦ εἶναι ἡμᾶς; ἄχρηστον γὰρ πᾶν τὸ στερούμενον τοῦ οἰκείου τέλους. 308

ιβ'. Εἰ δυνατόν τινι ὑπὲρ τοῦ μὴ ὄντος πράγματος τῆς ἑαυτοῦ ζωῆς προτιμῆσαι τὸν θάνατον, πῶς, εἰ καθ' ὑμᾶς οὐκ ὄντος ἀληθοῦς τοῦ περὶ τῆς ἀναστάσεως δόγματος, ὑπὲρ τούτου τῆς ἑαυτῶν ζωῆς προετίμησαν οἱ μάρτυρες τὸν ἑαυτῶν θάνατον; ποίας δὲ ἄλλης θρησκείας πολυτρόποις βασάνοις τε καὶ θανάτοις ἐβεβαιώθη τὸ δόγμα τῆς ἑαυτῶν θρησκείας· λέγω δὴ τῶν Χριστιανῶν· περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως;

ιγ'. Εἰ ἃ μὴ πιστεύουσιν Ἕλληνες, ταῦτα οὔτε ἐστὶν, οὔτε ἔσται· ἐν τῇ γνώσει ἄρα τῶν Ἑλλήνων κεῖται τῶν ὄντων ἡ ὕπαρξις. πῶς οὖν ἐν τοῖς πλείστοις τῶν κυριωτάτων δογμάτων ἑαυτοῖς τε καὶ ἀλλήλοις μαχόμενοι δείκνυνται; ἡ γὰρ τοιαύτη μάχη οὐκ ἐᾷ κεῖσθαι ἐν τῇ γνώσει τῶν Ἑλλήνων τῶν ὄντων τὴν ὕπαρξιν.

ιδ'. Εἰ τῇ παραδόσει τῶν θεασαμένων τὸν ἀρχηγὸν τῆς ἀναστάσεως ἀναστάντα ἐκ τῶν νεκρῶν εἰς ἀθάνατον ζωὴν, ἀπιστοῦσιν· ἀλύτῳ δὲ ἀποδείξει λύειν τὸ

τῆς ἀναστάσεως δόγμα ἀθενοῦσι· τὸ γὰρ ἰχθυόβρωτον γενέσθαι τὸν ἄνθρωπον, ἀπορίαν μὲν ἔχει ἀπόδειξιν δὲ οὔ· ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα ἐς θειότητι ὑποπεσεῖν ὡς γεγονός· τοῦ δὲ πράγματος τῇ οὐσίᾳ δυνάμει ἀποδεδειγμένου, οὐδεὶς συλλογισμὸς δύναται ποιήσασθαι τὴν ἀνατροπήν.

ιε´. Ὁ ἥλιος ὅτε ἐστὶν ὑπὲρ τὴν γῆν, ὑπὸ τὴν γῆν οὐκ ἔστι· καὶ ὅτε ἐστὶν ὑπὸ τὴν γῆν, ὑπὲρ τὴν γῆν οὐκ ἔστι· πῶς οὖν ἀΐδιος καθ' ὑμᾶς οὗτος, τὸ εἶναι αὐτὸν ὑπὲρ τὴν γῆν ἢ ὑπὸ τὴν γῆν ἀϊδίως οὐκ ἔχων; εἰ δὲ τὸ οὐκ ἀΐδιον ὡς ἀΐδιον ὑπολαμβάνουσιν Ἕλληνες, πῶς ἔσονται ἀξιόπιστοι νομοθέται τοῦ μὴ ἔσεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν;

ις´. Τὸ ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω, τῶν ποτὲ οὐκ ὄντων ἐστὶν οὔτε ἄνω, οὔτε κάτω. πῶς οὖν ἀΐδιος ὁ ἥλιος, ὁ πρὸ τοῦ εἶναι ἄνω ἢ κάτω οὐκ ὤν; τοῖς οὖν τὸν ἥλιον κατὰ τὴν οἰκείαν φύσιν γενητὸν ὄντα μὴ ἐπισταμένοις, πῶς οὐκ ἄτοπον τούτοις πιστεύειν περὶ τοῦ μὴ ἀνίστασθαι τοὺς νεκρούς; ὧν ὁ ἀρχηγὸς τῆς ἀναστάσεως, πρωτότοκος αὐτῶν ἤδη γέγονεν ἐκ τῆς ἀναστάσεως.

ιζ´. Ὅτε ἡ δύναμις ἰσχύει τοῦ ποιοῦντος, τότε καὶ ἡ ὕλη ἐπιτήδειος πρὸς τὴν ποίησιν τοῦ γινομένου. ἀλλ' εἴ τις νεκρὸς ἐπιτήδειός ἐστι τῷ Θεῷ πρὸς ἔγερσιν, ἐξ ἀνάγκης καὶ πᾶς· καὶ εἰ μὴ πᾶς, οὐδείς. οὐ χρὴ δὲ τοῖς ἡμετέροις ἐνθυμήμασι μετρεῖν τοῦ Θεοῦ τὰ ἔργα. ὑπὲρ νοῦν γὰρ καὶ αἴσθησιν καὶ λόγον τοῦ Θεοῦ τὰ ἔργα· ἐν οἷς ἐστὶ καὶ τὸν ἰχθυόβρωτον νεκρὸν, ἀνάγκῃ πάλιν εἰς τὸ εἶναι ἐλθεῖν, εἰ καὶ συνέβη αὐτὸν φθαρῆναι ὑπό τινος.

ιη´. Πῶς ἐστὶν ἀληθὲς τὸ ζώντων καὶ νεκρῶν κυριεύειν τὸν Κύριον, καθ' ὑμᾶς οὐκ ἔχοντα δύναμιν θατέρου εἰς ἕτερον μεταποιήσεως;

ιθ´. Εἰ ποιητὴς τῶν μὲν χειρόνων ἐστὶν ὁ Θεὸς, τῶν δὲ βελτιόνων οὐκ ἔστι, πῶς οὐκ ἔστι τοῦτο δεῖγμα τῆς τοῦ Θεοῦ ἀσθενείας; ὅπερ ἐστὶν ἀσεβὲς λέγειν. εἰ δὲ ἴση ἐστὶν ἡ τοῦ Θεοῦ δύναμις πρὸς ποίησιν ἑκατέρου, διὰ τί ἀπιστεῖτε τὴν ἀνάστασιν τῶν νεκρῶν τῶν εἰς ἀφθαρσίαν ἀνισταμένων;

κ´. Εἰ Θεῷ μὲν πρὸς τὸ ποιεῖν ἐστὶν οὐκ ἀδύνατον, ἡμῖν δὲ πρὸς τὸ γενέσθαι ἐστὶ λυσιτελὲς τὸ ἐκ τῆς πολυστενάκτου τε καὶ ἐμφθάρτου ζωῆς ἀναγαγεῖν ἡμᾶς εἰς μακαρίαν τε καὶ ἄφθαρτον κατάστασιν, διὰ τῆς ἀναστάσεως μᾶλλον, ἢ τῆς ἐκ τῶν φιλοσόφων φιλοπονίας εἰς τὴν τῶν μυρμήκων φιλοπονίαν ἀ-
309 ναγαγεῖν τοὺς φιλοσοφοῦντας Ἕλληνας διὰ τῆς μετεμψυχώσεως, τί γελοιωδέστερον τοῦ ἐκείνῳ μὲν μεμαρτυρημένῳ ἀπιστεῖν, τούτῳ δὲ ἀσυστάτως πιστεύειν καὶ δογματίζειν· ὥστε τὸν πάλαι ἀθηναΐζοντα φιλόσοφον Πλάτωνα, ὕστερον μυρμηκίζειν;

resurrectionis dogma refellere non valet. nam quod homo piscibus esca fiat, quæstionem quidem habet, demonstrationem autem minime. Impossibile enim est eandem rē etiā in diuinitatem perinde atq; facta sit, cadere. Porro resurrectione (CHRISTI) suapte vi & potentia demonstrata, nulla eam euertere ratiocinatio potest.

15. Sol quādo super terram est, sub terra nō est: & quando sub terra est, super terram non est. Quonam ergo modo is, secundum vos, perpetuus est: cum, vt vel super terram, vel sub terra sit, perpetuū non habeat? Sin, qui æternus non sit eum tamquam æternum opinātur esse Græci: quomodo idoneorum Legislatorum fidem obtinebunt, non futuram esse resurrectionem mortuorum?

16. Aliquando sursum, aliquando deorsum esse, eorum est quæ quandoq; neq; sursum neq; deorsum sunt. Quomodo igitur sol perpetuus est, qui, antequā sursum aut deorsum esset, nō fuit? Eis vero qui solem, iuxta naturam suam, genitū esse ignorant: quomodo ineptum non est credere, dicentib. non resurrecturos esse mortuos: quorum dux resurrectionis, primogenitus eorum iā factus est ex resurrectione?

17. Quando effectoris potentia valida est, tum & materia ad id quod fit, efficiendum est idonea. Porro si mortuus quisquā Deo aptus est ad resuscitationem: necessario & quisq; aptus fuerit. At si non quisque, etiā ne vnus quidem. Nō oportet autem cogitationibus nostris metiri opera Dei. Nam lōge supra mentem, & sensum, & rationem sunt opera Dei. In quibus hoc quoque est, vt etiam mortuus piscib. esca factus, necessitate quadam ad id rursum vt sit, redeat, quamuis a quopiam eū absumi atque interire contingat.

18. Quomodo in vero illud esse potest, Dominū & viuis dominari & mortuis, iuxta sententiam vestram, potentia ea non præditum vt alterum trāsmutet in alterū?

19. Si rerum quidem deteriorum Deus conditor est, meliorum autē non est: quomodo id non est infirmitatis Dei indiciū? quod sane dicere, impiū est. Sin æqua Dei potestas est ad vtrumque condendū, quid ita resurrectionē nō creditis defunctorū, qui ad incorruptibilitatem resurgunt?

20. Si Deo ad efficiendum facultas & potestas nō deest: nobis autem ad id vt simus vtile est, vt ex hac gemebunda & dispereunti vita migremus ad beatum & incorruptibilem statum per resurrectionē, potius quam vt ex laboriosa ærumna philosophorum, in ærumnosum laborem formicarū, sicuti Græci philosophātes, producamur per transanimationem, quam illi vocant μετεμψύχωσιν: quid esse potest ridiculosius, quam hanc quidem testificatione comprobatam non credere, illam autem, cum subsistere nequeat fide complecti, & decreto firmare? adeo vt qui olim Athenis docuerit philosophus Plato, postea formicæ pertulerit laborem?

per restitutionem media linea lateri mensura aequalis redditur: Resurgentes autem per restitutionem resurgunt. Sin posteriori, at Deo omnia possibilia sunt, quae alicui impossibilia sunt.

8. Si in praesenti vita pius ab impio sola spe differt: quomodo, qui futurorum spem tollit, non etiam pii & impii tollit differentiam?

9. Si absque rebus singulis, impossibile est esse vniuersitatem: quomodo, si singula pro se quaeq; creata sint, non vniuersum quoque creatum fuerit? At hoc si ita est, quomodo falsum nō est, hominem, & partes creaturae reliquas cum Deo esse coaeternas? veluti si creatus Plato, quomodo non creatus homo?

10. Quomodo Graeci, posito mundum esse aeternum, quae exinde necessario consequuntur, non decernerent? Caeterum si iuxta eorum sententiam, mundus esset aeternus: cū ratione aliqua dicerent, nō esse futuram mūdi restitutionem. Nam creati mundi restitutio est, non increati. Mundū autem nō esse aeternum, ex eo patet, quod homo nō sit Deo coaeternus. Si enim Deo coaeterna essent vniuersa, necessario certe singula quoq;. Sin minus singula, neque vniuersa etiam sunt coaeterna Deo.

11. Homines vniuersos simul eodē tēpore per restitutionē, ad id vt incorruptibiles sint, traducere, lōge est diuinius, quā eos (longo temporis interuallo subinde per creationē siue generationem) in mortalem hunc in quo nūc sumus, statū producere. Reseruauit id autem nobis quod est conuenientius & diuinius, vt vicissitudine esset posterius: quippe in quo finis est cōstitutionis nostrae collocatus. Quo si priuaremur, secūdum eos qui resurrectionē non credunt: quanto praestantius pulchriusq; esset, nos nō esse, quā esse? incōmodū nāq; id omne est, quod fine priuatur suo.

12. Si fieri nequit vt pro re quae nō extet, mortē vitae suae aliquis praeferat: quomodo, si iuxta vestram sententiam, doctrina de resurrectione vera nō est, vitam ipsi suam propter eā morti posthabuere martyres? Cuius vero religionis, plurib. mortis cruciatibus & suppliciis, quam eorum ipsorum pietatis doctrina est constabilita: Christianorum inquam, de resurrectione mortuorum?

13. Si, quae Graeci & Ethnici non credunt, ea neque sunt, neque erunt: in illorū videlicet notione situm fuerit vt ea quae extant, sint. Quomodo igitur in plurimis eorum quae praecipua sunt placitorum, & sibimet ipsis & inter se inuicem illi repugnare comperiuntur? Huiusmodi certe quidem dissensio, non permittit in Graecorum notione consistere, vt ea quae extant sint.

14. Si eorum traditioni, qui ducem resurrectionis ex mortuis ad vitam immortalem resurrexisse viderunt, fidem non habent: attamen insolubili certaque demonstratione resur-

κατὰ ἀνάκτισιν ἀσύμμετρος γίνεται ἢ διάμετρος τῇ πλευρᾷ· οἱ δὲ ἀνιστάμενοι, κατὰ ἀνάκτισιν ἀνίστανται. εἰ δὲ τῷ τινὶ, ἀλλὰ τῷ Θεῷ πάντα δυνατὰ τὰ τινι ἀδύνατα.

η΄. Εἰ ἐπὶ τοῦ παρόντος βίου ὁ εὐσεβὴς τοῦ ἀσεβοῦς ἐλπίδι μόνῃ διαφέρει, πῶς ὁ ἀναιρῶν τῶν μελλόντων τὴν ἐλπίδα, οὐκ ἀναιρεῖ εὐσεβοῦς τε καὶ ἀσεβοῦς τὴν διαφοράν;

θ΄. Εἰ χωρὶς τοῦ καθέκαστον ἀδύνατόν ἐστιν ὑπάρχειν τὸ καθόλου, πῶς, εἰ κτιστὸν τὸ καθέκαστον, οὐ κτιστὸν ἔσται καὶ τὸ καθόλου; ἀλλ' εἰ τοῦτο, πῶς οὐκ ἔστι ψευδὲς τὸ συναΐδιον εἶναι τὸν ἄνθρωπον, καὶ τὰ λοιπὰ μέρη τῆς κτίσεως τῷ Θεῷ; οἷον, εἰ κτιστὸς ὁ Πλάτων, πῶς οὐ κτιστὸς ὁ ἄνθρωπος;

ι΄. Πῶς οἱ Ἕλληνες, ὑποθέμενοι τὸ ἀΐδιον εἶναι τὸν κόσμον, τὰ τῇ ὑποθέσει ἐξ ἀνάγκης ἑπόμενα ἐδογμάτισαν; ἀλλ' εἰ μὲν ἦν κατ' αὐτοὺς ἀΐδιος ὁ κόσμος, εὐλόγως ἂν ἔλεγον μὴ ἔσεσθαι τοῦ κόσμου τὴν ἀνάκτισιν. τοῦ γὰρ κτιστοῦ κόσμου ἐστὶν ἡ ἀνάκτισις, καὶ οὐχὶ τοῦ ἀκτίστου. ὅτι δὲ οὐκ ἔστιν ἀΐδιος ὁ κόσμος, δῆλον ἐκ τοῦ μὴ εἶναι τὸν ἄνθρωπον συναΐδιον τῷ Θεῷ. εἰ γὰρ συναΐδιον τῷ Θεῷ τὸ καθόλου, ἐξ ἀνάγκης καὶ τὸ καθέκαστον· εἰ δὲ μὴ τὸ καθέκαστον, οὐδὲ τὸ καθόλου.

ια΄. Τὸ ἐφάπαξ πάντας τοὺς ἀνθρώπους διὰ τῆς ἀνακτίσεως εἰς τὸ εἶναι αὐτοὺς ἀφθάρτους μεταγαγεῖν, πολὺ θειωδέστερον ὑπάρχει κατὰ μ . . . . τοῦ αὐτοὺς εἰς τὴν θνητὴν ταύτην κατάστασιν, ἐν ᾗ νῦν ἐσμεν, εἰσαγαγεῖν. ἐφύλαξε δὲ ἡμῖν τὸ κατάλληλον καὶ θειωδέστερον ὡς ὕστερον, ὡς ἐν αὐτῷ τὸ τέλος τῆς ἡμῶν ὑποστάσεως κείμενον. οὗ εἰ ἀπεστερημένοι ἦμεν κατὰ τοὺς ἀπιστοῦντας τὴν ἀνάστασιν, πόσῳ μᾶλλον ἂν ἦν κάλλιον τὸ μὴ εἶναι τοῦ εἶναι ἡμᾶς; ἄχρηστον γὰρ πᾶν τὸ στερούμενον τοῦ οἰκείου τέλους. 308

ιβ΄. Εἰ δυνατόν τινι ὑπὲρ τοῦ μὴ ὄντος πράγματος τῆς ἑαυτοῦ ζωῆς προτιμῆσαι τὸν θάνατον, πῶς, εἰ καθ' ὑμᾶς οὐκ ὄντος ἀληθοῦς τοῦ περὶ τῆς ἀναστάσεως δόγματος, ὑπὲρ τούτου τῆς ἑαυτῶν ζωῆς προετίμησαν οἱ μάρτυρες τὸν ἑαυτῶν θάνατον; τίνος δὲ ἄλλης θρησκείας πολυτρόποις βασάνοις τε καὶ θανάτοις ἐβεβαιώθη τὸ δόγμα τῆς ἑαυτῶν θρησκείας· λέγω δὴ τῶν Χριστιανῶν· περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως;

ιγ΄. Εἰ ἃ μὴ πιστεύουσιν Ἕλληνες, ταῦτα οὔτε ἐστὶν, οὔτε ἔσται· ἐν τῇ γνώσει ἄρα τῶν Ἑλλήνων κεῖται τῶν ὄντων ἡ ὕπαρξις. πῶς οὖν ἐν τοῖς πλείστοις τῶν κυριωτάτων δογμάτων ἑαυτοῖς τε καὶ ἀλλήλοις μαχόμενοι δείκνυνται; ἡ γὰρ τοιαύτη μάχη οὐκ ἐᾷ κεῖσθαι ἐν τῇ γνώσει τῶν Ἑλλήνων, τῶν ὄντων τὴν ὕπαρξιν.

ιδ΄. Εἰ τῇ παραδόσει τῶν θεασαμένων τὸν ἀρχηγὸν τῆς ἀναστάσεως ἀναστάντα ἐκ τῶν νεκρῶν εἰς ἀθάνατον ζωὴν, ἀπιστοῦσιν· ἀλύτῳ δὲ ἀποδείξει λύειν τὸ

τῆς ἀναστάσεως δόγμα ἀσθενοῦσι· τὸ γὰρ ἰχθυόβρωτον γενέσθαι τὸν ἄνθρωπον, ἀπορίαν μὲν ἔχει, ἀπόδειξιν δὲ οὔ· ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα ἐν ἑνότητι ὑποπεσεῖν ὡς γεγονός· τοῦ δὲ πράγματος τῇ οὐσίᾳ δυνάμει ἀποδεδειγμένου, οὐδεὶς συλλογισμὸς δύναται πιστώσασθαι τὴν ἀνατροπήν.

ιε΄. Ὁ ἥλιος ὅτε ἐστὶν ὑπὲρ τὴν γῆν, ὑπὸ τὴν γῆν οὐκ ἔστι· καὶ ὅτε ἐστὶν ὑπὸ τὴν γῆν, ὑπὲρ τὴν γῆν οὐκ ἔστι· πῶς οὖν ἀΐδιος καθ᾽ ὑμᾶς οὗτος, τὸ εἶναι αὐτὸν ὑπὲρ τὴν γῆν ἢ ὑπὸ τὴν γῆν ἀϊδίως οὐκ ἔχων; εἰ δὲ τὸ οὐκ ἀΐδιον ὡς ἀΐδιον ὑπολαμβάνουσιν Ἕλληνες, πῶς ἔσονται ἀξιόπιστοι νομοθέται τοῦ μὴ ἔσεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν;

ιϛ΄. Τὸ ποτὲ μὲν ἄνω, ποτὲ δὲ κάτω, τῶν ποτὲ οὐκ ὄντων ἐστὶν οὔτε ἄνω, οὔτε κάτω. πῶς οὖν ἀΐδιος ὁ ἥλιος, ὁ πρὸ τοῦ εἶναι ἄνω ἢ κάτω οὐκ ὤν; τοῖς οὖν τὸν ἥλιον κατὰ τὴν οἰκείαν φύσιν γενητὸν ὄντα μὴ ἐπισταμένοις, πῶς οὐκ ἄτοπον τούτοις πιστεύειν περὶ τοῦ μὴ ἀνίστασθαι τοὺς νεκρούς; ὧν ὁ ἀρχηγὸς τῆς ἀναστάσεως, πρωτότοκος αὐτῶν ἤδη γέγονεν ἐκ τῆς ἀναστάσεως.

ιζ΄. Ὅτε ἡ δύναμις ἰσχύει τοῦ ποιοῦντος, τότε καὶ ἡ ὕλη ἐπιτήδειος πρὸς τὴν ποίησιν τοῦ γινομένου. ἀλλ᾽ εἴ τις νεκρὸς ἐπιτήδειός ἐστι τῷ Θεῷ πρὸς ἔγερσιν, ἐξ ἀνάγκης καὶ πᾶς· καὶ εἰ μὴ πᾶς, οὐδείς. οὐ χρὴ δὲ τοῖς ἡμετέροις ἐνθυμήμασι μετρεῖν τοῦ Θεοῦ τὰ ἔργα. ὑπὲρ νοῦν γὰρ καὶ αἴσθησιν καὶ λόγον τοῦ Θεοῦ τὰ ἔργα· ἐν οἷς ἐστὶ καὶ τὸν ἰχθυόβρωτον νεκρὸν, ἀνάγκῃ πάλιν εἰς τὸ εἶναι ἐλθεῖν, εἰ καὶ συνέβη αὐτὸν φθαρῆναι ὑπό τινος.

ιη΄. Πῶς ἐστὶν ἀληθὲς τὸ ζώντων καὶ νεκρῶν κυριεύειν τὸν Κύριον, καθ᾽ ὑμᾶς οὐκ ἔχοντα δύναμιν θατέρου εἰς ἕτερον μεταποιηθῆναι;

ιθ΄. Εἰ ποιητὴς τῶν μὲν χειρόνων ἐστὶν ὁ Θεὸς, τῶν δὲ βελτιόνων οὐκ ἔστι, πῶς οὐκ ἔστι τοῦτο δεῖγμα τῆς τοῦ Θεοῦ ἀσθενείας; ὅπερ ἐστὶν ἀσεβὲς λέγειν. εἰ δὲ ἴση ἐστὶν ἡ τοῦ Θεοῦ δύναμις πρὸς ποίησιν ἑκατέρου, διὰ τί ἀπιστεῖτε τὴν ἀνάστασιν τῶν νεκρῶν τῶν εἰς ἀφθαρσίαν ἀνισταμένων;

κ΄. Εἰ Θεῷ μὲν πρὸς τὸ ποιεῖν ἐστὶν οὐκ ἀδύνατον, ἡμῖν δὲ πρὸς τὸ γενέσθαι ἐστὶ λυσιτελὲς τὸ ἐκ τῆς πολυστενάκτου τε καὶ ἐμφθάρτου ζωῆς ἀναγαγεῖν ἡμᾶς εἰς μακαρίαν τε καὶ ἄφθαρτον κατάστασιν, διὰ τῆς ἀναστάσεως μᾶλλον, ἢ τῆς ἐκ τῶν φιλοσόφων φιλοπονίας εἰς τὴν τῶν μυρμήκων φιλοπονίαν ἀ-
309 ναγαγεῖν τοὺς φιλοσοφοῦντας Ἕλληνας διὰ τῆς μετεμψυχώσεως, τί γελοιωδέστερον τοῦ ἐκείνῳ μὲν μεμαρτυρημένῳ ἀπιστεῖν, τοῦτο δὲ ἀσυστάτως πιστεύειν καὶ δογματίζειν· ὥστε τὸν πάλαι Ἀθήνησι σχολάζοντα φιλόσοφον Πλάτωνα, ὕστερον μυρμηκίζειν;

resurrectionis dogma refellere non valēt. nam quod homo piscibus esca fiat, quæstionem quidem habet, demōstrationem autem minime. Impossibile enim est eandem rē etiā in diminutatem perinde atq; facta sit, cadere. Porro resurrectione (CHRISTI) suapte vi & potentia demonstrata, nulla eam euertere ratiocinatio potest.

15. Sol quādo super terram est, sub terra nō est: & quando sub terra est, super terram non est. Quonam ergo modo is, secundum vos, perpetuus est: cum, vt vel super terram, vel sub terra sit, perpetuū non habeat? Sin, qui æternus non sit eum tamquam æternum opinātur esse Græci: quomodo idoneorum Legislatorum fidem obtinebunt, non futuram esse resurrectionem mortuorum?

16. Aliquando sursum, aliquando deorsum esse, eorum est quæ quandoq; neq; sursum neq; deorsum sunt. Quomodo igitur sol perpetuus est, qui, antequā sursum aut deorsum esset, nō fuit? Eis vero qui solem, iuxta naturam suam, genitū esse ignorant: quomodo ineptum non est credere, dicentib. non resurrecturos esse mortuos: quorum dux resurrectionis, primogenitus eorum iā factus est ex resurrectione?

17. Quando effectoris potentia valida est, tum & materia ad id quod fit, efficiendum est idonea. Porro si mortuus quisquā Deo aptus est ad resuscitationem: necessario & quisq; aptus fuerit. At si non quisque, etiā ne vnus quidem. Nō oportet autem cogitationibus nostris metiri opera Dei. Nam lōge supra mentem, & sensum, & rationem sunt opera Dei. In quibus hoc quoque est, vt etiam mortuus piscib. esca factus, necessitate quadam ad id rursum vt sit, redeat, quamuis a quopiam eū absumi atque interire contingat.

18. Quomodo in vero illud esse potest, Dominū & viuis dominari & mortuis, iuxta sententiam vestram, potentia ea non præditum vt alterum trāsmutet in alterū?

19. Si rerum quidem deteriorum Deus conditor est, meliorum autē non est: quomodo id non est infirmitatis Dei indiciū? quod sane dicere, impiū est. Sin æqua Dei potestas est ad vtrumque condendū, quid ita resurrectionē nō creditis defunctorū, qui ad incorruptibilitatem resurgunt?

20. Si Deo ad efficiendum facultas & potestas nō deest: nobis autem ad id vt simus vtile est, vt ex hac gemebunda & dispereunti vita migremus ad beatum & incorruptibilem statum per resurrectionē, potius quam vt ex laboriosa ærumna philosophorum, in ærumnosum laborem formicarū, sicuti Græci philosophātes, producamur per transanimationem, quam illi vocant μετεμψύχωσιν: quid esse potest ridiculosius, quam hanc quidem testificatione comprobatam non credere, illam autem, cum subsistere nequeat fide complecti, & decreto firmare? adeo vt qui olim Athenis docuerit philosophus Plato, postea formicæ pertulerit laborem?

21. Si secūdum Græcos Deus eo quod sit, & non eo quod velit, homines efficit: quomodo Plato aliquando est animal ratione præditum, & homo; aliquando animal rationis expers, & formica, per transanimationem? Ac si quidem Deum cōsequitur vt Plato sit homo: necesse fuerit vt Platone, ex eo quod homo sit, in id vt formica sit, traducto, Deus etiam eo quod sit mutetur. Sin Plato quidem transmutatur, Deus vero eo quod sit non transmutatur: quomodo eo quod sit, & non eo quod velit, Deus homines efficit?

22. Si opus Dei non interit, homo autem interit: non ergo fuerit homo Dei opus, de eorum qui hoc dicunt, sententia.

23. Si genus nostrum ad id vt sit producitur per generationem, & ab eo quod sit abducitur per corruptibilitatē: quomodo fieri potest vt Deus eius quod genus nostrum sit & nō sit, causa & auctor sit, nō eo quod velit, sed eo quod sit?

24. Si ea quæ ex elementis sunt, rursus elementa fiunt: quidnam ita videtur esse absurdum aut impossibile, si denuo ea sint quæ ex elementis fiunt?

25. Si sub fine præscriptoq; Deus nō est, sed finis cuiusque dominus est: quomodo Deus quidē in homines vt generentur & intercidāt, dominatū obtinet; vt aūt simus & non intercidamus, imperiū non habet?

26. Si Deus nos in incorruptibilitatē restituens per pœnitentiam vestro iudicio id facit, quomodo non potius per pœnitentiam ille, vt semper essemus, permisit?

27. Si in dona Dei, pœnitentia non cadit: Deus autem nobis vt simus gratuito largitus est: quomodo is primitus de nobis cœptum consilium non adimplet, in incorruptibilitatem nos restituens?

28. Iuxta eorū qui mortuorum resurrectionem credunt sententiam, iusto Dei iudicio & morimur & reuiuiscimus: ac illud quidē propter hominis inobœdientiam, hoc vero propter hominis obœdiētiam. Itaque apud quos mortis causa est ignota, apud eosdem quoque naturæ hominis conditor est ignotus. Cum autem & mortis caussam illi, & naturæ hominis cōditorem ignorent: quomodo non per imprudentiam & ignorationem dicunt, non esse defunctorum resurrectionem?

29. Aliud est quod prorsus non sit, & aliud quod huiusmodi non sit: velut aliud est quod homo a principio non fuerit; & aliud quod, posteaquam fuit, corruptibilitate interciderit. Et quia Deo opus opere operosius nō est, quomodo ratione omni non caret, fidē quidē habere Deo de constitutione eorū quæ prorsus nō fuere, fidē aūt ei nō habere de eorū quæ intercidering restitutione?

κα'. Εἰ κατὰ τοὺς Ἕλληνας τῷ εἶναι, καὶ οὐ τῷ βούλεσθαι ποιεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, πῶς ὁ Πλάτων ποτὲ μέν ἐστι ζῶον λογικὸν καὶ ἄνθρωπος, ποτὲ δὲ ζῶον ἄλογον καὶ μύρμηξ διὰ τῆς μετεμψυχώσεως; εἰ μὲν ἕπεται τῷ Θεῷ τὸ γενέσθαι τὸν Πλάτωνα ἄνθρωπον, ἀνάγκη μεταγομένου τοῦ Πλάτωνος ἐκ τοῦ εἶναι αὐτὸν ἄνθρωπον εἰς τὸ γενέσθαι αὐτὸν μύρμηκα, μεταγενέσθαι καὶ τὸν Θεὸν τοῦ εἶναι ὅ ἐστιν. εἰ δὲ ὁ Πλάτων μὲν μεταφέρεται, ὁ δὲ Θεὸς τοῦ εἶναι ὅ ἐστιν οὐ μεταφέρεται, πῶς τῷ εἶναι, καὶ οὐ τῷ βούλεσθαι ὁ Θεὸς ποιεῖ τοὺς ἀνθρώπους;

κβ'. Εἰ τὸ ἔργον τοῦ Θεοῦ οὐ φθείρεται, ὁ δὲ ἄνθρωπος φθείρεται, οὐκ ἄρα ἐστὶν ὁ ἄνθρωπος ἔργον τοῦ Θεοῦ κατὰ τοὺς τοῦτο λέγοντας.

κγ'. Εἰ τὸ γένος ἡμῶν εἰς τὸ εἶναι εἰσάγεται διὰ τῆς γενέσεως, καὶ τοῦ εἶναι ἐξάγεται διὰ τῆς φθορᾶς, πῶς ἐνδέχεται τὸν Θεὸν τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι αἴτιον εἶναι, οὐ τῷ βούλεσθαι, ἀλλὰ τῷ εἶναι αὐτόν;

κδ'. Εἰ τὰ ἐκ τῶν στοιχείων πάλιν στοιχεῖα, τί ἄτοπον ἢ ἀδύνατον φαίνεται τὸ πάλιν εἶναι τὰ ἐκ τῶν στοιχείων;

κε'. Εἰ οὐκ ἔστιν ὑπὸ τὸν ὅρον ὁ Θεὸς, ἀλλὰ παντὸς ὅρου ὑπάρχει δεσπότης, πῶς τοῦ μὲν γενέσθαι καὶ φθείρεσθαι τοὺς ἀνθρώπους δεσπόζει Θεὸς, τοῦ δὲ γίνεσθαι καὶ μὴ φθείρεσθαι ἡμᾶς οὐ δεσπόζει;

κς'. Εἰ ἀνακτίζων ἡμᾶς ὁ Θεὸς εἰς ἀφθαρσίαν, ἐκ μεταμελείας καθ' ὑμᾶς τοῦτο ποιεῖ, πῶς οὐ μᾶλλον ἐκ μεταμελείας συνεχώρει εἶναι ἀεί;

κζ'. Εἰ ἀμεταμέλητα τὰ χαρίσματα τοῦ Θεοῦ, ἐχαρίσατο δὲ ἡμῖν τὸ εἶναι ἡμᾶς, πῶς οὐ τὴν ἐξ ἀρχῆς περὶ ἡμᾶς πληροῖ σκοπὸν ὁ Θεὸς, ἀνακτίζων ἡμᾶς εἰς ἀφθαρσίαν;

κη'. Κατὰ τοὺς πιστεύοντας τῶν νεκρῶν τὴν ἀνάστασιν, τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ καὶ ἀποθνήσκομεν καὶ ἀναζωοποιούμεθα· ἐκεῖνο μὲν, τῇ τοῦ ἀνθρώπου παρακοῇ· τοῦτο δὲ, τῇ τοῦ ἀνθρώπου ὑπακοῇ. παρ' οἷς οὖν ἄγνωστον τὸ αἴτιον τοῦ θανάτου, παρὰ τούτοις καὶ ὁ τῆς φύσεως τοῦ ἀνθρώπου δημιουργός ἐστιν ἄγνωστος. ἀγνοούντων δὲ αὐτῶν τὸ αἴτιον τοῦ θανάτου, καὶ τὸν δημιουργὸν τῆς φύσεως ἀνθρώπου, πῶς οὐκ ἐξ ἀγνοίας λέγουσι τὸ μὴ εἶναι τῶν νεκρῶν τὴν ἀνάστασιν;

κθ'. Ἄλλο τὸ πάντη μὴ ὄν, καὶ ἄλλο τὸ τοιόνδε μὴ ὄν· οἷον, ἄλλο τὸ τὴν ἀρχὴν μὴ γενέσθαι ἄνθρωπον, καὶ ἄλλο τὸ μετὰ τὸ γενέσθαι αὐτὸν φθαρῆναι. καὶ ἐπειδὴ οὐκ ἔστι τῷ Θεῷ ἔργον ἔργου ἐργωδέστερον, πῶς οὐκ ἔστιν ἄλογον τὸ πιστεύειν μὲν Θεῷ περὶ τῆς ποιήσεως τῶν πάντη οὐκ ὄντων, ἀπιστεῖν δὲ αὐτῷ περὶ τῆς μεταποιήσεως τῶν φθαρέντων;

λ'. Εἰ ὥσπερ πρὸ τοῦ [illegible] γενέσθαι τὸν ἄνθρωπον, ὁ ἄνθρωπος δυνάμει ἦ[illegible] ἐν τοῖς στοιχείοις ἐξ ὧν γέγονεν, οὕτως καὶ μ[illegible] τὸ φθαρῆναι αὐτὸν, ἐστὶ δυνάμει ἐν τοῖς στοι[illegible]είοις, πῶς ἀπιστοῦσιν οἱ Ἕλληνες Θεῷ,

30. Si, quéadmodū antequā f[illegible]eret homo, potētia homo in elemētis, vnde est cōstitutus, fuit: ad eūdē modū, postquā interi[illegible]t, potētia est in elemētis: q̄d ita Græci & Gētiles

Deo

ἐπαγγειλαμένῳ τοῖς ἂν τοὺς νεκροὺς, ὡς ἐπ' ἀδυνάτῳ πράγματι, τοῦ ἀνθρώπου δυνάμει ὄντος ἐν τοῖς στοιχείοις, ὥσπερ πάλαι κτιζομένου, οὕτως καὶ νῦν ἀνακτιζομένου;

λα'. Εἰ οὐκ ἠδύνατο ὁ Θεὸς ἐξ ἀρχῆς ἀφθάρτους ποιεῖν τοὺς ἀνθρώπους, δῆλον ὅτι οὐδὲ νῦν δύναται. εἰ δὲ καὶ ἐξ ἀρχῆς εἶχε δύναμιν τοῦτο ποιῆσαι ἡμᾶς ἀφθάρτους, καὶ οὐκ ἀπέβαλε ταύτην, πῶς οὐκ ἔστιν ἄλογον τὸ, ὡς ἐπ' ἀδυνάτῳ πράγματι πιστεῖν Θεῷ ἐπαγγειλαμένῳ καθ' ὁμοίωσιν τοῦ ἐγερθέντος ἐκ τῶν νεκρῶν ὑπ' αὐτοῦ εἰς ἄφθαρτον ζωὴν, ἀφθάρτους ποιεῖν καὶ τοὺς λοιποὺς ἀνθρώπους;

λβ'. Δυνάμει τὸ ζῶον ἐν τῷ σπέρματι τῇ φύσει, δυνάμει κλίνη ἐν τῷ ξύλῳ τῇ τέχνῃ, δυνάμει οἱ ἀνιστάμενοι ἐν τοῖς στοιχείοις τῷ Θεῷ. ἀλλ' εἰ τοῦτο, πῶς οὐκ ἔστιν ἄτοπον τὸ πιστεύειν μὲν τῇ φύσει τὰ φυσικὰ, καὶ τῇ τέχνῃ τὰ τεχνητὰ, ἀπιστεῖν δὲ Θεῷ τὰ θεῖα;

λγ'. Τῇ θείᾳ αὐθεντίᾳ οὐδέν ἐστιν ἀπειθές. εἰ ἡ θάλασσα καὶ ἡ γῆ τῷ θείῳ προστάγματι πάλαι δέδωκεν ἃ οὐκ ἔλαβε, πῶς οὐ νῦν μᾶλλον δώσει ἃ ἔλαβε, προστάξαντος τοῦ Θεοῦ;

λδ'. Εἰ ὥσπερ ἡ φύσις ἐκ τοῦ φθαρέντος σπέρματος οὐ δύναται ποιεῖν τὸ ζῶον, καὶ ἡ τέχνη ἐκ τοῦ φθαρέντος ξύλου οὐ δύναται ποιεῖν τὴν κλίνην, οὕτως οὐδὲ ὁ Θεὸς δύναται ἐκ τοῦ φθαρέντος ἀνθρώπου ἄφθαρτον ποιεῖν ἄνθρωπον· ἐμμετρος ἄρα ἔσται ἡ δύναμις τοῦ Θεοῦ, ὥσπερ τῆς φύσεως, καὶ τῆς τέχνης. εἰ δὲ τοῦτο ἄτοπον λέγειν, ἄτοπον ἄρα καὶ τὸ ἀπιστεῖν Θεῷ ποιεῖν ἐκ τοῦ φθαρέντος ἀνθρώπου ἄφθαρτον ἄνθρωπον.

λε'. Εἰ ὥσπερ ἀπίστοις ἀνθρώποις ἀδύνατον φαίνεται γενέσθαι τὴν ἀνάστασιν, οὕτως ἀδύνατόν ἐστι τῷ Θεῷ τὸ ποιεῖν τὴν ἀνάστασιν, οὐδὲν ἄρα κατὰ τοῦτο διαφέρει Θεὸς ἀνθρώπου. εἰ δὲ ἀπειράκις διαφέρει, ὥσπερ οὖν καὶ διαφέρει, πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἀπιστεῖν Θεῷ τὴν ποίησιν ὧν ἔχει τοῦ ποιεῖν τὴν δύναμιν;

λς'. Ὧν ἰσχύει Θεὸς τὴν ὑπὲρ φύσιν ποίησιν, τούτων πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἀπιστεῖν αὐτῷ τὴν ὑπὲρ φύσιν μεταποίησιν;

λζ'. Εἰ τὸ μὴ κατὰ φύσιν γινόμενον, τούτου ἄπιστον καὶ ἀδύνατον τὴν ποίησιν χρὴ ὑπολαμβάνειν, πῶς οὐκ ἔσται καὶ τοῦ πρώτου γεγονότος ἀνθρώπου ἄπιστος καὶ ἀδύνατος ἡ ποίησις, μὴ κατὰ φύσιν γεγενημένου; ἀδύνατον γὰρ γενέσθαι ἐξ ἀνθρώπου ἄνθρωπον κατὰ φύσιν, μὴ πρῶτον τοῦ ἀνθρώπου γινομένου ὑπὲρ φύσιν.

λη'. Εἰ μὴ γίνομαι πάλιν ὅπερ ἤμην, πῶς ἀπολαμβάνω τῆς ἀρετῆς ἢ τῆς κακίας τὰς ἀμοιβὰς, ὧν ἐπὶ τοῦ παρόντος οὐκ ἔτυχον; εἰ γὰρ οὐ γίνεται τῶν

Deo non credunt, qui se defunctos resuscitaturum esse recepit, tamquam de re impossibili: cũ homo potentia sit in elementis, sicut olim cum constitueretur, ita & nunc cum restituitur?

31. Si non potuit Deus ab initio homines incorruptibiles creare, perspicuũ fit, ne nũc quidem posse. Sin ab initio ea fuit prǽditus potentia, vt nos crearet incorruptibiles, eamque potentiam non abiecit: quomodo contra rationẽ non est, perinde atque de re impossibili, Deo per credulitatem non confidere; qui pollicitus est, iuxta eius similitudinem & exemplum qui ab eo est ad vitam incorruptibilem excitatus, se quoque incorruptibiles facturũ esse & reliquos mortales?

32. Potentiã animans in semine, est naturæ: potentia lectus in ligno, est arti: potentia resurgentes in elementis sunt Deo. At hoc si verũ est, quomodo absurdum nõ est, credere naturæ de rebus naturalibus, & arti de rebus artificialibus; Deo autem non credere de diuinis?

33. Diuinæ auctoritati & potestati nihil est immorigerum. Si mare & terra, ad mandatum diuinum ea dedere quæ non acceperant, quomodo nunc non magis quæ accepere reddent, Deo mandante?

34. Si, quo modo natura e semine quod interiit, animantem procreare nequit; & ars e ligno quod intercidit, lectum facere non potest: eodem modo & Deus ex homine qui occidit, hominem condere non valet: demensa scilicet fuerit potẽtia Dei, sicuti naturæ & artis. Sed enim si hoc dicere absurdum est, absurdum mediusfidius quoque fuerit, non credere, Deum ex homine corrupto & mortuo, hominem efficere posse incorruptibilem & immortalem.

35. Si, quemadmodum hominibus infidelibus fieri non posse videtur vt sit resurrectio, ita quoq; impossibile Deo esset efficere resurrectionẽ: nihil profecto homini præstaret Deus. At si infinite prǽstat; sicuti sane præstat: quomodo absurdum non est, non credere Deum, quorum habet constituendorum, eorundem habere restituendorum etiam vim & potestatem?

36. Quos Deus supra naturam cõdere valet, eos eundem supra naturam recuperare posse, non credere, quomodo absurdum non est?

37. Si eius quod non secundum naturam genitum est, generationem incredibilem atque impossibilem esse suspicari oportet: quomodo etiam primi qui creatus est hominis non incredibilis atque impossibilis fuerit generatio, cum secundum naturam progenitus non sit? Impossibile namq; est vt gignatur ex homine homo, secundum naturam, nisi prius homo sit supra naturam, [γενάρχης scilicet.]

38. Nisi denuo quod fui, factus fuero: quomodo virtutis aut vitii recipiam retributionem, quam in præsenti vita non sum consequutus? Si enim non est mor-

tuorum resurrectio, quomodo æquales inter se non erunt, & qui martyrum instituerunt certamina, & qui ea sustinuerunt? Sin hoc iniquum est, quomodo iniquum non est, non fieri mortuorum resurrectionem? in qua sola expediri potest eorũ qui iniurias & intulerunt & pertulerunt, iudicium, & præmii atque pœnæ discrimen.

39. Si, quod fuit homo, id etiam [apud Deum] est: quomodo moriens cognitione Dei excidit? non abstitit ergo eo vt denuo sit quod fuit. Nã opera Dei cognita ei sunt, & possibilia. Sin impossibilia ei sunt, ignota quoque sunt.

40. Si pulchrũ est, nos esse in præsenti mortales; pulchrius autem, nos esse in futuro immortales: quomodo absurdum nõ est dicere, Deum quod pulchrum sit, efficere posse; quod autem pulchrius sit, non posse?

41. Si impossibile Deo est vt mortale corpus efficiat immortale: quomodo mors Deo nõ fuerit fortior, qui morti eripere non possit, potestati illius subditos?

42. Si Deus potentia præditus est, mortuorum viuificatrice: quomodo resurgentes ad resurrectionem apti non sunt? Porro cum Deus ad excitandos mortuos potens, & resurgentes ad resurgẽdum appositi sint: quemnam locum habet eorũ incredulitas, qui resurrectionẽ non credũt?

43. Si in dominio & potestate Dei est vt simus & nõ simus: quomodo non eiusdem ipsius dominii & potestatis sit, vt immortales simus? Sin vt immortales simus, extra Dei dominium sit: quomodo Deus non eius vt non simus, dominus nõ erit?

44. Si, quã habent immortalia & mortalia naturam, eam ex voluntate Dei habent: quomodo fieri non potest vt mortui immortales fiant, Deo volente?

45. Quarum rerum argumenta ad impugnãdum adhibita, inualida sunt, earum rerum assertio ad constituendum admota, firma est. Sed enim cum omni impugnationis genere, Græci ad resurrectionis dogma abrogandum vsi, abrogare non valuerint, eo quod id qui resurrectionem efficit, potentia sua inconcussum in tam variis oppugnationibus retineat & custodiat Deus: quanam re incredibilis est defunctorum restitutio, eo quod de ipsa est factum decreto, neque manu neque lingua labefactato?

46. Si maximum est Dei inuictæ & incircumscriptæ potentiæ documentum, quod vniuersorum mortalium, viuẽtium & defunctorum, norit formas & actiones bonas & malas: quomodo mortuorũ resurrectio, Dei incircũscriptæ potẽtiæ & sciẽtiæ demonstratio nõ est; per quã denuo vt homines sint, restituit? atque hoc si sic habet: quomodo is Deũ demonstratione eiusmodi nõ priuat, qui resurrectione mortuos priuat?

νεκρῶν ἡ ἀνάστασις, πῶς οὐκ ἔσονται ἴσοι ἀλλήλοις οἵ τε δρῶντες τοὺς μαρτυρικοὺς ἀγῶνας, καὶ οἱ ὑπομένοντες; εἰ δὲ ἄδικον τοῦτο, πῶς οὐκ ἄδικον τὸ μὴ γίνεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν, ἐν ᾗ μόνῃ ἐνδέχεται γίνεσθαι τῶν πεποιηκότων τὰ ἄδικα, καὶ τῶν ὑπομεμενηκότων τὴν διάκρισιν, καὶ τὴν διαφορὰν τιμῆς τε καὶ τιμωρίας;

λθ΄. Εἰ τὸ ἦν ὁ ἄνθρωπος καὶ ἔστι, πῶς προσχώρησεν ἀποθανὼν τῆς τοῦ Θεοῦ γνώσεως; οὐκ ἀπέστη τὸ εἶναι αὐτὸν πάλιν ὃ ἦν· τὰ γὰρ ἔργα τοῦ Θεοῦ, γνωστὰ αὐτῷ, καὶ δυνατά· καὶ εἰ μὴ δυνατὰ αὐτῷ, οὐδὲ γνωστὰ αὐτῷ.

μ΄. Εἰ καλὸν μὲν τὸ εἶναι ἡμᾶς ἐν τῷ παρόντι θνητούς· κάλλιον δὲ τὸ εἶναι ἡμᾶς ἀθανάτους ἐν τῷ μέλλοντι, πῶς οὐκ ἔστιν ἄτοπον τὸ λέγειν τὸν Θεὸν δυνατὸν μὲν πρὸς ποίησιν τοῦ καλοῦ, ἀδύνατον δὲ πρὸς ποίησιν τοῦ καλλίονος;

μα΄. Εἰ ἀδύνατον τῷ Θεῷ τὸ θνητὸν σῶμα ποιῆσαι ἀθάνατον, πῶς οὐκ ἔσται ὁ θάνατος ἰσχυρότερος τοῦ Θεοῦ, ἐξ αὐτοῦ μὴ δυναμένου ῥύσασθαι τοὺς αὐτῷ ὑποκειμένους;

μβ΄. Εἰ ὁ Θεὸς ἔχει δύναμιν ζωοποιητικὴν τῶν νεκρῶν, πῶς οὐκ εἰσὶν ἐπιτήδειοι πρὸς ἀνάστασιν οἱ ἀνιστάμενοι; τοῦ Θεοῦ δὲ πρὸς τὸ ἀναστῆσαι τοὺς νεκροὺς δυνατοῦ ὑπάρχοντος, καὶ τῶν ἀνισταμένων ἐπιτηδείων πρὸς τὸ ἀνίστασθαι ὑπαρχόντων, ποίαν ἔχει χώραν ἡ ἀπιστία τῶν ἀπιστούντων τὴν ἀνάστασιν; 311

μγ΄. Εἰ τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι ἡμᾶς δεσπόζει Θεὸς, πῶς οὐκ ἔσται ἀπὸ τῆς αὐτῆς αὐτοῦ δεσποτείας τὸ γίνεσθαι ἡμᾶς ἀθανάτους; εἰ δὲ τὸ γενέσθαι ἡμᾶς ἀθανάτους, ἔξωθεν τῆς τοῦ Θεοῦ δεσποτείας καθέστηκε, πῶς οὐκ ἔσται Θεὸς τοῦ μὴ εἶναι ἡμᾶς μὴ δεσπόζων;

μδ΄. Εἰ ἣν ἔχουσι φύσιν τὰ ἀθάνατα καὶ τὰ θνητὰ, ἐκ τῆς τοῦ Θεοῦ ἔχουσι βουλήσεως, πῶς οὐκ ἔστι δυνατὸν τὸ ἀθανατίζεσθαι τοὺς νεκροὺς βουληθέντος τοῦ Θεοῦ;

με΄. Ὧν τὰ ἀνθιστάμενα ἀσθενῆ, τούτων ἡ σύστασις βεβαία. ἀλλ' εἰ παντὶ ἀντιστάσεως τρόπῳ κεχρημένοι οἱ Ἕλληνες πρὸς ἀναίρεσιν τοῦ τῆς ἀναστάσεως δόγματος, ἀναιρεῖν τοῦτο οὐκ ἴσχυσαν, τῇ τοῦ ποιοῦντος τὴν ἀνάστασιν Θεοῦ δυνάμει ἀσάλευτον ἐν ταῖς πολυτρόποις ἀντιστάσεσι φυλαττόμενον τὸ δόγμα, κατὰ τί ἄπιστος τῶν νεκρῶν ἡ ἀνάστασις, τοῦ περὶ ταύτης δόγματος μήτε ὑπὸ χειρῶν, μήτε ὑπὸ γλώσσης σαλευομένου;

μς΄. Εἰ μέγιστόν ἐστι δεῖγμα τῆς τοῦ Θεοῦ ἀηττήτου καὶ ἀπεριγράπτου δυνάμεως, τὸ εἰδέναι πάντων τῶν ἀνθρώπων ζώντων τε καὶ νεκρῶν τάς τε ἰδέας καὶ τὰς πράξεις ἀγαθάς τε καὶ φαύλας, πῶς οὐκ ἔστι τῶν νεκρῶν ἡ ἀνάστασις ἀπόδειξις τῆς τοῦ Θεοῦ ἀπεριγράπτου δυνάμεώς τε καὶ γνώσεως, δι' ἧς εἰς τὸ εἶναι πάλιν ἀποκαθιστᾷ τοὺς ἀνθρώπους; ἀλλ' εἰ τοῦτο, πῶς οὐκ ἔσται ἀποστερῶν τὸν Θεὸν τῆς τοιαύτης ἀποδείξεως ὁ ἀποστερῶν τοὺς νεκροὺς τῆς ἀναστάσεως;

μζ'. Εἰ ἐλπίσαντες Ἕλληνες ἀναιρεῖν διὰ τῆς οἰκείας ἀντιστάσεως τὸ περὶ τῆς ἀναστάσεως δόγμα, ἀπέτυχον τῆς ἐλπίδος, πῶς οὐκ ἔσονται ἀποτυγχάνοντες πάλιν τῆς ἐλπίδος, ἐλπίζοντες πάλιν μὴ ἔσεσθαι τῶν νεκρῶν τὴν ἀνάστασιν;

μη'. Ἐχρῆν τοὺς Ἕλληνας μαχεσαμένους κατὰ τοῦ περὶ τῆς ἀναστάσεως δόγματος, ἢ μὴ ἡττηθῆναι ἐν τῇ μάχῃ, ἢ ἡττηθέντας, μὴ ἀπιστεῖν τὴν ἀνάστασιν. εἰ δὲ μήγε, ἔσται αὐτῶν ἡ πρώτη ματαιοπονία ἔλεγχος τῆς ἀλόγου αὐτῶν ἀπιστίας.

47. Si Græci, ſperantes ſe abrogaturos eſſe per impugnationis ſuæ argumēta, reſurrectionis placitum, ſpe ſua exciderunt: quomodo non rurſum ea ſpe excidēt, qua mortuorum reſurrectionem futuram nō eſſe ſperant?

48. Græcos doctrinam de reſurrectione impugnantes, oportuit aut in pugna non vinci, aut victos reſurrectionem credere. Sin minus, irritus illorum primus labor, irrationalem eorundem redarguet incredulitatem.

PRIMI TOMI FINIS.

32 ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ ΠΡΟΣ ΤΡΥΦΩΝΑ ΙΟΥΔΑΙΟΝ διάλογος.

ΠΕΡΙΠΑΤΟΥΝΤΙ μοι ἕωθεν ἐν τοῖς τοῦ ξυστοῦ περιπάτοις, συναντήσας τις μετὰ καὶ ἄλλων, Φιλόσοφε χαῖρε, ἔφη. καὶ ἅμα εἰπὼν τοῦτο, ἐπιστραφεὶς συμπεριεπάτει μοι· συνεπέστρεφον δ' αὐτῷ καὶ οἱ φίλοι αὐτοῦ. κἀγὼ ἔμπαλιν προσαγορεύσας αὐτόν, Τί μάλιστα; ἔφην. ὁ δέ, Ἐδιδάχθην ἐν Ἄργει, φησίν, ὑπὸ Κορίνθου τοῦ Σωκρατικοῦ, ὅτι οὐ δεῖ καταφρονεῖν οὐδὲ ἀμελεῖν τῶν περικειμένων τόδε τὸ σχῆμα, ἀλλ' ἐκ παντὸς φιλοφρονεῖσθαι, προσομιλεῖν τε αὐτοῖς, εἴ τι ὄφελος ἐκ τῆς συνουσίας γένοιτο ἢ αὐτῷ ἐκείνῳ, ἢ ἐμοί. ἀμφοτέροις δὲ ἀγαθόν ἐστι, κἂν θάτερος ᾖ ὠφελημένος. τούτου οὖν χάριν ὅταν ἴδω τινὰ ἐν τοιούτῳ σχήματι, ἀσμένως αὐτῷ προσέρχομαι· σέ τε κατὰ τὰ αὐτὰ ἡδέως νῦν προσεῖπον· οὗτοί τε συνεφέπονταί μοι, προσδοκῶν-
» τες καὶ αὐτοὶ ἀκούσεσθαί τι χρηστὸν ἐκ σοῦ. Τίς δὲ
» σὺ ἐσσί, φέριστε βροτῶν; οὕτως προσπαίζων αὐτῷ ἔλεγον. Ὁ δὲ καὶ τοὔνομά μοι καὶ τὸ γένος ἐξεῖπεν ἁπλῶς· Τρύφων, φησί, καλοῦμαι· εἰμὶ δὲ Ἑβραῖος ἐκ περιτομῆς, φυγὼν τὸν νῦν γενόμενον πόλεμον, ἐν τῇ Ἑλλάδι καὶ τῇ Κορίνθῳ τὰ πολλὰ διάγων. Καὶ τί ἄν, ἔφην ἐγώ, τοσοῦτον ἐκ φιλοσοφίας σύ τ' ἂν ὠφεληθείης, ὅσον παρὰ τοῦ σοῦ νομοθέτου καὶ τῶν προφητῶν; Τί γάρ; οὐχ οἱ φιλόσοφοι περὶ Θεοῦ τὸν ἅπαντα ποιοῦνται λόγον; ἐκεῖνος ἔλεγε· καὶ περὶ μοναρχίας αὐτοῖς καὶ προνοίας αἱ ζητήσεις γίνονται ἑκάστοτε; ἢ οὐ τοῦτο ἔργον ἐστὶ φιλοσοφίας, ἐξετάζειν περὶ τοῦ θείου; Ναί, ἔφην· οὕτω καὶ ἡμεῖς δεδοξάκαμεν. ἀλλ' οἱ πλεῖστοι οὐδὲ τούτου πεφροντίκασιν, εἴτε εἷς εἴτε καὶ πλείους εἰσὶ θεοί, καὶ εἴτε προνοοῦσιν ἡμῶν ἑκάστου, εἴτε καὶ οὔ· ὡς μηδὲν πρὸς εὐδαιμονίαν τῆς γνώσεως ταύτης συντελούσης· ἀλλὰ καὶ ἡμᾶς ἐπιχειροῦσι πείθειν,

EIVSDEM IVSTINI DIALOGVS CVM TRYPHOne Iudæo, [de veritate Chriſtianæ religionis, ad M. Pompeium perſcriptus.]

DEAMBVLANTI mihi mane in xyſti ambulacris, obuiam veniens quidam cum aliis: Philoſophe ſalue, inquit. & cū hoc dicto conuerſus, vna mecum ſpaciabatur. ſimul autem cum ipſo amici quoque eius ſunt conuerſi. Atque ego illum contra compellās: Quid rei potiſsimum? inquam. Ille vero: Inſtitutus ſum, ait, Argis a Corintho Socratico, non oportere contemnere eos, neque negligere, qui habitu hoc vtuntur; ſed humaniter prorſus excipere, & conuerſari cum eis frequenter: ſi qua vtilitas ex eiuſmodi conſuetudine, vel ad illum ipſum, vel ad me perueniat. vtrique autem bono fuerit, ſi vel alteruter commodum percipiat. Inde adeo, cum aliquē in habitu huiuſmodi conſpicio, perlibenter adire ſoleo. ac te nunc itidem ſuauiter ſum alloquutus. atq; iſti me ſequuntur, cupientes & ipſi vtile quidquam ex te audire. *Quis tu vero hominum quaſi dic optime nobis?* iocabundus ego ad illū. Tū homo mihi ſimul & nōmen & genus ingenue exponēs: Trypho, inquit, vocor. Sum autem ex circumciſione Ebræus, ex bello proximo profugus: atque in Græcia & Corinthi plurimum degere ſolitus. An tu vero, inquam, tantū emolumēti ex Philoſophia capere potes, quātū ex Legiſlatore tuo & Prophetis? Quidni? ait ille. an Philoſophi non omnia de Deo verba faciunt? an de monarchia & vnius imperio, atque de prouidentia non ſemper inquirūt? vtrum philoſophiæ munus non eſt, de Deo ſcrutari? Etiā; dixi ego. eadē quoque noſtra eſt ſententia. Sed plurimi ne hoc quidem curant, vnusne an plures ſint dii; &, proſpiciantne prouidentia ſua cuiuis noſtrum, an minus? proinde quaſi ad beatitudinem cognitio talis nihil afferat momenti. Quin illi etiam nobis perſuadere moliūtur,

vniuersitatis quidem huius, ac generum specierumque ipsarum curā gerere Deū; mei autem, atque tui, & vniuscuiusq; singillatim nō itidem: alioqui votis illum, inquiunt, non imploraremus *totis noctibus atque diebus.* Hoc vero ad quem illi referant finem, intelligere difficile nō est. nam hoc efficit securitas atq; libertas loquēdi, & eos qui hæc docent, sectandi, & quod volunt, agendi & dicendi impunitas, neq; pœnam aliquam metuens, neque bonum quodpiam sperās a Deo. Quomodo enim id non faciāt homines, qui semper res easdem, & eandem viuendi rationem fore, & in præsentia, & in futuro, ita vt neque meliores neque deteriores fiant, asseuerant? Nonnulli vero, posito, immortalem esse & incorpoream animam, etiāsi mali quidquam egerint, nihil tamē arbitrantur daturam supplicii: (Incorporeum enim perpessionibus non esse subiectum) neque quidquam amplius, cum illa immortalis sit, Deo indigēt, aut aliquid ab eo petūt. Et ille vrbane subridēs: Tu autem, inquit, quid de hisce sentias, & quam de Deo obtineas opinionem, & quæ tua sit philosophia, nobis edissere. Exponam, inquā, tibi quod mihi videtur. Est namque reuera Philosophia maximum bonum, & Deo gratissimum: quippe quæ sola nos ad illū adducat, eique commendet. Atque ii demum vere sunt felices, qui mentem philosophia excolunt. Quid autem sit Philosophia, & qua de causa ad homines sit dēmissa, permultos latet. Non enim essent (si scirent) neque Theoretici, neque Platonici, neque Stoici, neque Peripatetici, neque Pythagorici: cum ea vna sit sciētia. Quam vero ob causam in plures illa abierit factiones, dicam. Qui primi hanc attigere, & ob id præclari fuere, accidit vt eos successores illorum consectarentur: non illi quidē de veritate aliquid perquirētes, sed fortitudinem dumtaxat & continentiā ipsorum, nec non nouum orationis nitorem, cum stupore admirantes: eaque vera esse arbitrātes quæ a magistro quisque didicisset. Qui deinde successoribus quoque suis eiusmodi omnia, atque alia item hisce similia tradentes, eo appellati sunt nomine, quo ipsius disciplinę obtinuerat parēs. Et cum ipse quoque primum ita cum his agere cuperem, vni eorum me, *Stoico* cuidam, dedi: atque cum hoc longo satis versatus tempore, quia nihil amplius de Deo didiceram, (nam ne ipse quidem sciebat, neque adeo disciplinam hanc necessariam esse dicebat) ab eo desciui, & ad alium me cōtuli, *Peripateticum* vocitatū, hominē (vt ipsemet existimabat) acutū. Hic me primis dieb. secū esse passus, postea mercedē a me sibi designari petiit, ne infructuosa mihi cū eo esset cōsuetudo. Ego vero illū hāc ipsam ob causam reliqui; ne philosophū quidē omnino esse opinatus. Porro cū impēsius adhuc animus meus audire, quod philosophiæ proprium atq. præcipuū est, expeteret, ad *Pythagoricum* quendā magni nominis, multiq; in sapientia supercilii virū accessi; & cum

ὡς τοῦ μὲν σύμπαντος, καὶ αὐτῶν τῶν γενῶν καὶ εἰδῶν ἐπιμελεῖται Θεός, ἐμοῦ δὲ καὶ σοῦ οὐκ ἔτι καὶ τοῦ καθέκαστον, ἐπεὶ οὐδ' ἂν ηὐχόμεθα αὐτῷ δι' ὅλης νυκτὸς καὶ ἡμέρας. τοῦτο δὲ ὅπῃ αὐτοῖς τελευτᾷ, οὐ χαλεπὸν συννοῆσαι· ἄδεια γὰρ καὶ ἐλευθερία λέγειν καὶ ἕπεσθαι τοῖς δοξάζουσι ταῦτα, ποιεῖν τε ὅ τι βούλονται καὶ λέγειν, μήτε κόλασιν φοβουμένοις μήτε ἀγαθὸν ἐλπίζουσί τι ἐκ Θεοῦ. πῶς γάρ; οἵ γε ἀεὶ ταῦτα ἔσεσθαι λέγουσι, καὶ ἔτι ἐμὲ καὶ σὲ ἔμπαλιν βιώσεσθαι ὁμοίως, μήτε κρείσσονας, μήτε χείρους γεγονότας. ἄλλοι δέ τινες, ὑποστησάμενοι ἀθάνατον καὶ ἀσώματον τὴν ψυχήν, οὔτε κακόν τι δράσαντες ἡγοῦνται δώσειν δίκην· (ἀπαθὲς γὰρ τὸ ἀσώματον) οὔτε ἀθανάτου αὐτῆς ὑπαρχούσης, δέονταί τι τοῦ Θεοῦ ἔτι. Καὶ ὅς, ἀστεῖον ὑπομειδιάσας, Σὺ δὲ πῶς, ἔφη, περὶ τούτων φρονεῖς, καὶ τίνα γνώμην περὶ Θεοῦ ἔχεις, καὶ τίς ἡ σὴ φιλοσοφία; εἰπὲ ἡμῖν. Ἐγώ σοι, ἔφην, ἐρῶ, ὅ γέ μοι καταφαίνεται. ἔστι γὰρ τῷ ὄντι φιλοσοφία μέγιστον κτῆμα, καὶ τιμιώτατον Θεῷ, ᾧ τε προσάγει καὶ συνίστησιν ἡμᾶς μόνη· καὶ ὅσιοι ὡς ἀληθῶς οὗτοί εἰσιν, οἱ φιλοσοφίᾳ τὸν νοῦν προσεσχηκότες. τί ποτε δέ ἐστι φιλοσοφία, καὶ οὗ χάριν κατεπέμφθη εἰς τοὺς ἀνθρώπους, τοὺς πολλοὺς λέληθεν. οὐ γὰρ ἂν Πλατωνικοὶ ἦσαν, οὐδὲ Στωϊκοί, οὐδὲ Περιπατητικοί, οὐδὲ Θεωρητικοί, οὐδὲ Πυθαγορικοί, μιᾶς οὔσης ταύτης ἐπιστήμης. οὗ δὲ χάριν πολύκρανος ἐγενήθη, θέλω εἰπεῖν. συνέβη τοῖς πρώτοις ἁψαμένοις αὐτῆς, καὶ διὰ τοῦτο ἐνδόξοις γενομένοις, ἀκολουθῆσαι τοὺς ἔπειτα, μηδὲν ἐξετάσαντας ἀληθείας πέρι, καταπλαγέντας δὲ μόνον τὴν καρτερίαν αὐτῶν καὶ τὴν ἐγκράτειαν, καὶ τὸ ξένον τῶν λόγων, ταῦτα ἀληθῆ νομίσαι ἃ παρὰ τοῦ διδασκάλου ἕκαστος ἔμαθεν· εἶτα καὶ αὐτοὺς τοῖς ἔπειτα παραδόντας τοιαῦτα ἄττα καὶ ἄλλα τούτοις προσεοικότα, τοῦτο κληθῆναι τοὔνομα ὅπερ ἐκαλεῖτο ὁ πατὴρ τοῦ λόγου. ἐγώ τε κατ' ἀρχὰς οὕτω ποθῶν καὶ αὐτὸς συμβαλεῖν, τούτων ἑνὶ ἐπέδωκα ἐμαυτόν, Στωϊκῷ τινι· καὶ διατρίψας ἱκανὸν μετ' αὐτοῦ χρόνον, ἐπεὶ οὐδὲν πλέον ἐγίνετό μοι περὶ Θεοῦ· (οὐδὲ γὰρ αὐτὸς ἠπίστατο, οὐδὲ ἀναγκαίαν ἔλεγε ταύτην εἶναι τὴν μάθησιν) τούτου μὲν ἀπηλλάγην, ἐπ' ἄλλον δὲ ἧκα Περιπατητικὸν καλούμενον, δριμύν, ὡς ᾤετο. καί μου ἀνασχόμενος οὗτος τὰς πρώτας ἡμέρας, ἠξίου με ἔπειτα μισθὸν ὁρίσαι, ὡς μὴ ἀνωφελὴς ἡ συνουσία γίγνοιτο ἡμῖν. καὶ αὐτὸν ἐγὼ διὰ ταύτην τὴν αἰτίαν κατέλιπον, μηδὲ φιλόσοφον οἰηθεὶς ὅλως. τῆς δὲ ψυχῆς ἔτι μου σπαργώσης ἀκοῦσαι τὸ ἴδιον καὶ τὸ ἐξαίρετον τῆς φιλοσοφίας, προσῆλθον εὐδοκιμοῦντι μάλιστα Πυθαγορείῳ, ἀνδρὶ πολὺ ἐπὶ τῇ σοφίᾳ φρονοῦντι. κἄπειτα, ὡς διελέχθην αὐτῷ,

βουλόμενος ἀκροατὴς αὐτοῦ καὶ συνουσιαστὴς γενέσθαι. Τί δαί; ὡμίλησας, ἔφη, μουσικῇ, καὶ ἀστρονομίᾳ, καὶ γεωμετρίᾳ; ἢ δοκεῖς κατόψεσθαί τι τῶν εἰς εὐδαιμονίαν συντελούντων, εἰ μὴ ταῦτα πρῶτον διδαχθείης· ἃ τὴν ψυχὴν ἀπὸ τῶν αἰσθητῶν περισπάσει, καὶ τοῖς νοητοῖς αὐτὴν παρασκευάσει χρησίμην, ὥστε αὐτὸ κατιδεῖν τὸ καλὸν, καὶ αὐτὸ ὅ ἐστιν ἀγαθόν;· πολλά τε ἐπαινέσας ταῦτα τὰ μαθήματα, καὶ ἀναγκαῖα εἰπὼν, ἀπέπεμπέ με, ἐπεὶ αὐτῷ ὡμολόγησα μὴ εἰδέναι. ἐδυσφόρουν οὖν, ὡς τὸ εἰκὸς, ἀποτυχὼν τῆς ἐλπίδος, καὶ μᾶλλον ἢ ἐπίστασθαί τι αὐτὸν ᾠόμην. πάλιν τε τὸν χρόνον σκοπῶν ὃν ἔμελλον ἐκτρίβειν περὶ ἐκεῖνα τὰ μαθήματα, οὐκ ἠνειχόμην εἰς μακρὰν ἀποτιθέμενος. ἐν ἀμηχανίᾳ δέ μου ὄντος, ἔδοξέ μοι καὶ τοῖς Πλατωνικοῖς ἐντυχεῖν· πολὺ γὰρ καὶ τούτων ἦν κλέος· καὶ δὴ νεωστὶ ἐπιδημήσαντι τῇ ἡμετέρᾳ πόλει συνετῷ ἀνδρὶ, καὶ προύχοντι ἐν τοῖς Πλατωνικοῖς, συνδιέτριβον ὡς τὰ μάλιστα, καὶ προέκοπτον, καὶ πλεῖστον ὅσον ἑκάστης ἡμέρας ἐπεδίδουν. καί με ᾕρει σφόδρα ἡ τῶν ἀσωμάτων νόησις, καὶ ἡ θεωρία τῶν ἰδεῶν ἀνεπτέρου μοι τὴν φρόνησιν, ὀλίγου τε ἐντὸς χρόνου ᾤμην σοφὸς γεγονέναι, καὶ ὑπὸ βλακείας ἤλπιζον αὐτίκα κατόψεσθαι τὸν Θεόν· τοῦτο γὰρ τέλος τῆς Πλάτωνος φιλοσοφίας. καί μου οὕτως διακειμένου, ἐπεί ἔδοξέ ποτε πολλῆς ἠρεμίας ἐμφορηθῆναι, καὶ τὸν τῶν ἀνθρώπων ἀλεεῖναι πάτον, ἐπορευόμην εἴς τι χωρίον οὐ μακρὰν θαλάσσης. πλησίον δέ μου γενομένου ἐκείνου τοῦ τόπου, ἔνθα ἔμελλον ἀφικόμενος πρὸς ἐμαυτῷ ἔσεσθαι, παλαιός τις πρεσβύτης ἰδεῖν οὐκ εὐκαταφρόνητος, πρᾶον καὶ σεμνὸν ἦθος ἐμφαίνων, ὀλίγον ἀποδέων μου, παρείπετο. ὡς δὲ ἐπεστράφην εἰς αὐτὸν, ὑποστὰς, ἐνητένισα δριμύτερον αὐτῷ. καὶ ὅς, Γνωρίζεις με; ἔφη. ἠρνησάμην ἐγώ. Τί οὖν, μοι ἔφη, οὕτως με κατανοεῖς; Θαυ-
34 μάζω, ἔφην, ὅτι ἔτυχες ἐν ταὐτῷ μοι γενέσθαι. οὐ γὰρ προσεδόκησα ὄψεσθαί τινα ἀνθρώπων ἐνθάδε. ὁ δὲ, Οἰκείων τινῶν, φησί μοι, πεφρόντικα. οὗτοι δέ μοί εἰσιν ἀπόδημοι· ἔρχομαι οὖν καὶ αὐτὸς σκοπήσων τὰ περὶ αὐτοὺς, εἰ ἄρα φανήσονταί ποθεν. σὺ δὲ τί ἐνθάδε; ἐμοὶ ἐκεῖνος. Χαίρω, ἔφην, ταῖς τοιαύταις διατριβαῖς· ἀνεμπόδιστος γάρ μοι ὁ διάλογος πρὸς ἐμαυτὸν γίνεται· μὴ ἐναντία δρώσης οὐδενός· φιλολογίᾳ δὲ εὐτυκώτατά ἐστι τὰ τοιάδε χωρία. Φιλολόγος οὖν τις εἶ σὺ, ἔφη, φιλεργὸς δὲ οὐδαμῶς οὐδὲ φιλαλήθης; οὐδὲ πειρᾷ πρακτικὸς εἶναι μᾶλλον ἢ σοφιστής; Τί δ' ἂν, ἔφην ἐγὼ, τούτου μεῖζον ἀγαθὸν ἄν τις ἐργάσαιτο, ἢ δεῖξαι μὲν τὸν λόγον ἡγεμονεύοντα πάντων, συλλαβόντα δὲ, καὶ ἐπ' αὐτῷ ὀχούμενον, καθορᾶν τὴν τῶν ἄλλων πλάνην καὶ τὰ ἐκείνων ἐπιτηδεύματα, ὡς οὐδὲν ὑγιὲς δρῶσιν, οὐδὲ Θεῷ φίλον· ἄνευ δὲ φιλοσοφίας καὶ ὀρθοῦ λόγου οὐκ ἄν τῳ παρείη φρόνησις.

cum eo, auditor eius & familiaris esse volens, egi. Ibi: Quid? inquit ille. Versatusne es in musica, & astronomia, & geometria? an existimas quidquam te perspicere eorum posse, quæ ad beatitudinem conducunt, nisi hæc prius cognoueris; quæ animum a sensibilibus ad intelligibilia percipienda, aptum commodumque reddunt: vt id ipsum quod pulchrum & quod bonum est, contemplari queas? Et cum studia ea magnopere laudasset, necessariaq; esse dixisset, me ita a se dimisit, nam me nescire confessus sum. Ægre igitur hoc tuli, sicut par erat, quod spe excidissem: idque eo magis, quod scire illum aliquid putarem. ac rursum tempus ipsum mecum considerans, quod in disciplinis eis conterendum erat, rem longius differre non sustinui. In huiusmodi vero consilii inopia, placitum mihi est, cum *Platonicis* quoque conuersari. Itaque in vrbe nostra cũ viro prudenti, atque inter Platonicos excellenti, qui non ita pridem eo venerat, plurimum fui, promoui, & maxime quotidie creui. Valde me delectabat incorporeorum notio, & idearum contemplatio mentem meam quasi alis quibusdam altius euehebat. atque intra breue tempus, sapientem me esse factum rebar, illicoque Deum perspecturum esse, per stultã persuasionem sperabã. nam hic Platonis philosophiæ finis est. Ad hunc modum affecto mihi, visum aliquando est solitudine prolixius vti, & vitare hominum vestigia. Proinde locum quẽdam mari proximum petii: a quo cum non multum abessem, vt solus ipse mecum agerem, vetulus quidam senex, aspectu minime contemnendus, lenes simul & graues præ se ferẽs mores, modico me interuallo assectabatur. atque vbi conuersus substiti, & hominem sum acrius intuitus, ille: Nosti-ne me, ait. Negaui id ego. Quid ergo, inquit ille, me ita contẽplaris? Miror, inquã, te hic vna mecum esse. nõ enim in exspectatione mihi fuit, vt hoc loco virum quempiã conspicerem. Ibi ille: Cura me, ait, de quibusdã familiaribus meis, qui peregre sunt profecti, exercet. quapropter & ipse de eis inuestigaturus, si alicunde forsan appareant, huc venio. Tu vero quid rerũ hic? ille mihi dixit. At ego: Deãbulationib⁹, inquã, eiusmodi gaudeo, cũ nihil intercedit solitariis meis colloquutionibus impedimẽti, nihil videlicet aduersi afferẽtibus. & ad rationis ac sermonis excolẽdi studium perficiendum, plurimũ loca talia cõferũt. Sermonis ergo amator quispiã, inquit, tu es: operis amator autẽ haudquaquã, neq; veri studiosus; neque etiã potius operosus, quã sophista & verbosus esse cõtendis? Quid tandem, dixi ego, maius meliusve fecerit quisquam, quam si ostendat Rationem & Verbum veluti principem præire rebus omnibus? Qui vero ipsam consequatur, eique insidens vehatur, ille demum aliorum perspiciat errorem & studia, nihil sani, neque quidquam quod Deo gratum sit, facientium. Absque Philosophia sane & recta ratione, nemini præsto est prudentia,

Idcirco hominem quemque philosophiæ operam dare oportet: atque hoc opus maximum & præstantissimum ducere, cætera vero secunda & tertia: & quæ ex philosophia dependeant, moderata; & quæ cõplectamur, digna. hac autem quæ careant destituanturque studia, ea onerosa esse, & illiberalia. Philosophia igitur beatitudinẽ efficit? subinferens ille dixit. Et maxime; respondi ego: atque ea sola. Quidnam est Philosophia, inquit: & quæ eius beatitudo? Nisi quid dicere prohibet, dicito. *Philosophia* quidem, inquam ego, est eius quod sit entis scientia, & veri cognitio: *Beatitudo* autẽ, scientiæ istius & sapientiæ honorarium. *Deum* vero quid tu dicis? inquit. Quod idem est, & itidem se habet semper, atque aliis, vt sint, vniuersis causa est. id ipsum scilicet est Deus. ita ego illi respondi. Qui cum libens me audiret, sic rursum interrogauit; *Scientia* nõne commune nomen est diuersarum rerum? in artibus namque omnibus, qui earũ aliquã nouit, *Sciens* vocatur: vt imperatoriæ, & gubernatoriæ, & medicæ: atque in diuinis & humanis rebus itidem. an non hoc ita habet? Estne scientia quæpiam, humanorum atque diuinorum præbens notionem? Maxime, inquam. Quid tandẽ? perindene quoq; est, hominem scire Deũ, atque musicam, & arithmeticam, & astronomiam, aut aliquid istiusmodi? Minime gẽtium, dixi. Non recte ergo, inquit ille, mihi respondisti. Quędam enim ex disciplina aut assuetudine aliqua, quædam autem ex visu nobis contingunt scientiæ. nam si tibi quis narret, esse in India animal natura omnibus aliis dissimile, sed huius aut istius modi, multiforme & varium: nõ prius id scias quã videris: ac ne verba quidem de eo vlla facere queas, nisi eum qui viderit, audieris. Non hercle, inquã. Qui itaque recte, ait, de Deo philosophi sentiant, aut veri quidquam dicant, scientiam eius non habentes, vt qui nec viderint, nec audierint illum vnquam? Atqui, inquam, non oculis ipsis, o pater, quemadmodum animantia alia, sic numẽ diuinum cerni; sed sola mente comprehẽdi potest, vt Plato inquit: cui ego fidem habeo. Estne ergo, ait ille, in mente nostra vis quæpiam talis & tanta alicuius cognoscendi, quod non celerius illa per sensum percipiat: aut mens hominis Deũ videbit vnquam, Spiritu sancto non exornata? Dicit etenim Plato, intuli ego, ipsum *Mẽtis oculum* talem esse, & ad hoc nobis datũ, vt hoc ipso sincero ipsum illud quod sit Ens conspicere queamus: quod omnium eorum quæ intelligentia [& sensu] percipiuntur, causa est, neque colorẽ obtinens, neque formam, neque magnitudinem, neq; quidquã quod oculus cernit. Sed idipsum quod sit, quiddã esse dico lõge supra omnem essentiã, incloquibile, ineffabile, solumq; pulchrũ & bonũ.

διὸ χρὴ πάντα ἄνθρωπον φιλοσοφεῖν, καὶ τοῦτο μέγιστον καὶ τιμιώτατον ἔργον ἡγεῖσθαι, τὰ δὲ λοιπὰ δεύτερα καὶ τρίτα· καὶ φιλοσοφίας μὲν ἀπηρτημένα, μέτρια καὶ ἀποδοχῆς ἄξια· στερηθέντα δὲ ταύτης καὶ μὴ παρεπομένης, τοῖς μεταχειριζομένοις αὐτὰ φορτικὰ καὶ βάναυσα. Ἡ οὖν φιλοσοφία εὐδαιμονίαν ποιεῖ; ἔφη ὑποτυχὼν ἐκεῖνος. Καὶ μάλιστα, ἔφην ἐγώ, καὶ μόνη. Τί γάρ ἐστι φιλοσοφία, φησί· καὶ τίς ἡ εὐδαιμονία αὐτῆς, εἰ μή τι κωλύει φράζειν, φράσον. Φιλοσοφία μέν, ἦν δ' ἐγώ, ἐπιστήμη ἐστὶ τοῦ ὄντος, καὶ τοῦ ἀληθοῦς ἐπίγνωσις. εὐδαιμονία δέ, ταύτης τῆς ἐπιστήμης καὶ τῆς σοφίας γέρας. Θεὸν δὲ σὺ τί καλεῖς; ἔφη. Τὸ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ ἔχον, καὶ τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις αἴτιον, τοῦτο δή ἐστιν ὁ Θεός:- οὕτως ἐγὼ ἀπεκρινάμην αὐτῷ· καὶ ἐτέρπετο ἐκεῖνος ἀκούων μου, οὕτως τέ με ἤρετο πάλιν· Ἐπιστήμη οὐκ ἔστι κοινὸν ὄνομα διαφόρων πραγμάτων; ἐν γὰρ ταῖς τέχναις ἁπάσαις ὁ ἐπιστάμενός τούτων τινά, ἐπιστήμων καλεῖται, ἔν τε στρατηγικῇ, καὶ κυβερνητικῇ, καὶ ἰατρικῇ· ὁμοίως ἔν τε τοῖς θείοις καὶ ἀνθρωπείοις. οὐχ οὕτως ἔχει; Ἐπιστήμη τίς ἐστιν ἡ παρέχουσα αὐτῶν τῶν ἀνθρωπίνων καὶ τῶν θείων γνῶσιν. Ἔπειτα τῆς τούτων θειότητος καὶ δικαιοσύνης ἐπίγνωσιν; Καὶ μάλα, ἔφην. Τί οὖν; ὁμοίως ἐστὶν ἄνθρωπον εἰδέναι καὶ Θεόν, ὡς μουσικὴν, καὶ ἀριθμητικὴν, καὶ ἀστρονομίαν, ἤ τι τοιοῦτον; Οὐδαμῶς, ἔφην. Οὐκ ὀρθῶς ἄρα ἀπεκρίθης ἐμοί, ἔφη ἐκεῖνος· αἱ μὲν γάρ, ἐκ μαθήσεως προσγίνονται ἡμῖν, ἢ διατριβῆς τινός· αἱ δὲ, ἐκ τοῦ ἰδεῖν παρέχουσι τὴν ἐπιστήμην. εἴ γέ σοι λέγει τις ὅτι ἐστὶν ἐν Ἰνδίᾳ ζῶον φύσιν οὐχ ὅμοιον τοῖς ἄλλοις πᾶσιν, ἀλλὰ τοῖον ἢ τοῖον, πολυειδὲς καὶ ποικίλον, οὐκ ἂν πρότερον εἰδείης ἢ ἴδοις αὐτό· ἀλλ' οὐδὲ λόγον ἂν ἔχοις εἰπεῖν αὐτοῦ τινά, εἰ μὴ ἀκούσαις τοῦ ἑωρακότος. Οὐ γάρ, φημί. Πῶς οὖν ἄν, ἔφη, περὶ Θεοῦ ὀρθῶς φρονοῖεν οἱ φιλόσοφοι, ἢ λέγοιέν τι ἀληθές, ἐπιστήμην αὐτοῦ μὴ ἔχοντες, μηδὲ ἰδόντες ποτέ, ἢ ἀκούσαντες; Ἀλλ' οὐκ ἔστιν ὀφθαλμοῖς, ἦν δ' ἐγώ, αὐτοῖς πάτερ ὁρατὸν τὸ θεῖον ὡς τὰ ἄλλα ζῶα, ἀλλὰ μόνῳ νῷ καταληπτόν, ὥς φησι Πλάτων, καὶ ἐγὼ πείθομαι αὐτῷ. Ἔστιν οὖν, φησί, τῷ νῷ ἡμῶν τοιαύτη τις καὶ τοσαύτη δύναμις, ὃ μὴ τάχιον δι' αἰσθήσεως ἔλαβεν; ἢ τὸν Θεὸν ἀνθρώπου νοῦς ὄψεταί ποτε, μὴ ἁγίῳ πνεύματι κεκοσμημένος; Φησὶ γὰρ Πλάτων, ἦν δ' ἐγώ, αὐτὸ τοιοῦτον εἶναι τὸ τοῦ νοῦ ὄμμα, καὶ πρὸς τοῦτο ἡμῖν δεδόσθαι, ὡς δύνασθαι καθορᾶν αὐτῷ ἐκεῖνο τὸ ὂν εἰλικρινεῖ αὐτῷ ἐκείνῳ, ὃ τῶν νοητῶν ἁπάντων ἐστὶν αἴτιον, οὐ χρῶμα ἔχον, οὐ σχῆμα, οὐ μέγεθος, οὐδὲ οὐδὲν ὧν ὀφθαλμὸς βλέπει, ἀλλά τι ὂν τοῦτ' αὐτό, φημί, ὂν ἐπέκεινα πάσης οὐσίας, οὔτε ῥητόν, 39
οὔτε ἀγορευτόν, ἀλλὰ μόνον καλὸν καὶ ἀγαθόν,

illico

ἐξαίφνης τοῖς εὖ πεφυκυίαις ψυχαῖς ἐγγινόμενον διὰ τὸ συγγενὲς καὶ ἔρωτα τοῦ ἰδέσθαι. Τίς οὖν ἡμῖν, ἔλεγε, συγγένεια πρὸς τὸν Θεόν ἐστιν; ἢ καὶ ἡ ψυχὴ θεία καὶ ἀθάνατός ἐστι, καὶ αὐτοῦ ἐκείνου τοῦ βασιλικοῦ νοῦ μέρος; ὡς δὲ ἐκεῖνος ὁρᾷ τὸν Θεὸν, οὕτω καὶ ἡμῖν ἐφικτὸν τῷ ἡμετέρῳ νῷ συλλαβεῖν τὸ θεῖον, καὶ τοὐντεῦθεν ἤδη εὐδαιμονεῖν; Πάνυ μὲν οὖν, ἔφην. Πᾶσαι δ᾽ αὐταὶ διὰ πάντων αἱ ψυχαὶ χωροῦσι τῶν ζώων, ἠρώτα, ἢ ἄλλη μὲν ἀνθρώπου, ἄλλη δὲ ἵππου καὶ ὄνου; Οὔκ, ἀλλ᾽ αἱ αὐταὶ ἐν πᾶσίν εἰσιν, ἀπεκρινάμην. Ὄψονται ἄρα, φησὶ, καὶ ἵπποι καὶ ὄνοι, ἢ εἶδόν ποτε τὸν Θεόν; Οὔκ, ἔφην. οὐδὲ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, εἰ μή τις ἐν δίκῃ βιώσεται, καθηράμενος δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ πάσῃ. Οὐκ ἄρα, ἔφη, διὰ τὸ συγγενὲς ὁρᾷ τὸν Θεὸν, οὐδ᾽ ὅτι νοῦς ἐστιν, ἀλλ᾽ ὅτι σώφρων καὶ δίκαιος; Ναὶ, ἔφην, καὶ διὰ τὸ ἔχειν ᾧ νοεῖ τὸν Θεόν. Τί οὖν; ἀδικοῦσί τινα αἶγες ἢ πρόβατα; Οὐδὲν οὐδένα, ἦν δ᾽ ἐγώ. Ὄψονται ἄρα, φησὶ, κατὰ τὸν σὸν λόγον καὶ ταῦτα τὰ ζῶα; Οὔ· τὸ γὰρ σῶμα αὐτοῖς, τοιοῦτον ὄν, ἐμπόδιόν ἐστιν. Εἰ λάβοιεν φωνὴν τὰ ζῶα ταῦτα, ὑπολαβὼν ἐκεῖνος, εὖ ἴσθι ὅτι πολὺ ἂν εὐλογώτερον ἐκεῖνα τῷ ἡμετέρῳ σώματι λοιδοροῖντο· νῦν δ᾽ ἐάσωμεν οὕτως, καὶ σοὶ ὡς λέγεις συγκεχωρήσθω. ἐκεῖνο δέ μοι εἰπὲ, ἕως ἐν τῷ σώματί ἐστιν ἡ ψυχὴ, βλέπει, ἢ ἀπαλλαγεῖσα τούτου; Καὶ ἕως μέν ἐστιν ἐν ἀνθρώπου εἴδει, δυνατὸν αὐτῇ, φημὶ, ἐγγενέσθαι διὰ τοῦ νοῦ· μάλιστα δὲ ἀπολυθεῖσα τοῦ σώματος, καὶ αὐτὴ καθ᾽ ἑαυτὴν γενομένη, τυγχάνει οὗ ἤρα πάντα τὸν χρόνον πάντως. Ἦ καὶ μέμνηται τούτου πάλιν ἐν ἀνθρώπῳ γενομένη; Οὔ μοι δοκεῖ, ἔφην. Τί οὖν ὄφελος ταῖς ἰδούσαις, ἢ τί πλέον τοῦ μὴ ἰδόντος ὁ ἰδὼν ἔχει, εἰ μηδὲ αὐτὸ τοῦτο ὅτι εἶδε μέμνηται; Οὐκ ἔχω εἰπεῖν, ἦν δ᾽ ἐγώ. Αἱ δὲ ἀνάξιαι ταύτης τῆς θέας κριθεῖσαι, τί πάσχουσιν; ἔφη. Εἰς τινα θηρίων ἐνδεσμεύονται σώματα· καὶ αὕτη ἐστὶ κόλασις αὐτῶν. Οἴδασιν οὖν ὅτι διὰ ταύτην τὴν αἰτίαν ἐν τοιούτοις εἰσὶ σώμασι, καὶ ὅτι ἐξήμαρτόν τι; Οὐ νομίζω. Οὐδὲ ταύταις ἄρα ὄφελός τι τῆς κολάσεως, ὡς ἔοικεν. ἀλλ᾽ οὐδὲ κολάζεσθαι αὐτὰς λέγοιμι, εἰ μὴ ἀντιλαμβάνονται τῆς κολάσεως. Οὐ γάρ. Οὔτε οὖν ὁρῶσι τὸν Θεὸν αἱ ψυχαὶ, οὔτε μεταμείβουσιν εἰς ἕτερα σώματα. ᾔδεσαν γὰρ ἂν ὅτι κολάζονται οὕτως, καὶ ἐφοβοῦντο ἂν καὶ τὸ τυχὸν ἐξαμαρτεῖν ὕστερον. νοεῖν δὲ αὐτὰς δύνασθαι ὅτι ἐστὶ Θεὸς, καὶ δικαιοσύνη καὶ εὐσέβεια καλὸν, κἀγὼ συντίθεμαι, ἔφη. Ὀρθῶς λέγεις, εἶπον. Οὐδὲν οὖν ἴσασι περὶ τούτων ἐκεῖνοι οἱ φιλόσοφοι· οὐδὲ γὰρ ὅ τι ποτέ ἐστι ψυχὴ ἔχουσιν εἰπεῖν. Οὐκ ἔοικεν. Οὐδὲ μὴν ἀθάνατον χρὴ λέγειν αὐτήν· ὅτι εἰ ἀθάνατός ἐστι, καὶ ἀγέννητος δηλαδή.

illico bene natis animis insitum, propter cognationem, atque eum quo videre cupit, amorem. Quæ vero, dixit ille, nobis est *cum Deo cognatio?* num & ipsa *Anima* diuina & immortalis est, & illius Imperantis mētis particula? atque vt illa Deum videt, sic & nobis permissum est mēte nostra diuinitatem complecti, & exinde iam nunc beatis esse? Omnino, inquam. Percōtabatur postea ille: In omnibusne animātibus omnes ad mentem eam animæ accedūt; an alia est hominis, alia equi anima, & asini? Minime; sed eædem in omnib. sunt; ego respondi. Videbunt ergo, ait, aut viderunt aliquando Deum & equi & asini? Non, inquā: immo ne multi quidē mortales; nisi illorum quis legitime vixerit, iusticia & reliqua virtute omni lustratus. Ibi ille: Proinde Deum videt, non propter cognationē, neque eo quod mens sit; verum quod castus & iustus. Etiā, inquam, & ob id quoque quod habeat quo Deum intelligat. Quid porro? committuntne per iniuriam capræ & oues in quēquam aliquid? In neminem prorsus quidquam; dixi ego. Videbūt igitur, intulit ille, secūdum rationem tuam, & animātia ista? Non. Corpus enim eis, quod huiusmodi sit, impedimento est. Tum subdēs ille; Si vocem, ait, animalia hæc reciperent, rectiore illa (crede mihi) ratione in corpus nostrum conuicium dicerēt. Verum in præsentia hoc omittamus, ac tibi id, sicuti dicis, concedatur. Illud autem mihi edissere: Animusne, dum in corpore est, an ab hoc liberatus, videt? Quoad in humana est specie, posse illi, dixi, per mētē vidēdi vim inesse: corpore vero is solutus, cum secum ipse est, omni ex parte, eius quem adamauit, quouis tempore potitur. Num vero, cum rursus in homine est, eius meminit? Non mihi videtur, inquam. Quænam tandem vtilitas est eis qui viderint? aut quid amplius præ eo qui nō viderit, is qui vidit, habet, si ne eius quidē quod viderit, meminit? Dicere hoc nō possū; dixi ego. Qui aūt videndi facultate indigni iudicati sūt, quidnā, inquit, patiūtur? In aliqua ferarū corpora velut in carcerē cōiecti vinciūtur; atq; id suppliciū eorū est. Sciuntne, ob eā ipsam causam, & quod aliquid deliquerint, se in huiusmodi esse corporibus? Nō arbitror. Nec his sane vsus [& sensus] aliquis est supplicii, vt videtur: immo ne torqueri quidē eos dixerim, si illati supplicii capaces non sunt. Scilicet. Nō igitur Deū vidēt animi, neq; in alia corpora trāsmigrāt. Scirent namq; excruciari se hoc modo, ac, ne postea vel ingratis peccarēt, metuerent. Intelligere autē eos posse, & Deū esse, & iusticiam atq; religionē pulchritudinē obtinere, ipse quoq; assentio; inquit. Recte narras; dixi. Itaq; nihil de his norunt philosophi illi. neque enim quid tandē Anima sit dicere habēt. Nō videtur. Enimuero nec immortalē eā dicere oportet. nā si immortalis sit, nimirū ingenita quoq; fuerit.

Ingenita autem & immortalis est, de quorundam, qui dicuntur Platonici, sentētia. Num tu quoque *Mundum ingenitum* dicis? Sunt qui hoc asseuerant: ego autē illis nō consentio. Recte. Quam enim rationem habet, corpus solidum, & repercussionem obtinens, & cōpositum, quodque alteratur, & intercidit & nascitur indies, non a principio aliquo ortum esse opinari? Quod si mundus generatus est, animas quoque genitas esse necesse est, & alicubi fortasse esse. nā propter homines & animantia alia, genitæ sint; si seorsum prorsus genitas esse, ac non vna cum corporibus suis eas gigni dicas. Videtur hoc sic recte habere. Non ergo sunt immortales. Non; quandoquidē & mundum genitū esse apparet. Verumenimuero non mori vniuersas animas affirmo. lucrosum nāque hoc esset reuera malis. Quid igitur? Piæ quidem in loco quopiam meliore manēt; iniustæ vero & prauæ, in deteriore, iudicii tempus exspectātes. Hoc namque modo, quæ dignæ sunt vt coram Deo appareant, non moriuntur amplius: illæ autem excruciantur, quoad eas & esse & excruciari vult Deus. Vtrū tale est quod narras, quale & Plato in Timæo subobscure de mundo tradit, corruptioni eum subditum esse dicēs, quatenus generatus est: non iri tamen solutum, neque fatum mortis subiturum, propter voluntatem Dei. An hoc ipsum tibi & de anima, & de rebus simul vniuersis videtur esse promulgatum? Quæcumque, secundum Deum, sunt aut erūt vmquam, ea naturam corruptibilitati obnoxiā obtinent, abolerique & vlterius nō exstare possunt. Solus autem ingenitus & incorruptibilis est Deus, & propterea Deus est. Omnia vero reliqua, genita sunt, & corruptibilia. Qua de causa animæ & moriuntur, & puniuntur. Quandoquidē ingenitæ si essent, neque peccarent, neq; stulticiæ plenæ essent; neq; meticulosæ, ac feroces rursum; sed neque voluntate sua in sues vmquam & serpentes & canes immigrarent. Quin ne cogere quidem eas fas esset; siquidem generatæ non essent. Ingenitum enim ingenito simile est & æquale, idemque adeo cum eo: ac neque potestate neque dignitate alterum alteri præferatur. Quapropter neque multa sunt ingenita. Nam etiamsi quæ in eis esset differentia, minime tamen differentiæ caussam inquisitione tua inuenires: sed ad infinitum semper mentem demittens, in vno tandem defatigatus consisteres ingenito, atque idipsum omnium caussam diceres. Itaque ista, inquā, latuere Platonē & Pythagorā, viros sapiētes, qui nobis veluti murus & columē philosophiæ exstitere. Nihil mihi, ait ille, curæ est Plato, neq; Pythagoras; neq; prorsus (vt semel dicā) eorū quisquam qui talia sunt opinati: *Veritas* nāq; sic habet; quam inde quoque cognoscas. *Anima* scilicet vita est, aut vitam habens. Quod si vita est, aliud quidpiam, non

ἀγέννητος δὲ καὶ ἀθάνατός ἐστι κατά τινας λεγομένους Πλατωνικούς, ἢ καὶ τὸν κόσμον σὺ ἀγέννητον λέγεις; Εἰσὶν οἱ λέγοντες, οὐ μέντοι γε αὐτοῖς συγκατατίθεμαι ἐγώ. Ὀρθῶς ποιῶν. τίνα γὰρ λόγον ἔχει, σῶμα οὕτω στερεὸν καὶ ἀντιτυπίαν ἔχον, καὶ σύνθετον, καὶ ἀλλοιούμενον, καὶ φθῖνον, καὶ γινόμενον ἑκάστης ἡμέρας, μὴ ἀπ' ἀρχῆς τινὸς ἡγεῖσθαι γεγονέναι; εἰ δὲ ὁ κόσμος γεννητὸς, ἀνάγκη καὶ τὰς ψυχὰς γεγονέναι, καὶ οὐκ εἶναί ποι τάχα. διὰ γὰρ τοὺς ἀνθρώπους ἐγένοντο καὶ τὰ ἄλλα ζῶα, εἰ ὅλως κατ' ἰδίαν, καὶ μὴ μετὰ τῶν ἰδίων σωμάτων φήσεις αὐτὰς γεγονέναι. Οὕτως δοκεῖ ὀρθῶς ἔχειν. Οὐκ ἄρα ἀθάνατοι. Οὔκ, ἐπειδὴ καὶ ὁ κόσμος γεννητὸς ἡμῖν ἐφάνη. Ἀλλὰ μὴν οὐδὲ ἀποθνήσκειν φημὶ πάσας τὰς ψυχὰς ἐγώ· ἕρμαιον γὰρ ἦν ὡς ἀληθῶς τοῖς κακοῖς. Ἀλλὰ τί; Τὰς μὲν τῶν εὐσεβῶν, ἐν κρείττονί ποι χώρῳ μένειν, τὰς δὲ ἀδίκους καὶ πονηρὰς ἐν χείρονι, τὸν τῆς κρίσεως ἐκδεχομένας χρόνον τότε. οὕτως αἱ μὲν, ἄξιαι τοῦ Θεοῦ φανεῖσαι, οὐκ ἀποθνήσκουσιν ἔτι· αἱ δὲ, κολάζονται ἔστ' ἂν αὐτὰς καὶ εἶναι καὶ κολάζεσθαι ὁ Θεὸς θέλῃ. Ἆρα τοιοῦτόν ἐστιν ὃ λέγεις, οἷον καὶ Πλάτων ἐν Τιμαίῳ αἰνίσσεται περὶ τοῦ κόσμου, λέγων, ὅτι αὐτὸς μὲν καὶ φθαρτός ἐστιν ᾗ γέγονεν, οὐ λυθήσεται δὲ, οὐδὲ τεύξεται θανάτου μοίρας, διὰ τὴν βούλησιν τοῦ Θεοῦ; τοῦτ' αὐτό σοι δοκεῖ καὶ περὶ ψυχῆς καὶ ἁπλῶς πάντων πέρι λέγεσθαι; Ὅσα γάρ ἐστι μετὰ τὸν Θεὸν ἢ ἔσται ποτὲ, ταῦτα φύσιν φθαρτὴν ἔχειν, καὶ οἷά τε ἐξαφανισθῆναι καὶ μὴ εἶναι ἔτι. μόνος γὰρ ἀγέννητος καὶ ἄφθαρτος ὁ Θεὸς, καὶ διὰ τοῦτο Θεός ἐστι· τὰ δὲ λοιπὰ πάντα μετὰ τοῦτον γεννητὰ καὶ φθαρτά. τούτου χάριν καὶ ἀποθνήσκουσιν αἱ ψυχαὶ καὶ κολάζονται· ἐπεὶ εἰ ἀγέννητοι ἦσαν, οὔτ' ἂν ἐξημάρτανον, οὔτε ἀφροσύνης ἀνάπλεῳ ἦσαν, οὐδὲ δειλαὶ καὶ θρασεῖαι πάλιν· ἀλλ' οὐδὲ ἑκοῦσαί ποτε εἰς σύας ἐχώρουν καὶ ὄφεις καὶ κύνας· οὐδὲ μὴν ἀναγκάζεσθαι αὐτὰς θέμις, εἴπερ εἰσὶν ἀγέννητοι. τὸ γὰρ ἀγέννητον τῷ ἀγεννήτῳ ὅμοιόν ἐστι καὶ ἴσον καὶ ταὐτὸν, καὶ οὔτε δυνάμει οὔτε τιμῇ προκριθείη ἂν θατέρου τὸ ἕτερον· ὅθεν οὐδὲ πολλά ἐστι τὰ ἀγέννητα. εἰ γὰρ διαφορά τις ἦν ἐν αὐτοῖς, οὐκ ἂν εὕροις ἀναζητῶν τὸ αἴτιον τῆς διαφορᾶς, ἀλλ' ἐπ' ἄπειρον ἀεὶ τὴν διάνοιαν πέμπων, ἐπὶ ἑνός ποτε στήσῃ ἀγεννήτου καμὼν, καὶ τοῦτο φήσεις ἁπάντων αἴτιον. Εἶτα ἔλαθε, φημὶ ἐγὼ, Πλάτωνα καὶ Πυθαγόραν σοφοὺς ἄνδρας, οἳ ὥσπερ τεῖχος ἡμῖν καὶ ἔρεισμα φιλοσοφίας ἐξεγένοντο; Οὐδέν ἐμοὶ, ἔφη, μέλει Πλάτωνος, οὐδὲ Πυθαγόρου, οὐδὲ ἁπλῶς οὐδενὸς ὅλως τοιαῦτα δοξάζοντος· τὸ γὰρ ἀληθὲς οὕτως ἔχει. μάθοις δ' ἂν ἐντεῦθεν· ἡ ψυχὴ ἤτοι ζωή ἐστιν, ἢ ζωὴν ἔχει. εἰ μὲν οὖν ζωή ἐστιν, ἄλλό τι ἂν

ποιήσειε ζῆν, οὐχ ἑαυτήν, ὡς καὶ κίνησις ἄλλο τι κινήσειε μᾶλλον ἢ ἑαυτήν. ὅτι δὲ ζῇ ψυχή, οὐδεὶς ἀντείποι. εἰ δὲ ζῇ, οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβάνουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινός, ἐκείνου οὗ μετέχει· ζωῆς δὲ ψυχὴ μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ Θεὸς βούλεται· οὕτως ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν. οὐ γὰρ δι' αὐτῆς ἐστὶ τὸ ζῆν ὡς τοῦ Θεοῦ, ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ διαπαντός ἐστιν, οὐδὲ σύνεστιν ἀεὶ τῇ ψυχῇ τὸ σῶμα, ἀλλ' ὅτι ἂν δέῃ λυθῆναι τὴν ἁρμονίαν ταύτην, καταλείπει ἡ ψυχὴ τὸ σῶμα, καὶ ὁ ἄνθρωπος οὐκ ἔστιν· οὕτως καὶ ὅταν δέῃ τὴν ψυχὴν μηκέτι εἶναι, ἀπέστη ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα, καὶ οὐκ ἔστιν ἡ ψυχὴ ἔτι, ἀλλὰ καὶ αὐτὴ ὅθεν ἐλήφθη, ἐκεῖσε χωρεῖ πάλιν. Τίνι οὖν, φημί, ἔτι τις χρήσαιτο διδασκάλῳ, ἢ πόθεν ὠφεληθείη τις, εἰ μηδὲ ἐν τούτοις τὸ ἀληθές ἐστιν; Ἐγένοντό τινες πρὸ πολλοῦ χρόνου πάντων τούτων τῶν νομιζομένων φιλοσόφων παλαιότεροι, μακάριοι, καὶ δίκαιοι, καὶ θεοφιλεῖς, θείῳ πνεύματι λαλήσαντες, καὶ τὰ μέλλοντα θεσπίσαντες, ἃ δὴ νῦν γίνεται· (προφήτας δὲ αὐτοὺς καλοῦσιν) οὗτοι μόνοι τὸ ἀληθὲς καὶ εἶδον καὶ ἐξεῖπον ἀνθρώποις, μήτ' εὐλαβηθέντες μήτε δυσωπηθέντες τινά, μὴ ἡττημένοι δόξης, ἀλλὰ μόνα ταῦτα εἰπόντες ἃ ἤκουσαν καὶ ἃ εἶδον, ἁγίῳ πληρωθέντες πνεύματι. συγγράμματα δὲ αὐτῶν ἔτι καὶ νῦν διαμένει, καὶ ἔστιν ἐντυχόντα τούτοις πλεῖστον ὠφεληθῆναι καὶ περὶ ἀρχῶν, καὶ περὶ τέλους, καὶ ὧν χρὴ εἰδέναι τὸν φιλόσοφον, πιστεύσαντα ἐκείνοις. οὐ γὰρ μετὰ ἀποδείξεως πεποίηνται τότε τοὺς λόγους, ἅτε ἀνωτέρω πάσης ἀποδείξεως ὄντες ἀξιόπιστοι μάρτυρες τῆς ἀληθείας· τὰ δὲ ἀποβάντα καὶ ἀποβαίνοντα ἐξαναγκάζει συντίθεσθαι τοῖς λελαλημένοις δι' αὐτῶν. καίτοι γε καὶ διὰ τὰς δυνάμεις ἃς ἐπετέλουν, πιστεύεσθαι δίκαιοι ἦσαν· ἐπειδὴ καὶ
57 τὸν ποιητὴν τῶν ὅλων Θεὸν καὶ πατέρα ἐδόξαζον, καὶ τὸν παρ' αὐτοῦ Χριστὸν υἱὸν αὐτοῦ κατήγγελλον· ὅπερ οἱ ἀπὸ τοῦ πλάνου καὶ ἀκαθάρτου πνεύματος ἐμπιπλάμενοι ψευδοπροφῆται οὔτε ἐποίησαν, οὔτε ποιοῦσιν, ἀλλὰ δυνάμεις τινὰς ἐνεργεῖν εἰς κατάπληξιν τῶν ἀνθρώπων τολμῶσι, καὶ τὰ τῆς πλάνης πνεύματα καὶ δαιμόνια δοξολογοῦσιν. εὔχου δέ σοι πρὸ πάντων φωτὸς ἀνοιχθῆναι πύλας. οὐ γὰρ συνοπτὰ οὐδὲ συννοητὰ πᾶσιν ἐστίν, εἰ μή τῳ Θεὸς δῷ συνιέναι καὶ ὁ Χριστὸς αὐτοῦ:- Ταῦτα καὶ ἔτι ἄλλα πολλὰ εἰπὼν ἐκεῖνος, ἃ νῦν καιρὸς οὐκ ἔστι λέγειν, ᾤχετο, κελεύσας διώκειν αὐτά· καὶ οὐκ ἔτι αὐτὸν εἶδον. ἐμοῦ δὲ παραχρῆμα πῦρ ἐν τῇ ψυχῇ ἀνήφθη, καὶ ἔρως εἶχέ με τῶν προφητῶν, καὶ τῶν ἀνδρῶν ἐκείνων οἵ εἰσι Χριστοῦ φίλοι· διαλογιζόμενός τε

non seipsam, viuere fa[...]: sicut & motio aliud quidpiã potius quam seipsam mouet. Porro animã viuere, nemo infitias iuerit. Sin viuit, non quod vita sit, viuit; sed quod vitã accipiat. Aliud sane est quod participat quidquã, ab eo vnde participat. Vitam vero anima participat, quoadusq; eã Deus vult viuere: ita videlicet aliquãdo nõ participabit, cũ eam viuere nolet. Nõ enim ita per seipsam ei vita est, sicut per seipsũ Deo. verũ quemadmodũ homo nõ semper cõstat, neq; perpetuo corpus cũ anima cõiũctũ est: sed cũ solui oportet harmoniam, & conueniẽtẽ hãc cõpositionẽ, anima a corpore diuertit, atque homo non cõstat: ita quoq; quãdo animã nõ esse oportet, discedit ab ea spiritus vitalis: & anima nõ amplius exstat, sed & ipsa vnde accepta est, eo reuertitur. Quo ergo tandẽ aliquis, inquã, vtatur doctore: aut vnde vtilitas quæpiam proueniat, si in his verũ nõ est? Exstiterunt quidam ante multa tempora, omnibus istis qui habiti sunt philosophis longe vetustiores, beati, iusti, Dei amantes, Deoque ipsi cari homines, diuini spiritus afflatu loquentes, & futura vaticinantes, quæ nunc ad rem conferuntur: *Prophetas* eos vocant. Hi soli, quid in vero sit, & viderunt, & hominibus renunciarunt; nequid obseruantes neque metuentes quẽquam, neque gloriæ cupiditate victi: Ea quippe dumtaxat sunt proloquuti quę audierunt & viderunt, Spiritu sancto repleti. Libri vero eorum etiam nunc exstant. quos si quis legat, eisque fidem habeat, plurimum etiam inde ferat emolumenti de principiis, & de fine, & de aliis quæ Philosophum scire oportet. Minime namque tum illi per demonstrationes scripta sua composuere; vt qui longissime supra demonstrationem omnem, locupletes & idonei fuerint veritatis testes. Porro & quæ euenerunt, & quæ eueniunt, necessitatem secum afferunt, assentiri eis quę ab illis sunt dicta. Quin & propter virtutes & miracula quæ edidere, vt eis crederetur, digni reperti sunt. Opificem certe quidem vniuersitatis huius Deum & patrem laudibus extulerunt, & eum qui ab illo missus est, CHRISTVM filium eius annunciauerũt. quod certe, qui seductore & impuro spiritu repleti sunt, *Pseudoprophetæ* neque fecerunt, neque faciunt: sed virtutes illi prodigiaque quædam, terrendorum atque ad stuporem adducendorũ hominum gratia efficere audent, & impostura spiritus atque dæmonia magnifice deprædicant. At tu votis & precibus, tibi ante omnia lucis portas aperiri opta. Neque enim ab aliquibus perspiciuntur atque intelligũtur, præterquam si cui Deus & CHRISTVS eius concesserint intelligentiam. Hæc atque his longe plura alia cum ille disseruisset, & persequi ea iussisset quæ nunc commemorare tempus non est, abiit: eumque postea non vidi. Confestim vero in animo meo ardor excitatus est, & amor me inuasit Prophetarum, & virorum illorũ qui CHRISTO cari sunt & amici. Ac reuoluẽs

ipse mecum disputationẽ illius, *hanc ipsam solam comperi esse certam atque vtilem philosophiam.* Atque ad hunc modũ, & per hæc ipsa, ego philosophus prodii. Peruelim profecto omnes eandem mecum ineũtes animo rationem, non alienos esse a Seruatoris doctrina. Timorẽ nãq; quẽdam in se habet, & idonea est ad terrendos persuadendosq; eos qui a recta transuersim sunt acti via: & qui in ea se exercent, suauissima eis contingit quies. Itaque tibi quoque a re tanta non alieno, si qua est de teipso cura, salutemq; affectas, atque Deo confidis, facultas adest, vt & CHRISTVM Dei cognoscas, & ad perfectionem deductus, beatitudinem cõsequare. Hæc cum dixissem, Põpei carissime, Tryphonis amici in risum proruperũt. ipse autem subridẽs: Alia quidem tua accipio, & ardorem quẽ de numine diuino obtines, admiror. Præstabilius vero fuerat, te adhuc Platonis aut alterius cuiuspiã assectari philosophiã, fortitudinẽ, & continẽtiam, & castitatem colentem; quam verbis falsis in errorem abduci, & hominibus adhærere nullius bonę rei. nam si in illo philosophiæ perstitisses genere, atque extra reprehẽsionem vixisses, reliqua tibi esset spes sortis melioris. Postquam autẽ Deum reliquisti, & in homine sperare cœpisti, quænam tibi restat salus? Proinde si me quoq; vis audire, (pro amico enim iam te habeo) fac primum vt circumcidaris: deinde, ita vt lege cautũ est, sabbatum serua, & dies festos, & neomenias nouiluniaque Dei; atque, vt paucis dicã, quæ in lege sancita & scripta sunt, exsequere omnia: & tum forsitan tibi misericordia a Deo continget. CHRISTVS autẽ, si quidẽ natus est, & alicubi exstat, ignotus est. Ac ne ipse quidẽ seipsum scit, neq; potestate aliqua præditus est; donec adueniens Elias illum vnxerit, & manifestum omnibus reddiderit. Vos vero auditionẽ inanem postquam excepistis, CHRISTVM vobis quendã fingitis, & illius gratia præsentis vitæ cõmoda inconsiderate perditis. Ignoscatur, o homo, inquã, ac venia detur tibi: nõ equidem quid dicas, nosti: sed Rabinis & magistris obsequẽs, qui Scripturas non intelligunt, ac perinde atque vates responso edendo nihil pensi habens, quicquid tibi in mentem venit, loqueris. Quod si rationem rei huius admittere atque suscipere velis, [intelligas profecto] minime nos in errorẽ seductos esse, neque vmquam illum profiteri desituros, quamuis nobis ab hominibus ingerantur probra & conuicia, & grauissimus renunciandi atque recantandi intentet necessitatẽ tyrannus. Assistenti namq; tibi & auscultanti probabo, non vanis nos fidem habuisse fabulis, neq; demonstrationis expertibus assertionibus; sed spiritu diuino plenis, virtuteque scatẽtibus, & gratia florentib. Riserũt ergo denuo comites eius, atq; incõditũ quiddã sunt vociferati. Et ego resiliẽs, meq; cõponẽs, abire volebã. Ipse autẽ Trypho me pallio retinẽs, nõ prius dimissũ iri dixit, quã promissũ exsoluissẽ. Itaq;, inquã, nõ tumul-

περὶ ἐμαυτὸν τοὺς λόγους αὐτοῦ, ταύτην μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον. οὕτως δὴ καὶ διὰ ταῦτα φιλόσοφος ἐγώ. βουλοίμην δ' ἂν καὶ πάντας ἴσον ἐμοὶ θυμὸν ποιησαμένους, μὴ ἀφίστασθαι τῶν τοῦ σωτῆρος λόγων. δέος γάρ τι ἔχουσιν ἐν ἑαυτοῖς, καὶ ἱκανοὶ δυσωπῆσαι τοὺς ἐκτρεπομένους τῆς ὀρθῆς ὁδοῦ, ἀνάπαυσίς τε ἡδίστη γίνεται τοῖς ἐκμελετῶσιν αὐτούς. εἰ οὖν τι καὶ σοὶ περὶ σεαυτοῦ μέλει, καὶ ἀντιποιῇ σωτηρίας, καὶ ἐπὶ τῷ Θεῷ πέποιθας, ἅπερ οὐκ ἀλλοτρίῳ τοῦ πράγματος, πάρεστιν ἐπιγνόντι σοι τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ τελείῳ γινομένῳ, εὐδαιμονεῖν. Ταῦτά μου φίλτατε εἰπόντος, οἱ μὲν τοῦ Τρύφωνος ἀνεγέλασαν· αὐτὸς δὲ ὑπομειδιάσας, Τὰ μὲν ἄλλα σου, φησὶν, ἀποδέχομαι, καὶ ἄγαμαι τῆς περὶ τὸ θεῖον ὁρμῆς· ἄμεινον δὲ ἦν φιλοσοφεῖν ἔτι σε τὴν Πλάτωνος ἢ ἄλλου του φιλοσοφίαν, ἀσκοῦντα καρτερίαν καὶ ἐγκράτειαν καὶ σωφροσύνην, ἢ λόγοις ἐξαπατηθῆναι ψευδέσι, καὶ ἀνθρώποις ἀκολουθῆσαι οὐδενὸς ἀξίοις. μένοντι γάρ σοι ἐν ἐκείνῳ τῷ τῆς φιλοσοφίας τρόπῳ, καὶ ζῶντι ἀμέμπτως, ἐλπὶς ὑπελείπετο ἀμείνονος μοίρας· καταλιπόντι δὲ τὸν Θεὸν, καὶ εἰς ἄνθρωπον ἐλπίσαντι, ποία ἔτι περιλείπεται σωτηρία; εἰ οὖν καὶ ἐμοῦ θέλεις ἀκοῦσαι, (φίλον γάρ σε ἤδη νενόμικα) πρῶτον μὲν περιτεμοῦ, εἶτα φύλαξον ὡς νενόμισται τὸ σάββατον, καὶ τὰς ἑορτὰς, καὶ τὰς νουμηνίας τοῦ Θεοῦ, καὶ ἁπλῶς τὰ ἐν τῷ νόμῳ γεγραμμένα πάντα ποίει, καὶ τότε σοι ἴσως ἔλεος ἔσται παρὰ Θεοῦ. Χριστὸς δὲ εἰ καὶ γεγένηται, καὶ ἔστι που, ἄγνωστός ἐστι, καὶ οὐδὲ αὐτός πω ἑαυτὸν ἐπίσταται, οὐδὲ ἔχει δύναμίν τινα, μέχρις ἂν ἐλθὼν Ἠλίας χρίσῃ αὐτὸν, καὶ φανερὸν πᾶσι ποιήσῃ. ὑμεῖς δὲ ματαίαν ἀκοὴν παραδεξάμενοι, Χριστὸν ἑαυτοῖς τινα ἀναπλάσσετε, καὶ αὐτοῦ χάριν τὰ νῦν ἀσκόπως ἀπόλλυσθε. Συγγνώμη σοι, ἔφην, ὦ ἄνθρωπε. καὶ ἀφεθείη σοι. οὐ γὰρ οἶδας ὃ λέγεις· ἀλλὰ πειθόμενος τοῖς διδασκάλοις οἳ οὐ συνιᾶσι τὰς γραφὰς, καὶ ἀπομαντευόμενος λέγεις ὅ τι ἄν σοι ἐπὶ θυμὸν ἔλθοι. εἰ δὲ βούλοιο τούτου περὶ δέξασθαι λόγον, ὡς οὐ πεπλανήμεθα, οὐδὲ παυσόμεθα ὁμολογοῦντες τοῦτον, κἂν τὰ ἐξ ἀνθρώπων ἡμῖν ἐπιφέρωνται ὀνείδη, κἂν ὁ δεινότατος ἀπειπεῖν ἀναγκάζῃ τύραννος. παρεστῶτι γὰρ δείξω, ὅτι οὐ κενοῖς ἐπιστεύσαμεν μύθοις, οὐδὲ ἀναποδείκτοις λόγοις, ἀλλὰ μεστοῖς πνεύματος θείου καὶ δυνάμει βρύουσι, καὶ τεθηλόσι χάριτι. ἀνεγέλασαν οὖν πάλιν οἱ μετ' αὐτοῦ, καὶ ἄκοσμον ἀνεφθέγγοντο. ἐγὼ δὲ ἀναστὰς, οἷός τ' ἤμην ἀπέρχεσθαι· ὁ δέ μου τοῦ ἱματίου λαβόμενος, οὐ πρὶν ἀνύσειν ἔφη, πρὶν ὃ ὑπεσχόμην ἐκτελέσαι. Μὴ οὖν, ἔφην, θορυβείτω-

σαν οἱ ἑταῖροί σου, μηδὲ ἀσχημονείτωσαν οὕτως. ἀλλ' εἰ μὲν βούλονται, μετὰ ἡσυχίας ἀκροάσθωσαν· εἰ δὲ καὶ ἀσχολία τις αὐτοῖς ὑπέρτερος ἐμποδών ἐστιν, ἀπίτωσαν· ἡμεῖς δὲ, ὑποχωρήσαντές ποι καὶ ἀναπαυσάμενοι, περαίνωμεν τὸν λόγον. ἔδοξε
38 καὶ τῷ Τρύφωνι οὕτως ἡμᾶς ποιῆσαι· καὶ δὴ ἐκνεύσαντες, εἰς τὸ μέσον τοῦ ξυστοῦ στάδιον ἤειμεν· τῶν δὲ σὺν αὐτῷ δύο χλευάσαντες, καὶ τὴν σπουδὴν ἡμῶν ἐπισκώψαντες, ἀπηλλάγησαν. ἡμεῖς δὲ, ὡς ἐγενόμεθα ἐν ἐκείνῳ τῷ τόπῳ ἔνθα ἑκατέρωθεν λίθινοί εἰσι θῶκοι, ἐν τῷ ἑτέρῳ καθεσθέντες οἱ μετὰ τοῦ Τρύφωνος, ἐμβαλόντος τινὸς αὐτῶν λόγον περὶ τοῦ κατὰ τὴν Ἰουδαίαν γενομένου πολέμου, διελάλουν. ὡς δὲ ἐπαύσαντο, ἐγὼ οὕτως αὐτοῖς πάλιν ἠρξάμην, Μὴ ἄλλό τι ἐστὶν ὃ ἐπιμέμφεσθε ἡμᾶς, ἄνδρες φίλοι, ἢ τοῦτο, ὅτι οὐ κατὰ τὸν νόμον βιοῦμεν, οὐδὲ ὁμοίως τοῖς προγόνοις ὑμῶν περιτεμνόμεθα τὴν σάρκα, οὐδὲ ὡς ὑμεῖς σαββατίζομεν; ἢ καὶ ὁ βίος ἡμῶν καὶ τὸ ἦθος διαβέβληται παρ' ὑμῖν; τοῦτο δ' ἐστὶν ὃ λέγω, μὴ καὶ ὑμεῖς πεπιστεύκατε περὶ ἡμῶν, ὅτι δὴ ἐσθίομεν ἀνθρώπους, καὶ μετὰ τὴν εἰλαπίνην ἀποσβεννύντες τοὺς λύχνους, ἀθέσμοις μίξεσιν ἐγκυλιόμεθα; ἢ αὐτὸ τοῦτο καταγινώσκετε ἡμῶν μόνον, ὅτι τοιούτοις προσέχομεν λόγοις, καὶ οὐκ ἀληθεῖ ὡς οἴεσθε πιστεύομεν δόξῃ; Τοῦτ' ἐστὶν ὃ θαυμάζομεν, ἔφη ὁ Τρύφων· περὶ δὲ ὧν οἱ πολλοὶ λέγουσιν, οὐ πιστεῦσαι ἄξιον· πόρρω γὰρ κεχώρηκε τῆς ἀνθρωπίνης φύσεως. ὑμῶν δὲ καὶ τὰ ἐν τῷ λεγομένῳ εὐαγγελίῳ παραγγέλματα θαυμαστὰ οὕτως καὶ μεγάλα ἐπίσταμαι εἶναι, ὡς ὑπολαμβάνειν μηδένα δύνασθαι φυλάξαι αὐτά· ἐμοὶ γὰρ ἐμέλησεν ἐντυχεῖν αὐτοῖς· ἐκεῖνο δὲ ἀποροῦμεν μάλιστα, εἰ ὑμεῖς, εὐσεβεῖν λέγοντες, καὶ τῶν ἄλλων οἰόμενοι διαφέρειν, κατ' οὐδὲν αὐτῶν ἀπολείπεσθε, οὐδὲ διαλλάσσετε ἀπὸ τῶν ἐθνῶν τὸν ὑμέτερον βίον, ἐν τῷ μήτε τὰς ἑορτὰς, μήτε τὰ σάββατα τηρεῖν, μήτε τὴν περιτομὴν ἔχειν, καὶ ἔτι ἐπ' ἄνθρωπον σταυρωθέντα τὰς ἐλπίδας ποιούμενοι· ὅμως ἐλπίζετε τεύξεσθαι ἀγαθοῦ τινὸς παρὰ τοῦ Θεοῦ, μὴ ποιοῦντες αὐτοῦ τὰς ἐντολάς. ἢ οὐκ ἀνέγνως ὅτι ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ἥτις οὐ περιτμηθήσεται τῇ ὀγδόῃ ἡμέρᾳ; ὁμοίως δὲ καὶ περὶ τῶν ἀλλογενῶν, καὶ περὶ τῶν ἀργυρωνήτων διέσταλται. ταύτης οὖν τῆς διαθήκης εὐθέως καταφρονήσαντες ὑμεῖς, ἀμελεῖτε καὶ τῶν ἔπειτα, καὶ πείθειν ἡμᾶς ἐπιχειρεῖτε ὡς εἰδότες τὸν Θεὸν, μηδὲν πράσσοντες ὧν οἱ φοβούμενοι τὸν Θεόν. εἰ οὖν ἔχεις πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ ἐπιδεῖξαι ᾧτινι τρόπῳ ἐλπίζετε ὁτιοῦν, κἂν μὴ φυλάσσοντες τὸν νόμον, τοῦτό σου ἡδέως ἀκούσαιμεν μάλιστα, καὶ τὰ ἄλλα δὲ ὁμοίως συνεξετάσαιμεν. Οὔτε ἔσται ποτὲ ἄλλος Θεὸς, ὦ Τρύφων, οὔτε ἦν ἀπ' αἰῶνος, (ἐγὼ οὕτως πρὸς αὐτὸν) πλὴν τοῦ ποιήσαντος καὶ διατάξαντος τόδε τὸ πᾶν·

tumultuentur sodales tui, neque ita indecore se gerant: verum, si quidem volunt, quieti tacitique audiāt: Sin occupationes eis aliquæ grauiores obstant, abeant: nos aūt digredientes quopiā, atq; considētes, disputationē exsequamur. Cōplacuitum est Tryphoni quoq;, vt hoc a nobis fieret. Itaque diuertentes in stadiū, quod in xysto medium est, venimus. Ex amicis autē eius duo, qui sannis studiū nostrum ridebāt, & cauillis ludebant, abiere. Nos vero, vbi in eo loco fuimus in quo vtrimque saxea sunt sedilia, in altera parte Tryphonis comites residentes, de bello Iudaico cū quidam ex ipsis mentionē eius intulisset, agebant. Postquā aūt eiusmodi sermonis finē fecere, ita rursum apud eos sum exorsus: Num aliud quidquā est, peccati nobis viri, quod in nobis reprehenditis, præterquā quod ex præscripto legis nō viuimus; neque itidē vt maiores vestri, carne circumcidimur; neque, sicuti vos, sabbata & ferias agimus? vtrū vita quoque, & mores nostri, apud vos in crimen vocantur? hoc autem est quod dico, an vos etiā de nobis credistis, homines nos vorare; & post epulū, lucernis exstinctis, nefario promiscue concubitu inuolui? aut hoc vnum in nobis damnatis, quod disciplinæ huiuscemodi dediti simus, falsæque, sicuti putatis, credamus opinioni? Hoc ipsum est, inquit Trypho, quod miramur. Quæ vero a multis iactantur, indigna sunt fide. lōge enim a natura humana absunt. Vestra sane, quæ in Euangelio quod dicitur, sunt præcepta, tā magna & admiranda esse nouimus, vt suspicio nostra sit, a nemine illa seruari posse. Incessit enim ea cura mihi, vt legerem. Illud certe quidem ambigendo maxime miramur, vos, qui veram iactatis religionē, & aliis hominib. præstare vultis, cum nihil ab eis varietis, & vita degenda nihil a gentibus differatis: vtpote qui neque festos dies neque sabbata seruetis, neque circumcisionem habeatis, atque insuper in homine crucifixo spē collocetis: cōfidere nihilominus, consequuturos esse boni quidquā a Deo mandata eius nō exsequētes. Nonne legisti, deletū iri animam illam ex genere suo, quæ non circumciderur octauo die? Atq; hoc ex æquo & de alienigenis & de empticiis sancitū est. Hoc ergo fœdus & testamētum vos statim floccifacientes, nullam etiam sequētium [mandatorum] habetis rationē: & vobis ipsis persuasum itis, vos Deum nosse: nihil eorum facientes, quæ Deum timentes præstant. Porro si quid contra hæc quod per defensionem afferas, & quanam ratione quidquā, legem non seruantes, speretis, ostendas habes: id ipsum quamlibētissime audiuerimus, ac deinceps alia quoq; similiter inuestigauerimus. Neq; vnquā alius erit, o Trypho, neq; a cōdito seculo fuit (ego sic ad illū) De⁹, præter eū q fecit ac disposuit vniuersitatē istā,

neque alium nostrum neque alium vestrũ ducimus Deum: sed illum ipsum, qui eduxit patres vestros ex terra Ægypti, in manu forti & brachio excelso. neque in aliũ quemquam speramus: (non enim exstat) verum in eum in quem & vos, Deũ Abrae & Isaaci, & Iacobi. Speramus autẽ non per Mosen, neque per legem: sic namque vobiscum faceremus. At nunc (legi enim, o Trypho) futuram fuisse legem posteriorem, ac testamentum multo omnium firmissimæ auctoritatis; idipsum testamentum (inquam) nunc seruare oportet mortales omnes, quicumque ad hæreditatem Dei capessendam aspirant. Quæ namque in Oreb promulgata lex est, vetus iã, & vestra dumtaxat est: hæc autem, cõmunis est prorsus vniuersorum: siquidem lex aduersus legem lata, antiquiorem recentior abolet: & posterius testamentũ priori similiter derogat. Postrema vero & sempiterna lex nobis data est, CHRISTVS: atque item Testamentum fidele. post quod Testamentum, iam non lex, non præceptum, non mandatum erit vllum. An tu ea nõ legisti quæ dixit Esaias: *Audite me, audite me populus meus: & Reges aures adhibete mihi: Quoniam lex a me exibit, & iudiciũ meũ in lucem gentiũ. Appropinquat celeriter iustitia mea, & egredietur Salutare meum, & in brachiũ meum gentes sperabunt.* [*me insulæ exspectabunt, & brachium meũ sustinebunt*] Ac per Hieremiam Deus de nouo hoc Testamento ita inquit: *Ecce dies venient, dicit Dominus: & testabor domui Israel, & domui Iuda testamentum nouum: non quod testatus sum patribus eorum, in die cum apprehenderem manum ipsorũ, vt educerem eos ex terra Ægypti.* Itaq; si Deus Testamentum nouum dispositum iri annunciauit, idque in lucem gẽtium: cernimus autem, persuasumque habemus, per nomẽ ipsius crucifixi IESV CHRISTI, ab idolis atque omnis generis iniquitate homines ad Deum accedere, & ad mortem vsque in professione perseuerare, pietatemque veram colere: ex operibus videlicet ipsis, & quæ consequitur virtute, facile omnes intelligere possunt, hanc ipsam esse nouam legem, & testamentum recẽs, atque exspectationem eorum qui ex nationibus vniuersis præstolantes, a Deo bona expetunt. Nos enim verum & spirituale Israeliticum, ipsius Iacobi & Isaaci & Abrahæ (qui in præputio, propter fidem, testimonium habuit, benedictionemque accepit, ac Pater multarum gẽtium a Deo vocatus est) genus sumus, per crucifixum CHRISTVM ad Deum perducti: quemadmodum in progressu orationis demonstrabitur. Dixi præterea, & allegaui alio etiam loco Esaiam proclamare: *Audite verba mea, & viuet anima vestra: & testabor vobis testamentum sempiternum, sancta Dauidis fidelia: Ecce testem populis dedi eum. Gentes quæ non nouerunt te, inuocabunt te.*

οὐδὲ ἄλλον μὲν ἡμῶν, ἄλλον δὲ ὑμῶν ἡγούμεθα Θεόν, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν ἐξαγαγόντα τοὺς πατέρας ὑμῶν ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ· οὐδ' εἰς ἄλλον τινὰ ἠλπίκαμεν· οὐ γὰρ ἔστιν· ἀλλ' εἰς τοῦτον εἰς ὃν καὶ ὑμεῖς, τὸν Θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ἠλπίσαμεν δὲ οὐ διὰ Μωσέως, οὐδὲ διὰ τοῦ νόμου. ἢ γὰρ ἂν τὸ αὐτὸ ὑμῖν ἐποιοῦμεν· νυνὶ δέ, ἀνέγνων γάρ, ὦ Τρύφων, ὅτι ἔσοιτο καὶ τελευταῖος νόμος, καὶ διαθήκη κυριωτάτη πασῶν, ἣν νῦν δέον φυλάσσειν πάντας ἀνθρώπους, ὅσοι τῆς τοῦ Θεοῦ κληρονομίας ἀντιποιοῦνται. ὁ γὰρ ἐν Χωρὴβ, παλαιὸς ἤδη νόμος, καὶ ὑμῶν μόνων· ὁ δέ, πάντων ἁπλῶς· νόμος δὲ κατὰ νόμου τεθείς, τὸν πρὸ αὐτοῦ ἔπαυσε· καὶ διαθήκη μετέπειτα γενομένη τὴν προτέραν ὁμοίως ἔστησεν· αἰώνιός τε ἡμῖν νόμος καὶ τελευταῖος, ὁ Χριστὸς ἐδόθη, καὶ ἡ διαθήκη πιστή, μεθ' ἣν οὐ νόμος, οὐ πρόσταγμα, οὐκ ἐντολή. ἢ σὺ ταῦτα οὐκ ἀνέγνως ἅ φησιν Ἡσαΐας; Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου· καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε· ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν· ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται τὸ σωτήριόν μου, 39 καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσι:- καὶ διὰ Ἰερεμίου περὶ ταύτης αὐτῆς τῆς καινῆς διαθήκης οὕτω φησίν· Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος· καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐχ ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ᾗ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου:- Εἰ οὖν ὁ Θεὸς διαθήκην καινὴν ἐκήρυξε μέλλειν καινὴν διατίθεσθαι, καὶ ταύτην εἰς φῶς ἐθνῶν, ὁρῶμεν δὲ καὶ πεπείσμεθα διὰ τοῦ ὀνόματος αὐτοῦ τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ, ἀπὸ τῶν εἰδώλων καὶ τῆς ἄλλης ἀδικίας προσελθόντας τῷ Θεῷ, καὶ μέχρι θανάτου ὑπομένοντας τὴν ὁμολογίαν καὶ εὐσέβειαν ποιεῖσθαι, καὶ ἐκ τῶν ἔργων, καὶ ἐκ τῆς παρακολουθούσης δυνάμεως συνιέναι πᾶσι δυνατὸν ὅτι οὗτός ἐστιν ὁ καινὸς νόμος, καὶ ἡ καινὴ διαθήκη, καὶ ἡ προσδοκία τῶν ἀπὸ πάντων τῶν ἐθνῶν ἀναμενόντων τὰ παρὰ τοῦ Θεοῦ ἀγαθά. Ἰσραηλιτικὸν γὰρ τὸ ἀληθινόν, πνευματικόν, καὶ Ἰούδα γένος, καὶ Ἰακώβ, καὶ Ἰσαάκ, καὶ Ἀβραὰμ τοῦ ἐν ἀκροβυστίᾳ ἐπὶ τῇ πίστει μαρτυρηθέντος ὑπὸ τοῦ Θεοῦ, καὶ εὐλογηθέντος, καὶ πατρὸς πολλῶν ἐθνῶν κληθέντος, ἡμεῖς ἐσμὲν οἱ διὰ τούτου τοῦ σταυρωθέντος Χριστοῦ τῷ Θεῷ προσαχθέντες, ὡς καὶ προκοπτόντων ἡμῖν τῶν λόγων ἀποδειχθήσεται. Ἔλεγον δὲ ἔτι καὶ προσέφερον, ὅτι καὶ ἐν ἄλλοις λόγοις Ἡσαΐας βοᾷ, Ἀκούσατέ μου τοὺς λόγους, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν· καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μάρτυρα αὐτὸν ἔθνεσι δέδωκα· ἔθνη ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε·

Populũ

λαοὶ οἳ οὐκ ἐπίστανταί σε, καταφεύξονται ἐπὶ σὲ· ἕνεκεν τοῦ Θεοῦ σου τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε. τοῦτον αὐτὸν ὑμεῖς ἠτιμάσατε τὸν νόμον, καὶ τὴν καινὴν ἁγίαν αὐτοῦ διαθήκην ἐφαυλίσατε· καὶ οὐδὲ νῦν παραδέχεσθε, οὐδὲ μετανοεῖτε πράξαντες κακῶς. ἔτι γὰρ τὰ ὦτα ὑμῶν πέφρακται, οἱ ὀφθαλμοὶ ὑμῶν πεπήρωνται, καὶ πεπάχυνται ἡ καρδία, κέκραγεν Ἱερεμίας, καὶ οὐδ᾽ οὕτως ἀκούετε. πάρεστιν ὁ νομοθέτης, καὶ οὐχ ὁρᾶτε· πτωχοὶ εὐαγγελίζονται, τυφλοὶ βλέπουσι, καὶ οὐ συνίετε. δευτέρας ἤδη χρεία περιτομῆς, καὶ ὑμεῖς ἐπὶ τῇ σαρκὶ μέγα φρονεῖτε. σαββατίζειν ὑμᾶς ὁ καινὸς νόμος διαπαντὸς ἐθέλει, καὶ ὑμεῖς μίαν ἀργοῦντες ἡμέραν, εὐσεβεῖν δοκεῖτε, μὴ νοοῦντες διὰ τί ὑμῖν προσετάγη· καὶ ἐὰν ἄζυμον ἄρτον φάγητε, πεπληρωκέναι τὸ θέλημα τοῦ Θεοῦ φατέ. οὐκ ἐν τούτοις εὐδοκεῖ Κύριος ὁ Θεὸς ἡμῶν· εἴ τις ἐστὶν ἐν ὑμῖν ἐπίορκος ἢ κλέπτης, παυσάσθω. εἴ τις μοιχὸς, μετανοησάτω, καὶ σεσαββάτικε τὰ τρυφερὰ καὶ ἀληθινὰ σάββατα τοῦ Θεοῦ. εἴ τις καθαρὰς οὐκ ἔχει χεῖρας, λουσάσθω, καὶ καθαρός ἐστιν. οὐ γὰρ δή γε εἰς βαλανεῖον ὑμᾶς ἔπεμπεν Ἡσαΐας ἀπολουσομένους ἐκεῖ τὸν φόνον καὶ τὰς ἄλλας ἁμαρτίας, οὓς οὐδὲ τὸ τῆς θαλάσσης ἱκανὸν πᾶν ὕδωρ καθαρίσαι· ἀλλὰ, ὡς εἰκὸς, πάλαι τοῦτ᾽ ἐκεῖνο τὸ σωτήριον λουτρὸν ἦν, ὃ εἵπετο τοῖς μεταγινώσκουσι· καὶ μηκέτι αἵμασι τράγων καὶ προβάτων, ἢ σποδῷ δαμάλεως, ἢ σεμιδάλεως προσφοραῖς καθαριζομένους, ἀλλὰ πίστει διὰ τοῦ αἵματος τοῦ Χριστοῦ καὶ τοῦ θανάτου αὐτοῦ, ὃς διὰ τοῦτ᾽ ἀπέθανεν, ὡς αὐτὸς Ἡσαΐας ἔφη, οὕτω λέγων, Ἀποκαλύψει Κύριος τὸν βραχίονα αὐτοῦ τὸν ἅγιον ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἔθνη καὶ τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ Θεοῦ. ἀπόστητε, ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε· ἐξέλθετε ἐκ μέσου αὐτῆς· ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη Κυρίου, ὅτι οὐ μετὰ ταραχῆς πορεύσεσθε. πρεπορεύσεται γὰρ πρὸ προσώπου ὑμῶν Κύριος, καὶ ὁ ἐπισυνάγων ὑμᾶς Κύριος ὁ Θεὸς Ἰσραήλ. ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα· ὃν τρόπον ἐκστήσονται πολλοὶ ἐπὶ σέ· οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου· οὕτω θαυμασθήσονται ἔθνη πολλὰ ἐπ᾽ αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ· ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς

Populi qui nesciunt te, confugient ad te, propter Deum tuũ Sanctum Israelis. quoniam glorificauit te. Hanc ipsam vos dehonestastis legẽ; & nouum sanctumque eius testamentum vilipendistis: ac ne nunc quidem suscipitis, neque de malefactis pœnitentiam agitis. (adhuc enim *aures vestræ obturatæ sunt, oculi vestri vitiosi, & incrassatum est cor vestrũ*: exclamauit Esaias) ac ne ita quidem auscultastis. Præsto adest legislator, & non videtis: pauperes lætum suscipiunt Euangelii nuncium, cæci cernunt; & non sapitis. Altera iam opus est circumcisione: & vos in carne multum superbitis. Perpetuum vos seruare sabbatum vult lex noua; & cum vnum in ocio transegeritis diem, religione vos defunctos arbitramini: non satis intelligentes, quamobrem id vobis sit imperatum. Ac si panem non fermentatum ederitis, impleuisse vos voluntatem Dei dicitis. Non in hisce beneplacitũ cõsistit Dei nostri. Si quis in vobis est periurus aut fraudator, peccare desinat: Si quis fornicator, pœnitentiam agat: & vera lætaque Dei sabbata peregerit. Si quis impuras habet manus, lauet: & purus fuerit. Haudquaquam namque in balneum vos misit Esaias, vt ibi cædes & delicta alia ablueretis, quæ neque maris ipsius vnda satis sit vt lustret purificetque: sed, pro eo atque decet, hoc illud antiquitus salutare lauacrum fuit, quod eos est consequutũ qui pœnitentiam resipiscentes egerũt: neque amplius hircorum & ouium sanguine, aut vitulæ cinere, similæve oblationibus sunt expiati, sed fide per sanguinem CHRISTI, & mortem eius: qui ea ipsa de causa mortuus est, quemadmodum Esaias dicit, ita prædicans: *Reuelauit Dominus brachium suum sanctum, in oculis omnium gentium: & videbunt omnes gentes, & summitates terræ, salutem Dei. Recedite, recedite, recedite, exite inde: & impurum ne tetigeritis. Egredimini de medio eius. Segregamini, qui fertis vasa Domini: quia non in tumultu ambulabitis. Præcedet enim ante faciem vestram Dominus; & colliget vos Dominus Deus Israel. Ecce intelliget seruus meus, & exaltabitur, & glorificabitur valde. Sicuti exstupescent super te multi, (adeo ingloriusерit ab hominibus decor & gloria tua) sic admiratione ducentur super eo gentes multæ, & continebunt Reges os suum. Quoniam quibus nõ renunciatum est de eo, videbunt: & qui non audierunt, intelligent. Domine, quis credidit auditui nostro? & brachium Domini cui reuelatũ est? Annunciauimus coram ipso velut puerulus; sicuti radix in terra sitiente (sine vmida.) Non est species ei, neque gloria. Et vidimus eũ, & non erat ei forma neque pulchritudo: verum species eius inhonorabilis & deficiens, supra filios hominũ: homo plaga subditus, & sciens ferre infirmitatẽ. quoniã auersus est vultus eius contẽptus; despectus est, & non reputatus. Ipse iniquitates nostras portans, & nostra causa doluit. Et nos*

reputauimus eum esse in labore, & in plaga, & in afflictione. Ipse vero vulneratus est propter peccata nostra: & infirmus factus est propter iniquitates nostras. Disciplina pacis nostræ super eum. Liuore eius nos sanati sumus. Omnes velut oues errauimus. Homo via ipse sua in errorem seductus est. Et Dominus tradidit eum peccatis nostris. Et ipse, propter afflictionem, non aperuit os suum. Sicut ouis ad occisionem ductus est; & quasi agnus coram tondente se tacitus, adeo non aperuit os suum. In humiliatione sua, iudicium eius sublatum est. Generationem autem eius quis enarrabit? Quoniam tollitur de terra vita eius. Ab iniquitatibus populi mei venit in mortem. Et dabo malignos pro sepultura eius, & diuites pro morte eius. quoniam iniquitatem non fecit, & non inuentus est dolus in ore eius. Et Dominus purificare eum vult a plaga. Si datus fuerit pro peccato, anima vestra videbit semen longæuum. Et Dominus vult auferre de labore animæ eius, ostendere illi lumen, & fingere intellectu, & iustificare iustum probe seruientem multis. Et; Peccata nostra ipse portabit. Propterea ipse hereditate consequetur multos, & fortium diuidet spolia: propterea quod tradita est in mortem anima eius. & inter iniquos reputatus est. & ipse peccata multorum pertulit, & propter iniquitates eorũ traditus est:- Lætare sterilis quæ non paris: erumpe & clama quæ non parturis: Quoniam multi liberi desertæ, magis quam eius quæ habet virum. Dixit enim Dominus: Dilata locũ tabernaculi tui, & pelles tentoriorum tuorũ fige; ne parcas. Longos fac funiculos tuos, & clauos tuos consolida; ad dextrã & sinistram distende: & semen tuum gentes hereditate consequetur, & ciuitates desertas inhabitabis. Noli timere, quod pudore affecta es: neque erubesce, quod conuicio proscissa es: Quoniam pudoris perpetui obliuisceris, & probri viduitatis tuæ non recordaberis: Quia Dominus fecit nomen sibi; & redemptor tuus, ipse Deus Israelis terra vniuersa vocabitur. Tamquam mulierem derelictam & pusillanimem vocauit te Dominus, quasi mulierẽ ab adolescentia odio habitam.

Itaque per lauacrum pœnitẽtiæ & cognitionis Dei, quod propter iniquitates populorum Dei institutum est, quemadmodũ Esaias clamat, nos credimus, & scimus atque prædicamus: illud ipsum inquam ab eo promulgatum *Baptisma*, quod solum lustrare atque purificare potest pœnitentiã agẽtes, aquã esse vitæ: quas vero ipsi vobis fodistis cisternas, eas esse dissipatas, & nulli vsui. Quod namque est commodum baptismatis, quod carnem & corpus solum nitidius efficit? Baptizamini & abluimini animas ab ira, ab auaricia, ab inuidia, ab odio: & ecce corpus mundum fuerit. Hoc namque etiam est symbolum signumque panis azymi & sinceri, vt ne vetera maliciosi fermenti peragatis opera. Vos autem omnia carnali sensu accipitis,

ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν. τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν. ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον εἰς σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἥκει εἰς θάνατον. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησε, καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. ἐὰν δῶτε περὶ τῆς ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς. καὶ τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνοίσει. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ᾽ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ. καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη:- Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶπε γὰρ Κύριος, Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τὰς δέρρεις τῶν αὐλαίων σου πῆξον· μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον· εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὀνείδους τῆς χηρείας σου οὐ μνησθήσῃ· ὅτι Κύριος ἐποίησεν ὄνομα ἑαυτῷ, καὶ ὁ ῥυσάμενός σε αὐτὸς Θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται. ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον, κέκληκέ σε ὁ Κύριος, ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην:- Διὰ τοῦ λουτροῦ οὖν τῆς μετανοίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ, ὃ ὑπὲρ τῆς ἀνομίας τῶν λαῶν τοῦ Θεοῦ γέγονεν, ὡς Ἠσαΐας βοᾷ, ἡμεῖς ἐπιστεύσαμεν, καὶ γνωρίζομεν ὅτι τοῦτ᾽ ἐκεῖνο ὃ προηγόρευε τὸ βάπτισμα, τὸ μόνον καθαρίσαι τοὺς μετανοήσαντας δυνάμενον, τοῦτό ἐστι τὸ ὕδωρ τῆς ζωῆς. οὓς δὲ ὑμεῖς ὠρύξατε λάκκους ἑαυτοῖς, συντετριμμένοι εἰσὶ καὶ οὐδὲν ὑμῖν χρήσιμοι. τί γὰρ ὄφελος ἐκείνου τοῦ βαπτίσματος, ὃ τὴν σάρκα καὶ μόνον τὸ σῶμα φαιδρύνει; βαπτίσθητε τὴν ψυχὴν ἀπὸ ὀργῆς καὶ ἀπὸ πλεονεξίας, ἀπὸ φθόνου, ἀπὸ μίσους· καὶ ἰδοὺ τὸ σῶμα καθαρόν ἐστι. τοῦτο γάρ ἐστι τὸ σύμβολον τῶν ἀζύμων, ἵνα μὴ τὰ παλαιὰ τῆς κακῆς ζύμης ἔργα πράττητε. ὑμεῖς δὲ πάντα σαρκικῶς 41

νενοήκατε,

πεποιήκατε, καὶ ἡγεῖσθε εὐσεβεῖν, ἐὰν τοιαῦτα ποιοῦντες τὰς ψυχὰς μεμεστωμένοι ἦτε δόλου καὶ πάσης κακίας ἁπλῶς. διὸ καὶ μετὰ τὰς ἑπτὰ ἡμέρας τῶν ἀζυμοφαγιῶν, νέαν ζύμην φυρᾶσαι ἑαυτοῖς ὁ Θεὸς παρήγγειλε· τουτέστιν ἄλλων ἔργων πρᾶξιν, καὶ μὴ τῶν παλαιῶν καὶ φαύλων τὴν μίμησιν. καὶ ὅτι τοῦτό ἐστιν ὃ ἀξιοῖ ὑμᾶς οὗτος ὁ καινὸς νομοθέτης, τοὺς προλελεγμένους ὑπ' ἐμοῦ λόγους πάλιν ἀνιστορήσω, μετὰ καὶ τῶν ἄλλων τῶν παραλειφθέντων. εἴρηνται δὲ

" ὑπὸ τοῦ Ἠσαΐου οὕτως· Εἰσακούσατέ μου, καὶ ζήσεται ἐν
" ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην
" αἰώνιον, τὰ ὅσια τοῦ Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτύριον
" Αὐτὸν ἔθνεσι δέδωκα ἄρχοντα καὶ προστάσσοντα ἔ-
" θνεσιν. ἔθνη ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε· καὶ
" λαοὶ οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνε-
" κεν τοῦ Θεοῦ σου τοῦ ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε.
" ζητήσατε τὸν Θεόν· καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν, ἐ-
" πικαλέσασθε, ἡνίκα ἂν ἐγγίζῃ ὑμῖν· ἀπολιπέτω ὁ
" ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βου-
" λὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ Κύριον, καὶ ἐλεη-
" θήσεται, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν.
" οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν,
" οὐδὲ αἱ ὁδοί μου ὥσπερ αἱ ὁδοὶ ὑμῶν· ἀλλὰ ὅσον ἀ-
" πέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει ἡ ὁ-
" δός μου ἀπὸ τῆς ὁδοῦ ὑμῶν, καὶ τὰ διανοήματα ὑ-
" μῶν ἀπὸ τῆς διανοίας μου. ὡς γὰρ ἂν καταβῇ χιὼν
" ἢ ὑετὸς ἐκ τοῦ οὐρανοῦ καὶ οὐκ ἀποστραφήσεται ἕως
" ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ,
" καὶ δῷ σπέρμα τῷ σπείραντι, καὶ ἄρτον εἰς βρῶσιν,
" οὕτως ἔσται τὸ ῥῆμά μου ὃ ἂν ἐξέλθῃ ἐκ τοῦ στόμα-
" τός μου. οὐ μὴ ἀποστραφῇ ἕως ἂν συντελεσθῇ πάν-
" τα ὅσα ἠθέλησα, καὶ εὐοδώσω τὰ ἐντάλματά μου.
" ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθή-
" σεσθε. τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδε-
" χόμενοι ὑμᾶς, καὶ πάντα τὰ ξύλα τῶν ἀγρῶν ἐ-
" πικροτήσει τοῖς κλάδοις, καὶ ἀντὶ τῆς στοιβῆς ἀναβή-
" σεται κυπάρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβήσε-
" ται μυρσίνη· καὶ ἔσται Κύριος εἰς ὄνομα καὶ εἰς σημεῖ-
" ον αἰώνιον, καὶ οὐκ ἐκλείψει:-

Τῶν τε λόγων τούτων καὶ τοιούτων εἰρημένων ὑπὸ τῶν προφητῶν, ἔλεγον, ὦ Τρύφων, οἱ μὲν, εἴρηνται εἰς τὴν πρώτην παρουσίαν τοῦ Χριστοῦ, ἐν ᾗ καὶ ἄτιμος καὶ ἀειδὴς καὶ θνητὸς φανήσεσθαι κεκηρυγμένος ἐστίν· οἱ δὲ, εἰς τὴν δευτέραν αὐτοῦ παρουσίαν, ὅτε ἐν δόξῃ καὶ ἐπάνω τῶν νεφελῶν παρέσται, καὶ ὄψεται ὁ λαὸς ὑμῶν καὶ γνωριεῖ εἰς ὃν ἐξεκέντησαν, ὡς Ὡσηὲ εἷς τῶν δώδεκα προφητῶν καὶ Δανιὴλ προεῖπον, καὶ εἰρημένοι εἰσί. Καὶ τὴν ἀληθινὴν οὖν τοῦ Θεοῦ νηστείαν μάθετε νηστεύειν, ὡς Ἠσαΐας φησὶν, ἵνα τῷ Θεῷ εὐαρεστῆτε. κέκραγε δὲ

" Ἠσαΐας οὕτως· Ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς
" σάλπιγγι ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον
" τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ
" Ἰακὼβ τὰς ἀνομίας αὐτῶν. Ἐμὲ ἡμέραν ἐξ ἡμέρας
" ζητοῦσι, καὶ γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν ὡς λαὸς
" δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ οὐκ ἐγκαταλελοιπώς· αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ

& religionem verumque cultum esse arbitramini, si talia [externa] faciatis & interim in animis vestris pleni omnino sitis dolo, & vitiositate omni. Quapropter & post septem, quibus panem non fermẽtatum in vsu habetis, dies, vt nouam vobis conspersionẽ conficeretis, Deus vos hortatus est: hoc est, aliorum operum exsequutionem, non autem veterum ac malorum imitationẽ. Porro quia hoc ipsum est quod a vobis poscit nouus iste legislator, ea quæ a me allegata sunt verba repetam, vna cum aliis quæ omisimus. Promulgata autem sunt ab Esaia ad hunc modum: *Exaudietis me, & viuet anima vestra. Et testabor vobis testamentum æternum, sancta Dauidis fidelia. Ecce testimonium. Ipsum gentibus dedi principem, & præceptorem populis. Gẽtes quæ non norunt te, inuocabunt te. Et populi qui nesciunt te, ad te confugient, propter Deum tuum Sanctum Israelis: quoniam glorificauit te. Quærite Deum: & cum inueneritis eum, inuocate, quando appropinquauerit vobis. Derelinquat impius viam suam, & vir iniquus consilia sua, & conuertatur ad Dominum; & misericordiam consequetur: quoniam prolixe dimittet peccata vestra. Non enim sunt consilia mea sicut cõsilia vestra; neque viæ meæ sicut viæ vestræ: sed quantum abest cælum a terra, tantum abest via mea a via vestra, & cogitationes vestræ a mente mea. Quomodo namque descendit nix aut pluuia de cælo, & non reuertetur donec inebriet terram, producereque & germinare eam faciat, & semen det seminanti, & panem in cibum: ita erit Verbum meum, quod exit de ore meo: non reuertetur donec consummauerit omnia quæcumque volui, & fortunauero præcepta mea. Nam in lætitia egrediemini, & in gaudio docebimini. Mõtes enim & colles exsilient excipientes vos, & omnia ligna agrorum applaudent ramis. Et pro stibade consurget cupressus; pro pulicari herba, myrtus. Et erit Dominus in nomen & signum sempiternum, & non deficiet.* Hæc ipsa, atque alia eiusmodi verba a Prophetis prolata, o Trypho, dixi, partim priorem designant CHRISTI aduentum, cum inhonoratus & informis & mortalis appariturus esse promulgatus est; partim posteriorem, cum in gloria in nubibus aderit, & videbit populus vester & recognoscet in quẽ pupugerunt; sicut Zacharias, vnus duodecim prophetarũ, & Daniel prædixerũt.

Cæterum verum quoque ieiunium Dei discite ieiunare, quemadmodũ ait Esaias; vt Deo complaceatis. Exclamauit autem Esaias: *Proclama in fortitudine, & ne cesses: Quasi tubam exalta vocem tuam, & annuncia generi meo scelera eorum. Me de die in diem quærunt, & cognoscere vias meas cupiunt, quasi populus qui iustitiam fecerit, & iudicium Dei non dereliquerit. Petunt me iudicium iustum, &*

appropinquare Deo cupiūt, dicētes: Quare ieiunauimus, & non aspexisti? humiliauimus animas nostras, & nesciuisti? In diebus enim ieiuniorum vestrorum inuenitis voluntates vestras; & eos qui obnoxij vobis sunt, caditis. Ecce ad lites & contentiones ieiunatis, & percutitis pugnis humilem. Quid mihi ieiunatis, vt hodie audiatur in clamore vox vestra? Ieiunium hoc ego non elegi, vt in die humiliet vir animam suam. Atque si flectas tamquam circulum collum tuum, & saccū cineremque substernas, ne sic quidem vocabitis ieiunium & diem acceptum Domino. Non istiusmodi ieiunium ego elegi; dicit Dominus: Sed solue omnem colligationem iniquitatis: Solue obligationes violentorum contractuum. Amitte confractos in remissione: Et omnem syngrapham iniquā discerpe. Frange esurienti panem tuum, & egenos vagos induc in domum tuam. Cum videris nudum, operi eum. Et a vernaculis seminis tui ne quemquam despexeris. Tunc erumpet matutinum lumen tuum; & sanitates [peccatorum] tuae citius orientur: & praeibit ante te iustitia tua, & gloria Dei complectetur te. Tunc clamabis, & Deus exaudiet te: adhuc te loquente, dicet: Ecce adsum. Si abstuleris a te colligationem, & manuum complicationem, & verbum murmuris; & dederis esurienti panem tuum, ex animo, & animam humiliatam impleueris: tunc exorietur in tenebris lumen tuum, & tenebrae tuae vt meridies. Et erit Deus tuus tecum continue, & adimpleberis prout desiderat anima tua: & ossa tua pinguescent, & erunt vt hortus inebriatus, & fons vndae, aut terra cuius aquae non deficiunt. Circumcidamini igitur praeputium cordis vestri: quemadmodum verba Dei in dictis hisce omnibus flagitant. Per Mosen quoque clamauit Deus ipse, ita dicens: *Et circumcidamini duritiam cordis vestri; & ceruicē ne induretis amplius. Quia dominus Deus vester, ipse est Dominus dominorum, Deus magnus, & fortis, & terribilis; qui personam non admiratur, neq; capit munera.* Et in Leuitico: *Quia praeuaricati sunt & despexerunt me; & quia ambulauerunt ex aduerso mihi ad sinistram; ambulaui & ipse cum eis sinistre. Et perdam ipsos in terra inimicorum suorum: tum demum erubescet incircumcisum cor eorum.* Nam circumcisio, quam ab Abraamo accepistis secundū carnem, in signum notamque data est, vt sitis ab aliis gentib. & a nobis discreti; & vt soli ipsi patiamini quae nunc merito perpetimini; vtque regiones vestrae ad solitudinem redigantur, & ciuitates vestrae igni vastentur, & fruges vestras in conspectu vestro alieni consumant; neque quisquam vestrum Hierosolymam ingrediatur. Non enim alia nota est per quam prae caeteris mortalibus agnoscimini, quam ista in carne vestra circūcisio. Neq; sane quisquam vestrū, vt puto, dicere audebit, Deū futurorū praesciū non fuisse, nec esse; eūdemq;

ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι, λέγοντες, Τί ὅτι ἐνη-
στεύσαμεν, καὶ οὐκ εἶδες· ἐταπεινώσαμεν τὰς ψυ-
χὰς ἡμῶν, καὶ οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις
τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν,
καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσ-
σετε. ἰδοὺ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε
πυγμαῖς ταπεινόν. ἵνα τί μοι νηστεύετε ὡς σήμερον ἀ-
κουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; οὐ ταύτην
τὴν νηστείαν ἐγὼ ἐξελεξάμην καὶ ἡμέραν ταπεινοῦν
ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. οὐδ' ἂν κάμψῃς ὡς κρί-
κον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώ-
σῃς, οὐδ' οὕτω καλέσετε νηστείαν καὶ ἡμέραν δεκτὴν
τῷ Κυρίῳ· οὐχὶ τοιαύτην νηστείαν ἐγὼ ἐξελεξάμην, 42
λέγει Κύριος· ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας,
διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀ-
πόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγ-
γραφὴν ἄδικον διάσπα· διάθρυπτε πεινῶντι τὸν
ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν
σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ
σπέρματός σου οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρώϊμον
τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προ-
πορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα
τοῦ Θεοῦ περιστελεῖ σε. τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακού-
σεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, Ἰδοὺ πάρειμι. ἐὰν δὲ
ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, καὶ ῥῆμα
γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον σου ἐκ ψυ-
χῆς, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀ-
νατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς
μεσημβρία, καὶ ἔσῃ ὁ Θεός σου μετὰ σοῦ διαπαντός, καὶ
ἐμπλησθήσῃ καθὰ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀ-
στᾶ σου πιανθήσονται, καὶ ἔσῃ ὡς κῆπος μεθύων, καὶ
πηγὴ ὕδατος, ἢ γῆ ἣ μὴ ἐξέλιπεν ὕδωρ. Περιτέμε-
σθε οὖν τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν, ὡς οἱ λό-
γοι τοῦ Θεοῦ διὰ πάντων τούτων τῶν λόγων ἀξιοῦσι. καὶ
διὰ Μωϋσέως κέκραγεν ὁ Θεὸς αὐτός, οὕτως λέ-
γων· Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν,
καὶ τὸν τράχηλον οὐ σκληρυνεῖτε ἔτι. ὁ γὰρ Κύριος ὁ Θεὸς
ὑμῶν, καὶ Κύριος τῶν κυρίων, Θεὸς μέγας καὶ ἰσχυ-
ρὸς καὶ φοβερός· ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδὲ
μὴ λάβῃ δῶρον. καὶ ἐν τῷ Λευιτικῷ· Ὅτι παρέ-
βησαν καὶ ὑπερεῖδόν με, καὶ ὅτι ἐπορεύθησαν ἐναν-
τίον μου πλάγιοι, καὶ ἐγὼ ἐπορεύθην μετ' αὐτῶν
πλαγίως, καὶ ἀπολῶ αὐτοὺς ἐν τῇ γῇ τῶν ἐχθρῶν
αὐτῶν. τότε ἐντραπήσεται ἡ καρδία ἡ ἀπερίτμητος
αὐτῶν. ἡ γὰρ ἀπὸ Ἀβραὰμ κατὰ σάρκα περιτομή, εἰς
σημεῖον ἐδόθη· ἵνα ἦτε ἀπὸ τῶν ἄλλων ἐθνῶν καὶ ἡ-
μῶν ἀφωρισμένοι· καὶ ἵνα μόνοι πάθητε ἃ νῦν ἐν
δίκῃ πάσχετε· καὶ ἵνα γένωνται αἱ χῶραι ὑμῶν ἔρη-
μοι, καὶ αἱ πόλεις πυρίκαυστοι, καὶ τοὺς καρποὺς ἐνώ-
πιον ὑμῶν κατεσθίωσιν ἀλλότριοι, καὶ μηδεὶς ἐξ ὑ-
μῶν ἐπιβαίνῃ εἰς τὴν Ἱερουσαλήμ. οὐ γὰρ ἐξ ἄλλου
τινὸς γνωρίζεσθε παρὰ τοὺς ἄλλους ἀνθρώπους. ἢ
ἀπὸ τῆς ἐν σαρκὶ ὑμῶν περιτομῆς. οὐδεὶς γὰρ ὑμῶν,
ὡς νομίζω, τολμήσει εἰπεῖν ὅτι μὴ καὶ προγνώστης τῶν γίνεσθαι μελλόντων ἦν καὶ ἐστὶν ὁ Θεός, καὶ τὰ ἄξια

ἑκάστῳ προσεπιμάζων. καὶ ὑμῖν οὖν ταῦτα καλῶς καὶ δικαίως γέγονεν. ἀπεκτείνατε γὰρ τὸν δίκαιον, καὶ πρὸ αὐτοῦ τοὺς προφήτας αὐτοῦ· καὶ νῦν τοὺς ἐλπίζοντας ἐπ᾽ αὐτὸν, καὶ τὸν πέμψαντα αὐτὸν παντοκράτορα καὶ ποιητὴν τῶν ὅλων Θεὸν ἀθετεῖτε, καὶ ὅσον ἐφ᾽ ὑμῖν ἀτιμάζετε, καταρώμενοι ἐν ταῖς συναγωγαῖς ὑμῶν τοὺς πιστεύοντας ἐπὶ τὸν Χριστόν. οὐ γὰρ ἐξουσίαν ἔχετε αὐτόχειρες γενέσθαι ἡμῶν διὰ τοὺς νῦν ἐπικρατοῦντας. ὁσάκις δὲ ἂν ἐδυνήθητε, καὶ τοῦτο ἐπράξατε. διὸ καὶ ἐμβοᾷ ὑμῖν ὁ Θεὸς διὰ τοῦ Ἡσαΐου λέγων, Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς κατανοεῖ· ἀπὸ γὰρ προσώπου τῆς ἀδικίας ἦρται ὁ δίκαιος. ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέσου. ὑμεῖς [δὲ] προσηγάγετε ὧδε υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ τέκνα πόρνης. ἐν τίνι ἐνετρυφᾶτε, καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα, καὶ ἐπὶ τίνι ἐχαλάσατε τὴν γλῶσσαν; οὐχ οὕτως γὰρ τὰ ἄλλα ἔθνη εἰς ταύτην τὴν ἀδικίαν τὴν εἰς ἡμᾶς καὶ τὸν Χριστὸν ἐνέχονται, ὅσον ὑμεῖς, οἳ κἀκείνοις τῆς κατὰ τοῦ δικαίου καὶ ἡμῶν τῶν ἀπ᾽ ἐκείνου, κακῆς προλήψεως αἴτιοι ὑπάρχετε. μετὰ γὰρ τὸ σταυρῶσαι ὑμᾶς ἐκεῖνον τὸν μόνον ἄμωμον καὶ δίκαιον ἄνθρωπον, δι᾽ οὗ τῶν μωλώπων ἴασις γίνεται τοῖς δι᾽ αὐτοῦ ἐπὶ τὸν πατέρα προσχωροῦσιν, ἐπειδὴ ἐγνώκατε αὐτὸν ἀναστάντα ἐκ νε-
43 κρῶν, καὶ ἀναβάντα εἰς τὸν οὐρανὸν, ὡς αἱ προφητεῖαι προεμήνυον γενησόμενον, οὐ μόνον οὐ μετενοήσατε ἐφ᾽ οἷς ἐπράξατε κακοῖς, ἀλλὰ ἄνδρας ἐκλεκτοὺς ἀπὸ Ἱερουσαλὴμ ἐκλεξάμενοι τότε, ἐξεπέμψατε εἰς πᾶσαν τὴν γῆν, λέγοντες, αἵρεσιν ἄθεον Χριστιανῶν πεφηνέναι, καταλέγοντες ταῦτα ἅπερ καθ᾽ ἡμῶν οἱ ἀγνοοῦντες ἡμᾶς πάντες λέγουσιν· ὥστε οὐ μόνον ἑαυτοῖς ἀδικίας αἴτιοι ὑπάρχετε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἁπλῶς ἀνθρώποις· καὶ δικαίως βοᾷ Ἡσαΐας, Δι᾽ ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι:- καί, Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ᾽ ἑαυτῶν, εἰπόντες, Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστί. τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, συμβήσεται αὐτῷ:- καὶ πάλιν ἐν ἄλλοις, Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας· οἱ λέγοντες, Τὸ τάχος αὐτοῦ ἐγγισάτω, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν. Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν:- Κατὰ οὖν τοῦ μόνου ἀμώμου καὶ δικαίου φωτὸς τοῖς ἀνθρώποις πεμφθέντος παρὰ τοῦ Θεοῦ, τὰ πικρὰ καὶ σκοτεινὰ καὶ ἄδικα καταλεχθῆναι ἐν πάσῃ τῇ γῇ ἐσπουδάσατε. δύσχρηστος γὰρ ὑμῖν ἔδοξεν εἶναι, βοῶν παρ᾽ ὑμῖν, Γέγραπται, Ὁ οἶκός μου, οἶκος προσευχῆς ἐστιν· ὑμεῖς δὲ πεποιήκατε αὐτὸν σπήλαιον λῃστῶν:- καὶ τὰς τραπέζας τῶν ἐν τῷ ναῷ κολλυβιστῶν καταστρέψας, καὶ ἐβόα,

pro meritis vnicuique præmia digna non præparare. Quapropter & vobis hęc recte iusteque acciderunt. Neci enim dedistis iustū, & ante illum prophetas eius: & nunc eos qui spem in illum collocant, & eum qui ipsum misit omnipotentem conditorem vniuersorum Deum aspernamini, &, quantum in vobis est situm, dehonestatis, diris exsecrationibus deuouentes in synagogis vestris eos qui in CHRISTVM credunt. Non enim vobis ea est potestas vt manus ipsi nobis ad cædem inferatis, propter eos qui in præsens rerum potiuntur. Quotiescumque autem facere potuistis, id quoq; præstitistis. Proinde & Deus ad vos vociferatur per Elaiam, dicens: *Videte quomodo periit iustus ille, & nemo considerat! A facie enim iniquitatis sublatus est iustus. Erit in pace sepultura eius; sublatus est e medio. Vos huc produxistis filij iniqui, semen adulterorum, filij fornicariæ. In quo lusistis? & super quem os aperuistis? & super quem laxastis linguam?* Non enim aliæ nationes iniquitati in nos & ipsum CHRISTVM patratæ, tantum sunt obnoxii quantū vos; qui illis etiam peruersæ in iustum hunc, & nos qui nomine eius censemur, præsumptionis atque præiudicii estis auctores. Postea quam enim illum vnicum irreprehensibilem & iustum hominem in crucem egistis, cuius vibicibus sanitas eis prouenit qui per ipsum ad Patrem adeūt: cum eum cognouissetis resurrexisse a mortuis, atque in cælum cōscendisse, pro eo atque futurum vaticinia præmonstrauerant: tātum abest vt resipiscentes pœnitentia de malis commissis duceremini, vt etiam viros eximios Hierosolymis delectos, in terram omnem tum legaueritis, dicentes, hęresim sectamque Christianorum nullius numinis cultricem exstitisse; atque ea cōtra nos sermonibus spargentes, quæ cuncti qui nos non norunt, iactant. Itaque nō ipsi modo vobis iniquitatis estis causa, sed aliis quoq; prorsus mortalib. vniuersis. Et merito vociferatur Elaias: *Propter vos nomen meum male audit in gentibus.* & : *Væ animæ ipsorū; propterea quod prauū consiliū ceperūt aduersus seipsos, dicētes: Vinciamus iustum; quoniā inutilis nobis est. Itaq; fructus operū suorū comedunt. Væ iniquo: praua namq; manuum suarum facta contingent ei.* Et rursus alio loco: *Væ qui trahitis peccata vestra veluti funiculo longo, & quasi loro iugi vitulæ iniquitates. qui dicitis: (celeritas eius appropinquet, & veniat consiliū Sancti Israelis, vt sciamus. Væ qui dicitis malū bonū, & bonum malū; ponētes lucem tenebras, & tenebras lucem; ponentes amarum dulce, & dulce amarū.* Itaque vt aduersus solam irreprehensibilē & iustā lucem, mortalibus a Deo missam, in toto terrarum orbe amara, tenebrosa & iniusta iactarentur, sedulo operam dedistis. inutilis enim & incommoda vobis est visa. Vociferari eū apud vos scriptū est: *Domus mea, domus precationis est: vos aūt effecistis eam speluncā latronū.* Et mensas in tēplo nūmulariorū euertit, & exclamauit:

Væ vobis scribæ & pharisæi; quia decimatis mentum & rutam: dilectionem autē Dei & iudiciū non consideratis. Sepulcra dealbata; qui extrinsecus apparetis speciosi, interius autē pleni estis ossib. mortuis. Et ad scribas: *Væ vobis scribæ; quia claues habetis, & ipsimet non ingredimini: tum autem & ingredi volentes impeditis. Duces cæci.* Quia enim legisti, o Trypho, quemadmodum confessus es, ea quæ docuit Saluator noster: non absurdum esse arbitror, me, secundum prophetica respōsa, pauca etiam eius oracula allegare. Lauamini igitur nunc quoque, & mundi estote, & auferte prauitates ab animis vestris: quod scilicet lauacro hoc lauari vos, & circumcidi circumcisione vera iubeat Deus. Nam & nos ipsi circumcisionem istam carnalem, & sabbatum, & ferias cunctas celebrātes seruaremus; nisi causa nobis cognita esset quamobrem vobis hæc sint imperata; nimirum propter iniquitatem vestram, & duriciam cordis. Si namque vniuersa quæ vel ab hominibus vel a dæmonibus malis in nos exerceri curantur, vsque ad infanda quoque mortis & suppliciorum, patiēter toleramus, votis precibusque eis optantes qui ad hūc modum erga nos sunt animati, vt misericordiam consequantur; ac ne pauxillum quidem gratiam per vltionem referre cuiquam in animum inducentes, sicuti nouus nobis Legislator præcepit: quidni etiam ea quæ nobis nihil obessent, circumcisionem (inquam) carnis, & sabbata, & solēnes dies seruaremus? O Trypho, hoc ipsum est consternatione animi dignum, quod talia perferentes, nō etiam alia omnia de quibus præsens est percunctatio, seruemus. Non omnibus enim necessaria est ista circumcisio, sed solis dumtaxat vobis; vt, quemadmodum dixi, ea perpetiamini quæ nunc non iniuria patimini. Non recipimus inutile illud cisternarum baptisma: nihil enim est, ad lauacrum hoc vitæ collatū. Proinde & Deus exclamauit, quod dereliqueritis eum fontem viuū, & foderitis vobis cisternas dissipatas quæ non possunt continere aquam. Ac vos quidem carnem circumcisi, circumcisione nostra indigetis: nos vero, hāc habentes, nihil vestra illa opus habemus. Si namque necessaria esset, sicut existimatis, non præputiatum Deus finxisset Adā, neque respexisset super munera præputium carnis habentis ac victimas offerentis Abelis: neq; complacitū illi fuisset præputium Enochi, qui non inuentus est, propterea quod eum transtulit Deus. Lot incircumcisus ad Sodomam saluatus est, angelorū illorū & Domini deductione. Noe principium generis, vna cum liberis irresectus arcam est ingressus. Incircumcisus fuit sacerdos Altissimi Melchisedech; cui etiam decimas, oblationum nomine, dedit Abraam: Abraam, inquam, (qui primus circumcisionem carnis accepit) benedictione ab eo auctus: sesun-

Οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί. ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον, τὴν δὲ ἀγάπην τοῦ Θεοῦ καὶ τὴν κρίσιν οὐ κατανοεῖτε· τάφοι κεκονιαμένοι ἔξωθεν φαινόμενοι ὡραῖοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν :- καὶ τοῖς γραμματεῦσιν, Οὐαὶ ὑμῖν γραμματεῖς, ὅτι τὰς κλεῖς ἔχετε, καὶ αὐτοὶ οὐκ εἰσέρχεσθε, καὶ τοὺς εἰσερχομένους κωλύετε. ὁδηγοὶ τυφλοί· Ἐπειδὴ γὰρ ἀνέγνως, ὦ Τρύφων, ὡς αὐτὸς ὁμολογήσας ἔφης, τὰ ὑπ' ἐκείνου τοῦ σωτῆρος ἡμῶν διδαχθέντα, οὐκ ἄτοπον νομίζω πεποιηκέναι καὶ βραχέα τῶν ἐκείνου λόγια πρὸς τοῖς προφητικοῖς ἐπιμνησθείς. Λούσασθε οὖν, καὶ νῦν καθαροὶ γένεσθε, καὶ ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. ὡς δὲ λούσασθαι ὑμῖν τοῦτο τὸ λουτρὸν κελεύει ὁ Θεὸς, καὶ περιτέμνεσθαι τὴν ἀληθινὴν περιτομήν. ἡμεῖς γὰρ καὶ ταύτην ἂν τὴν περιτομὴν τὴν κατὰ σάρκα, καὶ τὰ σάββατα, καὶ τὰς ἑορτὰς πάσας ἁπλῶς ἐφυλάσσομεν. εἰ μὴ ἔγνωμεν δι' ἣν αἰτίαν καὶ ὑμῖν προσετάγη, τουτέστι διὰ τὰς ἀνομίας ὑμῶν καὶ τὴν σκληροκαρδίαν. Εἰ γὰρ ὑπομένομεν πάντα τὰ ἐξ ἀνθρώπων καὶ δαιμόνων φαύλων ἐνεργούμενα εἰς ἡμᾶς φέρειν, ὡς καὶ μέχρι τῶν ἀρρήτων, θανάτου καὶ τιμωριῶν, εὐχόμενοι ἐλεηθῆναι καὶ τοὺς τὰ τοιαῦτα διατιθέντας ἡμᾶς, καὶ μηδὲ μικρὸν ἀμείβεσθαι μηδένα βουλόμενοι, ὡς ὁ καινὸς νομοθέτης ἐκέλευσεν ἡμῖν, πῶς οὐχὶ καὶ τὰ μηδὲ βλάπτοντα ἡμᾶς· περιτομὴν δὲ σαρκικὴν λέγω καὶ σάββατα καὶ τὰς ἑορτὰς· ἐφυλάσσομεν. ὦ Τρύφων; τοῦτό ἐστιν ὃ ἀπορεῖν ἄξιόν ἐστιν, ὅτι τοιαῦτα ὑπομένοντες, οὐχὶ καὶ τὰ ἄλλα πάντα περὶ ὧν νῦν ζητοῦμεν φυλάσσομεν. οὐ γὰρ πᾶσιν ἀναγκαία αὕτη ἡ περιτομὴ, ἀλλ' ὑμῖν μόνοις, ἵνα, ὡς προέφην, ταῦτα πάθητε ἃ νῦν ἐν δίκῃ πάσχετε. οὐδὲ γὰρ τὸ βάπτισμα ἐκεῖνο τὸ ἀνωφελὲς τὸ τῶν λάκκων προσλαμβάνομεν. οὐδὲν γὰρ πρὸς τὸ βάπτισμα τοῦτο τὸ τῆς ζωῆς ἐστί· διὸ καὶ κέκραγεν ὁ Θεὸς, ὅτι ἐγκατελίπετε αὐτὸν πηγὴν ζῶσαν, καὶ ὠρύξατε ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συνέχειν ὕδωρ. καὶ ὑμεῖς μὲν οἱ τὴν σάρκα περιτετμημένοι, χρῄζετε τῆς ἡμετέρας περιτομῆς· ἡμεῖς δὲ, ταύτην ἔχοντες, οὐδὲν ἐκείνης δεόμεθα. εἰ γὰρ ἦν ἀναγκαία, ὡς δοκεῖτε, οὐκ 44
ἂν ἀκρόβυστον ὁ Θεὸς ἔπλασε τὸν Ἀδάμ, οὐδὲ ἐπέβλεψεν ἐπὶ τοῖς δώροις τοῦ ἐν ἀκροβυστίᾳ σαρκὸς προσενέγκαντος θυσίας Ἄβελ, οὐδ' ἂν εὐηρέστησεν ἐν ἀκροβυστίᾳ Ἐνὼχ, καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός. Λὼτ ἀπερίτμητος ἐκ Σοδόμων ἐσώθη, αὐτῶν ἐκείνων τῶν ἀγγέλων αὐτὸν καὶ τοῦ Κυρίου προπεμψάντων. Νῶε, ἀρχὴ γένους· ἀλλ' οὖν ἅμα τοῖς τέκνοις ἀπερίτμητος εἰς τὴν κιβωτὸν εἰσῆλθεν. ἀπερίτμητος ἦν ὁ ἱερεὺς τοῦ ὑψίστου Μελχισεδὲκ, ᾧ καὶ δεκάτας προσφορὰς ἔδωκεν Ἀβραὰμ ὁ πρῶτος τὴν κατὰ σάρκα περιτομὴν λαβὼν, καὶ εὐλόγησεν αὐτόν·

οὐ κατὰ τὴν τάξιν τὸν αἰώνιον ἱερέα ὁ Θεὸς καταστήσειν διὰ τοῦ Δαβὶδ μεμήνυκεν. ὑμῖν οὖν μόνοις ἀναγκαία ἦν ἡ περιτομὴ αὕτη· ἵνα ὁ λαὸς οὐ λαὸς ᾖ, καὶ τὸ ἔθνος οὐκ ἔθνος, ὡς καὶ Ὠσηὲ εἷς τῶν δώδεκα προφητῶν φησί. καὶ γὰρ μὴ σαββατίσαντες οἱ προωνομασμένοι πάντες δίκαιοι, τῷ Θεῷ εὐηρέστησαν, καὶ μετ᾽ αὐτοὺς Ἀβραὰμ, καὶ οἱ τούτου υἱοὶ ἅπαντες μέχρι Μωϋσέως· ἐφ᾽ οὗ ἄδικος καὶ ἀχάριστος εἰς τὸν Θεὸν ὁ λαὸς ὑμῶν ἐφάνη ἐν τῇ ἐρήμῳ μοσχοποιήσας. ὅθεν ὁ Θεὸς ἁρμοσάμενος πρὸς τὸν λαὸν ἐκεῖνον, καὶ θυσίας φέρειν, ὡς πρὸς ὄνομα αὐτοῦ, ἐνετείλατο, ἵνα μὴ εἰδωλολατρῆτε· ὅπερ οὐδὲ ἐφυλάξατε, ἀλλὰ καὶ τὰ τέκνα ὑμῶν ἐθύετε τοῖς δαιμονίοις. καὶ σαββατίζειν οὖν ὑμῖν προστέταχεν, ἵνα μνήμην λαμβάνητε τοῦ Θεοῦ. καὶ γὰρ ὁ λόγος αὐτοῦ τοῦτο σημαίνει λέγων, Τοῦ γινώσκειν ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὁ λυτρωσάμενος ὑμᾶς:- καὶ γὰρ βρωμάτων τινῶν ἀπέχεσθαι προστέταχεν ὑμῖν, ἵνα καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν πρὸ ὀφθαλμῶν ἔχητε τὸν Θεὸν, εὐκατάφοροι ὄντες καὶ εὐχερεῖς πρὸς τὸ ἀφίστασθαι τῆς γνώσεως αὐτοῦ, ὡς καὶ Μωϋσῆς φησίν, Ἔφαγε καὶ ἔπιεν ὁ λαὸς, καὶ ἀνέστη τοῦ παίζειν:- καὶ πάλιν, Ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη καὶ ἐλιπάνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν:- τῷ γὰρ Νῶε ὅτι συγκεχώρητο ὑπὸ τοῦ Θεοῦ, δικαίῳ ὄντι, πᾶν ἔμψυχον ἐσθίειν, πλὴν κρέας ἐν αἵματι, ὅπερ ἐστὶ νεκριμαῖον, διὰ Μωϋσέως ἀνιστορήθη ὑμῖν ἐν τῇ βίβλῳ τῆς Γενέσεως. καὶ βουλομένου αὐτοῦ εἰπεῖν, ὡς λάχανα χόρτου, προεῖπον ἐγὼ, τὸ, ὡς λάχανα χόρτου, μὴ ἀκούεσθε ὡς εἴρηται ὑπὸ τοῦ Θεοῦ, ὅτι ὡς τὰ λάχανα εἰς τροφὴν τῷ ἀνθρώπῳ ἐπεποιήκει ὁ Θεὸς, οὕτως καὶ τὰ ζῶα εἰς κρεωφαγίαν ἐδεδώκει· ἀλλ᾽ ἐπεὶ τινὰ τῶν χόρτων οὐκ ἐσθίομεν, οὕτως καὶ διαστολὴν ἐκτότε τῷ Νῶε διεστάλθαι φασί, οὐχ ὡς ἐξηγεῖσθε, πιστευτέον. πρῶτον μὲν γὰρ ὅτι πᾶν λάχανον χόρτος ἐστὶ καὶ βιβρώσκεσθαι, δυνάμενος λέγειν καὶ κρατύνειν, οὐκ ἐν τούτῳ ἀσχοληθήσομαι· ἀλλὰ, εἰ καὶ τὰ λάχανα τοῦ χόρτου διακρίνομεν, μὴ πάντα ἐσθίοντες, οὐ διὰ τὸ εἶναι αὐτὰ κοινὰ ἢ ἀκάθαρτα, οὐκ ἐσθίομεν, ἀλλὰ ἢ διὰ τὸ πικρὰ, ἢ θανάσιμα, ἢ ἀκανθώδη· τῶν δὲ γλυκέων πάντων καὶ τροφιμωτάτων καὶ καλλίστων, θαλασσίων τε καὶ χερσαίων, ἐφιέμεθα καὶ μετέχομεν. οὕτω καὶ τῶν ἀκαθάρτων καὶ ἀδίκων καὶ παρανόμων ἀπέχεσθαι ὑμᾶς ἐκέλευσεν ὁ Θεὸς διὰ Μωϋσέως· ἐπειδὴ καὶ τὸ μάννα ἐσθίοντες ἐν τῇ ἐρήμῳ, καὶ τὰ θαυμάσια πάντα ὁρῶντες ὑμῖν ὑπὸ τοῦ Θεοῦ γινόμενα, μόσχον τὸν χρυσοῦν ποιήσαντες, προσεκυνεῖτε. ὥστε δικαίως ἀεὶ βοᾷ, Υἱοὶ ἀσύνετοι· οὐκ ἔστι πίστις ἐν αὐτοῖς:- Καὶ ὅτι διὰ τὰς ἀδικίας ὑμῶν καὶ τῶν πατέρων ὑμῶν εἰς σημεῖον, ὡς προέφην, καὶ τὸ σάββατον ἐντέταλται ὁ Θεὸς φυλάσσειν ὑμᾶς, καὶ τὰ ἄλλα προστάγματα προστέταχε·

secundū cuius ordinē sacerdotē sempiternū per Dauidē se Deus cōstituturū ostēdit. Vobis ergo solis necessaria fuit circūcisio ista; vt populus fieret nō populus, & gēs nō gens; sicut & Oseas, vnus duodecim prophetarū ait. Nā sine obseruatione sabbati, qui nominati modo sunt, iusti omnes Deo cōplacuerunt: & post illos Abrahā atq; eius liberi cūcti, ad Mosen vsq;: sub quo iniustus & erga Deum ingratus populus vester apparuit, vitulo in solitudine fabrefacto. Vnde Deus ad populum illum se accōmodans, hostias quoque offerre tamquā nomini suo præcepit, vt ne simulacra coleretis. Quod quidem non seruastis; sed & liberos vestros dæmoniis mactastis. Quin & sabbata peragere vos iussit, vt Dei recordaremini. nam & verbum eius hoc significat, dicens: *Vt cognoscatis me esse Deum redemptorem vestrum.* Iam & a cibis quibusdam vt vos abstineretis, vobis mādauit: vt etiam inter edendum & bibendum ob oculos vobis versaretur Deus, promptis admodum & procliuibus ad deficiendum a notione eius; prout Moses quoq; inquit: *Edit populus, & bibit; & surrexit ad ludendum.* Et iterum: *Edit Iacob, & saturatus est, & impinguatus; & recalcitrauit dilectus: impinguatus est, incrassatus, dilatatus; & dereliquit Deum factorem suum.* Quod enim Noæ iusto a Deo permissum sit omne animatum edere, extra carnem in sanguine, quod est suffocatum: per Mosen scriptū vobis est, in Genesis libro. Ac cū Trypho vellet adducere verba, *vt olera herba*: occupaui ego id ipsum dicere, *vt olera herba.* verum nō id perinde accipiendū esse dixi, quasi a Deo dictū sit, quemadmodū olera Deus homini alimēti gratia creasset, ita quoque eundē animātia ad carnis epulas dedisse. Quia vero quædā ex oleribus nō edimus, propterea tū quoque Noe ipsi discrimen delectumque carnis præceptum esse, sicuti vos dicitis. Sed hoc minime credēdum. Primū sane, vt omne olus herbam esse, eamque edulē, asseram atque euincam, nihil in eo impendam operæ. Sed enim, tametsi olera herbæ discernimus, non omnibus eis vescentes: non propterea tamen non vtimur, quod communia sint & immunda; verum quod vel acerba, vel mortifera, vel spinosa. Omnia autem quæ dulcia sunt, & ad alendū maxime faciūt, & pulchritudine excellūt, marina iuxta & terrestria, expetimus & sumimus. Ita videlicet ab impuris quoque, & iniustis, & iniquis [operibus] vos abstinere per Mosen iussit Deus. Quādoquidem & qui manna in solitudine edistis, ac miracula omnia a Deo vobis exhibita vidistis: vitulum tamen quem fecistis aureū, adorastis. Quocirca iure semper clamat: *Filij insipientes. non est fides in ipsis.* Et quod propter iniusticias vestras & patrū vestrorum, in signū, prout antea dixi, & sabbatū ipsum Deus vos seruare iusserit, aliaq; insuper mandata mādauerit,

quodque idem significauerit, propter gẽtes, ideo vt ne profanaretur nomen eius apud illas, factũ esse prorsus vt quidã ex vobis viui relicti sint: hę ipsę voces satis vobis demõstrare possunt, per Ezechielẽ vatẽ ad hũc prolatæ modum: *Ego Dominus Deus vester: in præceptis meis ambulate, & iudicia mea custodite: & studiis Ægypti ne commisceamini, & sabbata mea sanctificate. Et erit signum inter me & vos, vt sciatis quia ego Dominus Deus vester. Et exacerbastis me, & filij vestri in præceptis meis non ambularunt, & iudicia mea nõ custodierunt, vt facerent ea: quæ qui fecerit homo, viuet in eis. verum sabbata mea violarũt. Et dixi me effusurum furorem meum super eos in solitudine, vt consummarem iram meam in eos: & non feci, vt nomen meum omnino non violaretur coram gentibus. Eduxi eos in oculis earum. Et ego extendi manum contra illos in solis locis, vt dispergerem in nationibus, & disseminarem eos in regionibus: eo quod iustificationes meas non fecerunt, & præcepta mea repudiarunt, & sabbata mea profanarunt, & a tergo cogitationum patrum suorum oculi eorum fuerunt. Et ego dedi illis mandata non bona, & iudicia in quibus ipsi non viuent. Et pollnam eos in muneribus eorũ, cum pertransibo vt omne quod aperit vterum, aboleam.* Et quod propter peccata populi vestri, & simulacrorum cultus, minime gentium autem quod istiusmodi oblationibus vestris ei sit opus, hæc itidem fieri sanxerit, accipite quomodo de his loquatur per Amos, vnum ex duodecim clamans: *Væ desiderantibus diem Domini. Ad quid vobis ea dies Domini? Ipsa est tenebræ, & non lux: Quemodo cum fugiat homo e conspectu leonis, & obuiam ei fiat vrsus, & irruat in domum suam, & innitatur manu ad parietem, & mordeat eum serpens. Nonne tenebræ dies Domini, & non lux, & caligo non habens splendorem suum? Odi, reieci dies festos vestros, & non olfaciam* [*tanquam odorem bonæ fragrantiæ*] *in conuentibus vestris. Quapropter cum obtuleritis mihi holocausta vestra, non suscipiã ea; & salutaris apparationes vestras non respiciam. Aufer a me multitudinem carminum tuorum & psalmorum. Organa tua non audiam: & voluetur sicut aqua iudicium, & iustitia vt torrens nõ vadosus. Nũ hostias & victimas obtulistis mihi in solitudine domus Israel? dicit Dominus. Et recepistis tabernaculum Moloch, & sidus Dei vestri Remphan, figuras quas fecistis vobis. Et transmigrare vos faciam vltra Damascum, dicit Dominus; Deus omnipotens nomen eius. Væ eis qui in deliciis versantur in Sione;* [nunc in Ecclesia] *& qui confidunt in monte Samariæ;* [in munitionib. suis :] *Qui nominati sunt in ducibus, vindemiarũt principatus gentiũ;* [fideliũ ex gẽtib. cõgregatorũ.] *Ingressi sunt sibi-*

καὶ σημαίνει ὅτι διὰ τὰ ἔθνη, ἵνα μὴ βεβηλωθῇ τὸ ὄνομα αὐτοῦ παρ' αὐτοῖς, διὰ τοῦτο εἴασε τινὰς ἐξ ὑμῶν ὅλως ζῶντας, αὗται αἱ φωναὶ αὐτοῦ τὴν ἀπόδειξιν ποιήσασθαι δύνανται ὑμῖν. εἰσὶ δὲ εἰρημέναι διὰ τοῦ Ἰεζεκιὴλ οὕτως· Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν· ἐν τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσετε, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν Αἰγύπτου μὴ συναναμίγνυσθε, καὶ τὰ σάββατά μου ἁγιάζετε· καὶ ἔσται εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, τοῦ γινώσκειν ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν· καὶ παρεπικράνατέ με, καὶ τὰ τέκνα ὑμῶν ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφύλαξαν, τοῦ ποιεῖν αὐτά· ἃ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς· ἀλλὰ τὰ σάββατά μου ἐβεβήλουν· καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ συντελέσαι ὀργήν μου ἐπ' αὐτούς, καὶ οὐκ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν. ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν, καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ διασκορπίσαι ἐν τοῖς ἔθνεσι, καὶ διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις, ἀνθ' ὧν τὰ δικαιώματά μου οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ἐγὼ ἔδωκα αὐτοῖς προστάγματα οὐ καλὰ καὶ δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. καὶ μιανῶ αὐτοὺς ἐν τοῖς δόμασιν αὐτῶν, ἐν τῷ διαπορεύεσθαί με, πᾶν διανοῖγον μήτραν ὅπως ἀφανίσω:- Καὶ ὅτι διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ ὑμῶν, καὶ διὰ τὰς εἰδωλολατρείας, ἀλλ' οὐ διὰ τὸ ἐνδεὴς εἶναι τῶν τοιούτων προσφορῶν, ἐνετείλατο ὁμοίως ταῦτα γίνεσθαι, ἀκούσατε πῶς περὶ τούτων λέγει διὰ Ἀμὼς ἑνὸς τῶν δώδεκα, βοῶν. Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν τοῦ Κυρίου. ἵνα τί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ Κυρίου; καὶ αὐτή ἐστι σκότος καὶ οὐ φῶς, ὃν τρόπον ὅταν ἐκφύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ συναντήσῃ αὐτῷ ἡ ἄρκτος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὁ ὄφις. οὐχὶ σκότος ἡ ἡμέρα τοῦ Κυρίου καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῆς; μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν· διότι ἐὰν ἐνέγκητέ μοι τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας ὑμῶν, οὐ προσδέξομαι αὐτά, καὶ σωτηρίου ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι. ἀπόστησον ἀπ' ἐμοῦ πλῆθος ᾠδῶν σου καὶ ψαλμῶν· ὀργάνων σου οὐκ ἀκούσομαι· καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ ἡ δικαιοσύνη ὡς χειμάῤῥους ἄβατος. μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ; λέγει Κύριος· καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥαφὰν, τοὺς τύπους οὓς ἐποιήσατε ἑαυτοῖς; καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει Κύριος, ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ:- Οὐαὶ οἱ κατασπαταλῶντες Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας· οἱ ὠνομασμένοι ἐπὶ τοῖς ἀρχηγοῖς ἀπετρύγησαν ἀρχὰς ἐθνῶν· εἰσῆλθον ἑαυ-

τοῖς

τῆς οἶκος Ἰσραήλ. Διάβητε πάντες εἰς Χαλάνην, καὶ ἴδετε, καὶ πορεύθητε ἐκεῖθεν εἰς Ἀμὰθ τὴν μεγάλην, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ, τῶν ἀλλοφύλων τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων, εἰ πλείονα ἐστὶ τὰ ὅρια αὐτῶν τῶν ὁρίων ὑμῶν. οἱ ἐρχόμενοι εἰς ἡμέραν πονηρὰν, οἱ ἐγγίζοντες, καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν· οἱ κοιμώμενοι ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ τῶν στρωμναῖς αὐτῶν· οἱ ἐσθίοντες ἄρνας ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά· οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα· οἱ πίνοντες ἐν φιάλαις οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ.

46 Διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν τῶν ἀποικιζομένων, καὶ μεταστραφήσεται οἴκημα κακούργων, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφραίμ. Καὶ πάλιν διὰ Ἱερεμίου, Συναγάγετε τὰ κρέα ὑμῶν καὶ τὰς θυσίας, καὶ φάγετε· ὅτι οὔτε περὶ θυσιῶν ἢ σπονδῶν ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν, ᾗ ἡμέρᾳ ἐπελαβόμην τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Καὶ πάλιν διὰ Δαβὶδ ἐν τεσσαρακοστῷ ἐνάτῳ ψαλμῷ, οὕτως ἔφη, Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ· ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. Ἄκουσον λαός μου, καὶ λαλήσω σοι Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σου, εἰμὶ ἐγώ. οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες· ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· μὴ φάγωμαι κρέα ταύρων, ἢ αἷμα τράγων πίωμαι; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου· σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω; εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ· καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

ipsis domus Israel. Transite omnes in Chalanen (Ctesiphontem) & videte: ite inde in Amath magnam, (Antiochiam) & descendite inde in Geth alienigenarum, (Palestinam,) & ad optima ex regnis hisce omnibus, si plures sunt fines eorum finibus vestris; qui veniunt ad diem malum, qui appropinquant, & attingunt sabbata falsa; qui dormiunt in lectis eburneis, & lasciuiunt in stratis suis: qui educunt agnos de gregibus, & vitulos de medio armento lactentes: qui applaudunt ad voces organorum, tamquam stabilia cogitarent, & non fugacia. Qui bibunt phialis vinum, & primariis vnguentis vnguntur, & non sunt affecti super contritione Ioseph, (populi Iudaici.) Quapropter nunc captiui erunt in primo ordine optimatum alio transeuntium, & transmutabitur domicilium maleficorum. Et tolletur hinnitus equorum ex Ephraim. Ac rursus per Hieremiam: Congregate carnes vestras & victimas; & comedite. Quia non de victimis & libationibus praecepi patribus vestris, quo die apprehendi manum eorum vt educerem eos de terra Ægypti. Et rursum per Dauidem, in quadragesimonono psalmo sic infit: Deus deorum Dominus loquutus est, & vocauit terram ab ortu Solis vsque ad occasum. Ex Sion decentia pulchritudinis eius. Deus manifesto veniet, Deus noster; & non silebit: Ignis in conspectu eius ardebit, & circum eum procella ignis ingens. Euocabit cælum sursum, & terram; vt iudicet populum suum. Congregate ei sanctos ipsius, disponentes testamentum eius super sacrificiis. Et annunciabunt cæli iustitiam eius: Quoniam Deus iudex est. Audi popule meus, & loquar tibi Israel, & testificabor tibi: Deus, Deus tuus, sum ego. Non de sacrificiis tuis arguam te. Holocausta tua in conspectu meo sunt semper. Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos: Quoniam mea sunt omnes feræ agri, iumenta in montibus, & boues. Noui omnes volucres cæli; & pulchritudo agri mecum est. Si esuriero, non dicam tibi: Meus enim est orbis terræ, & plenitudo eius. Num carnes taurorum comedo; aut sanguinem hircorum bibo? Sacrifica Deo sacrificium laudis, & redde Altissimo vota tua: & inuoca me in die tribulationis; & eripiam te, & glorificabis me. Peccatori autem dixit Deus: Quare tu enarras iustificationes meas, & assumis testamentum meum per os tuum? Tu vero odisti disciplinam, & abiecisti sermones meos retrorsum. Si videbas furem, currebas cum eo: & cum adultero portionẽ tuam ponebas. Os tuum abundauit malicia, & lingua tua concinnauit dolos. Sedens aduersus fratrem tuum loquebaris, & aduersus filiũ matris tuæ ponebas offendiculum. Hoc fecisti, & tacui. Suspicabaris me iniquitate tui fore similem, arguam te, & exhibebo in faciẽ tuã peccata tua.

Intelligite tandē hæc qui obliti eſtis Dei; ne quando rapias, & non ſit qui eripiat. Sacrificium laudis glorificabis me: atque illic iter, vbi oſtendam ipſi Salutare meum. Itaque ſacrificia a vobis nō recipit, neque primitus tamquam penuria laborans, hæc præcepit vobis; ſed propter delicta veſtra. Nam & templum quod vocatur Hieroſolymitanum, nō veluti indigus, vel domum vel aulam ſuā faſſus eſt: verum vt ibi quoque in illum intēti, ſimulacra ne coleretis. Et quod hoc ſic habeat, Eſaias inquit: *Qualem domum ædificabitis mihi? dicit Dominus. Cælum mihi ſedes eſt, & terra ſubſellium pedum meorum.* Quod ſi iſta ad hunc modum non fuerimus profeſſi, eueniet nobis vt in abſurdas incidamus cogitationes, quod non idem Deus tēporibus Enochi & aliorū omniū fuerit; qui neq; circumciſionē, quā in carne non habebant, neq; ſabbatū ſeruauerunt, neq; alia inſuper quæ Moſes fieri mandauit: aut quod non eadem eorundem iuſta, ſemper genus omne hominum exſequi voluerit. Quæ ſane ridicula & ſtulta ad profitēdum eſſe apparent. Per cauſam vero & culpam hominum peccatorum, Deum, qui idem ſemper eſt iſta & his ſimilia ſanxiſſe, ſi profiteamur, eum ipſum perhumanum & futurorum præſciū, & locupletem, & iuſtū & bonū eſſe (vt eſt) decreuerimus. Quod ſi hæc non ita habent, reſpondete mihi, o viri, de hiſce quæ in quæſtionem venerūt, quid vos ſentiatis. Et cum nemo quidquam diceret: Itaque, inquam, o Trypho, tibi, & eis qui proſelyti CHRISTI eſſe volunt, doctrinam ego diuinā promulgabo, quam de viro illo audiui. Videtiſne, elementa & primordia rerum non ceſſare, neque ſabbata agere? Manete ſicut generati eſtis. Si namque ante Abraam non fuit vſus circumciſionis, neq; ante Moſen celebrationis ſabbati & feriarū & oblationum: neque nunc quidem, poſt filium Dei IESVM CHRISTVM, de conſilio & voluntate Dei, abſq; peccato, ex virgine generis Abrahæ natum, conſimiliter eis eſt opus. Nam & ipſe Abraam, in præputio adhuc cum eſſet, propter fidem, qua Deo credidit, iuſtificatus eſt, & benedictione auctus; prout Scriptura indicat. Circumciſionem autem in ſignum, nō ad iuſticiam accepit: quemadmodum & Scripturæ, & res ipſæ nos fateri cogunt. Quocirca iure dictum eſt de populo illo, exterminatum iri animam eā ex genere ſuo, quæ non circūcidetur octauo die. Et quod genus muliebre circumciſionis carnalis capax non eſt, ſatis id oſtendit, in ſignum datam circumciſionem iſtam, & non vt iuſticiæ opus. Iuſta namque & placita ſibi, pulchraque omnia ex æquo & fœminas ſeruare poſſe, effecit Deus: verum faciem quidem carnis aliam cernimus creatam eſſe maris atque fœminæ: ea vero ipſa de cauſa, neutrum eorum neque iuſtum neque iniuſtum eſſe ſcimus: ſed aut propter veram religionem

συνίετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου. Οὔτε οὖν θυσίας παρ' ὑμῶν λαμβάνει, οὔτε ὡς ἐνδεὴς τὴν ἀρχὴν ἐνετείλατο ποιεῖν, ἀλλὰ διὰ τὰς ἁμαρτίας ὑμῶν. καὶ γὰρ τὸν ναὸν τὸν ἐν Ἱερουσαλὴμ ἐπικληθέντα, οὐχ ὡς ἐνδεὴς ὤν, ὡμολόγησεν οἶκον αὐτοῦ ἢ αὐλήν, ἀλλ' ὅπως κἂν κατὰ τοῦτο προσέχοντες αὐτῷ, μὴ εἰδωλολατρῆτε. καὶ ὅτι τοῦτ' ἐστιν, Ἡσαΐας λέγει, Ποῖον οἶκον ᾠκοδομήσατέ μοι; λέγει Κύριος. ὁ οὐρανός μοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ἐὰν δὲ ταῦτα οὕτως μὴ ὁμολογήσωμεν, συμβήσεται ἡμῖν εἰς ἄτοπα ἐμπίπτειν νοήματα, ὡς τοῦ αὐτοῦ Θεοῦ μὴ ὄντος τοῦ κατὰ τὸν Ἐνὼχ καὶ τοὺς ἄλλους πάντας, οἳ μήτε περιτομὴν τὴν κατὰ σάρκα ἔχοντες, μήτε σάββατα ἐφύλαξαν, μήτε δὲ τὰ ἄλλα, Μωσέως ἐντειλαμένου ταῦτα ποιεῖν· ἢ τὰ αὐτὰ αὐτῶν δίκαια μὴ ἀεὶ παντὶ γένει ἀνθρώπων βεβουλῆσθαι πράσσειν· ἅπερ γελοῖα καὶ ἀνόητα ὁμολογεῖν φαίνεται. δι' αἰτίαν δὲ τὴν τῶν ἁμαρτωλῶν ἀνθρώπων, τὸν αὐτὸν ὄντα ἀεὶ, ταῦτα καὶ τὰ τοιαῦτα ἐντετάλθαι ὁμολογεῖν, καὶ φιλάνθρωπον, καὶ προγνώστην, καὶ ἀνενδεῆ, καὶ δίκαιον, καὶ ἀγαθὸν ἀποφαίνειν ἐστίν. ἐπεὶ εἰ μὴ ταῦτα οὕτως ἔχει, ἀποκρίνασθέ μοι ὦ ἄνδρες, περὶ τῶν ζητουμένων τούτων ὅ τι φρονεῖτε. 47
καὶ μηδὲν μηδενὸς ἀποκριναμένου, Διὰ ταῦτά σοι, ὦ Τρύφων, καὶ τοῖς βουλομένοις προσηλύτοις γενέσθαι, κηρύξω ἐγὼ θεῖον λόγον, ὃν παρ' ἐκείνου ἤκουσα τοῦ ἀνδρός. Ὁρᾶτε ὅτι τὰ στοιχεῖα οὐκ ἀργεῖ, οὐδὲ σαββατίζει; μείνατε ὡς γεγένησθε. εἰ γὰρ πρὸ τοῦ Ἀβραὰμ οὐκ ἦν χρεία περιτομῆς, οὐδὲ πρὸ Μωϋσέως σαββατισμοῦ καὶ ἑορτῶν καὶ προσφορῶν, οὐδὲ νῦν μετὰ τὸν κατὰ τὴν βουλὴν τοῦ Θεοῦ, δίχα ἁμαρτίας τῆς ἀπὸ γένους τοῦ Ἀβραὰμ παρθένου γεννηθέντα υἱὸν Θεοῦ Ἰησοῦν Χριστὸν, ὁμοίως ἐστὶ χρεία. καὶ γὰρ αὐτὸς ὁ Ἀβραὰμ ἐν ἀκροβυστίᾳ ὤν, διὰ τὴν πίστιν ἣν ἐπίστευσε τῷ Θεῷ, ἐδικαιώθη καὶ εὐλογήθη, ὡς ἡ γραφὴ σημαίνει· τὴν δὲ περιτομὴν εἰς σημεῖον, ἀλλ' οὐκ εἰς δικαιοσύνην ἔλαβεν, ὡς καὶ αἱ γραφαὶ καὶ τὰ πράγματα ἀναγκάζει ἡμᾶς ὁμολογεῖν. ὥστε δικαίως εἴρηται περὶ ἐκείνου τοῦ λαοῦ, ὅτι Ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ἣ οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. καὶ τὸ μὴ δύνασθαι δὲ τὸ θῆλυ γένος τὴν σαρκικὴν περιτομὴν λαμβάνειν, δείκνυσιν ὅτι εἰς σημεῖον ἡ περιτομὴ αὕτη δέδοται, ἀλλ' οὐχ ὡς ἔργον δικαιοσύνης. τὰ γὰρ δίκαια καὶ ἐνάρετα ἅπαντα ὁμοίως καὶ τὰς θηλείας δύνασθαι φυλάσσειν ὁ Θεὸς ἐποίησεν· ἀλλὰ σχῆμα μὲν τὸ τῆς σαρκὸς ἕτερον καὶ ἕτερον ὁρῶμεν γεγενημένον ἄρρενος καὶ θηλείας· διὰ δὲ τοῦτο, οὐδὲ δίκαιον οὐδὲ ἄδικον οὐδέτερον αὐτῶν ἐπιστάμεθα, ἀλλὰ δι' εὐσέ-

βειαν καὶ δικαιοσύνην. καὶ τοῦτο μὲν οὖν δυνατὸν ἦν ἡμῖν ἐπιδεῖξαι ὦ ἄνδρες, ἔλεγον, ὅτι ἡ ἡμέρα ἡ ὀγδόη μυστήριόν τι εἶχε κηρυσσόμενον διὰ τούτων ὑπὸ τοῦ Θεοῦ μᾶλλον τῆς ἑβδόμης. ἀλλ' ἵνα τὰ νῦν μὴ ἐπ' ἄλλους ἐκτρέπεσθαι λόγους δοκῶ, συνίετε, βοῶ, ὅτι τὸ αἷμα τῆς περιτομῆς ἐκείνης κατήργηται, καὶ αἵματι σωτηρίῳ πεπιστεύκαμεν· ἄλλη διαθήκη τὰ νῦν, καὶ ἄλλος ἐξῆλθεν ἐκ Σιὼν νόμος. Ἰησοῦς Χριστὸς πάντας τοὺς βουλομένους περιτέμνει, ὥσπερ ἄνωθεν ἐκηρύσσετο, πετρίναις μαχαίραις, ἵνα γένηται ἔθνος δίκαιον, λαὸς φυλάσσων πίστιν, ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰρήνην. Δεῦτε σὺν ἐμοὶ πάντες οἱ φοβούμενοι τὸν Θεὸν, οἱ θέλοντες τὰ ἀγαθὰ Ἱερουσαλὴμ ἰδεῖν. δεῦτε πορευθῶμεν τῷ φωτὶ Κυρίου· ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον Ἰακώβ. δεῦτε πάντα τὰ ἔθνη, συναχθῶμεν εἰς Ἱερουσαλὴμ τὴν μηκέτι πολεμουμένην διὰ τὰς ἀνομίας τῶν λαῶν. Ἐμφανὴς γὰρ ἐγενήθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι, βοᾷ διὰ Ἡσαΐου. εἶπα, Ἰδού εἰμι ἔθνεσιν, οἳ οὐκ ἐπεκαλέσαντό μου τὸ ὄνομα. ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ὁδῷ οὐ καλῇ, ἀλλὰ ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. λαὸς ὁ παροξύνων με ἐναντίον μου. σὺν ὑμῖν καὶ κληρονομῆσαι βουλήσονται κἂν ὀλίγον τόπον οὗτοι οἱ δικαιοῦντες ἑαυτοὺς, καὶ λέγοντες εἶναι τέκνα Ἀβραὰμ, ὡς διὰ τοῦ Ἡσαΐου βοᾷ τὸ ἅγιον πνεῦμα, ὡς ἀπὸ προσώπου αὐτῶν λέγον τάδε· Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης· ποῦ δή ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, ὅτι ἠνέσχου ἡμῶν Κύριε; σὺ γὰρ ἡμῶν εἶ πατὴρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς· καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σὺ Κύριε πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς. ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου· ἐσκλήρυνας ἡμῶν τὴν καρδίαν τοῦ μὴ φοβεῖσθαί σε; ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς. ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρό-
48 μος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡς ἀπὸ πυρὸς κηρὸς τήκεται. καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου ἐν τοῖς ὑπεναντίοις· ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται. ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν, πλὴν σοῦ· καὶ τὰ ἔργα σου ἃ ποιήσεις τοῖς μετανοοῦσιν ἔλεον, συναντήσεται τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· διὰ τοῦτο ἐπλανήθημεν καὶ ἐγενόμεθα ἀκάθαρτοι πάντες, καὶ ὡς ῥάκος ἀποκαθημένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν· καὶ ἐξερρύημεν ὡς φύλλα διὰ τὰς ἀνομίας ἡμῶν· οὕτως ἄνεμος οἴσει ἡ-

gionē & iustitiā [iustum; aut per idololatriā & iniustitiam iniustum.] Atque illud etiā, o viri, dixi ego, ostēdere possem, diem octauū circūcisionis, arcanū quoddā præ septimo sacramentum habuisse, quod per hunc a Deo promulgatum sit: verum ne in præsentia in alium diuertere sermonem videar, intelligite quod clamo; sanguinem circumcisionis illius abrogatum esse, & sanguini nos salutari credidisse: aliud nūc esse fœdus & testamentum, & aliā exiuisse ex Sione legem, IESVM CHRISTVM: qui volentes omnes circumcidit, sicuti priscis temporibus renūciatum est, saxeis cultris, [& Spiritu sancto:] vt sit ei gens iusta, populus seruans fidem, aspirās ad veritatem, & custodiens pacem. Adeste vna mecum omnes qui timetis Dominum, qui videre vultis bona Hierosolymæ. Venite accedamus ad lucē Domini. Liberauit enim populum suum, domū Iacobi. Venite omnes gentes. Conueniamus in Hierusalem, quæ non amplius expugnatur propter peccata populorum. *Manifestatus enim sum his qui me non quærunt: inuentus sum his qui me non interrogant*; clamat Dominus per Esaiam: *Dixi, Ecce adsum gentibus, quæ non inuocauerunt nomen meum. Expandi manus meas tota die ad populum incredulum & contradicentem, in via bona non incedentem, peccata sua sequentem. Populus est qui incitat me ante faciem meam.* Qui nobiscum hæreditate cernere optant vel pauxillum loci, (iustificantes seipsos, & dicētes se esse filios Abrahæ) prout per Esaiam iam vociferatur Spiritus sanctus, ex persona eorum hæc dicens; *Aduerte de cælo, & prospice de tabernaculo sanctuarij tui & gloriæ. Vbi est æmulatio & fortitudo tua? vbi multitudo misericordiæ tuæ? Quoniam sustinuisti nos Domine. Tu enim es pater noster: quia Abraam non nouit nos, & Israel ignorauit nos. At tu Domine pater noster, libera nos: ab initio nomen tuum super nos est. Quare errare fecisti nos? indurasti cor nostrum, vt ne timeamus te? Conuertere propter seruos tuos [Abraam, Isaac, Iacob,] propter tribus hæreditatis tuæ, vt paululum hæreditate acquiramus de monte sancto tuo. Facti sumus vt ab initio, cum non imperares nobis, neque inuocaretur nomen tuum super nos. Cum aperueris cælum, tremor corripiet a te montes, & diffluent sicut ab igne cera diffluit: & exuret ignis aduersarios, & manifestum erit nomen tuum inter inimicos. A facie tua gentes conturbabuntur. Cum feceris gloriosa, tremor a te corripiet montes. A seculo condito non audiuimus, neque oculi nostri viderunt Deum præter te: & opera tua quæ facies pœnitentiam agentibus misericordia: & obuiam venies operantibus iustitiam; & viarum tuarum recordabuntur. Ecce tu ira exarsisti, & nos peccauimus: propterea in errorem seducti sumus, & impuri facti sumus omnes, & veluti pannus menstruata cuncta iustitia nostra. Et defluximus tamquam folia, propter iniquitates nostras. ita ventus deferet nos.*

& non est qui inuocet nomen tuum, non qui meminerit vt prehendat te: quoniam auertisti vultum tuum a nobis. & tradidisti nos, propter peccata nostra. Etiam nūc conuertere Domine; quia populus tuus omnes nos. Ciuitas sanctuarij tui facta est deserta; Hierusalem in exsecrationem: Domus, sanctuarium tuum, & gloria, cui benedicentes patres nostri eam laudauerunt, igni vastata est: Et omnia gloriosa nostra conciderunt. Atque in his sustinuisti Domine, & tacuisti, & humiliasti nos vehementer. Ac Trypho: Quid est quod ais? neminem nostrum hereditatem consequuturum esse in monte sancto Dei? Et ego: Non hoc dico: verum, qui CHRISTVM persequuti sunt & persequuntur, atque pœnitentiam non agunt, nullam capient in monte sancto hereditatem. Gentes autem quæ in illum credunt, & pœnitentia delictorum resipiscēdo ducūtur, ipsę hæreditate crescent cum patriarchis & prophetis, & iustis quicumque a Iacobo prognati sunt. Hæ, etiāsi sabbata non seruent, neque circumcidantur, neque dies festos celebrent, omnino sanctam Dei hæreditatem adibūt. Deus enim per Esaiam ita loquitur: *Ego Dominus Deus vocaui te in iusticia. Et apprehendam manū tuā, & fortem reddam te. Et dedi te in testamentum generis, in lucem gentium, vt aperires oculos cæcorum; educeres e vinculis cōpeditos, & e domo carceris sedentes in tenebris.* Et iterum: *Eleuate signum ad gentes. Ecce enim Dominus auditum fecit, vsque ad extremum terræ. Dicite filiabus Sionis: Ecce tibi Saluator aduenit, acceptam ferens mercedem suam. Et opus a facie eius. Et vocabit ipsum Populum sanctum, redemptum a Domino,* [Christianos.] *Tu autem vocaberis Quæsita ciuitas, & non derelicta,* [Ecclesia.] *Quis est ille adueniens ex Edom, tinctura vestium eius ex Bosor? Iste formosus in stola, ascendens violenter cum fortitudine? Ego dissero iusticiam & iudicium Salutaris. Quare rubra sunt vestimenta tua, & indumenta tua veluti a lacu calcato vua calcata pleno? Lacum vnus ipse & solus calcaui, nec est vir gentium mecum. Et calcaui eos in furore, & contudi eos vt terram, & deduxi sanguinem eorum in terram. Dies enim retributionis venit eis, & annus redemptionis adest. Et respexi, & non aderat adiutor: & animaduerti, & nemo suscipiens erigebat. & liberauit brachium, & furor meus institit: & calcaui eos in ira mea, & deduxi sanguinem eorum in terram.*

Et Trypho: Quare quæ vis ex propheticis sermonibus seligens, recitas: eorum autem quæ diserte sabbatum agere iubent, mentionem non facis? nam per Esaiam ita est dictum: *Si auerteris pedem tuum in sabbatis, vt non facias voluntatem tuam in die sancto. & vocaueris sabbata delicata sancta Dei tui: non mouebis pedem tuū ad opus tuū,*

μᾶς· καὶ οὐκ ἔστιν ὁ ἐπικαλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σοῦ, ὅτι ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, καὶ παρέδωκας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ νῦν ἐπίστρεψον Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς· ἡ πόλις τοῦ ἁγίου σου ἐγενήθη ἔρημος, Σιὼν ὡς ἔρημος ἐγενήθη, Ἱερουσαλὴμ εἰς κατάραν· ὁ οἶκος, τὸ ἅγιον ἡμῶν, καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέρες ἡμῶν, ἐγενήθη πυρίκαυστος, καὶ πάντα τὰ ἔθνη ἔνδοξα συνέπεσε, καὶ ἐπὶ τούτοις ἀνέσχου Κύριε καὶ ἐσιώπησας, καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα:- καὶ ὁ Τρύφων, Τί οὖν ἐστιν ὃ λέγεις; ὅτι οὐδεὶς ἡμῶν κληρονομήσει ἐν τῷ ὄρει τῷ ἁγίῳ τοῦ Θεοῦ οὐδέν; κἀγώ, Οὐ τοῦτο, φημί, ἀλλ' οἱ τὸν Χριστὸν διώξαντες, καὶ διώκοντες, καὶ μὴ μετανοοῦντες, οὐ κληρονομήσουσιν ἐν τῷ ὄρει τῷ ἁγίῳ οὐδέν· τὰ δὲ ἔθνη τὰ πιστεύσαντα εἰς αὐτόν, καὶ μετανοήσαντα ἐφ' οἷς ἥμαρτον, αὐτοὶ κληρονομήσουσι μετὰ τῶν πατριαρχῶν καὶ τῶν προφητῶν καὶ τῶν δικαίων ὅσοι ἀπὸ Ἰακὼβ γεγέννηνται· εἰ καὶ μὴ σαββατίζουσι, μηδὲ περιτέμνονται, μηδὲ τὰς ἑορτὰς φυλάσσουσι, πάντως κληρονομήσουσι τὴν ἁγίαν τοῦ Θεοῦ κληρονομίαν. λέγει γὰρ ὁ Θεὸς διὰ Ἠσαΐου οὕτως· Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἰσχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει:- καὶ πάλιν, Ἐξάρατε συσσεισμὸν εἰς τὰ ἔθνη. ἰδοὺ γὰρ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. εἴπατε ταῖς θυγατράσι Σιών, Ἰδού σοι ὁ σωτὴρ παραγέγονεν ἀπέχων τὸν ἑαυτοῦ μισθόν, καὶ τὸ ἔργον ἀπὸ προσώπου αὐτοῦ, καὶ καλέσει αὐτὸν λαὸν ἅγιον λελυτρωμένον ὑπὸ Κυρίου. σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐ καταλελειμμένη. τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; οὗτος ὡραῖος ἐν στολῇ, ἀναβαίνων βίᾳ μετὰ ἰσχύος. ἐγὼ διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου. διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ πλήρους καταπεπατημένης; ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ, καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. ἡμέρα γὰρ ἀνταποδόσεως ἦλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι, καὶ ἐπέβλεψα καὶ οὐκ ἦν βοηθός, καὶ προσενόησα καὶ οὐδεὶς ἀντελάβετο, καὶ ἐρρύσατο ὁ βραχίων, καὶ ὁ θυμός μου ἐπέστη, καὶ κατεπάτησα αὐτοὺς ἐν τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν:- καὶ ὁ Τρύφων, Διατί ἅπερ βούλει ἐκλεγόμενος ἀπὸ τῶν προφητικῶν λόγων λέγεις, ἃ δὲ διαῤῥήδην κελεύει σαββατίζειν, οὐ μέμνησαι; διὰ γὰρ Ἠσαΐου οὕτως εἴρηται, Ἐὰν ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων, τοῦ μὴ ποιεῖν τὰ θελήματά σου ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσῃς τὰ σάββατα τρυφερὰ ἅγια τῷ Θεῷ σου, οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργον,

οὐδὲ

49 οὐδὲ μὴ λαλήσῃς λόγον ἐκ τοῦ στόματός σου, καὶ ἔσῃ πεποιθὼς ἐπὶ Κύριον, καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς· καὶ ψωμιεῖ σε τὴν κληρονομίαν Ἰακὼβ τοῦ πατρός σου· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Κἀγώ, Οὐχ ὡς ἐναντιουμένων μοι τῶν τοιούτων προφητειῶν, ὦ φίλοι, παρέλιπον αὐτάς, ἀλλὰ ὡς ὑμῶν νενοηκότων καὶ νοούντων, ὅτι κἂν διὰ πάντων τῶν προφητῶν κελεύῃ ὑμῖν τὰ αὐτὰ ποιεῖν, ἃ καὶ διὰ Μωϋσέως ἐκέλευσε, διὰ τὸ σκληροκάρδιον ὑμῶν καὶ ἀχάριστον εἰς αὐτὸν ἀεὶ τὰ αὐτὰ βοᾷ, ἵνα κἂν οὕτως ποτὲ μετανοήσαντες εὐαρεστῆτε αὐτῷ, καὶ μήτε τὰ τέκνα ὑμῶν τοῖς δαιμονίοις θύητε, μήτε κοινωνοὶ κλεπτῶν, καὶ φιλοῦντες δῶρα, καὶ διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες, ἀλλ᾽ οὐδὲ πλήρεις τὰς χεῖρας αἵματος. καὶ γὰρ αἱ θυγατέρες Σιὼν ἐπορεύθησαν ἐν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν ἅμα παίζουσαι, καὶ σύρουσαι τοὺς χιτῶνας. Καὶ πάντες γὰρ ἐξέκλιναν, βοᾷ, πάντες ἄρα ἠχρειώθησαν. οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ἕως ἑνός. ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. Ὥσπερ οὖν τρόπον τὴν ἀρχὴν διὰ τὰς κακίας ὑμῶν ταῦτα ἐντέταλται, ὁμοίως διὰ τὴν ἐν τούτοις ἐπιμονήν, μᾶλλον δὲ ἐπίτασιν, διὰ τῶν αὐτῶν εἰς ἀνάμνησιν αὐτοῦ καὶ γνῶσιν ὑμᾶς καλεῖ. ὑμεῖς δὲ λαὸς σκληροκάρδιος καὶ ἀσύνετος, καὶ τυφλὸς καὶ χωλὸς, καὶ υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς, ὡς αὐτὸς λέγει, ἐστέ· τοῖς χείλεσιν αὐτὸν μόνον τιμῶντες, τῇ δὲ καρδίᾳ πόρρω αὐτοῦ ὄντες, ἰδίας διδασκαλίας καὶ μὴ τὰ ἐκείνου διδάσκοντες. ἐπεί, εἴπατέ μοι, τοὺς ἀρχιερεῖς ἁμαρτάνειν τοῖς σάββασι προσφέροντας τὰς προσφορὰς ἐβούλετο ὁ Θεός; ἢ τοὺς περιτεμνομένους καὶ περιτέμνοντας τῇ ἡμέρᾳ τῶν σαββάτων, κελεύων τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐκ παντὸς περιτέμνεσθαι τοὺς γεννηθέντας ὁμοίως, κἂν ᾖ ἡμέρα τῶν σαββάτων; ἢ οὐκ ἠδύνατο πρὸ μιᾶς ἡμέρας, ἢ μετὰ μίαν ἡμέραν τοῦ σαββάτου, ἐνεργεῖν τοὺς γεννωμένους, εἰ ἠπίστατο κακὸν εἶναι ἐν τοῖς σάββασιν; ἢ καὶ τοὺς πρὸ Μωϋσέως καὶ Ἀβραὰμ ὀνομασμένους δικαίους καὶ εὐαρέστους αὐτῷ γενομένους, μήτε τὴν ἀκροβυστίαν περιτετμημένους, μήτε τὰ σάββατα φυλάξαντας, διὰ τί οὐκ ἐδίδασκε ταῦτα ποιεῖν; Καὶ ὁ Τρύφων, Καὶ πρότερον ἀκηκόαμέν σου τοῦτο προβάλλοντος, καὶ ἐπεστήσαμεν· ἄξιον γάρ, ὡς ἀληθῶς εἰπεῖν, ἐπιστάσεως. καὶ ὅ μοι τοῖς πολλοῖς δοκεῖ λέγειν, ὅτι ἔδοξεν αὐτῷ. τοῦτο γάρ ἐστι πρόφασις ἀεὶ τοῖς μὴ δυναμένοις ἀποκρίνασθαι πρὸς τὸ ζητούμενον. Κἀγώ, Ἐπειδὴ ἀπό τε τῶν γραφῶν καὶ τῶν πραγμάτων, τάς τε ἀποδείξεις καὶ τὰς ὁμιλίας ποιοῦμαι, ἔλεγον, μὴ ὑπερτίθεσθε, μηδὲ διστάζετε πιστεῦσαι τῷ ἀπεριτμήτῳ ἐμοί.

nec loqueris verbum ex ore tuo: & Domino confides, & producet te ad bona terræ; & cibabit te hæreditate Iacobi patris tui. Os enim Domini loquutum est. At ego: Non perinde, inquã, eiusmodi prophetias omisi, o amici, quasi aduersentur mihi: sed quod vos intellexeritis & intelligatis, cum per prophetas omnes eadem vos facere iubeat Deus, quæ & per Mosen iussit, quod propter duriciã cordis vestri, & ingratæ erga illum mentis vitium, semper eadem vociferetur: vt vel hoc demum pacto aliquando resipiscentes illi complaceatis, ac neq; filios vestros dæmonibus sacrificetis, neque participes sitis furum, diligentes munera, & retributionem persequentes, pupillis non iudicãtes, & iudicio viduæ animum non aduertentes: denique, vt neque manus sanguine plenas habeatis. Etenim & *filiæ Sionis exìẽto ingressæ sunt collo, & nutibus oculorum colludentes, & tunicas trahentes.* nam *Omnes*, ille clamat, *declinauerunt; omnes certe inutiles facti sunt. non est intelligens, non est, vsque ad vnũ. linguis suis dolose egerunt. Sepulcrum patens guttur eorum; venenum aspidum sub linguis eorum: cõtritio & calamitas in viis eorum; & viam pacis nescierunt.* Proinde sicuti principio hæc, propter vitiositates vestras & malicias sunt imperata: ita propter perseuerantiam in illis, seu potius exaggerationem eorum vestram, per eadem vos subinde oracula, ad recordationem & notionem sui inuitat. Vos autem duro corde, & insipiẽs populus, & cæcus, & claudus, & filii estis quibus non est fides in ipsis: quemadmodum ipse ait; labiis tantum illum honorantes, corde longe ab eo remoti; ac propriam vestram, non illius docentes doctrinam. Dicite mihi, voluitne pontifices vestros in sabbatis, oblationibus offerendis, peccare Deus; aut circumcisos & circumcidentes sabbatorum die, iubens omnino die octauo recens genitos pariter circumcidi, quamuis in sabbatum dies is incideret? Annon potuit vno ante, vel vno post sabbatum die, circumcisionis sacrum in natis pueris peragi iubere, si malum esse hoc sabbatis facere sciuit? aut eos qui Mosem & Abraam præcesserunt, magni nominis iustos, sibique complacitos viros, neq; præputia circumcisos, neque sabbatorum obseruantes, quamobrem ista exsequi nõ docuit? Hic Trypho: Et antea te hoc proponere audiuimus. & insistentes animaduertimus, inquit. Dignum enim est, vt vere dicam, animaduersione [seu instantia.] Dicendum autem videtur, vt mea & multorum fert opinio, hoc ita illi placitum fuisse. Hic enim causarius prætextus est eorum qui ad percontationem respondere nequeunt. Et ego ex Scripturis, inquam, & ex rebus ipsis vobiscum agens, argumenta & demonstrationes affero. Non moramini igitur longius, neque dubitate mihi fidem habere, homini irresecto.

Breue vobis hoc, vt ad nos accedatis, restat tempus. At si aduentu suo CHRISTVS præuerterit, frustra pœnitentiã agetis, frustra vos ipsos complorabitis. nõ enim exaudiet vos. *Nouellate vobis noualia*, Hieremias ad populum vociferatus est: *& nolite serere super spinas.* Circumcidimini Domino, & recidite præputia cordium vestrorum. Itaque ne super spinas seueritis & locum aratro nõ excultum, vnde vobis frũctus nõ sit. Agnoscite CHRISTVM: & en vobis nouale pulchrum, pulchrum & pingue fuerit in cordibus vestris. *Ecce dies veniunt; dicit Dominus; & visitabo super omnes qui circumcisi sunt præputia sua; super Ægyptum, & super Iudam, & super Edom, & super filios Moabi. Quia omnes gentes incircumcisæ, & cuncta domus Israel incircumcisa cordibus suis.* Videtis vt Deus circumcisionem istam in signum datam nolit? neque enim Ægyptiis commoda est, neq; filiis Moabi, neque filiis Edomi. Quinetiam si quis Scytha sit & Persa, teneat autem Dei & CHRISTI eius notionem, & sempiterna iusta seruet, circumcisus tamen sit pulchra & vtili circumcisione; & gratus amicusque Deo fuerit, & donis eius atque oblationibus ille gaudeat. Proferam vobis, o viri amici, quæ ipse suo protulit ore, verba Dei, cum ad populum loquutus est per Malachiam, vnum duodecim prophetarum. Sunt autem hæc: *Non est mihi voluntas in vobis; dicit Dominus; & sacrificia vestra non suscipio ex manibus vestris: propterea quod ab ortu solis vsque ad occasum nomen meum glorificatum est in gentibus, & in omni loco sacrificium offertur nomini meo, & sacrificium purum: Quia honorificatur nomen meum in gentibus; dicit Dominus: vos autem profanatis illud.* Et per Dauidem inquit: *Populus quem non cognoui seruiuit mihi; in auditu auris obœdiuit mihi.* Glorificemus Deũ vna cõgregatæ gẽtes; quod & nos visitauit. Glorificemus eũ, per regẽ gloriæ, per Dominũ virtutũ. Propẽsa est bona voluntas eius in ipsas quoq; gentes: & libentius a nobis victimas accipit, quã a vobis. Quisnam igitur mihi est circũcisionis respectus, testimoniũ a Deo habenti? Quis baptismi illius vsus, Spiritu sancto baptizato? Hæc sic cõmemorans, me etiam eos persuasione in sentẽtiam nostram adducturum opinor, qui exigua sunt præditi mente. nõ enim a me composita sunt verba ista, neque arte humana exornata; verum ea Dauid ad psalterium suum cecinit; Esaias læto annunciauit nuncio; Malachias præconio suo promulgauit; Moses descripsit. Agnoscisne illa Trypho? in vestris reposita sunt litteris; immo in nostris potius quam vestris litteris. nos enim illis credimus & obsequimur; vos autem, dum legitis, mentem & sensum earum non assequimini. Ne ergo graues vos exhibueritis, neque per conuicium nobis corporis exprobraueritis præputium, quod ipse Deus formauit: neque quod calidis vtimur alimentis sabbatorum

βραχὺς οὗτος ὑμῖν περιλέλειπται τῆς προσηλύσεως χρόνος· ἐὰν φθάσῃ ὁ Χριστὸς ἐλθεῖν, μάτην μετανοήσετε, μάτην κλαύσετε· οὐ γὰρ εἰσακούσεται ὑμῶν. Νεώσατε ἑαυτοῖς νεώματα, Ἱερεμίας τῷ λαῷ κέκραγε· καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις. περιτέμνεσθε τῷ Κυρίῳ, καὶ περιτέμνεσθε τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν:- μὴ οὖν εἰς ἀκάνθας σπείρετε καὶ ἀνήροτον χωρίον, ὅθεν ὑμῖν καρπὸς οὐκ ἔστι. γνῶτε τὸν Χριστόν, καὶ ἰδοὺ νεὸς καλή, καλὴ καὶ πίων ἐν ταῖς καρδίαις ὑμῶν. Ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει Κύριος· καὶ ἐπισκέψομαι ἐπὶ πάντας περιτετμημένους ἀκροβυστίας αὐτῶν· ἐπ' Αἴγυπτον καὶ ἐπὶ Ἰούδαν, καὶ ἐπὶ Ἐδώμ, καὶ ἐπὶ υἱοὺς Μωάβ· ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητος καρδίας αὐτῶν:- Ὁρᾶτε ὡς οὐ ταύτην τὴν περιτομὴν τὴν εἰς σημεῖον δοθεῖσαν ὁ Θεὸς θέλει· οὐδὲ γὰρ Αἰγυπτίοις χρήσιμος, οὐδὲ τοῖς υἱοῖς Μωάβ, οὐδὲ τοῖς υἱοῖς Ἐδώμ· ἀλλὰ κἂν Σκύθης ᾖ τις, ἢ Πέρσης, ἔχει δὲ τὴν τοῦ Θεοῦ γνῶσιν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ φυλάσσει τὰ αἰώνια δίκαια, περιτέτμηται τὴν καλὴν καὶ ὠφέλιμον περιτομήν, καὶ φίλος ἐστὶ τῷ Θεῷ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ καὶ ταῖς προσφοραῖς χαίρει. παρέξω δὲ ὑμῖν, ἄνδρες φίλοι, καὶ αὐτὰ ῥήματα τοῦ Θεοῦ, ὅτε πρὸς τὸν λαὸν εἶπε διὰ Μαλαχίου ἑνὸς τῶν δώδεκα προφητῶν. ἔστι δὲ ταῦτα· Οὐκ ἔστι θέλημά μου ἐν ὑμῖν, λέγει Κύριος· καὶ τὰς θυσίας ὑμῶν οὐ προσδέχομαι ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῆς ἡλίου ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυσία προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· ὅτι τιμᾶται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό:- καὶ διὰ τοῦ Δαβὶδ ἔφη, Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου:- Δοξάσωμεν τὸν Θεὸν ἅμα τὰ ἔθνη συνελθόντα, ὅτι καὶ ἡμᾶς ἐπισκέψατο· δοξάσωμεν αὐτὸν διὰ τοῦ βασιλέως τῆς δόξης, διὰ τοῦ Κυρίου τῶν δυνάμεων. εὐδόκησε γὰρ καὶ εἰς τὰ ἔθνη, καὶ τὰς θυσίας ἥδιον παρ' ἡμῶν ἢ παρ' ὑμῶν λαμβάνει. τίς οὖν ἔτι μοι περιτομῆς λόγος ὑπὸ τοῦ Θεοῦ μαρτυρηθέντι; τίς ἐκείνου τοῦ βαπτίσματος χρεία ἁγίῳ πνεύματι βεβαπτισμένῳ; ταῦτα εἶμαι λέγων πείσειν καὶ τοὺς βραχὺν νοῦν κεκτημένους. οὐ γὰρ ὑπ' ἐμοῦ κατεσκευασμένοι εἰσὶν οἱ λόγοι, οὐδὲ τέχνῃ ἀνθρωπίνῃ κεκαλλωπισμένοι, ἀλλὰ τούτους Δαβὶδ μὲν ἔψαλλεν, Ἠσαΐας δὲ εὐηγγελίζετο, Ζαχαρίας δὲ ἐκήρυξε, Μωϋσῆς δὲ ἀνέγραψεν. ἐπιγινώσκεις αὐτούς Τρύφων; ἐν τοῖς ὑμετέροις ἀπόκεινται γράμμασι, μᾶλλον δὲ οὐχ ὑμετέροις, ἀλλ' ἡμετέροις· ἡμεῖς γὰρ αὐτοῖς πειθόμεθα· ὑμεῖς δέ, ἀναγινώσκοντες, οὐ νοεῖτε τὸν ἐν αὐτοῖς νοῦν. μὴ οὖν ἄχθεσθε, μηδὲ ὀνειδίζετε ἡμῖν τὴν τοῦ σώματος ἀκροβυστίαν, ἣν αὐτὸς ὁ Θεὸς ἔπλασε· μηδὲ ὅτι θερμὸν πίνομεν ἐν τοῖς

σάββασι, δεινὸν ἡγεῖσθε· ἐπειδὴ καὶ ὁ Θεὸς τὴν αὐτὴν διοίκησιν τοῦ κόσμου ὁμοίως καὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ πεποίηται, καθάπερ καὶ ἐν ταῖς ἄλλαις ἁπάσαις· καὶ οἱ ἀρχιερεῖς τὰς προσφορὰς, καθὰ καὶ ταῖς ἄλλαις ἡμέραις, καὶ ἐν ταύτῃ κεκελευσμένοι ἦσαν ποιεῖσθαι· καὶ οἱ τοσοῦτοι δίκαιοι, μηδὲν τούτων τῶν νομίμων πράξαντες, μεμαρτύρηνται ὑπὸ τοῦ Θεοῦ αὐτοῦ. ἀλλὰ τῇ αὐτῶν κακίᾳ ἐγκαλεῖτε, ὅτι καὶ συκοφαντεῖσθαι δυνατός ἐστιν ὁ Θεὸς ὑπὸ τῶν νοῦν μὴ ἐχόντων, ὡς τὰ αὐτὰ δίκαια μὴ πάντας ἀεὶ διδάξας. πολλοῖς γὰρ ἀνθρώποις ἄλογα καὶ οὐκ ἄξια Θεοῦ τὰ τοιαῦτα διδάγματα ἔδοξεν εἶναι, μὴ λαβοῦσι χάριν τοῦ γνῶναι, ὅτι τὸν λαὸν ὑμῶν πονηρευόμενον, καὶ ἐν νόσῳ ψυχικῇ ὑπάρχοντα, εἰς ἐπιστροφὴν καὶ μετάνοιαν τοῦ πατρὸς κέκληκε, καὶ αἰώνιός ἐστι μετὰ τὸν Μωυσέως θάνατον προσελθοῦσα ἡ προφητεία. καὶ διὰ τοῦ ψαλμοῦ τούτου εἴρηται ὦ ἄνδρες. καὶ ὅτι γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον ὁμολογοῦμεν αὐτὰ οἱ σοφισθέντες ἀπ᾽ αὐτῶν, ἐκ τοῦ καὶ μέχρι θανάτου ἀνεξαρνήτους ἡμᾶς γίνεσθαι τοῦ ὀνόματος αὐτοῦ, φαίνεται. ὅτι δὲ καὶ αἰτοῦμεν αὐτὸν οἱ πιστεύοντες εἰς αὐτὸν, ἵνα ἀπὸ τῶν ἀλλοτρίων, τουτέστιν ἀπὸ τῶν πονηρῶν καὶ πλάνων πνευμάτων συντηρήσῃ ἡμᾶς, ἀπὸ προσώπου ἑνὸς τῶν εἰς αὐτὸν πιστευόντων σχηματοποιήσας ὁ λόγος τῆς προφητείας λέγει, πᾶσι φανερόν ἐστιν. ἀπὸ γὰρ τῶν δαιμονίων, ἅ ἐστιν ἀλλότρια τῆς θεοσεβείας τοῦ Θεοῦ, οἷς πάλαι προσεκυνοῦμεν, τὸν Θεὸν ἀεὶ διὰ Ἰησοῦ Χριστοῦ συντηρηθῆναι παρακαλοῦμεν, ἵνα μετὰ τὸ ἐπιστρέψαι πρὸς Θεὸν δι᾽ αὐτοῦ, ἄμωμοι ὦμεν. Βοηθὸν γὰρ ἐκεῖνον καὶ λυτρωτὴν καλοῦμεν· οὗ καὶ τὴν τοῦ ὀνόματος ἰσχὺν καὶ τὰ δαιμόνια τρέμει, καὶ σήμερον ἐξορκιζόμενα κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου τοῦ γενομένου ἐπιτρόπου τῆς Ἰου-
51 δαίας, ὑποτάσσεται· ὡς καὶ ἐκ τούτου πᾶσι φανερὸν εἶναι ὅτι ὁ πατὴρ αὐτοῦ τοσαύτην ἔδωκεν αὐτῷ δύναμιν, ὥστε καὶ τὰ δαιμόνια ὑποτάσσεσθαι τῷ ὀνόματι αὐτοῦ, καὶ τῇ τοῦ γενομένου πάθους αὐτοῦ οἰκονομίᾳ. εἰ δὲ τῇ τοῦ πάθους αὐτοῦ οἰκονομίᾳ τοσαύτη δύναμις δείκνυται παρακολουθήσασα καὶ παρακολουθοῦσα, πόση ἡ ἐν τῇ ἐνδόξῳ γινομένη αὐτοῦ παρουσίᾳ; ὡς υἱὸς γὰρ ἀνθρώπου ἐπάνω νεφελῶν ἐλεύσεται, ὡς Δανιὴλ ἐμήνυσεν, ἀγγέλων σὺν αὐτῷ ἀφικνουμένων. εἰσὶ δὲ οἱ λόγοι οὗτοι· Ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν· καὶ ὁ παλαιὸς ἡμερῶν ἐκάθητο, ἔχων περιβολὴν ὡσεὶ χιόνα λευκὴν, καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ ὡσεὶ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἐκ προσώπου αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. βίβλοι ἀνεῴχθησαν, καὶ κριτήριον ἐκάθισεν. ἐθεώρουν τότε τὴν φωνὴν τῶν μεγάλων λόγων, ὧν τὸ κέρας λαλεῖ· καὶ ἀπετυμπανίσθη τὸ θηρίον, καὶ ἀπώλετο τὸ σῶμα

batorum diebus, dirum existimaueritis: quandoquidem & Deus eandem hocce die pariter atque aliis omnibus, mundi instituit administrationem. & Pontifices, sicuti reliquis diebus, ita & illo, oblationibus offerẽdis, operari iussi sunt: & tanto numero iusti, cum nihil rerum harum lege sancitarum præstiterint, testimonium a Deo retulerunt. Sed & vestræ ipsorũ maliciæ adscribite, quod sycophantiis & calumniis quoque Deus expeti ab eis possit, quibus mens non est; quasi ille non eadem vniuersos iura docuerit. Permultis namque mortalibus irrationabilia, & Deo indigna visa sunt eiuscemodi dogmata, qui non acceperunt gratiam vt cognoscerẽt quod populum vestrum maliciose agentem, & animi morbo laborantem, ad conuersionem & pœnitentiam [& cognitionem] Patris vocauerint. & quod æterna sit quæ a Mosæ morte progressa est prophetia, per Psalmum hoc, o viri, dictũ est. Et quod dulciora super mel & fauum dogmata ea esse fateamur, qui ab illis sapientiores facti sumus, ex eo quod ad mortem vsque nomen ipsius non abnegemus, satis apparet. Quod autem ipsum etiam, qui in eum credimus, oramus vt nos ab alienis, hoc est a malignis & impostoribus spiritibus conseruet, vt ex persona vnius in illum credentium prophetiæ verbum figurate conformatum dicit, omnibus est manifestum. Nam a dæmoniis, quæ sunt a cultu Dei aliena, & quæ antiquitus adorauimus; Deum numquam non, vt nos per IESVM CHRISTVM custodiamur, imploramus: quo, postquam per illum ad Deum sumus conuersi, inculpabiles simus. Opitulatorem namque ipsum & Redemptorem nominamus. cuius etiam nominis potentiam dæmones tremunt & reformidant. & hodie quoque illi per nomen IESV CHRISTI crucifixi sub Pontio Pilato, qui Iudææ procuratorem egit, adiurati, nobis parent: vt inde etiã omnibus pateat, Patrem ei tantam dedisse potestatem & virtutẽ, vt & dæmonia nomini ipsius, & passionis eius obitæ functioni subiecta sint. Sin passionis eius obitæ prouinciam tantam consequutam esse, atque etiam nunc eam obtinere vim & potentiam ostenditur: quanta tandem ea futura est in glorioso ipsius aduentu? Nam tamquam filius hominis super nubibus veniet, quemadmodum Daniel indicauit, vna cum eo angelis aduenientibus. Sunt autem hæc verba Danielis: *Aspiciebam donec throni positi sunt: & Antiquus dierum consedit, habens operimentum veluti candidam niuem, & cæsaries capitis eius tamquam lana pura. Thronus eius quasi flamma ignis ardens. Fluuius ignis voluebatur, profluens e facie eius. Millies mille ministrabant ei; & decies millies decem millia apparebant ei. Libri [conscientiarum] aperti sunt; & iudicium consedit. Aspiciebam super vocem sermonum grandium, quos cornu loquebatur. & distenta est bestia, & interiit corpus eius:*

& data est in combustionem ignis. Et a reliquis etiam bestiis translatus est principatus earum, & tempus vitæ bestiis cõcessum, usque ad certum diem & tempus. Aspiciebam in visione noctis: & ecce cum nubibus cæli quasi filius hominis veniens, & usque ad Antiquum dierum peruenit. Et aderat in conspectu eius; & apparitores adduxerunt eum. Et data ei est potestas & dignitas regia, & gentes terræ per genera sua omnes & omnis gloria seruiẽt. Et potestas eius, potestas æterna, quæ non auferetur: & regnum eius non interibit:- Et inhorruit spiritus meus in habitudine mea, & visiones capitis mei turbarunt me. Et accessi ad unum ex assistentibus, & rem certam inquisiui ab eo de hisce omnibus. Respondens autem ille dixit, & iudicium sermonum declarauit mihi: Hæ bestiæ magnæ, quatuor sunt regna, quæ disperibunt a terra, & non suscipient regnum usq; in seculum, & usque in seculum seculorum:- Tunc accurate exquirere volui de quarta bestia, corrumpente omnia, & terribili admodum; cuius dentes ferrei, & ungues ærei; vorante & comminuente, & reliquias suas pedibus conculcante: & de decem cornibus eius in capite, & de uno quod succreuit, per quod ex prioribus tria protrusa sunt. Et cornu illud habebat oculos & os, loquens grandia: & aspectus eius excellebat alia. Et animaduertebã cornu id bellum mouere in sanctos, & fundere eos; quoad venit Antiquus dierũ, & iudicium dedit sanctis Altissimi. & tempus aduenit, & regnum occuparunt sancti Altissimi. Et dictum mihi est de quarta bestia: Regnum quartum erit in terra, quod longe omnia hæc regna superabit, & deuorabit terram omnem, & deuastabit atque delebit eã. Et decẽ cornua, decẽ reges cõsurgent: & alius post eos, atq; is, malis præstantior erit prioribus, & tres reges humiliabit, & verba in Altissimum proloquetur, & ceteros sanctos Altissimi conteret, & sumet sibi ut alteret dies & tempora. Et tradentur in manus eius usq; ad tempus, & tempora, & dimidium temporis. Et iudicium consedit. & principatum transferent, ut aboleant & disperdant usque in finem. Et regnum, & potestas, & amplitudo locorum regnorum quæ sub cælo sunt, data est Populo sancto Altissimi, ut regnent regno sempiterno: & potestates omnes subiicientur & obedient ei:- Huc usque finis verbi. Ego Daniel attonitus ecstasi correptus sum vehementer; ac sermo ad me pertinebat, & verbum in corde meo seruaui. Hic Trypho me quiescente, dixit: O homo, hæ atque consimiles Scripturæ, nos illustrem & magnum eum exspectare cogũt, qui ab Antiquo dierum tamquam Filius hominis accepturus est regnum sempiternum. Iste autẽ vester qui dicitur CHRISTVS, adeo inhonoratus & inglorius fuit, ut in extremam legis Dei inciderit exsecrationem. nam in crucem est actus. [in priore humili habitu & statu exinanitio-

αὐτοῦ, καὶ ἐδόθη εἰς καῦσιν πυρός· καὶ τὰ λοιπὰ θηρία μετεστάθη τῆς ἀρχῆς αὐτῶν, καὶ χρόνος ζωῆς τοῖς θηρίοις ἐδόθη, ἕως καιροῦ καὶ χρόνου. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος· καὶ ἦλθεν ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν, καὶ παρῆν ἐνώπιον αὐτοῦ· καὶ οἱ παρεστηκότες προσήγαγον αὐτόν· καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ τιμὴ βασιλική. καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ γένη, καὶ πᾶσα δόξα λατρεύουσα. καὶ ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ μὴ ἀρθῇ· καὶ ἡ βασιλεία αὐτοῦ οὐ μὴ φθαρῇ· καὶ ἔφριξε τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐτάρασσόν με. καὶ προσῆλθον πρὸς ἕνα τῶν ἑστώτων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ ὑπὲρ πάντων τούτων. ἀποκριθεὶς δὲ λέγει μοι, καὶ τὴν κρίσιν τῶν λόγων ἐδήλωσέ μοι. Ταῦτα τὰ θηρία τὰ μεγάλα, εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ ἀπολοῦνται ἀπὸ τῆς γῆς, καὶ οὐ παραλήψονται τὴν βασιλείαν ἕως αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος τῶν αἰώνων:- τότε ἤθελον ἐξακριβώσασθαι ὑπὲρ τοῦ τετάρτου θηρίου τοῦ καταφθείροντος πάντα καὶ ὑπερφόβου, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ· ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα αὐτοῦ τοῖς ποσὶ κατεπάτει· καὶ περὶ τῶν δέκα κεράτων αὐτοῦ ἐπὶ τῆς κεφαλῆς, καὶ ἐκ τοῦ ἑνὸς τοῦ προσφυέντος, καὶ ἐξέπεσον ἐκ τῶν προτέρων δι' αὐτοῦ τρία, καὶ τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε τὰ ἄλλα· καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς τοὺς ἁγίους, καὶ τροπούμενον αὐτοὺς, ἕως τοῦ ἐλθεῖν τὸν παλαιὸν ἡμερῶν· καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ ὑψίστου· καὶ ὁ καιρὸς ἐνέστη, καὶ τὸ βασίλειον κατέσχον ἅγιοι ὑψίστου. καὶ ἐρρέθη μοι περὶ τοῦ τετάρτου θηρίου· βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς γῆς, ἥτις διοίσει παρὰ πάσας τὰς βασιλείας ταύτας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ ἀναστατώσει αὐτὴν, καὶ καταλεανεῖ αὐτήν· καὶ τὰ δέκα κέρατα, δέκα βασιλεῖς ἀναστήσονται μετ' αὐτούς· καὶ οὗτος διοίσει κακοῖς ὑπὲρ τοὺς πρώτους, καὶ τρεῖς βασιλεῖς ταπεινώσει, καὶ ῥήματα πρὸς τὸν ὕψιστον λαλήσει, καὶ ἑτέρους ἁγίους τοῦ ὑψίστου κατατρίψει, καὶ προσδέξεται ἀλλοιῶσαι καιροὺς καὶ χρόνους· καὶ παραδοθήσονται εἰς χεῖρας ἕως καιροῦ καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ. καὶ ἡ κρίσις ἐκάθισε, καὶ τὴν ἀρχὴν μεταστήσουσι τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους. καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία, καὶ ἡ μεγαλειότης τῶν τόπων τῶν ὑπὸ τὸν οὐρανὸν βασιλειῶν, ἐδόθη λαῷ ἁγίῳ ὑψίστου βασιλεῦσαι βασιλείαν αἰώνιον· καὶ πᾶσαι ἐξουσίαι ὑποταγήσονται αὐτῷ, καὶ πειθαρχήσουσιν αὐτῷ:- ἕως ὧδε τὸ τέλος τοῦ 52
λόγου· ἐγὼ Δανιὴλ ἐκστάσει περιειχόμην σφόδρα, καὶ ἡ λέξις διήνεγκεν ἐμοὶ, καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου ἐτήρησα:- Καὶ ὁ Τρύφων παυσαμένου μου εἶπεν, Ὦ ἄνθρωπε, αὗται ἡμᾶς αἱ γραφαὶ καὶ τοιαῦται, ἔνδοξον καὶ μέγαν ἀναμένειν τὸν παρὰ τοῦ παλαιοῦ τῶν ἡμερῶν ὡς υἱὸν ἀνθρώπου παραλαμβάνοντα τὴν αἰώνιον βασιλείαν, ἀναγκάζουσιν· οὗτος δὲ ὁ ὑμέτερος λεγόμενος Χριστὸς, ἄτιμος καὶ ἄδοξος γέγονεν, ὡς καὶ τῇ ἐσχάτῃ κατάρᾳ τῇ ἐν τῷ νόμῳ τοῦ Θεοῦ περιπεσεῖν·

ἐσταυρώθη γάρ. Κἀγὼ πρὸς αὐτόν, Εἰ μέν, ὦ ἄνδρες, μὴ ἀπὸ τῶν γραφῶν ὧν προανιστόρησα, τὸ εἶδος αὐτοῦ ἄδοξον, καὶ τὸ γένος αὐτοῦ ἀδιήγητον, καὶ ἀντὶ τοῦ θανάτου αὐτοῦ τοὺς πλουσίους θανατωθήσεσθαι, καί, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ ὡς πρόβατον ἀχθήσεσθαι ἐλέγετο, καὶ δύο παρουσίας αὐτοῦ γενήσεσθαι ἐξηγησάμην, μίαν μὲν ἐν ᾗ ἐξεκεντήθη ὑφ' ὑμῶν, δευτέραν δὲ ὅτε ἐπιγνώσεσθε εἰς ὃν ἐξεκεντήσατε, καὶ κόψονται αἱ φυλαὶ ὑμῶν, φυλὴ πρὸς φυλήν, αἱ γυναῖκες κατ' ἰδίαν, καὶ οἱ ἄνδρες κατ' ἰδίαν, ἀσαφῆ καὶ ἄπορα ἐδόκουν λέγειν· νῦν δὲ διὰ πάντων τῶν λόγων ἀπὸ τῶν παρ' ὑμῖν ἁγίων καὶ προφητικῶν γραφῶν τὰς πάσας ἀποδείξεις ποιοῦμαι, ἐλπίζων τινὰ ἐξ ὑμῶν δύνασθαι εὑρεθῆναι ἐκ τοῦ κατὰ χάριν τὴν ἀπὸ τοῦ Κυρίου σαβαὼθ περιλειφθέντος εἰς τὴν αἰώνιον σωτηρίαν. ἵνα οὖν καὶ σαφέστερον ὑμῖν τὸ ζητούμενον νῦν γένηται, ἐρῶ ὑμῖν καὶ ἄλλους λόγους τοὺς εἰρημένους διὰ Δαβὶδ τοῦ μακαρίου· ἐξ ὧν καὶ Κύριον τὸν Χριστὸν ὑπὸ τοῦ ἁγίου προφητικοῦ πνεύματος λεγόμενον νοήσετε, καὶ τὸν Κύριον πάντων πατέρα ἀνάγοντα αὐτὸν ἀπὸ τῆς γῆς, καὶ καθίζοντα αὐτὸν ἐν δεξιᾷ αὐτοῦ, ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ· ὅπερ γίνεται ἐξότου εἰς τὸν οὐρανὸν ἀνελήφθη μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι, ὁ ἡμέτερος Κύριος Ἰησοῦς Χριστός, τῶν χρόνων συμπληρουμένων, καὶ τοῦ βλάσφημα καὶ τολμηρὰ εἰς τὸν ὕψιστον μέλλοντος λαλεῖν ἤδη ἐπὶ θύραις ὄντος, καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ διακαθέξειν Δανιὴλ μηνύει. καὶ ὑμεῖς ἀγνοοῦντες πόσον χρόνον διακατέχειν μέλλει, ἄλλο ἡγεῖσθε. τὸν γὰρ καιρὸν ἑκατὸν ἔτη ἐξηγεῖσθε λέγεσθαι. εἰ δὲ τοῦτό ἐστιν, εἰς τὸ ἐλάχιστον τὸν τῆς ἀνομίας ἄνθρωπον τριακόσια πεντήκοντα ἔτη βασιλεῦσαι δεῖ, ἵνα τὸ εἰρημένον ὑπὸ τοῦ ἁγίου Δανιὴλ, Καὶ καιρῶν, δύο μόνους καιροὺς λέγεσθαι ἀριθμήσωμεν. καὶ ταῦτα δὲ πάντα ἃ ἔλεγον, ἐν παρεκβάσεσι λέγω πρὸς ὑμᾶς, ἵνα ἤδη ποτὲ πεισθέντες τῷ εἰρημένῳ καθ' ὑμῶν ὑπὸ τοῦ Θεοῦ, ὅτι υἱοὶ ἀσύνετοί ἐστε, καὶ τό, Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτούς, καὶ ἀφελῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν αὐτῶν κρύψω:- παύσησθε καὶ ἑαυτοὺς καὶ τοὺς ὑμῶν ἀκούοντας πλανῶντες, καὶ παρ' ἡμῶν μανθάνοντες τῶν σοφισθέντων ἀπὸ τῆς τοῦ Χριστοῦ χάριτος. ἐστὶν οὖν καὶ οἱ λόγοι οἱ διὰ Δαβὶδ λεχθέντες οὗτοι· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών· καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου· συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς·

nis, & forma serui.] Et ego ad illū: Si quidē, o viri, ex Scripturis quas recitaui, a me nō dictū esset, formā eius obscuram, & genus inenarrabile fore, & pro morte eius diuites morte affectū, & liuore eius nos sanatū, atq; ipsum veluti ouē ductū iri: & nisi duplicē eius aduentū exposuissem; alterū, in quo punctus est a vobis; alterū, quādo agnoscetis in quē pupugeritis, & plangēt trib. vestræ, tribus ad tribū, mulieres seorsum, & viri seorsum: obscura & dubia me dicere putarē. Cū vero in omni hac dissertatione, ex sanctis vestris & propheticis litteris, omnes probationes meas adducā, aliquem ex vobis inueniri posse spero, per eam quæ a Domino Zebaoth prouenit gratiā, reliquū factū in salutē sempiternā. Itaq; vt liquidius id quod quæritur vobis pateat, allegabo verba alia, per Dauidē illū beatū promulgata: vnde simul & Dominū CHRISTVM ipsum a sancto prophetico Spiritu dictū esse, & Dominū rerū vniuersarū parentem adducere illū de terra, & collocare ad dexteram suam, donec ponat inimicos scabellū pedum suorū, intelligetis. Quod quidem fit iam inde ex eo tempore, cum in cælum, post resurrectionem a mortuis susceptus est Dominus noster IESVS CHRISTVS, temporibus ad finē suū currentibus. Et is qui impie & temerarie maledicta in Altissimum, proloquuturus est, iam pro foribus assistit: quem tempus & tempora, & dimidium temporis, detenturum esse Daniel præmonstrauit. Ac vos nescientes quam diu detenturus sit, aliud existimatis. Nam *Tempus*, centum annos dici exponitis. Quod si ita est, Iniquitatis hominem minimum trecentos quinquaginta annos regnare oportet: vt quod a sancto Daniele de temporibus est promulgatum, dicente, *Et tempora*, de duobus tantum temporibus [numero duali scilicet] dici intelligamus. Verum ista omnia quæ protuli, per digressiones apud vos refero: vt aliquando tandem, verbis illis a Deo contra vos prolatis fidē habētes, vos filios insipientes esse, & illi, *Propterea apponā vt transferam populum hunc, & transferam eos: & auferam sapientiam sapientum, & intelligentiam intelligentum ipsorum occultabo:* desinatis & vos ipsos, & eos qui vos audiūt, seducere, & a nobis discere incipiatis, quos gratia CHRISTI sapientes reddidit. Verba per Dauidē pronūciata sic habent: *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponā inimicos tuos scabellū pedū tuorū. Virgā virtutis emittet tibi Dominus ex Siō; & dominare in medio inimicorū tuorū. Tecū principatus in die virtutis tuæ in splendoribus sanctorum tuorum. Ex vtero ante Luciferum genui te. Iurauit Dominus, & nō pœnitebit eū: Tu es sacerdos in æternū, secundū ordinē Melchisedech. Dominus a dextris tuis confregit in die iræ suæ reges*

iudicabit in nationibus, supplebit ruinas. E torrente in via bibet; propterea exaltabit caput.

Atque hunc quidem Psalmum (dicere perrexi) audere vos in Ezechiam regem dictũ esse, interpretari, non ignoro. Quod autem errore seducti sitis, ex verbis ipsis statim vobis demonstrabo. *Iurauit Dominus, & non pœnitebit eum*, dictum est. &; *Tu sacerdos in æternum, secundum ordinem Melchisedech*: quæque sequuntur & præcedunt. Enimuero quod Ezechias sacerdos non fuerit, neque æternus Dei sit sacerdos, ne vos quidem ipsi aduersando asserere audebitis. Quod autem de nostro IESV dictæ sunt, etiam voces ipsæ declarant. Sed aures vestræ obturatæ sunt; & corda obcæcata. Nam dicendo, *Iurauit Dominus, & non ducetur pœnitentia: Tu sacerdos in æternum, iuxta ordinem Melchisedech*: iuramento interposito, propter incredulitatem vestram, Antistitem sacrorum eum Deus, secundum ritum Melchisedech, esse renunciauit: hoc est, quomodo Melchisedech sacerdos Altissimi factus esse a Mose scriptus est, atque is eorum qui cum præputio erant, sacerdos fuit, & ei qui [postea] in circumcisione [fuit & ante circumcisionem] sibi decimas obtulit, Abraæ benedixit: eodem modo sempiternum sacerdotem [a se ordinatum.] & Dominum a Spiritu sancto vocatum, illum Deus eorum qui in præputio sunt, fore, eosq; simul qui in circumcisione ad ipsum accessuri, id est ei credituri, atque benedictionem ab eo petituri essent, suscepturum, illisque benedicturum esse, significauit. Tum autem humilem ipsum primũ hominem fore, ac deinceps exaltatum iri, in fine Psalmi ostenditur. *E torrente* namq; *in via bibet*: & simul, *Propterea exaltabit caput.* Præterea vero, persuadendi vobis gratia, nihil vos in Scripturis intelligere, Psalmum quoque alium a Spiritu sancto per Dauidem decantatum referam; quem de Salomone rege etiam vestro dictum esse asseueratis, cum in CHRISTVM nostrum is quoque sit editus; vos autem cognomine siue æquiuoco verbo [sæpe] in errorẽ vosmetipsos inducitis. Nam vbi *lex Domini irreprehensibilis* dicitur, non eam quæ post illã futura erat, sed per Mosen latã legẽ ipsam exponitis; Deo vociferãte, *nouam se legem & nouum testamentum* conditurum esse. Et vbi dictum est; *Deus iudicium tuum Regi da*: quia Salomon rex fuit, in ipsũ, psalmũ dictũ esse affirmatis: verbis psalmi diserte præconiũ facientibus, in regem æternum, hoc est in CHRISTVM, promulgatũ esse. CHRISTVS enim *rex, & sacerdos, & Deus, & Dominus, & angelus* seu *nuncius, & homo, & archidux militiæq; princeps, & lapis, & puer natus: & perpessioni primũ obnoxius*, deinde *in calũ reuertens, & rediturus inde cũ gloria, & perpetuũ obtenturus regnũ*, deprædicatus est: sicut ex Scripturis omnib. demõstro. Vt aũt id etiã quod dixi, intelligatis, Psalmi verba recitabo:

κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα. ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται· διὰ τοῦτο ὑψώσει κεφαλήν:-

Καὶ τοῦτον τὸν ψαλμὸν ὅτι εἰς τὸν Ἐζεκίαν τὸν βασιλέα εἰρῆσθαι ἐξηγεῖσθαι τολμᾶτε, οὐκ ἀγνοῶ, ἐπεῖπον· 55 ὅτι δὲ πεπλάνησθε, ἐξ αὐτῶν τῶν λόγων αὐτίκα ὑμῖν ἀποδείξω. Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται, εἴρηται· καὶ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ τὰ ἐπαγόμενα, καὶ τὰ προάγοντα. ἱερεὺς δὲ ὅτι οὔτε γέγονεν Ἐζεκίας, οὔτε ἐστὶν αἰώνιος ἱερεὺς τοῦ Θεοῦ, οὐδὲ ὑμεῖς ἀντειπεῖν τολμήσετε, ὅτι δὲ περὶ τοῦ ἡμετέρου Ἰησοῦ εἴρηται, καὶ αὗται αἱ φωναὶ σημαίνουσι, τὰ δὲ ὦτα ὑμῶν πέφρακται, καὶ αἱ καρδίαι πεπήρωνται. τὸ γὰρ, Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ:- μεθ' ὅρκου ὁ Θεὸς διὰ τὴν ἀπιστίαν ὑμῶν ἀρχιερέα αὐτὸν κατὰ τὴν τάξιν Μελχισεδὲκ εἶναι ἐδήλωσε· τουτέστιν, ὃν τρόπον ὁ Μελχισεδὲκ ἱερεὺς ὑψίστου ὑπὸ Μωϋσέως ἀναγέγραπται γεγενῆσθαι, καὶ οὗτος τῶν ἐν ἀκροβυστίᾳ ἱερεὺς ἦν, καὶ τὸν ἐν περιτομῇ δεκάτας αὐτῷ προσενέγκαντα Ἀβραὰμ εὐλόγησεν, οὕτως τὸν αἰώνιον αὐτοῦ ἱερέα, καὶ Κύριον ὑπὸ τοῦ ἁγίου πνεύματος καλούμενον ὁ Θεὸς τῶν ἐν ἀκροβυστίᾳ γενήσεσθαι ἐδήλου, καὶ τοὺς ἐν περιτομῇ προσιόντας αὐτῷ, τουτέστι πιστεύοντας αὐτῷ καὶ τὰς εὐλογίας παρ' αὐτοῦ ζητοῦντας, καὶ αὐτοὺς προσδέξεται, καὶ εὐλογήσει. καὶ ὅτι ταπεινὸς ἔσται πρῶτον ἄνθρωπος, εἶτα ὑψωθήσεται, τὰ ἐπὶ τέλει τοῦ ψαλμοῦ δηλοῖ· Ἐκ χειμάῤῥου γὰρ ἐν ὁδῷ πίεται:- καὶ ἅμα, Διὰ τοῦτο ὑψώσει κεφαλήν:- Ἔτι δὲ καὶ πρὸς τὸ πεῖσαι ὑμᾶς ὅτι τῶν γραφῶν οὐδὲν συνήκατε, καὶ ἄλλου ψαλμοῦ τῷ Δαβὶδ ὑπὸ τοῦ ἁγίου πνεύματος εἰρημένου ἀναμνήσομαι, ὃν εἰς Σαλομῶνα τὸν γενόμενον καὶ αὐτὸν βασιλέα ὑμῶν εἰρῆσθαι λέγετε· εἰς δὲ τὸν Χριστὸν ἡμῶν καὶ αὐτὸς εἴρηται. ὑμεῖς δὲ ἀπὸ τῶν ὁμωνύμων λέξεων ἑαυτοὺς ἐξαπατᾶτε. ὅπου γὰρ ὁ νόμος τοῦ Κυρίου ἄμωμος εἴρηται, οὐχὶ τὸν μετ' ἐκεῖνον μέλλοντα, ἀλλὰ τὸν διὰ Μωϋσέως ἐξηγεῖσθε, τοῦ Θεοῦ βοῶντος, καινὸν νόμον καὶ καινὴν διαθήκην διαθήσεσθαι. καὶ ὅπου λέλεκται, Ὁ Θεὸς, τὸ κρίμα σου τῷ βασιλεῖ δός:- ἐπειδὴ βασιλεὺς Σαλωμὼν γέγονεν, εἰς αὐτὸν τὸν ψαλμὸν εἰρῆσθαί φατε, τῶν λόγων τοῦ ψαλμοῦ διαῤῥήδην κηρυσσόντων εἰς τὸν αἰώνιον βασιλέα, τουτέστιν εἰς τὸν Χριστὸν, εἰρῆσθαι. ὁ γὰρ Χριστὸς βασιλεὺς, καὶ ἱερεὺς, καὶ Θεὸς, καὶ Κύριος, καὶ ἄγγελος, καὶ ἄνθρωπος, καὶ ἀρχιστράτηγος, καὶ λίθος, καὶ παιδίον γεννώμενον, καὶ παθητὸς γενόμενος πρῶτον, εἶτα εἰς οὐρανὸν ἀνερχόμενος, καὶ πάλιν παραγινόμενος μετὰ δόξης, καὶ αἰώνιον τὴν βασιλείαν ἔχων κεκήρυκται, ὡς ἀπὸ πασῶν τῶν γραφῶν ἀποδείκνυμι. ἵνα δὲ καὶ ὃ εἶπον νοήσητε, τοὺς τοῦ ψαλμοῦ λόγους λέγω. εἰσὶ δ' οὗτοι·

Deus

Ὁ Θεὸς, τὸ κρίμά σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν κρίσει. ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης εἰς γενεὰς γενεῶν. καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη· καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι· βασιλεῖς Ἀράβων καὶ Σαβὰ, δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, καὶ πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ· ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός. φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει·
54 ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν· καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται διαπαντὸς περὶ αὐτοῦ· ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. καὶ ἔσται στήριγμα ἐν τῇ γῇ, ἐπ᾽ ἄκρων τῶν ὀρέων ὑπεραρθήσεται· ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς· ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο γένοιτο. καὶ ἐπὶ τέλει τοῦ ψαλμοῦ τούτου οὗ ἔφην, γέγραπται. Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ υἱοῦ Ἰεσσαί. Καὶ ὅτι μὲν βασιλεὺς ἔνδοξος ἐπιφανὴς καὶ μέγας ὁ Σολομῶν, ἐφ᾽ οὗ ὁ οἶκος Ἱερουσαλὴμ ἐπικληθεὶς ᾠκοδομήθη, ἐπίσταμαι· ὅτι δὲ οὐδὲν τῶν ἐν τῷ ψαλμῷ εἰρημένων συνέβη αὐτῷ, φαίνεται. οὔτε γὰρ πάντες οἱ βασιλεῖς προσεκύνησαν αὐτῷ, οὔτε μέχρι τῶν περάτων τῆς οἰκουμένης ἐβασίλευσεν, οὔτε οἱ ἐχθροὶ αὐτοῦ ἔμπροσθεν αὐτοῦ πεσόντες, χοῦν ἔλειξαν· ἀλλὰ καὶ τολμῶ λέγειν ἃ γέγραπται ἐν ταῖς Βασιλείαις ὑπ᾽ αὐτοῦ πραχθέντα, ὅτι διὰ γυναῖκα ἐν Σιδῶνι εἰδωλολάτρει· ὅπερ οὐχ ὑπομένουσι πρᾶξαι οἱ ἀπὸ τῶν ἐθνῶν διὰ Ἰησοῦ τοῦ σταυρωθέντος ἐπιγνόντες τὸν ποιητὴν τῶν ὅλων Θεόν, ἀλλὰ πᾶσαν αἰκίαν καὶ τιμωρίαν μέχρις ἐσχάτου θανάτου ὑπομένουσι περὶ τοῦ μήτε εἰδωλολατρῆσαι, μήτε εἰδωλόθυτα φαγεῖν. Καὶ ὁ Τρύφων, Καὶ μὴν πολλοὺς τῶν τὸν Ἰησοῦν λεγόντων ὁμολογεῖν καὶ λεγομένων Χριστιανῶν, πυνθάνομαι ἐσθίειν τὰ εἰδωλόθυτα, καὶ μηδὲν ἐκ τούτου βλάπτεσθαι λέγειν. Κἀγὼ ἀπεκρινάμην, Καὶ ἐκ τοῦ τοιούτους εἶναι ἄνδρας, ὁμολογοῦντας ἑαυτοὺς εἶναι Χριστιανούς,

Deus iudicium tuum regi da, & iustitiam tuã filio regis: vt iudices populum in iustitia, & pauperes tuos in iudicio. Suscipiant montes pacem populo, & colles iustitiam. Iudicabit pauperes populi, & saluabit filios pauperum: & humiliabit calumniatorem. Et permanebit cum sole, & ante lunam in generationes generationum. Descendet sicut pluuia in vellus, & quasi stilla destillans in terram. Exorietur in diebus eius iustitia, & multitudo pacis, donec auferatur luna. Et dominabitur a mari vsque ad mare, & a flumine vsque ad terminos orbis. Coram illo procident Æthiopes, & inimici eius humum lingent. Reges Tharsis, & insulæ [seu maris & insularum] munera offerent: Reges Arabum, & Saba, dona adducent. Et adorabunt eum omnes reges terræ, & omnes gentes seruient ei: Quoniam liberauit pauperem a potente, & inopem cui non erat adiutor. Parcet pauperi & inopi, & animas egenorum saluabit. Ex vsuris & iniquitate redimet animas eorum: & honorabile nomen eius in conspectu eorum. Et viuet, & dabitur ei de auro Arabiæ: & precabuntur de ipso semper. Tota die benedicent ei; & erit firmamentum in terra. Super summos montes extolletur; super Libanum fructus eius. & florebunt e ciuitate sicut herba terræ. Erit nomen eius benedictum in secula. Ante solem permanet nomen eius. Et benedicentur in ipso omnes tribus terræ; [iuxta promissiones Patribus factas.] Omnes gentes beatificabunt eũ. Benedictus Dominus Deus Israel, faciens admiranda solus. Et benedictum nomen gloriæ suæ in seculum & in seculum seculi: & replebitur gloria eius vniuersa terra. Fiat, fiat. Et in fine huius quem retuli Psalmi, scriptum est: *Defecerunt hymni Dauidis, filij Iesse.* Ac Salomonẽ quidẽ, regẽ illustrẽ & magnũ fuisse, sub quo tẽplũ quod vocatur Hierosolymitanũ, est constructũ, scio: Quod vero nihil eorũ quæ in Psalmo recensentur in eum ceciderit, in propatulo est. Neq; enim reges cũcti adorauerunt eũ, neq; vsq; ad fines orbis imperauit; neq; inimici ad pedes eius prouoluti puluerem linxerunt. Ego vero & ea quæ in libris Regnorum [siue Regũ] ab eo facta esse, scripta sunt, referre ausim: quod scilicet mulieris Sidoniæ causa, ad simulacrorum cultum sit delapsus. quod profecto in se admittere non sustinuerint qui ex gẽtib. per IESVM CHRISTVM crucifixũ, conditorẽ rerũ vniuersarũ Deũ cognouerũt: sed cruciatũ & suppliciũ omne potius ad extremã vsq; mortẽ tolerauerint, quãvel simulacra colant, vel simulacris immolata edãt. Et Trypho, Atqui plures, ait, qui se IESVM profiteri dicunt, & Christiani nominantur, audio simulacris mactata mãducare, & nihil se ex eo capere detrimẽti dicere. Cui respõdẽs; Eo quoq;, inquã, quod eiusmodi exstẽt viri, q se ꝓfitẽtur Christianos,

atque IESVM crucifixum, & Dominum & CHRISTVM laudant; sed nō illius, verum seductionis spirituum doctrinas docent: nos, qui puræ & veræ IESV CHRISTI disciplinæ sectatores sumus, in spe ab ipso annunciata, fide constantiores reddimur. Nam quæ ille præuertens in nomine suo factum iri dixit, ea oculis cernimus ad rē, operibus exsequendis, conferri. Dixit enim: *Multi venient in nomine meo, extrinsecus ouium pellibus induti; intrinsecus autē sunt lupi rapaces.* &; *Erunt dissidia & sectæ.* &; *Cauete vobis a pseudoprophetis; qui quidem ventūt ad vos extrinsecus induti pellibus ouium; intrinsecus vero sunt lupi rapaces.* &; *Exsurgent multi pseudochristi & pseudoapostoli; & multos fideliū seducent.* Sunt igitur, & fuerunt, viri amici, permulti, qui athea (hoc est impia) & blasphema & dicere & facere docuerunt, in nomine IESV progressi: & sunt a nobis, sub nomine eorum virorum, vnde doctrina & sententia quælibet exstitit, denominati. Alii namque alio modo blasphemare & maledictis incessere parentē vniuersitatis, & qui ab eo venturus vaticiniis promulgatus est, CHRISTVM & Deum Abrahæ & Isaaci & Iacobi, docent: cum quibus nihil nobis est communionis, atheos, atque a Deo alienos, & impios, & iniustos, & iniquos ipsos esse scientibus: quippe qui pro eo vt IESVM colant, nomine dumtaxat illum profiteantur: & Christianos se eo modo dicant, quo pleriq; omnes in gentibus nomen Dei inscribūt manufactis operibus, & iniquis se impiisque dæmoniorum polluunt sacris. Et sunt eorum quidam qui vocātur *Marcionitæ*: quidā vero *Valentiniani*, *Basilidiani*, *Saturniniani*, & alii alio præditi nomine; a principe sententiæ quisque nomen obtinens: non aliter quam eorum quilibet, qui sapientiæ operam dare putantur, sicut ab initio dixi, a parente doctrinæ, nomen eius cui nauat philosophiæ, censetur ferre. Ita vt, cum ex his ipsis, quemadmodum memoraui, IESVM eorum etiam quæ post ipsum futura erant, præscium norimus; tum ex aliis multis, quæ euentura vaticinatus est credentibus & profitentibus ipsum esse CHRISTVM. Nā quæ patimur, dum a vernaculis nostris necamur, omnia nobis euentura esse prædixit: adeo vt satis pateat, nullo modo reprehensibile esse dictum eius, aut factum vllum. Quapropter etiam pro vobis, & pro aliis omnibus hominibus qui nobis hostiliter aduersantur, oramus: vt resipiscentes nobiscum, non blasphemetis maledictisque proscindatis eum qui propter opera, & quæ etiam nunc a nomine eius fiunt virtutes, & doctrinæ suæ sermones, & vaticiniis in eum prædictas prophetias, modis omnibus irreprehensibilis atque inculpabilis est, CHRISTVM IESVM; sed in ipsum credentes, in futuro eius glorioso aduentu saluemini, nec ad ignē ab eo cōdemnemini.

καὶ τὸν σταυρωθέντα Ἰησοῦν ὁμολογεῖν καὶ Κύριον καὶ Χριστὸν, καὶ μὴ τὰ ἐκείνου διδάγματα διδάσκοντας, ἀλλὰ τὰ ἀπὸ τῶν τῆς πλάνης πνευμάτων, ἡμεῖς οἱ τῆς ἀληθινῆς Ἰησοῦ Χριστοῦ καὶ καθαρᾶς διδασκαλίας μαθηταὶ, πιστότεροι καὶ βεβαιότεροι γινόμεθα ἐν τῇ ἐλπίδι τῇ κατηγγελμένῃ ὑπ' αὐτοῦ. ἃ γὰρ προλαβὼν μέλλειν γίνεσθαι ἐν ὀνόματι αὐτοῦ ἔφη, ταῦτα ὄψει καὶ ἐνεργείᾳ ὁρῶμεν τελούμενα. εἶπε γάρ, Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, ἔξωθεν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· καί, Ἔσονται σχίσματα καὶ αἱρέσεις· καί, Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἐλεύσονται πρὸς ὑμᾶς, ἔξωθεν ἐνδεδυμένοι δέρματα προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· καί, Ἀναστήσονται πολλοὶ ψευδόχριστοι καὶ ψευδοαπόστολοι, καὶ πολλοὺς τῶν πιστῶν πλανήσουσιν. Εἰσὶν οὖν καὶ ἐγένοντο, ὦ φίλοι ἄνδρες, πολλοὶ οἱ ἄθεα καὶ βλάσφημα λέγειν καὶ πράττειν ἐδίδαξαν, ἐν ὀνόματι τοῦ Ἰησοῦ προσελθόντες· καί εἰσιν ὑφ' ἡμῶν, ἀπὸ τῆς προσωνυμίας τῶν ἀνδρῶν, ἐξ οὗπερ ἑκάστη διδαχὴ καὶ γνώμη ἤρξατο. ἄλλοι γὰρ κατ' ἄλλον τρόπον βλασφημεῖν τὸν ποιητὴν τῶν ὅλων, καὶ τὸν ὑπ' αὐτοῦ προφητευόμενον ἐλεύσεσθαι Χριστὸν, καὶ τὸν Θεὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ διδάσκουσιν· ὧν οὐδενὶ κοινωνοῦμεν, οἱ γνωρίζοντες ἀθέους καὶ ἀσεβεῖς, καὶ ἀδίκους καὶ ἀνόμους αὐτοὺς ὑπάρχοντας, καὶ ἀντὶ τοῦ τὸν Ἰησοῦν σέβειν, ὀνόματι μόνον ὁμολογεῖν· καὶ Χριστιανοὺς ἑαυτοὺς λέγουσιν, ὃν τρόπον οἱ ἐν τοῖς ἔθνεσι τὸ ὄνομα τοῦ Θεοῦ ἐπιγράφουσι τοῖς χειροποιήτοις, καὶ ἀνόμοις καὶ ἀθέοις τελεταῖς κοινωνοῦσι. καί εἰσιν αὐτῶν οἱ μέν τινες καλούμενοι Μαρκιανοὶ, οἱ δὲ Οὐαλεντινιανοὶ, οἱ δὲ Βασιλιδιανοὶ, οἱ δὲ Σατορνιλιανοὶ, καὶ ἄλλοι ἄλλῳ ὀνόματι, ἀπὸ τοῦ 55 ἀρχηγέτου τῆς γνώμης ἕκαστος ὀνομαζόμενος· ὃν τρόπον καὶ ἕκαστος τῶν φιλοσοφεῖν νομιζόντων, ὡς ἐν ἀρχῇ προεῖπον, ἀπὸ τοῦ πατρὸς τοῦ λόγου τὸ ὄνομα ἧς φιλοσοφεῖ φιλοσοφίας ἡγεῖται φέρειν. ὡς καὶ ἐκ τούτων ἡμεῖς, ὡς ἔφην, τὸν Ἰησοῦν καὶ τῶν μετ' αὐτὸν γενησομένων προγνώστην ἐπιστάμεθα, καὶ ἐξ ἄλλων δὲ πολλῶν ὧν προεῖπε γενήσεσθαι τοῖς πιστεύουσι καὶ ὁμολογοῦσιν αὐτὸν Χριστόν. καὶ γὰρ ἃ πάσχομεν πάντα ἀναιρούμενοι ὑπὸ τῶν οἰκείων, προεῖπεν ἡμῖν μέλλειν γενέσθαι, ὡς κατὰ μηδένα τρόπον ἐπίληψιμον αὐτοῦ λόγον ἢ πρᾶξιν φαίνεσθαι. διὸ καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων ἀνθρώπων τῶν ἐχθραινόντων ἡμῖν εὐχόμεθα· ἵνα μεταγνόντες σὺν ἡμῖν, μὴ βλασφημῆτε τὸν διά τε τῶν ἔργων, καὶ τῶν ἀπὸ τοῦ ὀνόματος αὐτοῦ καὶ νῦν γινομένων δυνάμεων, καὶ ἀπὸ τῶν τῆς διδαχῆς λόγων, καὶ ἀπὸ τῶν προφητευθεισῶν εἰς αὐτὸν προφητειῶν, ἄμωμον καὶ ἀνέγκλητον κατὰ πάντα Χριστὸν Ἰησοῦν· ἀλλὰ πιστεύσαντες εἰς αὐτόν, ἐν τῇ πάλιν γενησομένῃ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ σωθῆτε, καὶ μὴ καταδικασθῆτε εἰς τὸ πῦρ ὑπ' αὐτοῦ.

Atque

Κἀκεῖνος ἀπεκρίνατο, Ἔστω καὶ ταῦτα οὕτως ἔχοντα ὡς λέγεις, καὶ ὅτι παθητὸς Χριστὸς προεφητεύθη μέλλειν εἶναι, καὶ λίθος κέκληται, καὶ ἔνδοξος μετὰ τὴν πρώτην αὐτοῦ παρουσίαν, ἐν ᾗ παθητὸς φανεῖσθαι κεκήρυκτο, ἐλευσόμενος, καὶ κριτὴς πάντων λοιπὸν, καὶ αἰώνιος βασιλεὺς καὶ ἱερεὺς γενησόμενος· εἰ οὗτος δέ ἐστι περὶ οὗ ταῦτα προεφητεύθη, ἀπόδειξον. Κἀγὼ, Ὡς βούλει, ὦ Τρύφων, ἐλεύσομαι πρὸς ἃς βούλει ταύτας ἀποδείξεις ἐν τῷ ἁρμόζοντι τόπῳ, ἔφην· τὰ νῦν δὲ συγχωρήσεις μοι πρῶτον ἐπιμνησθῆναι ὧνπερ βούλομαι προφητειῶν, εἰς ἐπίδειξιν ὅτι καὶ Θεὸς καὶ Κύριος τῶν δυνάμεων ὁ Χριστὸς, καὶ Ἰακὼβ καλεῖται ἐν παραβολῇ ὑπὸ τοῦ ἁγίου πνεύματος· καὶ οἱ παρ' ὑμῖν ἐξηγηταὶ, ὡς ὁ Θεὸς βοᾷ, ἀνόητοί εἰσι, μὴ εἰς τὸν Χριστὸν εἰρῆσθαι λέγοντες, ἀλλ' εἰς Σαλομῶνα, ὅτε εἰσέφερε τὴν σκηνὴν τοῦ μαρτυρίου εἰς τὸν ναὸν ὃν ᾠκοδόμησεν. ἔστι δὲ ψαλμὸς τοῦ Δαβὶδ οὗτος· Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ· ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ· οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ. αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Κύριος οὖν τῶν δυνάμεων ὅτι οὐκ ἔστιν ὁ Σαλομὼν, ἀποδέδεικται, ἀλλὰ ὁ ἡμέτερος Χριστὸς· ὅτε ἐκ νεκρῶν ἀνέστη καὶ ἀνέβαινεν εἰς τὸν οὐρανὸν, κελεύονται οἱ ἐν τοῖς οὐρανοῖς ταχθέντες ὑπὸ τοῦ Θεοῦ ἄρχοντες, ἀνοῖξαι τὰς πύλας τῶν οὐρανῶν, ἵνα εἰσέλθῃ οὗτος ὅς ἐστι βασιλεὺς τῆς δόξης, καὶ ἀναβὰς καθίσῃ ἐν δεξιᾷ τοῦ πατρὸς, ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, ὡς διὰ τοῦ ἄλλου ψαλμοῦ δεδήλωται. ἐπειδὴ γὰρ οἱ ἐν οὐρανῷ ἄρχοντες ἑώρων ἀειδῆ καὶ ἄτιμον τὸ εἶδος καὶ ἄδοξον ἔχοντα αὐτὸν, οὐ γνωρίζοντες αὐτὸν, ἐπυνθάνοντο, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; καὶ ἀποκρίνεται αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον ἢ ἀπὸ προσώπου τοῦ πατρὸς, ἢ ἀπὸ τοῦ ἰδίου, Κύριος τῶν δυνάμεων, αὐτὸς οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ὅτι γὰρ οὔτε περὶ Σαλομῶνος ἐνδόξου οὕτω βασιλέως ὄντος, οὔτε περὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, τῶν ἐφεστώτων ταῖς πύλαις τοῦ ναοῦ τῶν Ἱεροσολύμων ἐτόλμησεν ἄν τις εἰπεῖν, Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; πᾶς ὁστισοῦν ὁμολογήσει. καὶ ἐν διαψάλματι τεσσαρακοστοῦ ἕκτου ψαλμοῦ, ἔφην, εἰς τὸν Χριστὸν οὕτως εἴρηται· Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ,

Atque ille respondit: Sint ista sane ita ut dicis, CHRISTUM vaticiniis prænunciatū passionib. subiectū fore, Lapidéq́; [& alia] vocatū esse, & gloriosum (post priorē eius aduentū in quo patibilis appariturus esse prædictus est) iudicē posthac vniuersorū venturū, atque æternū regē & pontificem futurū: an autem iste ipse sit de quo talia sunt promulgata, proba. Et ego; Vt placet, o Trypho, perueniam ad hasce quasvis demonstrationes, inquam, loco suo. In præsens autem permittes mihi, quarū volo inferre mentionē prophetiarum, ad demonstrandum, & *Deum* & *Dominum virtutum* CHRISTUM, & *Iacobum* vocari per similitudinem, a Spiritu sancto: & interpretes vestros, sicut Deus vociferatur, inspiētes esse, qui nō in CHRISTUM dictas esse, sed in Salomonem asserunt, cum tabernaculum testimonii in templum a se ædificatum inferret. Est autem Psalmus Dauidis iste: *Domini est terra, & plenitudo eius; orbis habitabilis, & omnes habitantes in eo. Ipse super maria fundauit eum; & super flumina præparauit eum. Quis ascendet in montem Domini, aut quis stabit in loco sancto eius? Innocens manibus, & mundus corde; qui non accepit in vanum animam suam, & non iurauit in dolo proximo suo. Hic accipiet benedictionem a Domino, & misericordiam a Deo salvatore suo. Hæc generatio quærentium Dominum, quærentium faciem Dei Iacobi. Tollite portas principes vestras; & eleuamini portæ æternales: & ingredietur rex gloriæ. Quis est iste rex gloriæ? Dominus fortis & potens in prælio. Tollite portas principes vestras; & eleuamini portæ æternæ: & introibit rex gloriæ. Quis est iste rex gloriæ? Dominus virtutum, ipse est rex gloriæ* Sane quidem Dominum virtutum Salomonem nō esse, sed CHRISTUM nostrum, [satis per Psalmum hunc] ostensum est. Is cum ex mortuis resurrexit, & in cælū ascēdit, iussi sunt qui in cælis dispositi sunt principes, aperire portas cælorū, vt ingrederetur qui est Rex gloriæ, & cōscendens cōsideret ad dextrā Patris, donec poneret inimicos suos subsellium pedū suorū: quēadmodū per aliū Psalmū declaratū est. Quoniā namq; cælestes principes eū (in terris) speciē informē & inhonoratā & obscurā habere viderāt, nō noscentes ipsum, percontabātur: *Quis est iste rex gloriæ?* Et respondet eis Spiritus sanctus, aut ex Patris, aut sua ipsius persona; *Dominus virtutū, iste ipse est rex gloriæ.* Quod enim neq; de Salomone, neq; de tabernaculo testimonii, quisquā eorū qui ad portas templi Hierosolymitani adstiterūt, dicere ausus fuerit; *Quis est iste rex gloriæ?* quilibet fatebitur. Atq; in diapsalmate quadragesimisexti psalmi, dixi, in CHRISTUM ista verba sūt cōcepta: *Ascēdit Deus in iubilo;*

Dominus in voce tubæ. Psallite Deo nostro; psallite: Psallite regi nostro; psallite: Quoniam rex omnis terræ Deus: Psallite sapienter. Regnauit Deus super gentes; Deus sedet in throno sancto suo. Principes populorum congregati sunt cum Deo Abraæ: quoniam ipsius Dei Fortes terræ admodum sublimati sunt. Et in nonagesimooctauo psalmo improperat vobis Spiritus sanctus, & hunc quem non vultis regem [vestrum] esse, *Regem & Dominum Samuelis & Aaronis & Mosa, & aliorum prorsus omnium* renunciat. Sunt vero Psalmi verba hæc: *Dominus regnauit; irascantur populi: sedēs super Cherubim; moueatur terra. Dominus in Sione magnus & sublimis est super omnes populos. Confiteātur nomini tuo magno; quoniam terribile & sanctum est: & honor regis iudicium diligit. Tu parasti rectitudines (directiones) iudicium & iustitiam in Iacobo tu fecisti. Exaltate Dominum Deum nostrum, & adorate scabellū pedum eius; quia sanctus est. Moses & Aaron in sacerdotibus eius, & Samuel inter eos qui inuocant nomen eius. Inuocabant* (ait Scriptura) *Dominum; & ipse exaudiuit eos. In columna nubis loquebatur ad eos: quia custodierunt testimonia eius, & præceptum quod dedit eis. Domine Deus noster, tu exaudiuisti eos: Deus tu propitius fuisti eis, & vindicans in omnia studia eorum. Exaltate Dominum Deum nostrum; & adorate in monte sancto eius: quoniam sanctus Dominus Deus noster.* Tū Trypho, O homo, inquit, præstiterat nos, Rabinis morem gerentes, qui legem nobis tulere, Ne cum quopiam vestrum verba conferamus, neque tecum hosce communicare sermones. permulta namque blasphema impiaque loqueris, crucifixum hunc nobis persuaderi petens, cum Mose & Aarone fuisse, & cum eis in columna ignis colloquutum: ac deinceps hominem factum & in cruce suspensum esse, & in cælum ascendisse: atque inde rursus in terram venturum, adeoq; adorandum esse. Atque ego respondens, Scio, inquam, quemadmodum verbum Dei est, occultam esse a vobis magnam creatoris omnium & omnipotentis Dei sapientiam. Quapropter vicem vestram condolens, apud vos elaborare annitor, vt ista quæ præter opinionem vestram dicuntur, intelligatis: sin minus, vt ipse saltem innocens sim in die iudicii. adhuc enim qui inopinabiliores esse videantur, audietis sermones alios. Verum ne turbemini: quin alacriores potius auditores & inuestigatores esse perseuerate, magistrorum vestrorum traditionem paruifacientes. non enim perinde quæ per Deum a Spiritu Prophetico sunt dicta, intelligere, atque sua ipsorum dogmata docere malle, comperiuntur. In quadragesimoquarto Psalmo consimiliter hæc in CHRISTVM sunt dicta: *Eructauit cor meum verbum*

Κύριος ἐν φωνῇ σάλπιγγος. ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε· ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός· ψάλατε συνετῶς. ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. Καὶ ἐν ἐνενηκοστῷ ὀγδόῳ ψαλμῷ ὀνειδίζει ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον· καὶ τοῦτον ὃν μὴ θέλετε βασιλέα εἶναι, βασιλέα καὶ Κύριον, καὶ τοῦ Σαμουὴλ, καὶ τοῦ Ἀαρὼν, καὶ Μωϋσέως, καὶ τῶν ἄλλων πάντων ἁπλῶς ὄντα, μηνύει. εἰσὶ δὲ αἱ λέξεις τοῦ ψαλμοῦ αὗται· Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ· Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς. ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι, καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· ὅτι ἅγιός ἐστι. Μωσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. ἐπεκαλοῦντο (φησὶν ἡ γραφὴ) τὸν Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν. ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς· ὅτι ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὸ πρόσταγμα ὃ ἔδωκεν αὐτοῖς. Κύριε ὁ Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν· ὁ Θεὸς, σὺ εὐίλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ· ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Καὶ ὁ Τρύφων εἶπεν, Ὦ ἄνθρωπε, καλὸν ἦν πεισθέντας ἡμᾶς τοῖς διδασκάλοις νομοθετήσασι, μηδενὶ ἐξ ὑμῶν ὁμιλεῖν, μηδὲ σοὶ τούτων κοινωνῆσαι τῶν λόγων. βλάσφημα γὰρ πολλὰ λέγεις, τὸν σταυρωθέντα τοῦτον ἀξιῶν πείθειν ἡμᾶς γεγενῆσθαι μετὰ Μωϋσέως καὶ Ἀαρὼν, καὶ λελαληκέναι αὐτοῖς ἐν στύλῳ νεφέλης· εἶτα ἄνθρωπον γενόμενον, σταυρωθῆναι, καὶ ἀναβεβηκέναι εἰς τὸν οὐρανὸν, καὶ πάλιν παραγίνεσθαι ἐπὶ τῆς γῆς, καὶ προσκυνητὸν εἶναι. Κἀγὼ ἀπεκρινάμην, Οἶδα ὅτι, ὡς ὁ τοῦ Θεοῦ λόγος ἔφη, κέκρυπται ἀφ' ὑμῶν ἡ σοφία ἡ μεγάλη αὕτη τοῦ ποιητοῦ τῶν ὅλων καὶ παντοκράτορος Θεοῦ. διὸ συμπαθῶν ὑμῖν προσκάμνειν ἀγωνίζομαι, ὅπως τὰ παράδοξα ἡμῶν ταῦτα νοήσητε· εἰ δὲ μὴ, ἵνα κἂν αὐτὸς ἀθῷος ὦ ἐν ἡμέρᾳ κρίσεως. ἔτι γὰρ καὶ παραδοξοτέρους δοκοῦντας ἄλλους λόγους ἀκούσεσθε· μὴ ταράσσεσθε δὲ, ἀλλὰ μᾶλλον προθυμότεροι γενόμενοι ἀκροαταὶ καὶ ἐξετασταὶ μένετε, καταφρονοῦντες τῆς παραδόσεως τῶν ὑμετέρων διδασκάλων· ἐπεὶ οὐ τὰ διὰ τοῦ Θεοῦ ὑπὸ τοῦ προφητικοῦ πνεύματος ἐλέγχονται νοεῖν δυνάμενοι, ἀλλὰ τὰ ἴδια μᾶλλον διδάσκειν προαιρούμενοι. ἐν τεσσαρακοστῷ οὖν τετάρτῳ ψαλμῷ ὁμοίως εἴρηται εἰς τὸν Χριστὸν ταῦτα· Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

ἀγαθόν· λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατὲ, τῇ ὡραιότητί σου καὶ
57 τῷ κάλλει σου· καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. τὰ βέλη σου ἠκονημένα δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε. θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσουσιν αὐτῷ, καὶ θυγάτηρ Τύρου ἐν δώροις. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι· ἀπενεχθήσονται) ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται) εἰς ναὸν βασιλέως. ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος:- Καὶ οὐδὲν θαυμαστὸν, ἐπεῖπον, εἰ καὶ ἡμᾶς μισεῖτε τοὺς ταῦτα νοοῦντας, καὶ ἐλέγχοντας ὑμῶν τὴν ἀεὶ σκληροκάρδιον γνώμην. καὶ γὰρ Ἡλίας περὶ ὑμῶν πρὸς τὸν Θεὸν ἐντυγχάνων οὕτως λέγει· Κύριε τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου:- καὶ ἀποκρίνεται αὐτῷ, Ἔτι εἰσί μοι ἑπτακισχίλιοι ἄνδρες, οἳ οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ:- ὃν οὖν τρόπον διὰ τοὺς ἑπτακισχιλίους ἐκείνους τὴν ὀργὴν οὐκ ἐπέφερε τότε ὁ Θεὸς, τὸν αὐτὸν τρόπον καὶ νῦν οὐδέπω τὴν κρίσιν ἐπήνεγκεν ἢ ἐπάγει, γινώσκων ἔτι καθ' ἡμέραν τινὰς μαθητευομένους εἰς τὸ ὄνομα τοῦ Χριστοῦ αὐτοῦ, καὶ ἀπολείποντας τὴν ὁδὸν τῆς πλάνης· οἳ καὶ λαμβάνουσι δόματα ἕκαστος, ὡς ἄξιοί εἰσι, φωτιζόμενοι διὰ τοῦ ὀνόματος τοῦ Χριστοῦ τούτου. ὁ μὲν γὰρ λαμβάνει συνέσεως πνεῦμα, ὁ δὲ βουλῆς, ὁ δὲ ἰσχύος, ὁ δὲ ἰάσεως, ὁ δὲ προγνώσεως, ὁ δὲ διδασκαλίας, ὁ δὲ φόβου Θεοῦ. Καὶ ὁ Τρύφων πρὸς ταῦτα εἶπέ μοι, Ὅτι παραφρονεῖς ταῦτα λέγων, ἐπίστασθαί σε βούλομαι.

bonum; dico ego opera mea regi. Lingua mea calamus scribae velociter scribentis. Speciosus forma supra filios hominum: diffusa est gratia in labiis eius. Propterea benedixit te Deus in aeternū. Accingere gladio tuo super femur tuum, o potens pulchritudine tua & decore tuo: & intende, & prosperare, & regna: & deducet te mirabiliter dextera tua. Sagittae tuae acuminatae o potens, populi sub te [adorantes] cadent, in corde [sive in corda] inimicorum regis. Thronus tuus Deus, in seculum seculi. Virga rectitudinis, virga regni tui. Dilexisti iusticiam, & odisti iniquitatem: propterea unxit te Deus, Deus tuus, oleo exsultationis supra participes tuos. Myrrha, & gutta, & casia a vestimentis tuis, a repositoriis eburneis, ex quibus exhilararunt te. Filiae regum in honore tuo, [in gynaeceo.] Astitit Regina a dextris tuis in vestitu deaurato, circumdata, variegata. Audi filia, & vide, & inclina aurem tuam: & obliviscere populi tui, & domus patris tui. Et concupiscet rex pulchritudinem tuam: Quoniam ipse est Dominus Deus tuus; & adorabunt eum. Et filia Tyri in muneribus. Vultum tuum deprecabuntur divites populi. Omnis gloria filiae regis intrinsecus, in fimbriis aureis, circumamicta, variegata. Adducentur regi virgines post eam, proximae eius adducentur tibi. Adducentur in laeticia & exsultatione, ducentur in templum regis. Pro patribus tuis nati tibi sunt filij. Constitues eos Principes super omnem terram. Recordabor nominis tui in omni generatione & generatione: propterea populi confitebuntur tibi in seculum, & in seculum seculi. Neque quidquam mirandum, adiiciens dixi, si nos quoque odistis, haec intelligentes, & duricordem semper mentem vestram coarguentes. Etenim & Elias de vobis cum Deo agens, ita inquit: *Domine, prophetas tuos occiderunt, & altaria tua subruerunt: & ego relictus sum solus, & quaerunt animam meam.* Et respondet ei: *Adhuc mihi supersunt septies mille viri, qui non inflexerunt genua imagini Baal.* Quemadmodum ergo propter septies mille illos, tum Deus iram suam non intulit: ad eundem modum nunc quoque iudicium suum nondum protulit aut profert, sciens indies adhuc nonnullos disciplinam suscipere in nomen CHRISTI sui, & viam seductionis relinquere: qui etiam, pro se quisque, ut digni sunt, dona accipiunt, per nomen CHRISTI huius illuminati. atq; hic quidem accipit intelligentiae spiritum, ille autem consilii; alius fortitudinis, alius sanationis; quidam praecognitionis, aliquis doctrinae; timoris Dei quispiam. Tum Trypho ad haec dixit: Deliras insaniens, qui ista loqueris: id te scire volo. Ego vero ad illum; Audi sodes; inquam. Non enim insanio, neque desipio: verum post

Κἀγὼ πρὸς αὐτὸν, Ἄκουσον ὦ οὗτος, ἔλεγον, ὅτι οὐ μέμηνα, οὐδὲ παραφρονῶ· ἀλλὰ μετὰ τὴν τοῦ

CHRISTI in cælum reditū, vaticinio prænūciatum est, captiuos ipsum nos ducturum ab errore, & daturum nobis dona. Sunt autem hæc ipsa verba: *Ascendit in altum, captiuam duxit captiuitatem, dedit dona hominibus.* Itaque nos donis ab eo qui in altum ascendit, CHRISTO acceptis, vos qui in vobis ipsis sapitis, & coram vobis ipsis sciētes estis, ex sermonibus Propheticis ostendimus insipientes esse, & labiis tantummodo honorare Deum & CHRISTVM eius: nos autem, veritatis vniuersæ disciplinam consectantes, operibus ipsis & cognitione, ex animo ad mortem vsque illum colimus. Vos porro, ob id quoque fortasse addubitatis profiteri hunc ipsum esse CHRISTVM, sicuti Scripturæ, atque ea quæ manifesto apparent & fiunt in nomine ipsius, declarant, vt ne persequutionem toleretis a Principibus: qui non cessabunt per maligni & seductoris spiritus ipsius Serpētis, efficacem instinctum, neci dedere & persequi, nomē CHRISTI profitentes; donec ille denuo præsto sit, & excidat omnes, atque cuique pro meritis dignam persoluat mercedem. Ibi Trypho: Iam nunc, inquit, rationē nobis redde, illum ipsum quem dicis crucifixū esse, & in cælum reuersum, CHRISTVM Dei esse. Nā quod & passioni obnoxius CHRISTVS per Scripturas prædicetur, & cum gloria rediturus, & quod sempiternū gentium omnium regnum, regnis vniuersis illi subditis, accepturus sit, abunde per eas quas commemorasti Scripturas demonstratum est. Tum ego: Demonstratum quidem est, o viri, aures habentibus, confessione quoque vestra. Ne vero existimetis argumentis destitutum esse, & ea quæ postulastis me probare non posse, sicuti recepi, loco id suo præstabo: in præsentia autē, ad institutæ disputationis continuationem ire pergo. *Mysterium arcanumq; agni, quē Pascha immolare Deus mandauit,* typus & figura erat CHRISTI: cuius sanguinē, iuxta rationem nostræ in illum fidei, in ædes suas, hoc est seipsos, aspergunt in eum credentes. Nam, quod plasma quod Deus finxit, Adam, domus fuerit inspirationis Dei, omnes quoque nosse potestis. Tum autem temporaneam & hanc ipsam iussionem fuisse, sic demonstro. Nullibi sacrificari agnum Paschæ Deus permittit, nisi in loco vbi inuocatum est nomen eius. Sciuit ille aduenturos fuisse dies, post CHRISTI passionem, cum futurum esset vt & locus Hierosolymorum hostibus vestris traderetur, & omnes prorsus oblationes fieri desinerent. Et agnus ille, de quo, vt assus totus fieret, præceptū est, supplicii crucis, quod subiturus erat CHRISTVS, symbolum & nota fuit. Agnus namque assus, in figuram cruci similem conformatus, ad ignem torretur. nā veru vnū ab infimis partibus

Χριστοῦ εἰς τὸν οὐρανὸν ἀνάληψιν προεφητεύθη αἰχμαλωτεῦσαι αὐτὸν ἡμᾶς ἀπὸ τῆς πλάνης, καὶ δοῦναι ἡμῖν δόματα. εἰσὶ δὲ οἱ λόγοι οὗτοι· Ἀνέβη εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖς ἀνθρώποις:- Οἱ λαβόντες οὖν ἡμεῖς δόματα παρὰ τοῦ εἰς ὕψος ἀναβάντος Χριστοῦ, ὑμᾶς τοὺς σοφοὺς ἐν ἑαυτοῖς καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονας, ἀπὸ τῶν προφητικῶν λόγων ἀποδείκνυμεν ἀνοήτους, καὶ χείλεσι μόνον τιμῶντας τὸν Θεὸν, καὶ τὸν Χριστὸν αὐτοῦ· ἡμεῖς δὲ, καὶ ἐν ἔργοις, καὶ γνώσει, καὶ καρδίᾳ, μέχρι θανάτου οἱ ἐκ πάσης τῆς ἀληθείας μεμαθητευμένοι, τιμῶμεν. ὑμεῖς δὲ ἴσως καὶ διὰ τοῦτο διστάζετε ὁμολογῆσαι ὅτι οὗτός ἐστιν ὁ Χριστὸς, ὡς αἱ γραφαὶ ἀποδεικνύουσι καὶ τὰ φαινόμενα καὶ τὰ γινόμενα ἐπὶ τῷ ὀνόματι αὐτοῦ, ἵνα μὴ διώκησθε ὑπὸ τῶν ἀρχόντων, οἳ οὐ παύσονται ἀπὸ τῆς τοῦ πονηροῦ καὶ πλάνου πνεύματος τοῦ ὄφεως ἐνεργείας, θανατοῦντες καὶ διώκοντες τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ ὁμολογοῦντας, ἕως πάλιν παρῇ, καὶ καταλύσῃ πάντας, καὶ τὸ κατ᾽ ἀξίαν ἑκάστῳ προσνείμῃ. 58 Καὶ ὁ Τρύφων, Ἤδη οὖν τὸν λόγον ἀπόδος ἡμῖν, ὅτι οὗτος ὃν φὴς ἐσταυρῶσθαι καὶ ἀνεληλυθέναι εἰς τὸν οὐρανὸν, ἐστὶν ὁ Χριστὸς τοῦ Θεοῦ. ὅτι γὰρ καὶ παθητὸς ὁ Χριστὸς διὰ τῶν γραφῶν κηρύσσεται, καὶ μετὰ δόξης πάλιν παραγίνεσθαι, καὶ αἰώνιον τὴν βασιλείαν πάντων τῶν ἐθνῶν λήψεσθαι, πάσης βασιλείας αὐτῷ ὑποτασσομένης, ἱκανῶς διὰ τῶν προανεστορημένων ὑπὸ σοῦ γραφῶν ἀποδέδεικται· ὅτι δὲ οὗτός ἐστιν, ἀπόδειξον ἡμῖν. - Κἀγὼ, Ἀποδέδεικται μὲν ἤδη, ὦ ἄνδρες, τοῖς ὦτα ἔχουσι καὶ ἐκ τῶν ὁμολογουμένων ὑφ᾽ ὑμῶν· ἀλλ᾽ ὅπως μὴ νομίσητε ἀπορεῖν με καὶ μὴ δύνασθαι καὶ πρὸς ἃ ἀξιοῦτε ἀπόδειξιν ποιεῖσθαι, ὡς ὑπεσχόμην, ἐν τῷ προσήκοντι τόπῳ ποιήσομαι. τὰ νῦν δὲ ἐπὶ τὴν συνάφειαν ὧν ἐποιούμην λόγων ἀποτρέχω. τὸ μυστήριον οὖν τοῦ προβάτου ὃ τὸ πάσχα θύειν ἐντέταλται ὁ Θεὸς, τύπος ἦν τοῦ Χριστοῦ· οὗ τῷ αἵματι κατὰ τὸν λόγον τῆς εἰς αὐτὸν πίστεως, χρίονται τοὺς οἴκους ἑαυτῶν, τουτέστιν ἑαυτοὺς, οἱ πιστεύοντες εἰς αὐτόν. ὅτι γὰρ τὸ πλάσμα ὃ ἔπλασεν ὁ Θεὸς τὸν Ἀδὰμ, οἶκος ἐγένετο τοῦ ἐμφυσήματος τοῦ παρὰ τοῦ Θεοῦ, καὶ πάντες νοεῖν δύνασθε. καὶ ὅτι πρόσκαιρος ἦν καὶ αὕτη ἡ ἐντολὴ, οὕτως ἀποδείκνυμι. οὐδαμοῦ θύεσθαι τὸ πρόβατον τοῦ πάσχα ὁ Θεὸς συγχωρεῖ, εἰ μὴ ἐπὶ τόπῳ ᾧ ἐπικέκληται τὸ ὄνομα αὐτοῦ· εἰδὼς ὅτι ἐλεύσονται ἡμέραι μετὰ τὸ παθεῖν τὸν Χριστὸν, ὅτε καὶ ὁ τόπος τῆς Ἱερουσαλὴμ τοῖς ἐχθροῖς ὑμῶν παραδοθήσεται, καὶ παύσονται ἅπασαι ἁπλῶς προσφοραὶ γινόμεναι· καὶ τὸ κελευσθὲν πρόβατον ἐκεῖνο ὀπτὸν ὅλον γίνεσθαι, τοῦ πάθους τοῦ σταυροῦ δι᾽ οὗ πάσχειν ἔμελλεν ὁ Χριστὸς, σύμβολον ἦν. τὸ γὰρ ὀπτώμενον πρόβατον, σχηματιζόμενον ὁμοίως τῷ σχήματι τοῦ σταυροῦ, ὀπτᾶται. εἷς γὰρ ὄρθιος ὀβελίσκος διαπερονᾶται ἀπὸ τῶν κατωτάτω μερῶν μέ-

χρι τῆς κεφαλῆς. καὶ εἷς πάλιν κατὰ τὸ μετάφρενον, ᾧ προσαρτῶνται καὶ αἱ χεῖρες τοῦ προβάτου. καὶ οἱ ἐν τῇ νηστείᾳ δὲ τράγοι δύο ὅμοιοι κελευσθέντες γίνεσθαι, ὧν ὁ εἷς ἀποπεμπαῖος ἐγίνετο, ὁ δὲ ἕτερος εἰς προσφοράν, τῶν δύο παρουσιῶν τοῦ Χριστοῦ καταγγελία ἦσαν· μιᾶς μέν, ἐν ᾗ ὡς ἀποπεμπαῖον αὐτὸν παρεπέμψαντο οἱ πρεσβύτεροι τοῦ λαοῦ ὑμῶν καὶ οἱ ἱερεῖς, ἐπιβαλόντες αὐτῷ τὰς χεῖρας, καὶ θανατώσαντες αὐτόν· καὶ τῆς δευτέρας δὲ αὐτοῦ παρουσίας, ὅτι ἐν τῷ αὐτῷ τόπῳ τῶν Ἱεροσολύμων ἐπιγνωσθήσεσθε αὐτὸν τὸν ἀτιμωθέντα ὑφ' ὑμῶν. καὶ προσφορὰ ἦν ὑπὲρ πάντων τῶν μετανοεῖν βουλομένων ἁμαρτωλῶν, καὶ νηστευόντων ἣν καταλέγει Ἡσαΐας νηστείαν, διασπῶντες στραγγαλιὰς βιαίων συναλλαγμάτων, καὶ τὰ ἄλλα ὁμοίως τὰ κατηριθμημένα ὑπ' αὐτοῦ, ἃ καὶ αὐτὸς ἀνιστόρησα, φυλάσσοντες· ἃ ποιοῦσιν οἱ τῷ Ἰησοῦ πιστεύοντες. καὶ ὅτι καὶ ἡ τῶν δύο τράγων τῶν νηστείᾳ κελευσθέντων προσφέρεσθαι προσφορά, οὐδαμοῦ ὁμοίως συγκεχώρηται γίνεσθαι, εἰ μὴ ἐν Ἱεροσολύμοις, ἐπίστασθε. καὶ ἡ τῆς σεμιδάλεως δὲ προσφορά, ὦ ἄνδρες, ἔλεγον, ἡ ὑπὲρ τῶν καθαριζομένων ἀπὸ τῆς λέπρας προσφέρεσθαι παραδοθεῖσα, τύπος ἦν τοῦ ἄρτου τῆς εὐχαριστίας, ὃν εἰς ἀνάμνησιν τοῦ πάθους οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψυχὰς ἀπὸ πάσης πονηρίας ἀνθρώπων, Ἰησοῦς Χριστὸς ὁ Κύριος ἡμῶν παρέδωκε ποιεῖν, ἵνα ἅμα τε εὐχαριστῶμεν τῷ Θεῷ ὑπέρ τε τοῦ τὸν κόσμον ἐκτικέναι σὺν πᾶσι τοῖς ἐν αὐτῷ διὰ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τοῦ ἀπὸ τῆς κακίας ἐν ᾗ γεγόναμεν ἠλευθερωκέναι ἡμᾶς, καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καταλελυκέναι τελείαν κατάλυσιν διὰ τοῦ παθητοῦ γενομένου κατὰ τὴν βουλὴν αὐτοῦ. ὅ-
19 θεν περὶ μὲν τῶν ὑφ' ὑμῶν τότε προσφερομένων θυσιῶν λέγει ὁ Θεός, ὡς προέφην, διὰ Μαλαχίου
» ἑνὸς τῶν δώδεκα· Οὐκ ἔστι θέλημά μου ἐν ὑμῖν, λέ-
» γει Κύριος· καὶ τὰς θυσίας ὑμῶν οὐ προσδέξομαι
» ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῆς ἡλίου
» ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι,
» καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνό-
» ματί μου, καὶ θυσία καθαρά· ὅτι μέγα τὸ ὄνο-
» μά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος· ὑμεῖς δὲ
» βεβηλοῦτε αὐτό:- περὶ δὲ τῶν ἐν παντὶ τόπῳ ὑφ' ἡμῶν τῶν ἐθνῶν προσφερομένων αὐτῷ θυσιῶν, τουτέστι τοῦ ἄρτου τῆς εὐχαριστίας, καὶ τοῦ ποτηρίου ὁμοίως τῆς εὐχαριστίας, προλέγει τότε εἰπὼν καὶ τὸ ὄνομα αὐτοῦ δοξάζειν ἡμᾶς, ὑμᾶς δὲ βεβηλοῦν. Ἡ δὲ ἐντολὴ τῆς περιτομῆς, κελεύουσα τῇ ὀγδόῃ ἡμέρᾳ ἐκ παντὸς περιτέμνειν τὰ γεννώμενα, τύπος ἦν τῆς ἀληθινῆς περιτομῆς ἣν περιετμήθημεν ἀπὸ τῆς πλάνης καὶ πονηρίας διὰ τοῦ ἀπὸ νεκρῶν ἀναστάντος τῇ μιᾷ τῶν σαββάτων ἡμέρᾳ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. μία γὰρ τῶν σαββάτων, πρώτη μένουσα τῶν πασῶν ἡμερῶν, κατὰ τὸν ἀριθμὸν πάλιν τῶν πασῶν ἡμερῶν

tibus ad caput vsque adactum perfigitur: & aliud rursum, secundum scapulas; ad quod suspenduntur manus agni. Et qui in ieiunio *duo hirci* pares accipi iubebantur, quorum alter emissarius malorumque depulsor fiebat, alter autem in oblationem sumebatur: duorũ CHRISTI aduentuum designatio erant. prioris quidem, cum eum, veluti emissarium atque ærumnas auertentem, emiserunt seniores vestri & sacerdotes, manus illi inferentes, & morte eum mulctantes: posterioris autem, cum in eodem Hierosolymorum loco, ipsum agnoscetis ignominia a vobis affectum. Oblatio is factus est pro cunctis per pœnitentiam resipiscere volentibus peccatoribus, & ieiunium quod Esaias recensuit ieiunantibus; colligationes violentorum contractuum soluendo, & alia ab eodem enumerata & a me recitata, pariter custodiendo: quæ faciunt qui IESV fide sunt addicti. Et quod itidem duorum hircorum, qui in ieiunio offerri iussi sunt, oblatio non alibi quam in Hierusalẽ fieri permissa est, scitis. Sane quidem *simila* quoque *oblatio*, o viri, dicebam, pro eis qui a lepra purgabantur, vt offerretur tradita, figura fuit *panis Eucharistiæ*: quem in recordationem passionis, quam pro his sustinuit hominibus quorum animi ab omni purificantur prauitate, IESVS CHRISTVS Dominus noster facere præcepit: vt gratias ageremus Deo, cum pro eo quod mundum cum vniuersis quas complectitur rebus, hominis gratia crearit; tum ob id etiam, quod ab omni in qua fuimus malicia nos liberarit, ac principatus potestatesque perfecta occiderit occidione. per eum qui de consilio & voluntate eius factus est patibilis. Proinde de sacrificiis a vobis tum oblatis Deus, sicuti supra dixi, per Malachiam, vnum ex duodecim, ait: *Non est voluntas mea in vobis, dicit Dominus; & sacrificia vestra non suscipiam de manibus vestris: propterea quod ab ortu solis ad occasum vsque nomen meum glorificatum est in gentibus; & in omni loco incensum offertur nomini meo, & victima pura: Quoniam magnum est nomen meum in gentibus; dicit Dominus. vos autem profanatis illud.* De nostris vero, gentium, quæ in omni loco offeruntur *sacrificiis*, hoc est pane eucharistiæ, & poculo similiter eucharistiæ, iam tũ loquutus prædixit, nos quidem glorificare nomen eius, vos autem profanare. Porro *præceptum circumcisionis*, octaua die omnino circumcidere iubẽs infantes natos, nota erat veræ circumcisionis; qua circumcisi sumus ab errore & prauitate, per eum qui a mortuis resurrexit, vna sabbatorum die, IESVM CHRISTVM Dominum nostrum. *Vna* enim *sabbatorũ*, prima manens dierũ omniũ, iuxta numerum, spaciis rursum dierũ omniũ in circu-

in circulum decursis, *octaua* vocatur; & prima, sicut est, manet. Quin illud etiam quod traditum est, *duodecim tintinnabula e veste pontificis talari suspensa esse*, duodecim Apostolorũ, a virtute æterni sacerdotis CHRISTI dependentium, (quorum voce vniuersa terra, gloria & gratia Dei & CHRISTI eius repleta est) symbolum signumque fuit. Quocirca & Dauid ait: *In omnem terram exiuit sonus eorum; & in fines orbis verba eorum.* Et Esaias, quasi ex persona Apostolorũ ad CHRISTVM loquentium, non auditioni eorum credere homines, sed ipsius qui miserit illos virtuti, ita inquit: *Domine, quis credidit auditui nostro? & brachium Domini cui reuelatum est? Annunciauimus coram eo tamquam puellus, sicut radix in terra sitienti*: & quæ sequuntur prophetiæ prius allegata verba. Quod autem in verbis hisce veluti ex persona multorũ dicitur, *Annunciauimus coram eo*: & infertur, *Tamquam puellus*: denotatur per id, prauos illi subditos ministraturos, obtemperaturosque iussioni eius, & omnes quasi puerulum vnum factos esse: sicut & in corpore videre est, cũ multis numeratis mẽbris, cuncta simul vnum vocantur & sunt Corpus. Etenim & *Populus*, & *Ecclesia* seu *Concio*, permulti numero mortales, perinde atque vna res forẽt, vna voce vocantur atque appellantur. Iam & alia omnia prorsus, o viri, inquam, a Mose ordinata enumerans, ostẽdere possem, figuras & notas & denunciationes esse eorũ quę CHRISTO euentura erant, eorũque qui in ipsum vt crederent, præcogniti fuerant, atque item eorum quæ CHRISTVS ipse erat facturus. Cum aũt ea quæ recensuimus, ad præsens sufficere mihi videantur, ad sermonis ordinẽ reuertor. Sicut ergo ab Abraamo circumcisio, & a Mose sabbatũ & sacrificia & oblationes & feriæ ortum cepere; quæ propter duriciam cordis populi vestri disposita esse, probatũ est: ita finẽ ea habere oportuit, iuxta Patris cõsilium, in eo qui e virgine generis Abraæ, & tribus Iudæ, & stirpis Dauidis, natus est, filio Dei CHRISTO IESV. Qui *Lex sempiterna*, & *nouum Testamentũ* vniuerso mũdo proditurus esse, præconiis est renũciatus: sicuti vaticinia quæ allegauimus, significant. Et nos, qui per hũc aditũ nacti sumus ad Deũ, nõ istã *secundũ carnẽ* suscepimus *resectionem*, sed *spiritualẽ*, quã Enoch & similes custodierũt. Eã vero nos per *Baptismũ*, quandoquidẽ peccatores fueramus, propter misericordiã ipsius Dei accepimus: omnibusq; adeo illã ex æquo accipere integrũ est. Cęterũ de *arcano natiuitatis eius*, pro eo atq; id iã nos de se verba facere cogit, dico. Esaias de genere ipsius CHRISTI, inenarrabile id hominib. esse, ita infit, sicut dudũ antea scriptum est: *Generationẽ eius quis enarrabit? quia*

τῆς κυκλοφορίας, ὀγδόη καλεῖται, καὶ πρώτη οὖσα μένει. Ἀλλὰ καὶ τὸ δώδεκα κώδωνας ἐξῆφθαι τοῦ ποδήρους τοῦ ἀρχιερέως παραδεδόσθαι, τῶν δώδεκα ἀποστόλων τῶν ἐξαφθέντων ἀπὸ τῆς δυνάμεως τοῦ αἰωνίου ἱερέως Χριστοῦ, δι᾽ ὧν τῆς φωνῆς ἡ πᾶσα γῆ τῆς δόξης καὶ χάριτος τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ ἐπληρώθη, σύμβολον ἦν. διὸ καὶ ὁ Δαβὶδ λέγει· Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. καὶ ὁ Ἡσαΐας ὡς ἀπὸ προσώπου τῶν ἀποστόλων λεγόντων τῷ Χριστῷ, ὅτι οὐχὶ τῇ ἀκοῇ αὐτῶν πιστεύουσιν, ἀλλὰ τῇ αὐτοῦ τοῦ πέμψαντος αὐτοὺς δυνάμει· διὸ λέγει οὕτως· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ. καὶ τὰ ἑξῆς τῆς προφητείας προλελεγμένα. τὸ δὲ εἰπεῖν τὸν λόγον ὡς ἀπὸ προσώπου πολλῶν, Ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ. καὶ ἐπιφέρειν, Ὡς παιδίον. δηλωτικὸν τοῦ τοὺς πονηροὺς ὑπηκόους αὐτοῦ γενομένους ὑπηρετῆσαι τῇ κελεύσει αὐτοῦ, καὶ πάντας ὡς ἓν παιδίον γεγενῆσθαι. ὁποῖον καὶ ἐπὶ τοῦ σώματός ἐστιν ἰδεῖν· πολλῶν ἀριθμουμένων μελῶν, τὰ σύμπαντα ἓν καλεῖται καὶ ἐστὶ σῶμα· καὶ γὰρ δῆμος καὶ ἐκκλησία, πολλοὶ τὸν ἀριθμὸν ὄντες ἄνθρωποι, ὡς ἓν ὄντες πρᾶγμα, τῇ μιᾷ κλήσει καλοῦνται καὶ προσαγορεύονται. καὶ τὰ ἄλλα δὲ πάντα ἁπλῶς, ὦ ἄνδρες, ἔφην, τὰ ὑπὸ Μωσέως διαταχθέντα, δυναίμην καταριθμῶν ἀποδεικνύναι τύπους καὶ σύμβολα καὶ καταγγελίας τῶν τῷ Χριστῷ γίνεσθαι μελλόντων καὶ τῶν εἰς αὐτὸν πιστεύειν προεγνωσμένων, καὶ τῶν ὑπ᾽ αὐτοῦ τοῦ Χριστοῦ ὁμοίως γίνεσθαι μελλόντων· ἀλλὰ ἐπειδὴ καὶ ἃ κατηριθμησάμην τὰ νῦν ἱκανὰ δοκεῖ μοι εἶναι, ἐπὶ τὸν λόγον τῇ τάξει περιὼν ἔρχομαι. Ὡς οὖν ἀπὸ Ἀβραὰμ ἤρξατο περιτομὴ, καὶ ἀπὸ Μωσέως σάββατον καὶ θυσίαι καὶ προσφοραὶ καὶ ἑορταὶ, καὶ ἀπεδείχθη διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν ταῦτα διατετάχθαι, οὕτως παύσασθαι ἔδει κατὰ τὴν τοῦ πατρὸς βουλὴν εἰς τὸν διὰ τῆς ἀπὸ τοῦ γένους τοῦ Ἀβραὰμ, καὶ φυλῆς Ἰούδα, καὶ Δαβὶδ παρθένου γεννηθέντα υἱὸν τοῦ Θεοῦ Χριστόν· ὅστις καὶ αἰώνιος νόμος, καὶ καινὴ διαθήκη τῷ παντὶ κόσμῳ ἐκηρύσσετο προελευσόμενος, ὡς αἱ προλελεγμέναι προφητεῖαι σημαίνουσι. καὶ ἡμεῖς, οἱ διὰ τούτου προσχωρήσαντες τῷ Θεῷ, οὐ ταύτην τὴν κατὰ σάρκα παρελάβομεν περιτομὴν, ἀλλὰ πνευματικὴν, ἣν Ἐνὼχ καὶ οἱ ὅμοιοι ἐφύλαξαν. ἡμεῖς δὲ, διὰ τοῦ βαπτίσματος αὐτὴν, ἐπειδὴ ἁμαρτωλοὶ ἐγεγόνειμεν, διὰ τὸ ἔλεος τὸ παρὰ τοῦ Θεοῦ, ἐλάβομεν, καὶ πᾶσιν ἐφετὸν ὁμοίως λαμβάνειν. Περὶ δὲ τοῦ τῆς γενέσεως αὐτοῦ μυστηρίου ἤδη λέγειν κατεπείγοντος, λέγω. Ἡσαΐας οὖν περὶ τοῦ γένους αὐτοῦ τοῦ Χριστοῦ, ὅτι ἀνεκδιήγητόν ἐστιν ἀνθρώποις, οὕτως ἔφη, ὡς καὶ προγέγραπται· Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι

αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον:- ὡς ἀνεκδιηγήτου οὖν ὄντος τοῦ γένους τούτου ἀποθνήσκειν μέλλοντος, ἵνα τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν οἱ ἁμαρτωλοὶ ἄνθρωποι, τὸ προφητικὸν πνεῦμα ταῦτα εἶπεν. ἔτι καὶ ἵνα ὃν τρόπον γίγονεν ἐν κόσμῳ γεννηθεὶς, ἐπιγνῶναι ἔχωσιν οἱ πιστεύοντες αὐτῷ ἄνθρωποι, διὰ τοῦ αὐτοῦ Ησαΐου τὸ προφητικὸν πνεῦμα ὡς μέλλει γίνεσθαι προεφήτευσεν οὕτως· Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἀχὰζ, λέγων, Αἴτησον σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος, ἢ εἰς ὕψος:- καὶ εἶπεν Ἀχάζ, Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον:- καὶ εἶπεν Ησαΐας, Ἀκούετε δὴ ὁ οἶκος Δαβίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις· καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεται τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, καὶ ἐκλέξασθαι τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρᾷ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. [διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας ἐναντὶ βασιλέως Ἀσσυρίων.] καὶ καταληφθήσεται ἡ γῆ ἣν σὺ σκληρῶς οἴσεις ἀπὸ προσώπου τῶν δύο βασιλέων. ἀλλ' ἐπάξει ὁ θεὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὐδέπω ἥκασιν ἐπὶ σὲ, ἀπὸ τῆς ἡμέρας ἧς ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων:- Ὅτι μὲν οὖν ἐν τῷ γένει τῷ κατὰ σάρκα τοῦ Ἀβραὰμ, οὐδεὶς οὐδέποτε ἀπὸ παρθένου γεγέννηται, οὐδὲ λέλεκται γεγεννημένος, ἀλλ' ἢ οὗτος ὁ ἡμέτερος Χριστὸς, πᾶσι φανερόν ἐστιν. ἐπεὶ δὲ ὑμεῖς καὶ οἱ διδάσκαλοι ὑμῶν τολμᾶτε λέγειν, μηδὲ εἰρῆσθαι ἐν τῇ προφητείᾳ τοῦ Ησαΐου, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, ἀλλ' Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν:- καὶ ἐξηγεῖσθε τὴν προφητείαν ὡς εἰς Ἐζεκίαν τὸν γενόμενον ὑμῶν βασιλέα, πειράσομαι καὶ ἐν τούτῳ καθ' ὑμῶν βραχέα ἐξηγήσασθαι, καὶ ἀποδεῖξαι εἰς τοῦτον εἰρῆσθαι τὸν ὁμολογούμενον ὑφ' ἡμῶν Χριστόν. οὕτω γὰρ κατὰ πάντα ἀθῷος ὑμῶν χάριν εὑρεθήσομαι, εἰ ἀποδείξεις ποιούμενος ἀγωνίζομαι ὑμᾶς πεισθῆναι· ἐὰν δὲ ὑμεῖς σκληροκάρδιοι μένοντες, ἢ ἀσθενεῖς τὴν γνώμην διὰ τὸν ἀφωρισμένον τοῖς Χριστιανοῖς θάνατον, τῷ ἀληθεῖ συντίθεσθαι μὴ βούλησθε, ἑαυτοῖς αἴτιοι φανήσεσθε, καὶ ἐξαπατᾶτε ἑαυτοὺς, ὑπονοοῦντες διὰ τὸ εἶναι τοῦ Ἀβραὰμ κατὰ σάρκα σπέρμα, πάντως κληρονομήσειν τὰ κατηγγελμένα παρὰ τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ δοθήσεσθαι ἀγαθά. οὐδεὶς γὰρ οὐδὲ ἐκείνων οὐδαμόθεν λαβεῖν ἔχει πλὴν οἱ τῇ γνώμῃ ἐξομοιωθέντες τῇ πίστει τοῦ Ἀβραὰμ, καὶ ἐπιγνόντες τὰ μυστήρια πάντα. λέγω δὲ ὅτι τὶς μὲν ἐντολὴ εἰς θεοσέβειαν καὶ δικαιοπραξίαν διετέτακτο· τὶς δὲ ἐντολὴ καὶ πρᾶξις ὁμοίως εἴρητο, ἢ εἰς μυστήριον τοῦ Χριστοῦ, διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ

tollitur a terra vita eius. ab iniquitatib. populi mei ductus est in mortē. Atque equidē de genere huius morituri, vt liuore ei⁹ homines peccatores sanarētur, tāquā ineffabili, Spiritus propheticus hæc dixit: Insuper vero, vt quomodo *in mundū progenitus veneris*, credētes ei mortales cognoscere possēt, per Esaiā idē Spiritus propheticus, quomodo nasciturus esset, ita præmōstrauit: *Et adiecit Dominus loqui ad Achaz, dicēs: Pete tibi signū a Domino Deo tuo, in profundū, vel in altū. Et dixit Achaz: Nō petā, neq; tētabo Dominū. Et dixit Esaias: Audite sane domus Dauidis: Nū parū vobis est, molestiā exhibere hominibus? & quomodo Domino exhibetis molestiam? Propter hoc dabit Dominus ipse vobis signū. Ecce virgo in vtero cōcipiet, & pariet filiū, & vocabitur nomē eius Emanuel [quod est Nobiscum Deus.] Butyrū & mel comedet. Priusquā ipse norit aut præferat praua, & eligat bonū, (propterea quod priusquā norit puellus bonū aut malum, repudiet mala, vt eligat bonum) priusquā sciat appellare patrē aut matrem, capiet virtutem Damasci, & spolia Samariæ, corā rege Assyriorum. & capietur terra, quā tu dure ter feres a facie duorū regum. Sed adducet Deus super te, & super populū tuum, & super domū patris tui dies, qui nōdū venerunt, super te, a die quo abduxit Ephraim a Iuda regē Assyriorum.* Quod quidem certe in genere, iuxta carnem ipsius Abraæ nemo vnquam *e virgine natus sit*, neq; natus esse dictus sit, preterquā noster ipse CHRISTVS, omnib. est manifestū. Sedenim quia vos & magistri vestri asserere audetis, non dictū esse in prophetia Esaiæ: *Ecce virgo ventrem feret, & pariet filium*: & quia prophetiam exponentes, in Ezechiam, qui fuit rex vester, refertis: conabor & de hoc aduersus vos pauca explicare atq; demōstrare, in hunc quē nos profitemur CHRISTVM, relatū esse. Ita nāq; demum per omnia innocens vestra causa inueniar, si demōstrationibus adhibitis persuadere vobis quod cupio, contēdero. Sin vos duricordes, aut animis vestris infirmi esse, propter destinatā Christianis mortē, perrexeritis: vobis ipsis auctores esse mali videbimini, & vos ipsos decipiētes errore implicabimini: autumātes eo prorsus vos, quæ a Deo sunt, per CHRISTVM vt dētur, promissa bona, hæreditate accepturos esse, quod Abraæ secundum carnem estis semen. Nemo enim etiam [patrum] illorum vlla ex parte accipere ea potest, exceptis illis qui in animis suis fide Abraæ exæquati fuerint, & mysteria omnia cognouerint. Dico aūt [in sacris litteris] quoddā *præceptigenus in verū Dei cultū*. & vitā recte iusteq; degendā cōstitutū esse: quasdā itidē iussiones & actiones dictas, vel in mysteriū & sacramentum CHRISTI, vel propter induratū cor populi

vestri. Et quod hoc sic habeat, in Ezechiele de eo pronuncians Deus dixit: *Si Noe, & Iob, & Daniel depoposcerint vel filios vel filias, non dabitur hoc eis.* Et in Esaia in eādem sententiā ita ait: *Dixit Dominus Deus: Et egredientur, & videbunt membra praeuaricatorum hominum. Vermis namq; eorum non morietur, & ignis eorum non exstinguetur, & erunt in visionē siue spectaculum omni carni.* Quapropter vos, ex animis vestris spe huiusmodi recisa, nauare operam oportet vt cognoscatis *qua via vobis remissio peccatorum contingere queat, & spes bonorum annunciatorum hereditate consequendorum.* Est autem non alia quā haec, vt CHRISTO hoc agnito, quod ab Esaia promulgatum est, propter remissionem peccatorum, lauacro abluti, sine peccato de caetero viuatis. Et Trypho, Etiāsi, ait, interpellaturus esse videar dissertationem istam, quam inquisitu necessariam esse perhibes: quaestione tamen adurgente, mihi hoc primū da, vt quod volo percontari queam. Ego autem, Quaecumque vis, dixi, quaere, vt ea tibi in mentem veniunt. Nam post quaestiones & responsiones, coeptam disputationem repetere & perficere annitar. Atq; ille; Dic ergo mihi, ait, qui ex praescripto rogatae per Mosen legis vixerunt, viuentne pariter cum Enocho, Noe, & Iobo, in resurrectione mortuorum, an non? Tum ego ad illum: Cum proferrem, o homo, Ezechielis verba: *Quamuis Noe & Iob & Daniel petituri sint filios & filias, non eis datum iri,* sed pro se quemque iusticia sua saluū fore: eos quoque, qui iuxta Mosae legem vitam egere, pariter seruatum iri dixi. Nam in ea lege, quae natura pulchra, quae pia, quae iusta sunt, vt ea illi morigeri faciant, sancita sunt: nec minus quae propter induratū cor populi fieri praecepta sunt, perscripta inueniuntur: quę & prestitere qui sub lege fuere. Nam qui ea fecerunt quę in vniuersum & natura & perpetuo pulchra sūt, Deo complacent: & per CHRISTVM hūc, in resurrectione, perinde atq; maiores eorum homines iusti, Enoch, & Noe, & Iob, & si qui alii exstitere, vna cum eis qui CHRISTVM Dei filium cognouerunt, saluabuntur. qui & ante luciferum & ante lunam fuit: & ex virgine ista generis Dauidici caro factus, nasci sustinuit: vt per oeconomiam functionēque eiuscemodi, is qui a principio maligne egit Serpens, & exęquati ei angeli, debellarentur, & mors cōtemneretur: atq; in secundo ipsius CHRISTI aduentu, ab eis se illa qui CHRISTO credūt, & ex sentētia eius viuūt, abstineret omnino, nec deinceps exstaret amplius: cū alii quidē in iudiciū & cōdemnationē ignis incessāter cruciādi mittētur, alii aūt in perpessionis vacuitate, & incorruptibilitate, & indolētia, & immortalitate, simul viuēt.

ὑμῶν. καὶ ὅτι τοῦτό ἐστιν, ἐν τῷ Ἰεζεκιὴλ περὶ τούτου ἀποφαινόμενος ὁ Θεὸς εἶπεν, Ἐὰν Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ ἐξαιτήσωνται ἢ υἱοὺς ἢ θυγατέρας, οὐ μὴ δοθήσεται αὐτοῖς:- καὶ ἐν τῷ Ἡσαΐᾳ εἰς τοῦτ᾽ αὐτ᾽ ἔφη οὕτως· Εἶπε Κύριος ὁ Θεὸς, καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν παραβεβηκότων ἀνθρώπων. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ 61 σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί:- Ὡς τεμόντας ὑμᾶς ἀπὸ τῶν ψυχῶν ὑμῶν τὴν ἐλπίδα ταύτην, σπουδάσαι δεῖ ἐπιγνῶναι δι᾽ ἧς ὁδοῦ ἄφεσις ὑμῖν τῶν ἁμαρτιῶν γενήσεται, καὶ ἐλπὶς τῆς κληρονομίας τῶν κατηγγελμένων ἀγαθῶν. ἔστι δ᾽ οὐκ ἄλλη ἢ αὕτη, ἵνα τοῦτον τὸν Χριστὸν ἐπιγνόντες, καὶ λουσάμενοι τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν διὰ Ἡσαΐου κηρυχθὲν λουτρὸν, ἀναμαρτήτως λοιπὸν ζήσητε. Καὶ ὁ Τρύφων, Εἰ καὶ ἐγκόπτειν δοκῶ τοῖς λόγοις τούτοις οἷς λέγεις ἀναγκαίοις οὖσιν ἐξετασθῆναι, ἀλλ᾽ οὖν κατεπείγοντος τοῦ ἐπερωτήματος, ὃ ἐξετάσαι βούλομαι, ἀνάσχου μου πρῶτον. Κἀγὼ, ὅσα βούλει ἐξέταζε ὡς σοὶ ἐπέρχεται· ἐγὼ γὰρ καὶ μετὰ τὰς ἐξετάσεις καὶ ἀποκρίσεις τοὺς λόγους ἀναλαμβάνειν πειράσομαι καὶ πληροῦν. Κἀκεῖνος, Εἰπὲ οὖν μοι ἔφη· οἱ ζήσαντες κατὰ τὸν νόμον τὸν διαταχθέντα διὰ Μωσέως, ζήσονται ὁμοίως τῷ Ἰὼβ, καὶ τῷ Ἐνὼχ, καὶ τῷ Νῶε, ἐν τῇ τῶν νεκρῶν ἀναστάσει, ἢ οὔ; Κἀγὼ πρὸς αὐτὸν, Εἰπόντος μου, ὦ ἄνθρωπε, τὰ λελεγμένα ὑπὸ τοῦ Ἰεζεκιὴλ, ὅτι κἂν Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ ἐξαιτήσωνται υἱοὺς καὶ θυγατέρας, οὐ δοθήσεται αὐτοῖς:- ἀλλ᾽ ἕκαστος τῇ αὐτοῦ δικαιοσύνῃ δηλονότι σωθήσεται· ὅτι καὶ τοὺς κατὰ τὸν νόμον τὸν Μωσέως πολιτευσαμένους ὁμοίως σωθήσεσθαι εἶπον. καὶ γὰρ ἐν τῷ Μωσέως νόμῳ τὰ φύσει καλὰ, καὶ εὐσεβῆ, καὶ δίκαια νενομοθέτηται πράττειν τοὺς πειθομένους αὐτοῖς· καὶ πρὸς σκληροκαρδίαν δὲ τοῦ λαοῦ διαταχθέντα γίνεσθαι ὁμοίως ἀναγέγραπται, ἃ καὶ ἔπραττον οἱ ὑπὸ τὸν νόμον· ἐπεὶ οἱ τὰ καθόλου καὶ φύσει καὶ αἰώνια καλὰ ἐποίουν, εὐάρεστοί εἰσι τῷ Θεῷ, καὶ διὰ τοῦ Χριστοῦ τούτου ἐν τῇ ἀναστάσει ὁμοίως τοῖς προγενομένοις αὐτῶν δικαίοις, Νῶε καὶ Ἐνὼχ καὶ Ἰὼβ, καὶ εἴ τινες ἄλλοι γεγόνασι, σωθήσονται σὺν τοῖς ἐπιγνοῦσι τὸν Χριστὸν τοῦτον τοῦ Θεοῦ υἱὸν, ὃς καὶ πρὸ ἑωσφόρου καὶ σελήνης ἦν, καὶ διὰ τῆς παρθένου ταύτης τῆς ἀπὸ τοῦ γένους τοῦ Δαβὶδ γεννηθῆναι σαρκοποιηθεὶς ὑπέμεινεν, ἵνα διὰ τῆς οἰκονομίας ταύτης ὁ πονηρευσάμενος τὴν ἀρχὴν ὄφις, καὶ οἱ ἐξομοιωθέντες αὐτῷ ἄγγελοι καταλυθῶσι, καὶ ὁ θάνατος καταφρονηθῇ, καὶ ἐν τῇ δευτέρᾳ αὐτοῦ τοῦ Χριστοῦ παρουσίᾳ ἀπὸ τῶν πιστευόντων αὐτῷ καὶ εὐαρίστως ζώντων παύσηται πλέον ὕστερον μηκέτ᾽ ὤν, ὅταν οἱ μὲν, εἰς κρίσιν καὶ καταδίκην τοῦ πυρὸς ἀπαύστως κολάζεσθαι πεμφθῶσιν, οἱ δὲ, ἐν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ καὶ ἀλυπίᾳ καὶ ἀθανασίᾳ συνῶσιν.

Ἐὰν

Ἐὰν δέ τινες καὶ νῦν ζῆν βούλωνται, φυλάσσοντες τὰ διὰ Μωσέως διαταχθέντα, καὶ πιστεύσωσιν ἐπὶ τοῦτον τὸν σταυρωθέντα Ἰησοῦν, ἐπιγνόντες ὅτι αὐτός ἐστιν ὁ Χριστὸς τοῦ Θεοῦ, καὶ αὐτῷ δέδοται τὸ κρῖναι πάντας ἁπλῶς, καὶ αὐτοῦ ἐστιν ἡ αἰώνιος βασιλεία, δύνανται καὶ αὐτοὶ σωθῆναι; ἐπυνθάνετό μου. Κἀγὼ πάλιν, Συσκεψώμεθα κἀκεῖνο, εἰ ἔνεστιν, ἔλεγον, φυλάσσειν τὰ διὰ Μωϋσέως διαταχθέντα ἅπαντα νῦν. Κἀκεῖνος ἀπεκρίνατο, Οὔ. γνωρίζομεν γὰρ ἔτι, ὡς ἔφης, οὔτε πρόβατον τοῦ πάσχα ἀλλαχόσε θύειν δυνατὸν, οὔτε τοὺς τῇ νηστείᾳ κελευσθέντας προσφέρεσθαι χιμάρους, οὔτε τὰς ἄλλας ἁπλῶς ἁπάσας προσφοράς. Κἀγὼ, Τίνα οὖν ἀδύνατόν ἐστι φυλάσσειν, παρακαλῶ λέγε αὐτός· πεισθήσῃ γὰρ ὅτι μὴ φυλάσσων τὰ αἰώνια δικαιώματά τις ἢ πράξας, σωθῆναι ἐκ παντὸς ἔχει. Κἀκεῖνος, Τὸ σαββατίζειν λέγω, καὶ τὸ περιτέμνεσθαι, καὶ τὸ τὰ ἔμμηνα φυλάσσειν, καὶ τὸ βαπτίζεσθαι ἁψάμενον τινὸς ὧν ἀπηγόρευται ὑπὸ Μωσέως, ἢ ἐν συνουσίᾳ γενόμενον. Κἀγὼ ἔφην, Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ καὶ Νῶε, καὶ Ἰὼβ, καὶ εἴ τινες ἄλλοι γεγόνασι πρὸ τούτων ἢ μετὰ τούτους ὁμοίως
62 δίκαιοι, λέγω δὲ καὶ Σάρραν τὴν γυναῖκα τοῦ Ἀβραὰμ, καὶ Ῥεβέκκαν τὴν τοῦ Ἰσαὰκ, καὶ Ῥαχὴλ τὴν τοῦ Ἰακὼβ, καὶ Λείαν, καὶ τὰς λοιπὰς ἄλλας τὰς τοιαύτας, μέχρι τῆς Μωσέως τοῦ πιστοῦ θεράποντος μητρὸς, μηδὲν τούτων φυλαξάσας, εἰ δοκοῦσιν ὑμῖν σωθήσεσθαι; Καὶ ὁ Τρύφων ἀπεκρίνατο, Οὐ περιετέτμητο Ἀβραὰμ καὶ οἱ μετ' αὐτόν; Κἀγὼ, Ἐπίσταμαι, ἔφην, ὅτι περιετέτμητο Ἀβραὰμ καὶ οἱ μετ' αὐτόν· διατί δὲ ἐδόθη αὐτοῖς ἡ περιτομὴ, ἐν πολλοῖς τοῖς προλελεγμένοις εἶπον, καὶ εἰ μὴ δυσωπεῖ ὑμᾶς τὰ λεγόμενα, πάλιν ἐξετάσωμεν τὸν λόγον. ὅτι δὲ μέχρι Μωϋσέως οὐδεὶς ἁπλῶς δίκαιος οὐδὲν ὅλως τούτων περὶ ὧν ἐζητοῦμεν ἐφύλαξεν, οὐδὲ ἐντολὴν ἔλαβε φυλάσσειν, πλὴν τὴν ἀρχὴν λαβούσης ἀπὸ Ἀβραὰμ τῆς περιτομῆς, ἐπίστασθε. Κἀκεῖνος, Ἐπιστάμεθα, ἔφη· καὶ ὅτι σώζονται ὁμολογοῦμεν. Κἀγὼ πάλιν, Διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν πάντα τὰ τοιαῦτα ἐντάλματα νοεῖτε τὸν Θεὸν διὰ Μωσέως ἐντειλάμενον ὑμῖν, ἵνα διὰ πολλῶν τούτων ἐν πάσῃ πράξει πρὸ ὀφθαλμῶν ἀεὶ ἔχητε τὸν Θεὸν, καὶ μήτε ἀδικεῖν μήτε ἀσεβεῖν ἄρχησθε. καὶ γὰρ τὸ κόκκινον βάμμα περιτιθέναι αὐτοῖς ἐνετείλατο ὑμῖν, ἵνα διὰ τούτου μὴ λήθη ὑμᾶς λαμβάνῃ τοῦ Θεοῦ, καὶ φυλακτήριον ἐν ὑμέσι λεπτοτάτοις γεγραμμένων χαρακτήρων τινῶν, ἃ πάντως ἅγια νοοῦμεν εἶναι, περικεῖσθαι ὑμᾶς ἐκέλευσε, καὶ διὰ τούτων δυσωπῶν ὑμᾶς, ἀεὶ μνήμην ἔχειν τοῦ Θεοῦ· ἅμα τε καὶ ἔλεγχον ἐν ταῖς καρδίαις ὑμῶν, οὐδὲ μικρὰν μνήμην ἔχετε τοῦ θεοσεβεῖν, καὶ οὐδ' οὕτως ἐπείσθητε μὴ εἰδωλολατρεῖν, ἀλλ' ἐπὶ Ἠλίου ὀνομάζων τὸν ἀριθμὸν τῶν μὴ καμψάντων γόνυ τῇ Βάαλ,

Quod si qui nūc quoq; viuere velint, obseruātes ea quæ a Mose rogata sunt; & credāt in hūc IESVM crucifixū, agnoscētes ipsū esse CHRISTVM Dei, eiq; datū esse vniuersorū prorsus iudiciū, & regnū eius esse sempiternū: possūtne & ipsi seruari: ex me percūctādo, Trypho dixit. At ego rursum; Cōsideremus & illud, respondi, nū liceat nūc quoq; seruare quæ Moses mādauit omnia? Atq; ille; Minime, inquit. nouimus enim adhuc, quēadmodū dixisti, neq; agnū paschæ alibi immolari posse, neq; eos qui in ieiunio iussi sūt offerri hircos, neq; adeo alias oblationes omnino oēs [quā in terra sancta.] Tū ego: Quę igitur seruari queāt, ipse (rogo) dicito. Persuadebere enim, aliquē qui nō custodierit aut fecerit ęternas iustificationes, saluari omnino posse. Et ille; Sabbata peragere, inquit, & circūcidi, & mēses seruare, & baptizari abluiq; vbi quid attigeris quod a Mose vetitū est, aut in cōsuetudine Veneris fueris. Et ego porro dixi: Abraā, & Isaac, & Iacob, & Noe, & Iob, & si qui præterea ante vel post hos similiter iusti fuere: dico aūt & Saram vxoiē Abraę, & Rebeccā Isaaci, & Rachelē atq; Liam Iacobi, & reliquas eiuscemodi, vsque ad Mosæ fidelis ministri matrē; qui quæve nihil horū obseruarūt, an videntur vobis salui saluæve fore? Et Trypho respondit: Nō circūcisus est Abraā, & posteri eius? Ego vero; Scio, inquā, circūcisum esse Abraā, & successores eius. Qua aūt gratia eis circūcisio sit data, in multis antea locis dixi: ac nisi vobis quę dicta sunt, ad persuasionē satisfaciūt, denuo rē exquiramus. Quod certe ad ipsum vsq; Mosen nullus omnino iustorū, eorū quidquā quæ in quæstionē veniūt, seruauerit, ac ne pręceptum quidē vllū seruādi acceperit, extra hoc qđ ab Abraamo exordiū sūpsit circūcisio, scitis. Et ille, Scimus, inquit: & quod saluētur, cōfitemur. Ego rursum; Propter duriciā cordis populi vestri, inquā, cūctas huiusmodi sanctiones Deū per Mosen vobis tulisse, intelligitis: vt per cōplura ista instituta, in actione omni ob oculos vobis esset Deus; ac neq; iniuste facere, neq; impie agere occiperetis. Etenim vt coccineum panniculum sibiipsis Iudæi circumponerent, præceptum vobis est, quo per eum vos Dei non caperet obliuio: & phylacterium litteris quibusdam, quas sanctas omnino esse intelligimus, in tenuissimis membranis descriptis, circumdare vos iussit. Et cum per ista religionem vobis quandam incusserit, vt continue memoriam Dei, & simul reprehensionem in cordibus vestris obtineretis: ne exiguam quidem tamen Dei colendi recordationem retinuistis: atque nec hoc etiam pacto persuasum habuistis vt simulacra non coleretis: verum sub Elia eos recensens qui non inflexerunt genu statuæ Baal,

numerum septem millium tātum expressit: & in Esaia, quod liberos simulacris vestros, sacris operandis immolastis, vos carpit. Nos autem, vt ne eis sacra offeramus quib. olim sacrificauimus, extrema quoq; toleramus supplicia. Et dum ita cædimur, lætamur; persuasum habentes, quod excitaturus nos sit Deus per CHRISTVM suū, incorruptibilesque & impatibiles & immortales redditurus; sciētes & illud, quod ad iustas rectasque actiones, & veri cultus Dei religionem, ea nihil afferant momēti quæ propter induratum cor populi vestri sunt constituta. Hic iterum Trypho interrogauit: Quid si quisquā hæc ita se habere sciens, præter id quod hunc CHRISTVM esse norit scilicet & credat, eiq; pareat, ista insuper seruare velit? verum saluabitur? Et ego: Vt mihi quidē videtur, o Trypho, saluatum talem iri aio, si alios mortales (eos autem dico, qui ex gentib. per CHRISTVM ab errore & seductione circūcisi sunt) omni studio in sententiam suam adducere annisus non fuerit, nō seruatū eos iri ille affirmās, nisi eadē secū obseruauerint; itidem vt tu ab initio disputationis fecisti, confirmans me saluum non fore, nisi ista seruarem. Ille porro: Quid ita dixisti, Vt mihi quidē videtur, talis saluabitur? an sunt qui dicant, huiusmodi saluatū non iri? Sunt, ego respondi: & quidē cū talibus illi neque cōsuetudinis neq; hospitii communionem habere audent: quos ego non collaudo. Sed si ipsi propter animi imbecillitatem, etiam quæcumque nūc possunt ex Mosæ cōstitutionibus, quę ob duriciā cordis populi sancita esse intelligimus, vna cū cōcepta in hūc CHRISTVM spe, atq; perpetuis naturaque comparatis iusticiæ & religionis veræ actionib. seruare, & cū Christianis fidelibusq; viuere voluerint; vt modo illis non suadeant pariter cum eis circūcidi, ac sabbata agere, aliaq; quæcūq; tandē sunt eiuscemodi, exsequi: eos recipiendos, & ad cōmunionē rerum omnium vt fratres, eorūdemq; viscerum homines, admittendos esse cēluerim. Sin, qui generis vestri sunt, in hunc CHRISTVM se credere asseuerantes, o Trypho, dixi, omnibus modis secundum legē per Mosen latam eos viuere cogant, qui ex gentib. in hunc CHRISTVM credūt; aut a consuetudinis istiusmodi commercio eos excludere statuant: consimiliter & hos non suscepērim. Eos vero [ex gentibus fideles] qui vna cū obseruatione in CHRISTVM Dei professionis, in legitimam cum illis cōsentiant conuersationem, itidem non saluari putem. Qui aūt professi sunt & agnouerunt hunc esse CHRISTVM, & qualicumque demum de causa ad legitimam transeunt viuendi consuetudinem, abnegantes hunc esse CHRISTVM, & ante mortē non resipiscunt: haud quaquam saluatum iri arbitror. Eos itē qui ex semine Abrææ ex præscripto legis viuunt, atque in CHRISTVM hunc non credūt ante vitæ finē, saluos

ἑπτακισχιλίους τὸν ἀριθμὸν ὄντας εἶπε· καὶ ἐν τῷ Ἠσαΐᾳ καὶ τὰ τέκνα ὑμῶν θυσίαν πεποιηκέναι τοῖς εἰδώλοις ἐλέγχει ὑμᾶς. ἡμεῖς δὲ, ὑπὲρ τοῦ μὴ θυσιάζειν οἷς πάλαι ἐθύομεν, ὑπομένομεν τὰς ἐσχάτας τιμωρίας, καὶ θανατούμενοι χαίρομεν· πιστεύοντες ὅτι ἀναστήσει ἡμᾶς ὁ Θεὸς διὰ τοῦ Χριστοῦ αὐτοῦ, καὶ ἀφθάρτους καὶ ἀπαθεῖς καὶ ἀθανάτους ποιήσει, καὶ οὐδὲν συμβάλλεσθαι πρὸς δικαιοπραξίαν καὶ εὐσέβειαν τὰ διὰ τὴν σκληροκαρδίαν τοῦ λαοῦ ὑμῶν διαταχθέντα γινώσκομεν. Καὶ ὁ Τρύφων πάλιν, Ἐὰν δέ τις, εἰδὼς ὅτι ταῦτα οὕτως ἔχει, μετὰ τοῦ καὶ τοῦτον εἶναι τὸν Χριστὸν ἐπίστασθαι δηλονότι, καὶ πεπιστευκέναι καὶ πείθεσθαι αὐτῷ, βούλεται καὶ ταῦτα φυλάσσειν, σωθήσεται; ἐπυνθάνετο. Κἀγώ, Ὡς μὲν ἐμοὶ δοκεῖ, ὦ Τρύφων, λέγω ὅτι σωθήσεται ὁ τοιοῦτος, ἐὰν μὴ τοὺς ἄλλους ἀνθρώπους, λέγω δὴ τοὺς ἀπὸ τῶν ἐθνῶν διὰ τοῦ Χριστοῦ ἀπὸ τῆς πλάνης περιτμηθέντας, ἐκ παντὸς πείθειν ἀγωνίζηται, ταὐτὰ αὐτῷ φυλάσσειν, λέγων οὐ σωθήσεσθαι αὐτοὺς, ἐὰν μὴ ταῦτα φυλάξωσιν· ὁποῖον ἐν ἀρχῇ τῶν λόγων καὶ σὺ ἔπραττες, ἀποφαινόμενος οὐ σωθήσεσθαί με, ἐὰν μὴ ταῦτα φυλάξω. Κἀκεῖνος, Διατί οὖν εἶπας, Ὡς μὲν ἐμοὶ δοκεῖ, σωθήσεται ὁ τοιοῦτος· εἰ μή τι εἰσὶν οἱ λέγοντες ὅτι οὐ σωθήσονται οἱ τοιοῦτοι; Εἰσίν, ἀπεκρινάμην, ὦ Τρύφων, καὶ μηδὲ κοινωνεῖν ὁμιλίας ἢ ἑστίας τοῖς τοιούτοις τολμῶντες· οἷς ἐγὼ οὐ σύναινός εἰμι· ἀλλ' ἐὰν αὐτοὶ διὰ τὸ ἀσθενὲς τῆς γνώμης καὶ τὰ ὅσα δύνανται νῦν ἐκ τῶν Μωσέως, ἃ διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ νοοῦμεν διατετάχθαι, μετὰ τοῦ ἐπὶ τοῦτον τὸν Χριστὸν ἐλπίζειν, καὶ τὰς αἰωνίους καὶ φύσει δικαιοπραξίας καὶ εὐσεβείας φυλάσσειν βούλωνται, καὶ αἱρῶνται συζῆν τοῖς Χριστιανοῖς καὶ πιστοῖς, ὡς προεῖπον, μὴ πείθοντες αὐτοὺς μήτε περιτέμνεσθαι ὁμοίως αὐτοῖς, μήτε σαββατίζειν, μήτε ἄλλα ὅσα τοιαῦτά ἐστι τηρεῖν, καὶ προσλαμβάνεσθαι, καὶ κοινωνεῖν ἁπάντων, ὡς ὁμοσπλάγχνοις καὶ ἀδελφοῖς, δεῖν ἀποφαίνομαι. ἐὰν δὲ οἱ ἀπὸ τοῦ γένους τοῦ ὑμετέρου πιστεύειν λέγοντες ἐπὶ τοῦτον τὸν Χριστὸν, ὦ Τρύφων, ἔλεγον, ἐκ παντὸς κατὰ τὸν διὰ Μωσέως διαταχθέντα νόμον ἀναγκάζωσι ζῆν τοὺς ἐξ ἐθνῶν πιστεύοντας ἐπὶ τοῦτον τὸν Χριστὸν, ἢ μὴ κοινωνεῖν αὐτοῖς τῆς τοιαύτης συνδιαγωγῆς αἱρῶνται, ὁμοίως καὶ τούτους οὐκ ἀποδέχομαι. τοὺς δὲ πειθομένους αὐτοῖς ἐπὶ τὴν ἔννομον πολιτείαν, μετὰ τοῦ φυλάσσειν τὴν εἰς τὸν Χριστὸν τοῦ Θεοῦ ὁμολογίαν, καὶ σωθήσεσθαι ἴσως ὑπολαμβάνω· τοὺς δὲ ὁμολογήσαντας καὶ ἐπιγνόντας τοῦτον εἶναι τὸν Χριστὸν, καὶ ἥτινι οὖν αἰτίᾳ μεταβάντας ἐπὶ τὴν ἔννομον πολιτείαν, ἀρνησαμένους ὅτι οὗτός ἐστιν ὁ Χριστὸς, καὶ πρὶν τελευτῆς μὴ μεταγνόντας, οὐδ' ὅλως σωθήσεσθαι ἀποφαίνομαι. καὶ τοὺς ἀπὸ τοῦ σπέρματος τοῦ Ἀβραὰμ ζῶντας κατὰ τὸν νόμον, καὶ ἐπὶ τοῦτον τὸν Χριστὸν μὴ πιστεύοντας πρὶν τελευτῆς τοῦ βίου, 63

οὐ σωθήσεσθαι ὁμοίως ἀποφαίνομαι, καὶ μάλιστα τοὺς ἐν ταῖς συναγωγαῖς καταναθεματίσαντας καὶ καταναθεματίζοντας ἐπ' αὐτὸν τοῦτον τὸν Χριστὸν, καὶ πᾶν ὅπως τύχωσι τῆς σωτηρίας, καὶ τῆς τιμωρίας τῆς ἐν τῷ πυρὶ ἀπαλλαγῶσιν. ἡ γὰρ χρηστότης καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ καὶ τὸ ἄμετρον τοῦ πλούτου αὐτοῦ, τὸν μετανοοῦντα ἀπὸ τῶν ἁμαρτημάτων, ὡς διὰ Ἰεζεκιὴλ μηνύει, ὡς δίκαιον καὶ ἀναμάρτητον ἔχει· καὶ τὸν ἀπὸ εὐσεβείας ἢ δικαιοπραξίας μετατιθέμενον ἐπὶ ἀδικίαν καὶ ἀθεότητα, ὡς ἁμαρτωλὸν καὶ ἄδικον καὶ ἀσεβῆ ἐπίσταται. διὸ καὶ ὁ ἡμέτερος Κύριος Ἰησοῦς Χριστὸς εἶπεν, Ἐν οἷς ἂν ὑμᾶς καταλάβω, ἐν τούτοις καὶ κρινῶ. Καὶ ὁ Τρύφων, Καὶ περὶ τούτων ὅσα φρονεῖς ἀκηκόαμεν, εἶπεν· ἀναλαβὼν οὖν τὸν λόγον ὅθεν ἐπαύσω, πέραινε· παράδοξός τις γάρ ποτε καὶ μὴ δυνάμενος ὅλως ἀποδειχθῆναι δοκεῖ μοι εἶναι· τὸ γὰρ λέγειν σε προϋπάρχειν Θεὸν ὄντα πρὸ αἰώνων τοῦτον τὸν Χριστὸν, εἶτα καὶ γεννηθῆναι ἄνθρωπον γενόμενον ὑπομεῖναι, καὶ ὅτι οὐκ ἄνθρωπος ἐξ ἀνθρώπου, οὐ μόνον παράδοξον δοκεῖ μοι εἶναι, ἀλλὰ καὶ μωρόν. Κἀγὼ πρὸς ταῦτα ἔφην, Οἶδ' ὅτι παράδοξος ὁ λόγος δοκεῖ εἶναι, καὶ μάλιστα τοῖς ἀπὸ τοῦ γένους ὑμῶν, οἵτινες τὰ τοῦ Θεοῦ οὔτε νοῆσαι οὔτε ποιῆσαι ποτὲ βεβούλησθε, ἀλλὰ τὰ τῶν διδασκάλων ὑμῶν, ὡς αὐτὸς ὁ Θεὸς βοᾷ. ἤδη μέντοι, ὦ Τρύφων, εἶπον, οὐκ ἀπόλλυται τὸ τοιοῦτον εἶναι Χριστὸν τοῦ Θεοῦ, ἐὰν ἀποδεῖξαι μὴ δύνωμαι ὅτι καὶ προϋπῆρχεν υἱὸς τοῦ ποιητοῦ τῶν ὅλων Θεὸς ὤν, καὶ γεγέννηται ἄνθρωπος διὰ τῆς παρθένου, ἀλλὰ ἐκ παντὸς ἀποδεικνυμένου ὅτι οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ, ὅστις οὗτος ἔσται· ἐὰν δὲ μὴ ἀποδεικνύω ὅτι προϋπῆρχε, καὶ γεννηθῆναι ἄνθρωπος ὁμοιοπαθὴς ἡμῖν, σάρκα ἔχων, κατὰ τὴν τοῦ πατρὸς βουλὴν ὑπέμεινεν, ἐν τούτῳ πεπλανῆσθαί με μόνον λέγειν δίκαιον, ἀλλὰ μὴ ἀρνεῖσθαι ὅτι οὗτός ἐστιν ὁ Χριστὸς, ἐὰν φαίνηται ὡς ἄνθρωπος ἐξ ἀνθρώπων γεννηθεὶς, καὶ ἐκλογῇ γενόμενος εἰς τὸν Χριστὸν εἶναι ἀποδεικνύηται. καὶ γάρ εἰσί τινες, ὦ φίλοι, ἔλεγον, ἀπὸ τοῦ ἡμετέρου γένους ὁμολογοῦντες αὐτὸν Χριστὸν εἶναι, ἄνθρωπον δὲ ἐξ ἀνθρώπων γενόμενον ἀποφαινόμενοι· οἷς οὐ συντίθεμαι· οὐδ' ἂν πλεῖστοι ταὐτά μοι δοξάσαντες εἴποιεν, ἐπειδὴ οὐκ ἀνθρωπείοις διδάγμασι κεκελεύσμεθα ὑπ' αὐτοῦ τοῦ Χριστοῦ πείθεσθαι, ἀλλὰ τοῖς διὰ τῶν μακαρίων προφητῶν κηρυχθεῖσι καὶ δι' αὐτοῦ διδαχθεῖσι. Καὶ ὁ Τρύφων, Ἐμοὶ μὲν δοκοῦσιν, εἶπεν, οἱ λέγοντες ἄνθρωπον γεγονέναι αὐτὸν, καὶ κατ' ἐκλογὴν κεχρῖσθαι, καὶ Χριστὸν γεγονέναι, πιθανώτερον ὑμῶν λέγειν τῶν ταῦτα ἅπερ φῂς λεγόντων. καὶ γὰρ πάντες ἡμεῖς τὸν Χριστὸν ἄνθρωπον ἐξ ἀνθρώπων προσδοκῶμεν γενήσεσθαι,

saluos non fore iudico: eosque potissimũ, qui in synagogis anathemate iugularunt & iugulant in hunc ipsum CHRISTVM credentes; [nisi resipiscentes faciant] omnia quo salutem consequantur, & suppliciũ ignis euadãt. Bonitas namq; & humanitas Dei, & immensitas diuitiarum eius, pœnitentiam agentem, resipiscẽtemque a peccatis, prout per Ezechielem indicat, perinde atque iustum quique peccatum non admiserit, habet: atque eum qui a vero cultu Dei, & a recte iusteq; agendi ratione ad iniquitatem & impietatem ab omni diuinitate alienam transfugit, pro peccatore, & iniusto, & impio agnoscit. Quocirca & noster Dominus CHRISTVS IESVS dixit: *In quibus vos deprehendero, in eis & iudicabo.* Hic tum Trypho; Quæ de his etiam tua sit sententia audiuimus, inquit. Repetito ergo, vnde digressus es, sermone, dicere perge. Admirabilis namque & qui demonstrari probarique in vulgus nequeat, mihi videtur esse. Nam quod ais, ante secula Deum fuisse hũc CHRISTVM, ac deinde nasci etiam hominem factũ sustinuisse, & quidem non hominem ex homine: non modo admirabile & præter fidem mihi esse videtur, verum etiam stultum. Et ego ad hæc dixi: Scio incredibilem videri sermonem istum hominibus, gẽtis vestræ maxime; qui ea quæ Dei sunt, neque intelligere neque facere vmquam voluistis, sed quæ magistrorum vestrorum sunt; pro eo atque ipse Deus vociferatur. Verumenimuero Trypho, dixi, nõ perierit illud, CHRISTVM hunc esse Dei, si demonstrare nequeam, & fuisse prius filium conditoris vniuersitatis huius Dei, esseq; Deum, & genitum esse hominem ex virgine: præterquam ex eo omni, quo probatur hunc esse CHRISTVM illum Dei, quod talem eum fore præostensum sit. At si non demonstrauero, inquam, eum & prius exstitisse, & nasci hominem sustinuisse, eisdẽ nobiscum perpessionibus obnoxium, carnem habentem, secundum Patris consilium & voluntatem: in eo ipso tantum æquũ fuerit, me errore lapsum esse dicere; non autem negare, hunc esse CHRISTVM illum, etiamsi tamquam homo ex hominibus genitus videatur, & electione CHRISTVS factus esse [a quibusdam] asseratur. Sunt enim nõnulli, o amici, dixi, ex genere nostro, profitentes ipsum CHRISTVM esse, sed hominem ex hominibus genitum esse affirmant, quibus non assentior: neq; id sane multi, qui in eadem mecũ sententia sunt, dixerint. Siquidem nõ humanis traditionibus & doctrinis iussi sumus a CHRISTO ipso credere, sed eis quas beati prophetæ promulgarunt, & ipse CHRISTVS tradidit. Et Trypho; Mihi quidem inquit, qui illum hominem editum, & per electionem inauguratum, & vnctione CHRISTVM factum esse asseuerant, credibiliora quam vos, eadem quæ tu affirmantes, dicere videntur. Omnes enim nos CHRISTVM hominem ex hominibus nasciturum,

&qui illum inungat. *Eliam venturum* præstolamur. Quod si hic appareat CHRISTVS esse, hominem ex hominibus genitū esse omnino scire oportet. Ex eo autem quod Elias non venerit, neq; hunc CHRISTVM esse censeo. Hic ego illum rursus percontatus sum: Annon Eliam Verbum per Malachiam aduenturum esse dicit, ante magnam & terribilem istā Domini diē? Atque ille respondit: Maxime. Si ergo ratio cogat fateri, duos futuros CHRISTI aduentus, prophetarum responsis prædictum esse; alterum, cum passioni subditus, & inhonoratus, & informis apparebit; alterum, cum gloriosus & iudex omniū aderit; sicuti pluribus in eis quæ diximus, est ostensum: annon terribilis & magni illius diei, hoc est secundi aduentus eius, Eliam præcursorem fore, Verbum Dei prænunciasse intelligemus? Maxime respondit ille. Dominus sane noster, inquam, hoc ipsum in doctrinis quoque suis futurū tradidit, cum dixit etiam Eliam venturum. Atque nos id fore scimus, cum cælitus in gloria adueniet Dominus IESVS CHRISTVS. cuius etiam prioris apparitionis præco præcessit. qui in Elia fuerat spiritus, in Ioanne generis vestri propheta. Hic ad Iordanem amnem considens, clamabat: *Ego quidem baptizo vos aqua ad pœnitentiam: veniet autem fortior me; cuius non sum dignus vt calceamenta portem. Ipse vos baptizabit Spiritu sancto & igni. Cuius venti labrum in manu eius; & repurgabit aream suam: & congregabit triticum suum in horreum, paleam autem exuret igni.* Atque hunc ipsum prophetam rex vester Herodes cōcluserat in carcere: & cum natalium eius dies celebraretur, & saltans fratris ipsius filia eum oblectaret: & cum mater puellæ subiecisset ei vt Ioannis, qui in vinculis erat, caput peteret, atque id illa petiisset: misit Herodes, & caput Ioannis in lance afferri iussit. Quamobrem & noster CHRISTVS tum in terris, eis qui asseuerabant ante CHRISTVM venire Eliam oportere, dixit: *Elias quidem veniet, & restituet omnia. Dico autem vobis, Eliam iam venisse. & non agnouerunt eum, sed fecerunt illi quæcumque voluerunt.* Et scriptum est, quod tum discipuli intellexerint, de Ioanne Baptista illum dixisse.

Et Trypho: Et hoc præter fidem mihi dicere videris, quod qui in Elia fuit propheticus Spiritus, in Ioanne etiam fuerit. Ad quæ ego: Non tibi videtur idem factum fuisse in Iosue, Nauæ filio, qui populo ducendo Mosæ successit? cum præceptum est Mosæ, vt imponeret manus Iosuæ, Deo ipso dicente; *Et ego transferam de Spiritu qui in te est, in ipsum.* Atque ille: Maxime. Itaque sicut agente adhuc in hominibus (inquam) Mose,

καὶ τὸν Ἠλίαν χρίσειν αὐτὸν ἐλθόντα. ἐὰν δὲ οὗτος φαίνηται ὢν ὁ Χριστός, ἄνθρωπον μὲν ἐξ ἀνθρώπων γενόμενον ἐκ παντὸς ἐπίστασθαι δεῖ· ἐκ δὲ τοῦ μηδὲ Ἠλίαν ἐλ- 64
ληλυθέναι, οὐδὲ τοῦτον ἀποφαίνομαι εἶναι. Κἀγὼ πάλιν ἐπυθόμην αὐτοῦ, Οὐχὶ Ἠλίαν φησὶν ὁ λόγος διὰ Ζαχαρίου ἐλεύσεσθαι πρὸ τῆς ἡμέρας τῆς μεγάλης καὶ φοβερᾶς ἐκείνης τοῦ Κυρίου; Κἀκεῖνος ἀπεκρίνατο, Μάλιστα. Ἐὰν οὖν ὁ λόγος ἀναγκάζῃ ὁμολογεῖν, ὅτι δύο παρουσίαι τοῦ Χριστοῦ προεφητεύοντο γενησόμεναι, μία μέν, ἐν ᾗ παθητὸς καὶ ἄτιμος καὶ ἀειδὴς φανήσεται· ἡ δὲ ἑτέρα, ἐν ᾗ καὶ ἔνδοξος καὶ κριτὴς ἁπάντων ἐλεύσεται, ὡς καὶ ἐν πολλοῖς τοῖς προλελεγμένοις ἀποδέδεικται, οὐχὶ τῆς φοβερᾶς καὶ μεγάλης ἡμέρας, τουτέστι τῆς δευτέρας παρουσίας αὐτοῦ, πρόοδον γενήσεσθαι τὸν Ἠλίαν νοήσομεν τὸν λόγον τοῦ Θεοῦ κεκηρυχέναι; Μάλιστα, ἀπεκρίνατο. Καὶ ὁ ἡμέτερος οὖν Κύριος, ἔφην, τοῦτο αὐτὸ ἐν τοῖς διδάγμασιν αὐτοῦ παρέδωκε γενησόμενον, εἰπὼν καὶ Ἠλίαν ἐλεύσεσθαι· καὶ ἡμεῖς τοῦτο ἐπιστάμεθα γενησόμενον, ὅταν μέλλῃ ἐν δόξῃ ἐξ οὐρανῶν παραγίνεσθαι ὁ ἡμέτερος Κύριος Ἰησοῦς Χριστός· οὗ καὶ τῆς πρώτης φανερώσεως κῆρυξ προῆλθε τὸ ἐν Ἠλίᾳ γενόμενον πνεῦμα τοῦ Θεοῦ, ἐν Ἰωάννῃ τῷ γενομένῳ ἐν τῷ γένει ὑμῶν προφήτῃ, μεθ' ὃν οὐδεὶς ἕτερος λοιπὸς παρ' ὑμῖν ἐφάνη προφήτης· ὅστις ἐπὶ τὸν Ἰορδάνην ποταμὸν καθεζόμενος ἐβόα, « Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ἥξει δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί· οὗ τὸ πτύον αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν σῖτον συνάξει εἰς τὴν ἀποθήκην· τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Καὶ τοῦτον αὐτὸν τὸν προφήτην συγκεκλείκει ὁ βασιλεὺς ὑμῶν Ἡρώδης εἰς φυλακήν, καὶ γενεσίων ἡμέρας τελουμένης, ὀρχουμένης τῆς ἐξαδέλφης αὐτοῦ τοῦ Ἡρώδου εὐαρέστως αὐτῷ, εἶπεν αὐτῇ αἰτήσασθαι ὃ ἐὰν βούληται. καὶ ἡ μήτηρ τῆς παιδὸς ὑπέβαλεν αὐτῇ, αἰτήσασθαι τὴν κεφαλὴν Ἰωάννου τοῦ ἐν τῇ φυλακῇ· καὶ αἰτησάσης ἔπεμψε, καὶ ἐπὶ πίνακι ἐνεχθῆναι τὴν κεφαλὴν Ἰωάννου ἐκέλευσε. διὸ καὶ ὁ ἡμέτερος Χριστὸς εἰρήκει ἐπὶ γῆς τότε τοῖς λέγουσι πρὸ τοῦ Χριστοῦ Ἠλίαν δεῖν ἐλθεῖν, « Ἠλίας μὲν ἐλεύσεται καὶ ἀποκαταστήσει πάντα· λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν. καὶ γέγραπται ὅτι τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς. Καὶ ὁ Τρύφων, Καὶ τοῦτο παράδοξον λέγειν μοι δοκεῖς, ὅτι τὸ ἐν Ἠλίᾳ τοῦ Θεοῦ γενόμενον προφητικὸν πνεῦμα, καὶ ἐν Ἰωάννῃ γέγονε. Κἀγὼ πρὸς ταῦτα. Οὐ δοκεῖ σοι ἐπὶ Ἰησοῦ τὸν τοῦ Ναυῆ τὸν διαδεξάμενον τὴν λαοῦ ἡγεμονίαν μετὰ Μωσέα, τὸ αὐτὸ γεγονέναι; ὅτε ἐρρέθη τῷ Μωσεῖ ἐπιθεῖναι τῷ Ἰησοῦ τὰς χεῖρας, εἰπόντος αὐτοῦ τοῦ Θεοῦ, « Κἀγὼ μεταθήσω ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοὶ ἐπ' αὐτόν. Κἀκεῖνος, Μάλιστα. Ὡς οὖν, φημί, ἔτι ὄντος τότε ἐν ἀνθρώποις τοῦ Μωσέως,

μετέθηκεν

μετέθηκεν ἐπὶ τὸν Ἰησοῦν ὁ Θεὸς ἀπὸ τοῦ ἐν Μωσῇ πνεύματος, οὕτως καὶ ἀπὸ τοῦ Ἠλίου ἐπὶ τὸν Ἰωάννην ἐλθεῖν ὁ Θεὸς δυνατὸς ἦν ποιῆσαι· ἵνα ὥσπερ ὁ Χριστὸς τῇ πρώτῃ παρουσίᾳ ἄδοξος ἐφάνη, οὕτως καὶ τοῦ πνεύματος τοῦ ἐν Ἠλίᾳ, πάντοτε καθαρεύοντος τοῦ Χριστοῦ, ἄδοξος ἡ πρώτη παρουσία νοηθῇ. κρυφίᾳ γὰρ χειρὶ ὁ Κύριος πολεμεῖν τὸν Ἀμαλὴκ εἴρηται, καὶ ὅτι ἔπεσεν ὁ Ἀμαλὴκ οὐκ ἀρνήσεσθε· εἰ δὲ ἐν τῇ ἐνδόξῳ παρουσίᾳ τοῦ Χριστοῦ πολεμηθήσεσθαι τὸν Ἀμαλὴκ μόνον λέγεται, ποῖος καρπὸς ἔσται τοῦ λόγου, ὅς φησι, Κρυφίᾳ χειρὶ ὁ Θεὸς πολεμεῖ τὸν Ἀμαλήκ; νοῆσαι δύνασθε ὅτι κρυφία δύναμις τοῦ Θεοῦ γέγονε τῷ σταυρωθέντι Χριστῷ, ὃν καὶ τὰ δαιμόνια φρίσσει, καὶ πᾶσαι ἁπλῶς αἱ ἀρ-
65 χαὶ καὶ ἐξουσίαι τῆς γῆς. Καὶ ὁ Τρύφων, Ἐοικάς μοι ἐκ πολλῆς προστρίψεως τῆς πρὸς πολλοὺς περὶ πάντων τῶν ζητουμένων γεγονέναι, καὶ διὰ τοῦτο ἑτοίμως ἔχειν ἀποκρίνεσθαι πρὸς πάντα ἃ ἂν ἐπερωτηθῇς. ἀπόκριναι οὖν μοι πρότερον, πῶς ἰσχύεις ἀποδεῖξαι ὅτι καὶ ἄλλος Θεὸς παρὰ τὸν ποιητὴν τῶν ὅλων· καὶ τότε ἀποδείξεις ὅτι καὶ γεννηθῆναι διὰ τῆς παρθένου ὑπέμεινε. Κἀγὼ ἔφην, Πρότερόν μοι συγχώρησον εἰπεῖν λόγους τινὰς ἐκ τῆς Ἠσαΐου προφητείας τοὺς εἰρημένους περὶ τῆς προελεύσεως ἣν προελήλυθεν αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τούτου Ἰωάννης ὁ βαπτιστὴς καὶ προφήτης γενόμενος. Κἀκεῖνος, Συγχωρῶ. Κἀγὼ εἶπον· Ἠσαΐας οὖν περὶ τῆς Ἰωάννου προελεύσεως, οὕτως προεῖπε· Καὶ εἶπεν Ἐζεκίας πρὸς Ἠσαΐαν, Ἀγαθὸς ὁ λόγος Κυρίου ὃν ἐλάλησε· γενέσθω εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου, καὶ παρακαλεῖτε τὸν λαόν, ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ, καὶ παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὰς ὁδοὺς Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν· πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθείαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ ὅτι Κύριος ἐλάλησε. Φωνὴ λέγοντος, Βόησον. καὶ εἶπον, Τί βοήσω; Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. ἐπ᾽ ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ. ὑψώσατε, μὴ φοβεῖσθε. εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ὑμῶν, Κύριος ἰδοὺ μετ᾽ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας ἔρχεται. ἰδοὺ ὁ μισθὸς μετ᾽ αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει. Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε τὰ ὄρη

transtulit Deus in Iosuen de Spiritu Mosæ: ita facere potuit Deus vt Eliæ Spiritus veniret in Ioannem: vt, quemadmodum CHRISTVS in priore aduentu inglorium se exhibuit, ita quoque Spiritus qui in Elia fuerat, semper purificantis CHRISTI, inglorius prior aduentus intelligeretur. Occulta namque manu Dominus expugnare Amalechum dictus est. Et quod Amalech ceciderit, non ibitis infitias. At si in glorioso CHRISTI aduentu tantum expugnatum iri Amalechum dicatur, quis fructus verbi eius erit quod ait: *Occulta manu Deus debellat Amalechum?* Intelligere ergo potestis, quod tecta Dei virtus in CHRISTO crucifixo fuerit; quē & dæmonia horrent, & omnes principatus & potestates terræ.

Tum Trypho: Videre mihi frequenter in conflictatione cum multis, de omnibus quæ in quæstionem veniunt, fuisse. Inde adeo paratus es & instructus ad respondendum ad omnia de quibus interrogaris. Respōde ergo mihi prius, quomodo probare possis, *alium etiam esse Deum, præter Vniuersitatis huius conditorem*: ac tum quoq; ostendes, *nasci eum ex virgine sustinuisse.* Et ego dixi: Permitte mihi primum verba quædā referre ex Esaiæ vaticinio, de præcursu quem peregit ante ipsum Dominum nostrum IESVM CHRISTVM nunc, Ioannes Baptista & Propheta factus, promulgata. At ille: Permitto. Et ego; Esaias igitur, inquam, de Ioannis præcessione ita prædixit: *Et dixit Ezechias ad Esaiam: Bonum verbum Domini quod loquutus est: Fiat pax & iusticia in diebus meis. Et consolamini populū. Sacerdotes, loquimini ad cor Hierusalem* [mœrentis,] *& consolamini eam: quoniam completa est humiliatio eius. Solutum est peccatum eius; quia accepit de manu Domini duplicia peccata sua. Vox clamantis in deserto: Parate vias Domini; rectas facite semitas Dei nostri. Omnis vallis implebitur, & omnis mons & collis humiliabitur: & erūt omnia tortuosa in directam, & aspera in vias planas: & videbitur gloria Domini, & cernet omnis caro Salutare Dei: Quoniam Dominus loquutus est. Vox dicētis: Clama. & dixi: Quid clamabo? Omnis caro herba, & omnis gloria hominis quasi flos herbæ. Exaruit herba, & flos eius excidit: Verbum autem Domini, manet in æternum. In montem excelsum ascende, qui euangelizas Sion. Exalta fortitudine vocem tuam, qui euangelizas Hierusalem. Exaltate* [apostoli & doctores,] *nolite timere. Dic ciuitatibus Iuda: Ecce Deus vester. Dominus ecce cum fortitudine venit: Et brachium cum solennitate venit. Ecce merces cum eo, & opus illius coram eo. Sicut pastor gregem suum pascet, & brachio congregabit agnos, & fœtam aduocabit. Quis mensus est manu aquam, & cœlum palmo, & terram omnem pugillo? Quis statuit montes*

in libra, & saltus in statera? Quis cognouit mentem Domini, & quis ei fuit a consiliis, & erudiet eũ? aut cum quo consultauit, & docuit eum? aut quis ostendit ei iudicium; aut viam scientiæ quis monstrauit ei? Omnes gentes tamquam gutta ab vrna, & quasi momentum stateræ reputatæ sunt, & veluti sputum reputabuntur. Libanus autem non sufficiet ad succendẽdum ignem; & quadrupedia non satis erunt ad holocaustum; & omnes gentes nihil, & in nihilum reputatæ sunt. Et me cessãte, Trypho ait: Dubia sunt omnia verba vaticinii quod protulisti, neq; quidquam aut ad probationem eius quod demonstrare statuisti faciunt, aut aliquid decidunt. Cui ego respõdi: Si quidem esse non desiissent, ampliusque non exstarẽt prophetæ in genere vestro, Trypho, post Ioannem istum: videlicet quæ in IESVM CHRISTVM dicta esse affirmo, ambigua fortasse esse arbitraremini. Sin Ioannes præcessit, vociferans apud homines vt resipiscerent; & CHRISTVS adhuc illo assidẽte ad flumen Iordanis superueniens, eũ & vaticinio & baptismo supersedere fecit, Euangeliumque annunciauit, & ipse concionando, propinquum esse regnum cælorum, ac se multa oportere a scribis & pharisæis perferre, & crucifigi, & tertio die resurgere, denuoque Hierosolyma venire, atque ibi cum discipulis simul cibum potumque capere, & medio ante aduentum eius temporis interuallo (prout dixi) fore [illegible] & pseudoprophetæ in nom[illegible] exstiterent, præmonstrauit, [illegible] comprobata apparent: [illegible] amplius ambigere potestis [illegible] cui credere debetis, [illegible] de eo quod non [illegible] vestro propheta, ac [illegible] agniturii essent homines [illegible]mentum, quod anti[illegible] fuerat, a Deo dispositum [illegible] tum aderat, hoc est [illegible] illus esset, ad hũc modum: *Lex & [illegible] usque ad Ioannem Baptistam: ex quo tempore regnum cælorum vim patitur, & violenti rapiunt illud. Et si vultis recipere, ipse est Elias, qui venturus erat. Qui habet aures ad audiendum, audiat.* Sedenim per ipsum etiam Iacobũ patriarcham prædictum est, *duos* CHRISTI *futuros aduentus:* eumque in priore perpessionibus subditum fore: atque vbi is venisset, in genere vestro neque prophetam, neque regem futurum. Intuli quoque, Gentes in CHRISTVM passionibus obnoxium credentes, reditum illius exspectaturas esse. Et propterea per similitudinem atq; perobscure hæc Spiritum sanctum loquutum esse dixi. Hoc autem modo loquutum esse retuli: *Iuda, laudauerũt te fratres tui. manus tua in dorso inimicorũ tuorũ: adorabunt te filii patris tui. Catulus leonis Iuda: ex germine, fili mi, ascendisti. Recumbẽs obdormiuit sicut leo & catulus: quis excitabit eum? Non deficiet princeps ex Iuda, & dux de lumbis eius,*

σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο, ὃς συμβιβάσει αὐτόν; ἢ πρὸς τίνα συνεβουλεύσατο καὶ συνεβίβασεν αὐτόν; ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; ἢ ὁδὸν συνέσεως τίς ἐγνώρισεν αὐτῷ; πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, καὶ ὡς πτύελος λογισθήσονται. ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, καὶ πάντα τὰ ἔθνη οὐθὲν, καὶ εἰς οὐδὲν ἐλογίσθησαν. Καὶ παυσαμένου μου εἶπεν ὁ Τρύφων, Ἀμφίβολοι μὲν πάντες οἱ λόγοι τῆς προφητείας ἣν φὴς σὺ, ὦ ἄνθρωπε, καὶ οὐδὲν ἀποδεικτικὸν εἰς ἀπόδειξιν οὗπερ βούλει ἀποδεῖξαι ἔχοντες. Κἀγὼ ἀπεκρινάμην, Εἰ μὲν μὴ ἐπαύσαντο καὶ οὐκέτι ἐγίνοντο οἱ προφῆται ἐν τῷ γένει ὑμῶν, ὦ Τρύφων, μετὰ τοῦτον τὸν Ἰωάννην, δῆλον ὅτι ἃ λέγω εἰς Ἰησοῦν τὸν Χριστὸν, ἴσως ἀμφίβολα ἐνοεῖτε εἶναι τὰ λεγόμενα· εἰ δὲ Ἰωάννης μὲν προελήλυθε βοῶν τοῖς ἀνθρώποις μετανοεῖν, καὶ Χριστὸς ἔτι αὐτοῦ καθεζομένου ἐπὶ τοῦ Ἰορδάνου ποταμοῦ, ἐπελθὼν ἔπαυσέ τε αὐτὸν τοῦ προφητεύειν καὶ βαπτίζειν, καὶ εὐηγγελίζετο, καὶ αὐτὸς λέγων ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ὅτι δεῖ αὐτὸν πολλὰ παθεῖν ἀπὸ τῶν γραμματέων καὶ Φαρισαίων, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, καὶ πάλιν παραγενήσεσθαι ἐν Ἱερουσαλὴμ, καὶ τότε τοῖς μαθηταῖς αὐτοῦ συμπιεῖν πάλιν καὶ συμφαγεῖν, καὶ ἐν τῷ μεταξὺ τῆς παρουσίας αὐτοῦ χρόνῳ ὡς προέφην γενήσεσθαι ἱερεῖς καὶ ψευδοπροφήτας ἐπὶ τῷ ὀνόματι αὐτοῦ προεμήνυσε, καὶ 66
οὕτω φαίνεται ὄντα· πῶς ἔτι ἀμφιβάλλειν ἐστὶν, ἔργῳ πεισθῆναι ὑμῶν ἐχόντων; εἰρήκει δὲ περὶ τοῦ μηκέτι γενήσεσθαι ἐν τῷ γένει ὑμῶν προφήτην, καὶ περὶ τοῦ ἐπιγνῶναι ὅτι ἡ πάλαι κηρυσσομένη ὑπὸ τοῦ Θεοῦ καινὴ διαθήκη διαταχθήσεσθαι, ἤδη τότε παρῆν, τουτέστιν αὐτὸς ὢν ὁ Χριστὸς, οὕτως· Ὁ νόμος καὶ οἱ προφῆται μέχρι Ἰωάννου τοῦ βαπτιστοῦ· ἐξ ὅτου ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Καὶ διὰ Ἰακὼβ δὲ τοῦ πατριάρχου προεδηλώθη ὅτι δύο τοῦ Χριστοῦ παρουσίαι ἔσονται, καὶ ὅτι ἐν τῇ πρώτῃ παθητὸς ἔσται, καὶ ὅτι μετὰ τὸ αὐτὸν ἐλθεῖν οὔτε προφήτης οὔτε βασιλεὺς ἐν τῷ γένει ὑμῶν. ἐπήνεγκα καὶ ὅτι τὰ ἔθνη πιστεύοντα ἐπὶ τὸν παθητὸν Χριστὸν, πάλιν παραγενησόμενον προσδοκήσει. ἐν παραβολῇ δὲ καὶ παρακεκαλυμμένως τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦτο αὐτὰ ἐλελαλήκει, ἔφην· οὕτως γὰρ εἰρηκέναι ἐπήνεγκα· Ἰούδα, αἰνέσουσί σε οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σε οἱ υἱοὶ τοῦ πατρός σου. σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ,

donec

ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν, δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ὡς γάλα:- Ὅτι οὖν οὐδέποτε ἐν τῷ γένει ὑμῶν ἐπαύσατο οὔτε προφήτης οὔτε ἄρχων, ἐξότου ἀρχὴν ἔλαβε, μέχρις οὗ οὗτος Ἰησοῦς Χριστὸς καὶ γέγονε καὶ ἔπαθεν, οὐδὲ ἀναισχύντως τολμήσετε εἰπεῖν, ἢ ἀποδεῖξαι ἔχετε. καὶ γὰρ Ἡρώδην, ἀφ' οὗ ἔπαθεν, Ἀσκαλωνίτην γεγονέναι λέγοντες, ὅμως ἐν τῷ γένει ὑμῶν ὄντα λέγετε ἀρχιερέα, ὥστε καὶ τότε ὄντος ὑμῖν κατὰ τὸν νόμον τοῦ Μωσέως καὶ προσφορὰς προσφέροντος, καὶ τὰ ἄλλα νόμιμα φυλάσσοντος, καὶ προφητῶν κατὰ διαδοχὴν μέχρις Ἰωάννου γεγενημένων, ὡς καὶ ὅτε εἰς Βαβυλῶνα ἀπήχθη ὁ λαὸς ὑμῶν, πολεμηθείσης τῆς γῆς καὶ τῶν ἱερῶν σκευῶν ἀρθέντων, μὴ παύσασθαι ἐξ ὑμῶν προφήτην, ὃς κύριος καὶ ἡγούμενος καὶ ἄρχων τοῦ λαοῦ ὑμῶν ἦν. τὸ γὰρ ἐν τοῖς προφήταις πνεῦμα καὶ τοὺς βασιλεῖς ὑμῖν ἔχριε καὶ καθίστα. μετὰ δὲ τὴν Ἰησοῦ τοῦ ἡμετέρου Χριστοῦ ἐν τῷ γένει ὑμῶν φανέρωσιν καὶ θάνατον, οὐδαμοῦ προφήτης γέγονεν, οὐδέ ἐστιν· ἀλλὰ καὶ τὸ εἶναι ὑμᾶς ὑπὸ ἴδιον βασιλέα ἐπαύσατο, καὶ προσέτι ἡ γῆ ὑμῶν ἠρημώθη, καὶ ὡς ὀπωροφυλάκιον καταλέλειπται. τὸ δὲ εἰπεῖν τὸν λόγον διὰ τοῦ Ἰακώβ, Καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν:- συμβολικῶς δύο παρουσίας αὐτοῦ ἐσήμανε, καὶ τὰ ἔθνη μέλλειν αὐτῷ πιστεύειν. ὅπερ ὀψέ ποτε πάρεστιν ἰδεῖν ὑμῖν. οἱ γὰρ ἀπὸ τῶν ἐθνῶν ἁπάντων διὰ τῆς πίστεως τῆς τοῦ Χριστοῦ θεοσεβεῖς καὶ δίκαιοι γενόμενοι, πάλιν παραγενησόμενον αὐτὸν προσδοκῶμεν. καὶ τὸ, Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου:- καὶ τῶν ἔργων τῶν ἐπὶ τῆς πρώτης αὐτοῦ παρουσίας γενομένων ὑπ' αὐτοῦ, καὶ τῶν ἐθνῶν ὁμοίως τῶν μελλόντων πιστεύειν αὐτῷ, προδήλωσις ἦν. οὗτοι γὰρ ὡς πῶλος ἀσαγής, καὶ ζυγὸν ἐπὶ αὐχένα μὴ ἔχων τὸν ἑαυτοῦ, μέχρις ὁ Χριστὸς οὗτος ἐλθών, διὰ τῶν μαθητῶν αὐτοῦ, πέμψας ἐμαθήτευσεν αὐτούς· καὶ τὸν ζυγὸν τοῦ λόγου αὐτοῦ βαστάξαντες, τὸν νῶτον ὑπέθηκαν πρὸς τὸ πάντα
67 ὑπομένειν, διὰ τὰ προσδοκώμενα καὶ ὑπ' αὐτοῦ κατηγγελμένα ἀγαθά. καὶ ὄνον δέ τινα ἀληθῶς σὺν πώλῳ αὐτῆς προσδεδεμένην ἔν τινι εἰσόδῳ κώμης Βηθφαγῆς λεγομένης, ὅτε ἔμελλεν εἰσέρχεσθαι εἰς τὰ Ἱεροσόλυμα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐκέλευσε τοὺς μαθητὰς αὐτοῦ ἀγαγεῖν αὐτῷ· καὶ ἐπικαθίσας, ἐπεισελήλυθεν εἰς τὰ Ἱεροσόλυμα· ὃ πῶς ἐπεπροφήτευτο διαρρήδην γενήσεσθαι ὑπὸ τοῦ Χριστοῦ, γενόμενον ὑπ' αὐτοῦ καὶ γνωσθέν, τὸν Χριστὸν ὄντα αὐτὸν φανερὸν ἐποίει. καὶ τούτων ἁπάντων γενομένων, καὶ ἀπὸ τῶν γραφῶν ἀποδεικνυμένων, ὑμεῖς ἔτι σκληροκάρδιοι ἐστε, περι-

donec veniant quæ reposita sunt ei: & ipse erit exspectatio gentium, ligans ad vitem pullum suum, & ad claniculos pullum asinæ suæ. Lauabit in vino stolam suam, & in sanguine vuæ pallium suũ. fului oculi eius a vino, & candidi dentes eius vt lac. Porro numquam prius in gente vestra esse desiisse neque prophetam neque principem, ex quo imperium accepit: ne impudẽter quidem vel dicere audetis, vel probare potestis. Nam Herodem Ascaloniten sub quo passus est CHRISTVS allegantes, nihilominus dicitis in genere vestro fuisse sacrorum antistitem; adeo vt etiam tum vobis licuerit, iuxta legem Mosæ, offerre oblationes, & legitima alia custodire: tum autem prophetas successione sua vsque ad Ioannem exstitisse; quemadmodum tum quoq; cum Babylonem abductus est populus vester, terra vastata, & sacris vasis sublatis, non desiit esse ex vobis propheta, qui dominus, & dux, & princeps populi vestri fuerit: At post IESV CHRISTI nostri in genere vestro manifestationem & mortem, haudquaquam propheta exstitit, nec exstat. Sed & sub rege proprio esse desiistis. Ad hæc & terra vestra desolata est, & tamquam custodia pomorum derelicta. Quod autem Verbum per Iacobum dixit; *Et ipse erit exspectatio gentium*: figurate duos eius denotauit aduentus, & futurum esse vt gentes ei crederent, significauit: quod sero tandem vobis cernere licet. Qui namque ex gentibus omnibus per fidem in CHRISTVM veri Dei cultores & iusti effecti sumus, aduenturum eum denuo exspectamus. Et illud; *Ligans ad vitem pullum suum, & ad capreolos pullum asinæ suæ:* cum operum quæ in priore eius aduentu ab eo sunt facta, tum gentium quæ in eum credituræ erant prænunciatio fuit. Hæ siquidem veluti pullus fuere qui neque clitellas gestauerit, neque iugum super ceruicibus suis habuerit; donec CHRISTVS iste cum venisset, discipulos suos ablegauit, & per ipsos eas in disciplinam suam recepit: atque illæ iugum verbi eius ferẽtes, tergum ad sustinenda omnia obiecerunt, eorum bonorum quæ ab ipsis exspectantur, & ab eo sunt promissa, consequendorum gratia. Atque ipse Dominus noster IESVS CHRISTVS, tenera asinam quandam cum pullo suo in introitu quopiam vici qui Bethphage dictus erat, alligatam Hierosolyma ingressurus discipulos suos sibi adducere iussit: cui insidens, Hierosolyma peruenit. quod quidẽ certe vt CHRISTVS faceret, vaticinio aperte est prænunciatum. Atque id ita ab eo factum, & a fidelibus agnitum, CHRISTVM ipsum esse, manifesto ostendit. Et cũ omnia hæc sint facta, & ex sacris litteris demonstrata: vos tamen duricordes esse perseueratis. Præ-

dictum est autẽ hoc futurum a Zacharia, ex duodecim vno, ad hunc modum: *Lætare vehementer filia Sion: iubila, annuncia filia Hierusalem. Ecce rex tuus veniet tibi iustus, & saluans ipse, & mitis, & pauper, subiugali & pullo asinæ vehens.* Porro quod asinam subiugalem cum pullo suo Spiritus propheticus, vna cũ patriarcha Iacobo nominauit, atque ea ipse & discipuli eius sunt vsi, sicuti dixi: vtrumque enim iumentum adducere iussit: prædictio id fuit eorum qui etiam ex vestra synagoga, simul cum iis qui ex gentibus venere, in eum credituri erãt. Quemadmodum namque Gentium nota fuit pullus, oneribus ferendis non assuetus: ita & popularium vestrorum, asina clitellaria. Habetis enim quæ per Prophetam vobis imposita est, legem. Iam & per Zachariam prophetam *vapulaturum esse hunc* CHRISTVM, *& discipulos eius sparsim diffugituros*, præmõstratum est: id quod & factum. Postquam enim est cruci affixus, qui cum eo erant, sectatores eius dissipati sunt, quoadusque resurrexit a mortuis: eisque persuasit, vaticiniis sic vt pateretur ipse, denũciatum esse. Proinde hoc illi persuasi, in habitabilem orbem omnẽ sunt profecti, & ista docuerunt. Itaque nos in fide & disciplina eius stabiliores sumus, quod & a prophetis, & ab eis qui per orbem in nomen crucifixi illius credentes, spectati ac religiosi, vereque pii facti sunt, persuasionem acceptã habeamus. Quæ aũt a Zacharia dicta sunt, sic habent: *Framea, excitare super pastorem meum, & super virum populi mei; dicit Dominus virtutum. Percute pastorem, & dispergentur oues eius.* Et illud quod a Mose est in historiam relatum, & a patriarcha Iacobo prænũciatum; *Lauabit in vino stolam suam, & in sanguine vuæ pallium siue amictum suum:* sanguine eius ablutum iri credentes in eum, significauit. Stolam namque eius vocauit Spiritus sanctus eos qui per illum remissionem peccatorum acceperunt: in quibus continenter virtute adest, manifesto autem aderit in secundo aduentu suo. Quod vero Verbum *sanguinem vuæ* dicit, pereleganter declarauit, sanguinem quidem habere CHRISTVM, verum non ex hominis semine, sed ex Dei virtute. Quemadmodum enim vitis sanguinem non homo creauit, sed Deus: sic & ipsius CHRISTI sanguinem non ex humano genere, verum ex Dei virtute fore prædixit. Prophetia certe ista quam recẽsui, o viri, CHRISTVM non esse hominem ex hominibus communi mortalium more genitum, ostendit. Hic Trypho respondit: Meminerimus & huius declarationis tuæ, cum aliis insuper argumẽtis quæstionẽ quoq; istã firmaueris. In præsentiarũ autẽ, sermone repetito nobis demonstra, *alterũ Deũ præter opificẽ vniuersi,*

φητεύθη δὲ ὑπὸ Ζαχαρίου ἑνὸς τῶν δώδεκα, τοῦτο μέλλειν γίνεσθαι, οὕτως· Χαῖρε σφόδρα θύγατερ " Σιὼν, ἀλάλαξον, κήρυσσε θύγατερ Ἱερουσαλήμ· Ἰ- " δοὺ ὁ βασιλεύς σου ἥξει σοι δίκαιος, καὶ σώζων αὐ- " τὸς, καὶ πραῢς, καὶ πτωχὸς, ἐπιβεβηκὼς ἐπὶ ὑπο- " ζύγιον καὶ πῶλον ὄνου:- Τὸ δὲ καὶ ὄνον ὑποζύγιον " ἤδη μετὰ τοῦ πώλου αὐτῆς ὀνομάζειν τὸ προφητικὸν πνεῦμα μετὰ τοῦ πατριάρχου Ἰακὼβ, ἐν τῇ χρήσει αὐτὸν ἔχειν, ἀλλὰ καὶ αὐτὸν τοῖς μαθηταῖς αὐτοῦ, ὡς προέφην, ἀμφότερα γὰρ τὰ ζῶα κελεῦσαι ἀγαγεῖν, προαγγελία ἦν καὶ ἀπὸ τῆς συναγωγῆς ὑμῶν ἅμα τοῖς ἀπὸ τῶν ἐθνῶν πιστεύειν ἐπ' αὐτὸν μέλλουσιν. ὡς γὰρ τοῖς ἀπὸ τῶν ἐθνῶν σύμβολον ἦν ὁ ἀσαγὴς πῶλος, οὕτως καὶ τοῖς ἀπὸ τοῦ ὑμετέρου λαοῦ ἡ ὑποσαγὴς ὄνος· τὸν γὰρ διὰ τῶν προφητῶν νόμον ἐπικείμενον ἔχετε. Ἀλλὰ καὶ διὰ τοῦ προφήτου Ζαχαρίου ὅτι πατταχθήσεται αὐτὸς οὗτος ὁ Χριστὸς, καὶ διασκορπισθήσονται οἱ μαθηταὶ αὐτοῦ, προεφητεύθη· ὅπερ καὶ γέγονε. μετὰ γὰρ τὸ σταυρωθῆναι αὐτὸν, οἱ σὺν αὐτῷ ὄντες μαθηταὶ αὐτοῦ διεσκεδάσθησαν μέχρις ὅτε ἀνέστη ἐκ νεκρῶν, καὶ πέπεικεν αὐτοὺς ὅτι οὕτως προεπεφήτευτο περὶ αὐτοῦ παθεῖν αὐτόν· καὶ οὕτω πεισθέντες, καὶ εἰς τὴν πᾶσαν οἰκουμένην ἐξελθόντες, ταῦτα ἐδίδαξαν· ὅθεν καὶ ἡμεῖς βέβαιοι ἐν τῇ πίστει καὶ μαθητείᾳ αὐτοῦ ἐσμὲν, ἐπειδὴ καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τῶν κατὰ τὴν οἰκουμένην εἰς ὄνομα τοῦ ἐσταυρωμένου ἐκείνου ὁρωμένων καὶ γινομένων θεοσεβῶν, τὴν πειθὼ ἔχομεν. ἔστι δὲ τὰ λεχθέντα ὑπὸ τοῦ Ζαχαρίου ταῦτα· Ῥομφαία ἐξε- " γέρθητι ἐπὶ τὸν ποιμένα μου, καὶ ἐπ' ἄνδρα τοῦ " λαοῦ μου· λέγει Κύριος τῶν δυνάμεων· πάταξον " τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα " αὐτοῦ:- Καὶ τὸ ὑπὸ Μωσέως δὲ ἀνιστορημένον, καὶ " ὑπὸ τοῦ πατριάρχου Ἰακὼβ προπεφητευμένον, " τὸ, Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵμα- " τι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ:- τὸ τῷ αἵματι " αὐτοῦ ἀποπλύνειν μέλλειν τοὺς πιστεύοντας αὐτῷ ἐδήλου· στολὴν γὰρ αὐτοῦ ἐκάλεσε τὸ ἅγιον πνεῦμα τοὺς δι' αὐτοῦ ἄφεσιν ἁμαρτιῶν λαβόντας· ἐν οἷς ἀεὶ δυνάμει μὲν πάρεστι, καὶ ἐναργῶς δὲ παρέσται ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ. τὸ δὲ Αἷμα τῆς σταφυλῆς εἰπεῖν τὸν λόγον, διὰ τῆς τέχνης δεδήλωκεν, ὅτι αἷμα μὲν ἔχει ὁ Χριστὸς οὐκ ἐξ ἀνθρώπου σπέρματος, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δυνάμεως. ὃν γὰρ τρόπον τὸ τῆς ἀμπέλου αἷμα οὐκ ἄνθρωπος ἐγέννησεν, ἀλλὰ Θεὸς, οὕτως καὶ τὸ τοῦ Χριστοῦ αἷμα οὐκ ἐξ ἀνθρωπείου γένους ἔσεσθαι, ἀλλ' ἐκ Θεοῦ δυνάμεως προεμήνυσεν. ἡ δὲ προφητεία αὕτη, ὦ ἄνδρες, ἣν ἔλεγον, ἀποδεικνύει ὅτι οὐκ ἔστιν ὁ Χριστὸς ἄνθρωπος ἐξ ἀνθρώπων, κατὰ τὸ κοινὸν τῶν ἀνθρώπων γεννηθείς. Καὶ ὁ Τρύφων ἀπεκρίνατο, Μεμνησόμεθα καὶ ταύτης τῆς ἐξηγήσεώς σου, ἐὰν καὶ δι' ἄλλων κρατύνῃς καὶ τοῦτο τὸ ἀπόρημα· τὰ νῦν δὲ ἤδη ἀναλαβὼν τὸν λόγον, ἀπόδειξον ἡμῖν ὅτι ἕτερος Θεὸς παρὰ τὸν ποιητὴν τῶν ὅλων

ὑπὸ

ὑπὸ τοῦ προφητικοῦ πνεύματος ὡμολόγηται εἶναι, φυλαξάμενος λέγειν τὸν ἥλιον καὶ τὴν σελήνην, ἃ γέγραπται τοῖς ἔθνεσι συγκεχωρηκέναι

68 τὸν Θεὸν ὡς θεοὺς προσκυνεῖν· καὶ τούτῳ τῷ λόγῳ ὥσπερ χρώμενοι προφῆται πολλάκις, λέγουσιν ὅτι Ὁ Θεός σου Θεὸς τῶν θεῶν ἐστι, καὶ Κύριος τῶν κυρίων:- προστιθέντες, Ὁ μέγας καὶ ἰσχυρὸς καὶ φοβερὸς:- πολλάκις. οὐ γὰρ ὡς ὄντων θεῶν ταῦτα λέγεται, ἀλλ' ὡς τοῦ λόγου διδάσκοντος ἡμᾶς, ὅτι τῶν νομιζομένων θεῶν καὶ κυρίων ὁ τῷ ὄντι Θεὸς ὁ τὰ πάντα ποιήσας, Κύριος μόνος ἐστίν. ἵνα γὰρ καὶ τοῦτο ἐλέγξῃ τὸ ἅγιον πνεῦμα, διὰ τοῦ ἁγίου Δαβὶδ εἶπεν, Οἱ θεοὶ τῶν ἐθνῶν [νομιζόμενοι θεοί,] εἴδωλα δαιμονίων εἰσὶν, ἀλλ' οὐ θεοί:- καὶ ἐπάγει κατάραν τοῖς ποιοῦσιν αὐτὰ καὶ προσκυνοῦσι.

Κἀγὼ, Οὐ ταύτας μὲν τὰς ἀποδείξεις ἔμελλον φέρειν, εἶπον, ὦ Τρύφων, δι' ὧν καταδικάζεσθαι τοὺς ταῦτα καὶ τὰ τοιαῦτα προσκυνοῦντας ἐπίσταμαι, ἀλλὰ τοιαύτας πρὸς ἃς ἀντειπεῖν μὲν οὐδεὶς δυνήσεται· ξέναι δέ σοι δόξουσιν εἶναι, καίπερ καθ' ἡμέραν ἀναγινωσκόμεναι ὑφ' ὑμῶν· ὡς καὶ ἐκ τούτου συνιέναι ὑμᾶς, ὅτι διὰ τὴν ὑμετέραν κακίαν ἀπέκρυψεν ὁ Θεὸς ἀφ' ὑμῶν τὸ δύνασθαι νοεῖν τὴν σοφίαν τὴν ἐν τοῖς λόγοις αὐτοῦ, πλὴν τινῶν οἷς κατὰ χάριν τῆς πολυσπλαγχνίας αὐτοῦ, ὡς ἔφη Ἡσαΐας, ἐγκατέλιπε σπέρμα εἰς σωτηρίαν, ἵνα μὴ ὡς Σοδομιτῶν καὶ Γομορραίων τέλεον καὶ τὸ ὑμέτερον γένος ἀπόληται. προσέχετε τοίνυν οἷσπερ μέλλω ἀναμιμνήσκειν ἀπὸ τῶν ἁγίων γραφῶν οὐδὲ ἐξηγηθῆναι δεομένων, ἀλλὰ μόνον ἀκουσθῆναι. Μωσῆς οὖν ὁ μακάριος καὶ πιστὸς θεράπων Θεοῦ, μηνύων ὅτι ὁ ὀφθεὶς τῷ Ἀβραὰμ πρὸς τῇ δρυῒ τῇ Μαμβρῆ Θεὸς, σὺν τοῖς ἅμα αὐτῷ ἐπὶ τὴν Σοδόμων κρίσιν πεμφθεῖσι δύο ἀγγέλοις ὑπὸ ἄλλου τοῦ ἐν τοῖς ὑπερουρανίοις ἀεὶ μένοντος, καὶ οὐδενὶ ὀφθέντος, ἢ ὁμιλήσαντος δι' ἑαυτοῦ ποτὲ, ὃν ποιητὴν τῶν ὅλων καὶ πατέρα νοοῦμεν· οὕτω γάρ φησιν. Ὤφθη δὲ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῆ, καθημένου αὐτοῦ ἐπὶ τῇ θύρᾳ τῆς σκηνῆς μεσημβρίας. ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδε· καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν συνέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε:- καὶ τὰ λοιπὰ μέχρι τοῦ, Ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον οὗ εἱστήκει ἔναντι Κυρίου, καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας, καὶ ἐπὶ πρόσωπον τῆς γῆς τῆς περιχώρου, καὶ εἶδε· καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς ὡσεὶ ἀτμὶς καμίνου:- Καὶ παυσάμενος λοιπὸν τοῦ λέγειν, ἐπυθόμην αὐτῶν εἰ νενοήκασι τὰ εἰρημένα. Οἱ δὲ ἔφασαν νενοηκέναι μὲν, μηδὲν δὲ ἔχειν εἰς ἀπόδειξιν τοὺς λελεγμένους λόγους, ὅτι Θεὸς ἢ Κύριος ἄλλος τίς ἐστιν, ἢ λέλεκται ἀπὸ τοῦ ἁγίου πνεύματος, παρὰ τὸν ποιητὴν τῶν ὅλων. Κἀγὼ πάλιν, Ἃ λέγω,

a Spiritu prophetico promulgatum esse; solem & lunam dicere cauens: quæ scriptum est, a Deo gentibus permissa esse, vt tamquam deos adorarent: eadem ratione, qua prophetæ sæpe vtentes dicunt: *Deus tuus, Deus deorum est, & Dominus dominorũ*; illud nonnumquam adiicientes, *Magnus & fortis & terribilis.* Non enim perinde hæc dicuntur atq; si dii essent; sed quod, sicut Verbum & Ratio nos docet, eorum qui Dii & Domini habentur, is qui reuera Deus est, rerum omnium parens, Dominus solus sit. Nam vt hoc carpendo indicaret Spiritus sanctus, per sanctum Dauidem dixit: *Dij gentium* (qui pro diis habētur) *simulacra dæmoniorum sunt, non dij.* & exsecrationem diram inducit facientibus & adorantibus ea. Tum ego dixi: Huiusmodi probationes non sum allaturus, o Trypho, per quas condemnari hæc & similia scio; sed eius generis, contra quas dicere quidquam nemo poterit. nouæ autē alienæque videbuntur esse, quamuis quotidie a vobis legantur: vt inde quoque intelligere queatis, propter vitiositatem & maliciam vestrã abscondisse a vobis Deũ, quo minus sapientiam in verbis eius perspiciatis; extra eos quibus iuxta gratiam prolixæ commiserationis viscerum suorum, vt Esaias inquit, semen reliquit in salutem, vt non ad instar Sodomitarum & Gomorræorum, internecione prorsus interiret genus vestrum. Aduertite igitur animum ad ea quæ ex sanctis Scripturis commemorabo; & non explicatione aliqua, sed audientia dumtaxat opus habent. Moses, beatus & fidelis minister Dei, indicat visum esse ab Abraamo ad saltum Mãbræ Deum, cũ eis qui secũ fuere duob angelis, ad iudiciũ Sodomitarũ missis, ab alio qui in supercælestibus semper manet, & a nemine visus, neq; cũ quopiã per seipsum colloquutus est: quem fabricatorē & parētem rerũ cunctarũ nouimus. Ita enim ait: *Apparuit aũt ei Deus ad saltum Mambræ, sedēti ad ostiũ tabernaculi, meridiano tēpore. Suspiciens vero oculis vidit: & ecce, tres viri constiterant supra eum. quos cum conspexisset, occurrit eis obuiam ab ostio tabernaculi sui, & adorauit, in terram procumbens, & dixit*; & cetera vsque ad; *Consurgens autem Abraam mane, venit ad locum vbi constiterat coram Domino; & inspexit in faciem Sodomæ & Gomorræ, & in faciem terræ circumiacentis, & vidit: & ecce, ascendit flamma e terra tamquam vapor camini.* Et cũ supersedissem reliqua dicere, percontatus eos sum, an quæ dixi intellexissent. Illi autem responderunt, intellexisse se quidem: nihil autem facere verba allegata ad demonstrandũ, alium quempiam Deum aut Dominum esse, præterquam qui a Spiritu sancto est dictus, rerum vniuersarum conditorem. Atque ego rursum: Quæ dico,

persuadere quoq; vobis annitar, Scripturas scientibus; *esse videlicet, & dici Deum & Dominum alium, prater factorem omnium:* qui & *Angelus* siue *Nuncius* vocatur, eo quod annunciet mortalibus quæcumque annunciari eis vult vniuersitatis fabricator; supra quem alius Deus non est. Et denuo repetens quæ commemoraueram Tryphonem interrogaui: Videturne tibi conspectus esse sub quercu Mābræ ab Abraa Deus, quemadmodum verbum habet? Et ille: Scilicet. An vnus, inquam, erat trium illorum, quos viros Abraæ visos esse Spiritus propheticus ait? Atque ille: Non; sed conspectus illi est Deus ante triū apparitionem: deinde tres illi, quos *viros* Verbum nominat, angeli exstitere: duo quidem eorum missi ad Sodomorum excidium; vnus vero vt læto Saræ nuncio, habituram eam esse sobolem, insinuaret. eius quippe rei gratia legatus fuerat, & digrediens rursum discessit. Quomodo igitur, dixi, qui vnus trium in tabernaculo fuerat, quique dixerat; *In horas reuertar ad te, & Sara nascetur filius:* rediens apparet? & Deum ipsum esse Propheticus ibi sermo declarat? Verum, vt quod dico, manifestū vobis sit, audite quæ a Mose clare sunt dicta. Sunt vero ista: *Cum autem vidisset Sara filium Agaris, ancillæ Ægyptia, qui genitus fuerat Abraa, ludentem cum Isaaco filio suo, dixit Abraa: Eiice ancillam istam, & filium eius. nō enim erit filius ancillæ huius cohæres filij mei Isaaci. Durum vero admodum visum est verbum illud coram Abraamo, de filio eius. Dixit autē Deus Abraæ: Ne durum sit coram te de puello & ancilla. Omnia quæcumque tibi Sara dixerit, audi vocem eius: Quoniam in Isaaco vocabitur tibi semen.* Percunctatus ergo ab eis sum: Intellexistisne, eum qui dixerat tum sub quercu, se rediturum esse, prout necessarium esse prænoscebat, vt consilium daret Abraæ, de eo quod ipsum Sara facere volebat, reuertisse, sicut scriptum est; & Deū esse, pro eo atque verba denotant, sic prolata: *Dixit autem Deus Abraæ: Ne durum sit coram te super puello, & super ancilla?* Et Trypho; Maxime, ait. Verum per hoc non demonstrasti, alium esse Deum quam eum qui visus est Abraæ; quique & alijs patriarchis & prophetis est conspectus: sed illud probasti, nos non recte existimasse, tres illos, qui in tabernaculo apud Abraā fuere, angelos omnino fuisse. Ibi ego rursum: Etiamsi ex sacris litteris non possem ostendere vobis, vnum trium illorum & Deū esse, & Angelū vocari, ex eo (quēadmodū dixi) quod quib. vult, res suas Vniuersitatis huius opifex annunciat Deus: rationi tamē consonū erat vt, qui in terris in viri specie pariter cū duobus angelis secū aduenientib. Abraæ apparuit, quiq; idē ante mūdum conditum Deus fuit, eum ipsum

πειράσομαι ὑμᾶς πεῖσαι νοήσαντας τὰς γραφὰς, ὅτι ἐστὶ καὶ λέγεται Θεὸς καὶ Κύριος ἕτερος ὑπὲρ τὸν ποιητὴν τῶν ὅλων, ὃς καὶ Ἄγγελος καλεῖται, διὰ τὸ ἀγγέλλειν τοῖς ἀνθρώποις ὅσαπερ βούλεται αὐτοῖς ἀγγεῖλαι ὁ τῶν ὅλων ποιητὴς, ὑπὲρ ὃν ἄλλος Θεὸς οὐκ ἔστι. καὶ αὐιστορῶν πάλιν τὰ προλεχθέντα, ἐπυθόμην τοῦ Τρύφωνος, Δοκεῖ σοι ὀφθῆναι ὑπὸ τὴν δρῦν τὴν Μαμβρῆ ὁ Θεὸς τῷ Ἀβραὰμ, ὡς ὁ λόγος λέγει; Κἀκεῖνος, Μάλιστα. Καὶ εἷς, ἔφην, ἐκείνων ἦν τῶν τριῶν οὓς ἄνδρας ἑωρακέναι τὸν Ἀβραὰμ τὸ ἅγιον προφητικὸν πνεῦμα λέγει; Κἀκεῖνος, Οὔ· ἀλλὰ ὤφθη μὲν αὐτῷ ὁ Θεὸς πρὸ τῆς τῶν τριῶν ὀπτασίας· εἶτα οἱ τρεῖς ἐκεῖνοι οὓς ἄνδρας ὁ λόγος ὀνομάζει, ἄγγελοι ἦσαν· δύο μὲν αὐτῶν πεμφθέντες ἐπὶ τὴν Σοδόμων ἀπώλειαν, εἷς δὲ εὐαγγελιζόμενος τῇ Σάρρᾳ ὅτι τέκνον ἕξει, ἐφ᾽ ᾧ ἐπεπέμπετο, καὶ ἀπαρτήσας ἀπήλλακτο. Πῶς οὖν, εἶπον, ὁ εἷς τῶν τριῶν γενόμενος ἐν τῇ σκηνῇ, ὁ καὶ εἰπὼν, Εἰς ὥρας ἀνακάμψω πρὸς σὲ, καὶ τῇ Σάρρᾳ υἱὸς γεννήσεται:- 69
Φαίνεται ἐπανελθὼν γενομένου τῇ Σάρρᾳ υἱοῦ, καὶ Θεὸν αὐτὸν ὄντα ὁ προφητικὸς λόγος κἀκεῖ σημαίνει; ἵνα δὲ φανερὸν ὑμῖν γένηται ὃ λέγω, ἀκούσατε τῶν ὑπὸ Μωσέως διαρρήδην εἰρημένων. ἔστι δὲ ταῦτα· Ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς παιδίσκης τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραὰμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς, εἶπε τῷ Ἀβραὰμ, Ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ:- σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ, περὶ τοῦ υἱοῦ αὐτοῦ. εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραὰμ, Μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης. πάντα ὅσα ἂν εἴπῃ σοὶ Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα:- Νενοήκατε οὖν ὅτι ὁ εἰπὼν τότε ὑπὸ τὴν δρῦν ἐπαναστρέψαι, ὡς προηπίστατο ἀναγκαῖον εἶναι τῷ Ἀβραὰμ συμβουλεῦσαι ἅπερ ἐβούλετο αὐτὸν Σάρρα, ἐπανελήλυθεν ὡς γέγραπται, καὶ Θεός ἐστιν, ὡς οἱ λόγοι σημαίνουσιν, οὕτως εἰρημένοι· Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραὰμ, Μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης; ἐπυνθανόμην. Καὶ ὁ Τρύφων ἔφη, Μάλιστα· οὐκ ἐκ τούτου δὲ ἀπέδειξας ὅτι ἄλλος ἐστὶν ὁ Θεὸς παρὰ τοῦτον τὸν ὀφθέντα τῷ Ἀβραὰμ, ὃς καὶ τοῖς ἄλλοις πατριάρχαις καὶ προφήταις ὤφθη, ἀλλ᾽ ἡμᾶς ἀπέδειξας οὐκ ὀρθῶς νενοηκότας, ὅτι οἱ τρεῖς οἱ ἐν τῇ σκηνῇ παρὰ τῷ Ἀβραὰμ γενόμενοι, ὅλοι ἄγγελοι ἦσαν. Καὶ πάλιν ἐγὼ, Εἰ οὖν καὶ ἀπὸ τῶν γραφῶν μὴ εἶχον ἀποδεῖξαι ὑμῖν, ὅτι εἷς τῶν τριῶν ἐκείνων καὶ ὁ Θεός ἐστι, καὶ Ἄγγελος καλεῖται, ἐκ τοῦ ἀγγέλλειν ὡς προέφην οἷσπερ βούλεται τὰ παρ᾽ αὐτοῦ ὁ τῶν ὅλων ποιητὴς Θεὸς, τοῦτον τὸν ἐπὶ τῆς γῆς ἐν ἰδέᾳ ἀνδρὸς ὁμοίως τοῖς σὺν αὐτῷ παραγενομένοις δυσὶν ἀγγέλοις φαινόμενον τῷ Ἀβραὰμ, τὸν καὶ πρὸ ποιήσεως κόσμου ὄντα Θεὸν, τοῦτον

νοεῖν

νοεῖν ὑμᾶς εὔλογον ἦν· ὅπερ τὸ πᾶν ἔθνος ὑμῶν νοεῖ. Καὶ πάνυ, ἔφη· οὕτως γὰρ καὶ μέχρι τοῦ δεῦρο ἔχομεν. Κἀγὼ πάλιν εἶπον, Ἐπὶ τὰς γραφὰς ἐπανελθὼν, πειράσομαι πεῖσαι ὑμᾶς, ὅτι οὗτος ὅ τε τῷ Ἀβραὰμ, καὶ τῷ Ἰακὼβ, καὶ τῷ Μωσεῖ ὦφθαι λεγόμενος καὶ γεγραμμένος Θεὸς, ἕτερός ἐστι τοῦ τὰ πάντα ποιήσαντος Θεοῦ, ἀριθμῷ λέγω, ἀλλὰ οὐ γνώμῃ. οὐδὲν γάρ φημι αὐτὸν πεπραχέναι ποτὲ, ἢ ἅπερ αὐτὸς ὁ τὸν κόσμον ποιήσας, ὑπὲρ ὃν ἄλλος οὐκ ἔστι Θεὸς, βεβούληται καὶ πρᾶξαι καὶ ὁμιλῆσαι. Καὶ ὁ Τρύφων, Ὅτι οὖν καὶ ἔστιν ἀπόδειξον ἤδη, ἵνα καὶ τούτῳ συνθώμεθα. οὐ γὰρ παρὰ γνώμην τοῦ ποιητοῦ τῶν ὅλων φάσκειν τι ἢ πεποιηκέναι αὐτὸν, ἢ λελαληκέναι, λέγειν σε ὑπολαμβάνομεν. Κἀγὼ εἶπον, Ἡ γραφὴ οὖν ἡ προλελεγμένη παρ᾽ ἐμοῦ, τοῦτο φανερὸν ὑμῖν ποιήσει. ἔστι δὲ ταῦτα· Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγὼρ, καὶ ὁ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίοικον:- Καὶ ὁ τέταρτος τῶν σὺν Τρύφωνι παραμεινάντων, ἔφη, Ὃν οὖν ὁ λόγος διὰ Μωσέως τῶν δύο ἀγγέλων κατελθόντων εἰς Σόδομα, καὶ Κύριον ἕνα ὠνόμασε, παρὰ τοῦτον, καὶ τὸν Θεὸν αὐτὸν τὸν ὀφθέντα τῷ Ἀβραὰμ λέγειν ἀνάγκη; Οὐ διὰ τοῦτο, ἔφην, μόνον, ὅπερ ἦν, ἐκ παντὸς τρόπου ὁμολογεῖν ἔδει, ὅτι καὶ παρὰ τὸν νοούμενον ποιητὴν τῶν ὅλων ἄλλος τις κυριολογεῖται ὑπὸ τοῦ ἁγίου πνεύματος· οὐ μόνον δὲ διὰ Μωσέως, ἀλλὰ καὶ διὰ Δαβίδ. καὶ γὰρ ἐ δι᾽ ἐκείνου εἴρηται, Λέγει ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου:- ὡς προείρηκα. καὶ πάλιν ἐν ἄλλοις λέξεις, Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεὸς σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου:- Εἰ οὖν καὶ ἄλλον τινὰ θεολογεῖν καὶ κυριολογεῖν τὸ πνεῦμα τὸ ἅγιον φατὲ ὑμεῖς παρὰ τὸν πατέρα τῶν ὅλων καὶ τὸν Χριστὸν αὐτοῦ, ἀποκρίνασθέ μοι, ἐμοῦ ἀποδεῖξαι ὑμῖν ὑπισχνουμένου ἀπ᾽ αὐτῶν τῶν γραφῶν, ὅτι οὐχ εἷς τῶν δύο ἀγγέλων τῶν κατελθόντων εἰς Σόδομα ἐστὶν ὃν ἔφη ἡ γραφὴ Κύριον, ἀλλ᾽ ἐκεῖνον τὸν σὺν αὐτοῖς καὶ Θεὸν λεγόμενον ὀφθέντα τῷ Ἀβραάμ. Καὶ ὁ Τρύφων, Ἀπόδεικνυε· καὶ γὰρ, ὡς ὁρᾷς, ἥτε ἡμέρα προκόπτει, καὶ ἡμεῖς πρὸς τὰς οὕτως ἐπικινδύνους ἀποκρίσεις οὐκ ἔσμεν ἕτοιμοι· ἐπειδὴ οὐδενὸς οὐδέποτε ταῦτα ἐρευνῶντος, ἢ ζητοῦντος, ἢ ἀποδεικνύντος ἀκηκόαμεν· καὶ σοῦ λέγοντος οὐκ ἂν ἠνεσχόμεθα, εἰ μὴ πάντα ἐπὶ τὰς γραφὰς ἀνῆγες· ἐξ αὐτῶν γὰρ τὰς ἀποδείξεις ποιεῖσθαι σπουδάζεις, καὶ μηδένα ὑπὲρ τὸν ποιητὴν τῶν ὅλων εἶναι Θεὸν ἀποφαίνῃ.

mente contemplaremini & conciperetis, vti gens veſtra omnis complectitur & intelligit. Admodum; inquit ille. Sic enim etiam vſque ad hoc tempus fecimus.

Et ego rurſum: Ad Scripturas rediens, perſuadere vobis conabor, *iſtum qui Abraa & Iacobo & Moſæ apparuit, Deiuque eſſe dictus & ſcriptus eſt, alium ab eo eſſe, qui cuncta creauit Deo*: numero dico, non animi conceptione. Nihil enim vmquam eum feciſſe aio, quam quod ipſe qui fecit mundum, ſupra quem alius non eſt Deus, & facere & dicere voluit. Et Trypho: Quod igitur ſit, iam demonſtra; vt & in hoc aſſentiamur tibi. non enim præter ſententiam creatoris rerum vniuerſarum, quidquam ipſum vel facere vel dicere, te ſuſpicamur aſſeuerare. Ego autẽ; Scriptura, inquã, quam dixi, manifeſtum hoc vobis reddet. Verba ſic ſe habent: *Sol exiuit ſuper terram, & Loth ingreſſus eſt Segor; & Dominus pluit ſuper Sodomam & Gomorrham ſulphur & ignẽ, a Domino de cælo. & euertit ciuitates iſtas, & omnem circumcirca regionem.* Hic quartus eorum qui cum Tryphone manſerant, inquit: Eum ergo, quem Verbum per Moſen, duobus angelis Sodomam deſcendẽtibus, *Dominum vnum* vocauit; præter hũc [vniuerſi ſcilicet conditorem] Deum & ipſum, qui Abraæ apparuit, dicere neceſſe eſt? Non ea gratia tantum, inquam, quod erat, modis omnibus dictum oportuit: ſed etiam quod præter eum, qui intelligentia comprehenditur, vniuerſorũ parentem, alius quidam proprie a Spiritu ſancto dicitur *Dominus*; ac non per Moſen modo, verumetiam per Dauidem. nam & per illũ eſt dictum: *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos ſcabellum pedum tuorum*: prout antea recitaui. Atque iterum verbis aliis: *Thronus Deus tuus in ſeculum ſeculi. Virga directionis, virga regni tui. Dilexiſti iuſticiam, & odiſti iniquitatem. propterea vnxit te Deus, Deus tuus, oleo exſultationis, ſupra participes tuos.* Vtrum ergo aliquem alium vos aſſeritis Spiritum ſanctum *Dominum* & *Deum* dicere, extra Patrem vniuerſorum & CHRISTVM eius? dicite mihi: cum ego receperim vobis, ex ſacris litteris me probaturum, non vnum ex duobus angelis Sodomam deſcendentibus eum eſſe, quem Scriptura Dominum dicit; ſed illum qui cum eis ab Abraamo eſt viſus, & Deus dicitur. Et Trypho; Proba, inquit. nam (vt vides) & dies procedit, & nos ad tam periculoſas reſponſiones non ſumus parati. Neminem enim vmquam iſta inueſtigantem, aut quærentem, aut demonſtrantem audiuimus: neque te quoque diſſerentem ſuſtinuiſſemus, niſi cuncta ad Scripturas referres: vnde argumenta & demonſtrationes adducere ſtudio tibi eſt: & nullum ſupra conditorem huius Vniuerſitatis Deum eſſe pronuncias.

Tum ego; Scitis igitur, inquam, Scripturam dicere: *Et dixit Dominus ad Abraam; Quare risit Sara, dicens: Num vere paritura sum? ego vero consenui:- An impossibile est apud Deum verbum? ad constitutum tempus reuertar ad te in horas, & erit Saræ filius.* Et paulo post: *Consurgentes autem viri, inde prospexerunt in faciem Sodomæ & Gomorræ. Abraam porro vna cum eis ibat, deducens eos. Dominus vero dixit: Non abscondã ab Abraamo seruo meo quæ facio.* Et rursum post pauca sic ait: *Dixit Dominus: Clamor Sodomæ & Gomorræ multiplicatus est, & peccata eorum magna admodum. Descendens ergo conspiciam, an iuxta clamorem, qui venit ad me, consummentur: sin minus, vt sciam. Et conuersi inde viri, venerunt Sodomam. Abraam autem stabat coram Domino. Et appropinquans Abraam, ait: Num simul perdes iustum cum impio?* & quæ sequuntur. non enim visum est denuo eadem scribere, cũ omnia prius scripta sint: sed illa referre necesse est, quibus Tryphoni & amicis eius demonstrationem exhibui. Tum ergo ad ea quæ sequuntur, veni: *Abiit autem Dominus, postquam cum Abraamo loqui desiit. Et ipse [Abraam] reuersus est in locum suum. Peruenerunt vero duo angeli Sodomam vesperi. Loth autem sedebat ad portam Sodomorum.* & quæ sequuntur, vsque ad; *Extensis autem manibus viri rapuerunt Loth ad se in domũ, & ostium domus occluserunt.* & sequentia vsque ad; *Et apprehenderunt angeli manum eius, & manum vxoris suæ, & manus filiarum eius, eo quod parceret ei Dominus. Et factum est, postquam eduxerunt eos foras, vt dicerent: Salua salua animam tuam: ne circumspice retrorsum post tergum, nec consiste in omni circumcirca regione. In monte saluare, ne quomodo simul corripiare. Dixit porro Loth ad ipsos: Obsecro Domine; quandoquidem inuenit seruus tuus misericordiam coram te, & magnificasti iustitiam tuam in eo quod in me facis, vt viuat anima mea. Ego vero non possum saluari in monte, ne comprehendant me mala, & non emoriar. En ciuitas hæc prope est, quo confugiam, isthic exigua. Isthic saluus ero, quam modica est; & viuet anima mea:- Et dixit ei: Ecce admiratus sum faciem tuam, atque in verbo isto non euertam ciuitatem istam de qua loquutus es. Festina vt saluere istic. non enim potero peragere negocium, donec ingrediaris eo: propterea vocauit nomen ciuitatis* SEGOR. *Sol exiit super terram, & Loth ingressus est Segor. Et Dominus pluit super Sodomam & Gomorram, sulphur & ignem, a Domino de cælo: & euertit ciuitates illas, & omnem vicinam in circuitu regionem.* Atque hic iterum [aliquantulum] cessans, intuli: Etiam nunc non intellexistis, amici, vnum ex tribus & *Deum*, & *Dominum*, ei qui in cælo est administrare, Dominum duorum an-

Κἀγώ, Ἐπίστασθε οὖν, ἔφην, ὅτι ἡ γραφὴ λέγει, Καὶ εἶπε Κύριος πρὸς Ἀβραάμ, Τί ὅτι ἐγέλασε Σάρρα, λέγουσα, Ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα:- μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, καὶ τῇ Σάρρᾳ υἱὸς ἔσται:- καὶ μετὰ μικρόν, Ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες, κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόρρας· Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν, συμπέμπων αὐτούς. ὁ δὲ Κύριος εἶπεν, Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ:- καὶ μετ' ὀλίγον πάλιν οὕτως φησίν, Εἶπε Κύριος, Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα· καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ:- καὶ ἀποστρέψαντες οἱ ἄνδρες ἐκεῖθεν, ἦλθον εἰς Σόδομα. Ἀβραὰμ δὲ [ἔτι] ἦν ἑστηκὼς ἔναντι Κυρίου. καὶ ἐγγίσας Ἀβραάμ, εἶπεν, Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς;- καὶ τὰ ἑξῆς. οὐ γὰρ γράφειν πάλιν τὰ αὐτὰ τῶν πάντων προγεγραμμένων δοκεῖ μοι, ἀλλ' ἐκεῖνα δι' ὧν καὶ τὴν ἀπόδειξιν τῷ Τρύφωνι καὶ τοῖς σὺν αὐτῷ πεποίημαι, λέγειν ἀναγκαῖον. ἐπὶ οὖν ἦλθον ἐπὶ τὰ ἑξῆς, ἐν οἷς λέλεκται ταῦτα, Ἀπῆλθε δὲ Κύριος ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ. ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας. Λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων:- καὶ τὰ ἑξῆς ὁμοίως μέχρι τοῦ, Ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας, ἐπεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου προσέκλεισαν:- καὶ τὰ ἑπόμενα μέχρι τοῦ, Καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ ἐν τῷ φείσασθαι Κύριον αὐτοῦ. καὶ ἐγένετο ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω, καὶ εἶπεν, Σῷζε σῷζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σῴζου, μήποτε συμπαραληφθῇς:- εἶπε δὲ Λὼτ πρὸς αὐτούς, Δέομαι Κύριε, ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ' ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου· ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μὴ καταλάβῃ με τὰ κακὰ καὶ ἀποθάνω. ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν ἐστὶν ἐκεῖ μικρά· ἐκεῖ σωθήσομαι, ὡς μικρά ἐστι· καὶ ζήσεται ἡ ψυχή μου:- καὶ εἶπεν αὐτῷ, Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον, καὶ ἐπὶ τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν πόλιν περὶ ἧς ἐλάλησας· σπεῦσον τοῦ σωθῆναι ἐκεῖ. οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα ἕως τοῦ εἰσελθεῖν σε ἐκεῖ:- διὰ
τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως Σηγώρ. ὁ ἥ- 71
λιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ. καὶ ὁ Κύριος ἔβρεξεν εἰς Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέστρεψε τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίοικον:- Καὶ πάλιν παυσάμενος ἐπέφερον, Καὶ νῦν οὐ νενοήκατε φίλοι, ὅτι ὁ εἷς τῶν τριῶν ὁ καὶ Θεὸς καὶ Κύριος τῷ ἐν τοῖς οὐρανοῖς ὑπηρετῶν, Κύριος τῶν δύο ἀγγέλων;

ἀγγέλων; προσπελθόντων γὰρ αὐτῶν εἰς Σόδομα, αὐτὸς ὑπολειφθεὶς προσωμίλει τῷ Ἀβραὰμ τὰ ἀναγεγραμμένα ὑπὸ Μωσέως· οὗ καὶ αὐτοῦ ἀπελθόντος μετὰ τὰς ὁμιλίας, ὁ Ἀβραὰμ ὑπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ. οὗ ἐλθόντος, οὐκέτι δύο ἄγγελοι ὁμιλοῦσι τῷ Λὼτ, ἀλλ' αὐτὸς, ὡς ὁ λόγος δηλοῖ, καὶ Κύριός ἐστι, παρὰ Κυρίου τοῦ ἐν τῷ οὐρανῷ, τουτέστι τοῦ ποιητοῦ τῶν ὅλων, λαβὼν τὸ ταῦτα ἐπενεγκεῖν Σοδόμοις καὶ Γομόρροις, ἅπερ ὁ λόγος καταριθμεῖ, οὕτως εἰπών, Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γομόρρα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ. Καὶ ὁ Τρύφων, σιγήσαντός μου, εἶπεν, Ὅτι μὲν ἡ γραφὴ τοῦτο ἀναγκάζει ὁμολογεῖν ἡμᾶς, φαίνεται· ἔτι δὲ ἀπορῆσαι ἄξιον ἐστὶ περὶ τοῦ λεγομένου, ὅτι ἔφαγε τὰ ὑπὸ τοῦ Ἀβραὰμ κατασκευασθέντα καὶ παρατεθέντα, καὶ σὺ ἂν ὁμολογήσαις. Κἀγὼ ἀποκρινάμενος, Ὅτι μὲν βεβρώκασι γέγραπται· εἰ δὲ τοὺς τρεῖς ἀκούσαιμεν λελέχθαι βεβρωκέναι, καὶ μὴ τοὺς δύο μόνους, οἵτινες ἄγγελοι τῷ ὄντι ἦσαν, καὶ ἐν τοῖς οὐρανοῖς, δῆλόν ἐστιν ἡμῖν, τρεφόμενοι, κἂν μὴ ὁμοίαν τροφὴν ἥπερ οἱ ἄνθρωποι χρώμεθα, τρέφονται· περὶ γὰρ τῆς τροφῆς τοῦ μάννα ἣν ἐτράφησαν οἱ πατέρες ὑμῶν ἐν τῇ ἐρήμῳ, ἡ γραφὴ οὕτω λέγει, ὅτι ἄρτον ἀγγέλων ἔφαγον· εἴποιμ' ἂν ὅτι ὁ λόγος ὁ λέγων βεβρωκέναι, οὕτως ἂν λέγοι, ὡς ἂν καὶ αὐτοὶ εἴποιμεν ἐπὶ πυρὸς, ὅτι πάντα κατέφαγεν· ἀλλὰ μὴ πάντως τοῦτο ἐξακούειν, ὅτι ὀδοῦσι καὶ γνάθοις μασώμενοι βεβρώκασιν. ὥστε οὐδὲ ἐνταῦθα ἀπορήσαιμεν ἂν περὶ οὐδενὸς, εἰ τροπολογίας ἔμπειροι κἂν μικρὸν ὑπάρχοιμεν. Καὶ ὁ Τρύφων, Δυνατὸν καὶ ταῦτα οὕτω θεραπευθῆναι περὶ τρόπου βρώσεως, παρ' ὃν ἀναλώσαντας τὰ παρασκευασθέντα ὑπὸ τοῦ Ἀβραὰμ, βεβρωκέναι γεγραμμένον ἐστίν· ὥστε ἔρχου ἤδη ἀποδώσων ἡμῖν τὸν λόγον, πῶς οὗτος ὁ τῷ Ἀβραὰμ ὀφθεὶς Θεὸς, καὶ ὑπηρέτης ὢν τοῦ ποιητοῦ τῶν ὅλων Θεοῦ, διὰ τῆς παρθένου γεννηθεὶς, ἄνθρωπος ὁμοιοπαθὴς πᾶσιν, ὡς προέφης, γέγονεν. Κἀγὼ, Συγχώρει, ὦ Τρύφων, πρότερον, εἶπον, καὶ ἄλλας τινὰς ἀποδείξεις τῷ κεφαλαίῳ τούτῳ συναγαγεῖν διὰ πολλῶν, ἵνα καὶ ὑμεῖς πεπεισμένοι καὶ περὶ τούτου ἦτε, καὶ μετὰ τοῦτο ὃν ἀπαιτεῖς λόγον ἀποδώσω. Κἀκεῖνος, Ὡς σοὶ δοκεῖ, ἔφη, πρᾶττε· καὶ ἐμοὶ γὰρ πάνυ ποθητὸν πρᾶγμα πράξεις. Κἀγὼ εἶπον, Γραφὰς ὑμῖν ἀνιστορεῖν μέλλω, οὐ κατασκευὴν λόγων ἐν μόνῃ τέχνῃ ἐπιδείκνυσθαι σπεύδω· οὐδὲ γὰρ δύναμις ἐμοὶ τοιαύτη τίς ἐστιν, ἀλλὰ χάρις παρὰ Θεοῦ μόνη εἰς τὸ συνιέναι τὰς γραφὰς αὐτοῦ ἐδόθη μοι· ἧς χάριτος καὶ πάντας κοινωνοὺς ἀμισθωτὶ καὶ ἀφθόνως παρακαλῶ γίνεσθαι, ὅπως μὴ καὶ τούτου χάριν κρίσιν ὀφλήσω, ἐν ᾗπερ μέλλει κρίσει διὰ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ ὁ ποιητὴς τῶν ὅλων Θεὸς ποιεῖσθαι. Καὶ ὁ Τρύφων, Ἀξίως μὲν θεοσεβείας καὶ τοῦτο πράττεις· εἰρωνεύεσθαι δέ μοι δοκεῖς,

gelorum. Progredientibus enim illis ad Sodomam, ipse relictus cum Abraamo, ea colloquutus est quæ descripta sunt a Mose. Quo & ipso post colloquium recedente, Abraam in locum suum est reuersus. Eoque ad Sodomam adueniente, iam non duo angeli verba cum Lotho conferunt, sed ipse: pro eo atque Verbum indicat. atque is *Dominus* est qui *a Domino in cælo*, hoc est vniuersorum parente, accepit vt hæc inferret Sodomitis & Gomorræis quæ Verbum recenset, sic inquiens: *Dominus pluit super Sodomam & Gomorram, sulphur & ignem, a Domino de cælo.* Et Trypho, me tacente, infit: Quod quidem Scriptura hoc nos fateri cogat, satis apparet: id vero de quo ambigatur dignum esse, eum scilicet vt dicitur edisse quæ ab Abraamo instructa & proposita sunt, tu quoque ipse confiteare. Atque ego respondi: Quod quidem ederint, scriptum est. Si autem quod tres ederint, dictum esse accipiamus, & non duo tantummodo, qui angeli reuera fuere: atque in cælis, vt nobis satis patet, illi, quamuis nō eodē alimēto quo nos homines vtimur, alūtur: nā de alimonia mānæ, qua patres vestri in solis locis victitarunt, Scriptura ait, *panē angelorū manducasse* eos: dixerim, Verbū quod māducasse eos testatur, perinde loqui atq; si nos de igne assueuerimus, omnia eū deuorare: minime vero dictum ita exaudiendū esse, quasi dētibus & maxillis mandentes ederint. Proinde ne hic quidē in ambiguitatem quidquam vocauerimus, si vel minimum tropologiæ figuratæque loquutionis periti simus. Et Trypho: Possunt sane ista, interpretatione huiusmodi, quasi medicina adhibita curari de *edendi modo* per quē cōsumpto cibo ab Abraamo parato, eos comesse scriptū est. Quocirca fac rationē nobis explices, quomodo iste ab Abraamo cōspectus Deus qui & administer est creatoris vniuersorū Dei, ex virgine natus homo perpessionib. ferendis similis omnibus, sicuti dixisti, factus sit. Atque ego; Permitte mihi prius Trypho, inquā, probationes quasdā alias plurib. ad caput hoc adducere, vt de eo vos quoq; satis sitis persuasi: & post hac quā petis rationē reddā. Tū ille: Vt tibi videtur, ait, facito: mihi qdē rē valde desideratā facies. Et ego dixi: *Scripturas vobis cōmemorabo*, minime omniū apparatū verborū, arte sola cōquisitorū, ostēdere satagēs. nō enim mihi vis est aliqua istiusmodi. sed gratia dūtaxat a Deo, vt Scripturas eius intelligā, data est: cuius gratiæ cūctos gratis & prolixe participes fieri, & precor & hortor: vt ne hac quoq; de causa iudicio sim obnoxius, qđ per Dominū meū IESVM CHRISTVM, parēs rerū omniū Deus est peractur⁹. Hic Trypho: Et hoc ipsum profecto religione veroq; Dei cultu dignum facis. Videre autem mihi dissimulatione vti

cum dicis, vim te orationis artificiosæ non tenere. Atque ego rursum respõdi: Quandoquidem hæc tibi ita habere videtur, habeat sane: mihi autẽ verũ esse quod dixi, persuasum est. Sed vt potius iam reliquas demonstrationes exsequar, animum aduerte. Et ille: Dicito. Ibi ego: Moses, inquam, o fratres, iterum scriptum reliquit, *hunc Patriarchis conspectum Deum*, qui dicitur, *etiam Angelum & Dominum nominari*: vt inde quoque cognoscatis, eũ rerum vniuersarum Patri administrum esse, prout iam assensi estis: & pluribus persuasi, spero constantes in sentẽtia permanebitis. Per Mosen Verbum Dei, res Iacobi (nepotis ex filio Abraæ) commemorans, sic infit: *Et factum est, postquam fœtificabant a conceptu oues, vidi eas oculis in somnis: & ecce hirci & arietes, conscendentes super capras & oues, candidi, & varij, & cinerei aspersi. Et dixit Angelus Dei in somnis: Iacob, Iacob:- Ego autem dixi: Quid est Domine?- & ait: Suspice oculis tuis, & vide hircos & arietes conscendentes super capras & oues, candidos, & varios, & cinereos aspersos. Vidi namque quæcumque tibi fecit Laban. Ego sum Deus, conspectus a te in loco Dei (Bethel) vbi vnxisti mihi statuam, & votum vouisti. Nunc igitur exi, & consurge de terra hac, & abi in terram natiuitatis tuæ: & ero tecum.* Atque iterum alio loco de Iacobo loquẽs, ita dicit: *Consurgens autem nocte illa, sumpsit duas vxores, & duas ancillas, & vndecim liberos suos, & transiit vadum Iaboc: & sumpsit eos, & transiit torrentem, & transtulit omnia sua. relictus est autem Iacob solus, & luctatus est Angelus cum eo vsque ad diluculum. Vidit autem quod non satis aduersus eum viribus valeret, & tetigit latitudinem femoris eius: & emarcuit latitudo femoris Iacobi, cum luctaretur ille cum eo. Et dixit ei: Dimitte me: ascendit enim aurora:- Ipse autem ait: Non te dimittam, nisi benedixeris mihi:- Dixit vero ei: Non vocabitur nomen tuum* IACOB; *sed* ISRAEL *erit nomen tuum. Quoniam fortis fuisti cum Deo, fortis quoque eris cum hominibus:- Interrogauit vero Iacob, & ait: Annuncia mihi nomen tuum:- & dixit: Quid quæris nomen meum?- & benedixit illic ei. Et vocauit Iacob nomen loci illius,* VISIO DEI, *[Phanuel.] Vidi namque Deum facie ad faciem: & gauisa est anima mea.* Et item alibi de eodem Iacobo verba faciens, hæc dicit: *Venit autem Iacob Luzam in terra Chanaan, quæ est Bethel, ipse, & omnis populus qui erat cum eo: & ædificauit ibi altare, & appellauit nomen illius loci* BETHEL. *Istic enim apparuit ei Deus, cum fugeret a facie fratris sui Esau. Mortua aũt est Debora, nutrix Rebeccæ, & sepulta est infra Bethel sub quercu: & vocauit*

λέγων δύναμιν λόγων τεχνικῶν μὴ κεκτῆσθαι. Κἀγὼ πάλιν ἀποκρινάμενος, Ἐπεί σοι δοκεῖ ταῦτα οὕτως ἔχειν, ἐχέτω· ἐγὼ δὲ πέπεισμαι ἀληθῶς εἶναι. ἀλλ' ἵνα μᾶλλον τὰς ἀποδείξεις τὰς λοιπὰς ἤδη ποιήσωμαι, πρόσεχε τὸν νοῦν. Κἀκεῖνος, Λέγε. Κἀγὼ, Ὑπὸ Μωσέως, ὦ ἀδελφοὶ, πάλιν γέγραπται, ἔλεγον, ὅτι οὗτος ὁ ὀφθεὶς τοῖς πατριάρχαις λεγόμενος Θεὸς, καὶ Ἄγγελος καὶ Κύριος λέγεται, ἵνα καὶ ἐκ τούτων ἐπιγνῶτε αὐτὸν ὑπηρετοῦντα τῷ τῶν ὅλων πατρὶ, ὡς ἤδη συνέθεσθε, καὶ διὰ πλειόνων πεπεισμένοι βεβαίως μενεῖτε. ἐξηγούμενος οὖν διὰ Μωσέως ὁ λόγος τοῦ Θεοῦ τὰ περὶ Ἰακὼβ τοῦ υἱωνοῦ τοῦ Ἀβραὰμ, οὕτως φησί· Καὶ ἐγένετο ἡνίκα ἐκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς αὐτὰ ἐν τῷ ὕπνῳ· καὶ ἰδοὺ, οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί. καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνους, Ἰακὼβ Ἰακώβ:- ἐγὼ δὲ εἶπον, Τί ἐστι, Κύριε;- καὶ εἶπεν, Ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς. ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ. Ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τῷ τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω ἐκεῖ εὐχήν. νῦν οὖν ἔξελθε καὶ ἀνάστηθι ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ:- καὶ πάλιν ἐν ἄλλοις λόγοις περὶ αὐτοῦ τοῦ Ἰακὼβ λέγων, οὕτως φησίν· Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην, ἔλαβε τὰς δύο γυναῖκας, καὶ τὰς δύο παιδίσκας, καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ, καὶ διέβη τὴν διάβασιν τοῦ Ἰαβώχ· καὶ ἔλαβεν αὐτοὺς, καὶ διέβη τὸν χειμάῤῥουν, καὶ διεβίβασε πάντα τὰ αὐτοῦ. ὑπελείφθη δὲ Ἰακὼβ μόνος· καὶ ἐπάλαιεν ἄγγελος μετ' αὐτοῦ ἕως πρωΐ. εἶδε δὲ ὅτι οὐ δύναται πρὸς αὐτὸν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ, Ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος:- ὁ δὲ εἶπεν, Οὐ μή σε ἀποστείλω, ἂν μή με εὐλογήσῃς:- εἶπε δὲ αὐτῷ, Τί τὸ ὄνομά σου ἐστίν;- ὁ δὲ εἶπεν, Ἰακώβ:- εἶπε δὲ αὐτῷ, Οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλὰ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας μετὰ τοῦ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ:- ἠρώτησε δὲ Ἰακὼβ, καὶ εἶπεν, Ἀνάγγειλόν μοι τὸ ὄνομά σου:- καὶ εἶπεν, Ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου;- καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐχάρη ἡ ψυχή μου:- Καὶ πάλιν ἐν ἑτέροις περὶ τοῦ αὐτοῦ Ἰακὼβ ἐξαγγέλλων, ταῦτά φησιν· Ἦλθε δὲ Ἰακὼβ εἰς Λουζᾶ, ἥ ἐστιν εἰς γῆν Χαναὰν, ἥ ἐστι Βαιθὴλ, αὐτὸς, καὶ πᾶς ὁ λαὸς ὃς ἦν μετ' αὐτοῦ· καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Βαιθήλ· ἐκεῖ γὰρ ἐφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου τοῦ ἀδελφοῦ αὐτοῦ Ἡσαῦ. ἀπέθανε δὲ Δεβόῤῥα ἡ τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη κατώτερον Βαιθὴλ ὑπὸ τὴν βάλανον· καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα

72

τὸ ὄνομα αὐτῆς Βάλανον πένθους. Ὤφθη δὲ ὁ Θεὸς τῷ Ἰακὼβ ἔτι ἐν Λουζᾷ, ὅτε παρεγένετο ἐκ Μεσοποταμίας τῆς Συρίας, καὶ εὐλόγησεν αὐτόν· καὶ εἶπεν αὐτῷ ὁ Θεός, Τὸ ὄνομά σου Ἰακὼβ οὐ κληθήσεται ἔτι, ἀλλὰ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου:- Θεὸς καλεῖται, καὶ Θεός ἐστι, καὶ ἔσται. Καὶ συννευσάντων ταῖς κεφαλαῖς ἁπάντων, ἔφην ἐγώ, Καὶ τοὺς λόγους οἳ ἀγγέλλουσι πῶς ὤφθη αὐτῷ φεύγοντι τὸν ἀδελφὸν Ἠσαῦ, οὗτος καὶ Ἄγγελος, καὶ Θεὸς, καὶ Κύριος, καὶ ἐν ἰδέᾳ ἀνδρὸς τῷ Ἀβραὰμ φανεὶς, καὶ ἐν ἰδέᾳ ἀνθρώπου αὐτῷ τῷ Ἰακὼβ παλαίσας, ἀναγκαῖον εἶναι εἰπεῖν ὑμῖν λογιζόμενος λέγω. εἰσὶ δὲ οὗτοι· Καὶ ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη· καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ· ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ ἄγγελοι
73 τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτῆς· ὁ δὲ Κύριος ἐστήρικτο ἐπ᾽ αὐτήν. ὁ δὲ εἶπεν, Ἐγώ εἰμι Κύριος ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου καὶ [ὁ Θεὸς] Ἰσαάκ· μὴ φοβοῦ· ἡ γῆ ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾽ αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου· καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται εἰς θάλασσαν, καὶ νότον, καὶ βορρᾶν, καὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν ὁδῷ πάσῃ ᾗ ἂν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι:- καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, Ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ· ἐγὼ δὲ οὐκ ᾔδειν:- καὶ ἐφοβήθη, καὶ εἶπεν, Ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο ἀλλ᾽ ἢ οἶκος τοῦ Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ:- καὶ ἀνέστη Ἰακὼβ τῷ πρωΐ, καὶ ἔλαβε τὸν λίθον ὃν ὑπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεε τὸ ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου, Οἶκος Θεοῦ, καὶ Οὐλαμμαοὺς ἦν τὸ ὄνομα τῇ πόλει τὸ πρότερον:- Καὶ ταῦτα εἰπών, Ἀνάσχεσθέ μου, ἔλεγον, καὶ ἀπὸ τῆς βίβλου τῆς ἐξόδου ἀποδεικνύοντος ὑμῖν, πῶς ὁ αὐτὸς οὗτος καὶ Ἄγγελος, καὶ Θεὸς, καὶ Κύριος, καὶ ἀνήρ, καὶ ἄνθρωπος, Ἀβραὰμ καὶ Ἰσαὰκ φανεὶς, ἐν πυρὶ φλογὸς ἐκ βάτου πέφανται καὶ ὡμίλησε τῷ Μωϋσεῖ. Κἀκείνων ἡδέως καὶ ἀκαμάτως καὶ προθύμως ἀκούειν λεγόντων, ἐπέφερον, Ταῦτα δέ ἐστιν ἐν τῇ βίβλῳ ἣ ἐπιγράφεται Ἔξοδος· Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων:- καὶ τὰ λοιπά, μέχρι τοῦ, Ἐλθὼν συνάγαγε τὴν γερουσίαν Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς, Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν ὦφθη μοι, ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, λέγων, Ἐπισκοπῇ ἐπισκέπτομαι ὑμᾶς, καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν Αἰγύπτῳ:- Καὶ ἐπὶ τούτοις ἐπέφερον, Ὦ ἄνδρες, νενοήκατε, λέγων, ὅτι ὃν λέγει Μωσῆς Ἄγγελον ἐν πυρὶ φλογὸς λελαληκέναι αὐτῷ,

nomen eius, Quercũ luctus. Visus vero est Deus Iacobo adhuc ad Luzã, quãdo aduenit ex Mesopotamia Syriæ, & benedixit ei. Et dixit ei Deus: Nomen tuum IACOB *non vocabitur vlterius, sed* ISRAEL *erit nomen tuum.* Deus vocatur, & Deus est, & erit. Hic cum simul omnes capitibus annuerent, ego dixi: Necessarium arbitror esse, vobis etiam referre verba, quibus cõmemoratur quomodo ipsi fugiẽti fratrem Esaum, apparuerit iste & *Angelus*, & *Deus*, & *Dominus*, qui & Abraæ in forma viri conspectus, & in specie hominis cum Iacobo luctatus est. sunt autẽ istiusmodi: *Et exiit Iacob a puteo iuramẽti,* [*de Bersabee,*] *& profectus est in Charran. & venit ad quendam locum, & somno sopitus est ibi: occiderat enim sol. & accepit de lapidibus loci, & posuit ad caput suũ: & obdormiuit in loco illo, & somniauit. Et ecce scala firmata in terra, cuius caput pertinebat ad cælum: & angeli Dei ascendebant & descendebant in ea; Dominus vero innixus ei stabat. Hic dicebat: Ego sum Dominus Deus Abraæ patris tui; &* [*Deus*] *Isaaci. noli timere. Terra super quam dormis, tibi dabo eam, & semini tuo: & erit semen tuum tamquam arena terræ, & dilatabitur vsque ad mare, & notum, & boream, & orientem. & benedicentur in te omnes tribus terræ, & in semine tuo. Et ecce ego tecum, custodiens te in via omni qua proficiscere: & reducam te in terram istam: Quia nõ derelinquam te, donec perfecero omnia quæcumq; dixi tibi:- Et excitatus est Iacob e somno suo. & ait: Dominus est in loco isto, & ego nesciebam:- Et extimuit, & dixit: Quam terribilis locus iste: non est hoc aliud quam domus Dei, & ipsa porta cæli:- Et surrexit Iacob diluculo, & accepit lapidem quem ibi posuerat ad caput suum, & constituit eum in statuam, & infudit oleum in fastigium eius: & appellauit Iacob nomen loci, Domus Dei: & Vlammaus erat nomen ciuitatis antea.* Hęc cum dixissem, Sustinete, inquã, me, ex libro quoque Exodi vobis demonstrantem, quemadmodum idem ipse & *Angelus*, & *Deus*, & *Dominus*, & *Vir*, & *Homo* Abraæ & Iacobo visus, in igne flammæ e rubo apparuerit & colloquutus sit Mosæ. Atque illis se citra molestiã libenter & alacriter audire dicentibus, intuli: Hæc porro sunt in libro qui inscribitur Exodus: *Sedenim post dies multos illos mortuus est rex Ægypti, & ingemuerunt filij Israel ab operibus:* & reliqua, vsque ad; *Vadens congrega senatum Israelis, & dices ad eos: Dominus Deus patrum vestrorum apparuit mihi, Deus Abraæ, & Deus Isaaci, & Deus Iacobi, dicens: Visitatione visito vos, & quæcumque accidere vobis in Ægypto.* Ad hæc adieci: Intelligitis, o viri, inquiens, quod quem Moses affirmat Angelum in igne flammæ secum colloquutum esse,

idem ipse, cum Deus sit, Mosi declaret, se esse Deum Abrahæ, & Isaaci, & Iacobi.
Et Trypho: Non hoc, inquit, ex verbis recitatis intelligimus: verum, Angelum quidem in ignis flamma apparuisse, Deum autem cum Mose colloquutum esse: ita vt & Angelus & Deus, duo simul tum in visione exstiterint. Et ego contra respondi: Esto, tametsi hoc tum factum sit, o amici, vt & Angelus & Deus simul in visione Mosæ oblata fuerint, pro eo atque demonstratum vobis est per verba supra scripta: tamen non conditor Vniuersitatis huius Deus is fuerit, qui Mosæ dixit, se Deum esse Abrahæ, & Deum Isaaci, & Deum Iacobi; quique factoris rerum omnium voluntati ministret, & in iudicio Sodomorum, consilio & voluntati eius itidē ministrauerit: adeo vt quamuis sic, vti affirmatis, res habeat, duos scilicet fuisse, Angelum & Deum: nemo tamen, cui vel minimum mentis sit, auctorem & parentem Vniuersi supercælestia omnia reliquisse, & in pusilla terræ parte sese exhibuisse, dicere sit ausurus.
Ac Trypho: Quando iam demonstratum est, eum qui Abrahæ apparuit, & *Deus* atque *Dominus* appellatus est, a *Domino in cælis*, quæ terræ Sodomitarum illata sunt, accepta intulisse, & nunc *Angelum* seu *Nuncium* quoque fuisse, cum eo qui Mosæ exhibitus est, *Deum* & ipsum: Deum qui e rubo Mosen compellauit, non creatorem Vniuersitatis huius Deum intelligemus fuisse; sed eum qui & Abrahæ, & Isaaco, & Iacobo, prout probasti, manifestatus est: & *Angelus* siue *Nuncius* rerum cunctarum conditoris Dei eo vocatur & intelligitur, quod res Patris & Factoris omnium mortalibus annunciet. Et ego rursum: Iam, o Trypho, demonstrabo, in visione Mosæ hunc ipsum solum, qui & *Angelus* seu *Nuncius* vocatur, & *Deus* est, apparuisse & verba commutasse cum Mose. Sic enim Verbum infit: *Apparuit autem ei Angelus Domini, in igne flammæ e rubo: & vidit rubum ardere igni, rubus vero non comburebatur. Moses ergo dixit: Vadens inspiciam visionem hanc magnam, quod non comburitur rubus. Postquam autem vidit Dominus quod accederet videndi gratia, vocauit eum Dominus e rubo.* Itaque quemadmodum Verbum, eum qui in somnis apparuit Iacobo, *Angelum* appellat: deinde cum ipsum qui in somnis apparuit, *Angelum* ipsi dixisse ait; *Ego sum Deus a te conspectus, cum a facie fratris tui Esau fugeres:* & sub Abraamo in iudicio Sodomorum, *Dominum* a *Domino in cælis* iudicium intulisse dixit: ad eundem modum & hic Verbum *Angelum Domini* Mosæ apparuisse dicens, ac deinceps *Dominum* eum esse & *Deum* declarans, eundem (& illum ipsum) denotat, quē & pluribus per ea quæ dicta sunt, administrū esse Deo supermūdano,

ὅτος αὐτὸς Θεὸς ὤν, σημαίνει τῷ Μωσῇ ὅτι αὐτός ἐστιν ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ; Καὶ ὁ Τρύφων, Οὐ τοῦτο νοοῦμεν ἀπὸ τῶν λόγων τῶν προλελεγμένων, ἔλεγεν, ἀλλ᾽ ὅτι ἄγγελος μὲν ἦν ὁ ὀφθεὶς ἐν φλογὶ πυρὸς, Θεὸς δὲ ὁ ὁμιλῶν τῷ Μωσῇ· ὥστε καὶ ἄγγελον καὶ Θεὸν, δύο ὁμοῦ ὄντας, ἐν τῇ τότε ὀπτασίᾳ γεγενῆσθαι. Κἀγὼ πάλιν ἀπεκρινάμην, Εἰ καὶ τοῦτο γέγονε τότε, ὦ φίλοι, ὡς καὶ ἄγγελον καὶ Θεὸν ὁμοῦ ἐν τῇ ὀπτασίᾳ τῇ τῷ Μωσῇ γενομένῃ ὑπάρξαι, ὡς καὶ ἀποδέδεικται ὑμῖν διὰ τῶν προγεγραμμένων λόγων, οὐχ ὁ ποιητὴς τῶν ὅλων ἔσται Θεὸς ὁ τῷ Μωσῇ εἰπὼν αὐτὸν εἶναι Θεὸν Ἀβραὰμ, καὶ Θεὸν Ἰσαὰκ καὶ Θεὸν Ἰακώβ. ἀλλ᾽ ὁ ἀποδειχθεὶς ὑμῖν ὦφθαι τῷ Ἀβραὰμ, καὶ τῷ Ἰακώβ, τῇ τοῦ ποιητοῦ τῶν ὅλων θελήσει ὑπηρετῶν, καὶ ἐν τῇ κρίσει τῶν Σοδόμων τῇ βουλῇ αὐτοῦ ὁμοίως ὑπηρετήσας· ὥστε κἂν, ὡς φατὲ, ἔχῃ, ὅτι δύο ἦσαν, καὶ ἄγγελος καὶ Θεὸς, οὐ τὸν ποιητὴν τῶν ὅλων καὶ πατέρα καταλιπόντα τὰ ὑπὲρ οὐρανὸν ἅπαντα, ἐν ὀλίγῳ γῆς μορίῳ πεφάνθαι πᾶς ὁστισοῦν, κἂν μικρὸν νοῦν ἔχων, τολμήσει εἰπεῖν. Καὶ ὁ Τρύφων, Ἐπειδὴ ἤδη προαποδέδεικται ὅτι ὁ ὀφθεὶς τῷ Ἀβραὰμ Θεὸς καὶ Κύριος ὀνομαζόμενος, ὑπὸ Κυρίου τοῦ ἐν οὐρανοῖς λαβὼν τὰ ἐπαχθέντα τῇ Σοδόμων γῇ, ἐπήγαγε, καὶ νῦν καὶ ἄγγελος ἦν σὺν τῷ φανέντι τῷ Μωσῇ Θεὸς γεγενημένος, τὸν Θεὸν ἀπὸ τῆς βάτου ὁμιλήσαντα τῷ Μωσῇ, οὐ τὸν ποιητὴν τῶν ὅλων Θεὸν νοήσομεν γεγονέναι, ἀλλ᾽ ἐκεῖνον τὸν καὶ τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ ἀποδειχθέντα πεφανερῶσθαι· ὃς καὶ ἄγγελος τοῦ τῶν ὅλων ποιητοῦ Θεοῦ καλεῖται καὶ νοεῖται εἶναι, ἐκ τοῦ διαγγέλ- 74
λειν τοῖς ἀνθρώποις τὰ παρὰ τοῦ πατρὸς καὶ ποιητοῦ τῶν ἁπάντων. Κἀγὼ πάλιν, Ἤδη μέντοι, ὦ Τρύφων, ἀποδείξω ὅτι πρὸς τῇ Μωσέως ὀπτασίᾳ αὐτὸς οὗτος μόνος καὶ Ἄγγελος καλούμενος, καὶ Θεὸς ὑπάρχων, ὤφθη τε καὶ προσωμίλησε τῷ Μωσῇ. οὕτως γὰρ ἔφη ὁ λόγος, Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἐν πυρὶ φλογὸς ἐκ βάτου· καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρὶ, ὁ δὲ βάτος οὐ κατεκαίετο. ὁ δὲ Μωσῆς εἶπε, Παρελθὼν ὄψομαι τὸ ὅραμα τοῦτο τὸ μέγα, ὅτι οὐ κατακαίεται ὁ βάτος. ὡς δὲ εἶδε Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν Κύριος ἐκ τῆς βάτου. ὃν οὖν τρόπον τὸν τῷ Ἰακὼβ ὀφθέντα κατὰ τοὺς ὕπνους ἄγγελον ὁ λόγος λέγει, εἶτα αὐτὸν τὸν ὀφθέντα κατὰ τοὺς ὕπνους ἄγγελον εἰρηκέναι αὐτῷ, ὅτι Ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ὅτε ἀπεδίδρασκες ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ σου· καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἐν τῇ κρίσει τῶν Σοδόμων Κύριον παρὰ Κυρίου τοῦ ἐν τοῖς οὐρανοῖς τὴν κρίσιν ἐπενηνοχέναι ἔφη· οὕτως καὶ ἐνταῦθα ὁ λόγος λέγων ἄγγελον Κυρίου ὦφθαι τῷ Μωσῇ, καὶ μετέπειτα Κύριον αὐτὸν ὄντα καὶ Θεὸν σημαίνων, τὸν αὐτὸν λέγει ὃν καὶ διὰ πολλῶν τῶν λελεγμένων ὑπηρετοῦντα τῷ ὑπὲρ κόσμον Θεῷ,

ὑπὲρ ὃν ἄλλος οὐκ ἔστι, σημαίνει. μαρτύριον δὲ καὶ ἄλλο ὑμῖν, ὦ φίλοι, ἔφην, ἀπὸ τῶν γραφῶν δώσω, ὅτι ἀρχὴν πρὸ πάντων τῶν κτισμάτων ὁ Θεὸς γεγέννηκε δύναμίν τινα ἐξ ἑαυτοῦ λογικήν, ἥτις καὶ Δόξα Κυρίου ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου καλεῖται, ποτὲ δὲ Υἱός, ποτὲ δὲ Σοφία, ποτὲ δὲ Ἄγγελος, ποτὲ δὲ Θεός, ποτὲ δὲ Κύριος καὶ Λόγος· ποτὲ δὲ Ἀρχιστράτηγον ἑαυτὸν λέγει, ἐν ἀνθρώπου μορφῇ φανέντα τῷ τοῦ Ναυῆ Ἰησοῦ· ἔχειν γὰρ πάντα προσονομάζεσθαι, ἔκ τε τοῦ ὑπηρετεῖν τῷ πατρικῷ βουλήματι, καὶ ἐκ τοῦ ἀπὸ τοῦ πατρὸς θελήσει γεγεννῆσθαι, ἀλλ' οὐ τοιοῦτον ὁποῖον καὶ ἐφ' ἡμῶν γινόμενον ὁρῶμεν. λόγον γάρ τινα προβάλλοντες, λόγον γεννῶμεν, οὐ κατὰ ἀποτομήν, ὡς ἐλαττωθῆναι τὸν ἐν ἡμῖν λόγον προβαλλόμενοι· καὶ ὁποῖον ἐπὶ πυρὸς ὁρῶμεν ἄλλο γινόμενον, οὐκ ἐλαττουμένου ἐκείνου ἐξ οὗ ἡ ἄναψις γέγονεν, ἀλλὰ τοῦ αὐτοῦ μένοντος, καὶ τὸ ἐξ αὐτοῦ ἀναφθέν, καὶ αὐτὸ ὂν φαίνεται, οὐκ ἐλαττῶσαν ἐκεῖνο ἐξ οὗ ἀνήφθη. μαρτυρήσει δέ μοι ὁ λόγος τῆς Σοφίας, αὐτὸς ὢν οὗτος ὁ Θεὸς ἀπὸ τοῦ πατρὸς τῶν ὅλων γεννηθείς, καὶ Λόγος, καὶ Σοφία, καὶ Δύναμις, καὶ Δόξα τοῦ γεννήσαντος ὑπάρχων, καὶ διὰ Σολομῶνος φήσαντος ταῦτα· Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ τὰς πηγὰς προελθεῖν τῶν ὑδάτων, πρὸ τοῦ τὰ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. ὁ Θεὸς ἐποίησε χώραν, καὶ ἀοίκητον, καὶ ἄκρα οἰκούμενα ὑπ' οὐρανόν. ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν αὐτοῦ θρόνον ἐπ' ἀνέμων· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐποίει πηγὰς ἀβύσσου· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρε· καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτι εὐφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ εὐφραίνετο ἐν υἱοῖς ἀνθρώπων. νῦν οὖν υἱὲ ἄκουέ μου· Μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος ὃς τὰς ὁδούς μου φυλάξει, ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις καθ' ἡμέραν, τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἡτοίμασται θέλησις παρὰ Κυρίου. οἱ δὲ εἰς ἐμὲ ἁμαρτάνοντες, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς· καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον. Καὶ τοῦτο αὐτό, ὦ φίλοι, εἶπε καὶ διὰ Μωσέως ὁ τοῦ Θεοῦ λόγος, μηνύων ἡμῖν, ὃν ἐδήλωσε, τὸν Θεὸν λέγειν τούτῳ αὐτῷ τῷ νοήματι ἐπὶ τῆς ποιήσεως τοῦ ἀνθρώπου, λέγων ταῦτα· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ,

supra quem alius non est, significat. Aliud vero etiam vobis, o amici, inquam, ex sacris litteris producam testimonium, primitus ante creaturas omnes Deum genuisse ex se *Virtutem* quandam *rationalem*: quæ quidem & *Gloria Domini* a Spiritu sancto vocatur, nonnumquam autem *Filius*, aliquando *Sapientia*, quandoque *Angelus*, interdum *Deus*, aliquando *Dominus*, & *Verbum*: fuit quando *Archiducem* seipsum dixit, in hominis forma, Iosuæ Nauæ filio apparens. His enim nominibus omnibus appellari habet, cum ex paterni consilii & voluntatis administratione, tum ex voluntaria Patris generatione. Qualem generationem in nobis quoque quodam videmus fieri modo. Verbum enim aliquod proferentes, verbum gignimus: non per resectionem, ita vt, quod in nobis proferentibus est, imminuatur verbum. Et quomodo in igne videmus alium fieri, non decrescente illo vnde facta est alterius accensio, sed in eodem statu permanente: quippe qui ex ipso incenditur, & ipse apparet, non imminuens illum vnde est succensus. Testimonium autem mihi dicet verbum Sapientiæ, quod ipsum Deus iste est, a Patre huius Vniuersitatis genitus: qui *Verbum* videlicet, & *Sapientia*, & *Virtus*, & *Gloria generantis* constat, & per Salomonem ita inquit: *Cum annunciauero vobis ea quæ quotidie fiunt, quæ a seculo facta sunt, memorans recensebo. Dominus creauit me ab initio viarum suarum, ad opera sua. ante seculum fundauit me in principio. priusquam terram faceret, & priusquam abyssos crearet. priusquā fontes prorumperent aquarum priusquam montes considerent: ante omnes colles generat me. Deus fecit regionem, & solitudinem, & summa loca, quæ incoluntur sub cælo. Cum pararet cælum, eram cum eo: & cum designaret thronum suum super ventis; cum firmiores faceret summas nubes, & cum stabiles efficeret fontes abyssi, cum robusta conderet fundamenta terræ, eram apud eum, apte coagmentans. Ego eram cum qua gaudebat: quotidie autem lætabar in conspectu eius, quouis tempore: Quoniam delectabatur orbe habitabili consummato, & delectabatur in filiis hominum. Nunc igitur fili, audi me: Beatus vir qui exaudiet me, & homo qui vias meas custodiet, excubans in foribus meis quotidie, seruans postes introitus mei. Exitus enim mei, exitus vitæ. Et parata est voluntas a Domino. Qui vero in me delinquunt, impij sunt in ipsorum animas: Et qui oderunt me, diligunt mortem.* Hoc ipsum, o amici, quoque dixit verbum Dei per Mosen, indicans nobis quem eodem intellectu *Deum* nominandum esse declararit, in creatione hominis hæc dicens: *Faciamus hominem secundum imaginem nostram, & secundum similitudinem: Et imperet piscibus maris, & volucribus cæli,*

& pecoribus, & cuncta terra, & omnibus reptilibus super terram. Et fecit Deus hominem; secundum imaginem Dei fecit eum: masculum & fœminam fecit eos. & benedixit eis Deus, dicens: Crescite & multiplicamini. & replete terrā, & dominamini ei. Et ne deprauantes quæ diximus verba, illa asseratis quæ Rabini vestri allegāt, vel quod ad seipsum loquutus sit Deus, *Faciamus*; sicut & nos, facturi quidpiam, persæpe ad nos ipsos dicimus, *Faciamus*: vel quod ad elemēta, hoc est terram, & alia similiter, vnde intelligimus hominem constitutum esse, Deus dixerit, *Faciamus*: verba rursus alia a Mose prolata referam, ex quibus citra ambiguitatem certo ad aliquem, qui & numero alius, & rationalis sit, ipsum loquutum esse, cognoscere possumus. Sunt autem hæc verba; *Et dixit Deus; Ecce Adam factus est quasi vnus ex nobis, vt sciat bonum & malum.* Itaque, *Quasi vnus ex nobis*, dicēs, tum numerum eorum qui vna essent, tum minimum duos indicauit. Haudquaquam namque aut in vero esse ipse affirmauerim, quod quę apud vos dicitur hæresis esse, opinatur; aut magistri eius demonstrare quiuerint, angelis hoc dictum esse, vel angelorum creaturam esse corpus humanum. Verum hæc ipsa a Patre reuera edita progenies, ante creaturas omnes vna cū Patre fuit, & cū ea Pater colloquitur; prout Verbū per Salomonē declarauit, *primitus* (siue principium) ante creaturas omnes hāc ipsam *Progeniē* a Deo genitam esse, quæ *Sapiētia* a Salomone vocatur. Quin & per reuelationē Iosuæ Nauæ filio factam, hanc ipsam exhibitam esse dixi. Porro vt manifestum inde vobis fiat, inquam, quod assero; audite quoq; verba ex libro Iosue deprompta, quæ sic habent: *Et factum est, cum esset Iosue in Hiericho, suspiciens oculis, videt hominem exaduersō sibi stantem. Et accedens Iosue dixit ei: Noster ne es, an aduersariorum? Et ille dixit ei: Ego Archidux virtutis Domini, & nunc adueni:- Et Iosue concidit supinus in terram, & dixit illi: Domine quid imperas famulo tuo?- Et ait Archidux Domini ad Iosuen: Solue calceos pedum tuorum. Locus enim vbi stas, terra sancta est:- Hiericho autem clausa erat, & munitionibus firmata: & nemo inde progrediebatur. & dixit Dominus ad Iosuen: Ecce trado in manum tuam Hiericho, & regem qui ibi est fortitudine potem.* Et Trypho: Prævalide & pluribus, inquit, o amice, hoc a te est demonstratum: reliquum iam est vt ostendas hunc sustinuisse, de Patris sui voluntate, *ex virgine hominem nasci*, & in crucem agi, & mori, ac postea videlicet & resurrexisse, & in cælum reuertisse. Atque ego respondi: Iam & hoc a me probatum est, o viri, in eis quæ antea com-

καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εὐλόγησεν ὁ Θεὸς αὐτοὺς, λέγων, Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς:- Καὶ ὅπως μὴ ἀλλάσσοντες τοὺς προλελεγμένους λόγους, ἐκεῖνα λέγητε ἃ οἱ διδάσκαλοι ὑμῶν λέγουσιν, ἢ ὅτι πρὸς ἑαυτὸν ἔλεγεν ὁ Θεὸς, Ποιήσωμεν, ὁποῖον καὶ ἡμεῖς, μέλλοντές τι ποιεῖν, πολλάκις πρὸς ἑαυτοὺς λέγομεν, Ποιήσωμεν· ἢ ὅτι πρὸς τὰ στοιχεῖα, τουτέστι τὴν γῆν καὶ τὰ ἄλλα ὁμοίως, ἐξ ὧν νοοῦμεν τὸν ἄνθρωπον γεγενῆσθαι, Θεὸν εἰρηκέναι, Ποιήσωμεν· λόγους τοὺς εἰρημένους ὑπ' αὐτοῦ τοῦ Μωσέως πάλιν ἱστορήσω, ἐξ ὧν ἀναμφιλέκτως πρὸς τινα καὶ ἀριθμῷ ὄντα ἕτερον, λογικὸν ὑπάρχοντα, ὡμιληκέναι αὐτὸν ἐπιγνῶναι ἔχομεν. εἰσὶ δὲ οἱ λόγοι οὗτοι· Καὶ εἶπεν ὁ Θεὸς, Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν:- Οὐκοῦν εἰπὼν, Ὡς εἷς ἐξ ἡμῶν, καὶ ἀριθμὸν τῶν ἀλλήλοις συνόντων, καὶ τὸ ἐλάχιστον δύο, μεμήνυκεν· οὐ γὰρ, ὅπερ ἡ παρ' ὑμῖν λεγομένη αἵρεσις δογματίζει, φαίην ἂν ἐγὼ ἀληθὲς εἶναι, ἢ οἱ ἐκείνης διδάσκαλοι ἀποδεῖξαι δύνανται, ὅτι ἀγγέλοις ἔλεγεν, ἢ ὅτι ἀγγέλων ποίημα ἦν τὸ σῶμα τὸ ἀνθρώπειον· ἀλλὰ τοῦτο τὸ τῷ ὄντι ἀπὸ τοῦ πατρὸς προβληθὲν γέννημα, πρὸ πάντων τῶν ποιημάτων συνῆν τῷ πατρὶ, καὶ τούτῳ ὁ πατὴρ προσομιλεῖ, ὡς ὁ λόγος διὰ τοῦ Σολομῶνος ἐδήλωσεν, ὅτι καὶ ἀρχὴ πρὸ πάντων τῶν ποιημάτων τοῦτ' αὐτὸ καὶ γέννημα ὑπὸ τοῦ Θεοῦ ἐγεγέννητο, ὃ σοφία διὰ Σολομῶνος καλεῖται. καὶ δι' ἀποκαλύψεως τῆς γεγενημένης Ἰησοῦ τῷ τοῦ Ναυῆ, εἶπον, τοῦτ' αὐτὸ εἰπόντος. ἵνα δὲ καὶ ἐκ τούτων φανερὸν ὑμῖν γένηται ὃ λέγω, ἀκούσατε καὶ τῶν ἀπὸ τοῦ βιβλίου Ἰησοῦ. ἔστι δὲ ταῦτα· Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ· καὶ προσελθὼν ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; καὶ εἶπεν αὐτῷ, Ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου, νυνὶ παραγέγονα:- καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ, Δέσποτα τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν, Λῦσαι τὰ ὑποδήματα τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐφ' ᾧ ἕστηκας, γῆ ἁγία ἐστί:- καὶ ἡ Ἱεριχὼ συγκεκλεισμένη ἦν καὶ ὠχυρωμένη, καὶ οὐδεὶς ἐξ αὐτῆς ἐξεπορεύετο. καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν, Ἰδοὺ παραδίδωμί σοι τὴν Ἱεριχὼ ὑποχείριον, καὶ τὸν βασιλέα αὐτῆς τὸν ἐν αὐτῇ, δυνατοὺς ὄντας ἰσχύϊ:- Καὶ ὁ Τρύφων, Ἰσχυρῶς καὶ διὰ πολλῶν δείκνυταί σοι τοῦτο, φίλε, ἔφη. λοιπὸν οὖν καὶ ὅτι οὗτος διὰ τῆς παρθένου ἄνθρωπος γεννηθῆναι κατὰ τὴν τοῦ πατρὸς αὐτοῦ βούλησιν ὑπέμεινεν, ἀπόδειξον, καὶ σταυρωθῆναι, καὶ ἀποθανεῖν· δῆλον δὲ καὶ ὅτι μετὰ ταῦτα ἀναστὰς ἀνελήλυθεν εἰς τὸν οὐρανὸν, ἀπόδειξον. Κἀγὼ ἀπεκρινάμην, Ἤδη καὶ τοῦτο ἀποδέδεικταί μοι, ὦ ἄνδρες, ἐν τοῖς προ-

ανιστορη-

ἀνιστορημένοις λόγοις τῶν προφητειῶν, οὓς δι' ὑμᾶς πάλιν ἀναμιμνησκόμενος καὶ ἐξηγούμενος, πειράσομαι καὶ εἰς τὴν περὶ τούτου συγκατάθεσιν ἀγαγεῖν ὑμᾶς. ὁ γοῦν λόγος ὃν ἔφη Ἠσαΐας, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ: οὐ δοκεῖ σοι λελέχθαι ὡς οὐκ ἐξ ἀνθρώ-
76 πων ἔχοντος τὸ γένος; τοῦ διὰ τὰς ἀνομίας τοῦ λαοῦ εἰς θάνατον παραδεδόσθαι εἰρημένου ὑπὸ τοῦ Θεοῦ· περὶ οὗ καὶ Μωσῆς τοῦ αἵματος, ὡς προέφην, Αἵματι σταφυλῆς, ἐν παραβολῇ εἰπὼν, τὴν στολὴν αὐτοῦ πλυνεῖν ἔφη, ὡς τοῦ αἵματος αὐτοῦ οὐκ ἐξ ἀνθρωπείου σπέρματος γεγεννημένου, ἀλλ' ἐκ θελήματος Θεοῦ. καὶ τὰ ὑπὸ Δαβὶδ εἰρημένα, Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ:- οὐ σημαίνει ἡμῖν ὅτι ἄνωθεν, καὶ διὰ γαστρὸς ἀνθρωπείας, ὁ Θεὸς καὶ πατὴρ τῶν ὅλων γεννᾶσθαι αὐτὸν ἔμελλε; καὶ ἐν ἑτέροις εἰπὼν τοῖς καὶ αὐτοῖς προλελεγμένοις, Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. σμύρναν, καὶ στακτὴν, καὶ κασσίαν ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε. θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ:- ὅτι γοῦν καὶ προσκυνητός ἐστι καὶ Θεὸς καὶ Χριστὸς ὑπὸ τοῦ ταῦτα ποιήσαντος μαρτυρούμενος, καὶ οἱ λόγοι οὗτοι διαρρήδην σημαίνουσι. καὶ ὅτι τοῖς εἰς αὐτὸν πιστεύουσιν ὡς οὖσι μιᾷ ψυχῇ, καὶ μιᾷ συναγωγῇ, καὶ μιᾷ ἐκκλησίᾳ, ὁ λόγος τοῦ Θεοῦ ὡς θυγατρὶ τῇ ἐκκλησίᾳ τῇ ἐξ ὀνόματος αὐτοῦ γενομένῃ, καὶ μετεχούσῃ τοῦ ὀνόματος αὐτοῦ, (Χριστιανοὶ γὰρ πάντες καλούμεθα) ὁμοίως φανερῶς οἱ λόγοι κηρύσσουσι, διδάσκοντες ἡμᾶς καὶ τῶν παλαιῶν πατρῴων ἐθῶν ἐπιλαθέσθαι, οὕτως ἔχοντες· Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ:- Καὶ ὁ Τρύφων, Ἔστω ὑμῶν τῶν ἐξ ἐθνῶν Κύριος, καὶ Χριστὸς, καὶ Θεὸς γνωριζόμενος, ὡς αἱ γραφαὶ σημαίνουσιν, οἵτινες καὶ ἀπὸ τοῦ ὀνόματος αὐτοῦ Χριστιανοὶ καλεῖσθαι πάντες ἐσχήκατε· ἡμεῖς δὲ, τοῦ Θεοῦ τοῦ καὶ αὐτὸν τοῦτον ποιήσαντος λατρευταὶ ὄντες, οὐ δεόμεθα τῆς ὁμολογίας αὐτοῦ, οὐδὲ τῆς προσκυνήσεως. Κἀγὼ πρὸς ταῦτα εἶπον, ὦ Τρύφων, Εἰ ὁμοίως ὑμῖν φιλέριστος καὶ κενὸς ὑπῆρχον, οὐκ ἂν ἔτι προσέμενον, κοινωνῶν ὑμῖν τῶν λόγων, οὐ συνιέναι τὰ λε-

memoraui Prophetarum dictis: quæ vestra causa repetens & explicãs, dabo operam vt etiam hàc de re in sententiam vos meam adducam. Igitur verbum quod dictum est per Esaiam, *Generationem eius quis enarrabit? quia tollitur a terra vita eius*: an non tibi videtur dicere, non eum ex hominibus habere genus, qui propter iniquitates populi traditus esse in mortem a Deo dicitur? De cuius sanguine, sicut memoraui, Moses quoque loquutus est, *sanguine uuæ*, in similitudine, *stolam suam lauaturum* affirmans: sanguine nimirum eius non ex humano semine, sed voluntate Dei edito. Ex quæ a Dauide sunt promulgata: *In splendoribus sanctorum tuorum. Ex vtero ante luciferum genui te. Iurauit Dominus, & non pœnitebit eum: Tu sacerdos in æternum, secundum ordinem Melchisedech*: an non significant nobis, quod cœlitus, & ex vtero humano, Deus & parens rerum cunctarum, editurus eum fuerit? Et aliis item verbis, quæ & ipsa prius sunt recitata: *Thronus tuus Deus in seculum seculi. Virga directionis, virga regni tui. Dilexisti iustitiam, & odisti iniquitatem, propterea vnxit te Deus, Deus tuus, oleo exsultationis supra participes tuos. Myrra, & gutta, & casia, a vestimentis tuis, a receptaculis eburneis, vnde exhilararunt te. Filia regum in honore tuo. Adstitit regina a dextris tuis in vestitu deaurato, circumdata, variegata. Audi filia, & vide, & prabe aurẽ tuam, & obliuiscere populi tui, & domus patris tui: & concupiscet Rex pulchritudinem tuam: Quoniam ipse est Dominus tuus, & adorabis eum.* Hisce ipsis, inquam, verbis satis diserte est indicatum, amplissimum eum habere a rerum creatore testimonium: *adorandum eum* nimirum esse, & *Deum* & CHRISTVM. Et quod in ipsum credentibus, quasi vni animæ, & vni synagogæ, & vni cœtui, verbum Dei, sicut filię, Ecclesiæ ex nomine eius coactæ, & nominis eius participi (*Christiani* enim omnes nominamur) prædicet, itidem aperte verba hæc annunciant: quæ nos, vt veterum patriorum morum obliuiscamur, docent, & sic habent: *Audi Filia, & vide, & prabe aurem tuam: & obliuiscere populi tui, & domus Patris tui: & expetet Rex pulchritudinem tuam.* Et Trypho: Sit sane vester, qui ex gentibus estis, *Dominus* & CHRISTVS & *Deus designatus*, quemadmodum Sacræ significant litteræ: qui quidem & ex nomine eius *Christiani* omnes vocari debuistis. Nos autem, eius Dei qui & hunc ipsum fecit, cultores cum simus, non indigemus eius nec professione, nec adoratione.
At ego ad hæc dixi: O Trypho, si ita vti vos, contentionis studiosus & vanus essẽ, non perseuerassem vobiscum commutare verba qui operã datis, non vt ea quæ di-

cantur intelligatis, sed vt vos ipsos exacuatis, vt modo quidquam a vobis in medium afferatur. Sed in præsentia, quandoquidem iudicium Dei metuo, non pronũciabo de generis vestri quopiam; præterquam si qui ex eis sint, qui secundum gratiam Domini Zebaoth saluari possint. Quapropter, quamuis vos maligne agatis, pergam tamen ad id quidquid est, quod in medium adductum contradicendo proferetis, respondere: atque id ipsum omnino aduersus omnes ex omni genere hominum, de hisce inquirere & percunctari ex me volentibus, præsto. Itaque quod etiam ex genere vestro qui saluantur, per hunc ipsum salutem consequantur, & in parte eius sint, si animum ad ea quæ antea a me ex Scripturis sunt producta, aduertissetis, profecto iam intellexissetis, & me de eo scilicet non fuissetis percontati. Sed repetam quæ ex Dauide prius a me sunt dicta: & vos oro, ad considerandum etiam & intelligendum, non autem ad callide agendum tantum, vt vos ipsos excitetis. Verba quæ Dauid protulit, sunt huiusmodi: *Dominus regnauit; irascantur populi: Sedens super Cherubim; commoueatur terra.* &c. *Excelsus est super omnes populos. Confiteantur nomini tuo magno: quoniam terribile & sanctum est: Et honor regis iudicium diligit. Tu parasti directiones. Iudicium & iustitiam in Iacobo tu fecisti. Exaltate Dominum Deum nostrum, & adorate subsellium pedum eius: quoniam sanctus est: Moses & Aaron in sacerdotibus eius, & Samuel inter eos qui inuocant nomen eius. Inuocauerunt Dominum, & ipse exaudiuit eos. In columna nubis loquutus est ad eos: Quoniam custodierunt testimonia eius, & mandata eius quæ dedit eis.* Sunt & alia supra allegata, & a Dauide prolata verba, quæ in Salomonem cõcepta & scripta esse, insipienter asseueratis: ex quibus, cum quod in Salomonem non competant, tum quod hic ipse ante solem fuerit, quodque illi qui e populo vestro seruantur, per ipsum salui fiant, ostenditur. Ea sic habent: *Deus iudicium tuũ regi da, & iustitiam tuam filio regis: vt iudicet populum in iustitia, & pauperes tuos in iudicio. Excipiant montes pacem populo, & colles iustitiam. Iudicabit pauperes populi, & saluabit filios pauperum, & humiliabit calumniatorem. Et permanebit cum Sole, & ante Lunam, in generationes generationum:* & reliqua, vsque ad, *Ante Solem permanet nomen tuum. Et benedicentur in eo omnes tribus terræ. Omnes gentes beatificabunt eum. Benedictus Dominus Deus Israelis, faciens admiranda solus: Et benedictum nomen gloriæ eius, in seculum seculi. Et complebitur gloria eius omnis terra. Fiat, fiat.* Ex aliis itẽ verbis, per Dauidẽ itidẽ editis, quæ quadã ex parte supra cõmemoraui, quod ostẽsum sit, *eum e summis cælis progressurũ & in eadẽ loca*

γόμενα παρασκευαζομένοις, ἀλλὰ τὸ λέγειν μόνον
θήγουσιν ἑαυτούς· νῦν δὲ, ἐπὶ κρίσιν Θεοῦ δέδοικα,
οὐ φθάνω ἀποφαίνεσθαι περὶ οὐδενὸς τῶν ἀπὸ τοῦ
γένους ὑμῶν, εἰ μή τις ἐστὶν ἀπὸ τῶν κατὰ χάριν τὴν
ἀπὸ Κυρίου σαβαὼθ σωθῆναι δυνάμενος· διὸ κἂν
ὑμεῖς πονηρεύησθε, προσμενῶ πρὸς ὅ ποιῶν προβα-
λεῖσθε καὶ ἀντιλέγετε, ἀποκρινόμενος, καὶ τὸ αὐτὸ
καὶ πρὸς πάντας ἁπλῶς τοὺς ἐκ παντὸς γένους ἀν-
θρώπων συζητεῖν ἢ πυνθάνεσθαί μου περὶ τούτων
βουλομένους πράττω. ὅτι οὖν καὶ οἱ σωζόμενοι ἀπὸ
τοῦ γένους τοῦ ὑμετέρου διὰ τούτου σώζονται, καὶ
ἐν τῇ τούτου μερίδι εἰσί, τοῖς προλελεγμένοις ὑπ'
ἐμοῦ ἀπὸ τῶν γραφῶν εἰ προσεσχήκειτε, ἐνενοήκει-
τε ἂν ἤδη, κἀμὲ δηλονότι περὶ τούτου οὐκ ἂν ἠρωτή-
σατε. πάλιν δὲ ἐρῶ τὰ προλελεγμένα μοι ἀπὸ τοῦ
Δαβὶδ, καὶ ἀξιῶ ὑμᾶς πρὸς τὸ συνιέναι, μὴ πρὸς
τὸ πονηρεύεσθαι καὶ ἀντιλέγειν μόνον ἑαυτοὺς ὀτρῦ-
ναι. εἰσὶν οὖν οἱ λόγοι οὓς φησιν ὁ Δαβὶδ οὗτοι· Ὁ
Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί· ὁ καθή-
μενος ἐπὶ τῶν χερουβὶμ, σαλευθήτω ἡ γῆ· Κύριος 77
ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς
λαούς. ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ
μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι καὶ τιμὴ βασι-
λέως κρίσιν ἀγαπᾷ. σὺ ἡτοίμασας εὐθύτητας, κρί-
σιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. ὑψοῦτε
Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποπο-
δίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Μωσῆς καὶ Ἀ-
αρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς
ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. ἐπεκαλοῦντο τὸν
Κύριον, καὶ αὐτὸς εἰσήκουεν αὐτῶν· ἐν στύλῳ νεφέ-
λης ἐλάλει πρὸς αὐτούς· ὅτι ἐφύλασσον τὰ μαρ-
τύρια αὐτοῦ, καὶ τὰ προστάγματα αὐτοῦ ἃ ἔδωκεν
αὐτοῖς:- Καὶ ἐν ἄλλοις τοῖς καὶ αὐτοῖς προαπεστρημμέ-
νοις διὰ τοῦ Δαβὶδ λεχθεῖσι λόγοις, οὓς εἰς Σολομῶνα
ἀνοήτως φάσκετε εἰρῆσθαι ἐπιγεγραμμένους εἰς Σο-
λομῶνα, ἐξ ὧν καὶ τὸ ὅτι εἰς Σολομῶνα οὐκ εἴρηνται
ἀποδείκνυται, καὶ ὅτι οὗτος καὶ πρὸ τοῦ ἡλίου ἦν,
καὶ οἱ ἀπὸ τοῦ λαοῦ ὑμῶν σωζόμενοι δι' αὐτοῦ σω-
θήσονται. εἰσὶ δὲ οὗτοι· Ὁ Θεὸς, τὸ κρίμα σου τῷ
βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ
βασιλέως, κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ
τοὺς πτωχούς σου ἐν κρίσει. ἀναλαβέτωσαν τὰ ὄρη
τῷ λαῷ εἰρήνην, καὶ οἱ βουνοὶ δικαιοσύνην. κρινεῖ
τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν
πενήτων, καὶ ταπεινώσει συκοφάντην· καὶ συμπα-
ραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης εἰς γενεὰς
γενεῶν:- καὶ τὰ λοιπὰ ἄχρι τοῦ, Πρὸ τοῦ ἡλίου δια-
μένει τὸ ὄνομα αὐτοῦ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ
πᾶσαι αἱ φυλαὶ τῆς γῆς. πάντα τὰ ἔθνη μακα-
ριοῦσιν αὐτόν. εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ὁ
ποιῶν θαυμάσια μόνος, καὶ εὐλογητὸν τὸ ὄνομα τῆς
δόξης αὐτοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ πληρω-
θήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο γένοιτο:-
Καὶ ἐκ τῶν ἄλλων ὧν προεῖπον ὁμοίως διὰ Δαβὶδ
λελέχθαι λόγων, ὅτι ἀπ' ἄκρων τῶν οὐρανῶν προέρχεσθαι ἔμελλεν, καὶ πάλιν εἰς τοὺς αὐτοὺς τόπους

ἀνιέναι

ἀνιέναι ἐμελλοῦσι, ἀναμνήσθητε, ἵνα καὶ Θεὸν ἄνωθεν προελθόντα, καὶ ἄνθρωπον ἐν ἀνθρώποις γενόμενον γνωρίσητε· καὶ πάλιν ἐκεῖνον παραγενησόμενον, ὃν ὁρᾶν μέλλουσι καὶ κόπτεσθαι οἱ ἐκκεντήσαντες αὐτόν. εἰσὶ δὲ οὗτοι· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ τῇ νυκτὶ ἀναγγέλλει γνῶσιν. οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. Καὶ ὁ Τρύφων ἔφη, Ὑπὸ τῶν τοσούτων γραφῶν δυσωπούμενος, οὐκ οἶδα τί φῶ περὶ τῆς γραφῆς ἣν ἔφη Ἡσαΐας, καθ' ἣν ὁ Θεὸς οὐδενὶ ἑτέρῳ δοῦναι τὴν δόξαν αὐτοῦ λέγει, οὕτως εἰπών, Ἐγὼ Κύριος ὁ Θεός· τοῦτό μου ὄνομα· τὴν δόξαν μου ἑτέρῳ οὐ μὴ δώσω, οὐδὲ τὰς ἀρετάς μου. Κἀγώ, Εἰ μὲν ἁπλῶς καὶ μὴ μετὰ κακίας τούτους τοὺς λόγους εἰπών, ἐσίγησας, ὦ Τρύφων, μήτε τοὺς πρὸ αὐτῶν προειπών, μήτε τοὺς ἐπακολουθοῦντας συνάψας, συγγνωστὸς εἶ· εἰ δὲ χάριν τοῦ νομίζειν δύνασθαι εἰς ἀπορίαν ἐμβαλεῖν τὸν λόγον, ἵν' εἴπω ἐναντίας εἶναι τὰς γραφὰς ἀλλήλαις, πεπλάνησαι· οὐ γὰρ τολμήσω ποτὲ τοῦτο, ἢ ἐνθυμηθῆναι, ἢ εἰπεῖν· ἀλλ' ἐὰν τοιαύτη τις δοκοῦσα εἶναι γραφὴ προβληθῇ, καὶ πρόφασιν ἔχῃ ὡς ἐναντία οὖσα, ἐκ παντὸς πεπεισμένος ὅτι οὐδεμία γραφὴ τῇ ἑτέρᾳ ἐναντία ἐστίν, αὐτὸς μὴ νοεῖν μᾶλλον ὁμολογήσω τὰ εἰρημένα, καὶ τοὺς ἐναντίας
78 τὰς γραφὰς ὑπολαμβάνοντας, τὸ αὐτὸ φρονεῖν μᾶλλον ἐμοὶ πεῖσαι ἀγωνίσομαι. ὅπως δ' οὖν ἧς προτέθεικας τὸ πρόβλημα, Θεὸς ἐπίσταται· ἐγὼ δὲ ὡς εἴρηται ὁ λόγος ἀναμνήσω ὑμᾶς, ὅπως καὶ ἐξ αὐτοῦ τούτου γνωρίσητε ὅτι ὁ Θεὸς τῷ Χριστῷ αὐτοῦ μόνῳ τὴν δόξαν δίδωσιν. ἀναλήψομαι δὲ βραχεῖς τινὰς λόγους, ὦ ἄνδρες, τοὺς ἐν συναφείᾳ τῶν εἰρημένων ὑπὸ τοῦ Τρύφωνος, καὶ τοὺς ὁμοίως συνημμένους κατ' ἐπακολούθησιν. οὐ γὰρ ἐξ ἑτέρας περικοπῆς αὐτοὺς ἐρῶ, ἀλλ' ὑφ' ἓν ὡς εἰσὶ συνημμένοι· καὶ ὑμεῖς τὸν νοῦν χρήσατέ μοι. εἰσὶ δὲ οὗτοι· Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· Ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἰσχύσω σε· καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει. ἐγὼ Κύριος ὁ Θεός· τοῦτό μου ὄνομα· τὴν δόξαν μου ἑτέρῳ οὐ μὴ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκει·

rediturum, in memoriam reuocate: vt & Deum cælitus profectum, hominemque inter homines factum, & rursus illum rediturum esse cognoscatis: quem videbunt & plangent qui illum pupugerunt. Verba hæc sunt: *Cæli enarrant gloriam Dei, & opus manuum eius annunciat firmamentum. Dies diei eructat verbum, & nox nocti indicat scientiam. Non sunt loquelæ neque sermones, quorum non audiantur voces eorũ. In omnem terram exiuit sonus eorum; & in fines orbis, verba eorum. In Sole posuit tabernaculum suum; & ipse tamquã sponsus procedens e thalamo suo. Exsultabit vt gigas ad currendum viam: a summo cælo exitus eius, & occursus eius vsque ad summum cælum. & non est qui abscondetur a calore eius.* Hic Trypho dixit: Religione tot Scripturarũ territus atque persuasus, haud scio quid dicam de ea Scriptura, quam edidit Esaias, per eam se Deus nulli alteri de gloria sua cessurum affirmat, ita dicens: *Ego Dominus Deus; hoc nomen meum: & gloriam meam alteri nõ dabo, neque virtutes meas.* Et ego: Si quidem simpliciter, citra maliciã, his verbis prolatis conticuisses, neque quæ præcedunt præmittens, neque quæ sequũtur connectens, veniam mereceris: sin ea gratia id fecisti, quod existimaris in dubium orationem vocari posse, vt dicerem Aduersari inuicem sibi Scripturas, erras. neque enim vnquam hoc audebo vel in animum inducere, vel eloqui. verũ si quæ Scriptura, quæ eiusmodi esse videatur, in medium proponatur, & obtentum eum, quasi aduersaria alteri sit, habeat: omnib. modis persuasum habẽs, nullam Scripturam ab alia diuersam esse, ipse me potius, quæ dicta sint, non intelligere fatebor: atque vt illi qui Scripturis inter se non conuenire suspicãtur, idem mecum sentiant, persuadere contendam. Vt tu autem quæstionẽ proposueris, Deus nouit: ego certe quidem, quomodo hoc Verbum sit conceptum, vobis in memoriam redigam: vt inde quoque intelligatis, Deum CHRISTO suo soli gloriam dare. Sed altius quædam non ita multa, o viri, quæ dicto a Tryphone prolato cohærent, quæque item per consequẽtiam annexa sunt, repetã verba, non aliunde recisa producens, sed ita vt sunt vno contextu coniuncta: & vos ad ea mihi animum aduertite. Sunt autem ista: *Sic dicit Dominus Deus, qui fecit cælum, & pãxit illud; qui firmauit terram, & quæ in ea sunt; & dat auram populo qui in ea est, & Spiritum calcantibus eam. Ego DOMINVS DEVS vocaui te in iustitia: & prehendam manum tuã, & fortem faciam te. Et dedi te in testamentum generis, in lucẽ gentium: vt aperias oculos cæcorũ, educas e vinculis cõpeditos; & e domo custodiæ, sedẽtes in tenebris. Ego DOMINVS DEVS: hoc nomẽ meum. Gloriã meã alteri non dabo, neq; virtutes meas sculptilibus. Quæ ab initio fuere, ecce venerũt:*

noua ſunt quæ ego annuncio. Et priusquam annunciata, declarata ſunt vobis. Cantate Domino canticum nouum. Principatus eius a ſummo terræ. Deſcendentes in mare, & nauigantes ſemper: inſulæ, & inhabitantes eas. Lætare deſertum, & vici eorum, & villæ. Et habitantes Cedar lætabuntur, & habentes petram. A ſummis montibus clamabunt: dabunt Deo gloriam. Virtutes eius in inſulis annunciabunt. Dominus virtutum egredietur, conteret bellum, excitabit æmulationem, & vociferabitur aduerſus inimicos cũ fortitudine. Hæc cum recenſuiſſem, dixi ad eos: Intellexiſtiſne, o viri, Deum affirmare, *daturum ſe huic gloriam, quem in lucem gentium conſtituit,* & non alii cuiquam: non ita certe quidem, vt Trypho dixit, perinde atque ſibiipſi retineat gloriam Deus. Tum Trypho reſpondit: Intelleximus hoc quoque: tu vero cætera etiam huius loci abſolue. Et ego rurſum repetita, vnde primum dicere deſieram, oratione, oſtendens *e virgine genitum,* & e virgine genitum iri, per Eſaiam vaticinio eſſe prænunciatum, vaticinium ipſum denuo recitaui. eſt autem eiuſmodi: *Et adiecit Dominus loqui ad Achaz, dicens: Pete tibi ipſi ſignum a Domino Deo tuo, in profundum, vel in altum:- & dixit Achaz: Non petam, neque tentabo Dominum:- Et dixit Eſaias: Audite ergo domus Dauidis: Parumne vobis eſt, moleſtiam exhibere hominibus: & quomodo Domino moleſtiam exhibetis? Quapropter dabit Dominus ipſe vobis ſignum. Ecce virgo in vtero concipiet, & pariet filium, & vocabunt nomen eius* EMANVEL. *Butyrũ & mel comedet. Priusquã ipſe aut norit aut præferat praua, eliget bonum. [propterea quod priusquam norit malum aut bonum, repudiat mala, vt eligat bonum.] Priusquam puellus nouerit vocare patrem aut matrem, accipiet poteſtatem Damaſci, & ſpolia Samariæ in conſpectu regis Aſſyriorum. & capietur terra. Duriter feres, a facie duorum regum: ſed adducet Deus ſuper te & populum tuum, & ſuper domum patris tui dies, qui nondum venerunt ab eo die, cum abduxit Ephraim a Juda regem Aſſyriorum.* Atq; intuli quod in genere Abrahæ, ſecundum carnem, numquam quiſquam e virgine genitus ſit: neque genitum eſſe quemquã dictum fuerit, præter hunc noſtrum CHRISTVM, manifeſtum eſſe omnibus. Et Trypho reſpondit: Scriptura non habet, *Ecce virgo in vtero concipiet, & pariet filium;* ſed, *Ecce iuuencula in vtero concipiet, & pariet filium:* & quæ ſequuntur reliqua, ſicut dixiſti. Prophetia autem tota in Ezechiam eſt dicta: id quod euenta etiam eius, iuxta vaticinium iſtud, indicant. Et in Græcorum qui dicuntur, fabulis dictum eſt, Perſeum e Danae virgine, in auri forma in illam, eo qui apud ipſos Iupiter vocatur, fluente, prognatum eſſe. ac vos eadem cum illis dicentes erubeſcere, & potius hominem

καινὰ ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. ὑμνήσατε τῷ Θεῷ ὕμνον καινόν· ἀρχὴ αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς· οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες ἀεὶ, νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς. εὐφράνθητι ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, καὶ αἱ ἐπαύλεις, καὶ οἱ κατοικοῦντες Κηδὰρ εὐφρανθήσονται, καὶ οἱ κατοικοῦντες πέτραν. ἀπ' ἄκρου τῶν ὀρέων βοήσονται, δώσουσι τῷ Θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσι. Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται, συντρίψει πόλεμον, ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς μετ' ἰσχύος: Καὶ ταῦτα εἰπὼν, ἔφην πρὸς αὐτούς, Νενοήκατε, ὦ φίλοι, ὅτι ὁ Θεὸς λέγει δώσειν τούτῳ ὃν εἰς φῶς ἐθνῶν κατέστησε, δόξαν, καὶ οὐκ ἄλλῳ τινί, ἀλλ' οὐχ ὡς ἔφη Τρύφων, ὡς ἑαυτῷ κατέχοντος τοῦ Θεοῦ τὴν δόξαν; Καὶ ὁ Τρύφων ἀπεκρίνατο, Νενοήκαμεν καὶ τοῦτο· πέραινε τοιγαροῦν καὶ τὰ ἐπίλοιπα τοῦ λόγου. Κἀγὼ πάλιν ἀναλαβὼν τὸν λόγον, ὁπόθεν τὴν ἀρχὴν ἐπεπαύμην ἀποδεικνύων ὅτι ἐκ παρθένου γεννητὸς, καὶ διὰ παρθένου γεννηθῆναι αὐτὸν διὰ Ησαΐου ἐπροφητεύετο, καὶ αὐτὴν τὴν προφητείαν πάλιν ἔλεγον. ἔστι δὲ αὕτη· Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Αχὰζ λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. καὶ εἶπεν Αχὰζ, Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον· καὶ εἶπεν Ησαΐας, Ακούσατε δὴ οἶκος Δαβίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Εμμανουήλ· βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον κακὸν ἢ ἀγαθὸν, ἀπειθεῖ πονηρᾷ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ασσυρίων, καὶ καταληφθήσεται ἡ γῆ, σκληρῶς οἴσεις ἀπὸ προσώπου τῶν δύο βασιλέων. ἀλλ' ἐπάξει ὁ Θεὸς ἐπὶ σε, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας αἳ οὐδέπω ἥκασιν ἀπὸ τῆς ἡμέρας ἧς ἀφεῖλεν Εφραὶμ ἀπὸ Ἰούδα, τὸν βασιλέα Ασσυρίων:- καὶ ἐπέφερον, Ὅτι μὲν οὖν ἐν τῷ γένει τοῦ κατὰ σάρκα Ἀβραὰμ οὐδεὶς οὐδέποτε ἀπὸ παρθένου γεγέννηται, οὐδὲ λέλεκται γεγεννημένος, ἀλλ' ἢ οὗτος ὁ ἡμέτερος Χριστὸς, πᾶσι φανερόν ἐστι. Καὶ ὁ Τρύφων ἀπεκρίνατο, Ἡ γραφὴ οὐκ 79
ἔχει, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν· ἀλλ', Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ τὰ ἑξῆς λοιπὰ ὡς ἔφης. ἔστι δὲ ἡ πᾶσα προφητεία λελεγμένη εἰς Εζεκίαν, εἰς ὃν καὶ ἀποδείκνυται ἀποβάντα κατὰ τὴν προφητείαν ταύτην. ἐν δὲ τοῖς τῶν λεγομένων Ἑλλήνων μύθοις, λέλεκται, ὅτι Περσεὺς ἐκ Δανάης παρθένου οὔσης, ἐν χρυσοῦ μορφῇ ῥεύσαντος ἐπ' αὐτὴν τοῦ παρ' αὐτοῖς Διὸς καλουμένου, γεγέννηται. καὶ ὑμεῖς τὰ αὐτὰ ἐκείνοις λέγοντες, αἰδεῖσθαι ὀφείλετε, καὶ μᾶλλον ἄνθρωπον ἐξ ἀνθρώ-

ἐξ ἀνθρώπων λεγόμενον λέγειν τὸν Ἰησοῦν τοῦτον· καὶ ἐὰν ἀποδεικνύητε ἀπὸ τῶν γραφῶν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, διὰ τὸ ἐννόμως καὶ τελέως πολιτεύσασθαι αὐτὸν, κατηξιῶσθαι τοῦ ἐκλεγῆναι εἰς Χριστόν· ἀλλὰ μὴ τερατολογεῖν τολμᾶτε, ὅπως μήτε ὁμοίως τοῖς Ἕλλησι μωραίνειν ἐλέγχησθε. Καὶ ἐγὼ πρὸς ταῦτα ἔφην, Ὦ Τρύφων, ἐκεῖνό σε πεπεῖσθαι βούλομαι, καὶ πάντας ἁπλῶς ἀνθρώπους, ὅτι κἂν γελοιάζοντες ἢ ἐπιτωθάζοντες χείρονα λέγητε, οὐκ ἐκστήσετέ με τῶν προκειμένων, ἀλλ' ἐξ αὐτῶν ὧν εἰς ἔλεγχον νομίζετε προβάλλειν λόγων τε ἢ πραγμάτων, ἐξ αὐτῶν τὰς ἀποδείξεις τῶν ὑπ' ἐμοῦ λεγομένων μετὰ μαρτυρίας τῶν γραφῶν ἀεὶ ποιήσομαι. Οὐκ ὀρθῶς μέντοι οὐδὲ φιλαλήθως ποιεῖς, κἀκεῖνα περὶ ὧν ἀεὶ συγκαταθέσεις ἡμῖν γεγένηνται, ὅτι διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν διὰ Μωσέως τινὲς τῶν ἐντολῶν τεθειμέναι εἰσὶν, ἀναλύειν πειρώμενος. ἔφης γὰρ διὰ τὸ ἐννόμως πολιτεύσασθαι, ἐκλελέχθαι αὐτὸν, καὶ Χριστὸν γεγενῆσθαι, εἰ ἄρα οὗτος ἀποδειχθείη ὤν. Καὶ ὁ Τρύφων, Σὺ γὰρ ὡμολόγησας ἡμῖν, ἔφη, ὅτι καὶ περιετμήθη, καὶ τὰ ἄλλα τὰ νόμιμα τὰ διὰ Μωσέως διαταχθέντα ἐφύλαξε. Κἀγὼ ἀπεκρινάμην, ὡμολόγησά τε καὶ ὁμολογῶ· ἀλλ' οὐχ ὡς δικαιούμενον αὐτὸν διὰ τούτων ὡμολόγησα ὑπομεμενηκέναι πάντα, ἀλλὰ τὴν οἰκονομίαν ἀπαρτίζοντα, ἣν ἤθελεν ὁ πατὴρ αὐτοῦ καὶ τῶν ὅλων ποιητὴς, καὶ Κύριος, καὶ Θεός. καὶ γὰρ τὸ ἀποθανεῖν σταυρωθέντα ὁμολογῶ ὑπομεῖναι αὐτὸν καὶ τὸ ἄνθρωπον γενέσθαι, καὶ τοσαῦτα παθεῖν ὅσα διέθεσαν αὐτὸν οἱ ἀπὸ τοῦ γένους ὑμῶν. ἐπεὶ πάλιν, ὦ Τρύφων, μὴ συντίθεσθε οἷς φθάνετε συντεθειμένος, ἀπόκριναί μοι, Οἱ πρὸ Μωσέως γενόμενοι δίκαιοι, καὶ πατριάρχαι, μηδὲν φυλάξαντες τῶν ὅσα ἀποδείκνυσιν ὁ λόγος ἀρχὴν διαταγῆς εἰληφέναι διὰ Μωσέως, σώζονται ἐν τῇ τῶν μακαρίων κληρονομίᾳ, ἢ οὔ; Καὶ ὁ Τρύφων ἔφη, Αἱ γραφαί ἀναγκάζουσί με ὁμολογεῖν. Ὁμοίως δὲ ἀνερωτῶ σε πάλιν, ἔφην· Τὰς προσφορὰς καὶ τὰς θυσίας δι' ἔνδειαν ὁ Θεὸς ἐνετείλατο ποιεῖν τοὺς πατέρας ὑμῶν, ἢ διὰ τὸ σκληροκάρδιον αὐτῶν καὶ εὐχερὲς πρὸς εἰδωλολατρείαν; Καὶ τοῦτο, ἔφη, αἱ γραφαὶ ὁμοίως ἀναγκάζουσιν ὁμολογεῖν ἡμᾶς. Καὶ ὅτι, φημὶ, καινὴν διαθήκην διαθήσεσθαι ὁ Θεὸς ἐπηγγέλλετο παρὰ τὴν ἐν ὄρει Χωρὴβ, ὁμοίως αἱ γραφαὶ προεῖπον; Καὶ τοῦτο ἀπεκρίνατο προειρῆσθαι. Κἀγὼ πάλιν, Ἡ δὲ παλαιὰ διαθήκη, ἔφην, μετὰ φόβου καὶ τρόμου διετάγη τοῖς πατράσιν ὑμῶν, ὡς μηδὲ δύνασθαι αὐτοὺς ἐπαΐειν τοῦ Θεοῦ; Κἀκεῖνος ὡμολόγησε. Τί οὖν, ἔφην, ἑτέραν διαθήκην ἔσεσθαι ὁ Θεὸς ὑπέσχετο, οὐχ ὡς ἐκείνη διετάγη, καὶ ἄνευ φόβου καὶ τρόμου καὶ ἀστραπῶν διαταγήσεσθαι αὐτοῖς ἔφη, καὶ δεικνύουσαν, ἣν μὲν ὡς αἰώνιον καὶ παντὶ γένει ἁρμόζον, καὶ ἔνταλμα καὶ ἔργον ὁ Θεὸς

ex hominibus editum esse IESVM: & cum ex Scripturis ostenditis ipsum esse CHRISTVM, propterea quod legitime & perfecte vixerit, dignũ esse habitum qui CHRISTVS eligeretur, dicere, & non ita prodigiosa loqui audere debetis, vt ne pariter cum Græcis desipere coarguamini.

Atque ego ad ista respondi: O Trypho, illud tibi persuasum esse volo, & omnibus omnino hominibus, etiamsi ridentes & sannis ludentes deteriora dicatis, non me tamẽ a proposito dimotum iri. Quin potius ego, ex quibus vos refutationem proferre putatis dictis & rebus, ex eisdẽ verborum meorũ, cum sacrarum litterarum attestationibus, perficiam demonstrationes. Non recte profecto, neque vt veri amãtem decet, facis: qui illa etiam, de quibus nobis semper per assensionem tuam conuenit, (quod propter corda populi vestri indurata, per Mosen mandata quædam proposita sint) soluere & euertere moliris. Dixisti namque, eo CHRISTVM lectum esse, (siquidem eum esse demonstratum fuerit) quod legitime vitã egit.

Et Trypho: Tu quippe, inquit, nobis cõfessus es, cum circumcisum eum esse, tum legitima alia per Mosen sancita seruasse.

Cui respondi: Confessus sum, & fateor: verum non quod his iustificatus sit, propterea sustinuisse omnia sum confessus: sed vt œconomiam & prouinciam sibi a Patre suo, & rerum omnium conditore, & Domino & Deo mandatam, iuxta illius voluntatem obiret & absolueret: Siquidẽ & ea causa in cruce suspensum, & mortuũ, & hominem factum esse; & ea patiendo quibuscumque eum qui gẽtis vestræ sunt, affecerunt, sustinuisse fateor. Ceterum, o Trypho, quando rursus ab eis dissentis quibus antea es assensus, responde mihi: Qui ante Mosen fuere iusti & patriarchæ, cum nihil eorum seruarint quæ Verbum ostendit initium constitutionis [seu mandati] per Mosen accepisse: seruanturne in beatorum hæreditate, an minus? Et Trypho: Scripturæ mihi, inquit, confitẽdi imponunt necessitatem. Denuo te interrogo, inquam: Oblationes & victimas ob penuriamne suam Deus offerre patres vestros iussit, an propter duriciam cordis eorum, procliuesque ad simulacrorum cultũ animos? Hoc ipsum, inquit ille, nos similiter confiteri cogunt Sacræ litteræ. Et quod Deus, inquã, receperit nouum Testamentum se daturum esse, præter id quod in monte Oreb factum est, an itidem Scripturæ prædixere? Atque ille confessus est. Cur ergo, dixi ego, aliud testamentum fore Deus pollicitus est, [non sicut illud est dispositum:] atque id eis sine timore & tremore & fulgetris ordinatum iri dixit? An hoc indicat, aliquod quidem Deum tamquam perpetuum, & omni generi congruens, & mandatum & opus

ordinasset aliquod autem, ad duriciã cordis populi vestri id accommodantem pro eo atque per prophetas etiam vociferatur, sanxisse? Huic quoq; sententiæ assentiri, inquit, eos omnino, veritatis amatores qui sunt, & non contẽtionis studiosi, oportet. Ego autẽ: Nescio quomodo, inquam, tu contentionis studiosos quosdam nominans, ipse persæpe in eo opere esse appares, contra ea plerumque veniẽs, quæ antea comprobasti. Et Trypho: Rem enim incredibilem, & prope impossibilem, demonstrare moliris, *Deum nasci, & hominem fieri sustinuisse*. Si quidẽ hoc, inquam, humanis doctrinis & argumentis aggressionibusque probare auspicatus essem, minime me vos ferre oportuit. Sin tot scripturas in hoc promulgatas iterum iterumque repetens, vos vt eas cognoscatis, rogo, duricordes ad mentem voluntatemque Dei intelligendam estis. Quod si ita semper manere vultis, ego quidem nihil capiam detrimenti, & eandem quam prius obtinui quam vobiscum verba cõferrem, sententiam retinens, a vobis discedam. Et Trypho: Vides, o amice, inquit, multo te cum labore & fatigatione ea quę sentis assequutum esse: quapropter & nos probe omnia examine diligẽti explorãtes, quæ incurrũt cõprobare necesse habemus, a Scripturis approbata. Et ego ad hæc: Non vos, dixi, oro, vt nõ quouis modo ea quæ in quæstionem veniunt, examinare & perpendere contendatis: sed vt denuo contra ea non veniatis, quibus vos assensisse dixistis, nihil quod cõtra dicatis habentes. Et Trypho: Facere hoc, inquit, conabimur. Ad percontationes priores, dixi ego, denuo nunc quoque vos percontari constitui. nam per interrogationes eiuscemodi, disputationem vt quã primum perficiam, dabo operam. Et Trypho; Interroga, inquit. Atque ego dixi: Num alium quempiam in Sacris litteris intelligitis esse qui dicatur *adorandus & Dominus & Deus, extra hunc qui Vniuersitatem hãc condidit, & CHRISTVM*, quẽ per tot Scripturas demonstratum est vobis, hominem esse genitum? Et Trypho: Quomodo hoc esse, fateri possumus; quãdo tantam quæstionem, an alius etiam quisquam sit, præter solum Patrẽ [Deus,] mouerimus? Et ego rursum dixi: Pernecesse est vt & hoc vos interrogem; vt sciam, numquid aliud apud Deum sentiatis & confiteamini esse. Atque ille: Minime, inquit, o homo. Tũ ego rursum: Hoc igitur vere cum assensũ vestro comprobaueritis, & cum Verbum dicat; *Generationem eius quis enarrabit?* an nõ iã intelligere debetis, non eũ esse generis hominis semẽ? Et Trypho: Quomodo igitur Verbũ ad Dauidẽ dicit, qd' de lũbis eius accepturus sit sibiipsi filiũ Deus, & ordinaturus ei regnũ, & repositurus ipsũ super thronũ glorię suę? Et ego; O Trypho, inquã, si quidẽ prophetiã quã dicit Esaias,

ἐπιστεῖλαι, τὰ δὲ πρὸς τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν ἁρμοσάμενος, ὡς καὶ διὰ τῶν προφητῶν βοᾷ, ἐντέταλται; Καὶ τούτῳ συνθέσθαι, ἔφη, ἐκ παντὸς τοὺς φιλαλήθεις, ἀλλὰ μὴ φιλέριδας ἀναγκαῖον. Κἀγώ, Οὐκ οἶδα ὅπως, ἔφην, φιλερίστους τινὰς ἀποκαλῶν, αὐτὸς πολλάκις ἐν τούτῳ ἐ- 80 φάνης τῷ ἔργῳ ὤν, ἀντειπὼν πολλάκις οἷς συνετίθης. Καὶ ὁ Τρύφων, Ἄπιστον γὰρ καὶ ἀδύνατον σχεδὸν πρᾶγμα ἐπιχειρεῖς ἀποδεικνύναι, ὅτι Θεὸς ὑπέμεινε γεννηθῆναι, καὶ ἄνθρωπος γενέσθαι. Εἰ τοῦτο, ἔφην, ἐπ' ἀνθρωπείοις διδάγμασιν ἢ ἐπιχειρήμασιν ἐπιβαλόμην ἀποδεικνύναι, ἀνασχέσθαι μου οὐκ ἔδει ὑμᾶς· εἰ δὲ γραφὰς καὶ εἰς τοῦτο εἰρημένας τοσαύτας, πλειστάκις αὐτὰς λέγων, ἀξιῶ ὑμᾶς ἐπιγνῶναι αὐτάς, σκληροκάρδιοι πρὸς τὸ γνῶναι νοῦν καὶ θέλημα τοῦ Θεοῦ γίνεσθε. εἰ δὲ βούλεσθε τοιοῦτοι ἀεὶ μένειν, ἐγὼ μὲν οὐδὲν ἂν βλαβείην· τὰ δὲ αὐτὰ ἀεὶ ἔχων ἃ καὶ πρὸ τοῦ συμβαλεῖν ὑμῖν εἶχον, ἀπαλλάξομαι ὑμῶν. Καὶ ὁ Τρύφων, Ὅρα ὦ φίλε, ἔφη, ὅτι μετὰ πολλοῦ κόπου καὶ καμάτου γέγονέ σοι τὸ κτήσασθαι αὐτά. καὶ ἡμᾶς οὖν βασανίσαντας πάντα τὰ ἐπιτρέχοντα, συνθέσθαι δεῖ οἷς ἀναγκάζουσιν ἡμᾶς αἱ γραφαί. Κἀγὼ πρὸς ταῦτα, Οὐκ ἀξιῶ, εἶπον, ὑμᾶς μὴ παντὶ τρόπῳ ἀγωνιζομένους τὴν ἐξέτασιν τῶν ζητουμένων ποιεῖσθαι, ἀλλ' ἐκείνοις μὴ πάλιν ἀντιλέγειν μηδὲν ἔχοντας λέγειν οἷς ἔφητε συνθέσθαι. Καὶ ὁ Τρύφων ἔφη, Τοῦτο πειρασόμεθα πράξειν. Πάλιν, ἐγὼ ἔφην, πρὸς τοῖς ἀνηρωτημένοις καὶ νῦν ὑπ' ἐμοῦ, πάλιν ἀνερωτήσασθαι ὑμᾶς βούλομαι· διὰ γὰρ τῶν ἀνερωτήσεων τούτων καὶ περανθῆναι συντόμως τὸν λόγον ἀγωνίσομαι. Καὶ ὁ Τρύφων ἔφη, Ἀνερώτα. Κἀγὼ εἶπον, Μή τι ἄλλον τινὰ προσκυνητὸν, καὶ Κύριον, καὶ Θεὸν λεγόμενον ἐν ταῖς γραφαῖς νοεῖτε εἶναι, πλὴν τοῦ τοῦτο ποιήσαντος τὸ πᾶν, καὶ τὸν Χριστὸν, ὃς διὰ τῶν τοσούτων γραφῶν ἀπεδείχθη ὑμῖν ἄνθρωπος γενόμενος; Καὶ ὁ Τρύφων, Πῶς τοῦτο δυνάμεθα εἶναι ὁμολογῆσαι· ὁπότε εἰ καὶ ἄλλος τις ἐστὶ πλὴν τοῦ πατρὸς μόνου, τὴν τοσαύτην ζήτησιν ἐποιησάμεθα; Κἀγὼ πάλιν, Ἀναγκαῖόν ἐστι καὶ ταῦτα ὑμᾶς ἐρωτῆσαι, ὅπως γνῶ, μή τι ἄλλο φρονεῖτε παρὰ Θεῷ ὁμολογήσατε. Κἀκεῖνος, Οὔ, ἄνθρωπε, ἔφη. Κἀγὼ πάλιν, Ὑμῶν οὖν ταῦτα ἀληθῶς συντεθειμένων, καὶ τοῦ λόγου λέγοντος, "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; "οὐκ ἤδη καὶ νοεῖν ὀφείλετε ὅτι οὐκ ἔστι γένους ἀνθρώπου σπέρμα; Καὶ ὁ Τρύφων, Πῶς οὖν ὁ λόγος λέγει τῷ Δαβίδ, ὅτι ἀπὸ τῆς ὀσφύος αὐτοῦ λήψεται ἑαυτῷ υἱὸν ὁ Θεὸς, καὶ κατορθώσει αὐτῷ τὴν βασιλείαν, καὶ καθίσει αὐτὸν ἐπὶ θρόνου τῆς δόξης αὐτοῦ; Κἀγὼ ἔφην, ὦ Τρύφων, Εἰ μὲν καὶ τὴν προφητείαν ἣν ἔφη Ἡσαΐας,

non

εὐ φησὶ πρὸς τὸν οἶκον τοῦ Δαβίδ, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, ἀλλὰ πρὸς ἕτερον οἶκον τῶν δώδεκα φυλῶν, ἴσως ἂν ἀπορίαν εἶχε τὸ πρᾶγμα· ἐπειδὴ δὲ καὶ αὐτὴ ἡ προφητεία πρὸς τὸν οἶκον Δαβὶδ εἴρηται, τὸ εἰρημένον πρὸς Δαβὶδ ὑπὸ Θεοῦ ἐν μυστηρίῳ, διὰ Ἠσαίου ὡς ἔμελλε γίνεσθαι ἐξηγήθη. εἰ μή τι τοῦτο οὐκ ἐπίστασθε, ὦ φίλοι, ἔφην, ὅτι πολλοὺς λόγους τοὺς ἀποκεκαλυμμένως καὶ ἐν παραβολαῖς ἢ μυστηρίοις, ἢ ἐν συμβόλοις ἔργων λελεγμένους, οἱ μετ᾽ ἐκείνους τοὺς εἰπόντας ἢ πράξαντας γενόμενοι προφῆται ἐξηγήσαντο. Καὶ μάλα, ἔφη ὁ Τρύφων. Ἐὰν οὖν ἀποδείξω τὴν προφητείαν ταύτην τοῦ Ἠσαίου εἰς τοῦτον τὸν ἡμέτερον Χριστὸν εἰρημένην, ἀλλ᾽ οὐκ εἰς τὸν Ἐζεκίαν, ὡς φατὲ ὑμεῖς, οὐχὶ καὶ ἐν τούτῳ δυσωπήσω ὑμᾶς μὴ πείθεσθαι τοῖς διδασκάλοις ὑμῶν, οἵτινες τολμῶσι λέγειν, τὴν ἐξήγησιν ἣν ἐξηγήσαντο οἱ ἑβδομήκοντα ὑμῶν πρεσβύτεροι παρὰ Πτολεμαίῳ τῷ τῶν Αἰγυπτίων βασιλεῖ γενόμενοι, μὴ εἶναι ἔν τισιν ἀληθῆ. ἃ γὰρ ἂν διαῤῥήδην ἐν ταῖς γραφαῖς φαίνονται ἐλέγχοντα αὐτῶν τὴν ἀνόητον καὶ φίλαυτον γνώμην, ταῦτα τολμῶσι λέγειν μὴ οὕτω γεγράφθαι· ἃ δὲ ἂν καὶ ἕλκειν πρὸς ἃ νομίζουσι δύνασθαι

81 ἁρμόζειν πράξεις ἀνθρωπίους, ταῦτα οὐκ εἰς τοῦτον τὸν ἡμέτερον Ἰησοῦν Χριστὸν εἰρῆσθαι λέγουσιν, ἀλλ᾽ εἰς ὃν αὐτοὶ ἐξηγεῖσθαι ἐπιχειροῦσιν. ὁποῖον καὶ τὴν γραφὴν ταύτην περὶ ἧς ἡ νῦν ὁμιλία ἐστὶν, ἐδίδαξαν ὑμᾶς, λέγοντες εἰς Ἐζεκίαν αὐτὴν εἰρῆσθαι· ὅπερ, ὡς ὑπεσχόμην, ἀποδείξω ψεύδεσθαι αὐτούς. ἃς δ᾽ ἂν λέγωμεν αὐτοῖς γραφὰς, αἳ διαῤῥήδην τὸν Χριστὸν καὶ παθητὸν καὶ προσκυνητὸν καὶ Θεὸν ἀποδεικνύουσιν, ἃς καὶ προανιστόρησα ὑμῖν, ταύτας εἰς Χριστὸν μὲν εἰρῆσθαι ἀναγκαζόμενοι συντίθενται, τοῦτον δὲ μὴ εἶναι τὸν Χριστὸν τολμῶσι λέγειν· ἐλεύσεσθαι δὲ καὶ παθεῖν, καὶ βασιλεῦσαι, καὶ προσκυνητὸν γενέσθαι Θεὸν ὁμολογοῦσιν· ὅπερ γελοῖον καὶ ἀνόητον· ὃ ὁμοίως ἀποδείξω. ἀλλ᾽ ἐπεὶ κατεπείγει με πρότερον πρὸς τὰ ὑπὸ σοῦ ἐν γελοίῳ τρόπῳ εἰρημένα ἀποκρίνασθαι, πρὸς ταῦτα τὰς ἀποκρίσεις ποιήσομαι, καὶ πρὸς τὰ ἐπίλοιπα εἰς ὕστερον τὰς ἀποδείξεις δώσω. Καὶ ἴσθι οὖν, ὦ Τρύφων, λέγων ἐπέφερον, ὅτι ἃ παραποιήσας ὁ λεγόμενος διάβολος ἐν τοῖς Ἕλλησι λεχθῆναι ἐποίησεν, ὡς καὶ διὰ τῶν ἐν Αἰγύπτῳ μάγων ἐνήργησε, καὶ διὰ τῶν ἐπὶ Ἠλία ψευδοπροφητῶν, καὶ ταῦτα βεβαίαν μοι τὴν ἐν ταῖς γραφαῖς γνῶσιν καὶ πίστιν κατέστησεν. ὅταν γὰρ Διόνυσον μὲν υἱὸν τοῦ Διὸς ἐκ μίξεως ἣν μεμίχθαι αὐτὸν τῇ Σεμέλῃ, γεγενῆσθαι λέγωσι, καὶ τοῦτον εὑρετὴν ἀμπέλου γενόμενον, καὶ διασπαραχθέντα καὶ ἀποθανόντα ἀναστῆναι, εἰς οὐρανόν τε ἀνεληλυθέναι ἱστορῶσι, καὶ οἶνον ἐν τοῖς μυστηρίοις αὐτοῦ παραφέρουσιν,

non ad domum Dauidis diceret: *Ecce virgo in utero concipiet*; sed ad domum aliam duodecim tribuum: in dubium fortasse res vocari posset. Sin & ista prophetia ad domum Dauidis est dicta: scilicet id quod ad Dauidem a Deo in mysterio arcane est dictum, per Esaiam, quemadmodum euenturum esset, explicatū est. nisi hoc, inquā, o amici, ignoratis, permulta verba recte, per similitudines, aut sacramēta, aut symbola notasque operum prolata, eos qui post illos, qui talia dixerunt vel fecerunt extitere, prophetas expoluisse. Maxime, Trypho inquit. Itaque si demonstrauero, prophetiā hāc Esaiæ in nostrum illū CHRISTVM conceptā, & non in Ezechiam, sicut vos perhibetis: an & hac in re, vobis persuadebo, quo minus magistris vestris credatis, qui asseuerare audent, *Interpretationem quam interpretati sunt Septuaginta duo vestri seniores, cum apud Ptolemæum Ægypti regem essent, in quibusdam locis minus esse veram?* Quæ namque aperte in sacris litteris videntur insipientem suique amantem sententiam eorum carpere, ea non ita scripta esse, dicere audent: quæ vero se congruenter ad res humanas trahere posse existimant, ea non in hunc nostrum IESVM CHRISTVM dicta esse affirmant; sed in quem ipsi expositione sua detorquere aggrediuntur: qualiter & Scripturam istam, qua de nobis præsens est disputatio, torquere vos docuerunt, *in Ezechiam* illam relatam esse, asserentes. quod quidem, prout pollicitus sum, falso eos dicere probabo. Quas autem eis proferimus Scripturas, disertis verbis CHRISTVM *& perpessionibus obnoxium & adorandum & Deum esse* ostendentes, & supra vobis recitatas: eas in CHRISTVM quidem conceptas esse, necessitate adducti consentiunt; hunc ipsum vero CHRISTVM non esse dicere audent: venturum autem, & passurum, & regnaturum, & adorabilem Deum futurum confitentur. quod sane ridiculum iuxta & stultum est, vt itidem demonstrabo. Verum cum me res vrgeat, prius ad ea quæ a te per deridiculum sunt prolata, respondere: responsum ad illa dabo, ac deinceps ad reliqua demonstranda progrediar. Scito igitur, o Trypho, dicere pergens intuli, eum qui *Diabolus* dicitur, *quæ ad imitationem veritatis falso apud Græcos assimulauit, in scripta referri, & sermonibus vulgaris curasse*: quemadmodum & per Magos in Ægypto opera sua, & per eos qui sub Elia fuere pseudoprophetas, effecit. Atqui ea stabilem meam in sacris litteris cognitionem & fidem reddidere. Quando enim *Bacchum* Iouis filium ex concubitu quo cum Semele is mixtus est, natum esse dicunt; & hunc vitis repertorem fuisse, atque dilaniatum mortuumque resurrexisse, & in cælum ascendisse scribunt, ac vinum in mysteriis initiisque eius subinferunt: annon,

quam supra recitauimus a Mose descriptã patriarchæ Iacobi prædictionem, imitatum eum esse cogitem? Cum autem *Herculem* fortem, qui omnem peragrarit terram, & ipsum Ioui ex Alcmena genitum, ac mortuum, in cælum peruenisse ferunt: non ego Scripturam, *fortem tamquam gigãtem viam suam decurrere*, de CHRISTO promulgatam, similiter æmulatos esse putem? Porro cum vera adulterando quis falso renunciet, *Æsculapium* mortuos excitantem, & ægritudines alias curantem: non & hunc in rebus hisce de Christo edita vaticinia itidem imitatum dixerim? Quandoquidem vero non retuli apud vos oraculũ Scripturæ huiusmodi, quod designet CHRISTVM hæc facturum esse: vnius saltem necessario mentionem faciam: vnde cognoscere quoque poteritis, quomodo a cognitione Dei vacuis (dico autem gentibus, quæ & oculos habentes non viderunt, & cor obtinentes non sapuerunt, ex materia fabrefacta simulacra adorantes) Verbum prænunciauerit, ea illas abnegaturas esse, atque in hunc CHRISTVM spes suas collocaturas. Sic autem hoc est dictum: *Lætare deserta, siticulosa. Exsultet solitaria, & floreat sicut liliũ: & efflorescent & exsultabunt loca sola Iordanis. Et gloria Libani data est ei, & dignitas Carmeli. Et populus meus videbit altitudinem Domini, & gloriam Dei. Fortes estote manus remissæ, & genua soluta. Consolationem accipite pusillanimes corde: fortes estote, nolite timere. Ecce Deus vester iudicium retribuit, & retribuet. Ipse veniet & saluabit vos. Tunc aperientur oculi cæcorum, & aures surdorum audient: tunc saltabit vt ceruus claudus, & diserta erit lingua difficulter loquentium. Quoniam erupit in solitudine aqua, & vallis in siticulosa: & arida euadet in stagna, & in siticulosa terra fons aquæ erit.* Fontem aquæ viuæ a Deo, in solitudine cognitionis Dei experte, in terra videlicet gentium, scaturire fecit hic Christus: qui etiam in genere vestro apparuit, atque eos qui a natiuitate sua, & iuxta carnem morbosi, & surdi, & claudi fuere, sanauit: hunc quidem, vt exiliret, hunc autem vt audiret; hũc porro vt cerneret, verbo suo efficiẽs, ac mortuos quoq; resuscitãs, & vitã eis restituens, operũ suorum persuasione ætatis eius homines ad cognitionẽ sui excitauit. Illi vero, ea etiam fieri videntes, spectrum magicũ exhiberi, atq; præstigias fieri dicebant, & magum eũ atq; plebis seductorẽ nominare audebant. At ipse hæc eo quoq; faciebat, vt in se credituris persuaderet, quãuis in detrimento & vitio quopiã corporis quis cõstitutus esset, disciplinã autẽ a se traditã seruaret, quod incolumem eum, integrũq; ex parte omni, in secũdo aduẽtu suo, præterea vero & immortalẽ, & incorruptibilẽ, & indolẽtẽ sit restiturus. Porro quãdo illi q; *Mithræ initia* tradunt, e petra eũ natũ esse memorãt & spelæũ siue specũ nominant eum locum,

οὐχὶ τὴν προλελεγμένην ὑπὸ Μωσέως ἀναγραφεῖσαν Ἰακὼβ τοῦ πατριάρχου προφητείαν μεμιμῆσθαι αὐτὸν νοῶ; ἐπὰν δὲ τὸν Ἡρακλέα ἰσχυρὸν καὶ περινοστήσαντα πᾶσαν τὴν γῆν, καὶ αὐτὸν τῷ Διὶ ἐξ Ἀλκμήνης γενόμενον, καὶ ἀποθανόντα εἰς οὐρανὸν ἀνεληλυθέναι λέγωσιν, οὐχὶ τὴν ἰσχυρὸν ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ περὶ Χριστοῦ λελεγμένην γραφὴν ὁμοίως μεμιμῆσθαι νοῶ; ὅταν δὲ τὸν Ἀσκληπιὸν νεκροὺς ἀνεγείραντα, καὶ τὰ ἄλλα πάθη θεραπεύσαντα παραφέρῃ, οὐχὶ τὰς περὶ Χριστοῦ ὁμοίως προφητείας μεμιμῆσθαι τοῦτον καὶ ἐπὶ τούτῳ φημί; ἐπεὶ δὲ οὐκ ἀνιστόρησα πρὸς ὑμᾶς τοιαύτην γραφὴν ἣ σημαίνει τὸν Χριστὸν ταῦτα ποιήσειν, καὶ μιᾶς τινὸς ἀναγκαίως ἐπιμνησθήσομαι· ἐξ ἧς καὶ συνεῖναι ὑμῖν δυνατὸν, πῶς καὶ τοῖς ἐρήμοις γνώσεως Θεοῦ, λέγω δὲ τοῖς ἔθνεσιν, οἳ καὶ ὀφθαλμοὺς ἔχοντες οὐχ ἑώρων, οὐδὲ καρδίαν ἔχοντες συνίεσαν, τὰ ἐξ ὕλης κατασκευάσματα προσκυνοῦντες, ὁ λόγος προέλεγεν ἀρνηθῆναι αὐτὰ, καὶ ἐλπίζειν ἐπὶ τοῦτον τὸν Χριστόν. εἴρηται δὲ οὕτως· Εὐφράνθητι ἔρημος ἡ διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἐξανθείτω ὡς κρίνον καὶ ἐξανθήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὸ ὕψος Κυρίου καὶ τὴν δόξαν τοῦ Θεοῦ. ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα. παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ καρδίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει. αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· ὅτι ἐρράγη ἐν ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν τῇ διψώσῃ, καὶ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται:- Πηγὴ ὕδατος ζῶντος παρὰ Θεοῦ ἐν τῇ ἐρήμῳ, γνώσεως Θεοῦ, τῇ τῶν ἐθνῶν γῇ ἀνέβλυσεν οὗτος ὁ Χριστός· ὃς καὶ ἐν τῷ γένει ὑμῶν πέφανται, καὶ τοὺς ἐκ γενετῆς καὶ κατὰ τὴν σάρκα πηροὺς, καὶ κωφοὺς, καὶ χωλοὺς ἰάσατο, τὸν μὲν ἅλλεσθαι, τὸν δὲ καὶ ἀκούειν, τὸν δὲ καὶ ὁρᾶν τῷ λόγῳ αὐτοῦ ποιήσας· καὶ νεκροὺς δὲ ἀναστήσας, καὶ ζῆν ποιήσας, καὶ διὰ τῶν ἔργων ἐδυσώπει τοὺς τότε ὄντας ἀνθρώπους, ἐπιγνῶναι αὐτόν. 82 οἱ δὲ καὶ ταῦτα ὁρῶντες γινόμενα, φαντασίαν μαγικὴν γίνεσθαι ἔλεγον. καὶ γὰρ μάγον εἶναι αὐτὸν ἐτόλμων λέγειν, καὶ λαοπλάνον. αὐτὸς δὲ καὶ ταῦτα ἐποίει πείθων καὶ τοὺς ἐπ' αὐτὸν πιστεύειν μέλλοντας· ὅτι κἂν τις ἐν λώβῃ τινὶ σώματος ὑπάρχων, φύλαξ τῶν παραδεδομένων ὑπ' αὐτοῦ διδαγμάτων ὑπάρξῃ, ὁλόκληρον αὐτὸν ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, μετὰ τοῦ καὶ ἀθάνατον καὶ ἄφθαρτον καὶ ἀλύπητον ποιῆσαι, ἀναστήσει. ὅταν δὲ οἱ τὰ τοῦ Μίθρου μυστήρια παραδιδόντες, λέγωσιν ἐκ πέτρας γεγενῆσθαι αὐτὸν, καὶ σπήλαιον καλῶσι τὸν τόπον,

ἔνθα μυεῖν τοὺς πειθομένους αὐτῷ παραδιδοῦσιν, ἐντεῦθεν οὐχὶ τὸ εἰρημένον ὑπὸ Δανιὴλ, ὅτι λίθος ἄνευ χειρῶν ἐτμήθη ἐξ ὄρους μεγάλου, μεμιμῆσθαι αὐτοὺς ἐπίσταμαι, καὶ ταῦτα ποιῆσαι ὁμοίως. οὐ καὶ τοὺς λόγους πάντας μιμήσασθαι ἐπεχείρησαν; δικαιοπραξίας γὰρ λόγους καὶ παρ' ἐκείνοις λέγεσθαι ἐτεχνάσαντο. τοὺς δὲ εἰρημένους λόγους τοῦ Ἡσαΐου, ἀναγκαίως εἰσιστορήσω ὑμῖν, ὅπως ἐξ αὐτῶν γνῶτε ταῦθ' οὕτως ἔχειν. εἰσὶ δὲ οὗτοι· Ἀκούσατε οἱ πόρρωθεν ἃ ἐποίησα, καὶ γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, αὔομαι· λήψεται δὲ τρόμος τοὺς ἀσεβεῖς. τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον, πορευόμενον ἐν δικαιοσύνῃ, λαλοῦντα εὐθεῖαν ὁδὸν, μισοῦντα ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀφοσιωμένον ἀπὸ δώρων; βαρύνων ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν ἄδικον αἵματος· καμμύων τοὺς ὀφθαλμοὺς, ἵνα μὴ ἴδῃ ἀδικίαν· οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς. ἄρτος δοθήσεται αὐτῷ, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται πόρρωθεν. ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον Κυρίου. ποῦ ἐστιν ὁ γραμματικὸς, ποῦ εἰσιν οἱ βουλεύοντες; ποῦ ἐστιν ὁ ἀριθμῶν τοὺς τρεφομένους, μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνεβουλεύσαντο, οὐδὲ ᾔδεισαν βάθη φωνῶν, ὥστε μὴ ἀκοῦσαι· λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. Ὅτι μὲν οὖν καὶ ἐν ταύτῃ τῇ προφητείᾳ περὶ τοῦ ἄρτου ὃν παρέδωκεν ἡμῖν ὁ ἡμέτερος Χριστὸς ποιεῖν εἰς ἀνάμνησιν τοῦ τε σωματοποιήσασθαι αὐτὸν διὰ τοὺς πιστεύοντας εἰς αὐτὸν, δι' οὓς καὶ παθητὸς γέγονε· καὶ περὶ τοῦ ποτηρίου ὃ εἰς ἀνάμνησιν τοῦ αἵματος αὐτοῦ παρέδωκεν εὐχαριστοῦντας ποιεῖν, φαίνεται· καὶ ὅτι βασιλέα τοῦτον αὐτὸν μετὰ δόξης ὀψόμεθα, αὕτη ἡ προφητεία δηλοῖ· καὶ ὁ λαὸς ὁ εἰς αὐτὸν πιστεύειν προεγνωσμένος, μελετήσειν φόβον Κυρίου προέγνωσται, αὐταὶ αἱ λέξεις τῆς προφητείας βοῶσι· καὶ ὅτι οἱ τὰ γράμματα τῶν γραφῶν ἐπίστασθαι λογιζόμενοι, καὶ ἀκούοντες τῶν προφητειῶν οὐκ ἔχουσι σύνεσιν, ὁμοίως αὐταὶ αἱ γραφαὶ κεκράγασιν. ὅταν δὲ ὦ Τρύφων, ἔφην, ἐκ παρθένου γεγεννῆσθαι τὸν Περσέα ἀκούσω, καὶ τοῦτο μιμήσασθαι τὸν πλάνον ὄφιν συνίημι. ἀλλ' οὐχὶ τοῖς διδασκάλοις ὑμῶν πείθομαι, μὴ συντεθειμένοις καλῶς ἐξηγεῖσθαι τὰ ὑπὸ τῶν παρὰ Πτολεμαίῳ τῷ Αἰγυπτίων γενομένῳ βασιλεῖ ἑβδομήκοντα πρεσβυτέρων· ἀλλ' αὐτοὶ ἐξηγεῖσθαι πειρῶνται· καὶ ὅτι πολλὰς γραφὰς τέλεον περιεῖλον ἀπὸ τῶν ἐξηγήσεων τῶν γεγενημένων ὑπὸ τῶν παρὰ Πτολεμαίῳ γεγενημένων πρεσβυτέρων, ἐξ ὧν διαρρήδην οὗτος αὐτὸς ὁ σταυρωθεὶς, ὅτι Θεὸς, καὶ ἄνθρωπος, καὶ σταυρούμενος, καὶ ἀποθνήσκων κεκηρυγμένος ἀποδείκνυται, εἰδέναι ὑμᾶς βούλομαι. ἃς ἐπειδὴ ἀρνεῖσθαι πάντας τοὺς ἀπὸ τοῦ γένους ὑμῶν ἐπίσταμαι, ταῖς τοιαύταις ζητήσεσιν οὐ προσβάλλω·

vbi initiari ei credentes perhibent: non ego hic, quod a Daniele est dictum, lapidem absque manibus abscissum de mōte ingenti, [& quod ab Esaia est promulgatum] eos sequutos esse, atque hæc consimiliter instituisse sciam? cuius propheticæ promulgationis etiam verba omnia imitari sunt conati. Nam & iuste recteq; agendi præcepta vt apud illos dicantur, arte quadam effecerunt. Vt autem verba Esaiæ vobis, quorum mentio est illata, proferam, necesse est: vnde hæc ita se habere cognoscatis. Sunt vero talia: *Audite qui longe estis, quæ fecerim: & cognoscent propinquantes fortitudinem meam. Defecerunt in Sione iniqui. Corripiet tremor impios. Quis annunciabit vobis locum sempiternum? Ambulans in iustitia, loquens viam rectam, odio habens iniquitatem & iniustitiam, & manus obtinens puras a muneribus; obturans aures, vt ne audiat iudicium sanguinis iniustum; conniuens oculis, vt ne videat iniustitiam: hic habitabit in excelso specu petræ fortis. Panis dabitur ei, & aqua eius fidelis. Regem cum gloria videbitis, & oculi vestri longe prospicient. Anima vestra meditabitur timorem Domini. Vbi est litteratus? Vbi sunt consiliarij? vbi est eos dinumerans qui aluntur? paruum & magnum populum? Quo cum consilia non agitarunt, neq; profunditatē vocū sciuerunt, ita vt non audirēt. Populus vitiosus, & non est audienti scientia.* Quod quidem in hoc quoque vaticinio de *pane* agatur, quem CHRISTVS nobis noster tradidit, in commemorationem corporationis suæ propter credentes in eum, quorum causa patibilis est factus, facere; & de *poculo*, quod in recordationem sanguinis sui tradidit gratias agentibus facere, satis apparet. Et quod regem hunc ipsum cum gloria conspecturi simus, prædictio ipsa declarat. Quod item populus qui in illum crediturus esse præcognitus est, meditaturus sit timorem Domini, prænunciatum id esse, verba prophetiæ clamitant. Præterea quod, qui existimati sunt litteras Scripturarum sacras scire, & qui prophetias audiunt, intelligentiam non habeant, Scripturæ itidem ipsæ præsentes vociferantur. Cum vero, o Trypho, inquam, *Perseū* e virgine prognatum audio: & id ipsum æmulatum esse seductorem Serpentem intelligo. Verumenimuero Magistris vestris fidem non habeo, qui non assentiuntur, bene interpretationem a Septuaginta, qui apud Ægyptiorum regem Ptolemęum fuere, senioribus, esse institutam: sed ipsi interpretari & exponere Scripturas contendunt. Ac quod illi *multos & integros prorsus locos illarū, ex trāslatione eorū qui cū Ptolemæo fuere Seniorū sustulerint, in quib. clare hunc ipsum crucifixum, Deū & hominē esse, eumq; in cruce pendere, & mori prænunciatum esse* ostenditur, scire vos volo. Quos locos, quia omnes negare qui gentis vestræ sunt, compertū habeo, disputationib. huiusmodi nō adhibeo: verū ex eis scripturis quę pro cōfessis adhuc apud vos habētur,

testimonia quæstionibus vel mouendis vel soluendis, peto. & quascumque apud vos protuli, eas agnoscitis: excepto quod de dictione oraculi istius, *Ecce virgo in vtero concipiet*, contradixistis; dictum esse asserentes, *Ecce iuuencula in vtero concipiet*. Et quia recepi me demonstraturum esse, prophetiam eam non in Ezechiam, prout docti estis, prolatam esse, sed in hunc meum CHRISTVM: demonstrationem eam prosequar. Hic Trypho dixit: Vt nobis primum dicas, Quænam sunt, quas omnino inductas abrogatasque esse Scripturas asseueras, rogamus. Et ego respondi: Faciam vt vobis placet. Ex verbis quæ Esdras de lege & constitutione Paschæ commemorauit, hunc locum abstulerunt: *Et dixit Esdras populo: Hoc pascha Saluator noster & Perfugium nostrum. Ac si in animum induxeritis, & in cor vestrum ascenderit, quod humiliaturi eum simus in signo, & postea speraturi in eum: non desolabitur locus iste in omne tempus; dicit Deus virtutum. Sin in eum non credideritis, neque audieritis annunciationem eius, deridiculum eritis gentibus.* Et ex Hieremiæ responsis hæc reciderunt: *Ego vt agnus, qui ad sacrificandum abducitur. Super me cogitarunt cogitationem, dicentes; Venite, mittamus lignum in panem eius, & exteramus eum e terra viuentium, & nomen eius ne memoretur amplius.* Et quia resectio ista ex Hieremia adhuc in quibusdam exemplaribus, quæ in Iudæorum asseruantur synagogis, scripta reperitur: nō enim ita diu est cum hęc verba reciderunt: quandoquidem ex dictis quoque huiusmodi probari potest, Iudæos consilium inisse de ipso CHRISTO, decreto, vt eum in cruce suspensum occiderent, facto: atque idem ipse, quemadmodum est ab Esaia etiam vaticinio præmonstratum, indicatur tamquam ouis ad occisionem abduci, atque hic quoque velut agnus innocens designatur: pendentes animi ad maledicendum descendunt. Ex Hieremiæ similiter dictis ista resecuerunt: *Recordatus est Dominus Deus mortuorum suorum ex Israele, qui obdormierunt in terra aggeris; [in tumulis scilicet & sepulcris:] & descendit ad eos, vt euangelizaret, & læto eis significaret nuncio Salutare suum.* Ex Psalmo nonagesimoquinto, quem Dauid cecinit, perpauca hæc abstulerunt; *A ligno*. Cum enim ad verbum ita fuisset dictum: *Dicite in gentibus; Dominus regnauit a ligno*: reliquerunt; *Dicite in gentibus; Dominus regnauit.* In gētibus autem, de nullo vmquam, tamquam de Deo & homine dictum est, ex generis vestri hominibus, quod regnauerit, præterquā de solo hoc Crucifixo: quē etiā a mortuis resurgentem saluatum esse in eodem Psalmo Spiritus sanctus dicit, non esse eũ similē gentiũ diis ostendens. illa enim esse simulacra dæmoniorũ. Verũ vt quod dictũ est intelligatis,

ἀλλ᾽ ἐπὶ τὰς ἐκ τῶν ὁμολογουμένων ἔτι παρ᾽ ὑμῖν, τὰς ζητήσεις ποιεῖν ἔρχομαι. καὶ γὰρ ὅσας ὑμῖν αἰ(ἠ)νεγκα, ταύτας γνωρίζετε, πλὴν ὅτι περὶ τῆς λέξεως τῆς, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, ἀντείπατε, λέγοντες εἰρῆσθαι, Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ λήψεται:- καὶ ὑπεσχόμην ἀπόδειξιν ποιήσασθαι οὐκ εἰς Ἐζεκίαν, ὡς ἐδιδάχθητε, τὴν προφητείαν εἰρῆσθαι, 83 ἀλλ᾽ εἰς τοῦτον τὸν ἐμὸν Χριστόν· καὶ δὴ τὴν ἀπόδειξιν ποιήσομαι. Καὶ ὁ Τρύφων εἶπε, Πρῶτον ἀξιοῦμεν εἰπεῖν σε ἡμῖν καὶ τινας ὧν λέγεις τέλεον παραγεγράφθαι γραφῶν. Κἀγὼ εἶπον, Ὡς ὑμῖν φίλον, πράξω. ἀπὸ μὲν οὖν τῶν ἐξηγήσεων ὧν ἐξηγήσατο Ἔσδρας εἰς τὸν νόμον τὸν περὶ τοῦ πάσχα, τὴν ἐξήγησιν ταύτην ἀφείλοντο· Καὶ εἶπεν Ἔσδρας τῷ λαῷ, Τοῦτο τὸ πάσχα ὁ σωτὴρ ἡμῶν, καὶ ἡ καταφυγὴ ἡμῶν· καὶ ἐὰν διανοηθῆτε, καὶ ἀναβῇ ὑμῶν ἐπὶ τὴν καρδίαν, ὅτι μέλλομεν αὐτὸν ταπεινοῦν ἐν σημείῳ· καὶ μετὰ ταῦτα ἐλπίσωμεν ἐπ᾽ αὐτὸν, οὐ μὴ ἐρημωθῇ ὁ τόπος οὗτος εἰς τὸν ἅπαντα χρόνον· λέγει ὁ Θεὸς τῶν δυνάμεων. ἐὰν δὲ μὴ πιστεύσητε αὐτῷ, μηδὲ εἰσακούσητε τοῦ κηρύγματος αὐτοῦ, ἔσεσθε ἐπίχαρμα τοῖς ἔθνεσι:- καὶ ἀπὸ τῶν διὰ Ἱερεμίου λεχθέντων, ταῦτα περιέκοψαν· Ἐγὼ ὡς ἀρνίον φερόμενον τοῦ θύεσθαι· ἐπ᾽ ἐμὲ ἐλογίζοντο λογισμὸν λέγοντες, Δεῦτε ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι:- καὶ ἐπειδὴ αὕτη ἡ περικοπὴ ἡ ἐκ τῶν λόγων τοῦ Ἱερεμίου ἔτι ἐστὶν ἐγγεγραμμένη ἔν τισιν ἀντιγράφοις τῶν ἐν συναγωγαῖς Ἰουδαίων· πρὸ γὰρ ὀλίγου χρόνου ταῦτα ἐξέκοψαν· ἐπειδὰν καὶ ἐκ τούτων τῶν λόγων ἀποδεικνύηται ὅτι ἐβουλεύσαντο Ἰουδαῖοι περὶ αὐτοῦ τοῦ Χριστοῦ ἀναιρεῖν αὐτὸν σταυρώσαντες, βουλευσάμενοι· καὶ αὐτὸς μηνύεται, ὡς καὶ διὰ τοῦ Ἠσαΐου προεφητεύθη, ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος, καὶ ἐνθάδε ὡς ἀρνίον ἄκακον δηλοῦται· ὧν ἀπορούμενοι, ἐπὶ τὸ βλασφημεῖν χωροῦσι. καὶ ἀπὸ τῶν λόγων τοῦ αὐτοῦ Ἱερεμίου ὁμοίως ταῦτα περιέκοψαν· Ἐμνήσθη δὲ Κύριος ὁ Θεὸς ἀπὸ Ἰσραὴλ τῶν νεκρῶν αὐτοῦ τῶν κεκοιμημένων εἰς γῆν χώματος, καὶ κατέβη πρὸς αὐτοὺς εὐαγγελίσασθαι αὐτοῖς τὸ σωτήριον αὐτοῦ:- καὶ ἀπὸ τοῦ ἐνενηκοστοῦ πέμπτου ψαλμοῦ τῶν διὰ Δαβὶδ λεχθέντων λόγων, λέξεις βραχείας ἀφείλοντο ταύτας, Ἀπὸ τοῦ ξύλου:- εἰρημένου γὰρ τοῦ λόγου, Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὁ Κύριος ἐβασίλευσεν ἀπὸ τοῦ ξύλου:- ἀφῆκαν, Εἴπατε ἐν τοῖς ἔθνεσιν, Ὁ Κύριος ἐβασίλευσεν:- ἐν δὲ τοῖς ἔθνεσι περὶ οὐδενὸς ὡς Θεοῦ καὶ Κυρίου ἐλέχθη ποτὲ ἀπὸ τοῦ γένους ὑμῶν ἀνθρώπων ὅτι ἐβασίλευσεν, ἀλλ᾽ ἢ περὶ τούτου μόνου τοῦ σταυρωθέντος· ὃν καὶ σεσῶσθαι ἀναστάντα ἐν τῷ αὐτῷ ψαλμῷ τὸ πνεῦμα τὸ ἅγιον λέγει, μηνύον ὅτι οὐκ ἔστιν ὅμοιος τοῖς τῶν ἐθνῶν θεοῖς· ἐκεῖνα γὰρ εἴδωλά ἐστι δαιμονίων. ἀλλ᾽ ὅπως τὸ λεγόμενον νοήσητε,

totum

τὸν πάντα ψαλμὸν ἀπαγγελῶ ὑμῖν. ἔστι δὲ οὗτος·
» Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ
» πᾶσα ἡ γῆ· ᾄσατε τῷ Κυρίῳ, καὶ εὐλογήσατε τὸ ὄνο-
» μα αὐτοῦ. εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σω-
» τήριον αὐτοῦ. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δό-
» ξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐ-
» τοῦ· ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, φο-
» βερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς· ὅτι πάντες
» οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια· ὁ δὲ Κύριος τοὺς οὐρα-
» νοὺς ἐποίησεν. ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον
» αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιά-
» σματι αὐτοῦ. ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν
» ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμὴν, ἐνέγ-
» κατε τῷ Κυρίῳ δόξαν ἐν ὀνόματι αὐτοῦ. αἴρετε
» θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ,
» προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. σα-
» λευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· εἴ-
» πατε ἐν τοῖς ἔθνεσιν, Ὁ Κύριος ἐβασίλευσε· καὶ γὰρ
» κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται·
» κρινεῖ λαοὺς ἐν εὐθύτητι. εὐφρανέσθωσαν οἱ οὐ-
» ρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. σαλευθήσεται ἡ θά-
84 λασσα, καὶ τὸ πλήρωμα αὐτῆς. χαρήσεται τὰ πε-
» δία καὶ πάντα τὰ ἐν αὐτοῖς. ἀγαλλιάσονται πάν-
» τα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου· ὅ-
» τι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. κρινεῖ τὴν
» οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀλη-
» θείᾳ αὐτοῦ:- Καὶ ὁ Τρύφων, Εἰ μὲν, ὡς ἔφης,
εἶπε, παρέγραψάν τι ἀπὸ τῶν γραφῶν οἱ ἄρχον-
τες τοῦ λαοῦ, Θεὸς δύναται ἐπίστασθαι· ἄπιστῳ δὲ
ἔοικε τὸ τοιοῦτον: Ναὶ, ἔφην, ἀπίστῳ ἔοικε. φο-
βερώτερον γάρ ἐστι τῆς μοσχοποιΐας ἣν ἐποίησαν ἐπὶ
γῆς, μάννα πεπλησμένοι, καὶ τοῦ τὰ τέκνα θύειν
τοῖς δαιμονίοις, ἢ τοῦ αὐτοὺς τοὺς προφήτας ἀνῃ-
ρηκέναι. ἀλλὰ δὴ, ἔφην, μοι νομίζεσθε μηδὲ ἀκη-
κοέναι ἃς εἶπον περὶ τοῦ κεκλοφέναι αὐτοὺς γρα-
φάς. ὑπὲρ αὐταρκείας γὰρ αἱ τοσαῦται προειρη-
μέναι εἰσὶν εἰς ἀπόδειξιν τῶν ζητηθέντων, μετὰ τῶν
λεχθήσεσθαι μελλόντων παρ' ἡμῖν πεφυλα-
γμένων. Καὶ ὁ Τρύφων ἔφη, Ὅτι δι' ἡμᾶς ἀξιώ-
σαντας ἀνιστόρησας αὐτὰς, ἐπιστάμεθα. περὶ δὲ τοῦ
ψαλμοῦ τούτου, ὃν τελευταῖον ἔφης ἀπὸ τῶν Δαβὶδ
λόγων, οὐ δοκεῖ μοι εἰς ἄλλον τινὰ εἰρῆσθαι, ἀλλ' εἰς
τὸν πατέρα τὸν καὶ τοὺς οὐρανοὺς καὶ τὴν γῆν ποιή-
σαντα. σὺ δὲ αὐτὸν φὴς εἰς τὸν παθητὸν τοῦτον, ὃν
καὶ Χριστὸν εἶναι σπουδάζεις ἀποδεικνύναι, εἰρῆσθαι.
Καὶ ἀπεκρινάμην, Διὰ λέξεως ἣν τὸ ἅγιον πνεῦμα
ἐν τούτῳ τῷ ψαλμῷ ἀνεφθέγξατο, νοήσατε λέγον-
τός μου, παρακαλῶ· καὶ γνώσεσθε οὔτε κακῶς με
λέγειν, οὔθ' ὑμᾶς ὄντως κεκηλῆσθαι· οὕτως γὰρ ἂν
καὶ πολλὰ ἄλλα νοῆσαι τῶν ὑπὸ τοῦ ἁγίου πνεύ-
ματος εἰρημένων καθ' ἑαυτοὺς γινόμενοι δυνήσεσθε·
» Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ
» πᾶσα ἡ γῆ· ᾄσατε τῷ Κυρίῳ, καὶ εὐλογήσατε τὸ
» ὄνομα αὐτοῦ. εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ
» σωτήριον αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ:- ὡς τῷ Θεῷ καὶ πατρὶ τῶν ὅλων ᾄδοντας

totum vobis recitabo Psalmum, qui sic habet: *Cantate Domino canticum nouum; cantate Domino omnis terra. Cantate Domino; & benedicite nomini eius. Late annunciate de die in diem Salutare eius: renunciate in gẽtibus gloriam eius: Quoniam magnus Dominus, & terribilis valde. Terribilis est super omnes deos: quia omnes dij gentium, dæmonia: Dominus autem, cælos fecit. Confessio & pulchritudo coram eo: Sanctificatio & magnificentia in sanctuario suo. Inferte Domino patriæ gentium; inferte Domino gloriam in nomine eius. Capite victimas, & ingredimini in atria eius. Adorate Dominum in atrio sancto suo. Moueatur a facie eius omnis terra. Dicite, In gentibus Dominus regnauit [a ligno:] Quoniam rectificauit orbem terrarum, qui nõ commouebitur: Iudicabit populos in æquitate. Lætentur cæli, & exsultet terra. Mouebitur mare, & plenitudo eius. Gaudebunt campi, & omnia quæ in eis sunt. Exsultabunt omnia ligna siluæ a facie Domini: quia venit, quia venit iudicare terram. Iudicabit orbem terrarum in iustitia, & populos in veritate sua.* Et Trypho inquit: An pro eo atq; ais, in Scripturis aliquid detraxerint aut deprauarint principes populi, Deus scire potest: videtur autẽ hoc incredibile. Incredibile profecto, ego dixi, videtur. Magis enim est horrendum, quam vituli consecratio illa quam in terris fecerunt, qui manna ad saturitatem impleti fuerant; & quam liberorum dæmoniis mactatorum sacrificium, aut prophetarum ipsorum occisio. Sed enim, inquam, mihi existimate, eas vos non audisse quas illos surripuisse dixi. affatim enim & abũde sufficiunt tot a nobis allegatæ Scripturæ, ad probationem eorum quæ sunt in quæstionem deducta, vna cum eis quæ adhuc proferẽtur, & apud vos seruãtur.

Et Trypho: Quod rogatu nostro, inquit, eas commemoraueris, scimus. Psalmus autem iste, quem postremum ex Dauidis oraculis recitasti, non in alium mihi videtur esse promulgatus, quam in eum Patrẽ qui & cælos & terram fecit. Tu vero illum cantatum esse affirmas in passionibus subditum istum; quem CHRISTVM esse, magno contendis opere. Et respondi: Dictione ea quam in Psalmo hoc Spiritus sanctus protulit, me dicere existimate, rogo. & ita neque male me dicere, neque vos reuera demulsos esse cognoscetis. Hoc namque pacto & multa alia intelligere poteritis, a Spiritu sancto prolata, cum intra vos ipsos soli vobiscum fueritis: *Cantate Domino canticum nouum; cantate Domino omnis terra. Cantate Domino; & benedicite nomini eius. Late annunciate de die in diem Salutare eius; in omnibus populis mirabilia eius.* Vt Deo & Patri vniuersarum rerum canere

& psallere perseuerent, eis præcipit qui ex omni terra cognouerunt salutare hoc sacramētum & arcanum, hoc est Passionem CHRISTI, per quam ipsos saluauit: quandoquidem cognouerint laudabilem esse, & terribilem, & conditorem cæli & terræ eum, qui Salutare istud seu Salutis preciū generis humani ergô instituit; eo etiam illum dignatus honore, vt, postquam in crucem actus mortem obiit, a mortuis resuscitatum, regem fecerit omnis terræ.·. *Et populus iste consurgens, fornicabitur post deos alienos, in terra in quam ingreditur vt habitet in ea. Et derelinquent me, & dissipabunt testamentum meum, quod testatus sum eis in die illo. Et derelinquam eos, & auertam faciem meam ab eis: Et erit deuoratio: & inuenient eum mala multa & angustiæ. Et dicet die illo: Propterea quod non est Dominus Deus meus in nobis, inuenerunt me mala ista. Ego autem auersione auertam faciem meam ab eis die illo, propter omnes prauitates quas fecerunt: quia conuersi sunt ad deos alienos.* In libro autem Exodi, quod ipsius Dei nomen etiam IESVS fuerit (quod dicit neque Abrææ neque Iacobo declaratum esse) & per Mosen in mysterio similiter sit enunciatum, nos quoque intelleximus. Sic autem dictum est: *Et dixit Dominus Mosæ: Dic populo isti: Ecce ego mitto Angelum meum ante faciem tuam, vt custodiat te in via, vt introducat te in terram quam paraui tibi. Obserua eum, & audi eum: non rebella ei: non enim dimittet te. Nomen namque meum est in eo.* Quis igitur introduxerit in terram patres vestros, iam tandem intelligite: ille videlicet nomine huius cognominatus *Iesu*, qui prius *Auses* (siue *Osee*) vocatus fuerat. Hoc enim si cum animis vestris cōsiderauerîtis, etiam illud, quod nomen eius qui ad Mosen dixit, *Nomen namque meum est in eo*, IESVS fuerit, cognoscetis. Nam & *Israel* ipse vocatus fuit, & Iacobum nomine eo transnominauit. Quod sane illi qui ad mandata eius annuncianda ab eo legantur prophetæ, tum *Angeli*, tum *Apostoli Dei* etiam appellentur, in Esaiæ libro ostenditur: dicit namque ibi Esaias; *Mitte me.* Et quod *propheta fortis & magnus fuerit is qui* IESV *nomine est cognominatus*, omnibus satis constat. Quod si plurifariam specie exhibitum ostensumque esse nouimus Deū Abrææ illi, & Iacobo, & Mosæ: quid ita dubitamus & non credimus, de parentis rerum cunctarum consilio & voluntate, hominē etiam ipsum ex virgine nasci potuisse: præsertim cum tot sacrarū litterarū habeamus oracula, vnde aperte cognoscere est, iuxta consiliū & volūtatem Patris id quoq; factū esse? Cum namque *tamquā filium hominis* Daniel eum dicit, qui regnum suscipit sempiternum: an nō hoc subobscure significat? Nam cum Tamquam filium hominis dicit, qui homo esse appareat & sit, indicat, non autem ex humano exsistere semine declarat: & dum

καὶ ψάλλοντας τοὺς ἀπὸ πάσης τῆς γῆς γνόντας τὸ σωτήριον τοῦτο μυστήριον, τουτέστι τὸ πάθος τοῦ Χριστοῦ, δι' οὗ ἔσωσεν αὐτούς, ἐνδιάγειν, κελεύει, ἐπιγνόντας ὅτι καὶ αἰνετὸς, καὶ φοβερός, καὶ ποιητὴς τοῦ τε οὐρανοῦ καὶ τῆς γῆς, ὁ τοῦτο τὸ σωτήριον ὑπὲρ τοῦ ἀνθρωπείου γένους ποιήσας, τὸν καὶ μετὰ τὸ σταυρωθῆναι ἀποθνήσκοντα, καὶ βασιλεύειν πάσης τῆς γῆς κατηξιωμένον ὑπ' αὐτοῦ.·. ὡς καὶ διὰ τῆς γῆς εἰς ἣν οὗτος εἰσπορεύεται εἰς αὐτὴν, καὶ ἐγκαταλείψουσί με, καὶ διασκεδάσουσι τὴν διαθήκην μου ἣν διεθέμην αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ καταλείψω αὐτοὺς, καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν· καὶ ἔσται κατάβρωμα, καὶ εὑρήσουσιν αὐτὸν κακὰ πολλὰ, καὶ θλίψεις· καὶ ἐρεῖ τῇ ἡμέρᾳ ἐκείνῃ, Διότι οὐκ ἔστι Κύριος ὁ Θεός μου ἐν ἡμῖν, εὕρησαν με τὰ κακὰ ταῦτα. ἐγὼ δὲ ἀποστροφῇ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν τῇ ἡμέρᾳ ἐκείνῃ, διὰ πάσας τὰς κακίας ἃς ἐποίησαν, ὅτι ἐπέστρεψαν ἐπὶ θεοὺς ἀλλοτρίους:- Ἐν δὲ τῷ βιβλίῳ τῆς ἐξόδου, ὅτι αὐτοῦ τὸ ὄνομα τοῦ Θεοῦ, καὶ Ἰησοῦς ἦν, ὃ λέγει τῷ Ἀβραὰμ μὴ δεδηλῶσθαι, μηδὲ τῷ Ἰακώβ, διὰ Μωσέως ἐν μυστηρίῳ ὁμοίως ἐξηγγέλθη, καὶ ἡμεῖς νενοήκαμεν. οὕτως δὲ εἴρηται· Καὶ εἶπε Κύριος τῷ Μωσῇ, Εἰπὲ τῷ λαῷ τούτῳ, Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σοῦ, ἵνα φυλάσσῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. πρόσεχε αὐτῷ, καὶ εἰσάκουε αὐτοῦ· μὴ ἀπείθει αὐτῷ, οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ.- Τίς οὖν εἰς τὴν γῆν εἰσήγαγε τοὺς πατέρας ὑμῶν, ἤδη ποτὲ νοήσατε· ὅτι ὁ ἐν τῷ ὀνόματι τούτῳ ἐπονομασθεὶς Ἰησοῦς, πρότερον Αὐσῆς καλούμενος. εἰ γὰρ τοῦτο νοήσετε, καὶ ὅτι τὸ ὄνομα αὐτοῦ εἰπόντος τῷ Μωσῇ, Τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ.- Ἰησοῦς ἦν, ἐπιγνώσεσθε. καὶ γὰρ καὶ Ἰσραὴλ αὐτὸς ἦν καλούμενος, καὶ τὸν Ἰακὼβ τούτῳ τῷ ὀνόματι ὁμοίως μετωνομάκει. ὅτι δὲ καὶ Ἄγγελοι καὶ Ἀπόστολοι τοῦ Θεοῦ λέγονται οἱ ἀγγέλλειν τὰ παρ' αὐτοῦ ἀποστελλόμενοι προφῆται, ἐν τῷ Ἡσαΐᾳ δεδήλωται. λέγει γὰρ ἐκεῖ ὁ Ἡσαΐας, Ἀπόστειλόν με:- 85 Καὶ ὅτι προφήτης ἰσχυρὸς καὶ μέγας γέγονεν ὁ ἐπονομασθεὶς τῷ Ἰησοῦ ὀνόματι, φανερὸν πᾶσίν ἐστιν. Εἰ οὖν ἐν τοσαύταις μορφαῖς οἴδαμεν πεφανερῶσθαι τὸν Θεὸν ἐκείνῳ τῷ Ἀβραὰμ, καὶ τῷ Ἰακὼβ, καὶ τῷ Μωσῇ, πῶς ἀποροῦμεν καὶ ἀπιστοῦμεν κατὰ τὴν τοῦ πατρὸς τῶν ὅλων βουλὴν, καὶ ἄνθρωπον αὐτὸν διὰ παρθένου γεννηθῆναι μὴ δεδυνῆσθαι, καὶ ταῦτα ἔχοντες γραφὰς τοιαύτας, ἐξ ὧν συννοῆσαι ἔστι διαῤῥήδην ὅτι κατὰ τὴν τοῦ πατρὸς βουλὴν καὶ τοῦτο γέγονεν; ὅταν γὰρ ὡς υἱὸν ἀνθρώπου λέγῃ Δανιὴλ τὸν παραλαμβάνοντα τὴν αἰώνιον βασιλείαν, οὐκ αὐτὸ τοῦτο αἰνίσσεται; τὸ γὰρ ὡς υἱὸν ἀνθρώπου εἰπεῖν, φαινόμενον μὲν καὶ γενόμενον ἄνθρωπον μηνύει, οὐκ ἐξ ἀνθρωπίνου δὲ σπέρματος ὑπάρχοντα δηλοῖ.

καὶ τὸ λίθον τοῦτον εἰπεῖν ἄνευ χειρῶν τμηθέντα, ἐν μυστηρίῳ τὸ αὐτὸ κέκραγε· τὸ γὰρ ἄνευ χειρῶν εἰπεῖν αὐτὸν ἐκτετμῆσθαι, ὅτι οὐκ ἔστιν ἀνθρώπινον ἔργον, ἀλλὰ τῆς βουλῆς τοῦ προβάλλοντος αὐτὸν πατρὸς τῶν ὅλων Θεοῦ. καὶ τὸ Ἠσαίαν φάναι, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;- ἀνεκδιήγητον ἔχοντα τὸ γένος αὐτὸν ἐδήλου. οὐδεὶς γὰρ ἄνθρωπος ὢν ἐξ ἀνθρώπων, ἀνεκδιήγητον ἔχει τὸ γένος. καὶ τὸ τὸν Μωσέα εἰπεῖν πλυνεῖν αὐτὸν τὴν στολὴν αὐτοῦ ἐν αἵματι σταφυλῆς, οὐχ ὃ καὶ ἤδη πολλάκις πρὸς ὑμᾶς παρακεκαλυμμένως προπεφητευκέναι αὐτὸν εἶπον, ἐστίν; ὅτι αἷμα μὲν ἔχειν αὐτὸν προεμήνυεν, ἀλλ᾽ οὐκ ἐξ ἀνθρώπων· ὃν τρόπον τὸ τῆς ἀμπέλου αἷμα οὐκ ἄνθρωπος ἐγέννησεν, ἀλλ᾽ ὁ Θεός. καὶ Ἠσαίας δὲ μεγάλης βουλῆς ἄγγελον αὐτὸν εἰπὼν, οὐχὶ τούτων ὧνπερ ἐδίδαξεν ἐλθὼν, διδάσκαλον αὐτὸν γεγενῆσθαι προεκήρυσσεν; ἃ γὰρ μεγάλα ἐβεβούλευτο ὁ πατὴρ εἴς τε πάντας τοὺς εὐαρέστους γενομένους αὐτῷ καὶ γενησομένους ἀνθρώπους, καὶ τοὺς ἀποστάντας τῆς βουλῆς αὐτοῦ ὁμοίως ἀνθρώπους ἢ ἀγγέλους, οὗτος μόνος ἀπαρακαλύπτως ἐδίδαξεν, εἰπὼν, Ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον:- Καὶ, Πολλοὶ ἐροῦσί μοι τῇ ἡμέρᾳ ἐκείνῃ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι ἐφάγομεν καὶ ἐπίομεν, καὶ προεφητεύσαμεν, καὶ δαιμόνια ἐξεβάλομεν; καὶ ἐρῶ αὐτοῖς, Ἀναχωρεῖτε ἀπ᾽ ἐμοῦ:- καὶ ἐν ἄλλοις λόγοις οἷς καταδικάζειν τοὺς ἀναξίους μὴ σώζεσθαι μέλλειν, ἔφη ἐρεῖν· Ὑπάγετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ὃ ἡτοίμασεν ὁ πατὴρ τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ:- Καὶ πάλιν ἐν ἑτέροις λόγοις ἔφη, Δίδωμι ὑμῖν ἐξουσίαν καταπατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, [καὶ σκολοπενδρῶν,] καὶ ἐπάνω πάσης δυνάμεως τοῦ ἐχθροῦ:- καὶ νῦν ἡμεῖς οἱ πιστεύοντες ἐπὶ τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου Ἰησοῦν Κύριον ἡμῶν, τὰ δαιμόνια πάντα καὶ πνεύματα πονηρὰ ἐξορκίζοντες, ὑποτασσόμενα ἡμῖν ἔχομεν. εἰ γὰρ διὰ τῶν προφητῶν παρακεκαλυμμένως κεκήρυκτο παθητὸς γενησόμενος ὁ Χριστὸς, καὶ μετὰ ταῦτα πάντων κυριεύσων, ἀλλ᾽ οὖν γε ὑπ᾽ οὐδενὸς νοεῖσθαι ἐδύνατο, μέχρις αὐτὸς ἔπεισε τοὺς ἀποστόλους ἐν ταῖς γραφαῖς ταῦτα κεκηρύχθαι διαρρήδην. ἐβόα γὰρ πρὸ τοῦ σταυρωθῆναι, Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν γραμματέων καὶ Φαρισαίων, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι:- καὶ Δαβὶδ δὲ πρὸ ἡλίου καὶ σελήνης ἐκ γαστρὸς γεννηθήσεσθαι αὐτὸν κατὰ τὴν τοῦ πατρὸς βουλὴν ἐκήρυξε, καὶ Θεὸν ἰσχυρὸν καὶ προσκυνητὸν, Χριστὸν ὄντα, ἐδήλωσε. Καὶ ὁ Τρύφων εἶπεν, Ὅτι μὲν οὖν καὶ τοιαῦ-
86 τα καὶ τοσαῦτα ἱκανὰ δυσωπῆσαί ἐστι, σύμφημί σοι· ὅτι δὲ ἀπαιτῶ σε τὸν λόγον ὧν πολλάκις προβάλλῃ

& dum *lapidem hunc sine manibus abscissum* dicit, in mysterio idipsum clamitat. Nam cum dicitur, ipsum absque manibus abscissum esse, non humani id operis, sed diuini eius qui illum produxit, Vniuersitatis huius parentis Dei, consilii esse [ostenditur.] Et dum ab Esaia refertur, *Generationem eius quis enarrabit?* ineloquibile ei esse genus declaratur. nemo enim mortalium, ex mortalibus prognatus, inenarrabile genus obtinet. Et quod Moses dixit, *lauaturum eum esse stolam suam in sanguine vuæ*: (id quod sæpenumero vaticinio tecte præmonstratum esse, apud vos commemoraui) nõne illud est, quod habiturum ipsum sanguinem esse ostenderit, sed non ex hominibus? haud aliter quam vuæ sanguinem non homo generauit, sed Deus. Atque Esaias eum *magni consilij angelum* appellans, vtrum non eorum præceptorum quę cum aduenisset tradidit, doctorem factum esse, præconio suo renũciauit? Res enim magnas, quas in consilio suo constituerat Pater, erga homines omnes sibi placitos & placituros, & aduersus eos qui a voluntate eius desciuissent, homines iuxta & angelos, vnicus ipse clare & aperte docuit, dicens: *Venient ab Oriente & Occidente, & accumbent cum Abraamo & Isaaco & Iacobo in regno cælorum: filij vero regni, eiicientur in tenebras extremas.* Et, *Multi dicent mihi die illo: Domine, Domine, annon in nomine tuo edimus & bibimus, & prophetauimus, & dæmonia eiecimus? & dicam eis: Discedite a me.* Et alibi aliis verbis condemnaturum se indignos, qui non saluabuntur, atque eis dicturum affirmauit: *Abite in tenebras exteriores, quas parauit Pater satanæ & angelis eius.* & rursus aliis verbis ait; *Do vobis potestatem calcandi super serpentes, & scorpiones [& scolopendras,] & super omnem virtutem inimici.* Et nunc nos, qui in crucifixum sub Pontio Pilato IESVM Dominum nostrum credimus, dæmonia cuncta spiritusque malignos adiurantes, sub potestate eos nostra subditos habemus. Quandoquidem namque tecte a sacris vatibus prædictum est, CHRISTVM patibilem fore, ac postea omnibus imperaturum: a nemine hoc intelligi potuit, quoad ipse discipulis persuasit, in Scripturis disertis verbis expressum id esse. Priusquam enim in crucem ageretur, vociferatus est: *Oportet filium hominis multa pati, & reprobari a Scribis & Pharisæis, & crucifigi, & tertio die resurgere.* Et Dauid *eum ante Solem & Lunam ex vtero natum iri*, iuxta consilium & voluntatem Patris, cecinit: & *Deum fortem & adorandum esse* CHRISTVM declarauit. Et Trypho ait: Quod quidem hæc tot & tanta satis sint ad persuadendum religione sua idonea, tibi suffragor. Quorum autem te rationẽ posco, & tu te sæpe demonstrationẽ

allaturum proposuisti, ea scire volo. Ad finem ergo & locum hunc Esaiæ perducito, vt norimus, quonam modo probes, in vestrum istum CHRISTVM esse pronunciatum. nos enim illum in Ezechiam asserimus prædictum esse. Ego porro; Vt vultis, inquam, hoc etiam faciam. Vos autem prius mihi demonstrate, in Ezechiam prolatum esse, quod antequam is nouerit vocare patrem aut matrem, Damasci virtutem ceperit, & spolia Samariæ, in conspectu regis Assyriorum. nam vobis non permittetur, ita vti vultis, exponere, quod Ezechias bellum gesserit aduersus Damascum, aut in Syria, coram rege Assyriorũ. *Priusquam namq; puellus norit vocare patrem aut matrem*, propheticus sermo inquit *accepturum eum esse virtutem Damasci, & spolia Samariæ, in conspectu regis Assyriorum.* Nisi enim cum appendice hæc dixisset Spiritus propheticus, *Antequam norit puellus appellare patrem aut matrem, capiet virtutem Damasci, & spolia Samariæ:* sed tantum retulisset, Et pariet filium, & accipiet virtutẽ Damasci, & spolia Samariæ: dicere possetis, quandoquidem Deus præsciuisset fore vt hæc ipse caperet, eum prædixisse. sed cum accessione ista, prophetia enunciata est: *Antequam norit puer appellare patrem aut matrem, capiet virtutem Damasci, & spolia Samariæ.* Ac vos alicui vnquam Iudæorum hoc accidisse, probare non potestis: nos autem demonstrare quimus, factum esse in Christo nostro. Nam simul is natus est, Magi ab Arabia aduenientes adorarunt eum, cum prius ad Herodem in terra vestra tunc regnantem adiissent: quem Verbum *regem Assyriorum* vocat, propter iniquum & impium eius animum. Scitis enim, inquam, persæpe *per comparationes & similitudines Spiritum sanctum talia proferre*: quemadmodum & ad omnem populum Hierosolymitanum fecit, identidem ad eos inquiẽs: *Pater tuus Amorrheus, & mater tua Chetæa.* Herodes namque iste rex, cum ad se ab Assyria venissent Magi, & dixissent, e stella in cælo apparente, se cognouisse, *regem in regione vestra genitum esse, & Venimus ad adorandum eum:* ex senioribus vestris, in Betlehem natum intellexit, dicẽtibus, in Propheta ita scriptum esse: *Et tu Betlehem terra Iuda, nequaquam minima es inter principes Iudæ. ex te enim prodibit dux, qui gubernabit populum meum; [& egressus eius ab initio a diebus æternitatis.]* Porro Magi Arabes cum peruenissent Betlehem, & adorassent puellũ, & protulissent ei munera, aurum, thus, & myrrham: deinde per reuelationẽ occultam adorato in Betlehem puero, iussi sunt ad Herodem non reuerti. Ac Ioseph etiam Mariæ sponsus, consilium primum cepit, Mariam sponsam repudiandi; existimans eã grauidam esse ex consuetudine viri, hoc

ἀποδεῖξαι, εἰδέναι βούλομαι. πειράσθων οὖν καὶ αὐτὸν ἡμῖν, ἵνα ἴδωμεν καὶ ὡς ἐκεῖνον εἰς Χριστὸν τοῦτον τὸν ὑμέτερον ἀποδεικνύεις εἰρῆσθαι. ἡμεῖς γὰρ εἰς Ἐζεκίαν αὐτὸν λέγομεν πεπροφητεῦσθαι. Κἀγὼ ἔφην, ὡς βούλεσθε καὶ τοῦτο πράξω· ἀποδείξατε δέ μοι ὑμεῖς πρῶτον, ὅτι εἰς τὸν Ἐζεκίαν εἴρηται, ὅτι πρὶν ἢ γνῶναι αὐτὸν καλεῖν πατέρα ἢ μητέρα, ἔλαβε δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας, ἐναντίον βασιλέως Ἀσυρίων. οὐ γὰρ ὡς βούλεσθε ἐξηγεῖσθαι συγχωρηθήσεται ὑμῖν, ὅτι Ἐζεκίας ἐπολέμησε τοῖς ἐν Δαμασκῷ ἢ ἐν Σαμαρείᾳ ἐναντίον βασιλέως Ἀσυρίων. Πρὶν ἢ γὰρ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, ὁ προφητικὸς λόγος ἔφη, λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας, ἐναντίον βασιλέως Ἀσυρίων. εἰ γὰρ μὴ μετὰ προσθήκης ταῦτα εἶπε τὸ προφητικὸν πνεῦμα, Πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας:- ἀλλὰ μόνον εἰρήκει, καὶ τέξεται υἱόν, καὶ λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας:- ἐδύνασθε λέγειν· ἐπειδὴ προεγίνωσκεν ὁ Θεὸς μέλλειν αὐτὸν λήψεσθαι ταῦτα, προειρηκέναι· νῦν δὲ μετὰ τῆς προσθήκης ταύτης εἴρηκεν ἡ προφητεία, Πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας:- καὶ οὐδενὶ τῶν ἐν Ἰουδαίοις ποτὲ συμβεβηκέναι τοῦτο ἀποδεῖξαι ἔχετε· ἡμεῖς δὲ ἔχομεν ἀποδεῖξαι τοῦτο γενόμενον ἐν τῷ ἡμετέρῳ Χριστῷ. ἅμα γὰρ τῷ γεννηθῆναι αὐτόν, μάγοι ἀπὸ Ἀρραβίας παραγενόμενοι, προσεκύνησαν αὐτῷ, πρότερον ἐλθόντες πρὸς Ἡρώδην τὸν ἐν τῇ γῇ ὑμῶν τότε βασιλεύοντα· ὃν ὁ λόγος καλεῖ βασιλέα Ἀσυρίων, διὰ τὴν ἄθεον καὶ ἄνομον αὐτοῦ γνώμην. ἐπίστασθε γὰρ τοιαῦτα, ἔφην, ἐν παραβολαῖς καὶ ὁμοιώσεσι πολλάκις λαλοῦν τὸ ἅγιον πνεῦμα· οἷον πεποίηκε καὶ πρὸς τὸν λαὸν ἅπαντα τὸν ἐν Ἱεροσολύμοις, πολλάκις φῆσαν πρὸς αὐτούς, Ὁ πατήρ σου Ἀμορραῖος, καὶ ἡ μήτηρ σου Χετταία:- καὶ γὰρ οὗτος ὁ βασιλεὺς Ἡρώδης, μαθὼν παρὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ ὑμῶν, τότε ἐλθόντων πρὸς αὐτὸν τῶν ἀπὸ Ἀρραβίας μάγων, καὶ εἰπόντων, ἐξ ἀστέρος τοῦ ἐν τῷ οὐρανῷ φανέντος ἐγνωκέναι ὅτι βασιλεὺς γεγέννηται ἐν τῇ χώρᾳ ὑμῶν, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν:- καὶ ἐν Βηθλεὲμ τῶν πρεσβυτέρων εἰπόντων, ὅτι γέγραπται ἐν τῷ προφήτῃ οὕτως, Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου:- τῶν ἀπὸ Ἀρραβίας οὖν μάγων ἐλθόντων εἰς Βηθλεέμ, καὶ προσκυνησάντων τὸ παιδίον, καὶ προσενεγκάντων αὐτῷ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, ἐπειδὴ κατὰ ἀποκάλυψιν μετὰ τὸ προσκυνῆσαι τὸν παῖδα ἐν Βηθλεέμ, ἐκελεύσθησαν μὴ ἐπανελθεῖν πρὸς τὸν Ἡρώδην. καὶ Ἰωσὴφ δὲ ὁ τὴν Μαρίαν μεμνηστευμένος, βουληθεὶς πρότερον ἐκβαλεῖν τὴν μνηστὴν αὐτῷ Μαριάμ, νομίζων ἐγκυμονεῖν αὐτὴν ἀπὸ συνουσίας ἀνδρός, τουτέστιν

ἀπὸ

ἀπὸ πορνείας, δι' ὁράματος κεκέλευστο μὴ ἐκβαλεῖν τὴν γυναῖκα αὐτοῦ, εἰπόντος αὐτῷ τοῦ φανέντος ἀγγέλου, ὅτι ἐκ πνεύματος ἁγίου ὃ ἔχει κατὰ γαστρός ἐστι. φοβηθεὶς οὖν, οὐκ ἐκβέβληκεν αὐτήν, ἀλλά, ἀπογραφῆς οὔσης ἐν τῇ Ἰουδαίᾳ τότε πρώτης ἐπὶ Κυρηνίου, ἀνεληλύθει ἀπὸ Ναζαρὲτ ἔνθα ᾤκει, εἰς Βηθλεέμ, ὅθεν ἦν, ἀπογράψασθαι· ἀπὸ γὰρ τῆς κατοικούσης τὴν γῆν ἐκείνην φυλῆς Ἰούδα τὸ γένος ἦν· καὶ αὐτὸς ἅμα τῇ Μαρίᾳ κελεύεται ἐξελθεῖν εἰς Αἴγυπτον, καὶ εἶναι ἐκεῖ ἅμα τῷ παιδίῳ, ἄχρις
87 ἂν αὐτοῖς πάλιν ἀποκαλυφθῇ ἐπανελθεῖν εἰς τὴν Ἰουδαίαν. γεννηθέντος δὲ τότε τοῦ παιδίου ἐν Βηθλεέμ, ἐπειδὴ Ἰωσὴφ οὐκ εἶχεν ἐν τῇ κώμῃ ἐκείνῃ που καταλῦσαι, ἐν σπηλαίῳ τινὶ σύνεγγυς τῆς κώμης κατέλυσε· καὶ τότε αὐτῶν ὄντων ἐκεῖ, ἐτετόκει ἡ Μαρία τὸν Χριστόν, καὶ ἐν φάτνῃ αὐτὸν ἐτεθείκει· ὅπου ἐλθόντες οἱ ἀπὸ Ἀρραβίας μάγοι εὗρον αὐτόν. ὅτι δὲ Ἡσαΐας καὶ περὶ τοῦ συμβόλου τοῦ κατὰ τὸ σπήλαιον προκεκηρύχει, ἀνιστόρησα ὑμῖν, ἔφην, καὶ δι' αὐτοὺς δὲ τοὺς σήμερον σὺν ὑμῖν ἐλθόντας, πάλιν τῆς περικοπῆς ἐπιμνησθήσομαι, εἶπον· καὶ ἀνιστόρησα τὴν προγεγραμμένην ἀπὸ τοῦ Ἡσαΐου περικοπήν, εἰπὼν διὰ τοὺς λόγους ἐκείνους τοὺς τὰ Μίθρα μυστήρια παραδιδόντας ἐν τόπῳ ἐπικαλουμένῳ παρ' αὐτοῖς σπηλαίῳ μυεῖσθαι ὑπ' αὐτῶν, ὑπὸ τοῦ διαβόλου ἐνεργηθῆναι εἰπεῖν. καὶ ὁ Ἡρώδης μὴ ἐπανελθόντων πρὸς αὐτὸν τῶν ἀπὸ Ἀρραβίας μάγων, ὡς ἠξίωσεν αὐτοὺς ποιῆσαι, ἀλλὰ κατὰ τὰ κελευσθέντα αὐτοῖς δι' ἄλλης ὁδοῦ εἰς τὴν χώραν αὐτῶν ἀπαλλαγέντων, καὶ τοῦ Ἰωσὴφ ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδίῳ, ὡς καὶ αὐτοῖς ἀποκεκάλυπτο, ἤδη ἐξελθόντων εἰς Αἴγυπτον, οὐ γινώσκων τὸν παῖδα ὃν ἐληλύθεισαν προσκυνῆσαι οἱ μάγοι, πάντας ἁπλῶς τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ ἐκέλευσεν ἀναιρεθῆναι. καὶ τοῦτο ἐπεπροφήτευτο μέλλειν γίνεσθαι διὰ Ἱερεμίου, εἰπόντος δι' αὐτοῦ τοῦ ἁγίου πνεύματος οὕτως·
„ Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς
„ πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ
„ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί.
διὰ οὖν τὴν φωνὴν ἣ ἔμελλεν ἀκούεσθαι ἀπὸ Ῥαμᾶ, τουτέστιν ἀπὸ τῆς Ἀρραβίας, (ἔστι γὰρ καὶ μέχρι τοῦ νῦν τόπος καλούμενος ἐν Ἀρραβίᾳ Ῥαμᾶ) κλαυθμὸς ἔμελλεν τὸν τόπον καταλαμβάνειν, ὅπου Ῥαχὴλ ἡ γυνὴ Ἰακὼβ τοῦ ἐπικληθέντος Ἰσραὴλ τοῦ ἁγίου πατριάρχου τέθαπται, τουτέστι τὴν Βηθλεέμ, κλαιουσῶν τῶν γυναικῶν τὰ τέκνα τὰ ἴδια τὰ ἀνῃρημένα, καὶ μὴ παράκλησιν ἐχουσῶν ἐπὶ τῷ συμβεβηκότι αὐταῖς. καὶ γὰρ τὸ εἰπεῖν τὸν Ἡσαΐαν, „ Λήψεται δύναμιν Δαμασκοῦ, καὶ σκῦλα Σαμαρείας, „ τὴν τοῦ πονηροῦ δαίμονος τοῦ ἐν Δαμασκῷ οἰκοῦντος δύναμιν ἐσήμαινε νικηθήσεσθαι τῷ Χριστῷ, ἅμα τῷ γεννηθῆναι· ὅπερ δείκνυται γεγενημένον. οἱ γὰρ μάγοι, οἵτινες ἐσκυλευμένοι ἦσαν πρὸς πάσας κακὰς πράξεις τὰς ἐνεργουμένας ὑπὸ τοῦ δαιμονίου ἐκείνου, ἐλθόντες καὶ προσκυνήσαντες τῷ Χριστῷ, φαίνονται

est e stupro: sed per visionem iussus est, non reiicere vxorem suam, angelo qui ei apparuit confirmante, ex Spiritu sancto eam ventrem ferre. Timore igitur perculsus, non repudiauit eam. sed cum census tum primus sub Cyrenio in Iudæa ageretur, profectus est a Nazareth, vbi domicilium habebat, in Betlehem, vnde oriundus erat; vt censeretur. nam genus ab ea, quæ terram illam habebat, tribu Iuda ducebat. Atque idem iubetur cum Maria in Ægyptum transire, & ibi cum puello manere; donec ei rursum, vt in Iudæam redirent, reuelaretur. Nato autem tum puero in Betlehem, quia Ioseph in vico eo non habuit quo diuerteret, in specum quendã vico proximum concessit. Atque ibi cum essent, enixa est Maria CHRISTVM, & in præsepi posuit, vbi eum ex Arabia venientes, inuenere Magi. Quod vero & Esaias de symbolo arcanoque specus vaticinio suo præloquutus sit, vobis, inquam, recésui: & eorum gratia qui hodie vobiscum venere, locum eum repetam, dixi. & verba Esaiæ, quæ antea scripsi, denuo commemoraui: illud insuper addens, propter verba eiuscemodi, eos qui Mithræ mysteria instituerunt, in loco qui apud illos *Speleum* siue *Specus* vocetur, suos initiare, sacraque sua arcana, peragere, diaboli instinctu incitatos. Sed enim Herodes, non reuertentibus ad se, pro eo atque illos vt facerent rogauerat Magis Arabicis, sed iuxta mandata accepta alio itinere in regionem suam redeuntibus: cum & Ioseph vna cum Maria & puello, sicut & ipsis reuelatum fuerat, in Ægyptum iam secessisset: puerum, ad quem adorandum Magi venerant, non noscens, omnes prorsus pueros in Betlehem iugulari præcepit. Atque hoc ita fore, Spiritus sanctus per Hieremiam vatem præloquutus est hoc modo: *Vox in Rama audita est, ploratus & fletus multus; Rachel complorans filios suos; & noluit cõsolationem admittere, propterea quod non sint.* Itaque propter vocem quæ audienda erat a Rama, hoc est ab Arabia, (est enim vsque ad hũc diem locus in Arabia, nomine *Rama*) ploratus correpturus fuerat locum vbi Rachel coniunx Iacobi, Israel cognominati, patriarchæ sancti, sepulta est, hoc est Betlehem: mulieribus complorantibus filios suos interfectos, neque consolationem in eo quod ipsis euenit, habentibus. Nam quod Esaias dixit: *Accipiet virtutem Damasci, & spolia Samariæ:* maligni dæmonis Damascum incolentis potestatem significauit debellatum iri per CHRISTVM, quumprimum genitus esset. quod in eo ostenditur factum esse. Magi enim, quos prædatum fuerat dæmonium illud, ad omnes malas actiones excitatos, cum aduenientes CHRISTVM adorauerint, apparet

ipsos ab ea potestate defecisse quæ illos prædata fuerat, & a Verbo ostensa est habitare Damasci. Peccatricem autem & iniquam esse virtutem eam quia constat, per comparationem pulchre *Samariam* vocat. Cæterum quod Damascus Arabiæ terræ fuerit & sit, quamuis nunc ei quæ Syrophœnice vocatur, accenseatur, nec vestrum aliqui infitiari possunt. Quocirca bonum esset vos, o viri, quæ non intellexistis, ea a nobis qui gratiam a Deo accepimus, Christianis addiscere: ac non ita modis omnibus contendere, vt doctrinæ vestræ obtineant, Deum dehonestantes, & doctrinam eius. Quapropter etiã in nos gratia hæc translata est, vt Esaias ait, ita dicens: *Appropinquat mihi populus hic. Labris suis honorant me; cæterum cor eorum procul abest a me. Sed frustra me colunt, præcepta hominũ & doctrinas docẽtes. Propterea ecce ego adduciam vt transferam populum istum; & trãsferam eos: Et auferam sapientiam sapientum ipsorum; & prudentiam prudentum abolebo.* Hic Trypho subindigne quidem ferens & iratus; Scripturas tamen veritus, id quod ex vultu eius patebat, ad me dixit: Verba quidẽ Dei, sancta sunt; interpretationes autem vestræ, arte quadam compositæ, sicut ex explicationibus tuis apparet, seu potius blasphemæ sunt. nam angelos maligne egisse, & desciuisse a Deo, dicis. Tũ ego, placabiliorem attentioremque eum voce reddere volens ad me audiẽdum, respondi: Admiror homo, religionem hanc tuã: & eiusmodi te etiam affectionem de eis obtinere opto *angelis* qui ministerio fungi scripti sunt, prout Daniel dixit; quod *ab eis tamquam filius hominis adducatur ad Antiquũ dierum, eiq; detur regnum omne in seculum seculi.* Atque vt scias, o homo, inquam, non ausu nostro instituisse nos quam carpis expositionem, testimonium tibi ab ipso proferam Esaia, qui *malignos angelos* incoluisse atque incolere dicit regionem Ægypti Tanim. Sunt autem hæc verba: *Væ filij desertores. Hæc dicit Dominus: Cepistis consilium non per me, & fœdera iniistis non per Spiritũ meũ, vt adderetis peccata peccatis; maligne agẽtes, vt descenderetis in Ægyptũ: me vero non interrogauerunt, vt auxilium haberent a Pharaone, & tegerẽtur vmbraculo Ægyptiorũ. Erit enim vobis vmbraculũ Pharaonis in confusionẽ, & cõfidentibus in Ægyptiis ignominia: Quoniã sunt in Tani principes angeli maligni. Frustra fatigabuntur ad populum, qui non proderit eis ad auxilium, sed in probrum & ignominiam.* Sed & Zacharias dixit, quemadmodum ipse cõmemorasti, *diabolum stetisse a dextris Iesu sacerdotis, vt aduersaretur ei; & [Dominum] dixisse: Increpet te Dominus, qui suscepit Hierusalem.* Ac rursum in libro Iob scriptum est, vt & ipse allegasti, *angelos venisse vt assisterent coram Domino; & diabolum vna*

ἀποστάντας τῆς συλαγωγούσης αὐτοὺς δυνάμεως ἐκείνης, ἣν ἐν μυστηρίῳ ἐσήμαινεν ἡμῖν ὁ λόγος οἰκεῖν ἐν Δαμασκῷ. ἁμαρτωλὸν δὲ καὶ ἄδικον οὖσαν ἐν παραβολῇ τὴν δύναμιν ἐκείνην καλῶς Σαμάρειαν καλεῖ. ὅτι δὲ Δαμασκὸς τῆς Ἀῤῥαβικῆς γῆς ἦν καὶ ἔστιν, εἰ καὶ νῦν προσνενέμηται τῇ Συροφοινίκῃ λεγομένῃ, οὐδ' ὑμῶν τινὲς ἀρνήσασθαι δύνανται. ὥστε καλὸν ἂν εἴη ὑμᾶς, ὦ ἄνδρες, ἃ μὴ νενοήκατε, παρὰ τῶν λαβόντων χάριν ἀπὸ τοῦ Θεοῦ ἡμῶν τῶν Χριστιανῶν μανθάνειν, ἀλλὰ μὴ κατὰ πάντα ἀγωνίζεσθαι τὰ ὑμέτερα διδάγματα κρατύνειν, ἀτιμάζοντας τὰ τοῦ Θεοῦ. διὸ καὶ εἰς ἡμᾶς μετετέθη ἡ χάρις αὕτη, ὡς Ἠσαΐας φησίν, εἰπὼν οὕτως· Ἐγγίζει μοι ὁ λαὸς οὗτος· τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας διδάσκοντες. διὰ τοῦτο ἰδοὺ ἐγὼ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτούς, καὶ ἀφελῶ τὴν σοφίαν τῶν σοφῶν αὐτῶν, τὴν δὲ σύνεσιν τῶν συνετῶν ἀθετήσω.

Καὶ ὁ Τρύφων, ὑπαγανακτῶν μέν, αἰδούμενος δὲ τὰς γραφάς, ὡς ἐδήλου ἀπὸ τοῦ προσώπου αὐτοῦ, εἶπε πρός με· Τὰ μὲν τοῦ Θεοῦ ἅγιά ἐστιν· αἱ δὲ ὑμέτεραι ἐξηγήσεις, τετεχνασμέναι εἰσίν, ὡς φαίνεται καὶ ἐκ τῶν ἐξηγημένων ὑπὸ σοῦ. μᾶλλον δὲ καὶ βλάσφημοι· ἀγγέλους γὰρ πονηρευσαμένους καὶ ἀποστάντας τοῦ Θεοῦ λέγεις. Κἀγώ, ἐνδοτικώτερον τῇ φωνῇ παρασκευάσαι αὐτὸν βουλόμενος πρὸς τὸ ἀκούειν μου, ἀπεκρινάμην λέγων, Ἄγαμαί σου ἄνθρωπε τὴν εὐλάβειαν ταύτην, καὶ εὔχομαι τὴν αὐτὴν διάθεσίν σε ἔχειν καὶ περὶ ὃν διακονεῖν γεγραμμένοι εἰσὶν οἱ ἄγγελοι, ὡς Δανιὴλ φησίν, ὅτι ὡς υἱὸς ἀνθρώπου πρὸς τὸν παλαιὸν τῶν ἡμερῶν προσάγεται, καὶ αὐτῷ δίδοται πᾶσα βασιλεία εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἵνα δὲ γνωρίζῃς, εἶπον, ὦ ἄνθρωπε, μὴ ἡμετέρᾳ τόλμῃ χρησαμένους τὴν ἐξήγησιν ταύτην ἣν μέμφῃ πεποιῆσθαι ἡμᾶς, μαρτυρίαν σοι ἀπ' αὐτοῦ τοῦ Ἠσαΐου δώσω. ὅτι πονηροὺς ἀγγέλους κατῳκηκέναι καὶ κατοικεῖν λέγει καὶ ἐν Τάνει τῇ Αἰγυπτίᾳ χώρᾳ. εἰσὶ δὲ οἱ λόγοι οὗτοι· Οὐαὶ τέκνα ἀποστάται· τάδε λέγει Κύριος· Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίαις, οἱ πονηρευόμενοι καταβῆναι εἰς Αἴγυπτον. ἐμὲ δὲ οὐκ ἠρώτησαν τοῦ βοηθηθῆναι ὑπὸ Φαραώ, καὶ σκεπασθῆναι σκέπην Αἰγυπτίων. ἔσται γὰρ ὑμῖν ἡ σκέπη Φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' Αἰγυπτίους ὄνειδος· ὅτι εἰσὶν ἐν Τάνει ἀρχηγοὶ ἄγγελοι πονηροί. μάτην κοπιάσουσι πρὸς λαόν, ὃς οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλ' εἰς αἰσχύνην καὶ ὄνειδος. Ἀλλὰ καὶ Ζαχαρίας φησίν, ὡς καὶ αὐτὸς ἐμνημόνευσας, ὅτι ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν Ἰησοῦ τοῦ ἱερέως, ἀντικεῖσθαι αὐτῷ, καὶ εἰπεῖν, Ἐπιτιμήσαι σοὶ Κύριος ὁ ἐκδεξάμενος Ἱερουσαλήμ. καὶ πάλιν ἐν τῷ Ἰὼβ γέγραπται, ὡς καὶ αὐτὸς ἔφης, ὅτι οἱ ἄγγελοι ἦλθον στῆναι ἔμπροσθεν Κυρίου, καὶ ὁ διάβολος ἅμα

αὐτοῖς

αὐτοῖς ἐληλύθει· καὶ ὑπὸ Μωσέως ἐν ἀρχῇ τῆς Γενέσεως, ὄφιν πλανήσαντα τὴν Εὔαν γεγραμμένον ἔχομεν, καὶ κεκατηραμένον. καὶ ἐν Αἰγύπτῳ ὅτι μάγοι ἦσαν, ἐξισοῦσθαι τῇ δυνάμει τῇ ἐνεργουμένῃ διὰ τοῦ πιστοῦ θεράποντος Μωσέως ὑπὸ τοῦ Θεοῦ, ἔγνωμεν. καὶ Δαβὶδ ὅτι Οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνιά εἰσιν εἶπεν, ἐπίστασθε. Καὶ ὁ Τρύφων πρὸς ταῦτα ἔφη· Εἶπον πρός σε, ὦ ἄνθρωπε, ὅτι ἀσφαλὴς ἐν πᾶσι σπουδάζεις εἶναι ταῖς γραφαῖς προσπλεκόμενος. εἰπὲ δέ μοι ἀληθῶς, Ὑμεῖς ἀνοικοδομηθῆναι τὸν τόπον Ἱερουσαλὴμ τοῦτον ὁμολογεῖτε, καὶ συναχθήσεσθαι τὸν λαὸν ὑμῶν, καὶ εὐφρανθῆναι σὺν τῷ Χριστῷ ἅμα τοῖς πατριάρχαις καὶ τοῖς προφήταις, καὶ τοῖς ἀπὸ τοῦ ἡμετέρου γένους, ἢ καὶ τῶν προσηλύτων γενομένων, πρὶν ἐλθεῖν ὑμῶν τὸν Χριστὸν προσδοκᾶτε, ἢ, ἵνα δόξῃς περικρατεῖν ἡμῶν ἐν ταῖς ζητήσεσι, πρὸς τὸ ταῦτα ὁμολογεῖν ἐχώρησας; Κἀγὼ εἶπον· Οὐχ οὕτω τάλας ἐγὼ, ὦ Τρύφων, ὡς ἕτερα λέγειν παρ' ἃ φρονῶ. ὡμολόγησα οὖν σοι καὶ πρότερον, ὅτι ἐγὼ μὲν καὶ ἄλλοι πολλοὶ ταῦτα φρονοῦμεν, ὡς καὶ πάντως ἐπίστασθε, τοῦτο γενησόμενον· πολλοὺς δ' αὖ καὶ τῶν τῆς καθαρᾶς καὶ εὐσεβοῦς ὄντων Χριστιανῶν γνώμης, τοῦτο μὴ γνωρίζειν ἐσήμανά σοι. τοὺς γὰρ λεγομένους μὲν Χριστιανοὺς, ὄντας δὲ ἀθέους καὶ ἀσεβεῖς αἱρεσιώτας, ὅτι κατὰ πάντα βλάσφημα καὶ ἄθεα καὶ ἀνόητα διδάσκουσιν, ἐδήλωσά σοι. ὅτι δ' οὐκ ἐφ' ὑμῶν μόνων τοῦτο λέγειν με ἐπίστασθε, τῶν γεγενημένων ἡμῖν λόγων ἁπάντων, ὡς δύναμίς μου, σύνταξιν ποιήσομαι· ἐν οἷς καὶ τοῦτο ὁμολογοῦντά με ὃ καὶ πρὸς ὑμᾶς ὁμολογῶ, ἐγγράψω. οὐ γὰρ ἀνθρώποις μᾶλλον ἢ ἀνθρωπίνοις διδάγμασιν αἱροῦμαι ἀκολουθεῖν, ἀλλὰ Θεῷ, καὶ τοῖς παρ' ἐκείνου διδάγμασιν· εἰ γὰρ καὶ συνεβάλετε ὑμεῖς τισὶ λεγομένοις Χριστιανοῖς, καὶ τοῦτο μὴ ὁμολογοῦσιν, ἀλλὰ καὶ βλασφημεῖν τολμῶσι τὸν Θεὸν Ἀβραὰμ, καὶ τὸν Θεὸν Ἰσαὰκ, καὶ τὸν Θεὸν Ἰακὼβ, οἳ καὶ λέγουσι μὴ εἶναι νεκρῶν ἀνάστασιν, ἀλλὰ ἅμα τῷ ἀποθνήσκειν, τὰς ψυχὰς
89 αὐτῶν ἀναλαμβάνεσθαι εἰς τὸν οὐρανὸν, μὴ ὑπολάβητε αὐτοὺς Χριστιανούς· ὥσπερ οὐδὲ Ἰουδαίους, ἄν τις ὀρθῶς ἐξετάσῃ, ὁμολογήσειεν εἶναι τοὺς Σαδδουκαίους, ἢ τὰς ὁμοίας αἱρέσεις Γενιστῶν, καὶ Μεριστῶν, καὶ Γαλιλαίων, καὶ Ἑλληνιανῶν, καὶ Φαρισαίων βαπτιστῶν· (καὶ μὴ ἀηδῶς ἀκούσητέ μου πάντα ἃ φρονῶ λέγοντος) ἀλλὰ λεγομένους μὲν Ἰουδαίους καὶ τέκνα Ἀβραὰμ, καὶ χείλεσιν ὁμολογοῦντας τὸν Θεὸν, ὡς αὐτὸς κέκραγεν ὁ Θεὸς, τὴν δὲ καρδίαν πόρρω ἔχειν ἀπ' αὐτοῦ. ἐγὼ δὲ, καὶ εἴ τινές εἰσιν ὀρθογνώμονες κατὰ πάντα Χριστιανοὶ, καὶ σαρκὸς ἀνάστασιν γενήσεσθαι ἐπιστάμεθα καὶ χίλια ἔτη ἐν Ἱερουσαλὴμ οἰκοδομηθείσῃ καὶ κοσμηθείσῃ καὶ πλατυνθείσῃ, οἱ προφῆται Ἰεζεκιὴλ, καὶ Ἡσαΐας, καὶ οἱ ἄλλοι ὁμολογοῦσιν. οὕτως γὰρ
90 Ἡσαΐας περὶ τῆς χιλιονταετηρίδος ταύτης εἶπεν·

cũ illis affuisse. Et a Mose in principio Genesis, *serpẽtem qui Euam seduxit*, depictũ habemus, & diris exsecrationibus deuotũ. Et in Ægypto *magos* fuisse, qui prope æquati sũt, prodigiis edendis, virtuti ei quã Deus per fidelem famulum suum Mosen perfecit, nouimus. tum autem Dauidẽ, quod *dij gẽtium dæmonia* sint, dixisse tenetis. Et Trypho ad hæc ait: Dixi tibi, homo, sedulo te operam dare, tutus vt sis in omnibus, ad Scripturas confugiens. Dic autem mihi verum; Fateminine vos, denuo instauratum locum hunc Hierusalem, & populum vestrum congregatum atque lætitia euectum iri, cum CHRISTO simul, & patriarchis, & prophetis, & his qui generis nostri sunt, aut etiam qui ad nos accesserunt proselytis, priusquam CHRISTVM aduẽturum exspectatis: an, vt videare nos superare in quæstionibus, eo decurris, vt ista non infitiere? Et ego: Non eo sum miseriæ redactus, inquam, o Trypho, vt alia quam sentio loquar. Confessus sum tibi & antea, me quidem & alios plures eadem mecum sentientes arbitrari id, sicuti plane scitis, futurum: multos vero etiam, qui puræ piæque sunt Christianorum sententiæ, hoc non agnoscere, tibi significaui. Dixi præterea, appellari quidem nonnullos *Christianos*, esse autem nullius numinis cultores, & impios hæreticos: quoniam blasphema omnino, & impia, & stulta docent. Porro, vt non tantummodo apud vos me hoc dicere sciatis, disputationum harum nostrarum omnium, quoad potero, opus componam: vbi hoc ipsum me profiteri, quod coram vobis fateor, conscribam. Non enim homines, aut humanas doctrinas; sed Deum, & disciplinam ab eo traditam, consectandam mihi esse statuo. Nam tametsi cum quibusdam verba communicastis, qui Christiani dicuntur, atque hoc ipsum non confitentur, sed maledicere audent Deo Abrahæ, & Deo Isaaci, & Deo Iacobi; quique dicunt, non esse mortuorum resurrectionem, verum simul atque moriantur, animas ipsorum in cælum recipi: ne tamen existimetis esse Christianos; perinde vt neque Iudæos, si quis recte scrutetur, dicat esse Saducæos, aut persimiles hæreses & sectas Genistarum, & Meristarum, & Galilæorũ, & Hellenianorum siue Græciensium, & Pharisæorũ, Baptistarum, & alios: (ne cum molestia me omnia quæ sentio dicentem audiatis) sed Iudæos quidem appellari & filios Abrahæ, & confitentes labiis Deum; cor aũt illorũ lõge abesse ab eo. Ego autẽ, & si qui recte per omnia sentẽtię Christiani sũt, & carnis resurrectionẽ futurã nouimus, & mille annos in Hierusalẽ instaurata, & exornata, & dilatata: sicut prophetę, Ezechiel & Esaias, & alii promulgãt. Sic nãq; Esaias de mille istorũ annorũ tẽpore loquutus est:

Erit enim cælum nouum, & terra noua: & non recordabũtur priorũ, neque eorum illa venient in corda: sed lætitiam & exsultationem inuenient in ipsa, quæ ego creo. Quia ecce ego facio Hierusalem exsultationem, & populum meum lætitiam: & exsultabo in Hierusalem, & lætabor in populo meo: & vlterius in ea non audietur vox ploratus, neque vox clamoris. Et non erit amplius ibi immatura aliquis ætate. [infans dierum,] & senex qui nõ implebit tempus suum. Erit namque adolescens filius centum annorum: moriens vero peccator filius, centum annorum, & maledictus erit. Et ædificabunt domos, & ipsi incolent & cõserent vineas, & ipsi comedent germina earum, & vinum bibent: non ædificabunt, & alij inhabitabunt: & non plantabunt, & alij edent. Nam secundum dies ligni vitæ, dies populi mei erunt: Opera laborum eorum multiplicabuntur. Electi mei non laborabunt in vanum, neque liberis operam dabunt in exsecrationem: Quoniam semen iustum & benedictum a Domino erunt, & nepotes eorum cum eis. Et erit priusquam ipsi clamauerint, ego exaudiam eos: adhuc loquentibus ipsis, dicam; Quid est? Tunc lupi & agni simul pascentur, & leo sicuti bos comedet paleas: serpens autem terram, velut panem. non inique agent, neque detrimentum capient in monte sancto; dicit Dominus. In his verbis, inquam, eo quod dictum est: *Nam secundum dies ligni vitæ, dies populi mei erunt: opera laborum eorum multiplicabuntur:* mille annos in mysterio arcane designari intelligimus. Vt enim Adę dictum est, *quo die de ligno edisset, eo die moriturum etiam esse*, scimus illum mille annos non impleuisse. Nouimus quoq; dictum illud, *quod dies Domini sit sicuti mille anni*, huc pertinere. Et vir apud nos quidam, cui nomen erat Ioannes, e duodecim Apostolis CHRISTI vnus, in ea quæ illi exhibita est Reuelatione, *Christi fideles nostros annos mille Hierosolymis peracturos esse*, præloquutus est: ac postea vniuersalem & (vt semel dicam) sempiternam omniũ vnanimiter simul resurrectionem & iudicium futurum. id quod & Dominus noster dixit, quod *nupturi neque daturi neque accepturi, sed angelis æquales futuri* sint, vtpote filii Dei resurrectionis. Apud nos enim hucusque etiam prophetica exstant dona. vnde & vos intelligere debetis, quæ olim in genere vestro fuere, ea esse in nos translata. Ac quemadmodum apud vos sanctorum prophetarum tempore, etiam pseudoprophetæ erant: ita & apud nos permulti sunt falsi doctores; quos cauendos esse nos Dominus noster præmonuit: ita vt nihil requiramus, præscium eum fuisse scientes rerum earum omnium, quæ nobis post resurrectionem eius a mortuis, & ascensionem in cælum, euentura erant. Nam futurum esse dixit vt occideremur, & inuisi essemus propter nomen eius;

Ἔσται γὰρ ὁ οὐρανὸς καινός, καὶ ἡ γῆ καινή· καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων, οὐδὲ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν· ἀλλ' εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ ὅσα ἐγὼ κτίζω. ὅτι ἰδοὺ ἐγὼ ποιῶ τὴν Ἱερουσαλὴμ ἀγαλλίαμα, καὶ τὸν λαόν μου εὐφροσύνην, καὶ ἀγαλλιάσομαι ἐπὶ Ἱερουσαλήμ, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου. καὶ οὐκέτι οὐ μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ, οὐδὲ φωνὴ κραυγῆς· καὶ οὐ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος ἡμέραις, καὶ πρεσβύτης ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ. ἔσται γὰρ ὁ νέος υἱὸς ἑκατὸν ἐτῶν· ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς υἱὸς ἑκατὸν ἐτῶν, καὶ ἐπικατάρατος ἔσται. καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ αὐτοὶ ἐνοικήσουσι, καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν, καὶ τὸν οἶνον πίονται· οὐ μὴ οἰκοδομήσωσι, καὶ ἄλλοι κατοικήσουσι· καὶ οὐ μὴ φυτεύσωσι, καὶ ἄλλοι φάγονται. κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς αἱ ἡμέραι τοῦ λαοῦ μου ἔσονται· τὰ ἔργα τῶν πόνων αὐτῶν πλεονάσουσιν. οἱ ἐκλεκτοί μου οὐ μὴ πονέσουσιν εἰς κενόν, οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν· ὅτι σπέρμα δίκαιον καὶ εὐλογημένον ὑπὸ Κυρίου ἔσονται, καὶ ἔγγονα αὐτῶν μετ' αὐτῶν. καὶ ἔσται πρὶν ἢ κεκράξαι αὐτούς, ἐγὼ ἐπακούσομαι αὐτῶν· ἔτι λαλούντων αὐτῶν, ἐρῶ· Τί ἐστι; τότε λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, ὄφις δὲ γῆν ὡς ἄρτον· οὐκ ἀδικήσουσιν οὐδὲ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ, λέγει Κύριος. Τὸ οὖν εἰρημένον ἐν τοῖς λόγοις τούτοις, ἔφην, Κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου [τῆς ζωῆς] αἱ ἡμέραι τοῦ λαοῦ μου ἔσονται· τὰ ἔργα τῶν πόνων αὐτῶν νενοήκαμεν, ὅτι χίλια ἔτη ἐν μυστηρίῳ μηνύει. ὡς γὰρ τῷ Ἀδὰμ εἴρητο, ὅτι, ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, ἐν ἐκείνῃ ἀποθανεῖται, ἔγνωμεν αὐτὸν μὴ ἀναπληρώσαντα τὰ χίλια ἔτη, συνήκαμεν καὶ τὸ εἰρημένον, ὅτι ἡμέρα Κυρίου ὡς χίλια ἔτη, εἰς τοῦτο συνάγει. καὶ ἐπειδὴ καὶ παρ' ἡμῖν ἀνήρ τις ᾧ ὄνομα Ἰωάννης, εἷς τῶν ἀποστόλων τοῦ Χριστοῦ, ἐν ἀποκαλύψει γενομένῃ αὐτῷ χίλια ἔτη ποιήσειν ἐν Ἱερουσαλὴμ τοὺς τῷ ἡμετέρῳ Χριστῷ πιστεύσαντας προεφήτευσε, καὶ μετὰ ταῦτα τὴν καθολικὴν καὶ (συνελόντι φάναι) αἰωνίαν ὁμοθυμαδὸν ἅμα πάντων ἀνάστασιν γενήσεσθαι, καὶ κρίσιν. ὅπερ καὶ ὁ Κύριος ἡμῶν εἶπεν, ὅτι οὔτε γαμήσουσιν οὔτε γαμηθήσονται, ἀλλὰ ἰσάγγελοι ἔσονται, τέκνα τοῦ Θεοῦ τῆς ἀναστάσεως ὄντες. παρὰ γὰρ ἡμῖν καὶ μέχρι νῦν προφητικὰ χαρίσματά ἐστιν. ἐξ οὗ καὶ αὐτοὶ συνιέναι ὀφείλετε, ὅτι τὰ πάλαι ἐν τῷ γένει ὑμῶν ὄντα εἰς ἡμᾶς μετετέθη. ὅνπερ δὲ τρόπον καὶ ψευδοπροφῆται ἐπὶ τῶν παρ' ὑμῖν γενομένων ἁγίων προφητῶν ἦσαν, καὶ παρ' ἡμῖν νῦν πολλοί εἰσι καὶ ψευδοδιδάσκαλοι· οὓς φυλάσσεσθαι προεῖπεν ἡμῖν ὁ ἡμέτερος Κύριος, ὡς ἐν μηδενὶ ὑστερεῖσθαι ἡμᾶς, ἐπισταμένους ὅτι προγνώστης ἦν τῶν μετὰ τὴν ἀνάστασιν αὐτοῦ τὴν ἀπὸ τῶν νεκρῶν, καὶ ἄνοδον τὴν εἰς οὐρανόν, μελλόντων γίνεσθαι ἡμῖν. εἶπε γὰρ ὅτι φονεύεσθαι καὶ μισεῖσθαι διὰ τὸ ὄνομα αὐτοῦ μέλλομεν,

καὶ ὅτι

καὶ ὅτι ψευδοπροφῆται καὶ ψευδόχριστοι πολλοὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ παρελεύσονται, καὶ πολλοὺς πλανήσουσιν· ὅπερ καί ἐστι. πολλοὶ γὰρ ἄθεα καὶ βλάσφημα καὶ ἄδικα ἐν ὀνόματι αὐτοῦ παραχαράσσοντες ἐδίδαξαν, καὶ τὰ ἀπὸ τοῦ ἀκαθάρτου πνεύματος διαβόλου ἐμβαλλόμενα ταῖς διανοίαις αὐτῶν ἐδίδαξαν, καὶ διδάσκουσι μέχρι νῦν· οὓς ὁμοίως ὑμῖν μεταπεισθῆναι μὴ πλανᾶσθαι ἀγωνιζόμεθα, εἰδότες ὅτι πᾶς ὁ δυνάμενος λέγειν τὸ ἀληθὲς καὶ μὴ λέγων, κριθήσεται ὑπὸ τοῦ Θεοῦ, ὡς διὰ τοῦ Ἰεζεκιὴλ διεμαρτύρατο ὁ Θεὸς εἰπών, ὅτι, Σκοπὸν τέθεικά σε τῷ οἴκῳ Ἰούδα. ἐὰν ἁμάρτῃ ὁ ἁμαρτωλὸς καὶ μὴ διαμαρτύρῃ αὐτῷ, αὐτὸς μὲν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀπολεῖται, παρὰ σοῦ δὲ τὸ αἷμα αὐτοῦ ἐκζητήσω· ἐὰν δὲ διαμαρτύρῃ αὐτῷ, ἀθῷος ἔσῃ:- διὰ δέος οὖν καὶ ἡμεῖς σπουδάζομεν ὁμιλεῖν κατὰ τὰς γραφάς, ἀλλ' οὐ διὰ φιλοχρηματίαν, ἢ φιλοδοξίαν, ἢ φιληδονίαν. ἐν οὐδενὶ γὰρ τούτων ἐλέγξαι ἡμᾶς ὄντας δύναταί τις· οὐδὲ γὰρ ὁμοίως τοῖς ἄρχουσι τοῦ λαοῦ τοῦ ὑμετέρου θέλομεν ζῆν, οὓς ὀνειδίζει ὁ Θεὸς λέγων· Οἱ ἄρχοντες ὑμῶν κοινωνοὶ κλεπτῶν, φιλοῦντες δῶρα, διώκοντες ἀνταπόδομα:- εἰ δέ τινας καὶ ἐν ἡμῖν τοιούτους γνωρίζετε, ἀλλ' οὖν γε τὰς γραφὰς καὶ τὸν Χριστὸν διὰ τοὺς τοιούτους μὴ βλασφημῆτε, καὶ παρεξηγεῖσθαι σπουδάζητε. καὶ γὰρ τό, Λέγει Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου:- εἰς Ἐζεκίαν εἰρῆσθαι ἐτόλμησαν ὑμῶν οἱ διδάσκαλοι ἐξηγήσασθαι, ὡς κελευσθέντος αὐτοῦ ἐν δεξιᾷ τοῦ ναοῦ καθεσθῆναι, ὅτε προσέπεμψεν αὐτῷ ὁ βασιλεὺς Ἀσσυρίων ἀπειλῶν, καὶ ἐσημάνθη αὐτῷ διὰ τοῦ Ἡσαΐου μὴ φοβεῖσθαι αὐτόν. καὶ ὅτι μὲν γέγονε τὰ λεχθέντα ὑπὸ Ἡσαΐου οὕτως, καὶ ἀπεστράφη ὁ βασιλεὺς Ἀσσυρίων τοῦ μὴ πολεμῆσαι τὴν Ἱερουσαλὴμ ἐν ἡμέραις τοῦ Ἐζεκίου· καὶ ἄγγελος Κυρίου ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων εἰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας, καὶ ἐπιστάμεθα, καὶ ὁμολογοῦμεν· ὅτι δὲ εἰς αὐτὸν οὐκ εἴρηται ὁ ψαλμός, δῆλον. ἔχει γὰρ οὕτως· Λέγει Κύριος τῷ Κυρίῳ μου. Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ ἐπὶ Ἱερουσαλήμ, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ἐν λαμπρότησι τῶν ἁγίων, πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ:- ὅτι οὖν Ἐζεκίας οὐκ ἔστιν ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, τίς οὐχ ὁμολογεῖ; καὶ ὅτι οὐκ ἔστιν ὁ λυτρούμενος τὴν Ἱερουσαλήμ, τίς οὐκ ἐπίσταται; καὶ ὅτι ῥάβδον δυνάμεως αὐτὸς οὐκ ἀπέστειλεν εἰς Ἱερουσαλήμ, καὶ κατεκυρίευσεν ἐν μέσῳ τῶν ἐχθρῶν αὐτοῦ, ἀλλ' ὁ Θεὸς ἦν ὁ ἀποστρέψας ἀπ' αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου τοὺς πολεμίους, τίς οὐ γνώσεται; ὁ δὲ ἡμέτερος Ἰησοῦς,

& vt pseudoprophetæ & pseudochristi multi in nomine eius aduenirent, & seducerent in fraudem multos. quod etiam fit. Plures enim impia, blasphema & iniusta, sub nomine eius, adulterinis subintroductis doctrinis, docuerunt: & quæ mentibus eorum ab impuro spiritu diabolo sunt iniecta, tradiderunt, atque etiam nunc tradunt. Quos itidem vt vos persuasionibus eo traducere contendimus, vt ne errare pergant; compertum habentes, qui cum verum dicere queat, & non dicat, eum a Deo iudicatum iri: prout per Ezechielem testatus est Deus, dicens: *Speculatorem posui te domus Iuda. Si peccauerit peccator, & non testificatus ei fueris; ipse quidem peccato suo peribit, at te autem sanguinem eius requiram. Sin testificatus ei fueris, innocens eris.* Per timorem ergo & nos colloquia instituere, & conuersari cum hominibus studemus, ex Sacrarum litterarum præscripto; & non per pecuniæ & gloriæ & voluptatum amorem & affectationem. de nulla enim rerum istiusmodi nos quisquam arguere potest. Non ita vt principes populi vestri viuimus; quos probro incessit Deus, verbis huiusmodi: *Principes vestri socij furum, diligentes munera, persequentes retributionem.* Quod si quos etiam inter nos tales esse scitis, non continuo ea de causa Scripturas & CHRISTVM maledictis proscindite, aut interpretatione sinistra deprauare studete. Nam illud, *Dicit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum*: in Ezechiam dictum esse, magistri vestri & Rabini exponere sunt ausi: proinde atque is iussus fuisset in dextra templi parte sedere, quando per nuncios suos minis ipsum rex Assyriorum terruit: & per Esaiam, vt illum non timeret, ei est significatum. Et quod quæ Esaias dixerat, ad rem collata sint, vt auersus fuerit rex Assyriorum, quo minus oppugnaret Hierusalem in diebus Ezechiæ: & Angelus Domini in castris Syrorum ad centum & octuagintaquinque millia virorum ceciderit: & nouimus, & confitemur. Quod autem non in ipsum decantatus sit Psalmus, apertum est. Sic enim is habet: *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Virgam virtutis emittet super Hierusalem, & dominabitur in medio inimicorum suorum. In splendore sanctorum, ante luciferum genui te. Iurauit Dominus, & non pœnitebit eum: Tu sacerdos in æternum, secundum ordinem Melchisedech.* Ezechiam non esse perpetuum sacerdotem [immo ne sacerdotem quidem] secundum ordinem Melchisedech, quis non fatetur? eundemque non esse liberatorem Hierosolymorum, quis nescit? Ac virgam virtutis ipsum non emisisse in Hierusalem, neque dominatum esse in medio inimicorũ suorũ; sed Deũ ab eo plorãte & lugente hostes auertisse, cui cognitũ nõ est? Noster porro IESVS,

cum nondum gloriose aduenerit, virgam virtutis Hierosolymis emisit; verbum vocationis & pœnitentiæ ad gentes omnes, vbi imperium in eas dæmonia habuerint, vt inquit Dauid: *Dii gentium, demonia.* Et Verbum eius validum, permultis persuasit vt dæmonia quibus inseruierant, desererent, & in omnipotentem Deum, per ipsum crederent: quoniam dæmonia sunt dii gentium. Et illud: *In splendoribus sanctorum, ex vtero ante luciferum genui te:* CHRISTO dictum est, vt supra memorauimus. Ac illud etiam: *Ecce virgo in vtero concipiet, & pariet filium:* in hunc CHRISTVM est prædictum. Nam si non e virgine iste, de quo Esaias dicebat, nasciturus erat, in quem Spiritus sanctus exclamabat: *Ecce Dominus dabit signum: Ecce virgo in vtero concipiet, & pariet Filium?* si perinde atque alii omnes primogeniti, iste quoque ex concubitu gignendus erat, quodnam signum non cunctis primogenitis commune se facere dixit? Enimuero quod vere signum est, & humano generi credibile futurum erat: hoc est, vt *ex virginali vtero Primogenitus creaturarum omnium caro factus, vere puellus fieret:* occupans id per propheticum Spiritū. alio atque alio modo, sicut vobis recensui, pronunciauit: vt cum factum esset, virtute & consilio rerum vniuersarum conditoris factum esse agnosceretur: haud aliter quam ex costa lateris Adæ vna, Eua exstitit, atque alia animantia omnia verbo Dei ortum principiumque suum cepere. Vos autem in his quoque adulterare translationes seniorum vestrorum. qui apud regem Ægypti Ptolemæum fuere, audetis: allegantes, non habere Scripturam, sicut illi verterunt; sed, *Ecce iuuencula in vtero concipiet.* Quasi vero magnæ quidquam rei designaretur, si mulier ex concubitu paritura esset. quod quidem iuuenculæ mulieres pleræque faciunt omnes, exceptis sterilibus: quas tamen & ipsas, cum vult, efficere potest, vt prolem gignant, Deus. Nam Samuelis mater infœcunda, per consilium & voluntatem Dei peperit: & vxor sancti patriarchæ Abrææ; & Elisabet, quæ Ioannem Baptistam genuit, & aliæ quædam similiter. Quocirca non pro impossibili vos habere illud oportet, facere Deum posse quæ vult omnia: præcipue vero cum quid futurum esse, vaticiniis est prænunciatum. Non decet vos vaticinia ipsa ausu temerario vel adulterare, vel perperam exponere. nam vobis ipsis tantum iniuriam facietis, Deo autem nihil nocebitis. Prophetiam quoque dicētem: *Tollite portas Principes vestras; & eleuamini portæ æternæ, vt ingrediatur rex gloriæ:* itidem vestrum nonnulli in Ezechiam dictam esse, exponere non dubitant; aliqui autem in Salomonem: cum fieri nequeat, vt vel in hunc, vel in illum, vel etiam in alium quempiam eorum qui reges vestri dicti sunt, conceptam esse demonstretur; præter-

οὐδέπω ἐνδόξως ἐλθών, ῥάβδον δυνάμεως εἰς Ἱερουσαλὴμ ἐξαπέστελλε, τὸν λόγον τῆς κλήσεως καὶ τῆς μετανοίας πρὸς τὰ ἔθνη ἅπαντα, ὅπου τὰ δαιμόνια ἐπεκυρίευεν αὐτῶν, ὥς φησι Δαβίδ, Οἱ θεοὶ τῶν ἐθνῶν, δαιμόνια:- καὶ ἰσχυρὸς ὁ λόγος αὐτοῦ πέπεικε πολλοὺς καταλιπεῖν δαιμόνια οἷς ἐδούλευον, καὶ ἐπὶ τὸν παντοκράτορα Θεὸν δι' αὐτοῦ πιστεύειν, ὅτι δαιμόνιά εἰσιν οἱ θεοὶ τῶν ἐθνῶν. καὶ τὸ, Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε:- τῷ Χριστῷ εἴρηται, ὡς προέφημεν. καὶ τὸ, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν:- εἰς τοῦτον προείρηται. εἰ γὰρ μὴ ἐκ παρθένου οὗτος περὶ οὗ Ἡσαΐας ἔλεγεν ἔμελλεν γεννᾶσθαι, εἰς ὃν τὸ ἅγιον πνεῦμα ἐβόα, Ἰδοὺ Κύριος αὐτὸς δώσει σημεῖον· ἰδοὺ ἡ παρ- 91 θένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν;- εἰ γὰρ ὁμοίως τοῖς ἄλλοις ἅπασι πρωτοτόκοις καὶ οὗτος γεννᾶσθαι ἐκ συνουσίας ἔμελλε, τί καὶ ὁ Θεὸς σημεῖον ὃ μὴ πᾶσι τοῖς πρωτοτόκοις κοινόν ἐστιν, ἔλεγε ποιεῖν; ἀλλ' ὅπερ ἐστὶν ἀληθῶς σημεῖον, καὶ πιστὸν τῷ γένει τῶν ἀνθρώπων ἔμελλε γίνεσθαι, τουτέστι διὰ παρθενικῆς μήτρας τὸν πρωτότοκον τῶν πάντων ποιημάτων σαρκοποιηθέντα ἀληθῶς παιδίον γενέσθαι, προλαβὼν αὐτὸ διὰ τοῦ προφητικοῦ πνεύματος, κατ' ἄλλον καὶ ἄλλον τρόπον, ἀνιστόρησα ὑμῖν, προεκήρυξεν, ἵνα ὅταν γένηται, δυνάμει καὶ βουλῇ τοῦ τῶν ὅλων ποιητοῦ γενόμενον γνωσθῇ· ὡς καὶ ἀπὸ πλευρᾶς μιᾶς τοῦ Ἀδὰμ ἡ Εὔα γέγονε, καὶ ὥσπερ τἄλλα πάντα ζῶα λόγῳ Θεοῦ τὴν ἀρχὴν ἐγεννήθη. ὑμεῖς δὲ καὶ ἐν τούτοις παραγράφειν τὰς ἐξηγήσεις ἃς ἐξηγήσαντο οἱ πρεσβύτεροι ὑμῶν παρὰ Πτολεμαίῳ τῷ τῶν Αἰγυπτίων βασιλεῖ γενομένῳ, τολμᾶτε λέγοντες μὴ ἔχειν τὴν γραφὴν ὡς ἐκεῖνοι ἐξηγήσαντο, ἀλλ', Ἰδού, φησίν, ἡ νεᾶνις ἐν γαστρὶ ἕξει· ὡς μεγάλων πραγμάτων σημαινομένων, εἰ γυνὴ ἀπὸ συνουσίας τίκτειν ἔμελλεν· ὅπερ πᾶσαι αἱ νεάνιδες γυναῖκες ποιοῦσι πλὴν τῶν στειρῶν· ἃς καὶ αὐτὰς βουληθεὶς ὁ Θεὸς γονᾶν ποιῆσαι δυνατός. ἡ μήτηρ γὰρ τοῦ Σαμουὴλ μὴ τίκτουσα, διὰ βουλὴν Θεοῦ τέτοκε· καὶ ἡ γυνὴ τοῦ ἁγίου πατριάρχου Ἀβραάμ, καὶ Ἐλισάβετ ἡ τὸν βαπτιστὴν Ἰωάννην τεκοῦσα, καὶ ἄλλαι τινὲς ὁμοίως. ὥστε οὐκ ἀδύνατον ὑπολαμβάνειν δεῖ ὑμᾶς πάντα δύνασθαι τὸν Θεὸν ὅσα βούλεται. καὶ μάλιστα ἐπειδὴ ἐπεπροφήτευτο μέλλειν γίνεσθαι, μὴ παραγράφειν ἢ παρεξηγεῖσθαι τολμᾶτε τὰς προφητείας· ἐπεὶ ἑαυτοὺς μόνους ἀδικήσετε, τὸν δὲ Θεὸν οὐ βλάψετε. καὶ γὰρ τὴν προφητείαν τὴν λέγουσαν, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης:- ὁμοίως εἰς τὸν Ἐζεκίαν τολμῶσί τινες ἐξ ὑμῶν ἐξηγεῖσθαι εἰρῆσθαι, ἄλλοι δὲ εἰς Σολομῶνα· οὐδὲ εἰς τοῦτον, οὐδὲ εἰς ἐκεῖνον, οὔτε εἰς ἄλλον ἁπλῶς λεγόμενον ὑμῶν βασιλέα δυνατὸν ἀποδειχθῆναι εἰρῆσθαι,

εἰς δὲ μόνον τοῦτον τὸν ἡμέτερον Χριστὸν, τὸν ἀειδῆ καὶ ἄτιμον φανέντα, ὡς Ἠσαΐας ἔφη, καὶ Δαβὶδ, καὶ πᾶσαι αἱ γραφαί· ὅς ἐστι Κύριος τῶν δυνάμεων διὰ τὸ θέλημα τοῦ δόντος αὐτῷ πατρός· ὃς καὶ ἀνέστη ἐκ νεκρῶν, καὶ ἀνῆλθεν εἰς τὸν οὐρανὸν, ὡς καὶ ὁ ψαλμὸς καὶ αἱ ἄλλαι γραφαὶ ἐδήλουν, καὶ Κύριον αὐτὸν τῶν δυνάμεων κατήγγελλον, ὡς καὶ νῦν ἐκ τῶν ὑπ' ὄψιν γινομένων ῥᾷον ὑμᾶς πεισθῆναι, ἐὰν θέλητε. κατὰ γὰρ τοῦ ὀνόματος αὐτοῦ τούτου τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ πρωτοτόκου πάσης κτίσεως, καὶ διὰ παρθένου γεννηθέντος, καὶ παθητοῦ γενομένου ἀνθρώπου, καὶ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου ὑπὸ τοῦ λαοῦ ὑμῶν, καὶ ἀποθανόντος, καὶ ἀναστάντος ἐκ νεκρῶν, καὶ ἀναβάντος εἰς τὸν οὐρανὸν, πᾶν δαιμόνιον ἐξορκιζόμενον νικᾶται καὶ ὑποτάσσεται. ἐὰν δὲ κατὰ παντὸς ὀνόματος τῶν παρ' ὑμῖν γεγενημένων ἢ βασιλέων, ἢ δικαίων, ἢ προφητῶν, ἢ πατριαρχῶν ἐξορκίζητε ὑμεῖς, οὐχ ὑποταγήσεται οὐδὲν τῶν δαιμονίων. ἀλλ' εἰ ἄρα ἐξορκίζοι τις ὑμῶν κατὰ τοῦ Θεοῦ Ἀβραὰμ, καὶ Θεοῦ Ἰσαὰκ, καὶ Θεοῦ Ἰακὼβ, ἴσως ὑποταγήσεται. ἤδη μέντοι οἱ ἐξ ὑμῶν ἐπορκισταὶ τῇ τέχνῃ, ὥσπερ καὶ τὰ ἔθνη, χρώμενοι ἐξορκίζουσι, καὶ θυμιάμασι καὶ καταδέσμοις χρῶνται, εἶπον. ὅτι δὲ καὶ ἄγγελοι καὶ δυνάμεις εἰσὶν, εἰς ὁ λόγος ὁ τῆς προφητείας τῆς διὰ Δαβὶδ ἐπᾶραι τὰς πύλας, ἵνα εἰσέλθῃ οὗτος ὁ ἐκ νεκρῶν ἀναστὰς Κύριος τῶν δυνάμεων κατὰ τὸ θέλημα τοῦ πατρὸς Ἰησοῦς Χριστὸς, ὁ λόγος τοῦ Δαβὶδ ὁμοίως ἀπέδειξεν· οὗ καὶ πάλιν ἐπιμνησθήσομαι διὰ τούτους τοὺς μὴ καὶ χθὲς συνόντας ἡμῖν· δι' οὓς καὶ πολλὰ τῶν χθὲς εἰρημένων

92 ἐπὶ κεφαλαίων λέγω· καὶ νῦν πρὸς ὑμᾶς ἐὰν τοῦτο λέγω, εἰ καὶ ἐταυτολόγησα πολλάκις, οὐκ ἄτοπον εἰπεῖν ἐπίσταμαι. γελοῖον μὲν γὰρ πρᾶγμά ἐστιν ὁρᾶν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τὰ ἄστρα τὴν αὐτὴν ὁδὸν ἀεὶ, καὶ τὰς τροπὰς τῶν ὡρῶν ποιεῖσθαι, καὶ τὸν ψηφιστικὸν ἄνδρα, εἰ ἐξετάζοι τὸ τί δὶς δύο πόσα ἐστι, διὰ τὸ πολλάκις εἰρηκέναι ὅτι τέσσαρα, παύσασθαι τοῦ πάλιν λέγειν ὅτι τέσσαρα, καὶ τὰ ἄλλα ὁμοίως ὅσα βεβαίως ὁμολογεῖται ἀεὶ ὡσαύτως λέγεσθαι, καὶ ὁμολογεῖσθαι· τὸν δὲ ἀπὸ τῶν γραφῶν τῶν προφητικῶν ὁμιλίας ποιούμενον ἐὰν καὶ μὴ τὰς αὐτὰς ἀεὶ λέγειν γραφὰς, ἀλλ' ἡγεῖσθαι ἑαυτὸν βέλτιον τῆς γραφῆς γεννήσαντα εἰπεῖν. ἔστιν οὖν ὁ λόγος δι' οὗ ἐσήμανε τὸν Θεὸν δηλῶν ὅτι καὶ ἄγγελοί εἰσιν ἐν οὐρανῷ, καὶ δυνάμεις, οὗτος·
» Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν
» ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι
» αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Καὶ Μνασέας δέ τις ὀνόματι τῶν συνελθόντων αὐτοῖς τῇ δευτέρᾳ ἡμέρᾳ εἶπε, Καὶ ἡμεῖς χαίρομεν πάλιν πειρωμένου σοῦ τὰ αὐτὰ λέγειν δι' ἡμᾶς. Κἀγὼ εἶπον, Ἀκούσατε φίλοι, τίνι γραφῇ πειθόμενος ταῦτα πράττω. Ἰησοῦς ἐκέλευσεν ἀγαπᾶν καὶ τοὺς ἐχθρούς·

præterquam in hunc solum CHRISTVM nostrum, qui informis & inhonoratus apparuit: quemadmodum Esaias & Dauid ait, & Scripturæ omnes: qui est Dominus virtutum, per voluntatem concedẽtis hoc ei Patris: qui & resurrexit a mortuis, & ascendit in cælum: sicut & Psalmus, & aliæ Scripturæ declararunt. & *Dominum* ipsum *virtutum* renunciarunt: quemadmodum & facile est nunc vos per ea quæ fieri cernitis, persuaderi, si velitis. Per nomẽ siquidem istius ipsius *Filij Dei & Primogeniti creaturæ omnis, & ex virgine geniti*, perpessionibusque obnoxii hominis facti, & sub Pontio Pilato a populo vestro crucifixi, & mortui, qui & a mortuis resurrexit, & in cælum ascendit, *dæmonium omne adiuratum vincitur*, & in dicionem redigitur. Sin vos per nomen quoduis, qui vobis fuere, regũ aut iustorum aut prophetarum aut patriarcharum adiuretis, nõ subiicietur vobis dæmonium aliquod: cæterum si quis vestrum adiuret per Deum Abrahæ, & Deum Isaaci, & Deum Iacobi, [nam is CHRISTVS est] fortasse subiiciatur. Exorcistæ certe quidem seu adiuratores vestri, iam arte quadam (dixi) veluti gentes in adiurationibus vtuntur, & thymiamata & vincula adhibent. Sed enim & *Angelos & Virtutes* esse, quibus verbum vaticinij Dauidis portas tollere præcipit, vt ingrediatur iste qui a mortuis resurrexit, *Dominus virtutum*; iuxta voluntatem Patris, CHRISTVS IESVS: aliud eiusdem Dauidis verbum consimiliter ostendit: quod propter eos repetam, qui heri nobiscum non fuere: quorum nimirum gratia etiam multa hosterno die dicta, denuo capitulatim refero. Atque id si nunc quoque apud vos commemorauero, quamuis idem sæpe recenseam, non absurde tamen me facturum esse noui. Ridiculum namque fuerit, solem videre & lunam & sidera eandem continue inire viam, & conuersiones horarum easdem efficere; & rationum supputatorem virum, si ab eo requiratur, Bis duo quantum efficiant, propterea quod sæpius dixerit, Quatuor, non tamen desinere Quatuor dicere atque item alia quæcumque frequenter certoque dicuntur, identidem eodem modo repeti: eum vero, qui ex Propheticis litteris cum aliis colloquendo verba faciat, eas litteras posthabere, & non easdem Scripturas semper allegare, sed seipsum melius quidquam, quam Sanctas litteras inuenire & eloqui posse, existimare. Itaq; verbũ, quo significatum est, Deũ ostendere *Angelos* in cælo esse & *Virtutes*, sic habet: *Laudate Dominum de cælis; laudate eum in excelsis. Laudate eum omnes angeli eius; laudate eum omnes virtutes eius.* Et Mnaseas quidã nomine, qui cũ eis altero die venerat: Gaudemus, inquit, nos, quod eadẽ repetere nostra caussa sis aggressus. Atq; ego: Audite, inquã, o amici, qua Scriptura adductus hoc faciã. IESVS præcepit & inimicos diligere:

Quod & per Esaiā pluribus verbis est promulgatum: in quibus etiam est arcanum regenerationis nostræ, & omnium adeo CHRISTVM in Hierusalem [cælesti] appariturum exspectantium, & operibus ei complacere laborantium. Verba Esaiæ, huiusmodi sunt: *Audite verbum Domini, trementes ad verbum eius. Dicite, Fratres nostri, ad eos qui odio habent & abominantur vos, vt nomen Domini glorificetur. Visus est in lætitia eorum, atque illi pudore afficientur. Vox clamoris e ciuitate, vox e templo: Vox Domini retributionem superbis retribuentis. Priusquam parturiens gigneret, & priusquam veniret labor dolorum, peperit masculum. Quis audiuit tale quidquam, & quis ita vidit: si parturiit terra in die vno: si vero & peperit gentem vice vno: quoniam parturiit & progenuit Sion filios suos. Ego autem dedi exspectationem hanc, & non parienti; dixit Dominus: Ecce ego parientem & sterilem feci; dicit Dominus. Lætare Hierusalem, & conuentus agite omnes qui diligitis eam. Gaudete omnes quicumque lugetis super eam, vt sugatis, & impleamini ab vbere consolationis eius. vt postquam suxeritis, deliciis affluatis ab ingressu gloriæ eius.*

His dictis adieci: Quod autem *ligni crucis*, postquam in eo affixus est iste, quem gloriosum denuo aduenturum esse, sanctæ ostendunt litteræ, symbolum atque notam lignum vitæ obtinuerit, quod in paradiso satum fuisse dictum est, eorumque item quæ obuentura erāt iustis omnibus audite. Moses cum *virga* ad liberationem populi missus est: eamque in manibus gestans, in prima populi fronte mare diffecuit. Per hanc e petra aquam profluentē vidit. Et *ligno* in Mara in vndam amaram coniecto, dulcem eam reddidit. *Virgis* in lacus aquarū missis, Iacob, vt fœtæ fierent oues auunculi sui, quo ex fœtu earum lucraretur, voti compos est factus. Virga sua se fluuium transiisse, idem Iacob gloriatur. Idem *scalam* a se visam dixit: cui innixum fuisse Deum Scriptura declarauit: & quod is Pater non fuerit, ex Sacris demonstrauimus litteris. Et quod *lapidi* oleum infuderit, eodemque loco Iacob statuam a se viso Deo vnxerit: ab ipso qui illi visus est, testimonium retulit Deo. Quod item CHRISTVS figurate lapis per multas Scripturas sit deprædicatus, similiter probauimus. Non minus quoque *chrisma* & *vnguentum* omne, siue olei, siue aloæ, siue aliarum ex vnguentorum compositione vnctionum, huius fuisse, itidem ostendimus, verbo dicente: *Propterea vnxit te Deus, Deus tuus, oleo exsultationis supra consortes tuos.* Nam reges omnes & vncti, huic accepto tulerūt, quod & Reges & Vncti vocitati sint: quēadmodum & ipse a Patre accepit, quod *Rex*, CHRISTVS, & *Sacerdos*, & *Angelus* sit, & quęcumq; eiusmodi alia habet aut habuit.

ὅπερ καὶ διὰ Ἠσαΐου ἐκεκήρυκτο διὰ πλειόνων, ἐν οἷς καὶ τὸ μυστήριον πάλιν τῆς γενέσεως ἡμῶν, καὶ ἁπλῶς πάντων τῶν τὸν Χριστὸν ἐν Ἱερουσαλὴμ φανήσεσθαι προσδοκώντων, καὶ δι' ἔργων εὐαρεστεῖν αὐτῷ σπουδαζόντων. εἰσὶ δὲ οἱ διὰ Ἠσαΐου λόγοι οὗτοι· Ἀκούσατε τὸ ῥῆμα Κυρίου οἱ τρέμοντες τὸ ῥῆμα αὐτοῦ. εἴπατε Ἀδελφοὶ ἡμῶν, τοῖς μισοῦσιν ὑμᾶς, καὶ βδελυσσομένοις τὸ ὄνομα Κυρίου δοξασθῆναι. ὤφθη ἐν τῇ εὐφροσύνῃ αὐτῶν, κἀκεῖνοι αἰσχυνθήσονται. Φωνὴ κραυγῆς ἐκ πόλεως, φωνὴ ἐκ ναοῦ, φωνὴ Κυρίου ἀποδιδόντος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. πρὶν ἢ τὴν ὠδίνουσαν τεκεῖν, καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέτικεν ἄρσεν. τίς ἤκουσε τοιοῦτον, καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινεν ἡ γῆ ἐν μιᾷ ἡμέρᾳ; εἰ δὲ καὶ τέκοι ἔθνος εἰσάπαξ, ὅτι ὤδινε καὶ ἔτικε Σιὼν τὰ παιδία αὐτῆς. ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην, καὶ οὐ γεννώσῃ, εἶπε Κύριος· Ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα, λέγει Κύριος. Εὐφράνθητι Ἱερουσαλήμ, καὶ πανηγυρίσατε πάντες οἱ ἀγαπῶντες αὐτήν. χαίρετε πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτήν, ἵνα θηλάσητε, καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτοῦ. Καὶ ταῦτα εἰπών, προσέθηκα, Ὅτι δὲ μετὰ τὸ σταυρωθῆναι τοῦτον, ὃν ἔνδοξον πάλιν παραγενήσεσθαι ἀποδεικνύουσιν αἱ γραφαί, σύμβολον εἶχε τοῦ ξύλου τῆς ζωῆς ὃ ἐν τῷ παραδείσῳ πεφυτεῦσθαι ἐλέλεκτο, καὶ τῶν γενησομένων πᾶσι τοῖς δικαίοις, ἀκούσατε. Μωσῆς μετὰ ῥάβδου ἐπὶ τὴν τοῦ λαοῦ ἀπολύτρωσιν ἐπέμφθη· καὶ ταύτην ἔχων μετὰ χεῖρας ἐν ἀρχῇ τοῦ λαοῦ διέτεμε τὴν θάλασσαν. διὰ ταύτης ἀπὸ τῆς πέτρας ὕδωρ ἀναβλύσαν ἑώρα. καὶ ξύλον βαλὼν εἰς τὸ ἐν Μέῤῥα ὕδωρ, πικρὸν ὄν, γλυκὺ ἐποίησε. ῥάβδους βαλὼν Ἰακὼβ εἰς τὰς ληνοὺς τῶν ὑδάτων, ἐγκισσῆσαι τὰ πρόβατα τοῦ μητραδέλφου, ἵνα τὰ γενόμενα ἐξ αὐτῶν κτήσηται, ἐπέτυχεν. ἐν ῥάβδῳ αὐτοῦ διαλελυθέναι τὸν ποταμὸν ὁ αὐτὸς Ἰακὼβ καυχᾶται· κλίμακα ἔφη ἑωρακέναι αὐτῷ, καὶ τὸν Θεὸν ἐπ' αὐτῆς ἐστηρίχθαι ἡ γραφὴ δεδήλωκε. καὶ ὅτι οὐχ ὁ πατὴρ ἦν, ἀπὸ τῶν γραφῶν ἀπεδείξαμεν. καὶ ἐπὶ λίθου καταχέας ἔλαιον, ἐν τῷ αὐτῷ τόπῳ Ἰακὼβ στήλην τῷ ὀφθέντι αὐτῷ Θεῷ ἀληλιφέναι ὑπ' αὐτοῦ τοῦ ὀφθέντος αὐτῷ Θεοῦ μαρτυρεῖται. καὶ ὅτι λίθος Χριστὸς διὰ πολλῶν γραφῶν συμβολικῶς ἐκηρύσσετο, ὁμοίως ἀπεδείξαμεν· καὶ ὅτι τὸ χρίσμα πᾶν εἴτε ἐλαίου, εἴτε στακτῆς, εἴτε τῶν ἄλλων τῶν τῆς συνθέσεως τοῦ μύρου χρισμάτων, τούτου 93 ἦν, ὁμοίως ἀπεδείξαμεν, τοῦ λόγου λέγοντος, Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ γὰρ οἱ βασιλεῖς πάντες καὶ οἱ χριστοί, ἀπὸ τούτου μετέσχον καὶ βασιλεῖς καλεῖσθαι καὶ χριστοί· ὃν τρόπον καὶ αὐτὸς ἀπὸ τοῦ πατρὸς ἔλαβε τὸ βασιλεύς, καὶ Χριστός, καὶ ἱερεύς, καὶ ἄγγελος, καὶ ὅσα ἄλλα τοιαῦτα ἔχει ἢ εἶχε.

ῥάβδος

ῥάβδος ἡ Ἀαρὼν βλαστὸν κομίσασα, ἀρχιερέα αὐτὸν ἀπέδειξε. ῥάβδον ἐκ ῥίζης Ἰεσσαὶ γενήσεσθαι τὸν Χριστὸν, Ἠσαΐας προεφήτευσε· καὶ Δαβὶδ, ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, φησὶν εἶναι τὸν δίκαιον· καὶ ὡς φοῖνιξ ἀνθήσειν ὁ δίκαιος εἴρηται. ἀπὸ ξύλου τῷ Ἀβραὰμ ὤφθη ὁ Θεὸς, ὡς γέγραπται, πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ. ἑβδομήκοντα ἰτέας καὶ δώδεκα πηγὰς εὗρεν ὁ λαὸς διαβὰς τὸν Ἰορδάνην. ἐν ῥάβδῳ καὶ βακτηρίᾳ παρακεκλῆσθαι ὑπὸ τοῦ Θεοῦ Δαβὶδ λέγει. ξύλον Ἐλισσαῖος βαλὼν εἰς τὸν Ἰορδάνην ποταμὸν, ἀνήνεγκε τὸν σίδηρον τῆς ἀξίνης, ἐν ᾗ πεπορευμένοι ἦσαν οἱ υἱοὶ τῶν προφητῶν, κόψαι ξύλα εἰς οἰκοδομὴν τοῦ οἴκου, ἐν ᾧ τὸν νόμον καὶ τὰ προστάγματα τοῦ Θεοῦ λέγειν καὶ μελετᾶν ἐβούλοντο· ὡς καὶ ἡμᾶς βεβαπτισμένους ταῖς βαρυτάταις ἁμαρτίαις ἃς ἐπράξαμεν, διὰ τοῦ σταυρωθῆναι ἐπὶ τοῦ ξύλου, καὶ δι' ὕδατος ἁγνίσαι, ὁ Χριστὸς ἡμῶν ἐλυτρώσατο, καὶ οἶκον εὐχῆς καὶ προσκυνήσεως ἐποίησε. καὶ ῥάβδος ἦν ἡ δείξασα Ἰούδαν πατέρα τῶν ἀπὸ Θάμαρ διὰ μέγα μυστήριον γεννηθέντων. Καὶ ὁ Τρύφων, εἰπόντος μου ταῦτα, ἔφη, Μή με λοιπὸν ὑπολάμβανε ἀνατρέπειν πειρώμενον τὰ ὑπὸ σοῦ λεγόμενα, πυνθάνεσθαι ὅσα ἂν πυνθάνωμαι, ἀλλὰ βούλεσθαι μανθάνειν περὶ τούτων αὐτῶν ὧν ἂν ἐρωτῶ. εἰπὲ οὖν μοι, διὰ τοῦ Ἠσαΐου εἰπόντος τοῦ λόγου, Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἀναβήσεται ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ:- καὶ ὁμολογήσας ταῦτα πρός με, ἔλεγεν, εἰς Χριστὸν εἰρῆσθαι, καὶ Θεὸν αὐτὸν προϋπάρχοντα λέγεις, καὶ κατὰ τὴν βουλὴν τοῦ Θεοῦ σαρκοποιηθέντα αὐτὸν λέγεις διὰ τῆς παρθένου γεγεννῆσθαι ἄνθρωπον· πῶς δύναται ἀποδειχθῆναι προϋπάρχων, ὅστις διὰ τῶν δυνάμεων τοῦ πνεύματος τοῦ ἁγίου, ἃς καταριθμεῖ ὁ λόγος διὰ Ἠσαΐου, πληροῦται, ὡς ἐνδεὴς τούτων ὑπάρχων; Κἀγὼ ἀπεκρινάμην, Νουνεχέστατα μὲν καὶ συνετώτατα ἠρώτησας· ἀληθῶς γὰρ ἀπόρημα δοκεῖ εἶναι· ἀλλ' ἵνα ἴδῃς καὶ τὸν περὶ τούτων λόγον, ἄκουε ὧν λέγω. ταύτας τὰς κατηριθμημένας τοῦ πνεύματος δυνάμεις, οὐχ ὡς ἐνδεοῦς αὐτοῦ τούτων ὄντος, φησὶν ὁ λόγος ἐπεληλυθέναι ἐπ' αὐτὸν, ἀλλ' ὡς ἐπ' ἐκεῖνον ἀνάπαυσιν μελλουσῶν ποιεῖσθαι, τουτέστιν ἐπ' αὐτοῦ πέρας ποιεῖσθαι τοῦ μηκέτι ἐν τῷ γένει ὑμῶν κατὰ τὸ παλαιὸν ἔθος προφήτας γενήσεσθαι· ὅπερ καὶ ὄψει ὑμῖν ἰδεῖν ἐστι· μετ' ἐκεῖνον γὰρ οὐδεὶς ὅλως προφήτης παρ' ὑμῖν γέγονε. καὶ ὅτι οἱ παρ' ὑμῖν προφῆται ἕκαστος μίαν τινὰ ἢ καὶ δευτέραν δύναμιν παρὰ τοῦ Θεοῦ λαμβάνοντες, ταῦτα ἐποίουν καὶ ἐλάλουν, ἃ καὶ ἡμεῖς ἀπὸ τῶν γραφῶν ἐμάθομεν, κατανοήσατε καὶ

Virga Aaronis germen ferens, pontificem eum declarauit. Virgam e radice Iessæ nasciturum esse CHRISTVM, Esaias prologuutus est. Et Dauid, vt *lignum* plantatum ad exitus aquarũ, quod fructum suũ producturum sit tempore suo, & cuius folium non sit defluxurum, Iustum esse ait. A ligno conspectus est Abraæ Deus, sicut scriptum est, ad ilicem Mambræ. Septuaginta salices [siue palmas] & duodecim fontes inuenit populus, transmisso Iordane. Virga & baculo consolationem se accepisse a Deo, dicit Dauid. Lignum vbi Elisæus in amnem Iordanem proiecit, ferrum securis extulit; qua filii prophetarum exiuerant vt ligna cæderent, ad structuram domus, vbi legem & præcepta Dei commemorare atque meditari constituerant: quemadmodum & nos grauissimis peccatis, quæ in nos admisimus, baptizatos atque submersos, per supplicium capitale crucis in ligno, & per purificationẽ aquæ, CHRISTVS noster redemit, & domum orationis & adorationis effecit. Et virga fuit quæ Iudam patrem esse demonstrauit eorum qui per ingens sacramentũ e Thamare progeniti sunt. Ac Trypho, talia cum dixissem: Ne me posthac, inquit, suspicare, euertẽdi animo quæ a te proferuntur, percontaturum esse quæcũque percontabor; sed discendi ea quæ inquiro volũtate. Dic igitur mihi, cum Verbũ per Esaiã dicat; *Egredietur virga de radice Iessæ; & conquiescet super eũ Spiritus Dei: Spiritus sapientiæ & intellectus, Spiritus consilij & fortitudinis, Spiritus cognitionis & pietatis; & replebit eũ Spiritus timoris Domini.* Et hæc apud me professus de CHRISTO promulgata esse, dicere pertexit: Cũ Deum ipsum prius fuisse affirmes, ac de consilio & voluntate Dei incarnatum, ex virgine hominẽ natũ esse asseras: quomodo probari potest eum prius fuisse, qui per virtutes Spiritus sancti, quas Verbum per Esaiam dinumerat, completur, perinde atq; eis indiguisset? Et ego respondi: Acutissime & prudentissime interrogasti. nam vere hoc dubitationem in se habere videtur. Verum vt de his quoque rationem teneas, quæ dicam accipe. Virtutes Spiritus quæ recensitæ sunt, Verbum non ita super eum venisse ait, quasi indigus earum fuerit; sed quod acquieturæ in illo essent; hoc est, in eo finem facturæ; ita vt in genere vestro non amplius more veteri prophetæ futuri essent. quod & oculis ipsi vestris cernere potestis. post illum namque nullus omnino apud vos natus est propheta. Ac quod prophetæ vestri, pro se quisque vnam aut etiam alteram Deo acceptam virtutem referentes, ea & fecerint & dixerint quæ nos quoque ex sanctis percepimus litteris, id vna cum his quæ a me dicuntur,

in animis vestris considerate. Nam Sapientiæ spiritum Salomon habuit; Intellectus & consilii, Daniel; Fortitudinis & pietatis, Moses; Timoris, Elias; & Cognitionis, Esaias: atque alii etiam similiter aut vnam, aut variè aliam quampiam atque aliam obtinuere virtutem; quemadmodum & Hieremias, & duodecim illi, & Dauid, & alii omnes, quicumque apud vos fuere sacri vates. Conquieuit ergo, id est quieuit [Spiritus,] cum ille venisset: post quem, œconomiæ & prouinciæ istius suæ obeundæ temporibus, cum inter homines esset, exactis, virtutes eas quiescere siue cessare a vobis oportebat: & in illo acquiescentes, denuo, prout vaticiniis est præmonstratum, dona fieri: quæ de gratia Virtutis Spiritus illius, in se credentibus ipse donat, pro eo atque dignum & idoneum quemque esse nouit. Et quod id ita fore a prophetis sit prædictum, secundum eius in cælum ascensionem, cum antea dixi, tum iterum repetens dico. Dictū ergo est: *Ascendit in altum; captiuam duxit captiuitatem; dedit dona filiis hominum.* Ac rursum in alio vaticinio dictum est: *Et fiet rursum post hæc; Effundam Spiritum meum super omnē carnem, & super seruos meos, & super seruas meas; & prophetabunt.* Est apud nos videre & fœminas & masculos, dona a Spiritu Dei habentes. Quapropter non eo vaticiniis est prænunciatum, in ipsum quæ commemoratæ sunt ab Esaia Virtutes venturas, quod per penuriam eis eguerit; sed quod vlterius non essent futuræ. Huius rei vobis testimonium sit, quod apud vos a Magis Arabicis factum esse retuli: qui simul atque puellus progenitus esset, aduenientes, adorarunt eum. Nam in lucem editus, virtutem suam obtinuit: & incrementum capiēs, iuxta communem aliorum omniū mortalium morem, rebus congruentibus vsurpandis, suum cuique auctui & ætati tribuit; alimētis omnibus vtens, & ad annos plus minus triginta durans; quoadusque Ioannes, aduentus eius præco, & baptismi viam præiens, sicut antea ostendi, processit. Ac tum IESV ad Iordanem flumen adueniente, vbi Ioannes baptizabat, cum IESVS in vndam descendisset, & ignis in Iordane accensus est; & reuertente ipso ex aqua, veluti columbam Spiritum sanctum deuolasse super eum, scripserunt apostoli & legati huius ipsius CHRISTI nostri. Ad amnem eum non ideo venisse, pro comperto habemus, quod vel Baptismi lauatione, vel Spiritus in specie columbæ aduentu opus ei fuerit; sicuti nec nasci [& circumcidi] & crucifigi, propter functionis huiusmodi indigentiam sustinuit: sed humani generis causa, quod per Adam in mortem, & fraudem seductionemque serpentis conciderat. vt interim propriam pro se maligne agentis cuiusque culpam taceam.

τὰ ὑπ' ἐμοῦ λεγόμενα. Σοφίας μὲν γὰρ πνεῦμα Σολομὼν ἔσχε, συνέσεως δὲ καὶ βουλῆς Δανιήλ, ἰσχύος δὲ καὶ εὐσεβείας Μωσῆς, καὶ Ἠλίας φόβου, καὶ γνώσεως Ἠσαΐας· καὶ οἱ ἄλλοι αὖ ὁμοίως, ἢ μίαν ἕκαστος, ἢ ἐναλλὰξ ἄλλην ἥνα μετ' ἄλλης δυνάμεως ἔσχον· οἷον καὶ Ἱερεμίας, καὶ οἱ δώδεκα, καὶ Δαβίδ, καὶ οἱ ἄλλοι ἁπλῶς ὅσοι γεγένασι παρ' ὑμῖν προφῆται. ἀνεπαύσατο οὖν, τουτέστιν ἐπαύσατο, ἐλθόντος ἐκείνου, μεθ' ὃν τῆς οἰκονομίας ταύτης τῆς ἐν ἀνθρώποις αὐτοῦ γενομένοις χρόνοις παύσασθαι ἔδει αὐτὰ ἀφ' ὑμῶν, καὶ ἐν τούτῳ ἀνάπαυσιν λαβόντα, πάλιν ὡς ἐπεπροφήτευτο γενήσεσθαι δόματα, ἃ ἀπὸ τῆς χάριτος τῆς δυνάμεως τοῦ πνεύματος ἐκείνου τοῖς ἐπ' αὐτὸν πιστεύουσι δίδωσιν, ὡς ἄξιον ἕκαστον ἐπίσταται. ὅτι ἐπεπροφήτευτο τοῦτο μέλλειν γίνεσθαι ὑπ' αὐτοῦ μετὰ τὴν εἰς οὐρανὸν ἀνέλευσιν αὐτοῦ, εἶπον μὲν ἤδη, καὶ πάλιν λέγω. εἶπεν οὖν, Ἀνέβη εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ πάλιν ἐν ἑτέρᾳ προφητείᾳ εἴρηται, Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ τὸ πνεῦμά μου ἐπὶ πᾶσαν σάρκα, καὶ ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου, καὶ προφητεύσουσι. Καὶ παρ' ἡμῖν ἐστιν ἰδεῖν καὶ θηλείας, καὶ ἄρσενας, χαρίσματα ἀπὸ τοῦ πνεύματος τοῦ Θεοῦ ἔχοντας. ὥστε οὐ διὰ τὸ εἶναι αὐτὸν ἐνδεῆ δυνάμεως ἐπεπροφήτευτο ἐλεύσεσθαι ἐπ' αὐτὸν τὰς δυνάμεις τὰς κατηριθμημένας ὑπὸ Ἠσαΐου, ἀλλὰ διὰ τὸ ἐπέκεινα μὴ μέλλειν ἔσεσθαι. μαρτύριον δὲ καὶ τοῦτο ἔστω ὑμῖν, ὃ ἔφην πρὸς ὑμᾶς γεγενῆσθαι ὑπὸ τῶν ἀπ' Ἀρραβίας μάγων, οἵτινες ἅμα τῷ γεννηθῆναι τὸ παιδίον, ἐλθόντες προσεκύνησαν αὐτῷ. καὶ γὰρ γεννηθεὶς, δύναμιν τὴν αὐτοῦ ἔσχε· καὶ αὐξάνων κατὰ τὸ κοινὸν τῶν ἄλλων ἁπάντων ἀνθρώπων, χρώμενος τοῖς ἁρμόζουσιν, ἑκάστῃ αὐξήσει τὸ οἰκεῖον ἀπένειμε, τρεφόμενος τὰς πάσας τροφάς, καὶ τριάκοντα ἔτη ἢ πλείονα, ἢ καὶ ἐλάσσονα μείνας, μέχρις οὗ προελήλυθεν Ἰωάννης κῆρυξ αὐτοῦ τῆς παρουσίας, καὶ τὴν τοῦ βαπτίσματος ὁδὸν προϊών, ὡς καὶ προαπέδειξα. καὶ τότε ἐλθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸν Ἰορδάνην ποταμόν, ἔνθα ὁ Ἰωάννης ἐβάπτιζε, κατελθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸ ὕδωρ, καὶ πῦρ ἀνήφθη ἐν τῷ Ἰορδάνῃ· καὶ ἀναδύντος αὐτοῦ ἀπὸ τοῦ ὕδατος, ὡς περιστερὰν τὸ ἅγιον πνεῦμα ἐπιπτῆναι ἐπ' αὐτὸν ἔγραψαν οἱ ἀπόστολοι αὐτοῦ τούτου τοῦ Χριστοῦ ἡμῶν· καὶ οὐχ ὡς ἐνδεᾶ αὐτὸν τοῦ βαπτισθῆναι, ἢ τοῦ ἐπελθόντος ἐν εἴδει περιστερᾶς πνεύματος, οἴδαμεν αὐτὸν ἐληλυθέναι ἐπὶ τὸν ποταμόν· ὥσπερ οὐδὲ τὸ γεννηθῆναι αὐτὸν καὶ σταυρωθῆναι, ὡς ἐνδεὴς τούτων, ὑπέμεινεν, ἀλλ' ὑπὲρ τοῦ γένους τοῦ τῶν ἀνθρώπων, ὃ ἀπὸ τοῦ Ἀδὰμ ὑπὸ θάνατον καὶ πλάνην τὴν τοῦ ὄφεως ἐπεπτώκει, παρὰ τὴν ἰδίαν αἰτίαν ἑκάστου αὐτῶν πονηρευσαμένου. 94

Volens

βουλόμενος γὰρ τούτους ἐν ἐλευθέρᾳ προαιρέσει, καὶ αὐτεξουσίους γενομένους, τούς τε ἀγγέλους καὶ τοὺς ἀνθρώπους, ὁ Θεὸς πράττειν ὅσα ἕκαστον ἐνεδυνάμωσε δύνασθαι ποιεῖν, ἐποίησεν· εἰ μὲν τὰ εὐάρεστα αὐτῷ αἱροῖντο, καὶ ἀφθάρτους καὶ ἀτιμωρήτους αὐτοὺς τηρῆσαι· ἐὰν δὲ πονηρεύσωνται, ὡς αὐτῷ δοκεῖ ἕκαστον κολάζειν. καὶ γὰρ οὐδὲ τὸ καθεσθέντα αὐτὸν ὄνῳ ἐπελθεῖν εἰς Ἱεροσόλυμα, ὡς ἀπεδείξαμεν πεπροφητεῦσθαι, δύναμιν αὐτῷ ἐνεποίει εἰς τὸ Χριστὸν εἶναι, ἀλλὰ τοῖς ἀνθρώποις γνώρισμα ἔφερεν, ὅτι αὐτός ἐστιν ὁ Χριστός· ὅνπερ τρόπον καὶ ἐπὶ τοῦ Ἰωάννου ἔδει γνώρισμα τοῖς ἀνθρώποις εἶναι, ὅπως ἐπιγνῶσι τίς ἐστιν ὁ Χριστός. Ἰωάννου γὰρ καθεζομένου ἐπὶ τοῦ Ἰορδάνου, καὶ κηρύσσοντος βάπτισμα μετανοίας, καὶ ζώνην δερματίνην καὶ ἔνδυμα ἀπὸ τριχῶν καμήλου μόνον φοροῦντος, καὶ μηδὲν ἐσθίοντος πλὴν ἀκρίδας καὶ μέλι ἄγριον, οἱ ἄνθρωποι ὑπελάμβανον αὐτὸν εἶναι τὸν Χριστόν· πρὸς οὓς καὶ αὐτὸς ἐβόα, Οὐκ εἰμὶ ὁ Χριστός, ἀλλὰ φωνὴ βοῶντος. ἥξει γὰρ ὁ ἰσχυρότερός μου· οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. καὶ ἐλθόντος τοῦ Ἰησοῦ ἐπὶ τὸν Ἰορδάνην, καὶ νομιζομένου Ἰωσὴφ τοῦ τέκτονος υἱοῦ ὑπάρχειν, καὶ ἀειδοῦς ὡς αἱ γραφαὶ ἐκήρυσσον φαινομένου, καὶ τέκτονος νομιζομένου, (ταῦτα γὰρ τὰ τεκτονικὰ ἔργα εἰργάζετο ἐν ἀνθρώποις ὤν, ἄροτρα καὶ ζυγά· διὰ τούτων καὶ τὰ τῆς δικαιοσύνης σύμβολα διδάσκων, καὶ ἐνεργῆ βίον) τὸ πνεῦμα οὖν τὸ ἅγιον, καὶ διὰ τοὺς ἀνθρώπους, ὡς προέφην, ἐν εἴδει περιστερᾶς ἐπέπτη αὐτῷ, καὶ φωνὴ ἐκ τῶν οὐρανῶν ἅμα ἐληλύθει, ἥτις καὶ διὰ Δαβὶδ λεγομένη, ὡς ἀπὸ προσώπου αὐτοῦ λέγοντος ὅπερ αὐτῷ ἀπὸ τοῦ πατρὸς ἔμελλε λέγεσθαι, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. τότε γένεσιν αὐτοῦ λέγων γίνεσθαι τοῖς ἀνθρώποις, ἐξ ὅτου ἡ γνῶσις αὐτοῦ ἔμελλε γίνεσθαι, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Καὶ ὁ Τρύφων, Εὖ ἴσθι, ἔφη, ὅτι καὶ πᾶν τὸ γένος ἡμῶν τὸν Χριστὸν ἐκδέχεται, καὶ ὅτι πᾶσαι αἱ γραφαὶ ἃς ἔφης, εἰς αὐτὸν εἴρηνται, ὁμολογοῦμεν· καὶ ὅτι τὸ Ἰησοῦς ὄνομα δεδυσώπηκέ με τῷ τοῦ Ναυῆ υἱῷ ἐπικληθῆναι, ἐνδόξως ἔχειν καὶ πρὸς τοῦτο, καὶ τοῦτό φημι. εἰ δὲ καὶ ἀτίμως οὕτως σταυρωθῆναι τὸν Χριστόν, ἀποροῦμεν· ἐπικατάρατος γὰρ ὁ σταυρούμενος ἐν τῷ νόμῳ λέγεται εἶναι. ὥστε πρὸς τοῦτο ἀκμὴν δυσπίστως ἔχω. παθητὸν μὲν τὸν Χριστὸν ὅτι αἱ γραφαὶ κηρύσσουσι, φανερόν ἐστιν· εἰ δὲ διὰ τοῦ ἐν τῷ νόμῳ κεκατηραμένου πάθους, βουλόμεθα μαθεῖν, εἰ ἔχεις καὶ περὶ τούτου ἀποδεῖξαι.

Εἰ μὲν μὴ ἔμελλε πάσχειν ὁ Χριστός, φημὶ αὐτῷ ἐγώ, μηδὲ προεῖπον οἱ προφῆται ὅτι ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ ἀχθήσεται εἰς θάνατον, καὶ ἀτιμωθήσεται, καὶ μαστιχθήσεται, καὶ ἐν τοῖς ἀνόμοις λογισθήσεται, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεται,

Volens namque Deus, & angelos & homines per liberum arbitrii delectum suæ quemque esse potestatis, vt quisque quæ pro virili sua parte posset, faceret; tales eos creauit: quo, placita sibi si delegissent, a corruptione & pœna omni liberi conseruarentur: sin maligne agerent, sicuti visum illi esset, quisque torqueretur. Nec illud quoque quod asinæ insidens (quod ita facturum esse, prophetia præmonstratum esse docui) Hierosolyma est ingressus, virtutem ei aliquam in hoc vt CHRISTVS esset, præstitit; sed hominibus CHRISTVM ipsum esse indicium fecit; pro eo atque per Ioannem quoque indicari cum hominibus opus fuit, vt illi certo scirent, quinam CHRISTVS esset. Ioanne namque ad Iordanem sedēte, & lauacrum pœnitentiæ præconio suo annunciante, quia zonam pelliceam & vestem de cameli pilis textam tantum gerebat, & nihil prętcrquā summa arbuscularum germina & mel siluestre edebat, homines CHRISTVM ipsum esse suspicati sunt. Apud quos ille clamitauit: *Non ego sum CHRISTVS, sed vox clamātis. Veniet enim fortior me, cuius non sum dignus aut idoneus vt calceamenta portem.* Et cum ad Ioannem venisset IESVS, & Ioseph fabri lignarii filius haberetur, informis videlicet, quemadmodum Scripturę annunciauerant, apparens, faberque adeo & ipse putaretur esse; (*fabrilia namque cum in hominibus esset, faciebat opera, aratra & iuga conficiens*; per hæc & iustitiæ docens signa, & vitam non ociosam) simul Spiritus sanctus, propter homines (prout antea dixi) in specie columbæ in eū deuolauit. simul vox de cælo venit, quæ etiam per Dauidē est dicta, tamquam ex persona sua referentem, quod illi a Patre dicendum erat: *Filius meus es tu: ego hodie genui te*: tum natiuitatem etiam eius contingere hominibus affirmans, cum notio eius contingeret: *Filius meus es tu; ego hodie genui te.* Et Trypho: Quod genus quoque nostrum omne, inquit, CHRISTVM exspectet & recipiat, scito: quodque Scripturæ, quas commemorasti omnes, in ipsum conceptæ sint, confitemur: & quod præterea IESV nomen, quo filius Nauæ cognominatus est, & huic recte sit inditū, id quoq; religiose persuasus probo. Quod vero tā ignominiose CHRISTVS in cruce sit suspensus, de eo ambigimus. Maledictus enim esse, qui in crucē agitur, in Lege perhibetur. Proinde ad id credendū, admodū adhuc sum difficilis. nā passioni subditum esse CHRISTVM, sanctas denūciate litteras, manifestū est. an aūt per eam quæ exsecrationi in Lege subiecta est, passionem mulctatus sit si de hoc quoq; quod demōstres habes, discere volumus. Si quidē nō fuisset passurus CHRISTVS, (ad illū dixi ego) nec prophetæ eū ab iniquitatib. populi in mortē abductum, & ignominia affectū, & flagris cęsum, & inter iniquos reputatū, & veluti ouē ad occisionē raptū iri;

cuius genus neminem enarraturum esse affirmat sacer vates; prælоquuti essent: recte admirationi fuisset relictus locus. Sin hoc illud est quod ipsum denotat & indicat omnibus: qui fieri potuit quin & nos in eum cum magna fiducia crederemus? & quicumque prophetarum sensum tenent, hunc ipsum, non alium, CHRISTVM esse dicent, si modo audierint: hunc inquã crucifixum. Itaque & nos, Trypho inquit, ex Sacris institue litteris; vt tibi fidẽ nos quoque habeamus. Pati enim illum, & tamquam ouem duci scimus: an autem in crucem etiam actus, & tam fœde ignominioseque supplicio per Legem maledictionis diris deuoto mortuus sit, nobis ostende. nos etenim, ne in cogitationem quidem indignitatis huius venire possumus. Scisne, inquam, quæcumque dixerunt & fecerunt prophetæ, sicut & confessi estis, quod similitudinibus & figuris ea contexerint; vt non facile plurima ab omnibus intelligerẽtur; veritatem in ipsis recondentes, vt laborem aliquem ferrẽt, inuenire & assequi eam studentes? Illi aũt responderunt; Confessi hoc sumus. Audi ergo, dixi, quod consequitur. Nam Moses princeps hanc eius, sicuti videtur, manifeste exhibuit exsecrationem, per ea quæ edidit signa. Quænã, inquit, ista dicis? Cum populus, inquam, bellum gereret aduersus Amalech, & Nauæ filius, IESV nomine cognominatus, inter primos pugnaret, Moses ipse Deum orabat, manibus vtrinque expassis: Hur autem & Aaron eas die toto sustinebant, ne ipso defatigato demitterentur. Nam si quidquam remittebatur de signo isto crucem imitãte; prout in Mosæ litteris est scriptum, populus vincebatur: sin in statu isto permanebat, Amalech superabatur. Et qui fortis erat, per crucem fortis, rem præclare gerebat. non enim propterea quod Moses ita orabat, populus in prœlio superior erat; sed quod nomine IESV in prima acie versante, ipse crucis signum designabat. Quis enim vestrum ignorat, precationem eam maxime flectere Deum, quæ ad commiserationem mouendam lacrymis est cõparata, ab eo qui pronus decumbit, aut in genua procumbit? Ad hunc autem modũ in saxo residens, neque ipse antea orauerat, neque postea alius. Habet etiam *lapis* designationem suam ad CHRISTVM, sicuti ostendi. Et aliter vim mysterii crucis indicans Deus per Mosen, in benedictione qua Iosepho benedixit, ait; *A benedictione Domini terra eius, ex horis cæli, & rore [superne;] & ex abysso fontium & aquarum purarum inferne: germina solis conuersionis, & ex coitionibus mensium, & a vertice summitatis montium, & a vertice collium & fluminum perennium, & fructuũ terra plenitudinis: & placita acceptaque ei qui in rubo apparuit, veniant in caput & verticem Iosephi. Gloria vuectus inter fratres; primogenitum tauri pulchritudo eius. cornua monocerotis cornua eius. ipsis gentes*

οὗ τὸ γένος ἐξηγήσασθαι ἔχειν οὐδένα φησὶν ὁ προφήτης, καλῶς εἶχε θαυμάζειν. εἰ δὲ τοῦτ' ἔστι τὸ χαρακτηρίζον αὐτὸν καὶ πᾶσι μηνῦον, πῶς οὐχὶ καὶ ἡμεῖς θαρροῦντες πεπιστεύκαμεν εἰς αὐτόν; καὶ ὅσοι νενοήκασι τὰ τῶν προφητῶν, τοῦτον φήσουσιν, οὐκ ἄλλον, εἰ μόνον ἀκούσειαν ὅτι οὗτος ἐσταυρωμένος. Καὶ ἡμᾶς οὖν, ἔφη, προσβίβασον ἐκ τῶν γραφῶν, ἵνα σοι πεισθῶμεν καὶ ἡμεῖς. παθεῖν μὲν γὰρ, καὶ ὡς πρόβατον ἀχθήσεσθαι οἴδαμεν· εἰ δὲ καὶ σταυρωθῆναι, καὶ οὕτως αἰσχρῶς καὶ ἀτίμως ἀποθανεῖν διὰ τοῦ κεκατηραμένου ἐν τῷ νόμῳ θανάτου, ἀπόδειξον ἡμῖν. ἡμεῖς γὰρ οὐδ' εἰς ἔννοιαν τούτου ἐλθεῖν δυνάμεθα. Οἶσθα, ἔφην, ὅτι ὅσα εἶπον καὶ ἐποίησαν οἱ προφῆται, ὡς καὶ ὡμολογήθη ὑμῖν, παραβολαῖς καὶ τύποις ἀπεκάλυψαν, ὡς μὴ ῥᾳδίως τὰ πλεῖστα ὑπὸ πάντων νοηθῆναι, κρύπτοντες τὴν ἐν αὐτοῖς ἀλήθειαν, ὡς καὶ πονέσαι τοὺς ζητοῦντας εὑρεῖν καὶ μαθεῖν. Οἱ δὲ ἔφησαν, Καὶ ὡμολογήθη ἡμῖν. Ἄκουε οὖν, φημὶ, τὸ μετὰ τοῦτο. Μωσῆς γὰρ πρῶτος ἐξέφηνεν αὐτοῦ ταύτην τὴν δοκοῦσαν κατάραν, δι' ὧν ἐποίησε σημείων. Τίνων τούτων, ἔφη, λέγεις; Ὅτι ὁ λαὸς, φημὶ, ἐπολέμει τῷ Ἀμαλὴκ, καὶ ὁ τοῦ Ναυῆ υἱὸς ὁ ἐπονομασθεὶς τῷ Ἰησοῦ ὀνόματι τῆς μάχης ἦρχεν, αὐτὸς Μωσῆς ηὔχετο τῷ Θεῷ, τὰς χεῖρας ἑκατέρας ἐκπετάσας· Ὢρ δὲ καὶ Ἀαρὼν ὑπεβάσταζον αὐτὰς πανήμερ, ἵνα μὴ κοπιαθέντος αὐτοῦ χαλασθῶσιν. εἰ γὰρ ἐνεδεδώκει τι τοῦ σχήματος τούτου τοῦ τὸν σταυρὸν μιμουμένου, ὡς γέγραπται ἐν ταῖς Μωσέως γραφαῖς, ὁ λαὸς ἡττᾶτο· εἰ δὲ ἐν τῇ τάξει ἔμενε ταύτῃ, Ἀμαλὴκ ἐνικᾶτο τοσοῦτον καὶ ἰσχύων, διὰ τοῦ σταυροῦ ἴσχυεν. οὐ γὰρ ὅτι οὕτως ηὔχετο Μωσῆς, διὰ τοῦτο κρείσσων ὁ λαὸς ἐγίνετο, ἀλλ' ὅτι ἐν ἀρχῇ τῆς μάχης τοῦ ὀνόματος τοῦ Ἰησοῦ ὄντος, αὐτὸς τὸ σημεῖον τοῦ σταυροῦ ἐποίει. τίς γὰρ οὐκ ἐπίσταται ὑμῶν, ὅτι μάλιστα μὲν ἡ μετ' οἴκτου καὶ δακρύων εὐχὴ μειλίσσεται τὸν Θεὸν, καὶ ἡ ἐν πρηνεῖ κατακλίσει, καὶ ἐν γόνασιν ὀκλάσαντός τινος. τοῦτον δὲ τὸν τρόπον ἐπὶ λίθου καθεζόμενος, οὔτε αὐτὸς ηὔξατο, οὔτε ἄλλος ὕστερον. ἔχει δὲ καὶ ὁ λίθος σύμβολον, ὡς ἀπέδειξα, πρὸς τὸν Χριστόν. καὶ γὰρ δι' ἄλλου μηνύων τὴν ἰσχὺν τοῦ μυστηρίου τοῦ σταυροῦ ὁ Θεὸς διὰ Μω- 94
σέως, εἶπεν ἐν εὐλογίᾳ ᾗ εὐλόγει τὸν Ἰωσήφ· Ἀπ' εὐλογίας Κυρίου ἡ γῆ αὐτοῦ· ἀπὸ ὡρῶν οὐρανοῦ, καὶ δρόσου· καὶ ἀπὸ ἀβύσσου πηγῶν κάτωθεν, καὶ καθ' ὡρῶν γεννήματα ἡλίου τροπῶν· καὶ ἀπὸ συνόδων μηνῶν, καὶ ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς βουνῶν, καὶ ποταμῶν ἀενάων, καὶ καρπῶν γῆς πληρώσεως. καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν τῇ βάτῳ, ἔλθοισαν ἐπὶ κεφαλὴν Ἰωσὴφ, καὶ ἐπὶ κορυφῆς. δοξασθεὶς ἐν ἀδελφοῖς· πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ· κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ· ἐν

" αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἀπ' ἄκρου τῆς γῆς: μονοκέρωτος γὰρ κέρατα οὐδενὸς ἄλλου πράγματος ἢ σχήματος ἔχοι ἄν τις εἰπεῖν καὶ ἀποδεῖξαι, εἰ μὴ τοῦ τύπου ὃς τὸν σταυρὸν δείκνυσιν. ὄρθιον γὰρ τὸ ἕν ἐστι ξύλον, ἀφ' οὗ ἐστι τὸ ἀνώτατον μέρος εἰς κέρας ὑπερηρμένον, ὅταν τὸ ἄλλο ξύλον προσαρμοσθῇ, καὶ ἑκατέρωθεν ὡς κέρατα τῷ ἑνὶ κέρατι παρεζευγμένα τὰ ἄκρα φαίνηται· καὶ τὸ ἐν τῷ μέσῳ πηγνύμενον ὡς κέρας καὶ αὐτὸ ἐξέχον ἐστίν, ἐφ' ᾧ ἐποχοῦνται οἱ σταυρούμενοι· καὶ βλέπεται, ὡς κέρας, καὶ αὐτὸ σὺν τοῖς ἄλλοις κέρασι
" συνεσχηματισμένον, καὶ πεπηγμένον. καὶ τὸ, Ἐν αὐ-
" τοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἀπ' ἄκρου τῆς γῆς: δηλωτικόν ἐστι τοῦ νῦν γεγενημένου πράγματος ἐν πᾶσι τοῖς ἔθνεσι. κερατισθέντες γὰρ, τουτέστι κατανυγέντες, οἱ ἐκ πάντων τῶν ἐθνῶν διὰ τούτου τοῦ μυστηρίου, εἰς τὴν θεοσέβειαν ἐτράπησαν ἀπὸ τῶν ματαίων εἰδώλων καὶ δαιμόνων· τοῖς δὲ ἀπίστοις τὸ αὐτὸ σχῆμα εἰς κατάλυσιν καὶ καταδίκην δηλοῦται· ὃν τρόπον ἐν τῷ ἀπ' Αἰγύπτου ἐξελθόντι λαῷ διά τε τοῦ τύπου τῆς ἐκτάσεως τῶν χειρῶν τοῦ Μωϋσέως, καὶ τῆς τοῦ Ναυῆ υἱοῦ ἐπικλήσεως τοῦ ὀνόματος Ἰησοῦ, ὁ Ἀμαλὴκ μὲν ἡττᾶτο, Ἰσραὴλ δὲ ἐνίκα. καὶ διὰ τοῦ τύπου δὲ καὶ σημείου τοῦ κατὰ τῶν δακόντων τὸν Ἰσραὴλ ὄφεων σταυρωθέντος ἀνάθεσις φαίνεται γεγενημένη ἐπὶ σωτηρίᾳ τῶν πιστευόντων, ὅτι διὰ τοῦ σταυροῦσθαι μέλλοντος θάνατος γενήσεσθαι ἔκτοτε προεκηρύσσετο τῷ ὄφει, σωτηρία δὲ τοῖς καταδακνομένοις ὑπ' αὐτοῦ, καὶ προσφεύγουσι τῷ τὸν ἐσταυρωμένον υἱὸν αὐτοῦ πέμψαντι εἰς τὸν κόσμον. οὐ γὰρ ἐπὶ ὄφιν ἡμᾶς πιστεύειν τὸ προφητικὸν πνεῦμα διὰ Μωσέως ἐδίδασκεν, ὁπότε καὶ καταράσθαι αὐτὸν τὴν ἀρχὴν ὑπὸ τοῦ Θεοῦ δηλοῖ, καὶ ἐν τῷ Ἠσαΐᾳ ἀναιρεθήσεσθαι ὡς πολέμιον διὰ τῆς μεγάλης μαχαίρας, ἥτις ἐστὶν ὁ Χριστὸς, σημαίνει. εἰ οὖν τις μὴ μετὰ μεγάλης χάριτος τῆς παρὰ Θεοῦ λάβοι νοῆσαι τὰ εἰρημένα καὶ γεγενημένα ὑπὸ τῶν προφητῶν, οὐδὲν αὐτὸν ὀνήσει τὸ τὰς ῥήσεις δοκεῖν λέγειν, ἢ τὰ γεγενημένα, εἰ μὴ λόγον ἔχει καὶ περὶ αὐτῶν ἀποδιδόναι· ἀλλὰ μή τι γε καὶ εὐκαταφρόνητα δόξει τοῖς πολλοῖς ὑπὸ τῶν μὴ νοούντων αὐτὰ λεγόμενα. εἰ γάρ τις ἐξετάζειν βούλοιτο ὑμᾶς, ὅτι Ἐνὼχ, καὶ Νῶε ἅμα τοῖς τέκνοις, καὶ εἴτινες ἄλλοι τοιοῦτοι γεγόνασι, μήτε ἐν περιτομῇ γενόμενοι, μήτε σαββατίσαντες, εὐηρέστησαν τῷ Θεῷ, τίς ἡ αἰτία τοῦ δι' ἄλλων προστατῶν καὶ νομοθεσίας μετὰ τοσαύτας γενεὰς ἀξιοῦν τὸν Θεὸν δικαιοῦσθαι μὲν τοὺς ἀπὸ Ἀβραὰμ μέχρι Μωσέως διὰ περιτομῆς, τοὺς δὲ ἀπὸ Μωσέως καὶ διὰ περιτομῆς, καὶ τῶν ἄλλων ἐντολῶν, τουτέστι σαββάτου, καὶ θυσιῶν, καὶ σποδῶν, καὶ προσφορῶν, εἰ μὴ, ὡς προείρηται ὑπ' ἐμοῦ, ἀποδείξετε, ὅτι διὰ τὸ τὸν Θεὸν, προγνώστην ὄντα, ἐγνωκέναι ἄξιον γενησόμενον τὸν λαὸν ὑμῶν ἐκβληθῆναι ἀπὸ τῆς Ἱερουσαλὴμ,

gentes petet ad summum inde vsque a summo terra. Vnicornis enim cornua, non alterius cuiuspiam rei aut figuræ aliquis dicere & demõstrare queat, similia esse, quam notæ eius quæ crucem designat. Directũ namque est vnum lignum; vnde summa pars in cornu sustollitur, cũ lignũ ei aliud adaptatur: & vtrimque, vt cornua, vnicornu adiunctæ summitates apparẽt: & quod in medio fixum est, vt cornu & ipsum eminet; in quo vehuntur & insident qui crucis supplicium subeunt: & cornu formam præ se fert istud ipsum quoque, cum alijs cornibus conformatum & compactum lignum. Et illud: *Eis gentes petet ad summum, inde vsque a summo terræ:* rem inter omnes gentes nunc gestam denotat. Cornibus enim petiti, hoc est transfixi, ex nationibus omnibus, per sacramentum istud ad veram religionem cõuersi sunt a vanis simulacris & dæmonibus homines. Infidelibus autem hoc idem signum in excidium & condemnationem ostentatur, eodem quo in populo ex Ægypto profecto modo: vna per figuram extensarum Mosis manuum, vna per Nauæ filii nominis IESV appellationem, Amalech quidem fundebatur, Israel autem victor euadebat. Hac quoq; nota & signo, Israeli cõtra serpẽtes morsu perimentes statua apparet esse facta, propter credentium salutem: quod iã inde ab eo tempore, per eum qui crucis supplicium pertulit, serpenti mors præsagio sit denunciata; salus autem his qui ab ipso morsu læsi, ad eum confugiunt a quo Filius crucifixus in mundum est missus, nõ enim in serpẽtem nos credere per Mosen docuit Spiritus propheticus; quando illum a principio etiam maledictionis exsecratione a Deo mulctatum esse indicat: & in Esaia per gladium magnũ, qui CHRISTVS est, iugulandum esse vt hostem significat. Itaque nisi quis cum prolixa Dei gratia intelligere cœperit dicta & facta prophetarum, nihil ei proderit, quod videatur voces eorum & opera referre, si nõ possit rationem quoque eorum explicare. Quin permultis illa etiam contemptibilia existimabuntur esse, si ab eis qui non intelligant, commemorentur. Si quis namque ex vobis percunctari velit; cum Enoch, & Noe vna cũ liberis, & si qui præterea eiusmodi exstitere, neque circumcisionem habentes, neque sabbata celebrantes, grati acceptique Deo fuerint: quæ causa sit, quamobrẽ per alios præsides & constitutiones, post tot hominũ ætates & generationes, dignatus Deus sit iustificare Abrææ quidẽ posteros vsque ad Mosen, per circũcisionẽ; Mosis aũt successores, & per circũcisionẽ, & per alia instituta, hoc est sabbata, & victimas, & cineres, & oblationes; [tũ aũt, curnã adhuc abolitã carnis circũcisionẽ retineatis] nisi, quẽadmodũ prius a me est dictum, ostẽderitis Deũ qui futurorũ præscius est, cognouisse, populũ vestrũ dignũ fore vt Hierosolymis eiciatur,

neque cuiquam vestrum vt eo introeat concedatur, [quid habebitis quod respōdeatis?] De nulla enim nota alia cognosci potestis, quam de circumcisione; sicut a me est dictum. Siquidem Abraā non propter circumcisionem, iusticiæ a Deo reportauit testimonium; sed propter fidem. priusquam enim est circumcisus, sic de eo promulgatum est: *Credidit autem Abraam Deo; & reputatum est ei ad iusticiam.* Quocirca & nos, in præputio carnis nostræ credentes Deo per CHRISTVM, & circumcisionem obtinentes nobis eam assequutis vtilem, cordis scilicet circumcisionem, iusti & placiti Deo, vt speramus, apparebimus: quandoquidem iam nūc testimonium accepimus ab eo, per sermones propheticos. Porro quod iussi estis sabbata & ferias agere, & oblationes offerre; & quod Dominus locū de nomine Dei vocari sustinuit: factum est, sicut dixi, ne simulacra colentes, & Dei obliuiscentes, impii & sine Deo essetis, sicuti vos semper fuisse patet. Et propter hanc ipsam causam, Deum de sabbatis & oblationibus vobis sanctiones tulisse, in superioribus a me est demonstratum. Verum propter eos qui hodie venerunt, eadē prope omnia repetere volo. nam si hoc ita non est, calumniose suggillabitur Deus, quasi futurorum sciētiam non teneat: neque eadem iusta ex æquo omnes & scire & facere instituerit. Plures enim generationes hominum ante Mosen certum est extitisse: neque vllum est verbum quod dicat, Deum verum & iustum non esse: quippe *omnes viæ eius iudicia, & non est iniquitas in eo.* Enimuero cum Verbum verum sit, ac Deus vos non semper eiusmodi, insipientes videlicet & sui amātes, esse velit: videte vt saluemini cū CHRISTO, qui complacuit Deo, & testimonia ab eodem idonea obtinuit; prout supra cōmemoraui, demōstratione per verba prophetica confirmata. Eadem namque ille semper & modis omnibus iusta, omnemque iusticiam proponit in omni genere mortalium. Et genus omne nouit, adulterium esse malum, & fornicationem, & homicidium, & quæcumque alia sunt eiusmodi peccata. Atque etiamsi omnes hæc admittant, non tamen ea facientes iniuste se agere nesciunt; eis exceptis qui Spiritu impuro repleti, & per conuersationē cōsuetudinemque prauam & leges malas corrupti, naturales notiones perdiderunt, immo potius exstinxerūt, aut inhibitas tenent. Videre enim est, tum pati ea nolētes quę aliis ipsi faciunt, tum conscientiis hostilibus probrose aliis obiicientes quæ ab ipsis committuntur. Quapropter pulchre mihi videtur esse dictum a Domino & saluatore nostro IESV CHRISTO, duobus præceptis omnem impleri iusticiam & religionem. Sunt autem ista: *Diliges Dominum Deum tuum ex toto corde tuo, & ex omni fortitudine tua; & pro-*

καὶ μηδένα ἐπιτρέπεσθαι εἰσελθεῖν ἐκεῖ. οὐδαμόθεν γὰρ ἀλλαχόθεν ἐστὲ γνωριζόμενοι, ὡς προέφην, εἰ μὴ ἀπὸ τῆς περὶ τὴν σάρκα περιτομῆς. οὐδὲ γὰρ Ἀβραὰμ διὰ τὴν περιτομὴν δίκαιος εἶναι ὑπὸ τοῦ Θεοῦ ἐμαρτυρήθη, ἀλλὰ διὰ τὴν πίστιν. πρὸ τοῦ γὰρ περιτμηθῆναι αὐτὸν, εἴρηται περὶ αὐτοῦ οὕτως, Ἐπίστευσε 97
δὲ τῷ Θεῷ Ἀβραὰμ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην:- καὶ ἡμεῖς οὖν ἐν ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν πιστεύοντες τῷ Θεῷ διὰ τοῦ Χριστοῦ, καὶ περιτομὴν ἔχοντες τὴν ὠφελοῦσαν ἡμᾶς τοὺς κεκτημένους, τουτέστι τῆς καρδίας, δίκαιοι καὶ εὐάρεστοι τῷ Θεῷ ἐλπίζομεν φανῆναι· ἐπειδὴ καὶ ἤδη μεμαρτυρήμεθα διὰ τῶν προφητικῶν λόγων ὑπ' αὐτοῦ. τὸ δὲ σαββατίζειν, καὶ τὰς προσφορὰς φέρειν κελευσθῆναι ὑμᾶς, καὶ τόπον εἰς ὄνομα τοῦ Θεοῦ ἐπικληθῆναι ἀνασχέσθαι τὸν Κύριον, ἵνα ὡς εἴρηται μὴ εἰδωλολατροῦντες, καὶ ἀμνημονοῦντες τοῦ Θεοῦ, ἀσεβεῖς καὶ ἄθεοι γίνησθε, ὡς ἀεὶ φαίνεσθε γεγενημένοι· καὶ ὅτι διὰ ταῦτα ἐνετέταλτο ὁ Θεὸς τὰς περὶ σαββάτων καὶ προσφορῶν ἐντολὰς, προαποδέδεικταί μοι διὰ τῶν προειρημένων. διὰ δὲ τοὺς σήμερον ἐλθόντας, καὶ τὰ αὐτὰ σχεδὸν πάντα βούλομαι ἀναλαμβάνειν· ἐπεὶ, εἰ μὴ τοῦτό ἐστι, συκοφαντηθήσεται ὁ Θεὸς, ὡς μήτε πρόγνωσιν ἔχων, μήτε τὰ αὐτὰ δίκαια πάντας διδάσκων καὶ εἰδέναι καὶ πράττειν· πολλαὶ γὰρ γενεαὶ ἀνθρώπων πρὸ Μωσέως φαίνονται γεγενημέναι· καὶ οὐκ ἔστι λόγος ὁ λέγων, ὡς οὐκ ἀληθὴς ὁ Θεὸς καὶ δίκαιος, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ:- ἐπειδὴ δ' ἀληθὴς ὁ λόγος, καὶ Θεὸς ὑμᾶς τοιούτους μὴ εἶναι ἀσυνέτους καὶ φιλαύτους ἀεὶ βούλεται, ὅπως σωθῆτε μετὰ τοῦ Χριστοῦ τοῦ εὐαρεστοῦντος τῷ Θεῷ, καὶ μεμαρτυρημένου, ὡς προέφην, διὰ τῶν ἁγίων προφητικῶν λόγων τὴν ἀπόδειξιν ποιήσας. τὰ γὰρ ἀεὶ καὶ δι' ὅλου δίκαια καὶ πᾶσαν δικαιοσύνην περιέχει ἐν παντὶ γένει ἀνθρώπων· καὶ ἐστὶ πᾶν γένος γνωρίζον ὅτι μοιχεία κακὸν, καὶ πορνεία, καὶ ἀνδροφονία, καὶ ὅσα ἄλλα τοιαῦτα. κἂν πάντες πράττωσιν αὐτὰ, ἀλλ' οὖν γε τοῦ ἐπίστασθαι ἀδικοῦντες ὅταν πράττωσι ταῦτα οὐκ ἀπηλλαγμένοι εἰσὶ, πλὴν ὅσοι ὑπὸ ἀκαθάρτου πνεύματος ἐμπιφορημένοι, καὶ [ὑπὸ φαύλης] ἀνατροφῆς καὶ ἐθῶν φαύλων καὶ νόμων πονηρῶν διαφθαρέντες, τὰς φυσικὰς ἐννοίας ἀπώλεσαν, μᾶλλον δὲ ἔσβεσαν, ἢ ἐπεχομένας ἔχουσιν. ἰδεῖν γάρ ἐστι καὶ τοὺς μὴ τὰ αὐτὰ παθεῖν βουλομένους, ἅπερ αὐτοὶ τοὺς ἄλλους διατιθέασι, καὶ ἐν συνειδήσεσιν ἐχθραῖς ταῦτα ὀνειδίζοντας ἀλλήλοις ἅπερ ἐργάζον]. ὅθεν μοι δοκεῖ καλῶς εἰρῆσθαι ὑπὸ τοῦ ἡμετέρου κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, ἐν δυσὶν ἐντολαῖς πᾶσαν δικαιοσύνην καὶ εὐσέβειαν πληροῦσθαι. εἰσὶ δὲ αὗται· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου·

„ καὶ τὸν πλησίον σου ὡς σεαυτόν. ὁ γὰρ ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος ἀγαπῶν τὸν Θεὸν, πλήρης θεοσεβοῦς γνώμης ὑπάρχων, οὐδένα ἄλλον τιμήσει Θεὸν, καὶ ἄγγελον ἐκεῖνον ἂν τιμήσῃ Θεοῦ βουλομένου, τὸν ἀγαπώμενον ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ. καὶ ὁ τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπῶν. ἅπερ αὐτῷ βούλεται ἀγαθὰ, κἀκείνῳ βουλήσεται· οὐδεὶς δὲ ἑαυτῷ κακὰ βουλήσεται· ταῦτ᾽ οὖν τῷ πλησίον καὶ εὔξαιτ᾽ ἂν, καὶ ἐργάσαιτο γενέσθαι, ἅπερ καὶ ἑαυτῷ ὁ τὸν πλησίον ἀγαπῶν. πλησίον δὲ ἀνθρώπου οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ ὁμοιοπαθὲς καὶ λογικὸν ζῶον ὁ ἄνθρωπος. διχῆ οὖν τῆς πάσης δικαιοσύνης τετμημένης, πρός τε Θεὸν, καὶ ἀνθρώπους, ὅστις, φησὶν ὁ λόγος, ἀγαπᾷ Κύριον τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, δίκαιος ἀληθῶς ἂν εἴη. ὑμεῖς δὲ οὔτε πρὸς Θεὸν, οὔτε πρὸς τοὺς προφήτας, οὔτε πρὸς ἑαυτοὺς φιλίαν ἢ ἀγάπην ἔχοντες, οὐδέποτε ἐδείχθητε, ἀλλ᾽ ὡς δείκνυται, καὶ εἰδωλολάτραι πάντοτε, καὶ φονεῖς τῶν δικαίων εὑρίσκεσθε, ὡς καὶ μέχρις αὐτοῦ τοῦ Χριστοῦ τὰς χεῖρας ἐπιβαλεῖν ὑμᾶς, καὶ μέχρι νῦν ἐπιμένειν τῇ κακίᾳ ὑμῶν, καταρωμένους καὶ τῶν τοῦτον τὸν ἐσταυρωμένον ὑφ᾽ ὑμῶν ἀποδεικνύντων εἶναι τὸν Χριστόν. καὶ πρὸς τούτοις, ἐκεῖνον μὲν ὡς ἐχθρὸν Θεοῦ
98 καὶ κατηραμένον ἀξιοῦτε ἀποδεικνύναι ἐσταυρῶσθαι· ὅπερ τῆς ἀλογίστου ὑμῶν γνώμης ἔργον ἐστίν. ἔχοντες γὰρ ἀφορμὰς ἀπὸ τῶν γενομένων σημείων διὰ Μωσέως συνιέναι ὅτι οὗτός ἐστιν, οὐ βούλεσθε, ἀλλὰ καὶ πρὸς τούτοις ἡμᾶς ἀλογεῖν δύνασθαι ὑπολαμβάνοντες, συζητεῖτε ὅπερ ὑμῖν συμβαίνει, καὶ ὑμεῖς ἀπορεῖτε λόγων, ὅταν εὐτόνῳ τινὶ Χριστιανῷ συμβάλητε. εἴπατε γάρ μοι, οὐχὶ Θεὸς ἦν ὁ ἐντειλάμενος διὰ Μωσέως, μήτε εἰκόνα μήτε ὁμοίωμα, μήτε τῶν ἐν οὐρανῷ ἄνω, μήτε τῶν ἐπὶ γῆς ὅλως ποιῆσαι, καὶ αὐτὸς ἐν τῇ ἐρήμῳ διὰ τοῦ Μωσέως τὸν χαλκοῦν ὄφιν ἐνήργησε γενέσθαι, καὶ ἐπὶ σημεῖον ἔστησε· δι᾽ οὗ σημείου ἐσώζοντο οἱ ὀφιόδηκτοι· καὶ ἀναίτιός ἐστιν ἀδικίας; μυστήριον γὰρ διὰ τούτου, ὡς προέφην, ἐκήρυσσε, δι᾽ οὗ καταλύειν μὲν τὴν δύναμιν τοῦ ὄφεως τοῦ καὶ τὴν παράβασιν ὑπὸ τοῦ Αδὰμ γενέσθαι ἐργασαμένου, ἐκήρυσσε· σωτηρίαν δὲ τοῖς πιστεύουσιν ἐπὶ τοῦτον τὸν διὰ τοῦ σημείου τούτου, τουτέστι τὸν σταυροῦσθαι μέλλοντα, ἀπὸ τῶν δηγμάτων τοῦ ὄφεως, ἅπερ εἰσὶν αἱ κακαὶ πράξεις, εἰδωλολατρεῖαι, καὶ ἄλλαι ἀδικίαι. ἐπεὶ εἰ μὴ τοῦτο νοηθήσεται, δότε μοι λόγον ὅτου χάριν τὸν χαλκοῦν ὄφιν Μωσῆς ἐπὶ σημεῖον ἔστησε, καὶ προσβλέπειν αὐτὸν τοὺς δακνομένους ἐκέλευσε, καὶ ἐθεραπεύοντο οἱ δακνόμενοι· καὶ ταῦτα αὐτὸς κελεύσας, μηδενὸς ὅλως ὁμοίωμα ποιεῖν. Καὶ ὁ ἕτερος τῶν τῇ

& proximum sicut te ipsum. Nam qui ex toto corde, & ex omni fortitudine Deum diligit, religiosæ piæque sententiæ plenus, Deum alium non venerabitur: & Angelum siue nuncium illum, de voluntate Dei colet, ipsi Domino & Deo dilectum. Et cui proximus perinde atq; ipse sibi carus sit, quæ sibi ipsi obuenire vult, eadem illi optarit commoda. Nemo certe quidē sibi ipsi male vult. proinde proximo precabitur & præstabit quæcumque sibi ipsi expetet, proximum diligens. Homini aūt propinquius est nihil, quam eisdem perpessionibus obnoxium, & ratione præditum animal, homo. Bifariam ergo iustitia omni dispertita, in Deum & homines; Quicumque, Verbum inquit, diligit Dominum Deum ex toto corde, & ex omnibus viribus; & proximum sicut seipsum: is demum vere iustus fuerit. At vos neque erga Deum, neque aduersus prophetas, neque adeo in vos ipsos vmquam visi estis amorem & caritatem obtinere: verum, prout res declarat, tum idololatræ semper, tum iustorum percussores & homicidæ, esse comperti estis: vsque adeo, vt & CHRISTO ipsi manus intuleritis, & ad hoc vsque tempus in malicia vestra perduretis, diris exsecrationibus eos persequētes, qui hunc a vobis crucifixum, CHRISTVM esse demonstrant. Et ad hæc, illum vt hostem Dei, & maledictioni subditū, merito in cruce suspensum esse affirmatis: quod quidem animi vestri nihil rationis habentis, opus est. Ansam enim & occasioné ex miraculis per Mosen editis, vt hunc illum ipsum esse intelligatis, tenentes, vti ea nō vultis: sed insuper præter rationem omnēs nos agi posse suspicantes, quæstiones nobis in colloquutionibus, vtcumque vobis in mētem venere, proponitis, verbis & rationibus vobis non suppeditantibus, cum in firmum Christianum incideritis. Dicite namque mihi, annon Deus is erat, qui per Mosen sanxit, ne qua omnino fieret vel imago vel similitudo, neque eorum quæ in cælo sunt sursum, neque in terris deorsum? Atqui idē ipse in solitudine per Mosen fieri fecit æneum serpentem: eumque pro signo statuit, per quod seruabātur qui serpentum morsu letaliter læsi fuerant: & extra culpam omnem est. Sacramentum namque arcanum per hunc, prout antea dixi, denunciauit: quo serpentis quidem, qui etiam præuaricationis ab Adamo commissæ auctor fuerat, potestatem euersum iri significabatur; salus autem credentibus in istum, qui per signum id adumbrabatur, & in cruce moriturus esse præmonstrabatur, a Serpentis morsibus, qui sunt actiones prauæ, idolorum cultus, & aliæ iniquitates, promittebatur. Nisi enim hoc sic in animis vestris consideratum fuerit, date mihi rationem, cuius gratia æneum serpentem Moses pro signo collocauerit, & inspicere id qui morsu lædebantur præceperit; vnde etiam illi curabantur: cum quidem auctor iussionis huius fuerit is qui nullam prorsus similitudinem fieri iussit? Et alter eorum qui al-

tero aduenerant die: Vera dixisti, inquit. non enim habemus quam reddamus rationem. nam & ipse aliquoties de hoc Magistros nostros sum percontatus: nullus autem rationem explicuit. Proinde, vt cœpisti, dicere perge. Damus enim operam tibi de rebus eis arcanum reuelanti, quarum causa prophetarum dogmata in calumniç obtrectationem cadunt. Atque ego: Quemadmodũ ergo Deus signũ fieri per æreum serpentem iussit, & eo nomine inculpabilis est: ita sane & in lege maledictio proposita est, contra eos qui in crucẽ aguntur homines. non itidem vero aduersus CHRISTVM Dei maledictio est statuta; per quem omnes saluat qui maledictione digna in se admiserunt. Nam genus humanum omne, maledictioni obnoxiũ esse inuenietur, iuxta legem Mosæ. *Maledictus enim quisque* dictus est, *qui non permanet in eis quæ scripta sunt in libro legis, vt faciat ea.* nemo certe exacte omnia præstitit. id neque ipsi aduersandi studio negare audebitis: sed sunt qui alii aliis plus & minus mãdata seruauerint. Quod si legi subditos, maledictioni obnoxios esse constat, propterea quod non omnes sanctiones seruent: quãto magis gentes omnes sub maledictionis exsecratione esse patebit, quæ simulacra colunt, & pueros imminuunt, & alia perpetrant mala? Itaque si Deus rerum vniuersarum parens, CHRISTVM suum ex omni mortalium genere omniũ maledictiones excipere voluit, quod eum crucifixum & mortuum suscitaturus fuerit, sciens: quæ [malum] ista ratio est, eum qui hæc pati sustinuerit iuxta Patris voluntatem & consilium, tamquam maledictum exsecrationi subiicere, & non vos ipsos potius complorare? Tametsi Pater ipsius ista eum a vobis, pro genere humano perferre fecerit: non vos tamen veluti diuinæ voluntati eius & sententiæ interuientes, id fecistis. nam prophetas quoque occidentes, pietatis opus non edidistis. Neque quisquam vestrum alleget: Si pater illum hæc pati voluit, vt liuore eius sanitas generi contingeret humano: nihil nos iniqui fecimus. Sed pœnitentiam super commissis agentes, & hunc CHRISTVM esse agnoscentes, & iussiones eius seruantes: si ista dicetis, remissionem peccatorum vos consequuturos esse prædixi. Sin & illum ipsum, & in eum credentes maledictis prosequimini, & potestatem nacti necabitis: quomodo tamquam ab iniquis & peccatoribus, & modis omnibus duricordibus atque insipientibus, & id quod manus illi iniecistis, non requiretur? Nam eo quod in lege dictum est, *maledictum esse omnem qui pendet in ligno*: non tam hoc, quod Deus quasi pro maledicto hunc habeat CHRISTVM crucifixum, nostram confirmat spem a crucifixo ipso CHRISTO dependentem; quam illud, quod Deus vos omnes & vestri similes nescire prædixerit, hunc esse qui & ante omnia sit, & æternus Dei sacer-

δευτέρᾳ ἀφιγμένων εἶπεν, Ἀληθῶς εἶπας· οὐκ ἔχομεν λόγον διδόναι· καὶ γὰρ ἐγὼ περὶ τούτου πολλάκις τοὺς διδασκάλους ἠρώτησα, καὶ οὐδείς μοι λόγον ἀπέδωκεν· ὥστε λέγε σὺ ἃ λέγεις. προσέχομεν γάρ σοι μυστήριον ἀποκαλύπτοντι δι' ὧν καὶ τὰ τῶν προφητῶν διδάγματα συκοφαντητά ἐστι. Κἀγώ, Ὅνπερ οὖν τρόπον τὸ σημεῖον διὰ τοῦ χαλκοῦ ὄφεως γενέσθαι ὁ Θεὸς ἐκέλευσε, καὶ ἀναίτιός ἐστιν, οὕτω δὴ καὶ ἐν τῷ νόμῳ κατάρα κεῖται κατὰ τῶν σταυρουμένων ἀνθρώπων, οὐκ ἔτι δὲ καὶ κατὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ κατάρα κεῖται, δι' οὗ σώζει πάντας τοὺς κατάρας ἄξια πράξαντας. καὶ γὰρ πᾶν γένος ἀνθρώπων εὑρεθήσεται ὑπὸ κατάραν ὂν κατὰ τὸν νόμον Μωσέως· Ἐπικατάρατος γὰρ εἴρηται πᾶς ὃς οὐκ ἐμμένει ἐν τοῖς "γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι "αὐτά. καὶ οὐδεὶς ἀκριβῶς πάντα ἐποίησεν, οὐδ' ὑμεῖς τολμήσετε ἀντειπεῖν· ἀλλ' εἰσὶν οἱ μᾶλλον καὶ ἧττον ἀλλήλων τὰ ἐντεταλμένα ἐφύλαξαν. εἰ δὲ οἱ ὑπὸ τὸν νόμον τοῦτον ὑπὸ κατάραν φαίνονται εἶναι διὰ τὸ μὴ πάντα φυλάξαι, οὐχὶ πολὺ μᾶλλον πάντα τὰ ἔθνη φανήσονται ὑπὸ κατάραν ὄντα καὶ εἰδωλολατροῦντα, καὶ παιδοφθοροῦντα, καὶ τὰ ἄλλα κακὰ ἐργαζόμενα; εἰ οὖν καὶ τὸν ἑαυτοῦ Χριστὸν ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ὁ πατὴρ τῶν ὅλων τὰς πάντων κατάρας ἀναδέξασθαι ἐβουλήθη, εἰδὼς ὅτι ἀναστήσει αὐτὸν σταυρωθέντα καὶ ἀποθανόντα, διὰ τί ὡς κεκατηραμένου τοῦ ὑπομείναντος κατὰ τὴν τοῦ πατρὸς βουλὴν ταῦτα παθεῖν τὸν λόγον ποιεῖτε, καὶ οὐχὶ μᾶλλον ἑαυτοὺς θρηνεῖτε; εἰ γὰρ καὶ ὁ πατὴρ αὐτοῦ, καὶ αὐτὸς παθεῖν ταῦτα αὐτὸν ὑπὲρ τοῦ ἀνθρωπείου γένους ἐνήργησεν, ὑμεῖς οὐχ ὡς γνώμῃ Θεοῦ ὑπηρετοῦντες τοῦτ' ἐπράξατε· οὐδὲ γὰρ τοὺς προφήτας ἀναιροῦντες, εὐσέβειαν εἰργάσασθε. καὶ μή τις ὑμῶν λεγέτω, Εἰ ὁ πατὴρ αὐτὸν ἠθέλησε ταῦτα παθεῖν, ἵνα τῷ μώλωπι αὐτοῦ ἴασις γένηται τῷ γένει τῶν ἀνθρώπων, ἡμεῖς οὐδὲν ἠδικήσαμεν. εἰ μὲν οὖν μετανοοῦντες ἐπὶ τοῖς ἡμαρτημένοις, καὶ ἐπιγνόντες τοῦτον εἶναι τὸν Χριστὸν, καὶ φυλάσσοντες αὐτοῦ τὰς ἐντολὰς, ταῦτα φήσετε, ἄφεσις ὑμῖν τῶν ἁμαρτιῶν ὅτι ἔσται, προεῖπον· εἰ δὲ αὐτοῦ τε ἐκείνου, καὶ τῶν εἰς ἐκεῖνον πιστευόντων καταρᾶσθε, καὶ ὅταν ἐξουσίαν ἔχητε, ἀναιρεῖτε, πῶς οὐχὶ καὶ τὸ ἐκείνῳ ἐπιβεβληκέναι τὰς χεῖρας ὑμῶν, ὡς παρὰ ἀδίκων καὶ ἁμαρτωλῶν, καὶ μέχρις ὅλου σκληροκαρδίων καὶ ἀσυνέτων ἐκζητηθήσεται; καὶ γὰρ τὸ εἰρημένον ἐν τῷ νόμῳ, ὅτι Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου, οὐχ ὡς εἰ τοῦ Θεοῦ καταρωμένου τούτου τοῦ ἐσταυρωμένου, ἡμῶν π-νεῖ τὴν ἐλπίδα ἐκκρεμαμένην ἀπὸ τοῦ σταυρωθέντος Χριστοῦ, ἀλλ' ὡς προειπόντος τοῦ Θεοῦ τὸ ὑφ' ὑμῶν πάντων καὶ τῶν ὁμοίων ὑμῖν μὴ ἐπιστάμενον, τοῦτον εἶναι τὸν πρὸ πάντων ὄντα, καὶ αἰώνιον τοῦ Θεοῦ 99.

ἱερέα, καὶ βασιλέα, καὶ Χριστὸν μέλλοντα γίνεσθαι. ὅπερ καὶ ὄψει ἰδεῖν ὑμῖν ἔστι γινόμενον· ὑμεῖς γὰρ ἐν ταῖς συναγωγαῖς ὑμῶν καταρᾶσθε πάντων τῶν ἀπ᾽ ἐκείνου γινομένων Χριστιανῶν, καὶ τὰ ἄλλα ἔθνη, ἃ καὶ ἐνεργῆ τὴν κατάραν ἐργάζονται, ἀναιροῦντα τοὺς μόνον ὁμολογοῦντας ἑαυτοὺς εἶναι Χριστιανούς· οἷς ἡμεῖς ἅπασι λέγομεν, ὅτι Ἀδελφοὶ ἡμῶν ἐστέ· ἐπίγνωτε μᾶλλον τὴν ἀλήθειαν τοῦ Θεοῦ.- καὶ μὴ πειθομένων ἡμῖν μήτε ἐκείνων, μήτε ὑμῶν· ἀλλὰ ἀρνεῖσθαι ἡμᾶς τὸ ὄνομα τοῦ Χριστοῦ ἀγωνιζομένων, θανατοῦσθαι μᾶλλον αἱρούμεθα καὶ ὑπομένομεν, πεπεισμένοι ὅτι πάνθ᾽ ὅσα ὑπέσχηται ὁ Θεὸς διὰ τοῦ Χριστοῦ ἀγαθὰ, ἀποδώσει ἡμῖν· καὶ πρὸς τούτοις πᾶσιν, εὐχόμεθα ὑπὲρ ὑμῶν, ἵνα ἐλεηθῆτε ὑπὸ τοῦ Χριστοῦ. οὗτος γὰρ ἐδίδαξεν ἡμᾶς καὶ ὑπὲρ τῶν ἐχθρῶν εὔχεσθαι, εἰπὼν, Γίνεσθε χρηστοὶ καὶ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος:- καὶ γὰρ τὸν παντοκράτορα Θεὸν χρηστὸν καὶ οἰκτίρμονα ὁρῶμεν, τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντα ἐπὶ ἀχαρίστους καὶ δικαίους, καὶ βρέχοντα ἐπὶ ὁσίους καὶ πονηρούς· οὓς πάντας ὅτι καὶ κρίνειν μέλλει, ἐδίδαξε. καὶ γὰρ οὐδὲ τὸ μέχρις ἑσπέρας μεῖναι τὸν προφήτην Μωσῆν, ὅτε τὰς χεῖρας αὐτοῦ ὑπεβάσταζον Ὢρ καὶ Ἀαρὼν ἐπὶ τοῦ σχήματος τούτου, εἰκῆ γέγονε. καὶ γὰρ ὁ Κύριος σχεδὸν μέχρις ἑσπέρας ἔμεινεν ἐπὶ τοῦ ξύλου, καὶ πρὸς ἑσπέραν ἔθαψαν αὐτόν· εἶτα ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ. τοῦτο διὰ Δαβὶδ οὕτως ἐκπεφώνηται· Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλάβετό μου:- καὶ διὰ Ἠσαΐου ὁμοίως εἴρηται περὶ τούτου, δι᾽ οὗ τρόπου ἀποθνήσκειν ἔμελλεν, οὕτως· Ἐξεπέτασά μου τὰς χεῖρας ἐπὶ λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα, τοῖς πορευομένοις ἐν ὁδῷ οὐ καλῇ:- καὶ ὅτι ἔμελλεν ἀνίστασθαι, αὐτὸς Ἠσαΐας ἔφη, Ἡ ταφὴ αὐτοῦ ἦρται ἐκ τοῦ μέσου· καὶ δώσω τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ:- καὶ ἐν ἄλλοις πάλιν λόγοις Δαβὶδ εἰς τὸ πάθος καὶ τὸν σταυρὸν ἐν παραβολῇ μυστηριώδει οὕτως εἶπεν ἐν εἰκοστῷ πρώτῳ ψαλμῷ· Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον:- ὅτε γὰρ ἐσταύρωσαν αὐτὸν, ἐμπήσσοντες τοὺς ἥλους, τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ ὤρυξαν· καὶ οἱ σταυρώσαντες αὐτὸν, ἐμέρισαν τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς, λαχμὸν βάλλοντες ἕκαστος κατὰ τὴν τοῦ κλήρου ἐπιβολὴν, ὃ ἐκλέξασθαι ἐβεβούλητο. καὶ τοῦτον αὐτὸν τὸν ψαλμὸν οὐκ εἰς τὸν Χριστὸν εἰρῆσθαι λέγετε, κατὰ πάντα τυφλώττοντες, καὶ μὴ συνιέντες ὅτι οὐδεὶς ἐν τῷ γένει ὑμῶν λεχθεὶς ποτὲ βασιλεὺς Χριστὸς, πόδας καὶ χεῖρας ὠρύγη ζῶν, καὶ διὰ τούτου τοῦ μυστηρίου ἀποθανών, τουτέστι τοῦ σταυρωθῆναι, εἰ μὴ μόνος οὗτος ὁ Ἰησοῦς.

ſacerdos, & rex & CHRISTVS futurus fuerit. Quod profectò ita fieri, oculis ipſis in vobis cernere licet. Vos namque in ſynagogis & conuentibus veſtris, diris execramini omnes qui ab illo fiunt, Chriſtianos: & aliæ item nationes, quæ ad rem quoque factis conferunt execrationem, eos qui ſe tantummodo Chriſtianos eſſe fatêtur, neci dedentes: quibus nos omnibus dicimus, *Fratres noſtri eſtis; cognoſcite amplius veritatem Dei.* Et cum ſuaſionibus noſtris, neque illi neque vos moueamini, ſed vt nomen CHRISTI negemus, adurgeatis: morte potius [quam vt id faciamus] mulctari optamus, & toleramus: perſuaſiſſimum habentes, quęcumque pollicitus eſt per CHRISTVM bona, abunde omnia præſtiturum eſſe Deum. Ad hæc omnia, pro vobis etiam oramus, vt CHRISTVS veſtri miſereatur. Nam is etiam pro inimicis deprecari docuit, dicens: *Diligite inimicos veſtros. Eſtote benigni & miſericordes, ſicut pater veſter cælitus.* Videmus quippe, omnipotentem Deum benignum & miſericordem effìcere, vt ſol eius exoriatur ſuper ingratos iuxta & iuſtos, vt pluat ſuper ſanctos pariter & malos: quos omnes ſe indicaturum eſſe tradidit. Enimuero neque illud, quòd ad veſperam vſque propheta Moſes perdurauerit, cum manus eius ſuſtinuerunt Hur & Aaron, in ſigno iſto, temere factum eſt. Nam & Dominus fere ad veſperam vſque in ligno permanſit, & circiter veſperam ſepelierunt eum, deinde autem reſurrexit tertio die. Hoc ipſum Dauidis præconio ſic eſt renunciatum: *Voce mea ad Dominum clamaui; & exaudiuit me de monte ſancto ſuo. Ego obdormiui, & ſomnum cepi: excitatus ſum; quoniam Dominus ſuſcepit me.* Ac per Eſaiam de ipſo ſimiliter dictum eſt, quo pacto moriturus eſſet; ad hunc modum: *Expandi manus meas ad populum incredulum & contradicentem, ambulantem in via non bona.* Et quod reſurrecturus fuerit, ipſe etiam Eſaias ait: *Sepultura eius ſublata eſt e medio: & dabo diuites pro morte ipſius.* Et alio rurſus loco Scripturæ, Dauid de paſſione, & cruce, per ſimilitudinem arcanam in Pſalmo vigeſimoprimo ita dixit: *Foderunt manus meas & pedes meos. Dinumerarunt omnia oſſa mea. Ipſi autē contemplati ſunt & inſpexerunt me. Diuiſerūt veſtimenta mea ſibi ipſis, & ſuper veſtitum meum miſerūt ſortem.* Quando enim crucifixerunt eum, clauis infixis manus pedesque eius foderunt: & qui iam crucifixerant eum, diuiſerunt veſtes eius inter ſe, aleā ludentes, vt iuxta ſortis iactū quiſq; quod eligere volebat, ſumeret. Pſalmum iſtum non in CHRISTVM conceptum eſſe aitis; cæcutientes prorſus neque intelligentes, neminem in gēte veſtra, qui vmquam rex, CHRISTVS ſiue *Unctus* ſit dictus, manus & pedes, cū viueret, perfoſſum, neque per myſterium hoc mortuum, hoc eſt in cruce ſuſpenſum eſſe, extra ſolum hunc IESVM.

Et Psalmum eum totum commemorabo: vt & pietatem in Patrem eius audiatis, quomodo omnia ad illum deferat, ac per eum a morte ista seruari petat: simul etiam in Psalmo declarans, qualesnam fuerint qui contra se consurrexerant: nec minus interim ostendens, verum se esse hominem, vt qui cruciatus istos percipiendo passionem obierit. Est autem huiusmodi: *Deus, Deus meus, intende mihi: vt quid dereliquisti me? Longe a salute mea, verba delictorum meorum. Deus meus clamabo interdiu ad te, & non exaudies: & noctu, & non ad insipientiam mihi. Tu autem in sancto habitas, Laus Israelis. In te sperauerunt patres nostri: sperauerunt, & liberasti eos: Ad te clamauerunt, & non sunt probro affecti. Ego autem sum vermis, & non homo: opprobriũ hominũ, & abiectio plebis. Omnes uidentes me, sannis illuserũt mihi: & loquuti sũt labiis; mouerunt caput: Sperauit in Dominum, liberet eum: saluet eum, quoniam uult eũ:- Quia tu es qui extraxisti me de vtero: Spes mea ab vberibus matris meæ: Deus meus es tu: ne discesseris a me; quoniam angustia prope est; quoniam non est adiutor mihi. Circumdederunt me vituli multi; tauri pingues obsederunt me: aperuerunt super me os suum, tamquam leo rapiens & rugiens. velut aqua effusa sunt & dispersa omnia ossa mea. Factum est cor meum quasi cera liquescens, in medio ventris mei. Exaruit sicut testa robur meum; & lingua mea adhæsit faucib. meis: & in puluerem mortis deduxisti me: Quoniã circumdederunt me canes multi, synagoga malignæ agentium circũdedit me. Foderunt manus meas & pedes meos; dinumerarũt omnia ossa mea. Ipsi vero considerauerunt & inspexerunt me: diuiserunt sibi vestimenta mea, & super vestẽ meã miserunt sortem. Tu vero Domine ne distuleris auxiliũ meum a me: ad defensionẽ meã incumbe: libera a gladio animã meam, & e manu canis vnigenitã meam. serua me ex ore leonis, & a cornib. vnicornium humilitatẽ meam. Narrabo nomen tuum fratribus meis: in media Ecclesia laudabo te. Qui timetis Dominum, laudate eum: vniuersum semen Iacob, glorificate eũ. Timeat eũ omne semen Israel.* His cõmemoratis intuli: Integrum ergo Psalmum in CHRISTVM esse dictum, ita demonstro, enarratione eum repetẽs. Quod abinitio ait: *Deus, Deus meus, intende mihi. vt quid me dereliquisti?* hoc verbum ab ipso statim principio prædixit, de CHRISTO psalmum dictum iri. In cruce namq; suffixus is dixit: *Deus, Deus meus, vt quid dereliquisti me?* & per ea quæ sequũtur; *Longe a salute mea, verba delictorum meorum: Deus meus, clamabo interdiu ad te, & non exaudies: & noctu, & non ad insipientiam mihi*: quẽadmodũ ea ipsa quæ facturus fuerat, ita & recẽsita sũt. Quo enim passurus & crucis suppliciũ aditurus erat die, trib. ex discipulis suis, in mõtẽ q Oliuetũ dicitur,

καὶ τὸν πάντα δὲ ψαλμὸν εἴποιμι ἄν, ὅπως καὶ τὴν πρὸς τὸν πατέρα εὐσεβείας αὐτοῦ ἀκούσητε, καὶ ὡς εἰς ἐκεῖνον πάντα ἀναφέρει, ὡς αὐτὸς δι' ἐκείνου καὶ σωθῆναι ἀπὸ τοῦ θανάτου τούτου αἰτῶν, ἅμα τε δηλῶν ἐν τῷ ψαλμῷ ὁποῖοι ἦσαν οἱ ἐπισυνιστάμενοι κατ' αὐτοῦ, καὶ ἀποδεικνύων ὅτι ἀληθῶς γέγονεν ἄνθρωπος ἀντιληπτικὸς παθῶν. ἔστι δὲ οὗτος· Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. ὁ Θεός μου, κεκράξομαι ἡμέρας πρὸς σε, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ· ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν· ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ. πάντες οἱ θεωροῦντές με, ἐξεμυκτήρισάν με, καὶ ἐλάλησαν χείλεσιν, ἐκίνησαν κεφαλήν· Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν:- ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ· μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου· καὶ εἰς χοῦν θανάτου κατήγαγές με· ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς· καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες· ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· φοβηθήτωσαν ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ:- Καὶ εἰπὼν ταῦτα, ἐπήνεγκα, Ὅλον οὖν τὸν ψαλμὸν οὕτως ἀποδείξω ὑμῖν εἰς τὸν Χριστὸν εἰρημένον, πάλιν αὐτὸν δι' ὧν ἐξηγοῦμαι. ὃ οὖν εὐθὺς λέγει, Ὁ Θεὸς, ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;- τοῦτο ἄνωθεν προεῖπεν, ὅπερ ἐπὶ Χριστοῦ ἔμελλε λέγεσθαι· σταυρωθεὶς γὰρ εἶπεν, Ὁ Θεὸς, ὁ Θεὸς, ἵνα τί ἐγκατέλιπές με; καὶ τὰ ἑξῆς, Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. ὁ Θεός μου, κεκράξομαι ἡμέρας πρὸς σε, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί:- ὥσπερ καὶ αὐτὰ ἃ ποιεῖν ἔμελλε, ἐλέλεκτο. τῇ γὰρ ἡμέρᾳ ᾗπερ ἔμελλε σταυροῦσθαι, τρεῖς τῶν μαθητῶν αὐτοῦ παραλαβὼν εἰς τὸ ὄρος τὸ λεγόμενον Ἐλαιὼν,

παρακεί-

παρεστηκόμενον εὐθὺς τῷ ναῷ τῷ ἐν Ἱερουσαλήμ, ηὔχετο λέγων, Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ:- καὶ μετὰ τοῦτο εὐχόμενος λέγει, Μὴ ὡς ἐγὼ βούλομαι, ἀλλ' ὡς σὺ θέλεις:- δηλῶν διὰ τούτων ὅτι ἀληθῶς παθητὸς ἄνθρωπος γεγένηται. ἀλλ' ἵνα μή τις λέγῃ, Ἠγνόει οὖν ὅτι μέλλει πάσχειν:- ἐπάγει ἐν τῷ ψαλμῷ εὐθύς, Καὶ οὐκ εἰς ἄνοιαν ἐμοί:- ὅνπερ τρόπον οὐδὲ τῷ Θεῷ εἰς ἄνοιαν ἦν τὸ ἐρωτᾶν τὸν Ἀδάμ, ποῦ ἐστιν, οὐδὲ τὸν Κάϊν, ποῦ Ἄβελ; ἀλλ' εἰς τὸ ἕκαστον ἐλέγξαι ὁποῖός ἐστι, καὶ εἰς ἡμᾶς τὴν γνῶσιν πάντων διὰ τοῦ ἀναγραφῆναι ἐλθεῖν· καὶ οὕτως ἐσήμαινεν οὐκ εἰς ἄνοιαν τὴν ἑαυτοῦ, ἀλλὰ τῶν νομιζόντων μὴ εἶναι αὐτὸν Χριστόν, ἀλλ' ἡγουμένων θανατώσειν αὐτόν, καὶ ὡς κοινὸν ἄνθρωπον ἐν ᾅδου μένειν. τὸ δὲ ἀκόλουθον, Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ:- ἐσήμαινεν ὅτι ἐπαίνου ἄξιον καὶ θαυμασμοῦ μέλλει ποιεῖν, μετὰ τὸ σταυ-
101 ρωθῆναι ἀνίστασθαι μέλλων τῇ τρίτῃ ἡμέρᾳ ἐκ νεκρῶν· ὃ ἀπὸ τοῦ πατρὸς αὐτοῦ λαβὼν ἔχει. ὅτι γὰρ καὶ Ἰακὼβ καὶ Ἰσραὴλ καλεῖται ὁ Χριστός, ἀπέδειξα· καὶ οὐ μόνον ἐν τῇ εὐλογίᾳ καὶ Ἰωσὴφ καὶ Ἰούδα τὰ περὶ αὐτοῦ κεκηρύχθαι ἐν μυστηρίῳ ἀπέδειξα· καὶ ἐν τῷ εὐαγγελίῳ δὲ γέγραπται εἰπών, Πάντα μοι παραδέδοται ὑπὸ τοῦ πατρός:- καί, Οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός· οὐδὲ τὸν υἱόν, εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν ὁ υἱὸς ἀποκαλύψῃ:- ἀπεκάλυψεν οὖν ἡμῖν πάντα ὅσα καὶ ἀπὸ τῶν γραφῶν διὰ τῆς χάριτος αὐτοῦ νενοήκαμεν, γνόντες αὐτὸν πρωτότοκον μὲν τοῦ Θεοῦ, καὶ πρὸ πάντων τῶν κτισμάτων· καὶ τῶν πατριαρχῶν υἱόν, ἐπειδὴ διὰ τῆς ἀπὸ γένους αὐτῶν παρθένου σαρκοποιηθείς, καὶ ἄνθρωπος ἀειδής, ἄτιμος καὶ παθητὸς ὑπέμεινε γενέσθαι· ὅθεν καὶ ἐν τοῖς λόγοις αὐτοῦ ἔφη, ὅτε περὶ τοῦ πάσχειν αὐτὸν μέλλειν διελέγετο, ὅτι Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν Φαρισαίων καὶ γραμματέων, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι:- Υἱὸν οὖν ἀνθρώπου ἑαυτὸν ἔλεγεν, ἤτοι ἀπὸ τῆς γεννήσεως τῆς διὰ παρθένου, ἥτις ἦν (ὡς ἔφην) ἀπὸ τοῦ Δαβίδ, καὶ Ἰακώβ, καὶ Ἰσαάκ, καὶ Ἀβραὰμ γένους· ἢ διὰ τὸ εἶναι αὐτὸν τὸν Ἀβραὰμ πατέρα καὶ τούτων τῶν κατηριθμημένων, ἐξ ὧν κατάγει ἡ Μαρία τὸ γένος. καὶ γὰρ πατέρας τῶν γεννωμένων ταῖς θυγατράσιν αὐτῶν τέκνων, τοὺς τῶν θηλειῶν γεννήτορας ἐπιστάμεθα. καὶ γὰρ υἱὸν Θεοῦ Χριστὸν κατὰ τὴν τοῦ πατρὸς αὐτοῦ ἀποκάλυψιν ἐπιγνόντα αὐτὸν ἕνα τῶν μαθητῶν αὐτοῦ Σίμωνα πρότερον καλούμενον, ἐπωνόμασε Πέτρον· καὶ υἱὸν Θεοῦ γεγραμμένον αὐτὸν ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ ἔχοντες, καὶ υἱὸν αὐτὸν λέγοντες, νενοήκαμεν ὄντα καὶ πρὸ πάντων ποιημάτων, ἀπὸ τοῦ πατρὸς δυνάμει αὐτοῦ καὶ βουλῇ προελθόντα· ὃς καὶ Σοφία, καὶ Ἡμέρα, καὶ Ἀνατολή, καὶ Μάχαιρα, καὶ Λίθος, καὶ Ῥάβδος, καὶ Ἰακώβ,

templo Hierosolymitano exaduerso vicinum, assumptis, orauit dicens, *Pater, si fieri potest, abscedat a me poculum istud.* ac deinceps orans, ait: *Non vt ego volo, sed sicut tu vis:* liquido satis per ista declarans, se vere hominem passioni obnoxium prognatum esse. Ac ne quis diceret: Ignorauit ergo se passurum esse, continuo in Psalmo subdit; *Et non ad insipientiam mihi.* Sicut enim neque Deo ad insipientiam fuit, quod interrogauit vel Adamum vbi esset; vel Cainum, Vbi Abel? vt quemque qualis esset ostenderet & argueret, & ad nos cognitio omnium per ea quæ in Scripturam relata sunt, perueniret: sic etiam non ad suam, sed ad eorum qui ipsum non esse CHRISTVM opinati sunt, ac cæde ea moriturum, & vt vulgarem communemque hominem apud inferos mansurum esse existimarunt, insipientiam, id exstitit. nam hoc sic significauit. Quod vero sequitur: *Tu autem in sancto habitas, Laus Israelis*: laude & admiratione quippiam dignum se facturum designauit; tertio videlicet die a supplicio crucis ex mortuis resurrecturus. id quod a Patre acceptum habet. Quod enim & *Iacob* & *Israel* CHRISTVS ipse vocitetur, probaui. Ac non tantum in benedictione Iosephi, sed Iudæ quoque, res eius deprædicatas esse, demõstraui. Porro in Euangelio ipsum dixisse scriptum est: *Omnia mihi tradita sunt a Patre:* &; *Nemo nouit Patrem, præterquam Filium: neque Filium, nisi Pater, & quibus Filius reuelauerit.* Reuelauit igitur nobis omnia, quæ ex Scripturis etiam per gratiam eius accepimus: scientes eum primogenitum Dei, & item creaturarum omnium; & Patriarcharum filium: quãdoquidem ex virgine in genere eorum caro fieri, & homo informis, inhonoratus & patibilis in lucẽ edi sustinuit. Quocirca cũ passurum se esse prædiceret, verbis ipse suis ait: *Oportet Filium hominis multa pati, & reprobari a Pharisæis & Scribis, & crucifigi, & tertio die resurgere.* Filium sane hominis seipsum vocauit, vel a natiuitate sua e virgine; quæ, sicuti dixi, e Dauidis, & Iacobi, & Isaaci, & Abraæ genere fuit: vel ab ipso Abraamo, qui pater istorum qui recensiti sunt, fuit, vnde genus Maria deducit. eorum siquidem qui filiabus gignũtur liberorum, patres feminarũ genitores nouimus. Atq; ex discipulis suis vnum CHRISTVS, Simonem prius nominatum, Petrũ appellauit: quod se per Patris sui cælestis reuelationem, Filium Dei esse cognouerit. Ac Filiũ Dei scriptum ipsum in Apostolorum eius Commentariis habentes, Filiumque Dei profitentes, ante creaturas quoq; vniuersas fuisse, & a Patre, virtute eius & consilio prodiisse, intelleximus. Qui & *Sapientia*, & *Dies*, & *Oriens*, & *Gladius*, & *Lapis*, & *Virga*, & *Iacob*,

& Israel, alio atque alio modo in prophetarũ libris cognominatus est, & ex virgine homo genitus: vt qua via a serpẽte inobœdientia initiũ sumpsit, eadẽ via etiã exitium caperet. Eua enim cũ virgo esset & incorrupta, serpẽtis verbo cõcepto, inobœdiẽtiã & mortẽ peperit: Fide aũt & lætitia cõcepta Maria virgo, cum nunciũ ei lętũ Gabriel angelus attulisset, Spiritum videlicet Domini in ipsam superuenturũ, & virtutẽ Altissimi ei obumbraturã: quapropter etiã per natiuitatem ex ea progrediens Sanctum, sit Filius Dei; respondit; *Fiat mihi secundum verbum tuum.* Ex hac genitus est iste, de quo tot Scripturæ oracula edita esse demõstrauimus: per quem Deus & serpentem, & assimilatos ei angelos simul & homines exscindit: liberationem autem a morte, resipiscentibus a malis, & in se credentibus, conciliat. Porro quæ in Psalmo sequuntur, hisce verbis: *In te sperauerũt patres nostri: sperauerunt, & liberasti eos: ad te clamauerunt, & non sunt probro affecti: Ego autem, sum vermis, & non homo; opprobrium hominum, & abiectio plebis:* ostendunt, ipsum Patres agnoscere eos qui in Deum sperauerunt, & ab eo saluati sunt: qui certe virginis patres fuere, ex qua genitus est, & homo factus: Saluum quoq; se fore Dei ope significat: neque consilio aut viribus suis quidquam facere iactat. nam & alias in terris idem fecit: & compellante se quodam, *Magister bone:* respondit, *Quid me appellas bonum? Unus bonus est, Pater meus qui in cælis est.* Eo autẽ quod dixit; *Ego sum vermis, & non homo; opprobrium hominum, & abiectio plebis:* ea quæ manifesto exstant & fiũt ipsi, præloquutus est. Opprobrium namque & ignominia nobis in eum credentibus, vbique locorum est: Abiectio vero plebis, propterea quod a populo vestro pro nihilo habitus, abiectus & dehonestatus, ea est passus quæcumque illi intulistis. Et quæ sequũtur; *Omnes videntes me, sannis illuserunt mihi, & loquuti sunt labiis, mouerunt caput: Sperauit in Domino: Liberet eũ; quoniam vult eum:* ea itidem quæ illi acciderunt, prænunciarunt. Nam qui illum in cruce suspensum spectarunt, capita quiq; mouentes, & labris distortis, naribusque inflexis inter se certantes, ea per irrisionẽ dixerunt quæ in Apostolorum eius libris sunt descripta: *Filium Dei seipsum dixit; descendat, & obambulet. Saluet eũ Deus.* Quæ autem deinceps sequuntur: *Quia tu es qui extraxisti me de vtero. Spes mea ab vberibus matris meæ. In te proiectus sum ex vtero. A ventre matris meæ Deus meus es tu: quoniam non est qui adiuuet. Circumdederunt me vituli multi: Tauri pingues circumdederunt me. Aperuerunt super me os suũ, vt leo rapiẽs & rugiẽs. Velut aqua effusa sunt & dissipata omnia ossa mea. Factũ est cor meũ tanquã cera liquescens, in medio vẽtre meo.*

καὶ Ἰσραὴλ, κατ' ἄλλον καὶ ἄλλον τρόπον ἐν τοῖς τῶν προφητῶν λόγοις προσηγόρευται· καὶ διὰ τῆς παρθένου ἄνθρωπος γεγενῆναι, ἵνα καὶ δι' ἧς ὁδοῦ ἡ ἀπὸ τοῦ ὄφεως παρακοὴ τὴν ἀρχὴν ἔλαβε, διὰ ταύτης τῆς ὁδοῦ καὶ κατάλυσιν λάβῃ. παρθένος γὰρ οὖσα Εὔα καὶ ἄφθορος, τὸν λόγον τὸν ἀπὸ τοῦ ὄφεως συλλαβοῦσα, παρακοὴν καὶ θάνατον ἔτεκε· πίστιν δὲ καὶ χαρὰν λαβοῦσα Μαρία ἡ παρθένος, εὐαγγελιζομένου αὐτῇ Γαβριὴλ ἀγγέλου, ὅτι πνεῦμα Κυρίου ἐπ' αὐτὴν ἐπελεύσεται, καὶ δύναμις ὑψίστου ἐπισκιάσει αὐτήν· διὸ καὶ τὸ γεννώμενον ἐξ αὐτῆς, ἅγιόν ἐστιν, υἱὸς Θεοῦ· ἀπεκρίνατο, Γένοιτό μοι κατὰ τὸ ῥῆμά σου:. καὶ διὰ ταύτης γεγέννηται οὗτος, περὶ οὗ τὰς τοσαύτας γραφὰς ἀπεδείξαμεν εἰρῆσθαι, δι' οὗ ὁ Θεὸς τόν τε ὄφιν, καὶ τοὺς ὁμοιωθέντας ἀγγέλους καὶ ἀνθρώπους καταλύει· ἀπαλλαγὴν δὲ τοῦ θανάτου τοῖς μεταγινώσκουσιν ἀπὸ τῶν φαύλων, καὶ πιστεύουσιν εἰς αὐτὸν, ἐργάζεται. Τὰ δὲ ἀκόλουθα τοῦ ψαλμοῦ ταῦτα ἐν οἷς λέγει· Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν· ἤλπισαν, καὶ ἐρρύσω αὐτούς· πρὸς σὲ ἐκέκραξαν, καὶ οὐ κατῃσχύνθησαν· ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένωμα λαοῦ:- δηλωτικά ἐστι τοῦ καὶ πατέρας αὐτὸν ὁμολογεῖν τοὺς ἐλπίσαντας ἐπὶ τὸν Θεὸν, καὶ σωθέντας ὑπ' αὐτοῦ· οἵτινες καὶ πατέρες ἦσαν τῆς παρθένου δι' ἧς ἐγεννήθη ἄνθρωπος γενόμενος· καὶ αὐτὸς σωθήσεσθαι ὑπὸ τοῦ αὐτοῦ Θεοῦ μηνύων, ἀλλ' οὐ τῇ αὐτοῦ βουλῇ ἢ ἰσχύϊ πράττειν τι καυχώμενος. καὶ γὰρ ἐπὶ γῆς τὸ αὐτὸ ἔπραξε λέγοντος αὐτῷ τινός, Διδάσκαλε ἀγαθέ:. ἀπεκρίνατο, Τί με λέγεις ἀγαθόν; εἷς ἐστιν ἀγαθὸς, ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς:- Τὸ δὲ εἰπεῖν, Ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ:- ἅπερ φαίνεται καὶ ὄντα, καὶ γινόμενα αὐτῷ, προέλεγεν. ὄνειδος μὲν γὰρ ἡμῖν τοῖς 103 εἰς αὐτὸν πιστεύουσιν ἀνθρώποις, πανταχοῦ ἐστιν· ἐξουθένημα δὲ τοῦ λαοῦ, ὅτι ὑπὸ τοῦ λαοῦ ὑμῶν ἐξουθενηθεὶς καὶ ἀτιμωθεὶς, ταῦτα ἔπαθεν ἅπερ διεθήκατε αὐτόν. καὶ τὰ ἀκόλουθα. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, καὶ ἐλάλησαν ἐν χείλεσιν· ἐκίνησαν κεφαλήν· Ἤλπισεν ἐπὶ Κύριον ῥυσάσθω αὐτὸν, ὅτι θέλει αὐτόν:- Τὰ αὐτὰ ὁμοίως ἐγγίνεσθαι αὐτῷ προεῖπεν. οἱ γὰρ θεωροῦντες αὐτὸν ἐσταυρωμένον, τὰς κεφαλὰς ἕκαστος ἐκίνουν, καὶ τὰ χείλη διέστρεφον, καὶ τοῖς μυξωτῆρσιν ἐν ἀλλήλοις διαρινοῦντες ἔλεγον εἰρωνευόμενοι ταῦτα ἃ καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ γέγραπται, Υἱὸν Θεοῦ ἑαυτὸν ἔλεγε· καταβὰς περιπατείτω· σωσάτω αὐτὸν ὁ Θεός:- καὶ τὰ ἑξῆς, Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ· ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι. περιεκύκλωσάν με μόσχοι πολλοί. ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου.

ἐξηραν-

ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου· καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου:- τῶν γεγενημένων τὴν προαγγελίαν ἐποιεῖτο. τὸ γάρ, Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου:- ἅμα γὰρ τῷ γεννηθῆναι αὐτὸν ἐν Βηθλεέμ, ὡς προέφην, παρὰ τῶν ἀπὸ Ἀρραβίας μάγων μαθὼν Ἡρώδης ὁ βασιλεὺς τὰ κατ' αὐτόν, ἐπεβούλευσεν ἀνελεῖν αὐτόν, καὶ κατὰ τὴν τοῦ Θεοῦ κέλευσιν Ἰωσὴφ λαβὼν αὐτὸν ἅμα τῇ Μαρίᾳ ἀπῆλθεν εἰς Αἴγυπτον. μετὰ γὰρ τὸ κηρύξαι αὐτὸν τὸν παρ' αὐτοῦ λόγον ἀνθρωπηθέντα ὁ πατήρ, θανατωθήσεσθαι αὐτὸν ἐκεκρίκει ὃν ἐγεγεννήκει. ἐὰν δέ τις ἡμῖν λέγῃ, Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς μᾶλλον τὸν Ἡρώδην ἀποκτεῖναι; προλαβὼν λέγω, Μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς τὴν ἀρχὴν καὶ τὸν ὄφιν ἐξᾶραι τοῦ μὴ εἶναι, καὶ μὴ εἰπεῖν, ὅτι, Καὶ ἔχθραν θήσω ἀναμέσον αὐτοῦ, καὶ τῆς γυναικός· καὶ τοῦ σπέρματος αὐτοῦ, καὶ τοῦ σπέρματος αὐτῆς; μὴ γὰρ οὐκ ἠδύνατο εὐθὺς πλῆθος ἀνθρώπων ποιῆσαι; ἀλλ' ὡς ἐγίνωσκε καλὸν εἶναι γενέσθαι, ἐποίησεν αὐτεξουσίους πρὸς δικαιοπραξίαν, καὶ ἀγγέλους, καὶ ἀνθρώπους· καὶ χρόνους ὥρισε μέχρις οὗ ἐγίνωσκε καλὸν εἶναι τὸ αὐτεξούσιον ἔχειν αὐτούς· καὶ ὅτι καλὸν εἶναι ὁμοίως ἐγίνωσκε, καὶ καθολικὰς καὶ μερικὰς κρίσεις ἐποίει, πεφυλαγμένου μέντοι τοῦ αὐτεξουσίου. ὅθεν φησὶν ὁ λόγος, καὶ ἐν τῇ ἐπὶ τοῦ πύργου καταβολῇ, καὶ τῇ τῶν γλωσσῶν πολυφθογγίᾳ καὶ ἐξαλλοιώσει ταῦτα· καὶ εἶπε Κύριος, Ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐκ ἐκλείψει ἐξ αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν:- καὶ τό τε, Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου:- ὁμοίως τῶν ὑπ' αὐτοῦ μελλόντων γίνεσθαι κατὰ τὸ τοῦ πατρὸς θέλημα, προαγγελία ἦν. ἡ γὰρ τοῦ ἰσχυροῦ αὐτοῦ λόγου δύναμις, δι' ἧς ἀεὶ ἤλεγχε τοὺς συζητοῦντας αὐτῷ Φαρισαίους καὶ γραμματεῖς, καὶ ἁπλῶς τοὺς ἐν τῷ γένει ὑμῶν διδασκάλους, ἐποχὴν ἔσχε δίκην πολυύδρου καὶ ἰσχυρᾶς πηγῆς, ἧς τὸ ὕδωρ ἀπεστράφη, σιγήσαντος αὐτοῦ, καὶ μηκέτι ἐπὶ Πιλάτου ἀποκρίνασθαι μηδὲν μηδενὶ βουλομένου, ὡς ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ δεδήλωται· ὅπως καὶ τὸ διὰ Ἡσαΐου εἰρημένον καρπὸν ἐνεργῆ ἔχῃ, ὅπου εἴρηται· Κύριος δίδωσί μοι γλῶσσαν τοῦ γνῶναι ἡνίκα με δεῖ εἰπεῖν λόγον:- Τὸ δὲ καὶ εἰπεῖν αὐτόν, Θεός μου εἶ σύ· μὴ ἀποστῇς ἀπ' ἐμοῦ:- διδάσκοντες ἅμα ὅτι ἐπὶ Θεὸν τὸν πάντα ποιήσαντα ἐλπίζειν δεῖ πάντας, καὶ παρ' ἐκείνου μόνου σωτηρίαν καὶ βοήθειαν ζητεῖν· ἀλλὰ μὴ ὡς τοὺς λοιποὺς τῶν ἀνθρώπων διὰ γένος, 103 ἢ πλοῦτον, ἢ ἰσχύν, ἢ σοφίαν νομίζειν δύνασθαι σώζεσθαι. ὁποῖον καὶ ὑμεῖς ἀεὶ ἐπράξατε, ποτὲ μὲν μοσχοποιήσαντες, ἀεὶ δὲ ἀχάριστοι, καὶ φονεῖς τῶν δικαίων, καὶ τετυφωμένοι διὰ τὸ γένος φαινόμενοι.

Exaruit sicut testa virtus mea, & lingua mea adhæsit faucibus meis: eorum quæ acciderūt, prænunciatio fuerunt. Nam quod dicitur, *Spes mea ab vberibus matris meæ*: illud est quod quumprimū in Bethleem natus est, (prout dixi) rebusque eius ex Magis Arabiæ cognitis, Herodes rex insidias ei struxit, vt e medio tolleret eum; Ioseph iussu Dei, recepto eo cum Maria, in Ægyptum abierit. nam postquam mandatum illi a se verbum vir factus prædicasset, tum demū Gnatum suum morte mactandum esse constituerat Pater. Si quis vero dicat; Annon potuit Deus potius Herodem interficere? quæstionem occupans, dico; Nonne Deus potuit ab initio serpentem, quo minus extaret, tollere, ac non dicere; Inimicitias ponam inter eum & mulierem, & inter semen illius & semen huius? Nonne statim potuit multitudinem hominum creare? Verum pro eo atque nouerat bonū esse, libera potestate ad bene iusteque agendum, & angelos & homines fecit: & tempora statuit, quoad bonum esse intellexit, liberam eos huiusmodi obtinere potestatem: & quod bonum itidem esse sciret, tum vniuersalia, tū singularia peregit iudicia, libera ea arbitrii potestate conseruata. Vnde Verbum in turris exstructione, & linguarum multifariam diuisione atq; mutatione, hæc ait: *Et dixit Dominus: Ecce genus vnum, & labium vnum omnium: & hoc facere cœperunt. & nunc non deficiet ab eis (siue, non desinent,) quantum in illis situm est, omnia quæcumque tentarint, facere.* Et hoc: *Exaruit sicut testa virtus mea, & lingua mea adhæsit faucibus meis*: consimiliter eorū quæ iuxta voluntatem Patris facturus fuerat, vaticinium fuit. Nam præpotentis Verbi eius vis, qua semper Pharisæos & Scribas quæstionibus secum altercantes, omnesque adeo in genere vestro magistros refellebat, inhibitionem habuit (siue inhibita est) ad exuberantis & validi fontis instar, cuius vnda auersa sit, cum conticuit, & sub Pilato nemini quidquam respondere in animum induxit: quemadmodum in scriptis Apostolorum eius est expressum: vt & illud quod per Esaiam est promulgatum, fructum efficacem haberet, vbi dicitur; *Dominus dat mihi linguam, vt norim quando me oporteat verbum proloqui.*

Deinde illud quod dixit: *Deus meus es tu; ne discedas a me*: docentis quoque est verbum; In Deo, qui omnia condidit, ab omnibus spem esse collocandam, & apud illum solum salutem & opem quærendam: neque opinionem eam concipiendam quam alii obtinent homines, propter genus, aut opes, aut potentiam, aut sapientiam, salutem contingere posse. Quemadmodum & ipsi quouis tempore fecistis, qui aliquando quidem vitulum conflatilem erexistis; semper autem ingratissimos vos, & iustorum percussores, & fastu tumidos propter genus exhibuistis.

Nam si Filius Dei, neq; eo quod Filius Dei est, neque quia fortis, neque quia sapiens; (quippe Virtus & Sapientia Dei) & præterea neque eo quod immunis peccato est, prout Esaias dicit, eum ne voce quidē peccasse. (iniquitatem enim non fecit, neque dolum ore commisit) absque Deo se saluari posse manifeste dicit: quonam modo vos, aut alii etiam, salutem citra spem istiusmodi exspectantes, nō existimemini vos ipsos seducere? Quæ porro in Psalmo sequuntur: *Quia angustia proxima est; quoniam non est qui adiuuet me. Circumdederūt me vituli multi; tauri pingues circumdederunt me. Aperuerunt super me os suum, vt leo rapiens & rugiens. Velut aqua effusa sunt & dissipata omnia ossa mea*: eodē modo, quæ illi euenere, præmonstrarunt. Nocte enim ea, quando in monte Olearum ipsum inuaserunt populares vestri, a Pharisæis & Scribis iuxta præscriptum eorum summissi, circumdederunt nimirum eum illi, quos vitulos cornupetas, & ante tempus perniciosos Verbum vocat. Et illud, *Tauri pingues circumdederunt me*: eos designauit qui eadem quæ vituli fecerunt, cum ad magistros vestros duceretur. Eos Verbum propterea *tauros* nominauit, quod tauros, vt vituli exstent, auctores esse norimus. sicuti ergo tauri vitulorū patres sunt: sic magistri vestri auctores filiis suis fuere, vt egressi in Olearum montem, ipsum comprehenderent, & ad se adducerēt. *Et non est qui adiuuet*: denotauit & id quod factum est. Ne vnus enim quidem mortalium omnium, qui suppetias insonti & peccato immuni ferret, opitulator præsto affuit. Et hoc: *Aperuerunt super me os suum, vt leo rugiens*: regem qui tum fuit Iudæorum significauit, Herodem & ipsum cognominatum; Herodis eius sub quo natus est CHRISTVS, successorem, puerorum omnium tempore illo in Bethleem genitorum percussoris: inter eos omnino ipsum esse, de quo sibi ex Arabia aduenientes Magi dixerant, suspicantis, & consilium eius qui potētior est omnibus ignorantis: quomodo videlicet is Iosepho & Mariæ mandauerit, vt puello accepto, in Ægyptum profugerēt, ibique tantisper manerēt, dum eis denuo, vt in patriam suam redirent, reuelaretur: atq; eo profecti, isthic fuere quoad vita defunctus est qui pueros Bethleemiticos necauit Herodes; cui successit Archelaus. hic vero prius diē suū obiit, quam CHRISTVS, obeūda de voluntate Patris œconomia & prouincia sibi mandata, ad crucis supplicium progrederetur. Herodes autem per successionem Archelai, virilem potestatis partem hæreditate creuit. Cui Pilatus gratificatus, IESVM ad eum vinctum misit. atque hoc ita futurum esse, præcognoscens Deus, verbis hisce promulgauit: *Abduxerunt ipsum ad Assyrium, hospitale munus regi.*

εἰ γὰρ ὁ υἱὸς τοῦ Θεοῦ φαίνεται [μήτι] διὰ τὸ εἶναι υἱὸς, μήτι κατὰ τὸ εἶναι ἰσχυρὸς, μήτε διὰ τὸ σοφὸς [εἶναι,] λέγων δύνασθαι σώζεσθαι, ἀλλὰ πρὸς τὸ ἀναμάρτητος εἶναι, ὡς Ἠσαΐας φησὶν μηδὲ μέχρι φωνῆς ἡμαρτηκέναι αὐτὸν, (ἀνομίαν γὰρ οὐκ ἐποίησεν οὐδὲ δόλον τῷ στόματι) ἄνευ τοῦ Θεοῦ σωθήσεσθαι μὴ δύνασθαι, πῶς ὑμεῖς ἢ καὶ οἱ ἄλλοι οἱ ἄνευ τῆς ἐλπίδος ταύτης σωθήσεσθαι προσδοκῶντες, οὐχ ἑαυτοὺς ἀπατᾶν λογίζεσθε; τὰ δὲ ἑξῆς εἰρημένα ἐν τῷ ψαλμῷ, "Ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι· περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος· ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου:- τῶν ὁμοίως αὐτῷ συμβάντων προαγγελία ἦν. ἐκείνης γὰρ τῆς νυκτὸς ὅτε ἀπὸ τοῦ ὄρους τῶν ἐλαιῶν ἐπῆλθον αὐτῷ οἱ ἀπὸ τοῦ λαοῦ ὑμῶν ὑπὸ τῶν Φαρισαίων καὶ γραμματέων κατὰ τὴν διδασκαλίαν ἐπιπεμφθέντες, ἐκύκλωσαν αὐτὸν, οὓς μόσχους κερατιστὰς καὶ προώλεις ὁ λόγος ἔλεγε. καὶ τὸ, Ταῦροι πίονες περιέσχόν με, εἰπὼν, τοὺς καὶ αὐτοὺς μὲν τὰ ὅμοια τοῖς μόσχοις ποιήσαντας, ὅτε ἤχθη πρὸς τοὺς διδασκάλους ὑμῶν, προέλεγεν. οὓς ὡς ταύρους διὰ τοῦτο ὁ λόγος εἴπεν, ἐπειδὴ τοὺς ταύρους τοῦ εἶναι μόσχους αἰτίους οἴδαμεν. ὡς οὖν πατέρες εἰσὶ τῶν μόσχων οἱ ταῦροι, οὕτως οἱ διδάσκαλοι ὑμῶν τοῖς τέκνοις αὐτῶν αἴτιοι ἦσαν τοῦ ἐξελθόντας εἰς τὸ ὄρος τῶν ἐλαιῶν συλλαβεῖν αὐτὸν, καὶ ἄγειν ἐπ' αὐτούς. καὶ τὸ εἰπεῖν, "Ὅτι οὐκ ἔστιν ὁ βοηθῶν:- δηλωτικὸν καὶ αὐτὸ τοῦ γενομένου. οὐδεὶς γὰρ οὐδὲ μέχρις ἑνὸς ἀνθρώπου βοηθεῖν αὐτῷ ὡς ἀναμαρτήτῳ βοηθὸς ὑπῆρχε. καὶ τὸ, "Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὠρυόμενος:- δηλοῖ τὸν βασιλέα τῶν Ἰουδαίων τότε ὄντα, καὶ αὐτὸν Ἡρώδην λεγόμενον, διάδοχον γεγενημένον Ἡρώδου τοῦ ὅτε ἐγεγέννητο, ἀνελόντος πάντας τοὺς ἐν Βηθλεὲμ ἐκείνου τοῦ καιροῦ γεννηθέντας παῖδας, διὰ τὸ ὑπονοεῖν ἐν αὐτοῖς πάντως εἶναι τὸν περὶ οὗ εἰρήκεισαν αὐτῷ οἱ ἀπὸ Ἀρραβίας ἐλθόντες μάγοι· μὴ ἐπιστάμενος τὴν τοῦ ἰσχυροτέρου πάντων βουλὴν, ὡς εἰς Αἴγυπτον τῷ Ἰωσὴφ καὶ τῇ Μαρίᾳ ἐκεκελεύκει ἀπαλλαγῆναι λαβοῦσι τὸ παιδίον, καὶ εἶναι ἐκεῖ ἄχρις ἂν πάλιν αὐτοῖς ἀποκαλυφθῇ ἐπανελθεῖν εἰς τὴν χώραν αὐτῶν· κἀκεῖ ἦσαν ἀπελθόντες ἄχρις ἂν ἀπέθανεν ὁ ἀποκτείνας τὰ ἐν Βηθλεὲμ παιδία Ἡρώδης, καὶ Ἀρχέλαος αὐτὸν διεδέξατο· καὶ οὗτος ἐτελεύτησε πρὶν τὸν Χριστὸν τὴν οἰκονομίαν τὴν κατὰ τὸ βούλημα τοῦ πατρὸς γεγενημένην ὑπ' αὐτοῦ ἐπὶ τῷ σταυρωθῆναι ἐλθεῖν. Ἡρώδου δὲ τὸν Ἀρχέλαον διαδεξαμένου, λαβόντος τὴν ἐξουσίαν τὴν ἀπονεμηθεῖσαν αὐτῷ, ᾧ καὶ Πιλάτος χαριζόμενος δεδεμένον τὸν Ἰησοῦν ἔπεμψε, καὶ τοῦτο γενησόμενον προειδὼς ὁ Θεὸς εἰρήκει οὕτως, καί γε αὐτὸν εἰς Ἀσυρίου ἀπήνεγκαν ξένια τῷ βασιλεῖ:-

Aut

ἢ λέοντα τὸν ὠρυόμενον ἐπ᾽ αὐτὸν, ἔλεγε τὸν διάβολον· ὃν Μωϋσῆς μὲν ὄφιν καλεῖ, ἐν δὲ τῷ Ἰὼβ καὶ τῷ Ζαχαρίᾳ διάβολος κέκληται, καὶ ὑπὸ τοῦ Ἰησοῦ σατανᾶς προσηγόρευται, ὄνομα ἀπὸ τῆς πράξεως ἧς ἔπραξε σύνθετον κτησάμενον αὐτὸν μηνύων. τὸ γὰρ σατὰν τῇ Ἰουδαίων καὶ Σύρων φωνῇ, ἀποστάτης ἐστί· τὸ δὲ νᾶς ὄνομα, ἐξ οὗ ἡ ἑρμηνεία ὄφις ἐκλήθη, τουτόν ἐστι σατᾶ τῇ Ἑβραίων ἑρμηνευθείσῃ φωνῇ. ἐξ ὧν ἀμφοτέρων τῶν εἰρημένων, ἓν ὄνομα γίνεται σατανᾶς. καὶ γὰρ οὗτος ὁ διάβολος, ἅμα τῷ ἀναβῆναι αὐτὸν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ἰορδάνου, τῆς φωνῆς αὐτῷ λεχθείσης, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε:- ἐν τοῖς ἀπομνη-
104 μονεύμασι τῶν ἀποστόλων γέγραπται προσελθὼν αὐτῷ καὶ πειράζων, μέχρι τοῦ εἰπεῖν αὐτῷ, Προσκύνησόν μοι:- καὶ ἀποκρίνασθαι αὐτῷ τὸν Χριστὸν, Ὕπαγε ὀπίσω μου σατανᾶ· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις:- ὡς γὰρ τὸν Ἀδὰμ ἐπλάνησεν, ἔλεγε καὶ τοῦτον δυνηθῆναι ἐργάσασθαί τι. καὶ τὸ, Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου· ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου:- ὅπερ γέγονεν αὐτῷ ἐκείνης τῆς νυκτὸς, ὅτε ἐπ᾽ αὐτὸν ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν συλλαβεῖν αὐτὸν, προαγγελία ἦν. ἐν γὰρ τοῖς ἀπομνημονεύμασιν ἅ φημι ὑπὸ τῶν ἀποστόλων αὐτοῦ καὶ τῶν ἐκείνοις παρακολουθησάντων συντετάχθαι, ὅτι ἱδρὼς ὡσεὶ θρόμβοι κατεχεῖτο αὐτοῦ εὐχομένου καὶ λέγοντος, Παρελθέτω, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο:- ἐντρόμου τῆς καρδίας δηλονότι οὔσης, καὶ τῶν ὀστῶν ὁμοίως, καὶ ἐοικυίας τῆς καρδίας κηρῷ τηκομένῳ εἰς τὴν κοιλίαν· ὅπως εἰδῶμεν ὅτι ὁ πατὴρ τὸν ἑαυτοῦ υἱὸν καὶ ἐν τοιούτοις πάθεσιν ἀληθῶς γεγονέναι δι᾽ ἡμᾶς βεβούληται, καὶ μὴ λέγωμεν ὅτι ἐκεῖνος, τοῦ Θεοῦ υἱὸς ὤν, οὐκ ἀντελαμβάνετο τῶν γινομένων καὶ συμβαινόντων αὐτῷ. καὶ τὸ Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου:- ὅπερ προεῖπον, τῆς σιγῆς, ἐν μηδενὶ μηδὲν ἀποκρινόμενος, ὁ πάντας ἐλέγχων ἀσόφους τοὺς παρ᾽ ὑμῖν διδασκάλους, προαγγελία ἦν. καὶ τὸ, Εἰς χοῦν θανάτου κατήγαγές με, ὅτι ἐκύκλωσάν με κύνες καὶ κυνηγοὶ πολλοί· συναγωγὴ πονηρευομένων περιέσχον με· ὤρυξαν χεῖράς μου, καὶ πόδας μου· ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον:- ὡς προεῖπον, προαγγελία ἦν διὰ ποίου θανάτου καταδικάζειν αὐτὸν ἔμελλεν ἡ συναγωγὴ τῶν πονηρευομένων· οὓς καὶ κύνας καλεῖ καὶ κυνηγοὺς, μηνύων ὅτι αὐτοὶ οἱ κυνηγήσαντες, καὶ συναχθέντες οἱ ἀγωνιζόμενοι ἐπὶ τῷ καταδικάσασθαι αὐτόν· ὅπερ καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ γέγραπται γενόμενον· καὶ ὅτι μετὰ τὸ σταυρωθῆναι αὐτὸν, ἐμέρισαν ἑαυτοῖς οἱ σταυρώσαντες αὐτὸν τὰ ἱμάτια αὐτοῦ, ἐδήλωσα.

Aut *leonem* certe *rugientem* super eum, diabolum ipsum dixit: quem Moses quidē *Serpentem* vocat; apud Iobum vero & Zachariam *Diabolus* nominatur. & a IESV *Satanas* appellatur: nomen eum rebus ipsis quas egit congruens, indeque compositū, obtinere indicante. Nam *Sata*, Iudæorum & Syrorū voce, Apostata & Desertor est: nomen autem *Nas*, vnde interpretatione etiam Serpens vocatur, idem est quod Sata, Ebræorum expositum sermone. Ex quibus vtrisque vnum compositum fit nomen, Satanas. Postquam namque ipse CHRISTVS ex amne Iordane ascendit, voce de eo edita: *Filius meus es tu; ego hodie genui te*: in Apostolorum Commentariis scriptū est, accessisse hunc ipsum diabolum, & tentasse illum eousque vt diceret, *Adora me*: & contra ei CHRISTVS responderet, *Facesse a me Satana: Dominum Deum tuum adorabis, & ipsum solum coles.* nā perinde se huic quoque aliquid facere posse duxit, atque Adā in fraudem seduxisset. Et illa; *Velut aqua effusa sunt & dissipata omnia ossa mea: Factum est cor meum tamquam cera liquescens, in medio ventris mei*: quod illi ea nocte accidit, quum aduersus ipsum in montē Olearum, capiendi eius gratia exiuerunt, id prænūciauerunt. Nam in libris qui sunt ab eius discipulis, ipsorumque sectatoribus compositi, memoriæ mandatum est, sudorem ipsius tamquā guttas sanguinis defluxisse in terrā, eo deprecante & dicente: *Transeat, si fieri potest poculum hoc*: cū videlicet trepidaret cor eius, & ossa similiter, simileq; cor eius esset ceræ in ventrem per colliquationem stillanti: vt sciremus, Patrem in tantis perpessionibus Filium suum vere nostra causa versari voluisse; & non diceremus, illum ipsum filium Dei non excepisse & sensisse eorum quidquam quæ illi illata sunt & acciderunt. Et illud; *In puluerem mortis deduxisti me: Quoniam circumdederūt me canes & venatores multi: Conuentus maligne agentium circumdederunt me: Foderunt manus meas & pedes meos. Dinumerauerunt omnia ossa mea: Ipsi considerauerunt & inspexerunt me. Diuiserunt sibi vestimenta mea; & super vestem meam miserunt sortem*: pro eo atque recensui, prænunciatio fuit, ad quod mortis supplicium ipsum condemnaturi essent synagoga maligne agentium: quos etiam Canes vocat, & Venatores. Hic quod iidem fuerint, qui venatione sua illum comprehenderunt, & qui in vnum congregati, vt condemnaretur modis omnibus operam dederunt, ostendit. Quod sane ita factum esse, in Commentariis Apostolicis est scriptum. Et quod post ipsius in cruce suspensionem, qui ei supplicium hoc irrogarunt, vestimenta eius inter se diuiserint, prius declaraui.

Porro consequentia Psalmi verba: *Tu autem, Domine, ne longe distuleris auxilium tuum a me: In defensionem meam incumbe: Libera a gladio animam meam: & de manu canis vnigenitam meam. Salua me ex ore leonis, & a cornibus vnicornium humilitatem meam*: eodem modo doctrina & prædictio eorum sunt quæ ei & erant & euentura erant. Nam quod Vnigenitus hic Vniuersitatis huius parenti fuerit, proprie ex eo Verbum & Virtus genitus, & postea homo per virginem editus, sicut ex Commentariis quos diximus percepimus, antea indicaui: & quod in crucem actus vitam finierit, similiter prædixit. Hoc enim: *Libera a gladio animam meam, & de manu canis vnigenitam meam: Salua me ex ore leonis, & a cornibus vnicornium humilitatem meam*: denunciantis est, quanam passione & pœna, crucis scilicet, moriturus esset. nam quod omnium cornuum vnicornium cornu solum crucis forma sit, antea vobis explicui. Et quod vt a gladio & ore leonis, & de manu canis, anima sua salua cõseruetur, orat, vt ne quis animæ suæ dominaretur, petitio fuit: quo & nos, cum iam ad exitum vitæ sumus, a Deo eadem poscamus; qui auertere potest omnem impudentem & malignũ angelum, ne animam nostram capiat. Animas enim superstites manere, etiam eo demonstrauerim, quod & Samuelis animam ventriloqua Pythonissa, ita vt Saul petierat, euocauit. Apparet autem, ad eũ modum omnes animas virorum iustorum & prophetarum, sub potestatem eiusmodi virtutum cadere, qualem & in ventriloqua illa fuisse, rebus ipsis declaratur. Quapropter & sic nos per Filium quoque suũ Deus, vt viribus omnibus aduersus eos contendamus, per quos hoc fiat; & migraturi ex hac vita, oremus ne animæ nostræ sub talem aliquam virtutem cadãt, docere videtur. nam Spiritum in cruce reddens CHRISTVS, dixit: *Pater, in manus tuas depono spiritum meum*: sicut & hoc ex Commẽtariis Apostolicis didici. Porro cum discipulos suos excitaret vt Pharisæorum vitæ cõsuetudinem & conuersationem supergrederentur; sin minus, minime se saluatum iri vt scirent: hæc illum dixisse, in eis, ipsis scriptum est libris: *Nisi abundauerit iustitia vestra plus quam Scribarum & Pharisæorum, non ingrediemini in regnum cælorum*. Et quod sciuerit, Patrem suum omnia sibi ita vt peteret præbere, qui eum quoq; excitauit a mortuis: ad laudãdum Deũ, propter misericordiam, per mysterium & sacramentum crucifixi huius præstitam, omnes Deum timentes, & omne genus fideliũ hominũ, hortatus est. & quod in medio fratrum, discipulorũ suorũ, fuerit staturus, atque eis dicturus (postquã resurrexisset a mortuis) & illi ab eo persuasioné accepturi fuerint (id qđ & antequã passus est, eis dixerat,

Τὰ δὲ ἀκόλουθα τοῦ ψαλμοῦ, Σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου·- ὁμοίως πάλιν διδασκαλία καὶ προαγγελία τῶν ὄντων αὐτῷ, καὶ συμβαίνειν μελλόντων. μονογενὴς γὰρ ὅτι ἦν τῷ πατρὶ τῶν ὅλων οὗτος, ἰδίως ἐξ αὐτοῦ λόγος καὶ δύναμις γεγενημένος, καὶ ὕστερον ἄνθρωπος διὰ τῆς παρθένου γενόμενος, ὡς ἀπὸ τῶν ἀπομνημονευμάτων ἐμάθομεν, προεδήλωσα. καὶ ὅτι σταυρωθεὶς ἀπέθανεν, ὁμοίως προεῖπε. τὸ γὰρ, Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου: ὁμοίως μηνύοντος δι' οὗ πάθους ἔμελλεν ἀποθνήσκειν, τουτέστι σταυροῦσθαι. τὸ γὰρ κεράτων μονοκερώτων, ὅτι τὸ σχῆμα τοῦ σταυροῦ ἐστὶ μόνου, προεξηγησάμην ὑμῖν. καὶ τὸ ἀπὸ ῥομφαίας, καὶ στόματος λέοντος, καὶ ἐκ χειρὸς κυνὸς αἰτεῖν αὐτὸν τὴν ψυχὴν σωθῆναι, ἵνα μηδεὶς κυριεύσῃ τῆς ψυχῆς αὐτοῦ, αἴτησις ἦν, ἵνα, ἡνίκα ἡμεῖς πρὸς τῇ ἐξόδῳ τοῦ βίου γινόμεθα, τὰ αὐτὰ αἰτῶμεν τὸν Θεὸν τὸν δυνάμενον ἀποστρέψαι πάντα ἀναιδῆ, πονηρὸν ἄγγελον, μὴ λαβέσθαι ἡμῶν τῆς ψυχῆς. καὶ ὅτι μένουσιν αἱ ψυχαὶ, ἀπέδειξα ὑμῖν ἐκ τοῦ καὶ τὴν Σαμουὴλ ψυχὴν κληθῆναι ὑπὸ τῆς ἐγγαστριμύθου, ὡς ἠξίωσεν ὁ Σαούλ. φαίνεται δὲ καὶ ὅτι πᾶσαι αἱ ψυχαὶ τῶν οὕτως δικαίων καὶ προφητῶν, ὑπὸ 103 ἐξουσίαν ἔπιπτον τῶν τοιούτων δυνάμεων, ὁποία δὴ καὶ ἐν τῇ ἐγγαστριμύθῳ ἐκείνῃ ἐξ αὐτῶν τῶν πραγμάτων ὁμολογεῖται. ὅθεν καὶ οὗτος διδάσκει ἡμᾶς καὶ διὰ τοῦ υἱοῦ αὐτοῦ τὸ πάντως ἀγωνίζεσθαι δι' οὓς γίνεσθαι, καὶ πρὸς τῇ ἐξόδῳ αἰτεῖν μὴ ὑπὸ τοιαύτην τινὰ δύναμιν ὑποπεσεῖν τὰς ψυχὰς ἡμῶν, φαίνεται. καὶ γὰρ ἀποδιδοὺς τὸ πνεῦμα ἐπὶ τῷ σταυρῷ, εἶπε, Πάτερ εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου·- ὡς καὶ ἐκ τῶν ἀπομνημονευμάτων καὶ τοῦτο ἔμαθον. καὶ γὰρ πρὸς τὸ ὑπερβάλλειν τὴν Φαρισαίων πολιτείαν τοὺς μαθητὰς αὐτοῦ συνωθῶν, εἰ δὲ μή γε, ἐπίστασθαι ὅτι οὐ σωθήσονται· τοῦτο εἰρηκέναι ἐν τοῖς ἀπομνημονεύμασι γέγραπται, Ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·- καὶ ὅτι ἠπίστατο τὸν πατέρα αὐτοῦ πάντα παρέχειν αὐτῷ, ὡς ἠξίου, καὶ ἀνεγείρειν αὐτὸν ἐκ τῶν νεκρῶν, καὶ πάντας τοὺς φοβουμένους τὸν Θεὸν προέτρεπεν αἰνεῖν τὸν Θεὸν διὰ τὸ ἐλεῆσαι καὶ διὰ τοῦ μυστηρίου τοῦ σταυρωθέντος τούτου πᾶν γένος τῶν πιστευόντων ἀνθρώπων· καὶ ὅτι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ ἔστη τῶν ἀποστόλων, οἵτινες μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν, καὶ πεισθῆναι ὑπ' αὐτοῦ, ὅτι καὶ πρὸ τοῦ παθεῖν ἔλεγεν αὐτοῖς ὅτι ταῦτα αὐτὸν δεῖ παθεῖν,

καὶ ἀπὸ τῶν προφητῶν ὅτι προκεκήρυκτο ταῦτα, μετενόησαν ἐπὶ τῷ ἀφίστασθαι αὐτοῦ ὅτε ἐσταυρώθη· καὶ μετ' αὐτῶν διάγων, ὕμνησε τὸν Θεόν, ὡς καὶ ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων δηλοῦται γεγενημένον, τὰ λείποντα τοῦ ψαλμοῦ ἐδήλωσεν. ἔστι δὲ ταῦτα· Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ:- καὶ τὸ εἰπεῖν μετωνομακέναι αὐτὸν Πέτρον ἕνα τῶν ἀποστόλων, καὶ γεγράφθαι ἐν τοῖς ἀπομνημονεύμασιν αὐτοῦ γεγενημένον καὶ τοῦτο, μετὰ τοῦ καὶ ἄλλους δύο ἀδελφοὺς υἱοὺς Ζεβεδαίου ὄντας μετωνομακέναι ὀνόματι τοῦ Βοανεργές, ὅ ἐστιν υἱοὶ βροντῆς, σημαντικὸν ἦν τοῦ αὐτὸν ἐκεῖνον εἶναι. διὸ καὶ τὸ ἐπώνυμον Ἰακὼβ τῷ Ἰσραὴλ ἐπικληθέντι ἐδόθη, καὶ τῷ Αὐσῆ ὄνομα Ἰησοῦς ἐπεκλήθη· δι' οὗ ὀνόματος καὶ εἰσήχθη εἰς τὴν ἐπηγγελμένην τοῖς πατριάρχαις γῆν ὁ περιλειφθεὶς ἀπὸ τῶν ἀπ' Αἰγύπτου ἐξελθόντων λαός. καὶ ὅτι ὡς ἄστρον ἔμελλεν ἀνατέλλειν αὐτὸς διὰ τοῦ γένους τοῦ Ἀβραάμ, Μωσῆς παρεδήλωσεν οὕτως εἰπών· Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἡγούμενος ἐξ Ἰσραήλ:- καὶ ἄλλη δὲ γραφή φησιν, Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ:- ἀνατείλαντος οὖν καὶ ἐν οὐρανῷ ἅμα τῷ γεννηθῆναι αὐτὸν ἀστέρος, ὡς γέγραπται ἐν τοῖς ἀπομνημονεύμασι τῶν ἀποστόλων αὐτοῦ, οἱ ἀπὸ Ἀρραβίας μάγοι ἐκ τούτου ἐπιγνόντες, παρεγένοντο καὶ προσεκύνησαν αὐτῷ. καὶ ὅτι τῇ τρίτῃ ἡμέρᾳ ἔμελλεν ἀναστήσεσθαι μετὰ τὸ σταυρωθῆναι, γέγραπται ἐν τοῖς ἀπομνημονεύμασιν, ὅτι οἱ ἀπὸ τοῦ γένους ὑμῶν συζητοῦντες αὐτῷ ἔλεγον, ὅτι, Δεῖξον ἡμῖν σημεῖον:- καὶ ἀπεκρίνατο αὐτοῖς, Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτοῖς, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ: καὶ ταῦτα λέγοντος αὐτοῦ, παρακεκαλυμμένα ἦν νοεῖσθαι ὑπὸ τῶν ἀκουόντων, ὅτι μετὰ τὸ σταυρωθῆναι αὐτὸν, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. καὶ πονηροτέραν τὴν γενεὰν ὑμῶν, καὶ μοιχαλίδα μᾶλλον τῆς Νινευιτῶν πόλεως ἐδήλου, οἵτινες, τοῦ Ἰωνᾶ κηρύξαντος αὐτοῖς μετὰ τὸ ἐκβρασθῆναι αὐτὸν τῇ τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς κοιλίας τοῦ ἁδροῦ ἰχθύος, ὅτι μετὰ [ἐν ἄλλοις τρεῖς] τεσσαράκοντα τρεῖς ἡμέρας παμπληθεὶ ἀπολοῦνται, νηστείαν ἁπλῶς πάντων ζώων, ἀνθρώπων 106 τε καὶ ἀλόγων, μετὰ σακκοφορίας, καὶ ἐκτενοῦς ὀλολυγμοῦ, καὶ ἀπὸ τῶν καρδιῶν ἀληθινῆς μετανοίας αὐτῶν, καὶ ἀποστροφῆς τῆς πρὸς ἀδικίαν, ἐκήρυξαν, πιστεύσαντες ὅτι ἐλεήμων ὁ Θεὸς καὶ φιλάνθρωπός ἐστιν ἐπὶ πάντας τοὺς μετατιθεμένους ἀπὸ τῆς κακίας· ὡς καὶ αὐτὸν τὸν βασιλέα τῆς πόλεως ἐκείνης, καὶ τοὺς μεγιστᾶνας ὁμοίως, σακκοφορήσαντας προσμεμενηκέναι τῇ νηστείᾳ, καὶ τῇ ἱκεσίᾳ, καὶ ἐπιτυχεῖν μὴ καταστραφῆναι τὴν πόλιν αὐτῶν.

& a prophetis quoq; prænunciatũ fuerat) ipsum talia perferre oportuisse: vnde illi pœnitentiam de eo egere, quod ab ipso, cũ supplicium crucis subiret, defecissent: tũ autem quod cum eis agens, Deum laudibus celebrarit, prout in Scripturis Apostolorum etiam hoc factum esse ostenditur: reliqua Psalmi verba declararunt. Sũt ea huiusmodi: *Narrabo nomen tuum fratribus meis; in medio Ecclesiæ laudabo te. Timentes Dominum laudate eum: Omne semen Iacobi glorificate eum. Metuant eum omne semen Israelis.* Et quod dictum est, illum, vnum ex Apostolis transnominasse *Petrum*, atque id ita factum esse, in Apostolicos commentarios est relatũ: & quod insuper alios duos fratres Zebedæi filios, nomine *Boanerges*, hoc est Tonitrus filios, appellationibus prioribus mutatis, vocauit: indicio id quoque fuit, ipsissimum illum esse per quem & Iacobo, *Israelis* cognomen inditum: & is qui prius Auses [seu Osee] vocatus fuerat, *Iesus* [siue *Iosue*] transnominatus est: per quod nomen etiam in terram Patriarchis promissam populus, ex multitudine ea quę ex Ægypto egressa fuerat, reliquus, est introductus. Et quod tanquã astrum exoriturus fuerit ipse idem ex genere Abraæ, Moses obiter declarauit, ita dicẽs: *Orietur Stella ex Iacobo, & dux ex Israele.* & alia Scriptura inquit: *Ecce vir; Oriens nomen eius.* Enimuero stella, simulatque natus est, in cælo exorta, Magi Arabes inde edocti, affuerunt & adorauerunt illum. Tertio quoque die resurrecturum eum fuisse, post crucis supplicium toleratum, in eisdem libris est perscriptum. Populares namque vestri, percontationibus cũ eo agentes, dixerunt: *Ostende nobis signum.* & ille respondit eis: *Generatio praua & adulterina signum requirit; & signum non dabitur ei, præterquam signum Ionæ.* atque hæc eo dicente, recondita ita fuere, vt ab audientibus non intelligerentur, tertio eum die, postquam crucifixus esset, resurrecturum esse. Et generationem vestram deteriorem, magisque adulterinam ciuitate Niniuitarum esse declarauit: qui Iona, cum tertio die ex aluo grandis piscis eiectus fuisset, annunciante, vrbem eorum post dies quadragintatres cum multitudine vniuersa interituram esse, ieiunium animantium simul omnium, hominum videlicet & irrationalium, indixerunt: atque vt omnes in saccis essent, & cum vehementi eiulatu, veraque animorum pœnitentia, iniquitati omni nunciũ remitterent mandatum proposuerunt: persuasione illa cõcepta, misericordem esse Deum, humanumque & benignum in eos qui a prauitate deficiunt. Rex etiam ciuitatis eius & magnates, pariter sumptis saccis, perseuerauerunt in ieiunio & in supplicationibus. & vt vrbs non euerteretur, obtinuerunt.

At Ionas moleste ferebat, quod quadragesimotertio die, ita vt prædixerat, ciuitas non pessum iret. Itaque œconomia & dispositione quadam exoriri illi hederam, (erat autem hedera cucurbita repentina) sub qua is sedens ab æstu obumbraretur, cum eam nec seuisset, nec rigasset, sed quæ subito ei exorta vmbram præberet: altero autem illam die, exarescere Deus fecit. Qua de causa mœrore afficiebatur Ionas. Illum vero iniuste ita indignantem, quod Niniuitæ non perderentur, reprehendit Deus, dicens: *Tu parci voluisti hederæ, in qua nihil fecisti opera, neque eam finisti; quippe quæ sub noctem suam prodierit. & sub noctem suã interierit. & ego non parcam Niniue ciuitati magnæ. in qua habitant plus quam centum & viginti millia virorum, (siue hominum) qui nesciunt quid sit inter dextram suam & sinistram suam; & iumenta multa?* Atque hæc populares vestri a Iona facta esse sciebant omnes. & CHRISTVS apud vos vociferabatur, daturum se vobis Ionæ signũ: cohortãs, vt vel post resurrectionem eius a mortuis, de perpetratis malis ageretis pœnitentiam: & itidem vt Niniuitæ, ploraretis apud Deum; vt ne gens & vrbs vestra ita caperetur euersa, sicut est euersa. Verum tantum abest vt pœnitẽtiam egeritis, postquam eum a mortuis resurrexisse accepistis, vt etiam (prout antea memoraui) eximiis delectis viris, in omnem terrarum orbem eos miseritis, qui renunciarent, hæresim & sectam quãdam impiam & iniquam excitatam esse a IESV quodam Galilæo, plano & seductore; quem a vobis crucifixum discipuli eius noctu e monumento, vbi a cruce refixus positus erat, furto sustulerint; & homines in errorem abduxerint, asseuerantes a mortuis eũ excitatum esse, atque in cælum ascendisse: quique calumniose sermonibus spargerẽt, docuisse etiam ea illum, quæ impia & iniqua & impura apud omne genus hominũ esse iactatis, contra eos qui illum CHRISTVM & Doctorem & Filium Dei esse profitentur Ad hæc, capta quoque vrbe vestra, & terra vastata, non resipiscitis, diris maledictionis eum, & credentes in eum vniuersos, exsecrari audentes. Ac nos non modo neque vos, neq; eos qui suggestione vestra talia de nobis suspicantur, odimus; sed precamur etiam, vt vel nunc pœnitentiam agentes omnes, misericordiam ab eo qui prolixæ est humanitatis & miserationis, parente vniuersorum Deo, consequamini. Cæterũ quod vaticinio prędictum sit, gentes a vitiositate sua, in qua errore transuersim abductæ vixerunt, per resipiscentiam mẽtem recepturas, & pœnitentiã acturas esse, postquam ex Apostolis eius prædicantibus ab ipsis vsque Hierosolymis Verbũ passum audissent: pauca verba ex prophetia Michææ, vnius e duodecim, me referentẽ sustinete. ea sunt huiusmodi: *Et erit in extremis diebus præclarus mõs Domini paratus in summo montiũ; subli-*

ἀλλὰ καὶ τοῦ Ἰωνᾶ ἀνιωμένου ἐπὶ τῷ τῇ τεσσαρακοστῇ τρίτῃ ἡμέρᾳ, ὡς ἐκήρυξε, μὴ καταστραφῆναι τὴν πόλιν, διὰ τῆς οἰκονομίας τοῦ ἐκ τῆς γῆς ἀνατεῖλαι αὐτῷ σικυῶνα ὑφ᾽ ὃν καθεζόμενος ἐσκιάζετο ἀπὸ καύματος (ἦν δὲ ὁ σικυὼν κολόκυνθα αἰφνίδιος, μήτε φυτεύσαντος τοῦ Ἰωνᾶ, μήτε ποτίσαντος, ἀλλ᾽ ἐξαίφνης ἐπανατείλας αὐτῷ σκιὰν παρέχειν) κἀκ τῆς ἄλλης ξηρᾶναι αὐτὸν, ἐφ᾽ ᾧ ἐλυπεῖτο Ἰωνᾶς, καὶ ἤλεγξεν αὐτὸν οὐ δικαίως ἀθυμοῦντα ἐπὶ τῷ μὴ κατεστράφθαι τὴν Νινευιτῶν πόλιν, λέγων· Σὺ ἐφείσω περὶ τοῦ σικυῶνος οὗ οὐκ ἐκοπίασας ἐν αὐτῷ, οὔτε ἐξέθρεψας αὐτὸν, ὃς ὑπὸ νύκτα αὐτοῦ ἦλθε, καὶ ὑπὸ νύκτα αὐτοῦ ἀπώλετο. κἀγὼ οὐ φείσομαι ὑπὲρ Νινευὶ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἳ οὐκ ἔγνωσαν ἀνὰ μέσον δεξιᾶς αὐτῶν, καὶ ἀνὰ μέσον ἀριστερᾶς αὐτῶν, καὶ κτήνη πολλά; καὶ ταῦτα οἱ ἀπὸ τοῦ γένους ὑμῶν ἐπιστάμενοι ἅπαντες γεγενημένα ὑπὸ τοῦ Ἰωνᾶ, καὶ τοῦ Χριστοῦ παρ᾽ ὑμῖν βοῶντος ὅτι τὸ σημεῖον Ἰωνᾶ δώσει ὑμῖν, προτρεπόμενος ἵνα κἂν μετὰ τὸ ἀναστῆναι αὐτὸν ἀπὸ τῶν νεκρῶν μετανοήσητε ἐφ᾽ οἷς ἐπράξατε κακοῖς, καὶ ὁμοίως Νινευΐταις προσκλαύσητε τῷ Θεῷ ὅπως καὶ τὸ ἔθνος καὶ ἡ πόλις ὑμῶν μὴ ἁλῷ καταστραφεῖσα ὡς κατεστράφη· καὶ οὐ μόνον οὐ μετενοήσατε, μαθόντες αὐτὸν ἀναστάντα ἐκ νεκρῶν, ἀλλ᾽ ὡς προεῖπον, ἄνδρας χειροτονήσαντες ἐκλεκτοὺς, εἰς πᾶσαν τὴν οἰκουμένην ἐπέμψατε, κηρύσσοντας ὅτι, Αἵρεσίς τις ἄθεος καὶ ἄνομος ἐγήγερται ἀπὸ Ἰησοῦ τινὸς Γαλιλαίου πλάνου· ὃν σταυρωσάντων ἡμῶν, οἱ μαθηταὶ αὐτοῦ κλέψαντες αὐτὸν ἀπὸ τοῦ μνήματος νυκτὸς, ὁπόθεν κατετέθη ἀφηλωθεὶς ἀπὸ τοῦ σταυροῦ, πλανῶσι τοὺς ἀνθρώπους λέγοντες ἐγηγέρθαι αὐτὸν ἐκ νεκρῶν, καὶ εἰς οὐρανὸν ἀνεληλυθέναι:- καταψεύσαντες δεδιδαχέναι καὶ ταῦτα ἅπερ κατὰ τῶν ὁμολογούντων Χριστὸν καὶ διδάσκαλον καὶ υἱὸν Θεοῦ εἶναι, παντὶ γένει ἀνθρώπων ἄθεα καὶ ἄνομα καὶ ἀνόσια λέγετε. πρὸς τούτοις, καὶ ἁλούσης ὑμῶν τῆς πόλεως, καὶ τῆς γῆς ἐρημωθείσης, οὐ μετανοεῖτε, ἀλλὰ καὶ καταρᾶσθαι αὐτοῦ καὶ τῶν πιστευόντων εἰς αὐτὸν πάντων τολμᾶτε· καὶ ἡμεῖς ὑμᾶς καὶ τοὺς δι᾽ ὑμᾶς τοιαῦτα καθ᾽ ἡμῶν ὑπειληφότας οὐ μισοῦμεν, ἀλλ᾽ εὐχόμεθα κἂν νῦν μετανοήσαντας πάντας ἐλέους τυχεῖν παρὰ τοῦ εὐσπλάγχνου καὶ πολυελέου πατρὸς τῶν ὅλων Θεοῦ. ἀλλ᾽ ὅτι τὰ ἔθνη μετανοεῖν ἀπὸ τῆς κακίας ἐν ᾗ πλανώμενοι ἐπολιτεύοντο, ἀκούσαντα τὸν ἀπὸ τῶν ἀποστόλων αὐτοῦ ἀπὸ Ἱερουσαλὴμ κηρυχθέντα δι᾽ αὐτῶν παθόντα λόγον, καὶ λόγους βραχεῖς λέγοντός μου ἀπὸ προφητείας Μιχαίου ἑνὸς τῶν δώδεκα, ἀνάσχεσθε. εἰσὶ δὲ οὗτοι· Καὶ ἔσται ἐπ᾽ ἐσχάτου ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπ᾽ ἄκρου τῶν ὀρέων·

ἐπηρμένον αὐτὸ ὑπὲρ τοὺς βουνούς· καὶ ποταμὸν θήσονται ἐπ' αὐτῷ λαοί, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι, Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ φωτιοῦσιν ἡμᾶς τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ ἕως μακράν· καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς
107 ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ μὴ ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. καὶ καθίσεται ἀνὴρ ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ὑποκάτω συκῆς αὐτοῦ· καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν· ὅτι στόμα Κυρίου τῶν δυνάμεων ἐλάλησεν· ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἐν ὀνόματι θεῶν αὐτῶν· ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συνάξω τὴν ἐκτεθλιμμένην, καὶ τὴν ἐξωσμένην ἀθροίσω, καὶ ἣν ἐκάκωσα· καὶ θήσω τὴν ἐκτεθλιμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἐκπεπιεσμένην εἰς ἔθνος ἰσχυρόν· καὶ βασιλεύσει Κύριος ἐπ' αὐτῶν ἐν τῷ ὄρει Σιὼν ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος:- Καὶ τελέσας ταῦτα, ἐπεῖπον, Καὶ ὅτι οἱ διδάσκαλοι ὑμῶν, ὦ ἄνδρες, τοὺς πάντας λόγους τῆς περικοπῆς ταύτης εἰς τὸν Χριστὸν ὁμολογοῦσιν εἰρῆσθαι, ἐπίσταμαι· καὶ αὐτὸν ὅτι οὐδέπω φασὶν ἐληλυθέναι, καὶ τοῦτο γινώσκω· εἰ δὲ καὶ ἐληλυθέναι λέγουσιν, οὐ γινώσκεσθαι ὅς ἐστιν, ἀλλ' ὅταν ἐμφανὴς καὶ ἔνδοξος γένηται, τότε γνωσθήσεσθαι ὅς ἐστι, φασί· καὶ τότε τὰ εἰρημένα ἐν τῇ περικοπῇ ταύτῃ φασὶν ἀποβήσεσθαι, ὡς μηδενὸς μηδέπω καρποῦ ἀπὸ τῶν λόγων τῆς προφητείας γενομένου· ἀλόγιστοι, μὴ συνιέντες ὅπερ διὰ πάντων τῶν λόγων ἀποδέδεικται, ὅτι δύο παρουσίαι αὐτοῦ κατηγγελμέναι εἰσί· μία μέν, ἐν ᾗ παθητὸς, καὶ ἄδοξος, καὶ ἄτιμος, καὶ σταυρούμενος κεκήρυκται· ἡ δὲ δευτέρα, ἐν ᾗ μετὰ δόξης ἀπὸ τῶν οὐρανῶν παρέσται, ὅταν καὶ ὁ τῆς ἀποστασίας ἄνθρωπος, ὁ καὶ εἰς τὸν ὕψιστον ἔξαλλα λαλῶν, ἐπὶ τῆς γῆς ἄνομα τολμήσῃ εἰς ἡμᾶς τοὺς Χριστιανούς, οἵτινες ἀπὸ τοῦ νόμου καὶ τοῦ λόγου τοῦ ἐξελθόντος ἀπὸ Ἱερουσαλὴμ διὰ τῶν τοῦ Ἰησοῦ ἀποστόλων τὴν θεοσέβειαν ἐπιγνόντες, ἐπὶ τὸν Θεὸν Ἰακὼβ καὶ Θεὸν Ἰσραὴλ κατεφύγομεν, καὶ οἱ πολέμου καὶ ἀλληλοφονίας καὶ πάσης κακίας μεμεστωμένοι, ἀπὸ πάσης τῆς γῆς τὰ πολεμικὰ ὄργανα ἕκαστος, τὰς μαχαίρας εἰς ἄροτρα, καὶ τὰς ζιβύνας εἰς γεωργικὰ μετεβάλομεν, καὶ γεωργοῦμεν εὐσέβειαν, δικαιοσύνην, φιλανθρωπίαν, πίστιν, ἐλπίδα τὴν παρ' αὐτοῦ τοῦ πατρὸς διὰ τοῦ σταυρωθέντος, ὑπὸ τὴν ἄμπελον τὴν ἑαυτοῦ ἕκαστος καθεζόμενοι, τουτέστι μόνῃ τῇ γαμετῇ γυναικὶ ἕκαστος χρώμενοι. ὅτι γὰρ ὁ λόγος ὁ προφητικὸς λέγει, Καὶ ἡ γυνὴ αὐτοῦ ὡς ἄμπελος εὐθηνοῦσα:- ἐπίστασθε. καὶ ὅτι οὐκ ἔστιν ὁ ἐκφοβῶν καὶ δουλαγωγῶν ἡμᾶς τοὺς ἐπὶ τὸν Ἰησοῦν πεπιστευκότας κατὰ πᾶσαν τὴν γῆν, φανερόν ἐστι. κεφαλοτομούμενοι γάρ, καὶ σταυρούμενοι, καὶ θηρίοις παραβαλ-

sublimatus ipse super colles. & fluminum ponent in ipso populi (sive confluent ad ipsum) & ambulabunt gentes multæ, & dicent: Venite, ascendamus in montem Domini, & in domum Dei Iacobi: & illuminabunt nos docentes de via eius; & ambulabimus in semitis eius: Quoniam ex Sion egredietur lex, & verbum Domini ex Hierusalem. & iudicabit inter populos multos, & corripiet gentes fortes, vsque in longinquum. Et concident gladios suos in vomeres, & hastas suas in falces: & non sumet gens in gentem gladium, & non discent vltra belligerare: & sedebit vir sub vite sua, & sub ficu sua; & non erit qui exterreat; Quia os Domini virtutum loquutum est. quoniam omnes populi ambulabunt in nomine deorum suorum: nos autem ambulabimus in nomine Domini Dei nostri, in æternum. & erit in die illo, colligam angustiis affectam, eiectam congregabo, & eam quam afflixi: & ponam angustiis affectam in residuum; & eiectam, in gentem potentem. Et regnabit Dominus super eos in monte Sion, ex hoc nunc & vsque in seculum.

His finitis, dicere perrexi: Magistros vestros, o viri, verba loci huius omnia confiteri, quod de CHRISTO dicta sint, scio; & eosdem quod nondum venerit, affirmare, id quoque scio. Sin venisse etiam fateantur, non agnosci tamen, cũ ipsum esse: sed cum præclarus atque gloriosus factus fuerit, tum agnitum iri eum; ac tum demũ quæ in hoc loco sunt commemorata, euentura esse dicunt; ita vt nullus dum verborum prophetiæ fructus exstiterit: rationis quippe expertes omnis, neque intelligentes, (quod in omni hac disputatione est ostensum) duplicem ipsius aduentum esse prænunciatum: vnum, in quo passioni subiectus, & inglorius, & dehonestatus, & crucifixus deprædicatur: secũdum, in quo cælitus cum gloria aderit, quando & *Defectionis homo* aduersus Altissimum quoque grandia loquens in terris, iniqua in nos Christianos committere audebit: qui ex lege & verbo ab ipsis Hierosolymis progresso, per Apostolos & legatos Iesu, religione & vero cultu Dei percepto, ad Deum Iacobi & Deum Israelis confugimus: quique bello, & mutuis cædibus & malicia omni pleni, ex terra quauis pro se quisque bellica arma, gladios in vomeres, & hastas in rustica instrumenta transmutamus, & tamquam agricolæ exercemus veram pietatem, iustitiam, humanitatem, fidem, spem de Patre ipso per Crucifixum conceptam: sub vite quisque sua sedens; hoc est, sola nupta quisque muliere sua contentus. Nam quod sermo Propheticus dicat, *Et vxor eius veluti vitis exuberans,* scitis. Non esse autem qui exterreat & in seruitutem redigat nos, qui IESV nomina per fidem dedimus, per terram omnem, manifestũ est. Quod namq; dum gladio percutimur, & in crucẽ agimur, & bestiis obiici-

mur, & vinculis & igne & tormentis aliis omnibus plectimur & excruciamur, a professione nostra non discedamus, satis constat: & quanto magis eiusmodi quædã in nos expediuntur tormenta, tanto alii plures fideles, & veræ religionis per nomẽ IESV fiũt cultores. Quemadmodum enim si quis vitis excidat fructificantes partes, vt palmites, qui alios floridi & frugiferi protrudant ramos, illa proferat, facit: ita in nobis quoque accidit. Plantata namque est a Deo & Christo seruatore vitis [& vinea] populus eius. Reliqua porro prophetiæ, in altero eius aduentu ad rem conferentur. Colliget enim angustiis affectam, hoc est ex orbe terrarum eiectam, quantum in vobis & aliis cũctis mortalibus est situm. quandoquidem non solum ex possessionibus suis, Christianorum quisq; exigitur; verum etiam in mũdo toto nemini eorum viuere permittitur. Vos autem in populo vestro, hoc euentu completũ esse dicitis. Qui si bello superati & eiecti [e patria] estis, sicuti Scripturæ omnes attestãtur; iure hoc perpessi estis. At nos, qui nihil tale admisimus, posteaquam veritatẽ Dei cognouimus, testimonium e Deo habemus, nos vna cum iustissimo & solo immaculato, & a peccato immuni CHRISTO, e medio tolli. Clamat enim Esaias: *Ecce quomodo perit iustus; & nemo percipit corde. Et viri iusti tolluntur; & nemo considerat.* Ac duos aduentus CHRISTI huius fore, figurate sub Mose esse promulgatum, antea dixi, per symbolum eorum qui in ieiunio offerebantur hircorum. Et rursum in eo quod Moses & Iesus fecerunt, idem hoc [CHRISTI mysterium] per figuram est prænunciatum. Horum enim alter manus expandens in colle, ad vesperam vsque mansit manibus sustentatis: quod nullius alterius rei quam crucis notam designauit: alter vero, *Iesu* nomine cognominatus, aliis in pugna præiit; vnde victoria Israeli est parta. Hoc vero quoque in vtroque sanctorũ illorum virorum & prophetarum Dei factum cõsiderare erat; quod vtrumque sacramentum vnus eorum portare non potuerit: figuram dico crucis, & nominis IESV inuocationis notam. Vnius namque & solius virtus hæc est, & fuit, & futura est: cuius ipsum quoque nomen principatus omnis metuit, magnopere dolens se per id excisum iri. Itaque passioni subditus, & crucifixus CHRISTVS noster, maledictioni a lege subiectus non est; sed se solũ clare significauit ille saluaturũ eos esse, qui a terra eius non deficerent. Et qui in Ægypto seruati sunt, cum Ægyptiorum primogenita interirent, eos Pascha sanguis liberauit, quo postes vtrimque & superliminare imbutum erat. Pascha enim erat CHRISTVS, immolatus postea, sicut & Esaias inquit: *Ipse tamquam ouis ad occisionem ductus est.* Porro quod in die Paschæ ipsum comprehenderitis, & similiter

λόμενοι, καὶ δεσμοῖς καὶ πυρὶ, καὶ πάσαις ταῖς ἄλλαις βασάνοις, ὅτι οὐκ ἀφιστάμεθα τῆς ὁμολογίας, δῆλόν ἐστιν· ἀλλ' ὅσῳπερ ἂν τοιαῦτά τινα γίνηται, τοσούτῳ μᾶλλον ἄλλοι πλείονες πιστοὶ καὶ θεοσεβεῖς διὰ τοῦ ὀνόματος τοῦ Ἰησοῦ γίγνονται. ὁποῖον, ἐὰν ἀμπέλου τις ἐκτέμῃ τὰ καρποφορήσαντα μέρη, εἰς τὸ ἀναβλαστῆσαι ἑτέρους κλάδους καὶ εὐθαλεῖς καὶ καρποφόρους ἀναδίδωσι· τὸν αὐτὸν τρόπον καὶ ἐφ' ἡμῶν γίνεται. ἡ γὰρ φυτευθεῖσα ὑπὸ τοῦ Θεοῦ ἄμπελος, καὶ σωτῆρος Χριστοῦ, ὁ λαὸς αὐτοῦ ἐστι. τὰ δὲ λοιπὰ τῆς προφητείας, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἀποβήσεται. τὴν γὰρ ἐκτεθλιμμένην, τουτέστιν ἀπὸ τοῦ κόσμου ὅσον ἐφ' ὑμῖν καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, οὐ μόνον ἀπὸ τῶν κτημάτων τῶν ἰδίων ἕκαστος τῶν Χριστιανῶν ἐκβέβληται, ἀλλὰ καὶ τοῦ κόσμου παντὸς, ζῆν μηδενὶ Χριστιανῷ συγχωροῦντες. ὑμεῖς δὲ, ἐπὶ τὸν λαὸν ὑμῶν συμβεβηκέναι τοῦτο φατέ. εἰ δὲ ἐξεβλήθητε πολεμηθέντες, δικαίως μὲν ὑμεῖς ταῦτα πεπόνθατε, ὡς αἱ γραφαὶ πᾶσαι μαρτυροῦσιν· ἡμεῖς δὲ, οὐδὲν τοιοῦτον πράξαντες, μετὰ τὸ ἐπιγνῶναι τὴν ἀλήθειαν τοῦ Θεοῦ, μαρτυρούμεθα ὑπὸ τοῦ Θεοῦ, σὺν τῷ δικαιοτάτῳ, καὶ μόνῳ ἀσπίλῳ καὶ ἀναμαρτήτῳ Χριστῷ, ὅτι ἀπὸ γῆς 108
αἰρόμεθα. Βοᾷ γὰρ Ἠσαΐας, Ἰδοὺ ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐνδέχεται τῇ καρδίᾳ· καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Καὶ ὅτι δύο παρουσίας συμβολικῶς γενήσεσθαι τούτου τοῦ Χριστοῦ καὶ ἐπὶ Μωσέως προελέξατο, προεῖπον διὰ τοῦ συμβόλου τῶν ἐν τῇ νηστείᾳ προσφερομένων τράγων· καὶ πάλιν ἐν οἷς ἐποίησαν Μωσῆς καὶ Ἰησοῦς, τὸ αὐτὸ προκηρυσσόμενον συμβολικῶς ἦν, καὶ λεγόμενον. ὁ μὲν γὰρ αὐτῶν τὰς χεῖρας ἐκτείνας, ἐπὶ τοῦ βουνοῦ μέχρις ἑσπέρας ἔμεινεν, ὑποβασταζομένων τῶν χειρῶν· ὃ οὐδενὸς ἄλλου τύπον δείκνυσιν ἢ τοῦ σταυροῦ· ὁ δὲ τῷ Ἰησοῦ ὀνόματι μετονομασθεὶς, ἦρχε τῆς μάχης, καὶ ἐνίκα Ἰσραήλ. ἦν δὲ καὶ τοῦτο ἐπ' ἀμφοτέρων τῶν ἁγίων ἀνδρῶν ἐκείνων, καὶ προφητῶν τοῦ Θεοῦ, νοῆσαι γεγενημένον, ὅτι ἀμφότερα τὰ μυστήρια εἷς αὐτῶν βαστάσαι οὐκ ἦν δυνατός· λέγω δὲ τὸν τύπον τοῦ σταυροῦ, καὶ τὸν τύπον τῆς τοῦ ὀνόματος ἐπικλήσεως. ἑνὸς γὰρ μόνου ἡ ἰσχὺς αὕτη ἐστὶ, καὶ ἦν, καὶ ἔσται, οὗ καὶ τὸ ὄνομα πᾶσα ἀρχὴ δέδιεν, ὠδίνουσα ὅτι δι' αὐτοῦ καταλύεσθαι μέλλουσιν. ὁ οὖν παθητὸς ἡμῶν καὶ σταυρωθεὶς Χριστὸς, οὐ κατηράθη ὑπὸ τοῦ νόμου, ἀλλὰ μόνος σώσειν τοὺς μὴ ἀφισταμένους τῆς γῆς τέως αὐτοῦ ἐδήλου. καὶ τοὺς ἐν Αἰγύπτῳ δὲ σωθέντας, ὅτε ἀπώλλυντο τὰ πρωτότοκα τῶν Αἰγυπτίων, τὸ τοῦ πάσχα ἐρρύσατο αἷμα τὸ ἑκατέρωσε τῶν σταθμῶν καὶ τοῦ ὑπερθύρου χρισθέν. ἦν γὰρ τὸ πάσχα ὁ Χριστὸς, ὁ τυθεὶς ὕστερον, ὡς καὶ Ἠσαΐας ἔφη, Αὐτὸς ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Καὶ ὅτι ἐν ἡμέρᾳ τοῦ πάσχα συνελάβετε αὐτὸν, καὶ ὁ-

μοίως ἐν τῷ πάσχα ἐσταυρώσατε, γέγραπται. ὡς δὲ τοὺς ἐν Αἰγύπτῳ ἔσωσε τὸ αἷμα τοῦ πάσχα, οὕτως καὶ τοὺς πιστεύσαντας ῥύσεται ἐκ θανάτου τὸ αἷμα τοῦ Χριστοῦ. ἔμελλεν οὖν ὁ Θεὸς πλανᾶσθαι, εἰ μὴ τὸ σημεῖον τοῦτο ἐπὶ τῶν θυρῶν ἐγεγόνει; οὐ φημὶ ἐγώ, ἀλλ' ὅτι προεκήρυσσε τὴν μέλλουσαν δι' αἵματος τοῦ Χριστοῦ γενήσεσθαι σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων. καὶ γὰρ τὸ σύμβολον τοῦ κοκκίνου σπαρτίου οὗ ἔδωκαν ἐν Ἱεριχῷ οἱ ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ πεμφθέντες κατάσκοποι Ῥαὰβ τῇ πόρνῃ, εἰπόντες προσδῆσαι αὐτὸ τῇ θυρίδι δι' ἧς αὐτοὺς ἐχάλασεν ὅπως λάθωσι τοὺς πολεμίους, ὁμοίως τὸ σύμβολον τοῦ αἵματος τοῦ Χριστοῦ ἐδήλου, δι' οὗ οἱ πάλαι πόρνοι καὶ ἄδικοι ἐκ πάντων τῶν ἐθνῶν σώζονται, ἄφεσιν ἁμαρτιῶν λαβόντες, καὶ μηκέτι ἁμαρτάνοντες. ὑμεῖς δέ, ταῦτα ταπεινῶς ἐξηγούμενοι, πολλὴν ἀσθένειαν καταψηφίζεσθε τοῦ Θεοῦ, εἰ ταῦτα οὕτω ψιλῶς ἀκούετε, καὶ μὴ τὴν δύναμιν ἐξετάζοιτε τῶν εἰρημένων· ἐπεὶ καὶ Μωϋσῆς οὕτω παράνομος ἂν κριθείη, αὐτὸς παραγγείλας μηδενὸς ὁμοίωμα γίνεσθαι μήτε τῶν ἐπὶ τῷ οὐρανῷ, μήτε τῶν ἐπὶ γῆς ἢ θαλάσσης, ἔπειτα ὄφιν χαλκοῦν αὐτὸς ἐποίει, καὶ στήσας ἐπὶ σημείου τινός, ἐκέλευσεν εἰς αὐτὸν ὁρᾶν τοὺς δεδηγμένους· οἱ δὲ ἐσώζοντο, εἰς αὐτὸν ἀποβλέποντες. ὁ ὄφις ἄρα νοηθήσεται σεσωκέναι τὸν λαὸν τότε, ὃν (προεῖπον) κατηράσατο ὁ Θεὸς τὴν ἀρχήν, καὶ ἀνεῖλε διὰ τῆς μεγάλης μαχαίρας, ὡς Ἡσαΐας βοᾷ; καὶ οὕτως ἀφρόνως παραδεξόμεθα τὰ τοιαῦτα ὡς οἱ διδάσκαλοι ὑμῶν φασί, καὶ οὐ σύμβολα; οὐχὶ δὲ ἀνοίσομεν ἐπὶ τὴν εἰκόνα τοῦ σταυρωθέντος Ἰησοῦ τὸ σημεῖον, ἐπεὶ καὶ Μωϋσῆς διὰ τῆς ἐκτάσεως τῶν χειρῶν σὺν τῷ ἐπικληθέντι Ἰησοῦ ὀνόματι, καὶ νικᾶν τὸν λαὸν ὑμῶν εἰργάζετο; οὕτω γὰρ καὶ τοῦ ἀπορεῖν περὶ ὧν ἐποίησεν ὁ νομοθέτης παυσόμεθα. οὐ γὰρ καταλιπὼν τὸν Θεόν, ἐπὶ θηρίον δι' οὗ ἡ παράβασις καὶ παρακοὴ τὴν ἀρχὴν ἔλαβεν, ἔπειθε τὸν λαὸν ἐλπίζειν. καὶ ταῦτα μετὰ πολλοῦ νοῦ καὶ μυστηρίου γέγονε, καὶ ἐρρέθη διὰ τοῦ μακαρίου προφήτου· καὶ οὐδέν ἐστιν ὅ τις μέμψασθαι δικαίως ἔχει τῶν λελεγμένων ἢ γεγενημένων ὑπὸ πάντων
109 ἁπλῶς τῶν προφητῶν, ἐὰν τὴν γνῶσιν τὴν ἐν αὐτοῖς ἔχητε. ἐὰν δὲ ὡς οἱ διδάσκαλοι ὑμῶν, διατί κάμηλοι μὲν θήλειαι ἐν τῷδε τῷ τόπῳ οὐ λέγονται, ἢ τί εἰσιν αἱ λεγόμεναι κάμηλοι θήλειαι, ἢ διὰ τί σεμιδάλεως μέτρα τόσα, καὶ ἐλαίου μέτρα τόσα ἐν ταῖς προσφοραῖς μόνα, ἐξηγοῦνται ὑμῖν, καὶ ταῦτα ταπεινῶς καὶ χαμερπῶς· τὰ δὲ μεγάλα καὶ ἄξια ζητήσεως, μηδέποτε τολμῶσι λέγειν, μηδὲ ἐξηγεῖσθαι· ἢ καὶ ἡμῶν ἐξηγουμένων παραγγέλλουσιν ὑμῖν μηδὲ ὅλως ἐπαΐειν, μηδὲ εἰς κοινωνίαν λόγων ἐλθεῖν, οὐχὶ δικαίως ἀκούσονται ἅπερ πρὸς αὐτοὺς ἔφη ὁ ἡμέτερος Κύριος Ἰησοῦς Χριστός,

militer in Pascha crucifixeritis, scriptũ est. Vt autẽ eos qui in Ægypto fuere, sanguis Paschæ saluos cõseruauit: ita & credẽtes liberabit a morte sanguis CHRISTI. Hallucinaturus ergo per errorẽ Deus fuerat, nisi signũ hoc super forib. extitisset? Equidem id nõ dico: sed quod salutẽ hominũ generi per sanguinẽ CHRISTI aduenturã esse prænunciarit, id aio. *Funiculi* etiam *coccinei* symbolum, quod Hierichunte a Iesu Naue missi exploratores Raabi meretrici dederunt, alligari ad fenestram vnde eos demiserat vt hostium conspectum effugerent, iubentes: sanguinis & id CHRISTI signum præ se tulit, per quem vetusti fornicatores, & iniqui homines ex gentibus omnibus saluantur, remissionem peccatorum accipientes, & vlterius non peccantes. Vos porro ista humiliter exponentes, contra Deum, multæ infirmitatis illum damnantes, sententiam fertis: perquam tenuiter hæc exaudientes, ac vim virtutemque verborum non inquirentes. Nam hoc pacto & Moses contra legem per se latam fecisse iudicetur; qui constitutione proposita sanxerit, ne qua effigies & similitudo fieret, neque eorum quæ in cęlo, neque eorum quæ in terra aut mari sunt; ipse tamen postea serpentem æneum fecerit, atque pro signo quodam statuerit, eos illum inspicere iubens, qui morsu a viuis serpentibus læsi fuerant: atqui illi, eum intuentes, salui permanebant. Serpens videlicet existimabitur populum seruasse; quem (sicut antea dixi) primitus Deus maledictioni subdiderat, & per ingentem, vt Esaias clamat, gladium confecit? Et tam insipienter res istiusmodi, prout Rabini vestri docent, & non tamquam symbola excipiemus? neque vero ad imaginem etiã referemus IESV crucifixi hoc signũ, quãdo & Moses per manus expassas, cum eo qui Iesu nomine cohonestatus fuit, victoriam populo vestro conciliauit? Hoc quippe modo dubitare atque inquirere de legislatoris actionibus desinemus. Nõ ille profecto, Deo relicto, in feram, cuius ductu transgressio & inobœdientia initiũ sumpsit, vt spem collocaret, populo suasit. cũ multo sensu occulto & mysterio, hæc & facta & dicta sunt a beato propheta. neque quidquam est quod recte aliquis carpere eorum queat, quę ab omnibus omnino sanctis vatibus dicta sunt aut facta; si modo notionem eorũ teneatis. Sin magistri vestri, quamobrem cameli in hoc vel illo loco feminæ dicãtur, aut quid sint quæ dicuntur cameli fœminæ: aut propter quã causam similæ mensuræ tot, & olei mẽsurę tot, in oblationib. tantũ sumantur, vobis explicent: atq; id quidem oppido quã humiliter, & expositione humi reptãte: res autẽ magnas & quæstione dignas numquã proferre aut interpretari audeãt, aut nobis enarrãtibus, neq; audire nos prorsus, neq; ad cõmunionẽ sermonis nobiscũ venire vos hortẽtur: an nõ merito audiãt, quæ ad eos dixit Dominus noster IESVS CHRISTVS?

Sepulcra dealbata, qui intrinsecus pleni estis ossibus mortuorum, & extrinsecus apparetis speciosi mentam decimantes, [*& culicem excolantes*] *camelum autem deglutientes?* Itaque nisi doctrinas eorum despexeritis, qui seipsos efferunt, & Rabi Rabi appellari volunt; & ea animi alacritate & mente ad prophetica accesseritis scripta, vt eadem perferatis ab hominibus vestris quæ & ipsi prophetæ sunt perpessi: nullam prorsus poteritis ex propheticis doctrinis percipere vtilitatem. Id quod dico, istiusmodi est. Ausen illum, vt sæpe commemoraui, qui cũ Chalebo speculator in terram Chanaan missus est, *Iesum* Moses nominauit. Hoc ipsum tu, quam ob causam fecerit, non quæris, non ambigis, neque studiose percũctaris. Ilicet te fugit CHRISTVS; & legens non intelligis: ac ne nunc quidem, cum audis IESVM nostrum CHRISTVM esse, rationẽ tecum inis ac reputas, non ociose neque temere illi hoc impositum esse nomẽ. Atenim cur primo *Abram* nomini, A vnum additum sit, theologando, & quasi diuina tractando disseris: & cur pariter R aut I vnum *Sara* appellationi sit adiectũ, oratione ad fastum comparata enarras: quam vero ob rem a patre eius inditum nomẽ, in filio Nauæ, totum alio nomine sit trãsmutatum, non percontaris. Quemadmodum similiter nec illud, quod non modo nomen eius est transnominatum, verum etiam quod Mosæ successoris cooptatus, solus ipse eorum qui ex Ægypto vna profecti sunt, æqualium suorum, populum reliquũ in terram sanctã introduxit; & quomodo ille populi in terrã eam, & non Moses ipse, ductor fuit? Et vt ille per sortem, eam hæreditario illis iure, qui secum sunt ingressi, diuisit: ita & IESVS CHRISTVS dispersionem populi conuertet, & dispertiet terram bonam, cuique suum dans, pro parte virili: non eadẽ autem vel par erit diuisio. Ille namq; temporaneã ipsis tribuit hæreditatem; vtpote qui neque CHRISTVS Deus esset, neque Dei filius. hic autẽ, post sanctam resurrectionem, possessionẽ nobis dabit sempiternam. Cõsistere fecit ille solem, nomine prius Iesu trãsnominatus, cũ de spiritu quoque eius accepisset fortitudinẽ. Quod enim IESVS fuerit, qui Mosæ & Abraæ, & aliis sanctis patriarchis omnibus apparuit, & cum eis colloquutus est, voluntati Patris administrans, demõstraui. Quem etiam, vt homo ex Maria virgine nasceretur, cælitus venisse, & semper esse, dico. Hic etenim est a quo & cælum & terram factam scimus; & per quem & cælum & terram Pater innouabit. Hic est qui in Hierusalem, vt lux resplendeat sempiterna, faciet. Hic est qui secundum ordinem Melchisedech rex Salem, & perpetuus est Altissimi sacerdos. Ille dicitur per secundam circumcisionem cultris lapideis populum circumcidisse: qđ præconiũ & annunciatio fuit circũcisionis huius, qua resecuit nos ipse IESVS CHRISTVS

Τάφοι κεκονιαμένοι, ἔξωθεν φαινόμενοι ὡραῖοι καὶ ἔσωθεν γέμοντες ὀστῶν νεκρῶν· τὸ ἡδύοσμον ἀποδεκατοῦντες, [καὶ διϋλίζοντες τὸν κώνωπα,] τὴν δὲ κάμηλον καταπίνοντες, τυφλοὶ ὁδηγοί:- Ἐὰν οὖν μὴ τῶν διδαγμάτων τῶν ἑαυτοὺς ὑψούντων καὶ θελόντων Ῥαββὶ Ῥαββὶ καλεῖσθαι, καταφρονήσητε, καὶ μετὰ τοιαύτης ἐνστάσεως καὶ νοῦ τοῖς προφητικοῖς λόγοις προσέλθητε, ἵνα τὰ αὐτὰ πάθητε ὑπὸ τῶν ὑμετέρων ἀνθρώπων ἃ καὶ αὐτοὶ οἱ προφῆται ἔπαθον, οὐ δύνασθε ὅλως οὐδὲν ἀπὸ τῶν προφητικῶν ὠφέλιμον λαβεῖν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· Ἰησοῦν, ὡς προέφην πολλάκις, Αὐσῆν καλούμενον, ἐκεῖνον τὸν μετὰ τοῦ Χαλὲβ κατάσκοπον εἰς τὴν Χαναὰν ἐπὶ τὴν γῆν ἀποσταλέντα, Ἰησοῦν Μωσῆς ἐκάλεσε. τοῦτο σὺ οὐ ζητεῖς δι' ἣν αἰτίαν ἐποίησεν, οὐκ ἀπορεῖς, οὐδὲ φιλοπευστεῖς. τοιγαροῦν λέληθέ σε ὁ Χριστός· καὶ ἀναγινώσκων, οὐ συνίης· οὐδὲ νῦν ἀκούων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἡμῶν, συλλογίζῃ οὐκ ἀργῶς οὐδ' ὡς ἔτυχεν ἐκείνῳ τεθεῖσθαι τοὔνομα· ἀλλὰ διατί μὲν ἓν ἄλφα πρώτῳ προσετέθη τῷ Ἀβραὰμ ὀνόματι θεολογεῖς, καὶ διατὶ ἓν ῥῶ τῷ Σάρρας ὀνόματι, ὁμοίως κομπολογεῖς· διατὶ δὲ τὸ πατρόθεν ὄνομα τῷ Αὐσῆ τῷ υἱῷ Ναυῆ ὅλον μετωνόμασται τῷ Ἰησοῦ, οὐ ζητεῖς. ὁμοίως ἐπειδὴ οὐ μόνον μετωνομάσθη αὐτοῦ τὸ ὄνομα, ἀλλὰ καὶ διάδοχος γενόμενος Μωσέως, μόνος τῶν ἀπ' Αἰγύπτου ἐξελθόντων ἐν ἡλικίᾳ τοιαύτῃ ὄντων, εἰσήγαγε εἰς τὴν ἁγίαν γῆν τὸν περιλειφθέντα λαόν· καὶ ὃν τρόπον ἐκεῖνος εἰσήγαγε εἰς τὴν ἁγίαν γῆν τὸν λαὸν, οὐχὶ Μωσῆς· καὶ ὡς ἐκεῖνος ἐν κλήρῳ διένειμεν αὐτὴν τοῖς εἰσελθοῦσι μετ' αὐτοῦ, οὕτως καὶ Ἰησοῦς ὁ Χριστὸς τὴν διασπορὰν τοῦ λαοῦ ἐπιστρέψει, καὶ διαμεριεῖ τὴν ἀγαθὴν γῆν ἑκάστῳ· οὐκέτι δὲ κατὰ ταῦτα. ὁ μὲν γὰρ, πρόσκαιρον ἔδωκεν αὐτοῖς τὴν κληρονομίαν, ἅτε οὐ Χριστὸς ὁ Θεὸς ὢν, οὐδὲ υἱὸς Θεοῦ· ὁ δὲ, μετὰ τὴν ἁγίαν ἀνάστασιν, αἰώνιον ἡμῖν τὴν κατάσχεσιν δώσει. τὸν ἥλιον ἔστησεν ἐκεῖνος μετονομασθεὶς πρότερον τῷ Ἰησοῦ ὀνόματι, καὶ λαβὼν ἀπὸ τοῦ πνεύματος αὐτοῦ ἰσχύν. ὅτι γὰρ Ἰησοῦς ἦν ὁ Μωσῇ καὶ τῷ Ἀβραὰμ, καὶ τοῖς ἄλλοις ἁπλῶς πατριάρχαις φανεὶς καὶ ὁμιλήσας, τῷ τοῦ πατρὸς θελήματι ὑπηρετῶν, ἀπέδειξα· ὃς καὶ ἄνθρωπος γεννηθῆναι διὰ τῆς παρθένου Μαρίας ἦλθε, καὶ ἔστιν ἀεὶ, ἐρῶ. οὗτος γάρ ἐστιν ἀφ' οὗ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ δι' οὗ, ὁ πατὴρ μέλλει καινουργεῖν· οὗτός ἐστιν ὁ ἐν Ἱερουσαλὴμ αἰώνιον φῶς λάμπειν μέλλων· οὗτός ἐστιν ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ βασιλεὺς Σαλὴμ, καὶ αἰώνιος ἱερεὺς ὑψίστου ὑπάρχων. ἐκεῖνος λέγεται δευτέραν περιτομὴν μαχαίραις πετρίναις τὸν λαὸν περιτετμηκέναι· ὅπερ κήρυγμα ἦν τῆς περιτομῆς ταύτης ἧς περιέτεμεν ἡμᾶς αὐτὸς Ἰησοῦς Χριστὸς

ala-

ἀπὸ τῶν λίθων, καὶ τῶν ἄλλων εἰδώλων· καὶ θημωνίας ποιήσας τῶν ἀπὸ ἀκροβυστίας, τουτέστιν ἀπὸ τῆς πλάνης τοῦ κόσμου, ἐν παντὶ τόπῳ περιτμηθέντων πετρίναις μαχαίραις τοῖς Ἰησοῦ τοῦ Κυρίου ἡμῶν λόγοις. ὅτι γὰρ λίθος καὶ πέτρα ἐν παραβολαῖς ὁ Χριστὸς διὰ τῶν προφητῶν ἐκηρύσσετο, ἀποδέδεικταί μοι. καὶ τὰς μαχαίρας οὖν τὰς πετρίνας τοὺς λόγους αὐτοῦ ἀκουσόμεθα, δι' ὧν ἀπὸ τῆς ἀκροβυστίας οἱ πλανώμενοι τοσοῦτοι, καρδίας περιτομὴν περιετμήθησαν, ἣν περιτμηθῆναι καὶ τοὺς ἔχοντας τὴν ἀπὸ τοῦ Ἀβραὰμ ἀρχὴν λαβοῦσαν περιτομὴν ὁ Θεὸς διὰ τοῦ Ἰησοῦ προὔτρεπεν ἔκτοτε· καὶ τοὺς εἰσελθόντας εἰς τὴν γῆν ἐκείνην τὴν ἁγίαν, δευτέραν περιτομὴν πετρίναις μαχαίραις εἶπεν τὸν Ἰησοῦν περιτετμηκέναι αὐτούς. ἔσθ' ὅτε γὰρ τὸ ἅγιον πνεῦμα καὶ ἐναργῶς πραχθῆναί τι, ὃ τύπος τοῦ μέλλοντος γίνεσθαι ἦν, ἐποίει· ἔσθ' ὅτε δὲ καὶ λόγους ἐφθέγξατο περὶ τῶν ἀποβαίνειν μελλόντων, φθεγγόμενον αὐτοὺς ὡς τότε γινομένων ἢ καὶ γεγενημένων. ἣν τέχνην ἐὰν μὴ εἰδῶσιν οἱ ἐντυγχάνοντες, οὐδὲ παρακολουθῆσαι τοῖς τῶν προφητῶν λόγοις ὡς δεῖ δυνήσονται. παραδείγματος δὲ χάριν, λόγους τινὰς προφητικοὺς εἴποιμ' ἄν, ὅπως παρακολουθήσητε τῷ λεγομένῳ· ὅταν λέγῃ διὰ Ἠσαΐου, „Αὐτὸς ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀ- „μνὸς ἐναντίον τοῦ κείραντος [ἄφωνος:-] ὡς ἤδη τοῦ πάθους γενομένου λέγει. καὶ ὅταν πάλιν λέγῃ, Ἐγὼ „ἐξεπέτασα τὰς χεῖράς μου ἐπὶ λαὸν ἀπειθοῦντα, καὶ „ἀντιλέγοντα:- καὶ ὅταν λέγῃ, Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν:- ἤδη γεγενημένων πραγμάτων ἐξαγγελίαν οἱ λόγοι σημαίνοντες, λελεγμένοι εἰσί. καὶ γὰρ ἐν παραβολῇ λίθον πολλαχοῦ καλεῖν ἀπέδειξα τὸν Χριστόν, καὶ ἐν τροπολογίᾳ, Ἰακὼβ καὶ Ἰσραήλ. „καὶ πάλιν ὅταν λέγῃ, Ὄψομαι τοὺς οὐρανοὺς ἔργα „τῶν δακτύλων σου:· ἐὰν μὴ ἀκούω τῶν λόγων αὐτοῦ τὴν ἐργασίαν, οὐ συνετῶς ἀκούσομαι, ὥσπερ ὑμῶν οἱ διδάσκαλοι ἀξιοῦσιν, οἰόμενοι χεῖρας καὶ πόδας καὶ δακτύλους καὶ ψυχὴν ἔχειν, ὡς σύνθετον ζῷον, τὸν πατέρα τῶν ὅλων, καὶ ἀγέννητον Θεόν· οἵτινες καὶ διὰ τοῦτο ὦφθαι τῷ Ἀβραὰμ καὶ τῷ Ἰακὼβ αὐτὸν τὸν πατέρα διδάσκουσι. μακάριοι οὖν ἡμεῖς οἱ περιτμηθέντες πετρίναις μαχαίραις τὴν δευτέραν περιτομήν. ὑμῶν μὲν γὰρ ἡ πρώτη, διὰ σιδήρου γέγονε καὶ γίνεται· σκληροκάρδιοι γὰρ μένετε· ἡμῶν δὲ ἡ περιτομή, ἥτις δευτέρα ἀριθμῷ, μετὰ τὴν ὑμετέραν φανερωθεῖσα, διὰ λίθων ἀκροτόμων, τουτέστι διὰ τῶν λόγων τῶν διὰ τῶν ἀποστόλων τοῦ ἀκρογωνιαίου λίθου, καὶ τοῦ ἄνευ χειρῶν τμηθέντος, περιτέμνει ἡμᾶς ἀπό τε εἰδωλολατρείας καὶ πάσης ἁπλῶς κακίας. ὧν αἱ καρδίαι οὕτως περιτετμημέναι εἰσὶν ἀπὸ τῆς πονηρίας, ὡς καὶ χαίρειν ἀποθνήσκοντας διὰ τὸ ὄνομα τὸ τῆς καλῆς πέτρας, καὶ ζῶν ὕδωρ ταῖς καρδίαις τῶν δι' αὐτοῦ ἀγαπησάντων τὸν πατέρα τῶν ὅλων βρυούσης.

a lapidibus & aliis simulacris, & aceruos cumulauit eorum qui a præputio, hoc est ab errore & seductione mundi, in quouis loco saxeis cultris, id est nomine & verbis Domini nostri, sunt circumcisi. Quod namque per similitudinem CHRISTVS *Lapis & Petra* a prophetis sit prædicatus, satis est a me demonstratum. Proinde per *cultros lapideos*, Verba eius accipiemus, per quæ a præputio tam multi in seductione oberrantes, circumcisione cordis sunt circumcisi: qua vt circumciderentur etiam qui illam alteram obtinebant, quæ ab Abraamo initium sumpserat, iam inde ab eo tépore, per Iesum, eos hortatus est Deus. Et qui ingressi sunt in terram illam sanctam, cultris saxeis eos a Iesu circumcisos esse dixi secunda circumcisione. Quandoque enim Spiritus sanctus manifesto & aperte aliquid fieri, quod futuræ rei figura esset, fecit: quandoque autem loquutus est de futuris euentis; sed ita loquutus, quasi iam tum fierent, aut antea facta fuerint. quam artem nisi lectores tenuerint, handquaquam ita vt par est, poterunt assectari & assequi responsa diuina Exempli gratia; verba quædam prophetica proferam: vt, quod dixi, intelligentia assequamini. Cum per Esaiam dicit: *Ipse tamquam ouis ad occisionem ductus est; & velut agnus coram tondente obmutuit:* perinde atque passio iam peracta esset, loquitur. Et cum itidem dicit; *Expandi manus meas super populum incredulum & responsatorem*: & cum ait; *Domine quis credidit auditui nostro?* ita verba prolata sunt, quasi rerum iam factarum annunciationem significarent. Nam per parabolam & similitudinem, persæpe eum, *Lapidem* CHRISTVM vocare ostendi: & per tropologiam, figuratamque nominis mutationem, *Iacobum & Israelem*. Rursus cum dicit: *Videbo celos, opera digitorum tuorum:* si non verborum [seu Verbi potius] eius accepero facturam, non sapienter ea accepero; sicuti magistri vestri volunt, autumantes manus & pedes & digitos & animam, velut creato & composito animanti, esse parenti rerum cunctarum & ingenito Deo: qui propterea etiam Patrem ipsum apparuisse Abraæ & Iacobo docét. O nos ergo beatos, qui per cultros lapideos secúda sumus circumcisi circumcisione. Vestra namque prima, per ferrum & facta est, & etiamnú fit: duricordes enim esse perseueratis. At nostra circumcisio, quæ numero secunda, post vestram in medium est producta, per *lapides acutos*, hoc est per verba ipsorú Apostolorum summi angularis lapidis, & absq; manibus abscissi, nos circúcidit ab idolorú cultu, & (vt vno verbo dicá) a vitiositate omni. Quorum corda ita sunt circumcisa a prauitate, vt & læti mortem oppetamus propter nomen *pulchræ petræ*: vnde aqua viuente, in cordibus eorum qui per ipsum, Vniuersitatis huius parentem diligunt, scatente.

potum illa præbeat, aquam vitæ bibere volentibus. Verum hæc aliquo dicente, non intelligitis. Quæ enim oracula vatum sanctorum CHRISTVM facturum esse prædixerunt, non percipitis: neque nobis ad scripta sacra vos producentibus, fidem habetis. Nam Hieremias ita clamitat: *Væ vobis, qui dereliquistis me fontem viuentem, & fodistis vobis cisternas dissipatas, quæ non poterunt continere aquam. Num solitudo erit vbi est mons Sion: quoniam Hierusalem libellum repudij dedi in conspectu vestro?* Sedenim Zachariæ, per similitudinem mysterium CHRISTI indicanti, & recondite præconio annuncianti, credere deberetis. Verba eius hæc sunt: *Gaude & lætare filia Sion: quoniam ecce ego venio, & habitabo in medio tui; dicit Dominus. & applicabuntur gentes multæ ad Dominum in die illo: & erunt mihi in populum: & habitabo in medio tui, & cognoscent quod Dominus virtutum misit me ad te: & hæreditate accipiet Dominus Iudam, & partem eius in terra sancta. Et eliget adhuc Hierusalem. Caveat omnis caro a facie Domini: quoniam excitatus est ex nubibus sanctis suis, & ostendit mihi Iesum sacerdotem magnum, stantem ante faciem angeli: & diabolus stabat a dextris eius, vt aduersaretur ei. & dixit Dominus ad diabolum: Increpet Dominus in te; qui elegit Hierusalem. nonne ecce istud torris extractus ex igne?* Cum vero Trypho respondere & contradicere vellet, dixi: Præstolare primum, & audi quæ dico. non enim quam suspicaris allaturus sum expositioné, quod nullus fuerit Iesu nomine sacerdos in terra Babylonia, vbi populus vester captiuus fuit. Quod quidé etiamsi facerem, demonstrares tu tamen Iesum sacerdotem fuisse in genere vestro. Hunc autem ipsum in reuelatione [seu visione] sua propheta non vidit: sicuti neque Diabolum, neque Domini angelum oculis ipse suis intra seipsum constitutus; sed a seipso emota mente alienatus, reuelatione ei exhibita, vidit. Iam nunc autem dico, quemadmodum per nomen *Iesu*, Nauæ filium, virtutes & facta quædam, quæ res a Domino nostro agendas prænunciarent, edidisse præloquutus est Spiritus sanctus: ita & sub *Iesu*, qui Babylone in populo vestro sacerdos fuit, apparitioné factam, in præsentia probabo, rerum a nostro sacerdote, & Deo & CHRISTO, Patris rerum omnium filio, gerendarum, esse præconium. Admiratus equidem iam sum, dixi, quid ita paulo ante silentium tenueritis, me verba faciente: aut non reprehenderitis dicentem, ex eis qui ex Ægypto profecti sunt, æqualibus suis, solum Nauæ filium in terram sanctam peruenisse, & qui infra ætatem generationemq; eam censi essent, minorénes. Nam ad instar muscarū, ad vlcera accurritis & aduolatis; ac, si quis vel decé millia verborū recte eloquatur,

καὶ ποτίζουσαν τοὺς βουλομένους τὸ τῆς ζωῆς ὕδωρ πιεῖν. ἀλλὰ ταῦτα μὲν οὐ νοεῖτε λέγοντος· ἃ γὰρ ποιήσειν τὸν Χριστὸν πεπροφήτευται, οὐ νενοήκατε, οὐδὲ ἡμῖν προσάγουσιν ὑμᾶς τοῖς γεγραμμένοις πιστεύετε. Ἱερεμίας μὲν γὰρ οὕτω βοᾷ· Οὐαὶ ὑμῖν, ὅτι ἐγκατελίπετε πηγὴν ζῶσαν, καὶ ὠρύξατε ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συνέχειν ὕδωρ. μὴ ἔρημον ἢ οὗ ἐστι τὸ ὄρος Σιών, ὅτι Ἱερουσαλὴμ βιβλίον ἀποστασίου ἔδωκα ἔμπροσθεν ὑμῶν; ἀλλὰ Ζαχαρίᾳ ἐν παραβολῇ δεικνύντι τὸ μυστήριον τοῦ Χριστοῦ, καὶ ἀποκεκρυμμένως κηρύσσοντι, πιστεύειν ὀφείλετε. ἔστι δὲ τὰ λεγόμενα ταῦτα· Χαῖρε καὶ εὐφραίνου θύγατερ Σιών· ὅτι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ, λέγει Κύριος· καὶ προστεθήσονται ἔθνη πολλὰ πρὸς Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔσονταί μοι εἰς λαόν, καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ· καὶ γνώσονται ὅτι Κύριος τῶν δυνάμεων ἀπέσταλκέ με πρὸς σέ. καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν, καὶ τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν γῆν τὴν ἁγίαν, καὶ ἐκλέξεται ἐπὶ τὴν Ἱερουσαλήμ. εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου Κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ. καὶ ἔδειξέ μοι Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου· καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. καὶ εἶπε Κύριος πρὸς τὸν διάβολον, Ἐπιτιμήσαι Κύριος ἐν σοί, ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. οὐκ ἰδοὺ τοῦτο δαλὸς ἐξεσπασμένος ἐκ πυρός; — Μέλλοντι τῷ Τρύφωνι ἀποκρίνεσθαι καὶ ἀντιλέγειν μοι, ἔφην, Πρῶτον ἀνάμεινον καὶ ἄκουσον ἃ λέγω. οὐ γὰρ ἣν ὑπολαμβάνεις ἐξήγησιν ποιήσεσθαι μέλλω, ὡς μὴ γεγενημένου ἱερέως τινὸς Ἰησοῦ ὀνόματι ἐν τῇ Βαβυλωνίᾳ γῇ, ὅπου αἰχμάλωτος ὁ λαὸς ὑμῶν. ὅπερ εἰ καὶ ἐποίουν, ἀπέδειξα ὅτι ἦν μὲν Ἰησοῦς ἱερεὺς ἐν τῷ γένει ὑμῶν. τοῦτον δὲ αὐτὸν οὐκ ἐν τῇ ἀποκαλύψει αὐτοῦ ἑωράκει ὁ προφήτης, ὥσπερ οὐδὲ τὸν διάβολον καὶ τὸν τοῦ Κυρίου ἄγγελον οὐκ αὐτοψίᾳ ἐν καταστάσει ὢν ἑωράκει, ἀλλ' ἐν ἐκστάσει, ἀποκαλύψεως αὐτῷ γεγενημένης. νῦν δὲ λέγω ὅτι ὃν τρόπον διὰ τοῦ Ἰησοῦ ὀνόματος τῷ Ναυῆ υἱῷ καὶ δυνάμεις καὶ πράξεις τινὰς προκηρυσσούσας τὰ ὑπὸ τοῦ ἡμετέρου Κυρίου μέλλοντα γίνεσθαι πεποιηκέναι ἔφη, οὕτω καὶ τὴν ἐπὶ τοῦ ἐν Βαβυλῶνι Ἰησοῦ ἱερέως γενομένου ἐν τῷ λαῷ ὑμῶν ἀποκάλυψιν, ἔρχομαι νῦν ἀποδεῖξαι ἀποκήρυξιν εἶναι τῶν ὑπὸ τοῦ ἡμετέρου ἱερέως, καὶ Θεοῦ, καὶ Χριστοῦ υἱοῦ τοῦ πατρὸς τῶν ὅλων, γίνεσθαι μελλόντων. ἤδη μέντοι ἐθαύμαζον, ἔφην, διατί καὶ πρὸ μικροῦ ἡσυχίαν ἠγάγετε ἐμοῦ λέγοντος, ἢ πῶς οὐκ ἐπελάβεσθέ μου εἰπόντος ὅτι ὁ τοῦ Ναυῆ υἱὸς τῶν ἐξελθόντων ἀπ' Αἰγύπτου ὁμηλίκων, μόνος εἰσῆλθεν εἰς τὴν ἁγίαν γῆν, καὶ οἱ γεγραμμένοι ἀφήλικες τῆς γενεᾶς ἐκείνης. ὥσπερ γὰρ αἱ μυῖαι ἐπὶ τὰ ἕλκη προστρέχετε καὶ ἐφίπτασθε. κἂν γὰρ μυρία τις εἴπῃ καλῶς,

ἓν δὲ μικρὸν ὁποιονοῦν ᾖ μὴ ἀρεστὸν ὑμῖν, ἢ μὴ νοούμενον, ἢ μὴ πρὸς τὸ ἀκριβὲς, τῶν μὲν πολλῶν καλῶν οὐ πεφροντίκατε, τοῦ δὲ μικροῦ ῥηματίου ἐπιλαμβάνεσθε, καὶ κατασκευάζειν αὐτὸ ὡς ἀσέβημα καὶ ἀδίκημα σπουδάζετε· ἵνα τῇ αὐτῇ ὁμοίᾳ κρίσει ὑπὸ τοῦ Θεοῦ κρινόμενοι, πολὺ μᾶλλον ὑπὲρ τῶν μεγάλων τολμημάτων, εἴτε κακῶν πράξεων, εἴτε φαύλων ἐξηγήσεων ἃς παραποιοῦντες ἐξηγεῖσθε, λόγον δώσητε. ὃ γὰρ κρίμα κρίνετε, δίκαιόν ἐστιν ὑμᾶς κριθῆναι. ἀλλ' ἵνα τὸν λόγον τὸν περὶ τῆς ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ τοῦ ἁγίου ἀποδιδῶ ὑμῖν, ἀναλαμβάνω τὸν λόγον, καί φημι κἀκείνην τὴν ἀποκάλυψιν εἰς ἡμᾶς τοὺς ἐπὶ τὸν Χριστὸν ἀρχιερέα τοῦτον τὸν σταυρωθέντα πιστεύοντας γεγενῆσθαι· οἵτινες ἐν πορνείαις καὶ ἁπλῶς πάσῃ ῥυπαρᾷ πράξει ὑπάρχοντες, διὰ τῆς παρὰ τοῦ ἡμετέρου Ἰησοῦ κατὰ τὸ θέλημα τοῦ πατρὸς αὐτοῦ χάριτος, τὰ ῥυπαρὰ πάντα ἃ ἠμφιέσμεθα κακὰ, ἀπεδυσάμεθα· οἷς ὁ διάβολος ἐφέστηκεν ἀεὶ ἀντικείμενος, καὶ πρὸς ἑαυτὸν ἕλκειν πάντας βουλόμενος· καὶ ὁ ἄγγελος τοῦ Θεοῦ, τουτέστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ πεμφθεῖσα ἡμῖν διὰ Ἰησοῦ Χριστοῦ, ἐπιτιμᾷ αὐτῷ, καὶ ἀφίσταται ἀφ' ἡμῶν. καὶ ὥσπερ ἀπὸ πυρὸς ἐξεσπασμένοι ἐσμὲν, ἀπὸ μὲν τῶν ἁμαρτιῶν τῶν προτέρων καθαρισθέντες, ἀπὸ δὲ τῆς θλίψεως καὶ τῆς πυρώσεως ἣν πυροῦσιν ἡμᾶς ὅ τε διάβολος καὶ οἱ αὐτοῦ ὑπηρέται πάντες· ἐξ ὧν καὶ πάλιν ἀποσπᾷ ἡμᾶς Ἰησοῦς ὁ υἱὸς τοῦ Θεοῦ, ἐνδῦσαι ἡμᾶς τὰ ἡτοιμασμένα ἐνδύματα, ἐὰν πράξωμεν αὐτοῦ τὰς ἐντολὰς, ὑπέσχετο, καὶ αἰώνιον βασιλείαν προνοῆσαι ἐπήγγελται. ὃν γὰρ τρόπον Ἰησοῦς ἐκεῖνος ὁ λεγόμενος ὑπὸ τοῦ προφήτου ἱερεὺς, ῥυπαρὰ ἱμάτια ἐφάνη φορῶν, διὰ τὸ γυναῖκα πόρνην λελέχθαι εἰληφέναι αὐτὸν, καὶ δαλὸς ἐξεσπασμένος ἐκ πυρὸς ἐκλήθη, διὰ τὸ ἄφεσιν ἁμαρτιῶν εἰληφέναι, ἐπιτιμηθέντος καὶ τοῦ ἀντικειμένου αὐτῷ διαβόλου· οὕτως ἡμεῖς οἱ διὰ τοῦ Ἰησοῦ ὀνόματος, ὡς εἷς ἄνθρωπος πάντες ἔσονται εἰς τὸν ποιητὴν τῶν
112 ὅλων Θεὸν, διὰ τοῦ ὀνόματος τοῦ πρωτοτόκου αὐτοῦ υἱοῦ, τὰ ῥυπαρὰ ἱμάτια, τουτέστι τὰς ἁμαρτίας, ἀπημφιεσμένοι, πυρωθέντες διὰ τοῦ λόγου τῆς κλήσεως αὐτοῦ, ἀρχιερατικὸν τὸ ἀληθινὸν γένος ἐσμὲν τοῦ Θεοῦ, ὡς καὶ αὐτὸς ὁ Θεὸς μαρτυρεῖ, εἰπὼν ὅτι ἐν παντὶ τόπῳ ἐν τοῖς ἔθνεσι θυσίας εὐαρέστους αὐτῷ καὶ καθαρὰς προσφέροντες. οὐ δέχεται δὲ παρ' οὐδενὸς θυσίας ὁ Θεὸς, εἰ μὴ διὰ τῶν ἱερέων αὐτοῦ. πάντας οὖν οἳ διὰ τοῦ ὀνόματος τούτου θυσίας ἃς παρέδωκεν Ἰησοῦς ὁ Χριστὸς γίνεσθαι, τουτέστιν ἐπὶ τῇ εὐχαριστίᾳ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, τὰς ἐν παντὶ τόπῳ τῆς γῆς γινομένας ὑπὸ τῶν Χριστιανῶν, προλαβὼν ὁ Θεὸς, μαρτυρεῖ εὐαρέστους ὑπάρχειν αὐτῷ· τὰς δὲ ὑφ' ὑμῶν, καὶ δι' ἐκείνων ὑμῶν τῶν ἱερέων γινομένας ἀπαναίνεται, λέγων, Καὶ τὰς θυσίας ὑμῶν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν·

vnum autem vel minimum ita proferat vt vobis displiceat & ingratum sit, vel non intellectum, vel non accurate satis perceptum: plurima illa pulchre dicta nihil curatis, pauxillam autem dictionem arripitis, & ex ea tamquam impie & improbe dictum facere annitimi: vt persimili iudicio a Deo iudicati, multo magis de ingentibus ausis siue malarum actionũ, seu prauarum interpretationum, quas adulterine instituentes subintroducitis, rationem reddatis. quo enim iudicio iudicatis, eo vos iudicari æquum est. Enimuero vt vobis rationem explicem de reuelatione IESV CHRISTI, sancti istius: rem ipsam repeto & assero: eam quoque reuelationem in nos competere, in CHRISTVM pontificem hunc crucifixum credentes; qui, cũ in fornicatione & omni prorsus impura actione essemus, per eam quæ nobis a IESV nostro obtigit, de voluntate & consilio Patris eius, gratiam, omni sordida qua circumdati eramus prauitate exuti sumus. Nobis quippe diabolus instabat, semper aduersans, & ad se trahere volens: & *Angelus Dei*, id est virtus Dei, per CHRISTVM nobis missa, increpat illum, & a nobis repellit: & sumus perinde atque ex igne extracti, a peccatis videlicet pristinis purificati, atque ab afflictionibus & exploratione ignis probati; qua nos exercet diabolus & administri eius omnes. vnde nos etiam rursus extrahit IESVS, filius Dei; qui se vestibus præparatis nos induturum est pollicitus, si præcepta eius factis compleuerimus; & regnum sempiternum nobis prouidentia sua paraturum esse recepit. Quẽadmodum namq; Iesus ille qui a propheta sacerdos dicitur, sordida vestimenta ferre est visus, eo quod mulierem fornicariã duxisse dictus esset: & torris ex igne erutus vocatus est, propterea quod remissionem peccatorum accepisset, increpato etiam eius aduersario diabolo: ita nos, qui per IESV nomen, velut vnus homo vniuersi, in opificem rerum cunctarum Deum credimus, olim impura induti vestimenta, id est peccata; per nomen primogeniti filii ipsius eis exuti, verbo nũc vocationis eius tamquam igne inflammati, vere *sacerdotale genus Dei* sumus: prout & Deus ipse testatur, perhibens nos quouis loco in nationibus, victimas sibi placitas & mundas offerre. A nemine sane Deus hostias accipit, nisi a sacerdotibus suis. Vniuersos igitur qui per nomen istius sacrificia [offerunt,] quæ IESVS CHRISTVS fieri tradidit, hoc est in Eucharistia panis & calicis, quæ in loco omni a Christianis fiunt, præuertens Deus, gratos sibi esse testificatur. Quæ autem a vobis & vestris illis sacerdotibus offeruntur, renuendo abiicit, inquiens; *Et sacrificia vestra non suscipiam ex manibus vestris:*

Quoniam ab ortu solis vsque ad occasum, nomen meum glorificatur in gentibus: vos autem profanatis illud. Ac vos ad hunc vsque diem studio contendendi allegatis, Deum eas quidem non recepisse victimas quas Hierosolymis, qui tum ibi agebant Israelitæ nominati, obtulerunt: eorum autem qui tempore illo ex genere vestro in dispersione erant, acceptas habuisse preces, cum dicere; & orationes illorum, *sacrificia* nominare. Porro supplicationes simul & gratiarum actiones, quæ a dignis peraguntur, solas perfectas esse, & Deo caras victimas, ipse quoque affirmauerim. Has vero solas facere Christiani didicerunt, in ipsius etiã alimoniæ suæ recordatione, aridæ iuxta & liquidæ: in qua & passionis quam pertulit per ipsum Deus Deum, meminit. cuius nomen per terram omnem profanari & blasphemiis impie violari, curarunt Pontifices populi vestri, & Rabini. Quæ sordida & ipsa indumenta a vobis, cunctis qui de nomine IESV facti sunt, Christianis iniecta, Deus a nobis adimi ostendet, quando vniuersos resuscitabit: atque hos quidem in perpetuo atque indissolubili collocabit regno, incorruptibiles, & immortales, & indolentes: illos autem, in æternum mittet incendium & supplicium ignis. Quod autem vos ipsos & ipsimet seducitis, & magistri vestri, exponentes verbum de eis qui gentis vestræ in dispersione sunt, prædicare; quod orationes & sacrificia eorum, puta & accepta quouis loco sint: in eo vos scitote per mendacium falli; qui modis omnibus vos ipsos seducere, atque errore implicare conamini: præcipue cum ne nunc quidem, ab oriente sole ad occasum vsque gens vestra sit; sed sunt gentes quædam vbi nondum vestri generis quisquam habitauit. Atqui ne vnum quidem est genus mortalium, siue barbarorum siue Græcorum, seu etiam aliorum omnium, quocumque appellentur nomine; vel Hamaxobiorum, vel Nomadum domo carentium, vel in tentoriis viuentium [Scenitarum] & pecoribus vitam tolerãtium; inter quos per nomẽ crucifixi IESV, supplicationes & gratiarum actiones patri & fabricatori rerũ omnium non fiant. Scimus certe quidem tum temporis, cum propheta Malachias hoc proloquutus est, nondum dispersionem vestram per totum terrarum orbem fuisse: quemadmodum & sacris litteris ostenditur. Itaque potius rixandi amore supersedentes, resipiscite, & pœnitentiam agite, priusquam adueniat dies ille magnus; quando e numero malorum vestrorum omni omnes plangent, qui CHRISTVM hunc pupugerunt: prout prædictum id esse, Scripturis confirmaui. Ac Dominum deierasse, secundum ordinem Melchisedech [se sacerdotem eum inauguraturũ esse] & quid sibi prænũciatio talis velit, explicui: tum autem & prędictionẽ Esaię, dicentis; *Sepultura eius e medio*

διότι ἀπὸ ἀνατολῆς ἡλίου ἕως δυσμῶν, τὸ ὄνομά μου δεδόξασται, λέγει, ἐν τοῖς ἔθνεσιν· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό:- καὶ μέχρι νῦν φιλονεικοῦντες λέγετε, ὅτι τὰς μὲν ἐν Ἱερουσαλὴμ ἐπὶ τῶν ἐκεῖ τότε οἰκούντων Ἰσραηλιτῶν καλουμένων θυσίας οὐ προσδέχεται ὁ Θεός· τὰς δὲ διὰ τῶν ἐν τῇ διασπορᾷ τότε δὴ ὄντων ἀπὸ τοῦ γένους ἐκείνου ἀνθρώπων εὐχὰς προσίεσθαι αὐτὸν εἰρηκέναι, καὶ τὰς εὐχὰς αὐτῶν θυσίας καλεῖν. ὅτι μὲν οὖν καὶ εὐχαὶ καὶ εὐχαριστίαι ὑπὸ τῶν ἀξίων γινόμεναι, τέλειαι μόναι καὶ εὐάρεστοί εἰσι τῷ Θεῷ θυσίαι, καὶ αὐτός φημι. ταῦτα γὰρ μόνα καὶ Χριστιανοὶ παρέλαβον ποιεῖν, καὶ ἐπ' ἀναμνήσει δὲ τῆς τροφῆς αὐτῶν ξηρᾶς τε καὶ ὑγρᾶς, ἐν ᾗ καὶ τοῦ πάθους ὃ πέπονθε δι' αὐτοῦ ὁ Θεὸς τοῦ Θεοῦ, μέμνηται, οὗ τὸ ὄνομα βεβηλωθῆναι κατὰ πᾶσαν τὴν γῆν καὶ βλασφημεῖσθαι οἱ ἀρχιερεῖς τοῦ λαοῦ ὑμῶν καὶ διδάσκαλοι εἰργάσαντο. ἃ ῥυπαρὰ καὶ αὐτὰ ἐνδύματα περιτεθέντα ὑφ' ὑμῶν πᾶσι τοῖς ἀπὸ τοῦ ὀνόματος τοῦ Ἰησοῦ γενομένοις Χριστιανοῖς, δείξει αἰρόμενα ἀφ' ἡμῶν ὁ Θεός, ὅταν πάντας ἀναστήσῃ, καὶ τοὺς μὲν ἐν αἰωνίᾳ καὶ ἀλύτῳ βασιλείᾳ ἀφθάρτους καὶ ἀθανάτους καὶ ἀλύπους καταστήσῃ, τοὺς δὲ εἰς κόλασιν αἰώνιον πυρὸς παραπέμψῃ. ὅτι δὲ ἑαυτοὺς πλανᾶτε καὶ ὑμεῖς καὶ οἱ διδάσκαλοι ὑμῶν, ἐξηγούμενοι ὅτι περὶ τῶν ἀπὸ τοῦ γένους ὑμῶν ἐν τῇ διασπορᾷ ὄντων ἔλεγεν ὁ λόγος, ὅτι τὰς εὐχὰς αὐτῶν καὶ θυσίας καθαρὰς καὶ εὐαρέστους ἐν παντὶ τόπῳ γενομένας ἔλεγεν, ἐπίγνωτε ὅτι ψεύδεσθε, καὶ ἑαυτοὺς κατὰ πάντα ἀπατᾶν πειρᾶσθε· ὅτι πρῶτον μὲν οὐδὲ νῦν ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν ἐστὶν ὑμῶν τὸ γένος, ἀλλ' ἔστι τὰ ἔθνη ἐν οἷς οὐδέπω οὐδεὶς ὑμῶν τοῦ γένους ᾤκησεν. οὐδὲ ἓν γὰρ ὅλως ἐστὶ τὸ γένος ἀνθρώπων, εἴτε βαρβάρων, εἴτε Ἑλλήνων, εἴτε ἁπλῶς ᾡτινιοῦν ὀνόματι προσαγορευομένων, ἢ ἁμαξοβίων ἢ ἀοίκων καλουμένων, ἢ ἐν σκηναῖς κτηνοτρόφων οἰκούντων, ἐν οἷς μὴ διὰ τοῦ ὀνόματος τοῦ σταυρωθέντος Ἰησοῦ εὐχαὶ καὶ εὐχαριστίαι τῷ πατρὶ καὶ ποιητῇ τῶν ὅλων γίνονται· εἰδότες ὅτι κατ' ἐκεῖνο τοῦ καιροῦ ὅτε ὁ προφήτης Μαλαχίας τοῦτ' ἔλεγεν, οὐδέπω ἡ διασπορὰ ὑμῶν ἐν πάσῃ τῇ γῇ ἐν ὅσῃ νῦν γεγόνατε, ἐγεγένητο, ὡς καὶ ἀπὸ τῶν γραφῶν ἀποδείκνυται. ὥστε μᾶλλον παυσάμενοι τοῦ φιλερίζειν, μετανοήσατε πρὶν ἐλθεῖν τὴν μεγάλην ἡμέραν τῆς κρίσεως, ἐν ᾗ κόπτεσθαι μέλλουσι πάντες οἱ ἀπὸ τῶν φυλῶν ὑμῶν ἐκκεντήσαντες τοῦτον τὸν Χριστόν, ὡς ἀπὸ γραφῆς ἀπέδειξα προειρημένον. καὶ ὅτι ὤμοσε Κύριος κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ τί τὸ προειρημένον ἐστίν, ἐξηγησάμην· καὶ ὅτι περὶ τοῦ θάπτεσθαι μέλλοντος καὶ ἀνίστασθαι Χριστοῦ ἦν ἡ προφητεία τοῦ Ἡσαΐου φήσαντος, Ἡ ταφὴ αὐτοῦ ἦρται ἐκ

τοῦ μέσου, προεῖπον· καὶ ὅτι κριτὴς ζώντων καὶ νεκρῶν
ἁπάντων αὐτὸς οὗτος ὁ Χριστὸς, εἶπον ἐν πολλοῖς.
Καὶ Νάθαν δὲ ὁμοίως περὶ τούτου λέγων πρὸς Δαβὶδ,
113 οὕτως ἐπήνεγκεν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ
» αὐτὸς ἔσται μοι εἰς υἱὸν, καὶ τὸ ἔλεος μου οὐ μὴ ἀπο-
» στήσω ἀπ' αὐτοῦ, καθὼς ἐποίησα ἀπὸ τῶν ἔμπρο-
» σθεν αὐτοῦ· καὶ στήσω αὐτὸν ἐν τῷ οἴκῳ μου, καὶ ἐν
τῇ βασιλείᾳ αὐτοῦ ἕως αἰῶνος:- Καὶ τὸν ἡγούμενον
δὲ ἐν τῷ οἴκῳ οὐκ ἄλλον Ἰεζεκιὴλ λέγει ἢ τοῦτον αὐ-
τόν. οὗτος γὰρ ἐξαίρετος ἱερεὺς καὶ αἰώνιος βασι-
λεὺς, ὁ Χριστὸς, ὡς υἱὸς Θεοῦ. οὗ ἐν τῇ πάλιν παρου-
σίᾳ μὴ δόξητε λέγειν Ἡσαΐαν ἢ τοὺς ἄλλους προφή-
τας θυσίας ἀφ' αἱμάτων ἢ σπονδῶν ἐπὶ τὸ θυσια-
στήριον ἀναφέρεσθαι, ἀλλὰ ἀληθινοὺς καὶ πνευμα-
τικοὺς αἴνους, καὶ εὐχαριστίας. καὶ οὐ μάτην ἡ-
μεῖς εἰς τοῦτον πεπιστεύκαμεν, οὐδ' ἐπλανήθημεν
ὑπὸ τῶν οὕτως διδαξάντων· ἀλλὰ καὶ θαυμαστῇ
προνοίᾳ Θεοῦ τοῦτο γέγονεν, ἵνα ἡμεῖς ὑμῶν τῶν νο-
μιζομένων, οὐκ ὄντων δὲ οὔτε φιλοθέων οὔτε συνε-
τῶν, συνετώτεροι καὶ θεοσεβέστεροι εὑρεθῶμεν διὰ
τῆς κλήσεως τῆς καινῆς καὶ αἰωνίου διαθήκης, του-
τέστι τοῦ Χριστοῦ. τοῦτο θαυμάζων Ἡσαΐας ἔφη, Καὶ
» συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀ-
» νηγγέλη περὶ αὐτῶν, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόα-
» σι, συνήσουσι. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ
» ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;- Καὶ ταῦτα
λέγων, ἔφην, ὦ Τρύφων, ὡς ἐγχωρεῖ, διὰ τοὺς σή-
μερον σὺν σοὶ ἀφιγμένους ταῦτα λέγειν πειρῶμαι,
βραχέως μέντοι καὶ περικεκομμένως. Κἀκεῖνος,
Εὖ ποιεῖς, ἔφη· κἂν διὰ πλειόνων δὲ καὶ τὰ αὐτὰ
πάλιν λέγῃς, χαίρειν με καὶ τοὺς συνόντας τῇ ἀ-
κροάσει γίνωσκε. Ἐγώ τε αὖ εἶπον, Οἴεσθε ἂν ἡ-
μᾶς ποτὲ, ὦ ἄνδρες, νενοηκέναι δυνηθῆναι ἐν ταῖς
γραφαῖς ταῦτα, εἰ μὴ θελήματι τοῦ θελήσαντος
αὐτὰ ἐλάβομεν χάριν τοῦ νοῆσαι; ἵνα γένηται καὶ τὸ
» λελεγμένον ἐπὶ Μωσέως, Παρώξυνάν με ἐπ' ἀλ-
» λοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με,
» ἔθυσαν δαιμονίοις οἷς οὐκ οἴδασι· καινοὶ καὶ πρό-
» σφατοι ἥκασιν οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.
» Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου
» Θεοῦ τοῦ τρέφοντός σε· καὶ εἶδε Κύριος, καὶ ἐζήλω-
» σε, καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγα-
» τέρων, καὶ εἶπεν, Ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ'
» αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων· ὅτι γε-
» νεὰ ἐξεστραμμένη ἐστὶν, υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.
» αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με
» ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐ-
» τοὺς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς·
» ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καὶ καυθήσεται
» ἕως ᾅδου· καταφάγεται τὴν γῆν καὶ τὰ γεννήματα
» αὐτῆς, φλέξει θεμέλια ὀρέων· συνάξω εἰς αὐτοὺς
κακά:- καὶ μετὰ τὸ ἀναιρεθῆναι τὸν δίκαιον ἐκεῖνον,
ἡμεῖς λαὸς ἕτερος ἀνεθήλαμεν, καὶ ἐβλαστήσαμεν
στάχυες καινοὶ καὶ εὐθαλεῖς, ὡς ἔφασαν οἱ προ-

medio sublata est: CHRISTO ipsi humãdo & a mortuis excitãdo congruere, antea probaui: & CHRISTVM hũc, viuorum simul & mortuorũ omniũ iudicẽ fore plurib. exposui. Ac Nathan de hoc itidẽ verba ad Dauidẽ faciẽs, sic intulit: *Ego ero illi in patrẽ, & ipse erit mihi in filiũ: & misericordiã meã non auferã ab eo; quemadmodũ feci ab eis qui ante eũ erant: & statuã eũ in domo mea, & in regno eius vsq; in seculũ.* Et Ducẽ in domo non alium, quam hũc ipsum dicit Ezechiel. Iste enim est eximius præcipuusq; sacerdos, & æternus rex CHRISTVS ipse, vt filius Dei. in cuius secundo aduentu ne existimetis Esaiam aut alios prophetas admonere vt sacrificia sanguinis aut libationum super altari offerantur, sed veræ atque spirituales laudes & gratiarum actiones. Nos sane non frustra aut temere in hunc credimus, neque in fraudẽ seducti sumus ab his qui ita docuerunt. Quin hoc admirabili Dei prouidentia est factum, vt nos quam vos, qui reputamini quidem, sed non estis neq; Dei amantes neque prudentes, prudentiores & religiosiores reperiamur per noui & æterni Testamenti, hoc est CHRISTI, vocationem. Hoc ipsum admiratus Esaias, ait: *Et continebunt reges os suum: Quia quibus non est annunciatum de eis, videbunt: & qui non audierunt, intelligent. Domine, quis credidit auditui nostro; & brachium Domini cui reuelatum est?* Hæc dicens, o Trypho, inquam, propter eos qui hodie tecum venere, quoad res fert, breuiter ista & cõcise commemorare cõnitor. Atque ille: Recte, inquit. Immo etiãsi ea pluribus repetas, me tamẽ & eos qui mecum sunt, delectatum iri auditione scito. Tum ego rursum dixi: Num putatis, o viri, nos vnquam hæc in Scripturis intelligere potuisse, nisi voluntate Dei, vt ista intelligeremus volentis, gratiam accepissemus? qua vos gratia destituti, nihil horum intellexistis. vt ad rem conferretur quod est apud Mosen promulgatum: *Prouocauerunt me in diis alienis, in abominationibus exacerbauerunt me. Sacrificarunt dæmoniis, quæ nesciebant. noui & recentes venerunt, quos ignorabant patres ipsorum. Deum qui te genuit, dereliquisti: & oblitus es Dei qui aluit te. Et vidit Dominus, & æmulatus est: & concitatus est ad iracundiam a filiis suis & filiabus: & dixit: Auertam faciem meam ab eis, & ostendam quid futurum sit eis in extremis: quoniam generatio peruersa est, filij quibus non est fides in eis. Ipsi ad æmulationem prouocauerunt me in eo qui non est Deus: & ad iram incitauerunt me, in simulacris suis: & ego prouocabo eos in ea quæ non est gens; in gente stulta ad iram irritabo eos: quia ignis accensus est a furore meo, & ardebit vsque ad inferos. Deuorabit terrã & germina eius; comburet fundamẽta montiũ. cõgregabo super eos mala.* Et postquã occisus est iustus ille, nos populus alter effloruimus, & germinauimus spicæ nouæ ac virẽtes, sicuti prophetæ di-

xerunt: *Et confugient gentes multæ ad Dominum die illo in populum; & habitabunt in medio terræ vniuersæ.* Ac nos non modo populus, verumetiam populus sanctus sumus, prout iam indicauimus: *Et vocabunt eum populum sanctum redemptum a Domino.* Quapropter haudquaquam despiciendus populus sumus, neque barbara natio, neque cuiusmodi sunt Carum & Phrygum gentes. nã & nos elegit Deus, & manifestatus est nõ percunctantibus eum. *En Deus sum,* inquit, *genti qui non inuocauerunt nomen meum.* Hæc enim illa est gens quam antiquitus Deus promisit Abrae, & patrẽ ipsum fore multarum gentium pollicitus est; non Arabũ, neque Ægyptiorum, neque Idumæorum dicens; quandoquidem & Ismael magnæ gentis pater exstitit, atque itidem Esau; & etiã nunc ingens est Ammonitarum multitudo. Noe sane quidem, & ipsius Abrae pater fuit, totiusque adeo generis humani; & alii aliorũ fuere progenitores. Quid ergo amplius præ cæteris, per gratiam hic Abrae tribuit Deus? Quod persimili vocationis verbo ipsum vocauit, exire iubẽs e terra quam incolebat. Ille vero & nos omnes voce illa vocauit, & exiuimus iam ex ea vitæ conuersatione, in qua viximus communibus aliorum terræ habitatorũ moribus, male vitam agentes: & vna cum Abraamo iure hæreditario accipiemus terram sanctam, hæreditatem cernẽtes in æuum infinitum: quippe qui liberi Abraç, propter parem fidem, sumus. Quo namq; modo ille voci Dei credidit, & reputatum est ei ad iusticiã: eodem & nos modo voci Dei, quã per Apostolos CHRISTI denuo promulgatæ, quã per prophetas olim nobis annunciatæ, credentes, ad mortem vsque rebus mundanis omnibus renunciauimus. Itaque illi promissum est, eiusdem fidei erga Deum, religionis & iusticiæ gentem lęticia affecturam esse patrem; & non vos, in quibus non est fides in ipsis. Videte sane quomodo & Isaaco & Iacobo eadem sint promissa. ita etiam dicit ad Isaacum: *Et benedicentur in semine tuo omnes gentes terræ.* ad Iacobum autem; *Et benedicentur in te omnes tribus terræ, & in semine tuo.* non hoc vel Esauo vel Rubeni, vel alij cuipiam dicit, sed illis tantum ex quibus iuxta œconomiam & dispositionem (quæ diuinitus est ordinata, in virginem Mariã) nasciturus erat CHRISTVS. Quod si etiã benedictionem Iudæ perdidiceris, quæ dico perspicies. Diuiditur enim semen ex Iacobo; & per Iudam, per Phares, per Iesse & Dauidem deducitur. Fuerunt autem hæc symbola & notæ, quosdam generis vestri Abrae filios inuentũm, atque in parte CHRISTI censum iri; alios autem, fore quidem Abrae filios, sed vt arenam ad os maris sitam, infœcundam & infrugiferam: plurimam sane illam & innumerabilem, minime vero quidquam fructificantem, sed vndam dumtaxat

φησι, Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ τῆς γῆς πάσης:- ἡμεῖς δὲ οὐ μόνον λαὸς, ἀλλὰ καὶ λαὸς ἅγιος ἐσμὲν, ὡς ἐδείξαμεν ἤδη· Καὶ καλέσουσιν αὐτὸν λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου:- Οὐκοῦν οὐκ εὐκαταφρόνητος δῆμος ἐσμὲν, οὐδὲ βάρβαρον φῦλον, οὐδὲ ὁποῖα Καρῶν ἢ Φρυγῶν ἔθνη· ἀλλὰ καὶ ἡμᾶς ἐξελέξατο ὁ Θεὸς, καὶ ἐμφανὴς ἐγενήθη τοῖς μὴ ἐπερωτῶσιν αὐτόν. Ἰδοὺ Θεός εἰμι, φησὶ, τῷ ἔθνει οἳ οὐκ ἐπεκαλέσαντο τὸ ὄνομά μου:- τοῦτο γάρ ἐστιν ἐκεῖνο τὸ ἔθνος ὃ πάλαι τῷ Ἀβραὰμ ὁ Θεὸς ὑπέσχετο, καὶ πατέρα πολλῶν ἐθνῶν θήσειν ἐπηγγείλατο, οὐκ Ἀράβων, οὐδὲ Αἰγυπτίων, οὐδὲ Ἰδουμαίων λέγων· ἐπεὶ καὶ Ἰσμαὴλ μεγάλου πατὴρ ἔθνους ἐγένετο, καὶ Ἡσαῦ· καὶ Ἀμμανιτῶν ἐστι νῦν πολὺ πλῆθος· Νῶε δὲ καὶ αὐτοῦ Ἀβραὰμ πατὴρ ἦν, καὶ ἁπλῶς παντὸς ἀνθρώπων γένους· ἄλλοι δὲ ἄλλων προγονοι. τί οὖν πλέον ἐνθάδε ὁ Χριστὸς χαρίζεται τῷ Ἀβραάμ; ὅτι διὰ τῆς ὁμοίας κλήσεως φωνῇ ἐκάλεσεν αὐτὸν, εἰπὼν ἐξελ- 114
θεῖν ἀπὸ τῆς γῆς ἐν ᾗ ᾤκει· καὶ ἡμᾶς δὲ ἅπαντας δι' ἐκείνης τῆς φωνῆς ἐκάλεσε, καὶ ἐξήλθομεν ἤδη ἀπὸ τῆς πολιτείας ἐν ᾗ ἐζῶμεν κατὰ τὰ κοινὰ τῶν ἄλλων τῆς γῆς οἰκητόρων κακῶς ζῶντες· καὶ σὺν τῷ Ἀβραὰμ τὴν ἁγίαν κληρονομήσομεν γῆν, εἰς τὸν ἀπέραντον αἰῶνα τὴν κληρονομίαν ληψόμενοι, τέκνα τοῦ Ἀβραὰμ διὰ τὴν ὁμοίαν πίστιν ὄντες. ὃν γὰρ τρόπον ἐκεῖνος τῇ φωνῇ τοῦ Θεοῦ ἐπίστευσε, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, τὸν αὐτὸν τρόπον καὶ ἡμεῖς τῇ φωνῇ τοῦ Θεοῦ, τῇ διά τε τῶν ἀποστόλων τοῦ Χριστοῦ λαληθείσῃ πάλιν, καὶ τῇ διὰ τῶν προφητῶν κηρυχθείσῃ ἡμῖν πιστεύσαντες, μέχρι τοῦ ἀποθνήσκειν, πᾶσι τοῖς ἐν τῷ κόσμῳ ἀπεταξάμεθα. ὁμοιόπιστον οὖν τὸ ἔθνος, καὶ θεοσεβὲς, καὶ δίκαιον, εὐφραῖνον τὸν πατέρα, ὑπισχνεῖται αὐτῷ, ἀλλ' οὐχ ὑμᾶς οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. ὁρᾶτε μέντοι ὡς καὶ τῷ Ἰσαὰκ τὰ αὐτὰ καὶ τῷ Ἰακὼβ ὑπισχνεῖται. οὕτω γὰρ λέγει τῷ Ἰσαάκ· Καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς:- τῷ δὲ Ἰακὼβ, Καὶ εὐλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου:- οὐκέτι τοῦτο τῷ Ἡσαῦ, οὐδὲ τῷ Ῥουβὶμ λέγει, οὐδὲ ἄλλῳ τινὶ, ἀλλ' ἐκείνοις ἐξ ὧν ἔμελλεν ἔσεσθαι κατὰ τὴν οἰκονομίαν τὴν διὰ τῆς παρθένου Μαρίας ὁ Χριστός. εἰ γε δὲ καὶ τὴν εὐλογίαν Ἰούδα κατεμάθης, ἴδοις ἂν ὃ λέγω. μερίζεται γὰρ τὸ σπέρμα ἐξ Ἰακὼβ, καὶ διὰ Ἰούδα καὶ Φαρὲς, καὶ Ἰεσσαὶ καὶ Δαβὶδ κατέρχεται. ταῦτα δ' ἦν σύμβολα ὅτι τινὲς τοῦ γένους ὑμῶν εὑρεθήσονται τέκνα Ἀβραὰμ, καὶ ἐν μερίδι τοῦ Χριστοῦ εὑρισκόμενοι, ἄλλοι δὲ τέκνα μὲν τοῦ Ἀβραὰμ, ὡς ἡ ἄμμος δὲ ἡ ἐπὶ τὸ χεῖλος τῆς θαλάσσης ὄντες, ἥτις ἄγονός τε καὶ ἄκαρπος, πολλὴ μὲν καὶ ἀναρίθμητος ὑπάρχουσα, οὐδὲν δὲ ὅλως καρπογονοῦσα, ἀλλὰ μόνον τὸ

ὕδωρ τῆς θαλάσσης πίνουσι. ὅπερ καὶ τὸ ἐν τῷ γένει ὑμῶν πολὺ πλῆθος ἐλέγχεται, πικρίας μὲν διδάγματα καὶ ἀθεότητος συμπίνοντες, τὸν δὲ τοῦ Θεοῦ λόγον ἀποπτύοντες. Φησὶ γοῦν καὶ ἐν τῷ Ἰούδα, Οὐκ
» ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μη-
» ρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ· καὶ
» αὐτὸς ἔσται προσδοκία ἐθνῶν:- καὶ τοῦτο ὅτι οὐκ εἰς Ἰούδαν ἐρρέθη, ἀλλ' εἰς τὸν Χριστὸν, φαίνεται. καὶ γὰρ Ἰούδαν πάντες οἱ ἀπὸ τῶν ἐθνῶν πάντων οὐ προσδοκῶμεν, ἀλλὰ Ἰησοῦν τὸν καὶ τοὺς πατέρας ὑμῶν ἐξ Αἰγύπτου ἐξαγαγόντα. μέχρι γὰρ τῆς παρουσίας
» τοῦ Χριστοῦ ἡ προφητεία προεκήρυσσεν, Ἕως ἂν ἔλ-
» θῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν:- ἐλήλυθε τοιγαροῦν, ὡς καὶ ἐν πολλοῖς ἀπεδείξαμεν, καὶ προσδοκᾶται πάλιν παρέσεσθαι ἐπάνω τῶν νεφελῶν Ἰησοῦς, οὗ τὸ ὄνομα βεβηλοῦτε ὑμεῖς, καὶ βεβηλοῦσθαι ἐν πάσῃ τῇ γῇ ἐξεργάζεσθε. δυνατὸν δὲ ἦν μοι, ἔφην, ὦ ἄνδρες, μάχεσθαι πρὸς ὑμᾶς περὶ τῆς λέξεως ἣν ὑμεῖς ἐξηγεῖσθε, λέγοντες εἰρῆσθαι,
» Ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ:- ἐπειδὴ οὐχ οὕ-
» τως ἐξηγήσαντο οἱ ἑβδομήκοντα, ἀλλ', Ἕως ἂν ἔλθῃ
» ᾧ ἀπόκειται:- ἐπειδὴ δὲ τὰ ἀκόλουθα μηνύει ὅτι περὶ Χριστοῦ εἴρηται, (οὕτω γὰρ ἔχουσι, Καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν) οὐ περὶ τοῦ λεξειδίου συζητήσαι ὑμῖν ἔρχομαι, ὅνπερ τρόπον οὐδὲ ἀπὸ τῶν μὴ ὁμολογουμένων ὑφ' ὑμῶν γραφῶν, ὧν καὶ ἀνιστόρησα, ἀπὸ λόγων Ἱερεμίου τοῦ προφήτου, καὶ Ἔσδρα, καὶ Δαβὶδ, τὴν ἀπόδειξιν τὴν περὶ τοῦ Χριστοῦ ποιήσασθαι ἐσπούδασα, ἀλλ' ἀπὸ τῶν ὁμολογουμένων μέχρι νῦν ὑφ' ὑμῶν· ἃ εἰ ἐνενοήκεισαν οἱ διδάσκαλοι ὑμῶν, εὖ ἴστε ὅτι ἀφανῆ ἐπεποιήκεισαν, ὡς καὶ τὰ περὶ τὸν θάνατον Ἡσαΐου, ὃν πρίονι ξυλίνῳ ἐπρίσατε, μυστήριον καὶ αὐτὸ τοῦ Χριστοῦ τοῦ τέμνειν ὑμῶν τὸ γένος δίχῃ μέλλοντος, καὶ τοὺς μὲν ἀξίους σὺν τοῖς
115 ἁγίοις πατριάρχαις καὶ προφήταις τῆς αἰωνίου βασιλείας καταξιοῦν μέλλοντος· τοὺς δὲ, ἐπὶ τὴν καταδίκην τοῦ ἀσβέστου πυρὸς σὺν τοῖς ὁμοίοις ἀπειθέσι καὶ ἀμεταθέτοις ἀπὸ πάντων τῶν ἐθνῶν πέμψειν
» ἤδη φήσαντος. Ἥξουσι γὰρ εἶπεν, ἀπὸ δυσμῶν καὶ ἀνα-
» τολῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ
» καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ
» τῆς βασιλείας, ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον:- καὶ ταῦτα εἶπον, ὅτι οὐδὲν οὐδενὸς φροντίζων ἢ τοῦ τἀληθὲς λέγειν, λέγοιμι, οὐδένα δυσωπήσεσθαι μέλλων, κἂν δέῃ παραυτίκα ὑφ' ὑμῶν μελισθῆναι· οὐδὲ γὰρ ἀπὸ τοῦ γένους τοῦ ἐμοῦ, λέγω δὲ τῶν Σαμαρέων, τινὸς φροντίδα ποιούμενος, ἐγγράφως Καίσαρι προσομιλῶν, εἶπον πλανᾶσθαι αὐτοὺς πειθομένους τῷ ἐν τῷ γένει αὐτῶν μάγῳ Σίμωνι, ὃν Θεὸν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως εἶναι λέγουσι. καὶ ἡσυχίαν ἀγόντων αὐτῶν, ἔφερον, Διὰ Δαβὶδ περὶ τούτου λέγων τοῦ Χριστοῦ, ὦ φίλοι, οὐκέτι ἐν τῷ σπέρματι αὐτοῦ εἶπεν εὐλογηθήσεσθαι τὰ ἔθνη,

dumtaxat bibentem. quod certe & in gẽte vestra multitudo ingens facere coarguitur; amaritudinis quidem & impietatis doctrinas combibentes, Dei autem verbũ exspuentes. Ergo in Iuda quoque dicit; *Nõ deficiet Princeps ex Iuda, & dux de femore eius, donec veniant quæ reposita sunt ei: & ipse erit exspectatio gentium.* Atque hoc quod non in Iudam dictum sit, sed in CHRISTVM, satis apparet. Nam Iudam, omnes qui ex gẽtibus omnibus sumus, non exspectamus, sed IESVM, qui & patres vestros ex Ægypto eduxit. siquidem ad aduentum vsque CHRISTI propheria vaticinans pertinuit: *Donec veniat cui repositum est: & ipse erit exspectatio gentium.* Aduenit igitur, sicuti multis ostendimus; & rursum aduenturus esse super nubibus, in exspectatione est IESVS, cuius nomen vos profanatis, & profanari in toto orbe curatis. Poteram autem, o viri, inquam, aduersus vos decertare de loquutione, quam vos interpretando profertis, dictum esse asseuerantes, *Donec veniant quæ reposita sunt ei.* nam Septuaginta illi non ita verterunt; sed, *Donec veniat cui repositum est.* Quoniam vero consequentia, de CHRISTO dicta esse verba ea, indicant: sic namque habent; *Et ipse erit exspectatio gentium*: non disputabo vobiscum de dictiuncula. ita nimirũ vt neque ex eis Scripturæ, quam allegans recitaui, locis quos ipsi nõ agnoscitis, ex scriptis videlicet Hieremiæ prophetæ, Esdræ, & Dauidis recisis, argumẽta & probationes de CHRISTO adducere studui; sed ex dictis quæ hucusque recepta fatemini esse. quæ si intellexissent magistri vestri, credite illos ea expuncturos fuisse, sicuti quoque in eis quæ de cæde Esaiæ scripta erant, fecerũt: quem serra lignea dissecuistis: quod ipsum & sacramentum est, CHRISTVM bifariam genus vestrum concisurum esse, atque alios quidem, dignos videlicet, pro eo atque dixit, vna cum sanctis Patriarchis & vatibus regno æterno dignaturum; alios autem, vna cum infidelibus itidem & pœnitentiæ nesciis, ex gentibus omnibus, ad condemnationem ignis inexstinguibilis missurũ. *Venient enim (ait) ab Oriente & occidente, & recumbent cum Abraamo & Isaaco & Iacobo in regno cælorum. Filij autem regni, eiicientur in tenebras exteriores.* Atque ista, inquam, quod nihil omnino, præterquã vt vera loquar, curem, dico: neminem prorsus veriturus, quamuis e uestigio in partes a vobis discerpar. neque enim curam aut rationem aliquam popularium etiam meorum (Samaritanorum dico) habui, scripto Cæsarem compellans; cũ imposturis seduci eos in errorem affirmarem, qui Simoni gentis suæ mago parérent; quem Deum esse supra principatum & potestatem & virtutem omnem dicunt. Atque illis quietis, intuli; Dauid, o amici, de CHRISTO hoc agens, non *in semine ipsius* dixit benedictum iri gentes,

verum *in ipso*. Sic enim ibi est: *Nomen eius in seculum. Super solem exorietur. Et benedicentur eneo omnes gentes.* Porro si in CHRISTO benedicentur omnes gentes, & ex gentibus omnibus in hunc credimus, simul ipse CHRISTVS est, simul nos per eum benedicti. Solem quidem Deus permisit prius adorari, quemadmodum scriptum est: verum numquam quemquam videre fuit, qui propter fidem in solem, mortem subiisset. Propter nomẽ autem IESV, ex omni hominum genere & sustinuisse & sustinere supplicia potius omnia, quam vt eum negent, cernere licet. Ardentius namque eius est, Veritatis videlicet & Sapientiæ verbum, & lucidius multo quam Solis virtutes; & in recessus cordis atque mentis penetrat. vnde & dictum est: *Super solem exorietur nomen eius.* & item, *Oriens nomen eius*, Zacharias effert; & de eodem loquens, ait quod *plangent tribus secundum tribum.* Verumenimuero si in ignominioso, & deformi, & abiecto priore aduentu suo tantopere resplenduit, & virtute valuit, vt in nulla gente ignoretur, sed ex omni genere homines, a veteris vitæ consuetudine resipiscentes, pœnitentiam agant; & dæmonia nomini eius subiecta sint, ac principatus omnes & regna nomen idipsum supra defunctos omnes metuant: modis eos omnibus in glorioso aduentu suo exscindet omnes, qui odio persequuti sunt eum, quique inique desciuerunt ab eo: suos autem in requie collocabit, reddens illis quæ exspectauerunt omnia. Nobis equidem datum est vt eum audiamus & intelligamus, & saluemur per CHRISTVM hunc, & res Patris noscamus omnes. propterea ad eum dixit: *Magnum est tibi, vt vocere Seruus [seu Puer] meus, vt constituas tribus Iacobi, & dispersiones Israelis conuertas. Posuite in lucem gentium, vt sis salus earum vsque ad extremum terræ.* Hæc vos quidem in Geioram, & proselytos aduenticiosq; vestros dicta esse arbitramini: re autem vera de nobis sunt promulgata, per IESVM illustratis. Sane quidem & illis ipsis testimonium perhibuit CHRISTVS. nunc autem duplicato gehennæ filii estis, quemadmodum ipse dixit. Proinde non ad illos etiam, quæ a prophetis sunt commemorata, sed ad nos dicta sunt, de quibus verbum ait; *Ducam in via cæcos, quam nesciunt: & semitas quas ignorauerunt, inambulabunt. Et ego testis; dicit Dominus Deus; & Seruus meus quem elegi.* Quibus ergo testimonium perhibet CHRISTVS? fidelibus videlicet. [satis id constat.] Proselyti porro vestri nõ modo fideles non sunt, sed duplo magis quam vos blasphemiis & maledictis proscindunt nomen eius: ac nos in eum credentes & occidere, & tormentis excruciare volunt. in omnibus enim rebus vobis exæquari cõtendunt. Ac rursus aliis verbis vociferatur: *Ego Dominus vocaui te in iustitia: & apprehendam manum*

ἀλλὰ ἐν αὐτῷ. οὕτω δὲ ἐκεῖ ἐστί· Τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα· ὑπὲρ τὸν ἥλιον ἀνατελεῖ· καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη. εἰ δὲ ἐν τῷ Χριστῷ εὐλογεῖται τὰ ἔθνη πάντα, καὶ ἐκ πάντων τῶν ἐθνῶν ἐπὶ τοῦτον πιστεύομεν, καὶ αὐτός ἐστιν ὁ Χριστὸς, καὶ ἡμεῖς οἱ δι' αὐτοῦ εὐλογημένοι. τὸν μὲν ἥλιον ὁ Θεὸς ἐδεδώκει πρότερον εἰς τὸ προσκυνεῖν αὐτὸν, ὡς γέγραπται· καὶ οὐδένα οὐδέποτε ἰδεῖν ἐστιν ὑπομείναντα διὰ τὴν πρὸς τὸν ἥλιον πίστιν ἀποθανεῖν· διὰ δὲ τὸ ὄνομα τοῦ Ἰησοῦ, ἐκ παντὸς γένους ἀνθρώπων καὶ ὑπομείναντας καὶ ὑπομένοντας πάντα πάσχειν ὑπὲρ τοῦ μὴ ἀρνήσασθαι αὐτὸν, ἰδεῖν ἐστι· πυρωδέστερος γὰρ αὐτοῦ ὁ τῆς ἀληθείας καὶ σοφίας λόγος, καὶ φωτεινότερος μᾶλλον τῶν ἡλίου δυνάμεών ἐστι, καὶ εἰς τὰ βάθη τῆς καρδίας καὶ τοῦ νοῦ εἰσδύων· ὅθεν καὶ ὁ λόγος ἔφη, Ὑπὲρ τὸν ἥλιον ἀνατελεῖ τὸ ὄνομα αὐτοῦ· καὶ πάλιν, Ἀνατολὴ ὄνομα αὐτοῦ. Ζαχαρίας φησί. καὶ περὶ τοῦ αὐτοῦ λέγων εἶπεν ὅτι Κόψονται φυλὴ κατὰ φυλήν. Εἰ δὲ ἐν τῇ ἀτίμῳ καὶ ἀειδεῖ καὶ ἐξουθενημένῃ πρώτῃ παρουσίᾳ αὐτοῦ τοσοῦτον ἔλαμψε καὶ ἴσχυσεν, ὡς ἐν μηδενὶ γένει ἀγνοηθῆναι αὐτὸν, καὶ ἀπὸ παντὸς μετάνοιαν πεπεῖσθαι ἀπὸ τῆς παλαιᾶς κακῆς ἑκάστου γένους πολιτείας, ὥστε καὶ τὰ δαιμόνια ὑποτάσσεσθαι αὐτοῦ τῷ ὀνόματι, καὶ πάσας τὰς ἀρχὰς καὶ τὰς βασιλείας τοῦτου τὸ ὄνομα παρὰ πάντας τοὺς ἀποθανόντας δεδοικέναι· οὐκ ἐκ παντὸς τρόπου ἐν τῇ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ καταλύσει πάντας, τοὺς μισήσαντας αὐτὸν, καὶ τοὺς αὐτοῦ ἀδίκως ἀποστάντας· τοὺς δὲ ἰδίους ἀναπαύσει, ἀποδιδοὺς αὐτοῖς τὰ προσδοκώμενα πάντα. ἡμῖν οὖν ἐδόθη καὶ ἀκοῦσαι καὶ συνεῖναι καὶ σωθῆναι διὰ τούτου τοῦ Χριστοῦ, καὶ τὰ τοῦ πατρὸς ἐπιγνῶναι πάντα. διὰ τοῦτο ἔλεγε πρὸς αὐτὸν, Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς τοῦ Ἰακὼβ, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπιστρέψαι. τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν αὐτῶν, ἕως ἐσχάτου τῆς γῆς. Ταῦτα ὑμεῖς μὲν εἰς τὸν Γηόραν καὶ τοὺς προσηλύτους εἰρῆσθαι νομίζετε· τῷ ὄντι δὲ εἰς ἡμᾶς εἴρηται τοὺς διὰ Ἰησοῦ πεφωτισμένους. ἢ γὰρ ἂν κἀκείνοις ἐμαρτύρει ὁ Χριστός· νῦν δὲ διπλότερον υἱοὶ γεέννης, ὡς αὐτὸς εἶπε, γίνεσθε. οὐ πρὸς ἐκείνους οὖν οὐδὲ τὰ διὰ τῶν προφητῶν εἰρημένα λέλεκται, ἀλλὰ πρὸς ἡμᾶς, περὶ ὧν ὁ λόγος λέγει. Ἄξω ἐν ὁδῷ τυφλοὺς ἣν οὐκ ἔγνωσαν· καὶ τρίβους οὓς οὐκ ᾔδεισαν, πατήσουσι· κἀγὼ μάρτυς, λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην. τίσιν οὖν μαρτυρεῖ ὁ Χριστός; δῆλον ὡς τοῖς πεπιστευκόσιν· οἱ δὲ προσήλυτοι οὐ μόνον οὐ πιστεύουσιν, ἀλλὰ διπλότερον ὑμῶν βλασφημοῦσιν εἰς τὸ ὄνομα αὐτοῦ,
καὶ ἡμᾶς τοὺς εἰς ἐκεῖνον πιστεύοντας καὶ φονεύειν 116
καὶ αἰκίζειν βούλονται. κατὰ πάντα γὰρ ὑμῖν ἐξομοιοῦσθαι σπεύδουσι. καὶ πάλιν ἐν ἄλλοις βοᾷ· Ἐγὼ Κύριος ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χει-

ρός σε, καὶ ἰσχύσω σε, καὶ θήσω σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους:- ἐπεὶ καὶ ταῦτα, ὦ ἄνδρες, πρὸς τὸν Χριστὸν, καὶ περὶ τῶν ἐθνῶν τῶν πεφωτισμένων εἴρηται. ἢ πάλιν ὑμεῖς ἐρεῖτε, Πρὸς τὸν νόμον λέγει καὶ τοὺς προσηλύτους ταῦτα; καὶ ὥσπερ ἐν θεάτρῳ ἀνέκραγόν τινες τῶν τῇ δευτέρᾳ ἀφιγμένων· Ἀλλὰ τί; οὐ πρὸς τὸν νόμον λέγει, καὶ τοὺς φωτιζομένους ὑπ᾽ αὐτοῦ; οὗτοι δέ εἰσιν οἱ προσήλυτοι. Οὔκ, ἔφην ἀποβλέπων πρὸς τὸν Τρύφωνα· ἐπεὶ, εἰ νόμος εἶχε τὸ φωτίζειν τὰ ἔθνη καὶ τοὺς ἔχοντας αὐτὸν, τίς χρεία καινῆς διαθήκης; ἐπειδὴ καινὴν διαθήκην, καὶ νόμον αἰώνιον καὶ πρόσταγμα ὁ Θεὸς προεκήρυσσε πέμψειν, οὐχὶ τὸν παλαιὸν νόμον ἀκουσόμεθα καὶ τοὺς προσηλύτους αὐτοῦ, ἀλλὰ τὸν Χριστὸν καὶ τοὺς προσηλύτους αὐτοῦ, ἡμᾶς τὰ ἔθνη, οὓς ἐφώτισεν, ὥς πού φησιν· Οὕτω λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομίαν κληρονομῆσαι ἐρήμους:- τίς οὖν ἡ κληρονομία τοῦ Χριστοῦ; οὐχὶ τὰ ἔθνη; τίς ἡ διαθήκη τοῦ Θεοῦ; οὐχ ὁ Χριστός; ὡς καὶ ἀλλαχοῦ φησιν, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς:- Ὡς οὖν πάντα ταῦτα εἴρηται πρὸς τὸν Χριστὸν καὶ τὰ ἔθνη, οὕτως κἀκεῖνα εἰρῆσθαι νομίζετε. οὐδὲν γὰρ χρῄζουσιν οἱ προσήλυτοι διαθήκης, εἰ ἑνὸς καὶ τοῦ αὐτοῦ πᾶσι τοῖς περιτεμνομένοις κειμένου νόμου, περὶ ἐκείνων οὕτως ἡ γραφὴ λέγει, Καὶ προστεθήσεται καὶ ὁ γηόρας πρὸς αὐτοὺς, καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ:- Καὶ ὅτι μὲν προσήλυτος ὁ περιτεμνόμενος, εἰ τῷ λαῷ προσκεχώρηκεν, ἐστὶν ὡς αὐτόχθων, ἡμεῖς δὲ λαὸς κεκλῆσθαι ἠξιωμένοι, ὁμοίως ἔθνος ἐσμὲν διὰ τὸ ἀπερίτμητοι εἶναι. πρὸς δὲ καὶ γελοῖον ἐστὶν ἡγεῖσθαι ὑμᾶς τῶν μὲν προσηλύτων αὐτῶν ἀνεῷχθαι τὰ ὄμματα, ἡμῶν δὲ οὔ, καὶ ἡμᾶς μὲν ἀκούειν τυφλοὺς καὶ κωφοὺς, ἐκείνους δὲ πεφωτισμένους. καὶ ὅτι γελοιότερον ἀποβήσεται ὑμῖν τὸ πρᾶγμα· εἰ τὸν νόμον τοῖς ἔθνεσι δεδόσθαι φήσετε, ὑμεῖς οὔτε ἐκεῖνον τὸν νόμον ἔγνωτε. ηὐλαβεῖσθε γὰρ ἂν τὴν τοῦ Θεοῦ ὀργὴν, καὶ υἱοὶ ἄνομοι καὶ ῥεμβεύοντες οὐκ ἂν ἦτε, δυσωπούμενοι ἀκούειν ἑκάστοτε λέγοντος αὐτοῦ, Υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς· καὶ τίς τυφλὸς, ἀλλ᾽ ἢ οἱ παῖδές μου· καὶ κωφὸς, ἀλλ᾽ ἢ οἱ κυριεύοντες αὐτῶν· καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ:- Εἰ δέ γε πολλάκις καὶ οὐκ ἐφυλάξατε ἀνεῳγμένα τὰ ὦτα ὑμῶν, καὶ οὐκ ἠκούσατε εἰ καλὸς ὑμῶν ὁ ἔπαινος ὁ τοῦ Θεοῦ, καὶ Θεοῦ μαρτυρία δούλοις πρέπουσα, οὐκ αἰσχύνεσθε πολλάκις ταῦτα ἀκούοντες, οὐδὲ ἀπειλοῦντος τοῦ Θεοῦ φρίσσετε, ἀλλ᾽ ἢ λαὸς μωρὸς καὶ σκληροκάρδιός ἐστε. Διατοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, λέγει Κύριος· καὶ

num tuam, & fortem reddam te, & disponam te in testamentum generis, in lucem gentium: vt aperias oculos cæcorum, educas ex vinculis compeditos. Sane quidem & hæc, o viri, ad CHRISTVM & de gẽtibus illuminatis dicta sunt. an vero vos rursus dicetis: De lege hæc & de proselytis loquitur? Et tamquam in theatro, eorum nonnulli qui altero aduenerant die, exclamarunt: Quid? non ad Legem & ab ea illustratos verba facit? hi autem sunt proselyti. Minime; inquam, ad Tryphonem respiciens. Nam si Lex potuisset gentes, & eos qui illam habent, illuminare, quid opus fuisset Nouo Testamento? Siquidem Nouum Testamentũ, Legemque & iussionem æternam Deus se missurum esse prænunciauit: proinde non veterem legem & proselytos eius accipiemus, sed CHRISTVM & proselytos eius, nos ex gentibus quos illustrauit: prout alicubi ait; *Sic dicit Dominus: Tempore accepto exaudiui te; & in die salutis opem tuli tibi: Et dedi te in testamentum gentium, vt constitueres terram, & hæreditatis iure possideres loca deserta.* Quænam est hæreditas CHRISTI? nonne gentes? Quod testamentum Dei? nonne CHRISTVS? Sicut & alibi dixit? *Filius meus es tu; ego hodie genui te. Postula a me, & dabo tibi gentes hæreditatem tuam, & possessionem tuam terminos terræ.* Sicut igitur omnia hæc ad CHRISTVM & gentes dicta sunt, sic & illa dicta esse putate. Nam proselyti vestri nihil indigent testamento, si vna eademque omnibus circumcisis lege proposita, de illis ita Scriptura loquitur; *Et apponetur etiã Geioras ad ipsos, & apponetur ad domum Iacobi.* Proselytus certe circumcisus, si ad populũ accesserit, perinde est atq; indigena & originarius. Nos autem, qui digni idoneique habiti sumus vt Populus vocaremur, Gẽs nihilominus sumus, propterea quod circumcisi non simus. Ad hæc ridiculũ quoque est, in ea vos esse opinione, proselytorum quidem ipsorum apertos esse oculos, vestros autem minime: ac vos audire, Cæci & surdi; at illos, Illuminati: tum autem ridiculosius etiam multo vobis accidet, si legem [Euangelicam] gẽtibus datam esse dixeritis, & vos neque illam [Mosaicam] legem noueritis. Vitasseris enim vtiq; irã Dei, ac filii iniqui & vagabundi (seu extrauagantes) non essetis: puderetque vos illum identidem audire, dicentem; *Filij, quibus non est fides in ipsis. Quis cæcus, nisi serui mei? & surdus, nisi qui dominatur eis? Et excæcati sunt serui mei.* Quod si persæpe etiam non obseruastis apertas aures vestras, & non audiuistis an bona sit laus vestra qua Deus vos celebrat, & Dei testimonia quę seruos decent: nimirum nec erubescitis sæpenumero ista audientes, neque Deo comminante exhorrescitis: populus certe quidẽ stultus & duricors estis. *Propterea ecce, addam vt transferam populum hunc; dicit Dominus: &*

transferam eos: & perdam sapientiam sapientum, & intelligentiam intelligentium abscondam. Recte & merito. nõ enim sapiẽtes estis neque intelligentes, sed acres & versuti. sapiẽtes q̃dẽ, ad malefaciẽdũ dũtaxat: ad intelligẽdũ aũt cõsiliũ Dei recõditũ, aut testamentũ Domini fidele, & ad inueniẽdas semitas sempiternas, inepti. Itaq; *Excitabo*, inquit, *Israeli & Iudæ semen hominum, & semen pecudũ.* Et per Esaiã de alio Israele ita loquitur: *Die illo erit tertius Israel in Assyriis & Ægyptiis benedictus in terra quam benedixit Dominus Zebaoth, dicens; Benedictus sit populus meus, qui est in Ægypto, & qui est in Assyriis; & hereditas mea Israel.* Cum ergo Deus benedicat, & Israelem vocet populum istum, & hæreditatem suam esse clamitet: cur pœnitentiam non agitis, quod cum vos ipsos seducitis, veluti soli Israel sitis; tum benedictum hunc populum diris exsecramini? Etenim postquam ad Hierusalem, & quæ circumcirca sunt regiones, loquutus fuerat, ita rursus dixit: *Et creabo super vos homines, populum meum Israelem: & hereditario iure habebunt vos, & eritis eis in possessionem. Et non adiicietur vobis vt amplius orbi situs liberis ab eis;* [*sive, vt absque liberis vos faciant.*] Quid ita? Trypho ait. Vosne Israel estis, ac de vobis ista loquitur? Si quidem, respondi, de his multa non disseruissemus, addubitassem vtique num re nõ satis percepta hoc interrogares. Quãdo vero quæstionem istam & demõstratione & assensione conclusimus, non arbitror te quæ dicta sunt ignorare, neque denuo rixari incipere; sed me incitare, vt & hisce eadẽ probem:- Ac illo oculorum nutu consentiente, rursus sermonem continuaui. In Esaia, si quidem auribus audientes auditis, de CHRISTO verba faciens Deus, per similitudinem *Iacobum* eum nominat & *Israelem*, ita dicens: *Iacob seruus meus; suscipiam eum: Israel electus meus, ponam Spiritum meum super eum; & iudicium gentibus proferet. non contendet neque clamabit, neque audiet quisquam in plateis vocem eius. arundinem comminutam non confringet, & linum fumigans nõ extinguet: sed veritatem proferet, iudicium recipiet: & non frangetur donec posuerit in terra iudicium. Et in nomine eius gentes sperabunt.* Quemadmodum ergo ab vno illo Iacobo, qui & Israel cognominatus est, genus vestrum omne *Iacob & Israel* est vocatum: ita & nos ab eo qui in Deũ nos genuit, CHRISTO, ceu Iacob & Israel, & Iudas & Ioseph, & Dauid, [sic] filii etiam Dei veri & dicimur & sumus, mandata CHRISTI seruantes. Et cum eos turbulentiores inter se esse viderem, eo quod dixissem, Dei etiam nos filios esse, percontationem eorum anteuertens: Audite, o viri, inquam, quomodo Spiritus sanctus de populo isto loquatur, *filios Altissimi* omnes esse, atq; in

μεταθήσω αὐτοὺς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω:- εὐλόγως. οὐ γὰρ σοφοί ἐστε, οὐδὲ συνετοὶ, ἀλλὰ δριμεῖς καὶ πανοῦργοι· σοφοὶ εἰς τὸ κακοποιῆσαι μόνον· γνῶναι δὲ βουλὴν Θεοῦ κεκρυμμένην, ἢ διαθήκην Κυρίου πιστὴν, ἢ τρίβους αἰωνίους εὑρεῖν, ἀδύνατοι. τοιγαροῦν ἐγερῶ, φησὶ, τῷ Ισραὴλ καὶ τῷ Ιούδα σπέρμα ἀνθρώπων, καὶ σπέρμα κτηνῶν:- καὶ διὰ Ησαίου περὶ ἄλλου Ισραὴλ οὕτω φησὶ, Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τρίτος Ισραὴλ ἐν τοῖς Ασσυρίοις καὶ Αἰγυπτίοις, εὐλογημένος ἐν τῇ γῇ ἣν εὐλόγησε Κύριος σαβαὼθ λέγων, Εὐλογημένος ἔσται ὁ λαός μου ὁ ἐν Αἰγύπτῳ, καὶ ὁ ἐν Ασσυρίοις, καὶ ἡ κληρονομία μου Ισραήλ:- 117 Εὐλογοῦντος οὖν τοῦ Θεοῦ, καὶ Ισραὴλ τοῦτον τὸν λαὸν καλοῦντος, καὶ κληρονομίαν αὐτοῦ βοῶντος εἶναι, πῶς οὐ μετανοεῖτε ἐπί τε τῷ ἑαυτοὺς ἀπατᾶν ὡς μόνοι Ισραὴλ ὄντες, καὶ ἐπὶ τῷ καταρᾶσθαι τὸν εὐλογημένον τοῦ Θεοῦ λαόν. καὶ γὰρ ὅτε πρὸς τὴν Ιερουσαλὴμ καὶ τὰς πέριξ αὐτῆς ἔλεγε χώρας, οὕτω πάλιν ἐπεῖπε, Καὶ γεννήσω ἐφ' ὑμᾶς ἀνθρώπους τὸν λαόν μου Ισραὴλ, καὶ κληρονομήσουσιν ὑμᾶς, καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν, καὶ οὐ μὴ προστεθῆτε ἔτι ἀτεκνωθῆναι ἀπ' αὐτῶν:- Τί οὖν; φησὶν ὁ Τρύφων· ὑμεῖς Ισραήλ ἐστε, καὶ περὶ ὑμῶν λέγει ταῦτα; Εἰ μὲν, ἔφην αὐτῷ, μὴ περὶ τούτων καὶ πολὺν λόγον πεποιήμεθα, κἂν ἀμφέβαλλον μή τι οὐ συνιὼν τοῦτο ἐρωτᾷς· ἐπειδὴ δὲ καὶ μετ' ἀποδείξεως καὶ συγκαταθέσεως καὶ τοῦτο συνηγάγομεν τὸ ζήτημα, οὐ νομίζω σε ἀγνοεῖν μὲν τὰ προειρημένα, οὐδὲ πάλιν φιλεριστεῖν, ἀλλὰ προκαλεῖσθαί με καὶ τούτοις τὴν αὐτὴν ἀπόδειξιν ποιήσασθαι. καὶ τῷ διὰ τῶν ὀφθαλμῶν νεύματι συντιθεμένου, Πάλιν, ἔλεγον ἐγὼ, ἐν τῷ Ησαΐα, ὦσιν ἀκούοντες. εἰ ἄρα ἀκούετε, περὶ τοῦ Χριστοῦ λέγων ὁ Θεὸς ἐν παραβολῇ, Ιακὼβ αὐτὸν καλεῖ, καὶ Ισραήλ· οὕτω λέγει, Ιακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ισραὴλ ἐκλεκτός μου, θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. οὐκ ἐρίσει, οὔτε κράξει, οὔτε ἀκούσεταί τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ μὴ σβέσει. ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει, κρίσιν ἀναλήψει, καὶ οὐ μὴ θραυσθήσεται ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐλπιοῦσιν ἔθνη:- ὡς οὖν ἀπὸ τοῦ ἑνὸς Ιακὼβ ἐκείνου τοῦ καὶ Ισραὴλ ἐπικληθέντος, τὸ πᾶν γένος ὑμῶν προσηγόρευται Ιακὼβ καὶ Ισραὴλ, οὕτω καὶ ἡμεῖς ἀπὸ τοῦ γεννήσαντος ἡμᾶς εἰς Θεὸν Χριστοῦ, ὡς καὶ Ιακὼβ καὶ Ισραὴλ, καὶ Ιούδα καὶ Ιωσὴφ, καὶ Δαβὶδ, καὶ Θεοῦ τέκνα ἀληθινὰ καλούμεθα καὶ ἐσμὲν, οἱ τὰς ἐντολὰς τοῦ Χριστοῦ φυλάσσοντες. καὶ ἐπειδὴ εἶδον αὐτοὺς συνταραχθέντας ἐπὶ τῷ εἰπεῖν με, καὶ Θεοῦ τέκνα εἶναι ἡμᾶς, προλαβὼν τὸ ἐπερωτηθῆναι, εἶπον, Ακούσατε, ὦ ἄνδρες, πῶς τὸ ἅγιον πνεῦμα λέγει περὶ τοῦ λαοῦ τούτου, ὅτι υἱοὶ ὑψίστου πάντες εἰσὶ, καὶ ἐν τῇ

συναγωγῇ

συναγωγῇ αὐτῶν παρέστη αὐτὸς οὗτος ὁ Χριστός, τὴν κρίσιν ἀπὸ παντὸς γένους ἀνθρώπων ποιούμενος. εἴρηνται δὲ οἱ λόγοι διὰ Δαβίδ, ὡς μὲν ὑμεῖς ἐξηγεῖσθε, οὕτως· Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρίνει· ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; κρίνατε ὀρφανῷ καὶ πτωχῷ, καὶ ταπεινὸν καὶ πένητα δικαιώσατε. ἐξέλεσθε πένητα, καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε. οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς. ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ὑμεῖς δέ, ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ Θεός, κρῖνον τὴν γῆν. ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν. ἐν δὲ τῇ τῶν ἑβδομήκοντα ἐξηγήσει, εἴρηται, Ἰδοὺ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε· ἵνα δηλώσῃ καὶ τὴν παρακοὴν τῶν ἀνθρώπων, τοῦ Ἀδὰμ λέγω καὶ τῆς Εὔας, καὶ τὴν πτῶσιν τοῦ ἑνὸς τῶν ἀρχόντων, τουτέστι τοῦ κεκλημένου ἐκείνου ὄφεως, πεσόντος πτῶσιν μεγάλην, διὰ τὸ ἀποπλανῆσαι τὴν Εὔαν. ἀλλ᾽ ἐπειδὴ οὐ πρὸς τοῦτο μεμνημένοι ὁ λόγος λέλεκται, ἀλλὰ πρὸς τὸ ἀποδεῖξαι ὑμῖν ὅτι τὸ πνεῦμα τὸ ἅγιον ὀνειδίζει τοὺς ἀνθρώπους, τοὺς καὶ Θεῷ ὁμοίως ἀπαθεῖς καὶ ἀθανάτους, ἐὰν φυλάξωσι τὰ προστάγματα αὐτοῦ, γεγενημένους, καὶ κατηξιωμένους ὑπ᾽ αὐτοῦ υἱοὺς αὐτοῦ καλεῖσθαι,
118 καὶ οὗτοι ὁμοίως τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ ἐξομοιούμενοι θάνατον ἑαυτοῖς ἐργάζονται· ἐχέτω καὶ ἡ ἑρμηνεία τοῦ ψαλμοῦ ὡς βούλεσθε, καὶ οὕτως ἀποδέδεικται· ὅτι θεοὶ κατηξιοῦνται γενέσθαι, καὶ υἱοὶ ὑψίστου πάντες δύνασθαι γενέσθαι κατηξίωνται, καὶ παρ᾽ ἑαυτοὺς καὶ κρίνεσθαι καὶ καταδικάζεσθαι μέλλουσιν, ὡς καὶ Ἀδὰμ καὶ Εὔα. ὅτι δὲ καὶ Θεὸν τὸν Χριστὸν καλεῖ, ἐν πολλοῖς ἀποδέδεικται· ἐβουλόμην, λέγω, παρ᾽ ὑμῶν μαθεῖν, ὦ ἄνδρες, τίς ἡ δύναμις τοῦ Ἰσραὴλ ὀνόματος. καὶ ἡσυχαζόντων αὐτῶν, ἐπήνεγκα, Ἐγὼ ὃ ἐπίσταμαι ἐρῶ· οὔτε γὰρ εἰδότα μὴ λέγειν δίκαιον ἡγοῦμαι, οὔτε ὑπονοοῦντα ἐπίστασθαι ὑμᾶς, καὶ διὰ φθόνον ἢ δι᾽ ἀπειρίαν τὴν τοῦ βούλεσθαι, ἐπίσταμαι αὐτὸς φροντίζειν ἀεί, ἀλλὰ πάντα ἁπλῶς καὶ ἀδόλως λέγειν, ὡς ὁ ἐμὸς Κύριος εἶπεν, Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον· καὶ ὁ μὲν ἔπεσεν εἰς τὴν ὁδόν· ὁ δέ, εἰς τὰς ἀκάνθας· ὁ δέ, ἐπὶ τὰ πετρώδη· ὁ δέ, ἐπὶ τὴν γῆν τὴν καλήν· ἐλπίδι οὖν τοῦ εἶναί που καλὴν γῆν, λέγειν δεῖ· ἐπειδή γε ἐκεῖνος ὁ ἐμὸς Κύριος, ὡς ἰσχυρὸς καὶ δυνατός, τὰ ἴδια παρὰ πάντων ἀπαιτήσει ἐλθών, καὶ τὸν οἰκονόμον τὸν ἑαυτοῦ οὐ καταδικάσει, εἰ γνωρίζει αὐτὸν διὰ τὸ ἐπίστασθαι ὅτι δυνατός ἐστιν ὁ Κύριος αὐτοῦ, καὶ ἐλθὼν ἀπαιτήσει τὰ ἴδια, ἐπὶ πάσαις τραπέζαις διδόντα, ἀλλ᾽ οὐ δι᾽ αἰτίαν οἱανδήποτε οὖν κατορύξαντα. καὶ τὸ οὖν Ἰσραὴλ ὄνομα τοῦτο σημαίνει, ἄνθρωπος νικῶν δύναμιν. τὸ γὰρ Ἰσρα, ἄνθρωπός ἐστι· τὸ δὲ Ἢλ, δύναμις. ὅπερ καὶ διὰ τοῦ μυστηρίου τῆς πάλης ἣν ἐπάλαισεν

conuentu eorum istum ipsum CHRISTVM præsentem de mortaliū genere omni iudicaturum esse. Verba ipsa per Dauidem dicta sunt, sicuti vos quidem interpretamini, ad hunc modum: *Deus stetit in synagoga deorum: in medio autem deos diiudicat. Quousque tandem iudicatis iniquitatem, & personam peccatorum accipitis? Iudicate pupillo & egeno, & humilem atque pauperem iustificate. Eripite pauperem; & inopem e manu peccatoris liberate. Nō cognouerunt neque intellexerunt, in tenebris ambulant. Mouebuntur omnia fundamenta terræ. Ego dixi: Dij estis, & Filij Altissimi omnes. Vos autem sicut homines moriemini, & tamquam vnus principum cadetis. Exsurge Deus, iudica terram: quoniam tu hæreditatem accipies in omnibus gentibus.* In translatione autem Septuaginta, dictum est; *Ecce sane sicut homines morimini; & sicut vnus principū cadetis.* vt declararet quoque inobœdientiam hominum, Adæ dico & Euæ; & casum vnius ex principibus, hoc est Serpētis illius qui vocatus est [Satanas,] & lapsu graui cecidit, propterea quod in fraudem seduxerit Euam. Sed enim cū non ob eam causam verba hæc allegata sint, verum vt vobis demonstrarem, Spiritum sanctum hominibus exprobrare, cum itidem vt Deus est, impatibiles & immortales, si quidem præcepta eius seruarent, ab eo facti, & eo honore digni iudicati fuerint vt filios suos vocaret: quod illi ex æquo Adæ & Euæ cōformati, mortem sibiipsis procreent: habeat sane expositio Psalmi ita vt vultis: nihilominus tamen sic quoque probatū fuerit, dignos habitos homines qui dij essent, & filii Dei omnes fieri possent; futurumque esse, vt a seipsis iudicentur atque condemnentur, sicut Adam & Eua. Cæterum quod CHRISTVM quoque ipsum [in Scripturis Spiritus sanctus] *Deum* vocet, multis est ostensum. Per equidem scire velim, deinceps dixi, o viri, ex vobis, quæ vis sit *Israelis*. Atque illis silentibus, intuli: Ego quod scio, dicā. neq; enim, si sciā, iustū esse, vt nō dicam, puto: neq; si opiner vos scire, & propter inuidiā aut explicādi imperitiā, dicere nolle; id ipse semper curare, sed omnia simpliciter & cādide proferre noui: sicuti Dominus meus dixit. *Exiit sator ad seminandum semen. atq; aliud cecidit in viā, aliud in spinas, aliud in loca saxosa, aliud in terram bonam.* Propter spem ergo, esse alicubi terrā bonam, dicere oportet. Nam Dominus ille meus, veluti fortis & potens, adueniēs, sua ab omnibus reposcet. Et dispensatorē suū nō cōdemnabit, si norit illū propterea quod sciat herum suum potentem, vbi reuersus fuerit, sua repertiturum, ad mensam omnē illa fœnerato dare, neq; per causam aliquā, quæcūq; tādē ea sit, defodere. Itaq; nomen hoc *Israel* significat, Homo vincēs virtutē. *Isra* nāq; Homo est; *El* autem, Virtus. quod sane etiā per arcanū luctæ, qua cōflictatus est

Iacob cū eo qui illi apparuit, viro quidem, vt Patris volūtati inseruiret; Deus autem erat, eo quod filius primogenitus esset vniuersarum creaturarum: est præmonstratum: CHRISTVM nimirum, hominem genitum, itidem facturum esse. Cum enim, vt dixi, homo esset, accessit ad eum Diabolus, hoc est virtus illa quę *Serpens* vocata est & *Satanas*: tentans ipsum insidiose, & pessumdare eo contendens, quod adorari se ab illo petiit. Ille vero hūc deuicit & prostrauit, malignum esse coarguens; qui pręter sacrarum litterarum præscriptum, vt Deum adorari se flagitauerit, ac dudum a voluntate Dei desciuerit. Respondit namque illi, scriptum esse: *Dominum Deum tuū adorabis, & eum solum coles.* ac diabolus ita superatus atque reprehensus, discessit. Sed enim quia in stupore & pauore etiam futurus erat, id est in labore, sensu & ærumna passionis suppetiis indigente, supplicio crucis ferendo, CHRISTVS noster: exhibita quoque est huius rei prænunciatio, per id quod femur Iacobi tactum sit, & emarcuerit, ab eo cuius iam antea Israel nomen fuerat. Eo quippe beatum Iacobū cognominauit, benedicens ei suo ipsius nomine: ac per hoc simul prædicens, omnes qui per eum ad Patrem confugerent, *benedictum* esse *Israelem*. Vos autem horum nihil intelligentes, neque adeo intelligere connitentes, quia secundum carnale semen Iacobi filii estis, saluos vos omnino fore speratis. Verum quod vosmetipsos hoc modo seducatis, pluribus est a me probatum. Quis vero tandem hic sit, qui & *Magni consilij angelus*, & *Vir*, per Ezechielem; & *Tamquam filius hominis*, a Daniele; & *Puellus*, ab Esaia; & CHRISTVS, & *Deus adorandus*, a Dauide; & *Dauid*, & CHRISTVS, & *Lapis*, a multis; & *Sapientia*, per Salomonem; & *Ioseph*, & *Iudas*, & *Stella*, per Mosen; & *Oriens*, per Zachariam; & *Passioni subditus*, & *Iacob*, & *Israel*, rursus per Esaiam; & item *Virga*, & *Flos*, & *Lapis summus angularis*, & *Filius Dei* vocatus est: si cognouissetis, o Trypho, dixi, nō cōiecissetis in eum maledicta & cōuicia. qui iam venit, & natus atq; passus est, & ascendit in cælum; & rursum veniet, ac tum plangent duodecim tribus vestræ. Nam si dicta prophetarum intellexissetis, non infitiati essetis, ipsum esse *Deum*, singularis & ingeniti ineffabilisque Dei filium. Dictum etenim est alicubi & per Mosen in Exodo, ad hunc modum: *Loquutus autem est Dominus ad Mosen, & dixit ad eum: Ego sum Dominus; & visus sum ab Abraamo, & Isaaco, & Iacobo, Deus eorum: & nomē meū* [*Adonai*] *non indicaui eis; & pepigi fœdus meū cū illis.* Idē rursus ait; luctatū fuisse cū Iacobo hominē, quem Deum esse dicit. nam; *Vidi Deum*, inquit, *facie ad faciem: & salua facta est anima mea.* Ita enim Iacobum loquentē introducit. & quod is locū quoq; vbi cū eo luctatus est, & vbi illi apparuit & be-

Ἰακὼβ μετὰ τοῦ φαινομένου μὲν, ἐκ τοῦ τῇ τοῦ πατρὸς βουλῇ ὑπηρετεῖν· Θεοῦ δὲ, ἐκ τοῦ εἶναι τέκνον πρωτότοκον τῶν ὅλων κτισμάτων, ἐπροεφήτευτο, οὕτως καὶ ἄνθρωπος γενόμενος ὁ Χριστὸς ποιήσειν. ὅτι γὰρ ἄνθρωπος γέγονεν, ὡς προεῖπον, προσῆλθεν αὐτῷ ὁ διάβολος, τουτέστιν ἡ δύναμις ἐκείνη ἡ καὶ Ὄφις κεκλημένη καὶ Σατανᾶς, πειράζων αὐτὸν, καὶ ἀγωνιζόμενος καταβαλεῖν, διὰ τοῦ ἀξιοῦν προσκυνῆσαι αὐτόν· ὁ δὲ αὐτὸν κατέλυσε καὶ κατέβαλεν, ἐλέγξας ὅτι πονηρός ἐστι, παρὰ τὴν γραφὴν ἀξιῶν προσκυνεῖσθαι ὡς Θεὸς, ἀποστάτης τῆς τοῦ Θεοῦ γνώμης γεγενημένος. ἀποκρίνεται γὰρ αὐτῷ, Γέγραπται, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις:- καὶ ἡττημένος καὶ ἐληλεγμένος ἀπέστη τότε ὁ διάβολος. ἀλλ᾽ ἐπεὶ καὶ ναρκᾶν ἔμελλε, τουτέστιν ἐν πόνῳ καὶ ἐν ἀντιλήψει τοῦ πάθους, ὅτε σταυροῦσθαι ἔμελλεν ὁ Χριστὸς ὁ ἡμέτερος, καὶ τούτου προκήρυξιν ἐποίησε διὰ τοῦ ἅψασθαι τοῦ μηροῦ τοῦ Ἰακὼβ, καὶ ναρκῆσαι ποιῆσαι. ὁ δὲ Ἰσραὴλ ἦν ὄνομα αὐτῷ ἄνωθεν. ὃ ἐπωνόμασε τὸν μακάριον Ἰακὼβ εὐλογῶν τῷ ἑαυτοῦ ὀνόματι, κηρύσσων καὶ διὰ τούτου ὅτι πάντες οἱ δι᾽ αὐτοῦ τῷ πατρὶ προσφεύγοντες, εὐλογημένος Ἰσραήλ ἐστιν. ὑμεῖς δὲ, μηδὲν τούτων νενοηκότες, μηδὲ νοεῖν παρασκευαζόμενοι, ἐπειδὴ κατὰ τὸ σαρκικὸν σπέρμα τοῦ Ἰακὼβ τέκνα ἐστὲ, πάντως σωθήσεσθαι προσδοκᾶτε. ἀλλ᾽ ὅτι καὶ ἐν τούτοις ἑαυτοὺς πλανᾶτε, ἀποδέδεικταί μοι ἐν πολλοῖς. τίς δέ ἐστιν οὗτος ὃς καὶ Ἄγγελος μεγάλης βουλῆς ποτὲ, καὶ Ἀνὴρ διὰ Ἰεζεκιὴλ, καὶ Ὡς υἱὸς ἀνθρώπου διὰ Δανιὴλ, καὶ Παιδίον διὰ Ἡσαΐου, καὶ Χριστὸς, καὶ Θεὸς προσκυνητὸς, καὶ Δαβὶδ, καὶ Χριστὸς, καὶ Λίθος διὰ πολλῶν, καὶ Σοφία διὰ Σολομῶνος, καὶ Ἰωσὴφ καὶ Ἰούδας καὶ Ἄστρον διὰ Μωϋσέως, καὶ Ἀνατολὴ διὰ Ζαχαρίου, καὶ Παθητὸς καὶ Ἰακὼβ καὶ Ἰσραὴλ πάλιν διὰ Ἡσαΐου, καὶ Ῥάβδος καὶ Ἄνθος καὶ Λίθος ἀκρογωνιαῖος κέκληται, καὶ Υἱὸς Θεοῦ, εἰ ἐγνώκειτε, ὦ Τρύφων, ἔφην, οὐκ ἂν ἐβλασφημεῖτε εἰς αὐτὸν ἤδη καὶ παραγενόμενον, καὶ γεννηθέντα, καὶ παθόντα, καὶ ἀναβάντα εἰς τὸν οὐρανόν· ὃς καὶ πάλιν παρέσται, καὶ τότε κόψονται ὑμῶν αἱ δώδεκα φυλαί. ἐπεὶ εἰ νενοήκατε τὰ εἰρημένα ὑπὸ τῶν προφητῶν, οὐκ ἂν ἐξηρνεῖσθε 119
αὐτὸν εἶναι Θεὸν, τοῦ μόνου καὶ ἀγεννήτου καὶ ἀρρήτου Θεοῦ υἱόν. εἴρηται γάρ που καὶ διὰ Μωϋσέως ἐν τῇ Ἐξόδῳ οὕτως· Ἐλάλησε δὲ Κύριος πρὸς Μωσῆν, καὶ εἶπε πρὸς αὐτόν· Ἐγώ εἰμι Κύριος, καὶ ὤφθην πρὸς τὸν Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, Θεὸς αὐτῶν, καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς, καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτούς:- καὶ οὕτω πάλιν λέγει, Μετὰ Ἰακὼβ ἄνθρωπος ἐπάλαιε· καὶ Θεὸν φησὶν εἶναι. Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου:- λέγει εἰρηκέναι τὸν Ἰακώβ· καὶ ὅτι καὶ τὸν τόπον ὅπου αὐτῷ ἐπάλαισε καὶ ὤφθη

καὶ εὐλόγησε καὶ ἐκάλεσεν, Εἶδος Θεοῦ ἀνέγραψε. καὶ τῷ Ἀβραὰμ ὁμοίως, Μωσῆς φησὶν, ὤφθη ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένῳ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας. εἶτα ταῦτα εἰπὼν, ἐπιφέρει, Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν, συνέδραμεν εἰς συνάντησιν αὐτοῖς:- μετ' ὀλίγον δὲ εἷς ἐξ αὐτῶν ὑπισχνεῖται τῷ Ἀβραὰμ υἱόν· Τί ὅτι ἐγέλασε Σάῤῥα, λέγουσα, Ἆρά γε τέξομαι; ἐγὼ δὲ γεγήρακα:- μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον ἀποστρέψω εἰς ὥρας. καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός:- καὶ ἀπηλλάσσοντο ἀπὸ Ἀβραάμ· καὶ οὕτω περὶ αὐτῶν πάλιν λέγει· Ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες, κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων:- εἶτα πάλιν πρὸς τὸν Ἀβραὰμ ὃς ἦν καὶ ἔστιν, ὥς λέγει, Οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ ἐγὼ ἃ μέλλω ποιεῖν:- καὶ τὰ ἑξῆς ἀνιστορημένα ἀπὸ τῶν τοῦ Μωϋσέως, καὶ ἐξηγημένα ὑπ' ἐμοῦ πάλιν ἔλεγον, δι' ὧν ἀποδέδεικται ὑπὸ τῷ Πατρὶ καὶ Κυρίῳ τεταγμένος, καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτοῦ, οὗτος ὃς ὤφθη τῷ τε Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, καὶ τοῖς ἄλλοις πατριάρχαις ἀναγεγραμμένος Θεὸς, ἔλεγον. ἐπέφερον δὲ, εἰ καὶ μὴ εἶπον ἐν τοῖς ἔμπροσθεν, οὕτω δὲ καὶ ὅτε κρέας ἐπεθύμησεν ὁ λαὸς φαγεῖν, καὶ ἀπιστεῖ Μωσῆς τῷ λελεγμένῳ κἀκεῖ ἀγγέλῳ, ἐπαγγελλομένῳ δώσειν αὐτοῖς τὸν Θεὸν εἰς πλησμονὴν, αὐτὸς ὢν καὶ Θεὸς καὶ ἄγγελος παρὰ τοῦ πατρὸς πεπεμμένος, ταῦτα εἰπεῖν καὶ πρᾶξαι δηλοῦται. οὕτως γὰρ ἐπάγει ἡ γραφὴ λέγουσα, Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, Μὴ ἡ χεὶρ Κυρίου οὐκ ἐξαρκέσει; ἤδη γνώσῃ εἰ ἐπικαλύψει σε ὁ λόγος μου, ἢ οὔ:- καὶ πάλιν ἐν ἄλλοις λόγοις οὕτως φησὶ, Κύριος δὲ εἶπε πρός με, Οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον· Κύριος ὁ Θεός σου ὁ προπορευόμενος τοῦ προσώπου σου, αὐτὸς ἐξολοθρεύσει τὰ ἔθνη:- καὶ τὰ ἄλλα δὲ τοιαῦτα ἐστὶν εἰρημένα τῷ νομοθέτῃ καὶ τοῖς προφήταις· καὶ ἱκανῶς εἰρῆσθαί μοι ὑπολαμβάνω, ὅτι ὅταν μου ὁ Θεὸς λέγῃ, Ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ:- ἤ, Ἐλάλησε Κύριος πρὸς Μωσῆν:- καὶ, Κατέβη Κύριος τὸν πύργον ἰδεῖν ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων:- ἢ ὅτε, Ἔκλεισεν ὁ Θεὸς τὴν κιβωτὸν Νῶε ἔξωθεν:- μὴ ἡγεῖσθε αὐτὸν τὸν ἀγέννητον Θεὸν καταβεβηκέναι ἢ ἀναβεβηκέναι ποθέν· ὁ γὰρ ἄῤῥητος Πατὴρ καὶ Κύριος τῶν πάντων, οὔτε ποι ἀφῖκται, οὔτε περιπατεῖ, οὔτε καθεύδει, οὔτε ἀνίσταται, ἀλλ' ἐν τῇ αὐτοῦ χώρᾳ ὅπου ποτὲ μένει, ὀξὺ ὁρῶν, καὶ ὀξὺ ἀκούων, οὐκ ὀφθαλμοῖς οὐδὲ ὠσὶν, ἀλλὰ δυνάμει ἀλέκτῳ· καὶ πάντας ἐφορᾷ, καὶ πάντα γινώσκει, καὶ οὐδεὶς ἡμῶν λέληθεν αὐτόν· οὔτε κινούμενος ὁ τόπῳ τε ἀχώρητος, καὶ τῷ κόσμῳ ὅλῳ, ὅς γε ἦν καὶ πρὶν τὸν κόσμον γενέσθαι· πῶς ἂν οὖν οὗτος ἢ λαλήσειε πρός τινα, ἢ ὀφθείη τινὶ, ἢ ἐν ἐλαχίστῳ μέρει γῆς φανείη;

& benedixit, vocauerit *Apparitio Dei*, [*Phanuel, Facies Dei*] in historia Moses descripsit. Abraæ consimiliter idem ait *Deum apparuisse* ad ilicem Mambræ, sedenti ad ostium tabernaculi sui meridie: atque his dictis infert: *Suspiciens autem oculis vidit: Et ecce tres viri stabant supra eum: & visis illis, occurrit eis obuiam.* Paulo post ex ipsis vnus promittit Abraæ filium: *Quid ita risit Sara? dicens, Num igitur pariam? ego vero consenui. An impossibile est apud Deum verbum? tempore isto reuertar in horas. & erit Saræ filius. Et discesserunt ab Abraamo.* De quibus sic iterum loquitur: *Exsurgentes vero inde viri, respexerūt in faciem Sodomorum.* Deinceps rursum Qui erat & est, Abraam ita alloquitur: *Non celabo Abraam seruum meum, quæ facturus sum.* & quæ sequuntur, ea a me supra recitata atque exposita reperii. Quibus ostensum est, a Patre & Domino ordinatum esse, & ministrare voluntati eius, istum qui apparuit Abraæ, & Isaaco & Iacobo & aliis patriarchis: & Deum eum esse, in Scripturam relatum dixi. Atque his commemoratis illud addidi, quamuis id antea non dixerim: Ad eundem vero modum quoque, cum carnis edendæ cupiditas populo incessisset, & Moses Angelo qui ibi designatus est, pollicenti, Deū illis ad satietatem vsque daturum, (qui & ipse Deus esset, & Angelus siue Nuncius a Patre missus) fidem non haberet: hæc illum ipsum dixisse atque fecisse significatur. Sic namque Scriptura infert, dicens: *Et dixit Dominus ad Mosen: An manus Domini non sufficiet? iam cognosces an operturum te sit verbum meum, nec ne.* Et rursum alio loco ita inquit: *Dominus autem dixit ad me: Nō transibis Iordanem istum. Dominus Deus tuus, qui præcedit ante faciem tuam, ipse exterminabit gentes.* Sunt porro & alia huiusmodi Legislatoris & Prophetarum dicta. & satis a me explicatum esse existimo, quando Deus meus dicit; *Ascendit Deus ab Abraamo*: aut; *Loquutus est Dominus ad Mosen*: &, *Descendit Dominus ad videndam turrim, quam exstruxerant filij hominum*: aut quādo; *Clausit Deus arcam Noæ forinsecus*: non debere vos putare, ipsum ingenitum Deum vel ascendisse vel descendisse quopiam. nam ineffabilis ille Pater & Dominus vniuersitatis huius, non venit in locum aliquem, neque deambulat, neque dormit, neque surgit; sed in regione sua, quæcumque ea tandem est, manet, acutum cernens, & acutum audiens: non oculis certe quidem, nec auribus, verum virtute infinita ille inspectat, & omnia noscit, neque nostrum quisquam illum latet: neque mobilis est, neque loco vllo, atque adeo neque mundo vniuerso comprehensibilis, vt qui ante exstitit quam mundus est conditus. Quonam igitur modo ille vel alloquatur aliquem, vel conspiciatur vlli, vel in minima terræ parte appareat?

quando ne eius quidem qui ab eo est missus, gloriam & maiestatem populus in Sina intueri; neque Moses ipse in tabernaculum quod fecit, nisi a Deo proueniente claritate repletus, ingredi valuit? Sed neque sacerdos pro templo stare sustinuit, quando Salomon arcam intulit in domum Hierosolymitanam, ab ipso constructam. Itaque neque Abraam, neque Isaac, neque Iacob, neque hominum alius quisquam, Patrem & ineffabilem Dominum rerum omnino vniuersarum, & ipsius CHRISTI, vidit: sed illum ipsum qui iuxta consilium eius & voluntatem & Deus est Filius ipsius, & Angelus, ex eo quod sententiæ illius est administer; & qui de voluntate eiusdem, homo ex virgine natus est, qui etiam aliquando Ignis fuit, in suo cum Mose e rubo colloquio. Quod nisi ad hunc modum sacras intellexerimus litteras, eo res euadet, vt Pater & Dominus vniuersorum tum in cælis non fuerit, cum per Mosen dictum est; *Et Dominus pluit super Sodomam ignem & sulphur, a Domino de cælis.* ac rursum, cum per Dauidem est dictum; *Tollite portas Principes vestras; & eleuamini portæ æternæ: & intreibit Rex gloriæ:* & iterum cum Dauid ait; *Dicit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum:* [seipsum Pater ad dextram suam collocauerit.] Et quod CHRISTVS, qui Dominus & Deus, Dei filius est. qui virtute prius apparuerat vt Vir & Angelus, etiam in ignis gloria cõspectus sit, vt in rubo & in iudicio de Sodomis facto affuerit: abunde his quæ dicta sunt, probatum est. Recensui præterea ex Exodo, ea quæ antea scripsi omnia, de apparitione in rubo facta, & appellatione Iesu nominis. atque insuper addidi: Heus vos, Ne arbitremini me hæc quasi superflua, repetita narratione, commemorare sæpius. Scio esse qui occupare ista volunt, & dicere, *Virtutem a Patre rerum omnium prouenientem*, quæ Mosæ apparuit, aut Iacobo, aut Abrahæ, *Angelum* vocari, cum ad homines quibus mãdata Patris per eã denunciantur, progreditur: *Gloriam* vero, cũ in visione incõprehensibili aliquando exhibetur: *Virum* autem & *Hominem* nominari, quandoquidem ea specie qua Pater velit, conspiciatur: & propterea *Verbum* appellari, quod Patris sermones ad mortales perferat. Virtutem autem eam a Patre nullo pacto disiungi & secerni posse; eo videlicet modo, sicuti Solis lux in terris ab eo cum in cælo est, recidi ac segregari nequit, atque eo occidente illa vna aufertur: tali nimirum modo Patrem dicunt, cum vult, efficere vt Virtus eius prosiliat: & cum vult, vt eandem ad seipsum retrahat. Hoc etiam modo Angelos illum facere docent. Cæterum Angelos esse, & semper manere, & in id per dissolutionem non redire vnde sunt progeniti, demonstratũ est.

ὁπότε γε οὐδὲ τὴν δόξαν τοῦ παρ' αὐτοῦ πεμφθέντος ἴσχυεν ὁ λαὸς ἰδεῖν ἐν Σινᾶ, οὐδ' αὐτὸς Μωσῆς ἴσχυσεν εἰσελθεῖν εἰς τὴν σκηνὴν ἣν ἐποίησεν, εἰ μὴ ἐπληρώθη τῆς παρὰ τοῦ Θεοῦ δόξης· οὐδὲ μὴν ὁ ἱερεὺς ὑπέμεινε 120
κατενώπιον τοῦ ναοῦ στῆναι ὅτε τὴν κιβωτὸν Σολομὼν εἰσεκόμισεν εἰς τὸν οἶκον τὸν ἐν Ἱερουσαλὴμ, ὃν αὐτὸς ὁ Σολομὼν ᾠκοδομήκει. οὔτε οὖν Ἀβραὰμ, οὔτε Ἰσαὰκ, οὔτε Ἰακὼβ, οὔτε ἄλλος ἀνθρώπων εἶδε τὸν πατέρα καὶ ἄρρητον κύριον τῶν πάντων ἁπλῶς, καὶ αὐτοῦ τοῦ Χριστοῦ· ἀλλ' ἐκεῖνον τὸν κατὰ βουλὴν τὴν ἐκείνου καὶ Θεὸν ὄντα υἱὸν αὐτοῦ, καὶ ἄγγελον ἐκ τοῦ ὑπηρετεῖν τῇ γνώμῃ αὐτοῦ· ὃν καὶ ἄνθρωπον γεννηθῆναι διὰ τῆς παρθένου βεβούληται· ὃς καὶ πῦρ ποτὲ γέγονε τῇ πρὸς Μωσέα ὁμιλίᾳ τῇ ἀπὸ τῆς βάτου. ἐπεὶ ἐὰν μὴ οὕτω νοήσωμεν τὰς γραφὰς, συμβήσεται τὸν πατέρα καὶ κύριον τῶν ὅλων μὴ γεγενῆσθαι τότε ἐν τοῖς οὐρανοῖς, ὅτε διὰ Μωσέως λέλεκται, Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα πῦρ καὶ θεῖον παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ:- καὶ πάλιν διὰ Δαβὶδ ὅτε λέλεκται οὕτως, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης:- καὶ πάλιν ὅτε φησί, Λέγει Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου:- Καὶ ὅτι Κύριος ὢν ὁ Χριστὸς, καὶ Θεὸς Θεοῦ υἱὸς ὑπάρχων, καὶ δυνάμει φαινόμενος πρότερον ὡς ἀνὴρ καὶ ἄγγελος, καὶ ἐν πυρὸς δόξῃ ὡς ἐν τῇ βάτῳ πέφανται, καὶ ἐπὶ τῆς κρίσεως τῆς γεγενημένης ἐπὶ Σόδομα, ἀποδέδεικται ἐν πολλοῖς τοῖς εἰρημένοις. ἀνιστόρουν δὲ πάλιν ἃ καὶ προέγραψα ἀπὸ τῆς Ἐξόδου πάντα, περί τε τῆς ὀπτασίας τῆς ἐπὶ τῆς βάτου, καὶ τῆς ἐπικλήσεως τοῦ Ἰησοῦ ὀνόματος· καὶ ἐπέλεγον, Καὶ μὴ νομίζητε ὦ οὗτοι, ὅτι περιττολογῶν ταῦτα λέγω πολλάκις· ἀλλ' ἐπιγινώσκω καί τινας προλέγειν ταῦτα βουλομένους, καὶ φάσκειν τὴν δύναμιν τὴν παρὰ τοῦ πατρὸς τῶν ὅλων φανεῖσαν τῷ Μωσῇ, ἢ τῷ Ἀβραὰμ, ἢ τῷ Ἰακὼβ, Ἄγγελον καλεῖσθαι ἐν τῇ πρὸς ἀνθρώπους προόδῳ, ἐπειδὴ δι' αὐτῆς τὰ παρὰ τοῦ πατρὸς τοῖς ἀνθρώποις ἀγγέλλεται· Δόξαν δὲ, ἐπειδὴ ἐν ἀχωρήτῳ ποτὲ φαντασίᾳ φαίνεται· Ἄνδρα δέ ποτε καὶ Ἄνθρωπον καλεῖσθαι, ἐπειδὴ ἐν μορφαῖς τοιαύταις σχηματιζόμενος φαίνεται, αἵσπερ βούλεται ὁ πατήρ· καὶ Λόγον καλοῦσιν, ἐπειδὴ καὶ τὰς παρὰ τοῦ πατρὸς ὁμιλίας φέρει τοῖς ἀνθρώποις. ἄτμητον δὲ καὶ ἀχώριστον τοῦ πατρὸς ταύτην τὴν δύναμιν ὑπάρχειν, ὅνπερ τρόπον τὸ τοῦ ἡλίου φασὶ φῶς ἐπὶ γῆς εἶναι, ἄτμητον καὶ ἀχώριστον, ὄντος τοῦ ἡλίου ἐν τῷ οὐρανῷ· καὶ ὅταν δύσῃ, συναποφέρεται τὸ φῶς· οὕτως ὁ πατὴρ, ὅταν βούληται, λέγουσι, δύναμιν αὐτοῦ προπηδᾶν ποιεῖ· καὶ ὅταν βούληται, πάλιν ἀναστέλλει εἰς ἑαυτόν· κατὰ τοῦτον τὸν τρόπον καὶ τοὺς ἀγγέλους ποιεῖν αὐτὸν διδάσκουσιν. ἀλλ' ὅτι μὲν οὖν εἰσὶν ἄγγελοι, καὶ ἀεὶ μένοντες, καὶ μὴ ἀναλυόμενοι εἰς ἐκεῖνο ἐξ οὗπερ γεγόνασιν, ἀποδέδεικται·

Et Vir-

καὶ ὅτι δύναμις αὕτη ἣν καὶ Θεὸν καλεῖ ὁ προφητικὸς λόγος, διὰ πολλῶν ὡσαύτως ἀποδέδεικται, καὶ ἄγγελον, οὐχ ὡς τὸ τοῦ ἡλίου φῶς ὀνόματι μόνον ἀριθμεῖται, ἀλλὰ καὶ ἀριθμῷ ἕτερόν τι ἐστί, καὶ ἐν τοῖς προειρημένοις διὰ βραχέων τὸν λόγον ἐξήτασα, εἰπὼν τὴν δύναμιν ταύτην γεγεννῆσθαι ἀπὸ τοῦ πατρός, δυνάμει καὶ βουλῇ αὐτοῦ, ἀλλ' οὐ κατὰ ἀποτομήν, ὡς ἀπομεριζομένης τῆς τοῦ πατρὸς οὐσίας, ὁποῖα τὰ ἄλλα πάντα μεριζόμενα καὶ τεμνόμενα, οὐ τὰ αὐτά ἐστιν ἃ καὶ πρὶν τμηθῆναι· καὶ παραδείγματος χάριν παρειλήφειν τὰ ὡς ἀπὸ πυρὸς ἀναπτόμενα πυρὰ ἕτερα ὁρῶμεν, οὐδὲν ἐλαττουμένου ἐκείνου ἐξ οὗ ἀναφθῆναι πολλὰ δύνανται, ἀλλὰ ταὐτοῦ μένοντος. καὶ νῦν δὲ ἔτι καὶ οὓς εἶπον λόγους, εἰς ἀπόδειξιν τούτου ἐρῶ. ὅταν λέγῃ, Ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ: δύο ὄντας ἀριθμῷ μηνύει ὁ λόγος ὁ προφητικός· τὸν μέν, ἐπὶ γῆς ὄντα, ὅς φησι καταβεβηκέναι ἰδεῖν τὴν κραυγὴν Σοδό-111μων· τὸν δέ, ἐν τοῖς οὐρανοῖς ὑπάρχοντα· ὃς καὶ τοῦ ἐπὶ γῆς Κυρίου Κύριός ἐστιν, ὡς πατὴρ καὶ Θεός, αἴτιός τε αὐτῷ τοῦ εἶναι, καὶ δυνατῷ, καὶ Κυρίῳ, καὶ Θεῷ. καὶ πάλιν ὅταν λέγῃ ὁ λόγος εἰρηκέναι τὸν Θεὸν ἐν ἀρχῇ, Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν. τὸ δέ, Ὡς εἷς ἐξ ἡμῶν, καὶ αὐτὸ ἀριθμοῦ δηλωτικόν ἐστιν, ἀλλ' οὐ τροπολογίαν χωροῦσιν οἱ λόγοι, ὡς ἐξηγεῖσθαι ἐπιχειροῦσιν οἱ σοφισταί, καὶ μηδὲ λέγειν τὴν ἀλήθειαν, μηδὲ νοεῖν δυνάμενοι. καὶ ἐν τῇ Σοφίᾳ εἴρηται, Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, καὶ πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με:- Καὶ εἰπὼν ταῦτα, ἐπήγαγον, Νοεῖτε, ὦ ἀκροαταί, εἴ γε καὶ τὸν νοῦν προσέχετε, καὶ ὅτι γεγεννῆσθαι ὑπὸ τοῦ πατρὸς τοῦτο τὸ γέννημα πρὸ πάντων ἁπλῶς τῶν κτισμάτων ὁ λόγος ἐδήλου· καὶ τὸ γεννώμενον τοῦ γεννῶντος ἀριθμῷ ἕτερόν ἐστι, πᾶς ὁστισοῦν ὁμολογήσειε. Καὶ συντιθεμένων πάντων, εἶπον, Καὶ λόγους δέ τινας οὓς μὴ ἀπεμνημόνευσα πρότερον, εἴποιμ' ἂν ἄρτι. εἰσὶ δὲ εἰρημένοι ὑπὸ τοῦ πιστοῦ θεράποντος Μωσέως ἐπικεκαλυμμένως. εἴρηται δὲ οὕτως· Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ:· καὶ τὰ ἑξῆς τοῦ λόγου. ἐπέφερον ταῦτα, Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ:- καὶ εἰπὼν ταῦτα, Ἡμᾶς τὰ ἔθνη λέγει εὐφραίνεσθαι μετὰ τοῦ λαοῦ αὐτοῦ, λέγω Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ τοὺς προφήτας ἁπλῶς, καὶ τοὺς ἀπ' ἐκείνου τοῦ λαοῦ πάντας εὐαρεστοῦντας τῷ Θεῷ κατὰ τὰ προωμολογημένα ἡμῖν·

Et Virtutem istam, quã *Deum* Sermo propheticus vocat, prout plurib. similiter est probatum, & *Angelum*, non ita vt Solis lumen nomine tantum numerari, verũ numero quoque aliud quiddam esse, ratione exquisita supra paucis explicui: Virtutem hanc dicens de Patre genitam, virtute & consilio voluntateq; ipsius: non per recisionem, veluti ab essentia Patris dispertitã, prout alia omnia diuisa & secta, non eadem sunt quæ ante fuerunt quam scinderentur. Atque verbi gratia, ea sumpsi quæ ab igne accensa, ignẽ alium cernimus, illo nihil diminuto, sed in eodẽ statu manẽte, vnde multi accendi possunt ignes. Et nũc quoq; ad hoc ostendendũ, quæ antea retuli verba repetã. Quando dicit: *Pluit Dominus ignem a Domino de calo:* duos propheticum verbum numero esse indicat: alterum, in terris, quem descendisse significat ad clamorem Sodomorum inspiciẽdum: alterum, in cælis, qui etiam Dominus in terra apparentis Domini, tamquam Pater & Deus; atque idem auctor eidem est vt sit, atque equidem præpotens, & Dominus, & Deus vt sit. Rursum cum Scripturæ sermo dicit, Deum in principio loquutũ esse: *Ecce Adam factus est vt vnus ex nobis:* hoc verbum, *Vt vnus ex nobis*, & ipsum, numerum denotat. Neque ea verba tropologiã siue figuratam loquutionem admittunt, quemadmodum exponere moliuntur sophistæ & cauillatores, qui neque dicere, neque mente concipere veritatem possunt. Atque in Sapientia dictum est: *Si annunciauero vobis ea quæ quotidie fiunt, memoranda & recensenda erũt quæ a seculo facta sunt. Dominus creauit me principium viarum suarum, ad opera eius. Ante seculum fundauit me, in principio: antequam terram faceres, & antequam abyssos creares, & priusquam prodirent fontes aquarum, priusquam montes considerent, ante colles omnes generat me.* Illa cũ dixissem, induxi: Intelligitis, o auditores, siquidem animum aduertitis, Verbum declarare, tũ a Patre editum esse germen hoc ante creaturas omnino vniuersas, tũ germen ipsum numero aliud esse a generãte. Id vnusquisque cõfitebitur. Atq; assentientib. cũctis, verba quædam alia protuli, a me prius nõ allegata. ea nunc dicã. Sunt autẽ recondite promulgata a fideli seruo [Dauide &] Mose, ad hũc modũ: *Lætamini cæli cum ipso: & adorent eũ omnes angeli eius:* & quæ sequũtur verba. Deinde hæc intuli: *Lætamini gẽtes vna cum populo ipsius; & fortificẽtur ei omnes angeli Dei: Quoniam sanguinem filiorum vindicat & vindicabit, & vltionem retribuet inimicis, & odio persequentibus se refere t gratiam, & purificabit Dominus terram populi sui.* Et his dictis: Nos, gẽtes inquam, perhibet lætari debere cũ populo suo: Abraamo dico & Isaaco, & Iacobo, & prophetis omnino omnibus, eisq; q ab illo populo proueniẽtes, secũdũ ea quæ supra professi sumus, oẽs Deo grati placitiq; sunt:

minime vero, qui per genus vestrum descendunt, omnes intelligemus. Nam ex Esaia quoque didicimus, futurum esse vt membra præuaricatorum a verme & igne inexstinguibili peruorentur, immortalia permanentia, ita vt spectaculo sint omni carni. Produceam vero insuper, o viri, inquam, & alia quædā verba ex Mosæ ipsius scriptis: vnde cognoscere potestis, antiquitus Deum omnes mortales per genera & linguas dispersisse; ex cunctis autem generibus sibiipsi sumpsisse genus vestrum, genus inutile, & inobœdiens, & infidele. Qua re indicauit, ex omni genere delectos, consilio & voluntati eius obsequi per CHRISTVM; quem & *Iacobum* vocat, & *Israelem* nominat. Eos vero ipsos & Iacobum & Israelem, pro eo atque ante dixi, in pluribus esse oportet: [delectos videlicet, & Iacobum itidem atque Israelem vocatos] nam, *Lætamini gentes cum populo ipsius*, dicens, parem eis tribuit hæreditatem, & parem appellationem confert. *Gentes* autem illos ipsos, & *cum populo suo lætantes* vocans, ad ignominiam vestram, ita *gentes* dicit. Quo namque modo vos simulacra colentes, illum ad iracundiā prouocastis: eodem ipsos modo, idolorum cultui deditos, honore eo dignatus est, vt consilium voluntatemque eius cognoscerent, & hæreditatem a se delatam cernerent. Recensebo verba quibus ostenditur Deum dispertiisse gentes omnes. sunt autem huiusmodi: *Interroga patrem tuum; & annunciabit tibi: seniores tuos; & dicent tibi; quando diuidebat Altissimus gentes, quomodo dissemināuerit filios Adami. constituit terminos gentium, iuxta numerum filiorum Israelis. & factus est pars Domini populus eius Iacob, funiculus hæreditatis eius Israel.* Hæc vbi dixissem, intuli, Septuaginta transtulisse, quod *constituerit terminos gentium iuxta numerum angelorum Dei:* me autem, quia mihi iterū nihil de verbi sensu decederet, versionem ipsorum allegare maluisse. Ac vos, inquā, si verum fateri vultis, longe nos Deo fideliores esse; quibus per abiectum & opprobrii plenum crucis sacramentum a Deo vocatis, propter professionem & pietatem, per dæmonia & diaboli militiam, vobis opera vestra illis subseruientibus, supplicia capitalia irrogantur, (quæ eousque perferimus, vt ne voce quidem CHRISTVM abnegemus; per quem ad salutem vocati sumus a Patre nostro præparatam) perhibebitis quam illi fuerunt qui brachio excelso & visitatione gloriæ ingentis, ab Ægypto liberati sunt, mari vobis diuiso iter siccum præbente; in quo persequutores vestri cum virtute magna admodum, & curribus gloriosis, inundatione aquarum reducta, qua vos transieratis, sunt interempti: quib. & columna lucis resplenduit, vt supra alium populum in mūdo omnem proprio perfectoq; & numquā occidenti lumine vti possetis: quibus

ἀλλ' οὐ πάντας τοὺς ἀπὸ τοῦ γένους ὑμῶν ἀκουσόμεθα· ἐπειδὴ ἔγνωμεν καὶ διὰ Ἡσαΐου τὰ κῶλα τῶν παραβεβηκότων ὑπὸ σκώληκος καὶ ἀπαύστου πυρὸς διαβιβρώσκεσθαι μέλλειν, ἀθάνατα μένοντα, ὥστε καὶ εἶναι εἰς ὅρασιν πάσης σαρκός. ἐπειπεῖν δὲ ὑμῖν βούλομαι καὶ πρὸς τούτοις, ὦ ἄνδρες, ἔφην, καὶ ἄλλους τινὰς λόγους ἀπ' αὐτῶν τῶν Μωσέως λόγων· ἐξ ὧν καὶ νοῆσαι δύνασθε, ὅτι ἄνωθεν μὲν πάντας τοὺς ἀνθρώπους ὁ Θεὸς διεσκόρπισε, καὶ τὰ γένη, καὶ γλώσσας. ἐκ πάντων δὲ τῶν γενῶν, γένος ἑαυτῷ λαβὼν τὸ ὑμέτερον, γένος ἄχρηστον, καὶ ἀπειθὲς, καὶ ἄπιστον, δείξας τοὺς ἀπὸ παντὸς γένους αἱρουμένους πεπεῖσθαι αὐτοῦ τῇ βουλῇ διὰ τοῦ Χριστοῦ, ὃν καὶ Ἰακὼβ καλεῖ, καὶ Ἰσραὴλ ὀνομάζει, τούτους καὶ Ἰακὼβ καὶ Ἰσραὴλ, ὡς προέφην, ἐν πολλοῖς εἶναι δεῖ. Εὐφράνθητε γὰρ ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, εἰπὼν, τὴν μὲν ὁμοίαν αὐτοῖς ἀπονέμει κληρονομίαν, καὶ τὴν ὁμοίαν ὀνομασίαν δίδωσιν. ἔθνη δὲ αὐτοὺς καὶ εὐφραινομένους μετὰ τοῦ λαοῦ αὐτοῦ λέγων, εἰς ὄνειδος τὸ ὑμέτερον λέγει ἔθνος· ὃν γὰρ καὶ ὑμεῖς τρόπον παρωργίσατε εἰδωλολατρήσαντες, οὕτω καὶ αὐτοὺς εἰδωλολάτρας ὄντας κατηξίωσε γνῶναι τὴν βουλὴν αὐτοῦ, καὶ κληρονομῆσαι τὴν παρ' αὐτοῦ. ἐρῶ δὲ καὶ τοὺς λόγους δι' ὧν δηλοῦται μερίσας πάντα τὰ ἔθνη ὁ Θεός. εἰσὶ δὲ οὗτοι· Ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι, ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ. ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν υἱῶν Ἰσραὴλ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ:- καὶ εἰπὼν ταῦτα, ἐπήνεγκα λέγων ὅτι οἱ ἑβδομήκοντα ἐξηγήσαντο, ὅτι ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. ἀλλ' ἐπεὶ καὶ ἐκ τούτου πάλιν οὐδὲν μοι ἐλατ- 122
τοῦται ὁ λόγος, τὴν ὑμετέραν ἐξήγησιν εἶπον. καὶ ὑμεῖς δὲ εἰ βούλεσθε τὴν ἀλήθειαν ὁμολογῆσαι, ὅτι πιστότεροι πρὸς τὸν Θεόν ἐσμεν, οἵτινες διὰ τοῦ ἐξουθενημένου καὶ ὀνείδους μεστοῦ μυστηρίου τοῦ σταυροῦ κληθέντες ὑπὸ τοῦ Θεοῦ, ὧν καὶ τῇ ὁμολογίᾳ, καὶ τῇ ὑπακοῇ, καὶ τῇ εὐσεβείᾳ, κολάσεις μέχρι θανάτου ὑπὸ τῶν δαιμονίων καὶ τῆς στρατιᾶς τοῦ διαβόλου διὰ τῆς ὑφ' ὑμῶν ἐκείνοις γεγενημένης ὑπηρεσίας, προστετάγμεθα), πάνθ' ὑπομένομεν ὑπὲρ τοῦ μηδὲ μέχρι φωνῆς ἀρνεῖσθαι τὸν Χριστὸν, δι' οὗ ἐκλήθημεν εἰς σωτηρίαν τὴν προητοιμασμένην παρὰ τοῦ πατρὸς ἡμῶν, τῶν ἐν βραχίονι ὑψηλῷ καὶ ἐπισκοπῇ μεγάλης δόξης λυτρωθέντων ἀπὸ τῆς Αἰγύπτου, θαλάσσης ὑμῖν τμηθείσης, καὶ γενομένης ὁδοῦ ξηρᾶς, ἐν ᾗ τοὺς διώκοντας ὑμᾶς μετὰ δυνάμεως πολλῆς πάνυ, καὶ ἐνδόξων ἁρμάτων, ἐπικλύσας αὐτοῖς τὴν δι' ὑμᾶς ὁδοποιηθεῖσαν θάλασσαν, ἀπέκτεινεν· οἷς καὶ στῦλος φωτὸς ἔλαμπεν, ἵνα καὶ παρὰ τὸν πάντα ἄλλον λαὸν τὸν ἐν τῷ κόσμῳ, ἴδιον καὶ ἀνελλιπεῖ καὶ μὴ δύνοντι φωτὶ χρῆσθαι ἔχητε·

εἰς ἄρτον εἰς τροφὴν δι᾽ ἀγγέλων οὐρανίων τὸ μάννα ἔβρεξεν, ἵνα μηδὲ σιτοποιΐας δεόμενοι ζητήσητε. καὶ τὸ ἐν Μεῤῥᾷ ὕδωρ ἐγλυκάνθη· καὶ σημεῖον τοῦ σταυροῦσθαι μέλλοντος καὶ ἐπὶ τῶν ὄφεων τῶν δακνόντων ὑμᾶς, ὡς προεῖπον, γεγενῆσθαι, πάντα προλαμβάνοντος πρὸ τῶν ἰδίων καιρῶν τὰ μυστήρια χαρίζεσθαι ὑμῖν τοῦ Θεοῦ· πρὸς ὃν ἀχάριστοι ἐλέγχεσθε ἀεὶ γεγενημένοι· καὶ διὰ τοῦ τύπου τῆς ἐκτάσεως τῶν χειρῶν Μωϋσέως, καὶ ὡς τοῦ ἐπονομασθέντος Ἰησοῦ, πολεμούντων τὸν Ἀμαλήκ· περὶ οὗ εἶπεν ὁ Θεὸς ἀναγραφῆναι τὸ γεγενημένον φήσας, καὶ εἰς τὰς ὑμῶν ἀκοὰς Ἰησοῦ παραθέσθαι τὸ ὄνομα, εἰπὼν ὅτι οὗτός ἐστιν ὁ μέλλων ἐξαλείφειν ἀπὸ τῆς ὑπὸ τὸν οὐρανὸν τὸ μνημόσυνον τοῦ Ἀμαλήκ· καὶ ὅτι τὸ μνημόσυνον τοῦ Ἀμαλὴκ καὶ μετὰ τὸν τοῦ Ναυῆ υἱὸν μένει, φαίνεται· διὰ δὲ τοῦ Ἰησοῦ τοῦ σταυρωθέντος, οὗ καὶ τὰ σύμβολα ἐκεῖνα, προκηρύγματα ἦν τῶν κατ᾽ αὐτοῦ ἁπάντων, ὅτι μέλλει ἐξολοθρευθήσεσθαι τὰ δαιμόνια, καὶ δεδιέναι τὸ ὄνομα αὐτοῦ, καὶ πάσας τὰς ἀρχὰς καὶ τὰς βασιλείας ὁμοίως ὑφορᾶσθαι αὐτόν, καὶ ἐκ παντὸς γένους ἀνθρώπων θεοσεβεῖς καὶ εἰρηνικοὺς δείκνυσθαι εἶναι τοὺς εἰς αὐτὸν πιστεύσαντας, φανερὸν ποιεῖ, καὶ τὰ προανιστορημένα ὑπ᾽ ἐμοῦ, Τρύφων, σημαίνουσι. καὶ τοσαύτη δὲ ὀρτυγομήτρα ἐδόθη ὑμῖν ἐπιθυμήσασι κρεωφαγίας, ὅση ἀναρίθμιος εἰπεῖν· οἷς καὶ ἐκ πέτρας ὕδωρ ἀνέβλυσε, καὶ νεφέλη εἰς σκιὰν ἀπὸ καύματος καὶ φυλακὴν ἀπὸ κρύους εἵπετο, ἄλλου οὐρανοῦ καινοῦ τρόπον καὶ προαγγελίαν ἀπαγγέλλουσα· ὧν καὶ οἱ ἱμάντες τῶν ὑποδημάτων οὐκ ἐῤῥάγησαν, οὐδὲ αὐτὰ τὰ ὑποδήματα ἐπαλαιώθη, οὐδὲ τὰ ἐνδύματα κατετρίβη, ἀλλὰ καὶ τὰ τῶν νεωτέρων συνηύξανε. καὶ πρὸς τούτοις ἐμοσχοποιήσατε, καὶ πρὸς τὰς θυγατέρας τῶν ἀλλογενῶν πορνεῦσαι καὶ εἰδωλολατρῆσαι ἐσπουδάσατε· καὶ μετὰ ταῦτα πάλιν τῆς γῆς ὑμῖν παραδοθείσης μετὰ δυνάμεως τοσαύτης, ὡς καὶ τὸν ἥλιον θεάσασθαι ὑμᾶς προστάξει τοῦ ἀνδρὸς ἐκείνου τοῦ ἐπονομασθέντος τῷ Ἰησοῦ ὀνόματι, σταθέντα ἐν τῷ οὐρανῷ, καὶ μὴ δύναντα μέχρι ὡρῶν τριακονταὲξ, καὶ τὰς ἄλλας πάσας δυνάμεις τὰς κατὰ καιρὸν γεγενημένας ὑμῖν· ὧν καὶ ἄλλην μίαν καταριθμῆσαι ταυνῦν εἶναί μοι δοκεῖ. συναίρεται γὰρ πρὸς τὸ καὶ ἐξ αὐτῆς συνιέναι ὑμᾶς τὸν Ἰησοῦν, ὃν καὶ ἡμεῖς ἐπέγνωμεν Χριστὸν υἱὸν Θεοῦ σταυρωθέντα, καὶ ἀναστάντα, καὶ ἀνεληλυθότα εἰς τοὺς οὐρανούς, καὶ πάλιν παραγενησόμενον κριτὴν πάντων ἁπλῶς ἀνθρώπων μέχρις αὐτοῦ Ἀδάμ. ἐπίστασθε οὖν ἔλεγεν, ὅτι τῆς σκηνῆς τοῦ μαρτυρίου ὑπὸ τῶν περὶ Ἀζωτίους πολεμίων ἁρπαγείσης, καὶ
123 πληγῆς αὐτοῖς γεγενημένης φοβερᾶς καὶ ἀνιάτου, ἐβουλεύσαντο ἐφ᾽ ἁμάξης ὑφ᾽ ἣν δαμάλεις νεοτόκους ἔζευξαν, ἐπιθεῖναι, εἰς πεῖραν τοῦ γνῶναι, εἰ δυνάμει Θεοῦ διὰ τὴν σκηνὴν πεπληγμένοι εἰσί,

quibus alimoniæ causa per angelos cælestes pane, manna scilicet, pluit, vt ne ob penuriam commeatum annonæ quæreretis: & quibus vnda amara in Mara, in dulcem est conuersa: & signũ eius qui crucifigendus erat, in serpentibus morsu vos lædentibus (sicut supra dixi) exhibitũ est: Deo vobis, ante tempora sua, omnia mysteria singulari gratia ostendere occupante: erga quem ingrati semper fuisse coarguimini. quod ille etiam fecit per figuram manuum Mosæ extẽsionis, & per eum qui cognominatus est Iesus, & Amalechum debellauit: de quo Deus dixit, vt facinus id in litterarũ describeretur monumento, quo in auribus quoque vestris IESV nomẽ deponeretur: hunc ipsum præloquutus, qui deleturus esset sub cælo memoriam Amalechi. Sane quidẽ memoriam Amalechi, etiam post Nauæ filium mansisse cõstat; futurum autem fuisse vt per IESVM in cruce suspensum (cuius quoque rerum gerendarum symbola illa, præoccupata fuere præconia) exscinderentur dæmones, & nomẽ eius principatus omnes metuerent, & regna pariter illum suspicerẽt, pacatique esse ex omni hominum genere in ipsum credentes ostenderentur, res ea declarat: & ea quæ antea a me sunt commemorata, o Trypho, significant. Ac vobis edendæ carnis cupidine laborantibus, tanta Ortygometra, coturnicumque matrix & multitudo est repræsentata, quanta sub numerum non cadit. quibus aqua etiã e petra profluxit. quos nubes, vt vmbra esset ab æstu, & custodia a frigore, est consequuta: alterius noui cæli instar & prænunciationem promulgans. quorum etiam lora calceamentorum rupta non sunt, neque calceamenta ipsa inueterarunt. quorum item vestimenta non modo attrita non sunt, sed iuniorum quoque vna cum ipsis creuerunt. Atque in his tantis beneficiis, vitulum tamen conflatilem fecistis: & cum alienigenarum filiabus fornicari, & simulacra colere studuistis: postea quoque itidem, cum terra vobis tradita est, cũ virtute tanta, vt Sol etiam spectandis vobis intentus esset, in cælo consistens, & ante horas trigintasex nõ occideret, viri eius iussu qui cohonestatus est IESV cognomine: & nõ minus post alias virtutes omnes, quæ tẽpore quæq; suo exhibitæ sũt vobis. Ex quibus aliã vnam memorare, præsenti videtur conuenire loco. ad hoc enim conducit, vt ex ea vos quoq; IESVM cognoscatis, quẽ & nos cognouimus CHRISTVM filiũ Dei crucifixũ, qui resurrexit & ascendit in cælos, & rursus aderit iudex hominum prorsus omniũ, ad ipsum vsque Adamum. Scitis certe, inquã, cũ Tabernaculum testimonii ab hostibus Azotiis raptũ, atq; illi plaga horrẽda & insanabili affecti essent, consiliũ eos cepisse, vt id super curru, cui vaccę recẽs fœtæ iũctæ erãt, imponerẽt: periculi faciẽdi gratia, an virtute Dei, propter tabernaculũ, plaga percussi forẽt,

& Deus id eo reductum vellet vnde captũ fuerat. Quod vbi fecerũt, vaccæ, nullo eas mortali ducente, non ad eum venere locum vnde arca abrepta fuerat; sed in agrũ hominis cuiusdam Iesu (seu Iosue) dicti, illi cognominis qui IESV nomine transnominatus fuerat, (prout antea est dictũ) quique & populum in terram introduxit, & hæreditario iure ipsis eam diuisit: in quẽ agrum cum venissent, constiterunt. Quo facto vobis indicatur, virtute nominis ductas esse: haud aliter quam prius populus ex eo numero qui ex Ægypto est egressus, reliquus, per eum qui nomen IESV recepit, cum antea Auses (seu Osee) vocatus fuisset, in terrã est deductus. Atque equidem cum hæc, & omnia eiuscemodi inopinabilia & admiranda in oculis vestris, suo quæque tempore sint facta: reprehendimini tamen a prophetis in tantum, vt etiam vestros ipsi liberos dæmonibus immolasse arguamini: & insuper tanta quoq; committere ausi estis in CHRISTVM, atq; etiamnum audetis. De quibus omnibus vobis gratiam & misericordiam a Deo & CHRISTO eius consequutis, salutem contingere optamus. Nam per sacrum vatem Esaiam, Deus hæc vos facturos esse præuidens, eiusmodi est diris exsecratus: *Væ animæ ipsorũm. Consilium malum inierunt aduersus seipsos, dicentes: Vinciamus iustum, quia incommodus est nobis. Itaque fructum manuum suarum comedent. Væ iniquo: mala, iuxta opera manuum suarum, euenient ei. Popule meus, exactores vestri tamquam spicas colligunt vos, & postulatores dominantur vobis. Popule meus, qui beatos dicunt vos, seducunt vos, & semitam viarum vestrarum perturbant. Sed nunc sistet in iudicio populum suum: & ipse Dominus in iudicium veniet, cum senioribus populi, & principibus ipsius: Vos autem cur incendistis vineam meam, & rapina pauperis in domibus vestris? Cur vos iniuria affligitis populum meum, & faciem humilium rubore afficitis?* Et alio item loco idem propheta in eandem sententiã dixit: *Væ qui trahunt peccata sua tamquam funiculo longo, & veluti iugi vitulæ loro iniquitates; dicentes; (celeritas eius appropinquet, & veniat consilium Sancti Israelis, vt sciamus. Væ qui dicunt bonum malum, & malum bonum: qui ponunt lucem tenebras, & tenebras lucem: qui ponunt amarum dulce, & dulce amarum. Væ qui intelligentes sunt in seipsis, & coram ipsis scientes. Væ qui potentes sunt inter vos vini potores, violenti, & miscentes siceram: iustificantes impiũ propter sordes munerum, & ius iusti tollentes. Quapropter sicuti stipula comburitur a carbone ignis, simul quoque comburentur a flamma ardente. Radix vti fauilla erit, & flos eorum tamquam puluis ascendet. Legem enim Domini Zebaoth noluerunt, sed eloquium Domini Sancti Israelis pronocauerunt. Et furore iratus est Dominus Zebaoth; & iniecit manus in ipsos, & per-*

καὶ βούλεται ὁ Θεὸς ἀπενεχθῆναι αὐτὴν ὅθεν ἐλήφθη. καὶ πραξάντων τούτων, αἱ δαμάλεις ὑπὸ μηδενὸς ὁδηγούμεναι ἀνθρώπων, οὐκ ἦλθον μὲν εἰς τὸν τόπον ὅπουθεν εἰλήπτο ἡ σκηνή, ἀλλ' εἰς χωρίον τινὸς ἀνδρὸς καλουμένου Αὐσῆ, ὁμωνύμου ἐκείνου τοῦ μετονομασθέντος τῷ Ἰησοῦ ὀνόματι, ὡς προλέλεκται, ὃς καὶ εἰσήγαγε τὸν λαὸν εἰς τὴν γῆν, καὶ κατεκληροδότησεν αὐτοῖς αὐτήν· εἰς ὃ χωρίον ἐλθοῦσαι, μεμενήκασι, δεικνυμένου ὑμῖν καὶ διὰ τούτων, ὅτι τῷ τῆς δυνάμεως ὀνόματι ὡδηγήθησαν, ὡς πρότερον ὁ περιλειφθεὶς λαὸς ἀπὸ τῶν ἀπ' Αἰγύπτου ἐξελθόντων, διὰ τοῦ λαβόντος τὸ Ἰησοῦ ὄνομα, Αὐσῆ πρότερον καλουμένου, εἰς τὴν γῆν ὡδηγήθη. Καὶ τούτων, καὶ πάντων τῶν τοιούτων παραδόξων καὶ θαυμαστῶν ὑμῖν γινομένων τε καὶ ὁρωμένων, κατὰ καιροὺς ἐλέγχεσθε καὶ διὰ τῶν προφητῶν, μέχρι τοῦ καὶ τὰ ἑαυτῶν τέκνα τεθυκέναι τοῖς δαιμονίοις· καὶ ἐπὶ τούτοις πᾶσι τοιαῦτα τετολμηκέναι εἰς τὸν Χριστόν, καὶ ἔτι τολμᾶν· ἐφ' οἷς πᾶσι γένοιτο ὑμῖν, ἔλεος παρὰ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ λαβοῦσι, σωθῆναι. Διὰ γὰρ τοῦ προφήτου Ἡσαΐου προεπιστάμενος ὁ Θεὸς ταῦτα μέλλειν ὑμᾶς ποιεῖν, κατηράσατο οὕτως· Οὐαὶ τῇ ψυχῇ αὐτῶν· βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες, Δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστι. τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, συμβήσεται αὐτῷ. Λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύσουσιν ὑμῶν. λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ὁδῶν ὑμῶν ταράσσουσιν. ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν τὸν λαὸν αὐτοῦ, καὶ αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ τῶν ἀρχόντων αὐτοῦ· Ὑμεῖς δέ, τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; ὑμεῖς τί ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν ταπεινῶν καταισχύνατε;· καὶ ἐν ἑτέροις πάλιν λόγοις ὁ αὐτὸς προφήτης εἰς τὸ αὐτὸ εἶπεν· Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, ὡς ἐν σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας· οἱ λέγοντες, Τὸ τάχος αὐτοῦ ἐγγισάτω, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν. Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται, καὶ οἱ κιρνῶντες τὸ σίκερα· οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρός, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς καιομένης, ἡ ῥίζα ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται. οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου σαβαώθ, ἀλλὰ τὸ λόγιον Κυρίου τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν· καὶ ἐθυμώθη ὀργῇ Κύριος σαβαώθ, καὶ ἐπέβαλε τὰς χεῖρας ἐπ' αὐτούς, καὶ

ἐπάτα

„ ἐπάταξεν αὐτούς, καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ „ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ἐν μέσῳ ὡς κοπρία ὁ„ δοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφησαν, ἀλλ' ἔτι „ ἡ χεὶρ αὐτῶν ὑψηλή. ἔτι γὰρ ἀληθῶς ἡ χεὶρ ὑμῶν πρὸς κακοποιίαν ὑψηλή, ὅτι καὶ τὸν Χριστὸν ἀποκτείναντες, οὐδ' οὕτως μετανοεῖτε, ἀλλὰ καὶ ἡμᾶς τοὺς πιστεύοντας δι' αὐτοῦ τῷ Θεῷ καὶ πατρὶ τῶν ὅλων, μισεῖτε καὶ φονεύετε, ὁσάκις ἂν λάβητε ἐξου-
124 σίαν· ἀδιαλείπτως δὲ καταρᾶσθε αὐτῷ τε ἐκείνῳ, καὶ τοῖς ἀπ' αὐτοῦ, πάντων ἡμῶν εὐχομένων ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ πάντων ἁπλῶς ἀνθρώπων, ὡς ὑπὸ τοῦ Χριστοῦ ἡμῶν καὶ Κυρίου ποιεῖν ἐδιδάχθημεν, παρεγγείλαντος ἡμῖν εὔχεσθαι καὶ ὑπὲρ τῶν ἐχθρῶν, καὶ ἀγαπᾶν τοὺς μισοῦντας, καὶ εὐλογεῖν τοὺς καταρωμένους. εἰ οὖν καὶ ὑμᾶς δυσωπεῖ τά τε τῶν προφητῶν διδάγματα, καὶ τὰ ἐκείνου αὐτοῦ, βέλτιόν ἐστιν ὑμᾶς τῷ Θεῷ ἕπεσθαι ἢ τοῖς ἀσυνέτοις καὶ τυφλοῖς διδασκάλοις ὑμῶν, οἵτινες καὶ μέχρι νῦν καὶ τέσσαρας καὶ πέντε ἔχειν ὑμᾶς γυναῖκας ἕκαστον συγχωροῦσι· καὶ ἐὰν εὔμορφόν τις ἰδὼν ἐπιθυμήσῃ αὐτῆς, τὰς Ἰακὼβ τοῦ Ἰσραὴλ, καὶ τῶν ἄλλων πατριαρχῶν πράξεις ἀνιστοροῦντες, καὶ μηδὲν ἀδικεῖν λέγοντες τοὺς τὰ ὅμοια πράττοντας· τάλανες καὶ ἀνόητοι καὶ κατὰ τοῦτο ὄντες. ὡς προέφην γὰρ, οἰκονομίαι τινὲς μεγάλων μυστηρίων ἐν ἑκάστῃ τινὶ τοιαύτῃ πράξει ἀπετελοῦντο. ἐν γὰρ τοῖς γάμοις τοῦ Ἰακὼβ, τίς οἰκονομία καὶ προκήρυξις ἀπετελεῖτο, ἐρῶ, ὅπως καὶ ἐν τούτοις ἐπιγνῶτε ὅτι οὐδὲν πρὸς τὸ θειωδέστερον δι' ὃ ἑκάστη πρᾶξις γέγονεν, ἀπεῖδον ὑμῶν ἀεὶ οἱ διδάσκαλοι, ἀλλὰ πρὸς τὰ χαμαιπετῆ, καὶ τὰ διαφθορᾶς μᾶλλον πάθη. προσέχετε τοιγαροῦν οἷς λέγω. τῆς ὑπὸ τοῦ Χριστοῦ μελλούσης ἀπαρτίζεσθαι πράξεως τύποι ἦσαν οἱ γάμοι τοῦ Ἰακώβ. δύο γὰρ ἀδελφὰς κατὰ τὸ αὐτὸ οὐ θεμιτὸν γαμῆσαι τὸν Ἰακώβ· καὶ δουλεύει δὲ τῷ Λάβαν ὑπὲρ τῶν θυγατέρων· καὶ ψευσθεὶς ἐπὶ τῇ νεωτέρᾳ, πάλιν ἐδούλευσεν ἑπτὰ ἔτη. ἀλλὰ Λεία μὲν, ὁ λαὸς ὑμῶν καὶ ἡ συναγωγή· Ῥαχὴλ δὲ, ἡ ἐκκλησία ἡμῶν. καὶ ὑπὲρ τούτων δουλεύει μέχρι νῦν ὁ Χριστὸς, καὶ τῶν ἐν ἀμφοτέραις δούλων. ἐπεὶ γὰρ τοῖς δυσὶν υἱοῖς τὸ τρίτου σπέρμα εἰς δουλείαν ὁ Νῶε ἔδωκε, νῦν πάλιν εἰς ἀποκατάστασιν ἀμφοτέρων τε τῶν ἐλευθέρων τέκνων, καὶ τῶν ἐν αὐτοῖς δούλων, Χριστὸς ἐλήλυθε, τῶν αὐτῶν πάντας καταξιῶν τοὺς φυλάσσοντας τὰς ἐντολὰς αὐτοῦ. ὃν τρόπον καὶ οἱ ἀπὸ τῶν ἐλευθέρων, καὶ οἱ ἀπὸ τῶν δούλων γενόμενοι τῷ Ἰακὼβ, πάντες υἱοὶ καὶ ὁμότιμοι γεγόνασι. κατὰ δὲ τὴν τάξιν, καὶ κατὰ τὴν πρόγνωσιν, ὁποῖος ἕκαστος ἔσται προλέλεκται. ἐδούλευσεν Ἰακὼβ τῷ Λάβαν ὑπὲρ τῶν ῥαντῶν καὶ πολυμόρφων θρεμμάτων· ἐδούλευσε καὶ τὴν μέχρι σταυροῦ δουλείαν ὁ Χριστὸς ὑπὲρ τῶν ἐκ παντὸς γένους ποικίλων καὶ πολυειδῶν ἀνθρώπων, δι' αἵματος

cussit eos. & concitatus est in montes: & facta sunt morticina eorum in medio, quasi stercus viæ. Atque in omnibus his non sunt auersi, verũ adhuc manus eorum excelsa. Etiamnum enim manus vestra ad male agendum sublimis est: quod cum CHRISTVM quoque necaueritis ne sic quidem pœnitentia ducamini. Quin & nos, per illum Deo & Patri rerum vniuersarum credentes, odio prosequimini, & occiditis, quotiescumque potestis. sine intermissione autem diris execramini & ipsum, & eos qui nomine eius censentur: nobis contra omnibus, pro vobis & cunctis plane hominibus, beneprecantibus atque orantibus, prout a CHRISTO & Domino nostro sumus eruditi: qui nobis præcepit, vt cum pro inimicis supplicemus, tum osores nostros amemus, atque maledicentibus benedicamus. Proinde si vos quoque & prophetarum, & illius ipsius doctrina, religione quapiam mouet, melius fuerit, Deum vos quam insipientes & cæcos Rabinos vestros sequi: qui sine ad hunc vsque diem, & quatuor & quinque vestrum quemque vxores habere permittunt: & si quis venustam inspiciens, eam expetiuerit, cum Iacobi Israelis & aliorum patriarcharum facta commemorant, tum nihil iniqui agere similia facientes asseuerant: quo quidem etiam miseri & stulti sunt nomine. Nam (sicuti prius dixi) magnorum sacramentorum œconomiæ & dispositiones, in quolibet eius generis facto, sunt celebratæ. Atque in coniugiis Iacobi, quæ dispositio & prænunciatio sit facta, dicam: vt inde etiam intelligatis, quam nihil ad sublimius & diuinius quidquam, cuius gratia actio quælibet instituta est, sed ad humi tantum repẽtes & concupiscentiæ corruptelæque obnoxias affectiones, Doctores semper vestri respexerint. Itaque ad ea quæ dicam, animum aduertite. Connubia Iacobi, rei per CHRISTVM perficiendæ figuræ erãt. Duas sane sorores, vxores eodem tempore ducere Iacobo fas non fuit. Et ille apud Labanum seruitutem seruit pro filiabus ipsius: ac fraude deceptus in iuniore, alterum quoque septennium seruit. Sed enim Lia populus vester est, & synagoga: Rachel, Ecclesia nostra. Ac CHRISTVS hucusque etiam harum, & quæ vtriusque sunt seruarum gratia, seruit. Quandoquidem enim duobus filiis, tertii semen in seruitutem dederat Noe: rursum nunc vtrorumque, & liberorũ, & qui inter eos sũt seruorũ filiorũ, restituẽdorũ causa, aduenit CHRISTVS: eodẽ loco habẽs omnes præcepta sua seruantes, quẽadmodum & qui Iacobo tũ ex liberis, tũ ex seruis progeniti sunt filii, omnes eodẽ iure & honore fuere. Iuxta ordinẽ autẽ, & iuxta prænotionẽ qualis quisq; futurus fuerat, prædictũ est. Seruiit Iacob Labano pro maculosis & variis pecoribus: seruiit quoq; seruitutẽ ad crucẽ vsq; CHRISTVS, pro variis & multiformibus omnis generis hominibus, sanguine

& sacramento crucis eos asserens. Liæ infirmi erant oculi. nam & animorum vestrorum hebetes admodũ sunt oculi. Surripuit Rachel deos Labano, eosque abscondit in hodiernum vsque diem: nobis quoque periere patrii & factitii dii. Per tẽpus omne fratris odium pertulit Iacob: & nos nunc, & ipse Dominus noster, vestro & aliorũ omnium hominum, cum quidẽ omnes inter nos natura fratres simus, obnoxii sumus odio. *Israel* cognominatus est Iacob: *Israelem* quoque probatum est CHRISTVM esse, qui simul & est, & vocatur IESVS. Et quando Scriptura ait: *Ego Dominus Deus Sanctus Israelis; qui ostendit Israelem regem vestrum*: annon vere CHRISTVM sempiternum regem exauditis? Nam Iacobũ, filium Isaaci, numquam regem fuisse scitis. quocirca Scriptura rursum explicans nobis, quemnã regem Iacobum & Israelem designet, ita inquit: *Iacob seruus meus; suscipiam eum: & Israel electus meus; complectetur eum anima mea. Dedi Spiritum meum super eum; & iudicium gentibus proferet. Non clamabit, non audietur foris vox eius. Arundinem comminutam non confringet, & linum fumigãs non extinguet, donec victoriam proferat. Iudicium recipiet, & non comminuetur, quoad posuerit in terra iudicium. Et in nomine ipsius gentes sperabunt.* Num igitur in Iacobum patriarcham, qui ex gentibus sunt, sperant, & non in Christum, & vos adeo ipsi? Sic ergo loquitur, vt CHRISTVM Iacobum & Israelem dicat. Et nos ex ventre CHRISTI recisi, verum Israeliticum genus sumus. Sed in dictum illud potius animos intendamus: *Et educam*, inquit, *illud de Iacobo semen, & de Iuda: & hereditate capiet montem sanctũ meum. Et hereditatem eam adibunt electi mei, & serui mei, & habitabunt illic, & erunt in silua caula gregum: & vallis Achor in requiem armentorum populo, qui quæsierunt me. Vos autem qui derelinquitis me, & obliuiscimini montis sancti mei, & paratis dæmoniis mensam, & impletis dæmoni temperationem. Ego tradam vos in gladium: Omnes occidione cadetis: quoniam vocaui vos, & non obaudistis, & malum fecistis coram me, & quæ nolebam elegistis.* Verba Scripturæ sic habent. Intelligitis vero & ipsi, aliud quoddam esse semen Iacobi, quod nunc dicitur, ne quispiam de populo hic [vestro] dici existimet. Non enim eis qui ex Iacobo progeniti sunt, possunt hæreditatem aduentitiam illi qui ex Iacobo sati non sunt, relinquere: neque qui populo exprobrat, hæreditate indignum esse, tamquam rursum susceptis eisdem illam pollicetur. Sed quo modo propheta illic ait: *Et nunc tu domus Iacobi, venite & ambulemus in luce Domini. dimisit enim populum suum, domum Iacobi: quia repleta est, vt ab initio, terra eorum diuinationibus & vaticiniis:*

καὶ μυστηρίῳ τοῦ σταυροῦ κτησάμενος αὐτούς. Λείας ἀσθενεῖς ἦσαν οἱ ὀφθαλμοί· καὶ γὰρ ὑμῶν σφόδρα οἱ τῆς ψυχῆς ὀφθαλμοί. ἔκλεψε Ραχὴλ τοὺς θεοὺς Λάβαν, καὶ κατέκρυψεν αὐτοὺς ἕως τῆς σήμερον ἡμέρας· καὶ ἡμῖν ἀπολώλασιν οἱ πατρικοὶ καὶ ὑλικοὶ θεοί. τὸν χρόνον πάντα ἐμισεῖτο ὑπὸ τοῦ ἀδελφοῦ ὁ Ἰακώβ· καὶ ἡμεῖς νῦν, καὶ αὐτὸς ὁ Κύριος ἡμῶν, μισεῖται ὑφ᾽ ὑμῶν, καὶ ὑπὸ τῶν ἄλλων ἁπλῶς ἀνθρώπων, ὄντων πάντων τῇ φύσει ἀδελφῶν. Ἰσραὴλ ἐπεκλήθη Ἰακώβ· καὶ Ἰσραὴλ καὶ ὁ Χριστὸς ἀποδέδεικται, ὁ ὢν καὶ καλούμενος Ἰησοῦς. καὶ ὅταν ἡ γραφὴ λέγῃ, Ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἅγιος Ἰσραήλ, ὁ καταδείξας Ἰσραὴλ βασιλέα ὑμῶν: οὐχὶ ἀληθῶς τὸν Χριστὸν τὸν αἰώνιον βασιλέα ἀκούσεσθε; καὶ Ἰακὼβ γὰρ ὁ τοῦ Ἰσαὰκ υἱὸς, ὅτι οὐδέποτε βασιλεὺς γέγονεν, ἐπίστασθε. καὶ διατοῦτο ἡ γραφὴ πάλιν ἐξηγουμένη ἡμῖν τίνα λέγει βασιλέα Ἰακὼβ καὶ Ἰσραήλ, οὕτως ἔφη, Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· καὶ Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσδέξεται αὐτὸν ἡ ψυχή μου. δέδωκα τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν· καὶ κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. οὐ κεκράξεται, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλαμον τεθραυσμένον οὐ συντρίψει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως οὗ νῖκος ἐξοίσει· κρίσιν ἀναλήψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐλπιοῦσιν 125 ἔθνη:- Μήτι οὖν ἐπὶ τὸν Ἰακὼβ τὸν πατριάρχην οἱ ἀπὸ τῶν ἐθνῶν ἐλπίζουσιν, ἀλλ᾽ οὐκ ἐπὶ τὸν Χριστὸν, καὶ ὑμεῖς δὲ αὐτοί; ὡς οὖν Ἰσραὴλ τὸν Χριστὸν, καὶ Ἰακὼβ οὕτως λέγει· καὶ ἡμεῖς ἐκ τῆς κοιλίας τοῦ Χριστοῦ λατομηθέντες, Ἰσραηλιτικὸν τὸ ἀληθινόν ἐσμεν γένος. αὐτῷ δὲ μᾶλλον τῷ ῥητῷ προσέχωμεν. Καὶ ἐξάξω, φησὶ, τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ ἐξ Ἰούδα· καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου, καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου, καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ· καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων, καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ οἳ ἐζήτησάν με. ὑμεῖς δὲ οἱ ἐγκαταλείποντές με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τοῖς δαιμονίοις τράπεζαν, καὶ πληροῦντες τῷ δαίμονι κέρασμα, ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν. πάντες σφαγῇ πεσεῖσθε. ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐνώπιόν μου, καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε:. Καὶ τὰ μὲν τῆς γραφῆς ταῦτα· συννοεῖτε δὲ καὶ αὐτοὶ, ὅτι ἄλλο τί ἐστι τὸ ἐξ Ἰακὼβ σπέρμα νῦν λεγόμενον, οὐχ ὡς οἰηθείη τις ἂν περὶ τοῦ λαοῦ λέγεσθαι. οὐ γὰρ ἐνδέχεται τοῖς ἐξ Ἰακὼβ γεγεννημένοις ἀπολιπεῖν ἐπείσαξιν τοὺς ἐξ Ἰακὼβ σπαρέντας, οὐδὲ ὀνειδίζοντα τῷ λαῷ, ὡς μὴ ἀξίῳ τῆς κληρονομίας, πάλιν ὡς ὑπολαβόμενος τοῖς αὐτοῖς ὑπισχνεῖσθαι· ἀλλ᾽ ὃν περ τρόπον ἐκεῖ φησὶν ὁ προφήτης, Καὶ νῦν σὺ οἶκος τοῦ Ἰακὼβ, δεῦρο καὶ πορευθῶμεν ἐν φωτὶ Κυρίου· ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον Ἰακὼβ, ὅτι ἐπλήσθη ἡ χώρα αὐτῶν, ὡς τὸ ἀπαρχῆς, μαντειῶν καὶ κληδονισμῶν:-

οὕτω

οὕτω καὶ ἐνθάδε δεῖ νοεῖν ἡμᾶς δύο σπέρματα Ἰούδα, καὶ δύο γένη, ὡς δύο οἴκους Ἰακώβ· τὸν μὲν, ἐξ αἵματος καὶ σαρκός· τὸν δὲ, ἐκ πίστεως καὶ πνεύματος γεγεννημένον. ὁρᾶτε γὰρ ὡς πρὸς τὸν λαὸν νῦν
" λέγει, ἀνωτέρω εἰπών, Ὃν τρόπον εὑρεθήσεται ῥὰξ ἐν
" βότρυι, καὶ ἐροῦσι, Μὴ λυμήνῃ αὐτὸν, ὅτι εὐλο-
" γία ἐν αὐτῷ ἐστίν· οὕτω ποιήσω ἕνεκεν τοῦ δουλεύον-
" τός μοι· τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας:· καὶ
" μετὰ τοῦτο ἐπιφέρει, Καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ, καὶ
" ἐξ Ἰούδα:· Δῆλον οὖν εἰ ἐκείνοις οὕτως ὀργίζεται, καὶ ὀλιγοστοὺς καταλείψειν ἀπειλεῖ, ἄλλους τινὰς ἐξάξειν ἐπαγγέλλεται, οἳ κατοικήσουσιν ἐν τῷ ὄρει αὐτοῦ. οὗτοι δέ εἰσιν οὓς εἶπε σπερεῖν καὶ γεννήσειν. ὑμεῖς γὰρ οὔτε καλοῦντος αὐτοῦ ἀνέχεσθε, οὔτε λαλοῦντος ἀκούετε, ἀλλὰ καὶ τὸ πονηρὸν ἐποιήσατε ἐνώπιον Κυρίου. τὸ δὲ ὑπερβάλλον ὑμῶν τῆς κακίας τὸ καὶ μισεῖν, ἐφονεύσατε δίκαιον, καὶ τοὺς ἀπ' αὐτοῦ λαβόντας εἶναι ὅπερ εἰσὶν, εὐσεβεῖς καὶ δίκαιοι, καὶ
" φιλάνθρωποι. τοιγαροῦν, Οὐαὶ τῇ ψυχῇ αὐτῶν,
" λέγει Κύριος· διὸ βεβούλευνται βουλὴν πονηρὰν
" καθ' ἑαυτῶν, εἰπόντες, Ἄρωμεν τὸν δίκαιον, ὅτι
" δύσχρηστος ἡμῖν ἐστιν:· οὐ γὰρ καὶ ὑμεῖς τῇ Βάαλ ἐθύετε, ὡς οἱ πατέρες ὑμῶν, οὐδὲ ἐν συσκίοις ἢ μετεώροις τόποις πέμματα ἐποιεῖτε τῇ στρατιᾷ τοῦ οὐρανοῦ· ἀλλ' ὅτι οὐκ ἐδέξασθε τὸν Χριστὸν αὐτοῦ. ὁ γὰρ τοῦτον ἀγνοῶν, ἀγνοεῖ καὶ τὴν βουλὴν τοῦ Θεοῦ· καὶ ὁ τοῦτον ὑβρίζων καὶ μισῶν, καὶ τὸν πέμψαντα δηλονότι καὶ μισεῖ καὶ ὑβρίζει· καὶ εἰ οὐ πιστεύει τις εἰς αὐτὸν, οὐ πιστεύει τοῖς τῶν προφητῶν κηρύγμασι τοῖς αὐτὸν εὐαγγελισαμένοις, καὶ κηρύξασιν εἰς πάντας. μὴ δὴ, ὦ ἀδελφοὶ, κακόν τι εἴπητε εἰς ἐκεῖνον τὸν ἐσταυρωμένον, μηδὲ χλευάσητε αὐτοῦ τοὺς μώλωπας οἷς ἰαθῆναι πᾶσι δυνατὸν, ὡς καὶ ἡμεῖς ἰάθημεν. καλὸν γὰρ, ἂν πεισθέντες τοῖς λόγοις περιτμηθῆτε τὴν σκληροκαρδίαν, ἣν οὐχὶ δι' ὑμῶν ἐγγινομένην γνώμην ἔχετε· ἐπειδὴ εἰς σημεῖον ἦν δεδομένη, ἀλλ' οὐκ εἰς δικαιοπραξίας ἔργον, οἱ λόγοι ἀναγκάζουσι. συμφάμενοι οὖν μὴ λοιδορῆ-
126 τε ἐπὶ τὸν υἱὸν τοῦ Θεοῦ, μηδὲ Φαρισαίοις πειθόμενοι διδασκάλοις, τὸν βασιλέα τοῦ Ἰσραὴλ ἐπισκώψητέ ποτε· ὁποῖα διδάσκουσιν οἱ ἀρχισυνάγωγοι ὑμῶν μετὰ τὴν προσευχήν· εἰ γὰρ ὁ ἁπτόμενος τῶν [μὴ] εὐαρέστων τῷ Θεῷ, ὡς ὁ ἁπτόμενος κόρης τοῦ Θεοῦ, πολὺ μᾶλλον ὁ τοῦ ἠγαπημένου καθαπτόμενος. ὅτι δὲ οὗτος αὐτός ἐστι, καὶ ἱκανῶς ἀποδέδεικται. Καὶ σιγώντων αὐτῶν, εἶπον, Ἐγὼ ὦ φίλοι, καὶ τὰς γραφὰς λέγω νῦν ὡς ἐξηγήσαντο οἱ ἑβδομήκοντα· εἰπὼν γὰρ αὐτὰς πρότερον ὡς ὑμεῖς αὐτὰς ἔχετε, πεῖραν ὑμῶν ἐποιούμην, πῶς διάκεισθε ἤδη τὴν γνώμην.
" λέγων γὰρ τὴν γραφὴν ἣ λέγει, Οὐαὶ αὐτοῖς, ὅτι
" βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰ-
" πόντες:· ὡς ἐξηγήσαντο οἱ ἑβδομήκοντα, ἐπήνεγκα,

eodem modo & hic nos oportet duo semina Iudæ, & duo genera intelligere, sicuti duas domos Iacobi:alteram,ex sanguine & carne;alteram,ex fide & spiritu prognatam. Videtis enim quomodo nunc alloquatur populum,cum paulo ante dixisset: *Sicut inuenietur acinus vna in botro, & dicent: Ne laseris illum, quia benedictio in ipso est: sic faciam propter eum qui seruit mihi.eius gratia non perdam omnes.* ac deinde infert hoc: *Et educam illud de Iacobo semen, & de Iuda.* Satis ergo patet, si illis ita irascitur, & quampaucissimos se relicturum comminatur: quod alios quosdam educturus sit, eum annunciare; qui habitaturi sint in monte eius Sũt autem illi,quos se saturum & generaturum dixit. Vos enim neque vocantem eum sustinetis, neque loquentem auditis. Sed & malum fecistis coram Domino.Exuberantia vero vestræ prauitatis est, quod & oderitis & interemeritis iustum illum,& eos qui illi acceptum ferũt quod sunt pii,iusti,& humani. Itaque *Væ anima ipsorum; dicit Dominus; eo quod consilium malum ceperunt aduersus seipsos,dicentes: Tollamus iustum; quoniam incommodus est nobis.* Non vos quidem sacrificastis statuæ Baalis, vt patres vestri; neq; in lucis & excelsis locis bellaria & cupedias proposuistis militiæ cęli;sed CHRISTVM Dei non suscepistis. Hunc namque qui ignorant,consilium& voluntatem Dei ignorant:& qui hunc cõtumelia afficit & odit, nimirum & illum contumelia afficit &odit,qui eum misit:& siquis in hunc non credit, non credit Prophetarum præconiis, qui ipsum læte annunciarunt & deprædicarunt vniuersis. Quod vos,o fratres, moneo, ne quid mali dixeritis in crucifixum illum,neque riseritis vibices eius: quibus sanari possunt omnes,sicut & nos sanati sumus.Bonũ fuerit,si oratione nostra persuasi,duriciã cordis circumcidamini: quam circumcisionẽ certe,vt opinamini,non obtinetis:quoniã ista vestra in signum data est, & non ad iusticiæ peragendæ opus: pro eo atq; verba ipsa hoc sic accipere cogunt. Itaq; conuenientes, & colloquentes,ne conuiciis incesseritis Filium Dei, neque Pharisæis Rabinis morẽ gerẽtes, regem Israelis vmquã scommatibus proscideritis: quemadmodũ archisynagogi principesq; conuenticulorum vestrorum post peractas preces docent.Nam siquis eorum aliquem attingat qui Deo placiti sunt,perinde habet atque si pupillam oculi Dei attigisset: quanto magis qui dilectum illum tangit? Hunc autem illum ipsum esse, abunde satis demonstratum est. Ac illis tacentibus: Ego, amici, inquam, Scripturas nunc allego,ita vti sunt a Septuaginta versæ.Quod enim prius,sicut ipsi eas habetis,protuli,periclitãdi vestri gratia id feci,quęnam animorum vestrorum esset sententia.Recitans enim locum,in quo est: *Va ipsis,quia consiliũ malum ceperunt aduersus seipsos;dicẽtes,* sicuti Septuaginta exposuerũt,intuli:

Tollamus iustum; quia incommodus est nobis: cum ab initio colloquii id quod vos dictū voluistis retulerim, *dicentes*: *Vinciamus iustum; quia inutilis est nobis*. Et alia vero quædā fecistis. Ac non negligenter me disserentem audisse videmini. Sed cum nunc quoque dies iam finem habiturus sit, (ad occasum namque sol est) vno ad ea quæ cōmemorata sunt, adiecto, cōquiescam. Eius vero ipsius inter ea quæ dicta sunt, mentio quoque est a me facta. Verum id denuo vt magis expoliam & explicem, æquum mihi esse videtur. Nostis igitur, o viri, dixi, in Esaia a Deo ad Hierusalem dictum esse: *Quoniam in diluuio Noe seruaui te*. Illud autem est quod Deus dixit, saluandorum hominum sacramentum in diluuio fuisse. Iustus enim Noe, cum aliis hominibus in diluuio, id est cum vxore sua, & tribus filiis, tribusque filiorū coniugibus; qui numero octo omnes fuere, symbolum obtinuere diei, octaui quidem numero, in quo apparuit CHRISTVS noster, vbi a mortuis resurrexit; virtute autem sine potentia semper primi. Nam CHRISTVS, cum Primogenitus esset omnis creaturæ, [& primogenitus ex mortuis, primitiæque dormiētium,] principium rursus alterius generis fuit, regenerati ab ipso per aquam, & fidē, & lignum, quod mysterium crucis obtinet, quemadmodum & Noe in ligno seruatus est; vna cum suis super aquis inuectus. Cum ergo Propheta dicit, *In Noe seruaui te*: ad populum Deo itidem fidelē, & signa hæc habētem, loquitur. nam virgam in manibus quoque tenens Moses, per mare populum vestrum duxit. Vos autem opinamini, ad genus tātummodo vestrum aut terram loquutum esse. Omnem enim terram Sanctæ litteræ testantur diluuio contectam fuisse, & aquam supra montes omnes quindecim cubitos extitisse. Proinde apparet, Deum non cū terra, sed cum populo sibi obœdiēti loquutum esse: cui etiam requiem præparauit in Hierusalem; prout per omnia diluuii symbola præmonstratum est. Dixi autem deinceps, per aquam, & fidem, & lignum, eos qui se præparant & pœnitentiam de peccatis agunt, effugituros esse futurum Dei iudicium. Aliud etiam, inquam, sacramentum in Noe celebratum esse, prænunciatū est; quod vos nescitis. Est autem id in benedictionibus quibus bene precatus est Noe duobus filiis suis, & filium filii sui diris exsecrationibus est persequutus. filium nāq; vna cum reliquis duobus benedictione a Deo auctum, Spiritus propheticus exsecraturus non erat. Quia vero per omne filii eius qui nuditatem ipsius riserat, genus, peccati mulcta itura fuerat, a filio [eius Chanaano] initiū maledictionis fecit. In verbis autē quæ loquutus est, prędixit, qđ qui a Semo prouēturi erāt, occupaturi fuerint possessiones & domicilia Chanaani: ac rursū qui a Iaphetho nascituri

Ἄρωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν· ἐμοῦ ἐν ἀρχῇ τῆς ὁμιλίας, καὶ εἰπόντος ὅπερ ὑμεῖς εἰρῆσθαι βούλεσθε, Εἰπόντες, Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. ἀλλὰ δὲ τινὰ ἐπράξατε, καὶ οὐ δοκεῖτέ μοι ἀνηκόως τῶν λόγων ἐπακηκοέναι. ἀλλ' ἐπεὶ καὶ νῦν ἤδη ἡ ἡμέρα πέρας ποιεῖσθαι μέλλει· πρὸς δυσμὰς γὰρ ἤδη ὁ ἥλιός ἐστι· καὶ ἓν ἔτι προσθεὶς τοῖς εἰρημένοις, παύσομαι· τοῦτο δ' αὐτὸ καὶ ἐν τοῖς εἰρημένοις μοι ἐρρήθη, ἀλλὰ πάλιν αὐτὸ ἐπεξεργάσασθαι δίκαιον εἶναί μοι δοκεῖ. γινώσκετε οὖν, ὦ ἄνδρες, ἔφην, ὅτι ἐν τῷ Ἡσαΐᾳ λέλεκται ὑπὸ τοῦ Θεοῦ πρὸς τὴν Ἱερουσαλήμ, ὅτι Ἐπὶ τοῦ κατακλυσμοῦ τοῦ Νῶε ἔσωσά σε. τοῦτο δέ ἐστιν ὃ ἔλεγεν ὁ Θεός, ὅτι τὸ μυστήριον τῶν σωζομένων ἀνθρώπων ἐπὶ τοῦ κατακλυσμοῦ γέγονεν. ὁ δίκαιος γὰρ Νῶε μετὰ τῶν ἄλλων ἀνθρώπων ἐπὶ τοῦ κατακλυσμοῦ, τουτέστι τῆς τε γυναικὸς τῆς αὐτοῦ, καὶ τῶν τριῶν τέκνων αὐτοῦ, καὶ τῶν γυναικῶν τῶν υἱῶν αὐτοῦ· οἵτινες ἀριθμῷ ὄντες ὀκτώ, σύμβολον εἶχον τῆς ἀριθμῷ μὲν ὀγδόης ἡμέρας ἐν ᾗ ἐφάνη ὁ Χριστὸς ἡμῶν ἀπὸ νεκρῶν ἀναστάς, δυνάμει δ' ἀεὶ πρώτης ὑπαρχούσης. ὁ γὰρ Χριστός, πρωτότοκος πάσης κτίσεως ὤν, καὶ ἀρχὴ πάλιν ἄλλου γένους γέγονεν τοῦ ἀναγεννηθέντος ὑπ' αὐτοῦ δι' ὕδατος καὶ πίστεως, καὶ ξύλου τοῦ τὸ μυστήριον τοῦ σταυροῦ ἔχοντος· ὃν τρόπον καὶ ὁ Νῶε ἐν ξύλῳ διεσώθη ἐποχούμενος τοῖς ὕδασι μετὰ τῶν ἰδίων. ὅταν οὖν εἴπῃ ὁ προφήτης, Ἐπὶ Νῶε ἔσωσά σε, ὡς προέφην, τῷ ὁμοίως πιστῷ λαῷ πρὸς Θεὸν ὄντι καὶ τὰ σύμβολα ταῦτα ἔχοντι λέγει. καὶ γὰρ ῥάβδον ἔχων ὁ Μωσῆς μετὰ χεῖρα, διὰ τῆς θαλάσσης διήγαγεν ὑμῶν τὸν λαόν. ὑμεῖς δὲ ὑπολαμβάνετε ὅτι τῷ γένει ὑμῶν μόνον ἔλεγεν, ἢ τῇ γῇ. ὅτι γὰρ πᾶσα ἡ γῆ, ὡς ἡ γραφὴ λέγει, κατεκλύσθη, καὶ ὑψώθη τὸ ὕδωρ ἐπάνω πάντων ὀρέων πήχεις δεκαπέντε· ὥστε οὐ τῇ γῇ φαίνεται εἰρηκώς, ἀλλὰ τῷ λαῷ τῷ πειθομένῳ αὐτῷ· ᾧ καὶ ἀνάπαυσιν προητοίμασεν ἐν Ἱερουσαλήμ, ὡς προαποδέδεικται διὰ πάντων τῶν ἐπὶ τοῦ κατακλυσμοῦ συμβόλων. εἶπον δέ, δι' ὕδατος, καὶ πίστεως, καὶ ξύλου οἱ προπαρασκευαζόμενοι, καὶ μετανοοῦντες ἐφ' οἷς ἥμαρτον, ἐκφεύξονται τὴν μέλλουσαν ἐπέρχεσθαι τοῦ Θεοῦ κρίσιν. καὶ γὰρ ἄλλο μυστήριον ἐπὶ τοῦ Νῶε προεφητεύθη τελούμενον, ὃ οὐκ ἐπίστασθε. ἔστι δὲ τοῦτο. ἐν ταῖς εὐλογίαις αἷς εὐλόγει ὁ Νῶε τοὺς δύο υἱοὺς αὐτοῦ, καὶ τὸν υἱὸν τοῦ υἱοῦ αὐτοῦ κατηρᾶτο. τὸν γὰρ υἱὸν εὐλογηθέντα ὑπὸ τοῦ Θεοῦ, τὸ προφητικὸν πνεῦμα καταρᾶσθαι οὐκ ἔμελλεν· ἀλλ' ἐπεὶ δι' ὅλου τοῦ γένους τοῦ ἐπιγελάσαντος τῇ γυμνώσει υἱοῦ αὐτοῦ, ἡ προστίμησις τοῦ ἁμαρτήματος εἶναι ἔμελλεν, ἀπὸ τοῦ υἱοῦ τὴν κατάραν πεποίηται. ἐν δὲ οἷς εἶπε, προέλεγεν ὅτι οἱ ἀπὸ Σὴθ γενησόμενοι, διακαθέξουσι τὰς κτήσεις καὶ οἰκήσεις τοῦ Χαναάν· καὶ πάλιν οἱ ἀπὸ τοῦ Ἰάφεθ,

αὐτοὺς ἂς διακατέχον παρὰ τῶν τοῦ Χαναὰν, οἱ ἀπὸ Σὴμ παραλαβόντες καὶ ἀπὸ τοῦ Ἰάφεθ, διακαθέξουσιν, ἀφελόμενοι τοὺς ἀπὸ Σὴμ γενομένους, 127 ὃν τρόπον ἀφαιρεθέντων αὐτοὶ τῶν υἱῶν Χαναὰν, αὐτοὶ διακατέσχον. καὶ ὅτι οὕτω γέγονεν ἀκούσατε· ὑμεῖς γὰρ οἱ ἀπὸ τοῦ Σὴμ κατάγοντες τὸ γένος, ἐπήλθετε κατὰ τὴν τοῦ Θεοῦ βουλὴν τῇ γῇ τῶν υἱῶν Χαναὰν, καὶ διακατέσχετε αὐτήν. καὶ ὅτι οἱ υἱοὶ Ἰάφεθ, κατὰ τὴν τοῦ Θεοῦ κρίσιν ἐπελθόντες καὶ αὐτοὶ ὑμῖν, ἀφείλοντο ὑμῶν τὴν γῆν, καὶ διακατέσχον αὐτὴν, φαίνεται. εἴρηται δὲ ταῦτα οὕτως· Ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος· καὶ εἶπεν, Ἐπικατάρατος Χαναὰν παῖς· οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. καὶ εἶπεν, Εὐλογητὸς Κύριος ὁ Θεὸς Σὴμ, καὶ ἔσται Χαναὰν παῖς αὐτοῦ. πλατύναι Κύριος τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις Σὴμ, καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ. Δύο οὖν λαῶν εὐλογηθέντων, τῶν ἀπὸ τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ· καὶ πρώτων κατασχεῖν τοὺς οἴκους τοῦ Χαναὰν ἐγνωσμένων τῶν ἀπὸ Σὴμ, καὶ πάλιν διαδέξασθαι παρ' αὐτῶν τὰς αὐτὰς κτήσεις τῶν ἀπὸ Ἰάφεθ προειρημένων, καὶ τοῖς δυσὶ λαοῖς τοῦ ἑνὸς λαοῦ τοῦ ἀπὸ Χαναὰν εἰς δουλείαν παραδοθέντος, ὁ Χριστὸς κατὰ τὴν τοῦ παντοκράτορος πατρὸς δύναμιν δοθεῖσαν αὐτῷ παρεγένετο, εἰς φιλίαν καὶ εὐλογίαν, καὶ μετάνοιαν καὶ συνοικίαν καλῶν, τὴν ἐν τῇ αὐτῇ γῇ τῶν ἁγίων πάντων μέλλουσαν γενέσθαι, ὡς προαποδέδεικται, διακατέχουσιν ἐπήγγελται. ὅθεν οἱ πάντοθεν ἄνθρωποι, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, πιστεύοντες ἐπὶ τὸν Χριστὸν, καὶ ἐγνωκότες τὴν ἐν τοῖς λόγοις αὐτοῦ καὶ τῶν προφητῶν αὐτοῦ ἀλήθειαν, ἐπίστανται ἅμα αὐτῷ ἐν τῇ γῇ ἐκείνῃ γενησόμενοι, καὶ τὰ αἰώνια καὶ ἄφθαρτα κληρονομήσειν· ὅθεν καὶ Ἰακὼβ, ὡς προεῖπον, τύπος ὢν καὶ αὐτὸς τοῦ Χριστοῦ, καὶ τὰς δύο δούλας τῶν δύο ἐλευθέρων αὐτοῦ γυναικῶν ἐγεγαμήκει, καὶ ἐξ αὐτῶν ἐτεκνώσεν υἱοὺς, εἰς τὸ προμηνυθῆναι ὅτι ὁ Χριστὸς προσλήψεται καὶ τοὺς ἐν γένει τοῦ Ἰάφεθ ὄντας ἀπὸ τοῦ Χαναὰν πάντας, ὁμοίως τοῖς ἐλευθέροις, καὶ τέκνα συγκληρονόμα ἕξει. ἅπερ ἡμεῖς ὄντες, συνιέναι ὑμεῖς οὐ δύνασθε, διὰ τὸ μὴ δύνασθαι ἀπὸ τῆς τοῦ Θεοῦ ζώσης πηγῆς πιεῖν, ἀλλὰ ἀπὸ τῶν συντετριμμένων λάκκων, καὶ ὕδωρ μὴ δυναμένων συνέχειν, ὡς ἡ γραφὴ λέγει. εἰσὶ δὲ λάκκοι συντετριμμένοι, καὶ ὕδωρ μὴ συνέχοντες, οὓς ὤρυξαν ὑμῖν οἱ διδάσκαλοι ὑμῶν αὐτῶν, ὡς καὶ ἡ γραφὴ διαῤῥήδην λέγει, Διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. καὶ πρὸς τούτοις ἑαυτοὺς καὶ ὑμᾶς βουκολοῦσιν, ὑπολαμβάνοντες ὅτι πάντως τοῖς ἀπὸ τῆς σπορᾶς τῆς κατὰ σάρκα τοῦ Ἀβραὰμ οὖσι, κἂν ἁμαρτωλοὶ ὦσι, καὶ ἄπιστοι, καὶ ἀπειθεῖς πρὸς τὸν Θεὸν, ἡ βασιλεία ἡ αἰώνιος δοθήσεται· ἅπερ ἀπέδειξαν αἱ γραφαὶ οὐκ ὄντα. ἢ γὰρ τοῦτ' οὐκ ἂν εἶπεν Ἠσαΐας·

nasciturі erant, ea quæ detinebant a Chanaanitis accepta posteri Semi, possessuri fuerint: itidem eis ipsis posteris Semi adépta, sicut hi a Chanaani progenie ablata detinuissent. Atq; hoc ita factum esse audite. Vos namq; genus a Semo deducẽtes, peruenistis, secundum consilium & volũtatem Dei, in terram filiorum Chanaani, & possedistis eã. Et quod prosapia Iaphethi, iuxta Dei iudicium, aduenerint, & terram ipsi quoque vestram occupauerint, eamque detinuerint, manifesto apparet. Dicta sunt autem ista hoc modo: *Euigilauit vero Noe a vino, & cognouit quæcumque sibi fecisset filius suus iunior; & dixit: Maledictus Chanaan seruus: famulus erit fratribus suoũ. Et ait: Benedictus Dominus Deus Semi; & erit Chanaan seruus eius. Dilatet Dominus Iaphethũ, & incolat domos Semi; & fiat Chanaã seruus eius.* Itaq; duob. populis benedictione auctis, q' a Semo & a Iaphetho puenerũt, cũ decretũ esset vt progenies Semi domos Chanaani primum obtineret; ac prædictum vt deinceps easdem possessiones ab illa posteritas Iaphethi exciperet: & duobus ita populis, vno populo a Chanaano descendẽte, in seruitutem tradito: CHRISTVS, iuxta omnipotentis Patris datam sibi potestatem, aduenit, ad amicitiam & benedictionem, ad pœnitentiam & vnius habitationis consuetudinem omnes vocans: ad possessionem videlicet in eadem terra sanctorum omnium, vt promissum atque præmonstratũ est, communem futuram. Hinc adeo vndequaque homines, siue serui siue liberi, credentes in CHRISTVM, & veritatem quæ in ipsius & prophetarũ eius oraculis est, cognitam habentes, sciũt cum illo se in terra ea futuros, & hæreditatem sempiternorum incorruptibiliumque bonorum adituros esse. Inde etiam Iacob, vt antea dixi, quod & ipse figura sit Christi, duas seruas liberarum coniugum suarum in matrimonium duxit, ex eisque filios suscepit: vt prænunciaret, CHRISTVM recepturum esse & sobolem Chanaani, quæ in genere Iaphethi est, omnem, & ex æquo iure cum liberis atque ingenuis pro filiis habiturum, & ad hæreditatem vocaturum. Qui cum nos simus, intelligere hoc propterea non potestis, quod ex fonte Dei viuo bibere nequitis; sed ex dissipatis cisternis, & aquam continere non valentibus aquamini, vt sacræ dicũt litteræ. Sunt autẽ cisternæ dissipatę, aquam nõ continẽtes, illæ quas vobis foderunt ipsi Rabini & magistri vestri, prout apertis verbis Scriptura ait: *Docentes doctrinas, mandata hominum.* qui insuper & seipsos & vos decipiunt, existimantes eis omnino qui ex satu, secundum carnem, Abrææ sunt, quamuis peccatoribus & infidelibus, & erga Deum immorigeris, regnum æternum datũ iri. quæ non consistere, sanctæ demonstrarunt litteræ. alioqui hoc Esaias nõ dixisset,

Et nisi Dominus Zebaoth reliquisset nobis semen, vt Sodoma & Gomorra facti essemus. Et Ezechiel; *Etiamsi Noe, & Iob, & Daniel depoposcerint filios aut filias, non dabuntur tamen eis.* Sed neque pater pro filio, neq; filius pro patre [pœnas dabit] verũ vnusquisque peccato suo interibit, & vnusquisq; sua ipsius iustitiæ operatione saluus erit. Ac rursus Esaias: *Videbunt membra præuaricatorum. vermis eorum non quiescet, & ignis eorum non exstinguetur: & erunt spectaculo omni carni.* Et ipse quoque Dominus noster, de eius qui illum misit, Patris & Dominatoris rerum cunctarum voluntate, non dixisset: *Venient ab occidente & oriente, & recumbent cum Abraamo, & Isaaco, & Iacobo in regno cælorum: filii vero regni, eiicientur in tenebras exteriores.* Porro quod non Dei culpa, qui prænoscuntur & futuri sunt iniqui, siue angeli siue mortales, mali sint; sed suapte pro se quisque culpa talis sit qualis esse appareat, superius etiam probaui. Verum vt ne vobis occasio & obtentus relinquatur dicendi, Oportuisse CHRISTVM crucifigi; aut etiam in genere vestro esse præuaricatores, nec id aliter fieri potuisse: anteuertens paucis dico, Deum, cum vellet angelos & homines consilium volũtatemque eius sequi, ipsos ita facere instituisse, vt per liberum arbitrium sui essent iuris & potestatis ad recte iusteque agendũ, ratione concessa; vt scirent a quo creati essent, & per quem constarent, cum antea nihil fuissent: ea lege, vt ab ipso iudicarẽtur, si præter rectam rationem quidquam facerent. Et per nos ipsos, angeli iuxta & homines, coarguemur maligne egisse, nisi mature pœnitentiam egerimus. Quod si verbum Dei præmonstrat, fore omnino vt angeli quidam & homines excrucientur, eo quod præscierit illos immutabiliter malos futuros, idipsum prædixit; nõ autem quod Deus eos tales fecerit. Quapropter si pœnitentiam egerint, omnes misericordiam a Deo consequi volentes, præstare id & assequi possunt; & beatos ipsos verbum prædicat, dicens: *Beatus cui non imputauerit Dominus peccatum.* Id autem est huiusmodi, quod quem pœnituerit commissorum delictorum, remissionem is illorũ sit consequuturus: non ita tamen sicuti vos seducitis vosmetipsos, & alii itidẽ vestri hac in re persimiles, qui dicũt, etiã si peccatores sint, nõ imputaturũ tamẽ eis esse Dominũ peccatũ; vt modo Deũ agnoscãt. Huius rei testimoniũ habemus, vnũ Dauidis, qui ei propter gloriationem suã accidit, lapsum. cuius peccatũ tũ demũ est remissum, cũ ita plorauit & lamentatus est, sicuti de eo est scriptũ. Verũenimuero si viro tãto nõ ãte est noxa remissa, quã pœnitẽtiã egit; ac tũ demũ, cũ tãtopere fleuit & res tãtas fecit magnus iste rex, & vnctus, & ꝓpheta: quã tãdẽ impuri isti & nullius mẽtis, cõploratiq; adeo homines, nisi lamẽtati fuerint, plãxerint, & pœni-

Καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν καὶ Γόμορρα ἐγενήθημεν· καὶ Ἰεζεκιὴλ ὅτι, Κἂν Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ ἐξαιτήσωνται υἱοὺς ἢ θυγατέρας, οὐ μὴ δοθῇ αὐτοῖς· ἀλλ' οὔτε πατὴρ ὑπὲρ υἱοῦ, οὔτε υἱὸς ὑπὲρ πατρὸς, ἀλλ' ἕκαστος τῇ ἁμαρτίᾳ αὐτοῦ ἀπολεῖται, καὶ ἕκαστος τῇ ἑαυτοῦ δικαιοπραξίᾳ σωθήσεται· καὶ πάλιν Ἡσαΐας, Ὄψονται τὰ κῶλα τῶν παραβεβηκότων· ὁ σκώληξ αὐτῶν οὐ παύσεται, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί· καὶ ὁ Κύριος ἡμῶν κατὰ τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν πατρὸς, καὶ δεσπότου τῶν ὅλων, οὐκ ἂν εἶπεν, Ἥξουσιν ἀπὸ δυσμῶν καὶ ἀνατολῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ τῆς βασιλείας, ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· Ἀλλὰ καὶ ὅτι οὐκ αἰτίᾳ τοῦ Θεοῦ οἱ προγινωσκόμενοι καὶ γενησόμενοι ἄδικοι, εἴτε ἄγγελοι εἴτε ἄνθρωποι γίνονται φαῦλοι, ἀλλὰ τῇ ἑαυτῶν ἕκαστος αἰτίᾳ τοιοῦτοί εἰσιν ὁποῖος ἕκαστος φανήσεται, ἀπέδειξα καὶ ἐν τοῖς ἔμπροσθεν. ἵνα 128
δὲ μὴ πρόφασιν ἔχητε λέγειν ὅτι ἔδει τὸν Χριστὸν σταυρωθῆναι, ἢ καὶ ἐν τῷ γένει ὑμῶν εἶναι τοὺς παραβαίνοντας, καὶ οὐκ αὖ ἄλλως ἐδύνατο γενέσθαι, φθάσας διὰ βραχέων εἶπον, ὅτι βουλόμενος τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους ἕπεσθαι τῇ βουλῇ αὐτοῦ ὁ Θεὸς, ἐβουλήθη ποιῆσαι τούτους αὐτεξουσίους πρὸς δικαιοπραξίαν, μετὰ λόγου τοῦ ἐπίστασθαι αὐτοὺς ὑφ' οὗ γεγόνασι καὶ δι' ὃν εἰσὶ πρότερον οὐκ ὄντες, καὶ μετὰ νόμου τοῦ ὑπ' αὐτοῦ κρίνεσθαι, ἐὰν παρὰ τὸν ὀρθὸν λόγον πράττωσι· καὶ δι' ἑαυτοὺς ἡμεῖς οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι ἐλεγχθησόμεθα πονηρευσάμενοι, ἐὰν μὴ φθάσαντες μετανοήσωμεν. εἰ δὲ ὁ λόγος τοῦ Θεοῦ προμηνύει πάντως τινὰς καὶ ἀγγέλους καὶ ἀνθρώπους κολασθήσεσθαι μέλλοντας, διότι προεγίνωσκεν αὐτοὺς ἀμεταβλήτους γενησομένους πονηρούς, προεῖπε ταῦτα, ἀλλ' οὐχ ὅτι αὐτοὺς ὁ Θεὸς τοιούτους ἐποίησεν. ὥστε ἐὰν μετανοήσωσι, πάντες βουλόμενοι τυχεῖν τοῦ παρὰ τοῦ Θεοῦ ἐλέους, δύνανται καὶ μακαρίους αὐτοὺς ὁ λόγος προλέγει εἰπὼν, Μακάριος ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν· τοῦτο δέ ἐστιν ὡς μετανοήσας ἐπὶ τοῖς ἁμαρτήμασι, τῶν ἁμαρτημάτων παρὰ τοῦ Θεοῦ λάβῃ ἄφεσιν, ἀλλ' οὐχ ὡς ὑμεῖς ἀπατᾶτε ἑαυτοὺς, καὶ ἄλλοι τινὲς ὑμῖν ὅμοιοι κατὰ τοῦτο, οἱ λέγουσιν ὅτι κἂν ἁμαρτωλοὶ ὦσι, Θεὸν δὲ γινώσκουσιν, οὐ μὴ λογίσηται αὐτοῖς Κύριος ἁμαρτίαν. μαρτύριον δὲ τούτου, τὴν μίαν τοῦ Δαβὶδ διὰ τὴν καύχησιν αὐτοῦ γενομένην παράπτωσιν ἔχομεν· ἥτις τότε ἀφείθη, ὅτε οὕτως ἔκλαυσε καὶ ἐθρήνησεν ὡς γέγραπται. εἰ δὲ τῷ τοιούτῳ ἄφεσις πρὶν μετανοῆσαι οὐκ ἐδόθη, ἀλλ' ὅτε τοιαῦτα ἔκλαυσε καὶ ἔπραξεν ὁ μέγας οὗτος βασιλεὺς, καὶ χριστὸς, καὶ προφήτης, πῶς οἱ ἀκάθαρτοι, καὶ πάντη ἀπονενοημένοι, ἐὰν μὴ θρηνήσωσι, καὶ κόψωνται,

καὶ μετανοήσωσιν, ἐλπίδα ἔχειν δύνανται, ὅτι οὐ μὴ λογίσηται αὐτοῖς Κύριος ἁμαρτίαν; καὶ ἡ μία δ' αὕτη τῆς παραπτώσεως τοῦ Δαβὶδ πρὸς τὴν τοῦ Οὐρίου γυναῖκα πρᾶξις, ὦ ἄνδρες, ἔφην, δείκνυσιν ὅτι οὐχ ὡς πορνεύοντες πολλὰς ἔσχον γυναῖκας οἱ πατριάρχαι, ἀλλ' οἰκονομία τις καὶ μυστήρια πάντα δι' αὐτῶν ἀπετελεῖτο· ἐπεί, εἰ συνεχωρεῖτο ἣν βούλεταί τις, καὶ ὡς βούλεται, καὶ ὅσας βούλεται λαμβάνειν γυναῖκας, ὁποῖον πράττουσιν οἱ ἀπὸ τοῦ γένους ὑμῶν ἄνθρωποι κατὰ πᾶσαν γῆν ἔνθα ἂν ἐπιδημήσωσιν ἢ προσπεμφθῶσιν, ἀγόμενοι ὀνόματι γάμου γυναῖκας, πολὺ μᾶλλον ἐν τῷ Δαβὶδ τοῦτο συνεχωρεῖτο πράξειν.

Ταῦτα εἰπών, ὦ φίλτατε Μάρκε Πομπήϊε, ἐπαυσάμην. Ἐπὶ ποσὸν δὲ ὁ Τρύφων ἐπισχών, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἀπὸ ἐπιτηδεύσεως γέγονεν ἐν τούτοις ἡμᾶς συμβαλεῖν· καὶ ὅτι ἐξαιρέτως ἥσθην τῇ συνουσίᾳ, ὁμολογῶ· καὶ τούτους δὲ οἶμαι ὁμοίως ἐμοὶ διατεθεῖσθαι. πλέον γὰρ εὕρομεν ἢ προσεδοκῶμεν, καὶ προσδοκηθῆναί ποτε δυνατὸν ἦν. εἰ δὲ συνεχέστερον ἦν τοῦτο ποιεῖν ἡμᾶς, μᾶλλον ἂν ὠφεληθείημεν, ἐξετάζοντες αὐτοὺς τοὺς λόγους· ἀλλ' ἐπειδή, φημι, πρὸς τῇ ἀναγωγῇ εἶ, καὶ καθ' ἡμέραν ἐκλογιεῖσθαι προσδοκᾷς, μὴ ὄκνει ὡς φίλων ἡμῶν μεμνῆσθαι ἐὰν ἀπαλλαγῇς. Ἐμοῦ δὲ χάριν, ἔφην, εἰ ἐπέμενον, καθ' ἡμέραν ἐβουλόμην τοῦτο γίνεσθαι. ἀναχθήσεσθαι δὲ ἤδη προσδοκῶν, ἐπιτρέποντος τοῦ Θεοῦ καὶ συνεργοῦντος, ὑμᾶς προτρέπομαι ἐνστησαμένους ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας μέγιστον τοῦτον ἀγῶνα, τῶν διδασκάλων ὑμῶν σπουδάσαι προτιμῆσαι μᾶλλον τὸν τοῦ παντοκράτορος Θεοῦ Χριστόν. μεθ' ἃ ἀπῄεσαν λοιπόν, εὐχόμενοί τέ μοι σωτηρίαν, καὶ ἀπὸ τοῦ πλοῦ, καὶ ἀπὸ πάσης κακίας· ἐγώ τε ὑπὲρ αὐτῶν εὐχόμενος, ἔφην, Οὐδὲν ἄλλο μεῖζον ὑμῖν εὔχεσθαι δύναμαι, ὦ ἄνδρες, ἢ ἵνα ἐπιγνόντες διὰ ταύτης τῆς ὁδοῦ δίδοσθαι παντὶ ἀνθρώπινον νοῦν, πάντως καὶ αὐτοὶ ἡμῖν ὅμοια ποιήσητε, τὸ ἡμῶν εἶναι τὸν Χριστὸν τοῦ Θεοῦ.

& pœnitentiam egerint, ſpem habere poſſunt, non imputatũ illis iri a Domino peccatum? Et rurſus vnum & ipſum Dauidis in Vriæ coniuge delicti factum, o viri, inquam, oſtendit [pœnitentia vera opus eſſe, &] non tamquam fornicantes patriarchas plures habuiſſe vxores: ſed œconomiam quandam id atq; diſpoſitionẽ fuiſſe, & myſteria ac ſacramẽta omnia per eos peracta eſſe, nos exiſtimare debere. Nã ſi permiſſum eſſet, quam quis vellet, atq; vt vellet, & quot vellet, habere coniuges: quemadmodum faciunt populares veſtri, per terram omnem, vbicumq; peregre ſunt, aut quocumq; proficiſcũtur, ſub matrimonii nomine mulieres ſibi copulantes: longe magis id in Dauide hoc permiſſum fuiſſet. His dictis, cariſſime M. Põpei, conticui.

Trypho autem, parua interpoſita mora: Vides, inquit, non dedita nos opera de his rebus præparato tecum verba contuliſſe. Me vero apprime etiam delectatum eſſe colloquio iſto fateor; eandemque eſſe & horum ſententiam opinor. Plus enim inuenimus, quã exſpectatio noſtra erat, aut exſpectari vmquam poſſit. Sin frequentius id nobis facere liceret, plus profecto vtilitatis perciperemus, Scripturæ locos ipſi perſcrutantes. Sed in procinctu, ſicuti dixiſti, cum ſis, & in dies fama quidquam annunciatum iri opperiaris: ne graue tibi ſit noſtri, vt amicorum, cum diſceſſeris, meminiſſe. Mea vero gratia, inquam, ſi manerem, quouis id die fieri vellem. Verũ cum in exſpectatione ſim ſoluendi, permittente & adiuuante Deo, vos adhortor, vt maximo iſti de veſtra ipſorum ſalute incumbentes certamini, magiſtris veſtris longe præferatis omnipotentis Dei CHRISTVM. Et ſub hæc, optata mihi & a nauigatione, & ab omni malo ſalute, abierunt. atque ego pro illis orans: Nihil vobis, o viri, inquam, precari maius poſſum, quam vt cognito, hac via cuiuis humanam concedi mentem, ipſi quoq; omnino nobiſcũ conſentientes perſuaſum habeatis, noſtrũ hunc eſſe CHRISTVM Dei.

SECVNDI TOMI FINIS.

EIVSDEM IVSTINI EXPOSITIO FIDEI DE RE-cta Confessione, siue de sancta consubstantiali Trinitate.

CVm abunde satis Iudæos iuxta & Græcos orationibus nostris confutauerimus: consequens est vt sanam etiam fidei explicemus rationem. Veritate namque commõstrata, peropus est, quomodo de ea sentire quemq; deceat, vlterius progredientem nosse. Nõ enim simplex Patris & Filii [& Spiritus sancti] gloriæ deprędicatio salutẽ nobis affert; sed sana Trinitatis cõfessio, eorum quæ vere religiosis piisque reposita sunt, bonorum fructum donat. Nam & eos qui aliter sentiunt aliquis audiat Patrem & Filium [& Spiritum sanctum] hymnis concelebrare; verum tamen non secundũ rectam notionem, cultũ præstare. Quapropter necessaria nobis scripti huius editio fuit, quæ lectores ad dilucidam sinceramque produceret cognitionem. Vnum quidem Deum colere nos & diuinæ litteræ docent, & Patrum erudiunt institutiones. Vnum namque esse necesse est rerum vniuersarum auctorem summum; vt ne quid extrinsecus circumsistens rebus conditis afferat detrimẽtum. Nam si quid primitus extra Deum fuisset, id ipsum plane aut Deum profiteri, aut virtutem alteram, quamcumque tandem, necessarium esset. at si quis Deum diceret, voces diuinas induceret propalam clamitantes: *Ego Deus primus, & ego postea, & preter me non est Deus.* Si vero non Deum, Angelos videlicet aut Virtutes appellaret. sed hoc quoque modo diuinas aboleret Scripturas, a Deo etiam eas ipsas procreatas esse asseuerantes: *Laudate Deum de cælis: Laudate eũ in excelsis: Laudate eum omnes angeli eius: Laudate eum omnes virtutes eius.* & paulo post: *Quoniam ipse dixit, & facta sunt: ipse mandauit, & creata sunt.* Itaque pro cõfesso nobis sit, nihil prorsus primitus vna cum Deo rerum omnium parente simul fuisse: quãdoquidem ab eo vniuersa producta esse, demonstratũ est. Vnus ergo reuera est vniuersitatis huius Deus, qui in Patre & Filio & sancto Spiritu cognoscitur. Cũ namq; ex substantia sua Pater Filium progenuerit, atq; ex eadẽ Spiritũ produxerit: iure optimo, quæ vnã eandẽq; participãt essẽtiã, vna eadẽq; dignãtur diuinitate. Quomodo igitur, dicet aliquis, non differt id quod gignit ab eo quod gignitur; & quod procedit, ab eo vnde procedit? Pater quippe ingenitus est, a quo & Filius genitus est, & Spiritus sanctus processit. Idcirco non idem cum Patre Filius & Spiritus sanctus. *Ingenitum* & *Genitum* & *Procedens*, nõ essentiæ nomina sunt, sed existentiæ modi; modusq; existentiæ nominibus hisce denotatur. Essentiæ aũt significatio,

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ ΠΕΡΙ ΤΗΣ ὀρθῆς ὁμολογίας, ἤτοι περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος.

ΙΚΑΝΩΣ τὸν κατὰ Ἰουδαίων καὶ Ἑλλήνων λέξαντες ἔλεγχον, ἀκολούθως αὖθις τὸν ὑγιᾶ τῆς πίστεως ἐκθησόμεθα λόγον. ἐχρῆν γὰρ δή που μετὰ τὴν τῆς ἀληθείας ἀπόδειξιν, ὅπως καὶ φρονεῖν περὶ αὐτῆς προσήκει προϊόντας εἰδέναι. οὐ γὰρ ἁπλῶς ἡ πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν δοξολογία τὴν σωτηρίαν ἡμῖν πορίζει, ἀλλ' ἡ ὑγιὴς τῆς τριάδος ὁμολογία τῶν ἀποκειμένων τοῖς εὐσεβέσιν ἀγαθῶν τὴν ἀπόλαυσιν δωρεῖται· ἐπεὶ καὶ τῶν ἑτεροφρόνων ἀκούσεταί τις τὸν πατέρα καὶ υἱὸν ἀνυμνούντων, ἀλλ' οὐ κατ' ὀρθὴν ἔννοιαν τὸ σέβας προσαγόντων· ὅθεν ἀναγκαίως ἡμῖν ἡ τοῦδε τοῦ γράμματος ἐδέησεν ἔκθεσις, εἰς τὴν ἀκραιφνῆ τῆς ἀληθείας ἀνάγουσα τοὺς ἐντυγχάνοντας κατανόησιν. Ἕνα τοίνυν Θεὸν σέβειν ἡμᾶς αἵτε θεῖαι γραφαὶ διδάσκουσιν, αἵτε τῶν πατέρων διδασκαλίαι παιδεύουσι. δεῖ γὰρ ἕνα πάντων αἰτιώτατον εἶναι, ἵνα μηδὲν ἔξωθεν περιστὰν λυμήνηται τὰ γινόμενα. καὶ γὰρ εἴ τι τὴν ἀρχὴν ἔξωθεν ἦν τοῦ Θεοῦ, τοῦτο πάντως ἀναγκαῖον ἦν Θεὸν ὁμολογεῖν, ἢ δύναμιν ἑτέραν ἥν τινα οὖν. ἀλλ' εἰ μὲν Θεὸν εἴποι τις, διέγραψε τὰς θείας φωνὰς ἀναφανδὸν βοώσας, Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεός. εἰ δὲ οὐ Θεόν, ἀγγέλους ἢ δυνάμεις φήσει δηλονότι. ἀλλὰ καὶ οὕτως ἀθετήσει τὰς θείας γραφὰς παρὰ τοῦ Θεοῦ καὶ ταύτας γεγενῆσθαι λεγούσας, Αἰνεῖτε τὸν Θεὸν ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ· καὶ μετὰ βραχύ, Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. οὐκοῦν ὁμολογούμενον ἂν εἴη μηδὲν τὴν ἀρχὴν τῷ Θεῷ τῶν ὅλων συνυπάρχειν, ἐπείπερ ἅπαντα παρῆχθαι παρ' αὐτοῦ διεδείχθη. εἷς οὖν τῆς ἀληθείας ἐστὶν ὁ τῶν ἁπάντων Θεός, ἐν πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι γνωριζόμενος. ἐπεὶ γὰρ ἐκ τῆς οἰκείας οὐσίας ὁ πατὴρ τὸν υἱὸν ἀπεγέννησεν, ἐκ δὲ τῆς αὐτῆς τὸ πνεῦμα προήγαγεν, εἰκότως ἂν τὰ τῆς αὐτῆς καὶ μιᾶς οὐσίας μετέχοντα, τῆς αὐτῆς καὶ μιᾶς θεότητος ἠξίωται. Πῶς οὖν, ἐρεῖ τις, μὴ διαφέρει τὸ γεννῶν τοῦ γεννωμένου, καὶ τὸ ἐκπορευτὸν τοῦ ἀφ' οὗπερ ἐκπεπόρευται; ἔστι δὲ ὁ πατὴρ ἀγέννητος, ἀφ' οὗ καὶ ὁ υἱὸς γεγέννηται, καὶ τὸ πνεῦμα προῆλθεν. οὐ ταὐτὸν οὖν τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· ὅτι τὸ μὲν ἀγέννητον καὶ γεν- 178
νητὸν καὶ ἐκπορευτὸν, οὐκ οὐσίας ὀνόματα, ἀλλὰ τρόποι ὑπάρξεως· ὁ δὲ τρόπος τῆς ὑπάρξεως, τοῖς ὀνόμασι χαρακτηρίζεται τούτοις. ἡ δὲ τῆς οὐσίας δήλωσις,

nomine

τῇ Θεὸς ὀνομασίᾳ σημαίνεται· ὡς εἶναι τὴν διαφορὰν τῷ πατρὶ πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα, κατὰ τὸν τῆς ὑπάρξεως τρόπον· τὸ δὲ ταυτὸν, κατὰ τὸν τῆς οὐσίας λόγον. εἰ γὰρ ὁ μὲν ἀγεννήτως ἔχει τὸ εἶναι, ὁ δὲ γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ταῦτα τῆς διαφορᾶς ἐπιθεωρεῖσθαι πέφυκεν· εἰ δὲ καὶ τῆς ὑποστάσεως αὐτοῦ τὸ κατ' οὐσίαν εἶναι σημαίνεται, τῷ κοινῷ τῆς θεότητος ὀνόματι παραδηλοῦται. οὕτως δὲ ἂν ὁ λέγω σαφέστερον γένοιτο. ὁ περὶ τῆς ὑπάρξεως τοῦ Ἀδὰμ σκεψάμενος, ὅπως εἰς τὸ εἶναι παρήχθη, εὑρήσει τοῦτον οὐ γεννητόν· οὐ γὰρ ἐξ ἄλλου τινὸς ἀνθρώπου, ἀλλ' ἐκ τῆς θείας διαπλασθέντα χειρός· ἀλλ' ἡ διάπλασις τὸν τρόπον τῆς ὑπάρξεως δηλοῖ· τὸ γὰρ ὅπως ἐγένετο σημαίνει. ὡσαύτως πάλιν ὁ τῆς ὑπάρξεως τρόπος τὴν διάπλασιν χαρακτηρίζει. δηλοῖ γὰρ ὁμοίως ὅτι τι πλασθεὶς ὑπῆρξεν. εἰ δὲ αὐτὴν τὴν οὐσίαν ζητοίης καθ' ἣν τοῖς ἐξ αὐτοῦ πρὸς κοινωνίαν συνάπτεται, ἄνθρωπον εὑρήσεις τὸ ὑποκείμενον. ὥσπερ οὖν ἡ πλάσις τὸν τρόπον τῆς ὑπάρξεως δηλοῖ, ὁ δὲ τῆς ὑπάρξεως τρόπος τὴν διάπλασιν χαρακτηρίζει, ὁ δὲ τῆς οὐσίας λόγος ἄνθρωπον τὸ ὑποκείμενον δείκνυσιν· οὕτως ἐπὶ τοῦ Θεοῦ καὶ πατρὸς εὑρήσομεν. εἰ μὲν γὰρ τὸν τρόπον τῆς ὑπάρξεως αὐτοῦ ζητοίης, ἐξ οὐδενὸς ἑτέρου γεγεννημένον ὁρῶν, ἀγέννητον προσαγορεύσεις· εἰ δὲ τὴν ἀγεννήτου προσηγορίαν σκοποίης, τῆς ὑπάρξεως τὸν τρόπον ἑρμηνεύουσαν εὑρήσεις. εἰ δὲ καὶ τὴν οὐσίαν αὐτὴν γνωρίζειν ἐθέλεις καθ' ἣν υἱῷ καὶ πνεύματι πρὸς κοινωνίαν συνάπτεται, τῇ Θεὸς ὀνομασίᾳ δηλώσειας. ὥστε τὸ μὲν ἀγέννητον καὶ τῆς ὑπάρξεως ὁ τρόπος, ἀλλήλων εἰσὶ γνωρίσματα· τῆς δὲ οὐσίας τὸ Θεὸς δηλωτικόν. ὡς γὰρ ὁ Ἀδὰμ, καίτοι γέννησιν μὴ προσηκάμενος, τοῖς ἐξ αὐτοῦ γεννηθεῖσι κατὰ τὸ τῆς οὐσίας ταυτὸν εἰς κοινωνίαν συνάπτεται, οὕτως οὐδεὶς λόγος τὸ κοινὸν τῆς οὐσίας πατρὸς πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα διασπάσαι διὰ τὸ ἀγέννητον δυνήσεται. ὥστε τὸ ἀγέννητον καὶ γεννητὸν καὶ ἐκπορευτὸν, οὐκ οὐσίας δηλωτικὰ, σημαντικὰ δὲ τῶν ὑποστάσεων ἐστίν· ἱκανὰ γὰρ ἡμῖν διακρίνειν τὰ πρόσωπα, καὶ τὴν πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος ἰδιάζουσαν δεικνύειν ὑπόστασιν. καθάπερ γὰρ σφραγὶς ἡμῖν τις λεχθὲν τὸ ἀγέννητον, εὐθὺς ἀφορίζει τὴν πατρὸς ὑπόστασιν καὶ πάλιν ὥς τι σημεῖον τὴν τοῦ γεννητοῦ προσηγορίαν ἀκούοντες, τὴν υἱοῦ λαμβάνομεν ἔννοιαν· καὶ αὖθις διὰ τῆς τοῦ ἐκπορευτοῦ σημασίας τὸ ἰδιαίτερον τοῦ πνεύματος πρόσωπον παιδευόμεθα. καὶ ταῦτα μὲν ἀρκεῖ πρὸς ἀπόδειξιν τοῦ μὴ τὴν οὐσίαν αὐτὴν δηλοῦν τὸ ἀγέννητον καὶ γεννητὸν καὶ ἐκπορευτὸν, ἀφοριστικὰ δὲ τῶν ὑποστάσεων εἶναι, πρὸς τῷ καὶ τὸν τρόπον τῆς ὑπάρξεως διασημαίνειν. Ὑπόλοιπον δὲ ἂν εἴη περὶ τῆς οὐσίας δεικνύναι, πῶς μία πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος.

nomine Dei designatur; ita vt sit differentia Patri ad Filium & Spiritum, iuxta existentiæ modum: vnitas aût siue identitas, iuxta essentiæ ratione. Nam si ea quæ differentiæ sunt, côtemplatione perspicieda veniant: hic quidem, Esse suum obtinere dicitur, vt ingenitus; hic autem, vt genitus; hic vero, vt procedens. Sin etiam hypostasis seu existentiæ eius natura & essentia sit significanda, communi Deitatis appellatione ea declaratur. Id vero quod dico, hoc modo dilucidius fuerit. Qui Adæ existentiam côsiderauerit, quo videlicet pacto is ad essentiam sit productus, comperiet ipsum non genitum esse: quippe non ex alio quopiâ homine genitum, sed manu diuina formatû. Atqui formatio ipsa modum existentiæ declarat. nâ quomodo factus sit, significat. Itidem vicissim existêtiæ modus formationê ipsam denotat. declarat enim similiter, illum per formationê extitisse. Sin essentiam ipsam quæras, qua eis qui ex se nati sunt, ad communionem connectitur: hominem inuenies esse subiectû ipsum. Itaque sicuti formatio existentiæ modû declarat, existentiæ vero modus formationem denotat, essentiæ autem ratio hominem esse subiectum ipsum indicat: ita in Deo & Patre [id etiam] reperiemus. Nâ si modû existentiæ eius quæras, e nullo alio genitum cernês, Ingenitum vocabis. Sin vocabulum Ingeniti intuebere, modû id existentiæ exponere inuenies. Quod si essentiam quoque ipsam cognoscere velis, iuxta quam Filio & Spiritui cômunione coniungitur, Dei appellatione id cômonstraueris. Proinde ingenitum ipsum, & existêtiæ modus, alterû alterius inuicê est nota. Essentiam autê Dei appellatio designat. Quemadmodû enim Adam, etiamsi genitus non sit, eis tamê qui ex se progeniti sunt, iuxta essentiæ vnitatem siue identitatem, communione coniungitur: sic nulla ratio communitatê substantiæ Patris ad Filium & Spiritum, propterea quod ingenitus sit, distrahere poterit. Quapropter ipsum Ingenitum & Genitum & Procedens, non essentiam declarant, sed subsistentias significant. Satis enim sunt nobis ad discernendas personas, & ad Patris & Filii & Spiritus sancti, peculiariter cuiusque indicandam subsistentiam. Nam veluti sigillum nobis quoddam Ingeniti verbum prolatum, Patris statim subsistentiam designat; & rursum tamquam quoddam signum Geniti appellationem audientes, Filii concipimus notionem: & itidem per Procedentis significationem, de peculiari Spiritus admonemur persona. Atque hæc quidem sufficiunt ad probandum, non essentiam significari per Ingenitum & Genitum & Procedens; sed existentia secerni, præterquam quod existentiæ etiam denotant modum. Reliquû vero est, de essentia quoque ostendere, quomodo ea vna sit, Patris & Filii & Spiritus sancti.

Videmus in communi consuetudine eiusdem essentiæ esse cum gignentibus ea quę gignuntur. Sed potius sermonem paulo altius exordiamur: vt ne nobis orationem perpetuam interpellet, quæ in mediũ incidat, quæstio aliqua. Ac primum res ipsas quæ exstant, diuidamus. repetiemus namque omnia ita esse dispertita, vt vel Creata sint, vel Increata. Quidquid enim in rebus exstat, aut creata est natura, aut increata. ac Increata quidem, dominatrix est, libereq; extra necessitatem omnem posita: Creata autem, seruituti obnoxia, & legibus herilibus obsequens. Et illa quidem, pro potestate sua, quæ vult, & facit & potest: hæc vero a Deo ipso dumtaxat acceptum ministerium & obit, & obire potest. Partitione ita instituta, diuinis responsis in medium proferendis, etiam atque etiam mihi dispice, in quo illa ordine ponẽdum doceãt Filium & Spiritum sanctum. Siquidem *apud Ecclesię alumnos, nõ ad humanas rationes & cogitationes dirigenda sunt res diuinę; sed ad sensum & voluntatem doctrinæ Spiritus, oratio interpretatioque accommodanda.* Ac princeps nos erudiat Dauid. Is namque ex creatura cuncta, vniuersitatis huius Deo hymnum cõposuit: atque vbi omnia quæ in cælo sunt complexus, virtutes eius omnes recensuit; itidemq; de terra & quæ in ea sunt vniuersa commemorauit: in magnifica huiusmodi laudum celebratione, siue gloriæ relatione, non simul comprehendit Filium & Spiritum sanctum; tamquam naturæ diuinæ coniunctos scilicet. Nam si ex creatis substantiis esse sciuisset, nõ eos solos innominatos prætermisisset: quin potius primo loco, præ aliis omnibus maxime virtutibus, merito eorũ mẽtionem intulisset. Non absimiliter & beatus Paulus igne diuino est correptus, flagrantemque erga Deum caritatem ostendit. nam de cælestis philtri siue amoris sui stabilitate testificans, sic inquit: *Nam persuasum habeo, quod neque vita, neque mundus, neque mors, neque angeli, neque virtutes, neque principatus, neque instantia neque futura, neque altitudo neque profunditas, neque creatura alia poterit nos separare a dilectione Dei, quæ est in* CHRISTO IESV *Domino nostro.* Itidẽ nãq; & ipse, postquã per commemorationẽ recensuit & enumerauit, & mundum, & vitã & mortẽ, & angelos & archãgelos, & principatus & potestates, & præterea instantia & futura, altitudinem & profunditatem: quia nihil creatæ naturæ reliquum inueniebat, atque adhuc exclamandi atq; testificãdi impotẽti ardore tenebatur: excellẽs quiddã adiiciẽs, & *creaturã aliã* inferẽs, sermonem compleuit. An vero ille tã singularibus & præstantibus verbis, immobile suũ in Deũ desideriũ declarans, si cõditæ essentiæ esse nouisset Filiũ & Spiritũ, nõ ipsos etiã vna cũ aliis cõmemorasset? Sed enim Filiũ & Spiritum sanctũ non esse creatæ naturæ coniunctos, ex his atq; aliis eiuscemodi oraculis diuinis nosse licet.

ὁρῶμεν τοίνυν ἐν τῇ κοινῇ συνηθείᾳ τῆς αὐτῆς οὐσίας ὑπάρχοντα τοῖς γεννῶσι τὰ γεννώμενα. μᾶλλον δὲ ἄνωθεν ἡμῖν ἀρκτέον, ὡς ἂν μὴ τὸ συνεχὲς τοῦ λόγου διακόπτοι ζήτημά τι παρεμπεσὸν εἰς μέσον· καὶ πρῶτόν γε τὰ ὄντα διαιρήσομεν. εὑρήσομεν γὰρ εἰς τε κτιστὸν καὶ ἄκτιστον τὰ πάντα διαιρούμενα. ὅ τι γάρ ἐστιν ἐν τοῖς οὖσιν, ἢ ἄκτιστος φύσις ἐστίν, ἢ κτιστή. ἀλλ' ἡ μὲν ἄκτιστος, δεσποτικὴ καὶ πάσης ἀνάγκης ἐλευθέρα· ἡ δὲ κτιστή, δουλικὴ καὶ νόμοις δεσποτικοῖς ἑπομένη. καὶ ἡ μέν, κατ' ἐξουσίαν ἃ αἱ βούλεται καὶ ποιοῦσα καὶ δυναμένη· ἡ δέ, τὴν διακονίαν μόνην ἣν παρ' αὐτῆς θεότητος εἴληφε, καὶ δυναμένη, καὶ πληροῦσα. οὕτω τῆς διαιρέσεως ἐχούσης, τὰς θείας εἰς μέσον παραθέμενος φωνάς, σκόπει μοι μετ' ἀκριβείας, τίνι συντάττειν παιδεύουσι τὸν 174
υἱόν, καὶ τὸ πνεῦμα· δεῖ γὰρ πρὸς τοὺς τῆς ἐκκλησίας τροφίμους μὴ λογισμοῖς ἀνθρωπίνοις διευθύνειν τὰ θεῖα, ἀλλὰ πρὸς τὸ βούλημα τῆς διδασκαλίας τοῦ πνεύματος, τῶν λόγων ποιεῖσθαι τὴν ἔκθεσιν. καὶ πρῶτος ἡμᾶς Δαβὶδ διδασκέτω. ὕμνον γὰρ οὗτος συνθεὶς ἐξ ὁλοκλήρου τῆς κτίσεως τῷ τῶν ἁπάντων Θεῷ, εἶτα περὶ τῶν κατ' οὐρανὸν ἁπάντων διαλαβών, πάσας τε τὰς ἐν αὐτῷ δυνάμεις ἀπαριθμησάμενος· ὁμοίως δὲ καὶ περὶ γῆς καὶ τῶν ἐν αὐτῇ ἁπάντων τὴν ἀφήγησιν ποιησάμενος, οὐ συμπεριλαμβάνει τῇ δοξολογίᾳ ταύτῃ τὸν υἱόν, καὶ τὸ πνεῦμα, ὡς τῇ θείᾳ φύσει συνεζευγμένα δηλονότι. οὐ γὰρ ἂν εἰ τῆς κτιστῆς οὐσίας ἠπίστατο, ταῦτα μόνον ἀφῆκεν ἀκατονόμαστα· ἅ γε πρῶτον καὶ μάλιστα τῶν ἄλλων ἁπασῶν δυνάμεων εἰκότως ἂν ἐμνημόνευσεν. ὁμοίως δὲ καὶ ὁ μακάριος Παῦλος, θείῳ πυρὶ κάτοχος ὤν, καὶ τὸ διακαὲς τῆς περὶ τὸν Θεὸν ἀγάπης ἐνδεικνύμενος, καὶ τὸ βέβαιον τοῦ φίλτρου μαρτυρόμενος, οὕτω φησί, Πέπεισμαι γὰρ ὅτι οὔτε ζωή, οὔτε κόσμος, οὔτε θάνατος, οὔτε ἄγγελοι, οὔτε δυνάμεις, οὔτε ἀρχαί, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ὁμοίως γὰρ καὶ αὐτὸς ἀπαριθμησάμενος καὶ κόσμον, καὶ ζωὴν καὶ θάνατον, καὶ ἀγγέλους καὶ ἀρχαγγέλους, καὶ ἀρχὰς καὶ δυνάμεις, ἔτι τε ἐνεστῶτα καὶ μέλλοντα, ὕψωμά τε καὶ βάθος, ἐπεὶ μηδὲν εὕρισκεν ὑπολιμπανόμενον τῇ κτιστῇ φύσει· ἔτι δὲ τοῦ βοᾶν καὶ μαρτύρεσθαι τῆς ὁρμῆς ἐχόμενος, ὑπερβολικόν τι προσθείς, τὸν λόγον πεπλήρωκε, κτίσιν ἑτέραν ἐπεισαγαγών. ἆρ' οὖν καὶ τῇ τοῦ λεχθέντος ὑπερβολῇ τὸν ἀμετακίνητον αὐτοῦ περὶ τὸν Θεὸν πόθον παραδηλώσας, εἰ τῆς κτιστῆς οὐσίας ὑπάρχειν ᾔδει τὸν υἱὸν καὶ τὸ πνεῦμα, οὐκ ἂν αὐτῶν μετὰ τῶν ἄλλων τὴν ἀφήγησιν ἐποιήσατο; ἀλλ' ὅτι μὲν οὐ συνέζευκται τῇ κτιστῇ φύσει ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἀπὸ τούτων καὶ τῶν τοιούτων ἰστέον.

Ac potuissem

ἐκείνῃ παραθέσθαι καὶ τινὰς ἄλλας τοιαύτας παμ-
πληθεῖς μαρτυρίας· ἀλλ᾽ ἐπεὶ πρὸς ἐκκλησίας υ-
ἱοὺς ὁ λόγος, ἡμῖν δὲ ὁ σκοπὸς διὰ συντόμων εἰπεῖν,
ἀποχρῶν ἡγοῦμαι καὶ τὰ ῥηθέντα. Ὑπόλοιπον δ᾽
ἂν εἴη δεικνύναι, ὡς τῇ φύσει τῇ θείᾳ ὁ υἱὸς συντέτα-
κται καὶ τὸ πνεῦμα· καὶ πρῶτόν γε τοῦ καιριωτά-
του μνησθήσομαι. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, μετὰ
τὴν ἐκ νεκρῶν ἀνάστασιν, τὴν ἐν οὐρανοῖς ἄνοδον
ποιεῖσθαι μέλλων, καὶ τὴν τῶν ἐθνῶν μαθητείαν, καὶ
τὴν τοῦ βαπτίσματος διδαχὴν τοὺς ἀποστόλους ἐ-
παίδευσε λέγων, Πορευθέντες μαθητεύσατε πάντα
» τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πα-
» τρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος:- καὶ
Κορινθίοις δὲ γράφων ὁ μακάριος Παῦλος, τῷ τέλει
τῆς ἐπιστολῆς οἱονεὶ σφραγίδα τὴν διδασκαλίαν
» περιτιθεὶς, ἐπάγει, Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
» Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁ-
» γίου πνεύματος, μετὰ πάντων ὑμῶν:- καὶ πάλιν πρὸς
» Ἐφεσίους οὕτως φησίν· Ὄντος ἀκρογωνιαίου αὐτοῦ
» Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογου-
» μένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς
» συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύ-
ματι:- Βλέπετε πῶς τὴν οἰκοδομὴν τὴν ἐν Χρι-
στῷ διδάσκων, δι᾽ ἧς ναὸς Χριστοῦ γινόμεθα κατὰ τὸ
» γεγραμμένον, Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπα-
» τήσω, καὶ ἔσομαι αὐτῶν Θεός:- τὰ τρία συνημμέ-
» νως ἡμῖν συνάγει πρόσωπα. Ὄντος γάρ φησιν ἀ-
» κρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ:- καὶ μετὰ βραχὺ, Ἐν
» ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ
» Θεοῦ ἐν πνεύματι:- Χριστὸν γὰρ, Θεὸν, καὶ πνεῦμα,
τὴν μίαν θεότητα κατοικεῖν ἐν ἡμῖν κατ᾽ ἐνέργειαν,
175 τοῖς τῆς χάριτος ἀξιουμένοις, διὰ τῆς τοιαύτης δι-
δασκαλίας ἐπαίδευσε. καὶ τοῦτο δῆλον ἀφ᾽ ὧν καὶ
» ἐν ἑτέροις φησὶν, Τούτου χάριν κάμπτω τὰ γόνατά
» μου πρὸς τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
» στοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνο-
» μάζεται· ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐ-
» τοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ πνεύματος
» αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν:-
ἰδοὺ γὰρ πάλιν ἐνοικήσεως θείας μνημονεύων ὁ Παῦ-
λος, καὶ πατέρα, καὶ υἱὸν, καὶ πνεῦμα ἅγιον
συμπεριλαμβάνων δείκνυται. καὶ πανταχοῦ δὲ τῆς
διδασκαλίας συντάττων τὰ τρία φαίνεται πρόσω-
» πα. Κορινθίοις γὰρ ἐν ἐπιστολῇ δευτέρᾳ γράφων οὕ-
» τω φησίν· Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν,
» καὶ χρίσας ἡμᾶς Θεὸς, καὶ σφραγισάμενος ἡμᾶς,
» καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρ-
» δίαις ἡμῶν:- σαφῶς κἀνταῦθα καὶ πατέρα Θεὸν,
καὶ Χριστὸν υἱὸν, καὶ πνεῦμα ἅγιον ἐν τῇ διδασκα-
λίᾳ συνέζευξε. καὶ αὖθις πρὸς Γαλάτας, Ὅτι
» δέ ἐστε υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ
» αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον Ἀββᾶ ὁ πατήρ:-
ὁμοίως πάλιν συνημμένως ἡμῖν τὴν περὶ τοῦ πατρὸς
καὶ υἱοῦ καὶ πνεύματος ἔννοιαν παραδιδούς.

Ac potuissem quidem & alia quædam huius generis plurima addere testimonia: verum, cum ad Ecclesiæ filios verba faciamus, & propositum nobis sit, rē in pauca conferre, satis esse quæ dicta sunt, puto. Restat porro vt ostendamus, cum diuina natura ordine eodem positum esse Filium & Spiritum sanctum. Et primū eius quod maxime ad rem pertinet, diuini responsi inferam mentionem. Dominus noster IESVS CHRISTVS, secundum suam a mortuis resurrectionem, in cælos rediturus, Apostolos de gētium disciplina, & baptismi doctrina instituit, dicens: *Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris & Filij & Spiritus sancti.* Et ad Corinthios scribēs beatus Paulus, ad finem epistolæ, veluti sigillum doctrinam hanc apponens, infert: *Gratia Domini nostri IESV CHRISTI, & caritas Dei, & communicatio Spiritus sancti, sit cum omnibus vobis.* Atque rursus ad Ephesios sic ait: *Exsistente summo angulari lapide IESV CHRISTO; in quo quæcumque structura coagmentatur, ea crescit in templum sanctum in Domino: in quo & vos coædificamini in habitaculum Dei per Spiritum.* Videte quómodo ædificationem quæ est in CHRISTO, docens, vnde templum CHRISTI sumus, iuxta quod scriptum est; *Inhabitabo in eis, & deambulabo, & ero eorum Deus:* treis nobis coniunctim simul inducit personas. *Summo* enim *exsistente angulari lapide,* de ipso IESV CHRISTO dicit. & mox deinde; *In quo & vos coædificamini in habitaculum Dei per Spiritum,* infert. Nam CHRISTVM, Deum, & Spiritum, vnam videlicet diuinitatem, secundum operationem in nobis habitare, qui gratia digni habemur, per huiusmodi tradit doctrinam. Et hoc inde est dilucidius, quod alio etiam loco dicit: *Huius rei gratia flecto genua mea ad Patrem Domini nostri IESV CHRISTI; ex quo omnis, vt communi patre, cognatio (omnis paternitas) in cælis & in terra nominatur: vt det vobis, iuxta diuitias gloriæ suæ, vt virtute corroboremini per Spiritum eius in interiorem hominem; vt inhabitet CHRISTVS, per fidem, in cordibus vestris.* Ecce enim rursus diuinæ inhabitationis Paulus faciens mentionē, Patrem & Filium & Spiritum sanctum simul complectens, ostendit: & vbique in doctrina sua eum apparet vno ordine tres collocare personas. Siquidem Corinthiis in epistola secunda scribens, ita infit: *Porro qui confirmat nos vna vobiscum in CHRISTVM, & qui vnxit nos, Deus est: qui etiam obsignauit nos, deditque arram Spiritus in cordibus nostris.* clare profecto & hic Patrem Deum, & CHRISTVM Filium, & Spiritum sanctum, in doctrina sua coniunxit. Et rursus ad Galatas: *Quoniam autem estis filij, emisit Deus Spiritum filij sui in corda vestra, clamantē Abba Pater:* codē modo nobis coniunctim Patris & Filii & Spiritus sancti tradit notionē.

Et obserua quo pacto summæ cōnexionis proponat indicia. nō enim simpliciter dicit, *Emisit Deus Spiritum*; verum aliquando eodem ordine cum Filio collocat, vt hic: aliquando Patri eum attribuit, alicubi dicens, *Vos vero non Spiritum mundi accepistis, sed Spiritum qui est ex Deo & Patre.* ac rursum Filius ipse *Spiritum veritatis* vocat, cum ipse sit Veritas: & Patris item Spiritū esse docet, a Patre nimirum procedentem. Et vbique prorsus mentes nostras diuinæ cōfirmant litteræ, vt indiscretam de Patre & Filio & Spiritu sancto obtineamus notionem. Enimuero ne in opificio quidem Vniuersitatis huius, separatam a Patre Filii & Spiritus sancti operationem fuisse, diuinum nos docet oraculum. Huius rei tibi Dauid doctor sit, ita dicens: *Initio tu Domine terram fundasti; & opera manuum tuarum sunt cœli.* Complexus enim est per *Domini* appellationem, Patrem & Filium & Spiritum sanctum: & nihilominus propter rudiores vsus est etiam personarum distinctione, cum ait; *Verbo Domini cœli firmati sunt, & Spiritu oris sui omnis virtus ipsorum.* Quin & a Patris potestate non posteriores esse Filii & Spiritus sancti partes, e diuina didicimus Scriptura: quonam vero id modo, eam ipsam audi: *Deus autem noster*, inquit, *in cœlo & in terra: omnia quæcumque voluit, fecit.* Hoc de Patre protulit Dauid. Filius vero potestatē istā in leproso ostēdēs, *Volo*, ait; *mundus esto.* Hanc beatus Paulus attestatione sua Spiritui etiam sancto tribuens, talia scribit: *Sed omnia hæc efficit vnus ille & idem Spiritus, diuidens peculiariter vnicuique sicut vult.* Itaque si in mundi disciplina, & in baptismi doctrina, & insuper in creationis ratione, potestatisque virtute coniunctim nobis vnum Patris & Filii & Spiritus sancti [numen &] nomen traditum est: quænam ratio & oratio infitiādo asserere poterit, Filium & Spiritum diuinæ beatæq; naturæ & essentiæ nō esse? Nec nobis quispiā insultās obiiciat, quasi alia simus polliciti, & alia dicendo afferamus: eo quod cū nos demonstraturos esse receperimus, vnitatem siue identitatem essentiæ sanctæ Trinitatis; eodem cum Patre ordine & loco Filium & Spiritum sanctum esse, ad fidem astruendam pro argumento adduxerimus. Non aliud quidquā communitatis, ordinis & loci huiusmodi ostendit ratio, quam eandem esse Patris & Filii & Spiritus sancti essentiam. Atque is qui contradicit, partitionem repetitam mihi accuratius intueatur. Inueniet enim ibi esse rationem in ordine connexionis impletam. Nam supra, res omnes bifariā sūt a nobis distributæ, in increatas & creatas naturas. Atque increati indicia esse professi sumus, quod dominium obtineat, & a necessitate omni liberum sit; & quod præterea pro potestate sua, quæ velit, & faciat & possit

καὶ βλέπε τῆς ἄκρας συναφείας πῶς ἔθηκε τὰ γνωρίσματα. οὐ γὰρ ἁπλῶς εἶπεν, Ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα:- ἀλλὰ νῦν μὲν αὐτὸ συντάττων υἱῷ, νῦν δὲ προσνέμων πατρὶ ἐν οἷς φησὶν, Ὑμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ Θεοῦ καὶ πατρός:- καὶ πάλιν τοῦ υἱοῦ αὐτοῦ τὸ πνεῦμα τῆς ἀληθείας καλοῦντος, ἐπειδὴ αὐτός ἐστιν ἡ ἀλήθεια· καὶ αὖθις τοῦ πατρὸς εἶναι διδάσκοντος. ὁ γὰρ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· καὶ διὰ πάντων ἁπλῶς βεβαιούσης ἡμῖν τῆς θείας γραφῆς τὴν διάνοιαν, ἀχώριστον περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος κεκτῆσθαι τὴν ἔννοιαν· ἀλλ᾽ οὐδὲ τῆς τοῦ παντὸς δημιουργίας υἱοῦ καὶ πνεύματος τὴν ἐνέργειαν κεχωρισμένην τοῦ πατρὸς, τὸ θεῖον ἡμᾶς ἐκπαιδεύει λόγιον. καὶ τούτου σοι Δαβὶδ ὧδέ πως λέγων γενέσθω διδάσκαλος· Καὶ σὺ κατ᾽ ἀρχὰς Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί:- συνειληφὼς μὲν διὰ τῆς τοῦ Κυρίου σημασίας καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα· οὐδὲν ἧττον δὲ διὰ τοὺς ἀγνώμονας, καὶ τῇ κατὰ πρόσωπον χρησάμενος διαιρέσει, ἐν οἷς φησὶ, Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν:- Ἀλλ᾽ οὐδὲ τῆς τοῦ πατρὸς ἐξουσίας ἐλαττοῦσθαι τὸν υἱὸν καὶ τὸ πνεῦμα, παρὰ τῆς θείας γραφῆς μεμαθήκαμεν· καὶ πῶς, ἄκουε τοῦ γράμματος. Ὁ δὲ Θεὸς ἡμῶν, φησὶν, ἐν τῷ οὐρανῷ καὶ ἐπὶ γῆς, πάντα ὅσα ἠθέλησεν ἐποίησε:- τοῦτο περὶ τοῦ πατρὸς ὁ Δαβὶδ φησί. ταύτην ὁ υἱὸς δεικνὺς ἐπὶ τοῦ λεπροῦ τὴν ἐξουσίαν, Θέλω, φησί· καθαρίσθητι:- ταύτην ὁ μακάριος Παῦλος καὶ τῷ ἁγίῳ πνεύματι προσμαρτυρῶν, τοιαῦτα γράφει, Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται:- Εἰ τοίνυν ἐν τῇ τοῦ κόσμου μαθητείᾳ, ἔν τε τῇ τοῦ βαπτίσματος διδαχῇ, ἔτι γε μὴν καὶ τῷ τῆς δημιουργίας λόγῳ, καὶ τῇ τῆς ἐξουσίας δυνάμει, συνημμένως ἡμῖν τὸ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος ἓν ὄνομα παραδέδοται, τίς ἀφαιρήσεται λόγος τὸν υἱὸν καὶ τὸ πνεῦμα, μὴ τῆς θείας οὐσίας καὶ μακαρίας ὑπάρχειν; Καὶ μή τις ἡμῖν ἐνσκήψειεν, ὡς ἄλλα μὲν ὑποσχομένοις, ἄλλα δὲ διεξελθοῦσιν, εἴπερ τὸ ταὐτὸν τῆς οὐσίας ἐπαγγειλάμενοι δεῖξειν, ὅτι συντάττεται τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα, τὰς πίστεις παρεχόμεθα. οὐ γὰρ ἄλλο τι τῆς συντάξεως ὁ λόγος παρίστησιν, ἀλλ᾽ ἢ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος τὸ τῆς οὐσίας ταὐτόν· καί μοι τὴν διαίρεσιν ἀναλαβὼν ὁ ἀντιλέγων δι᾽ ἀκριβείας σκοπείτω· εὑρήσει γὰρ ἐκεῖ τῆς οὐσίας τὸν λόγον ἐν τῇ τάξει τῆς συναφείας πληρούμενον. ἄνωθεν τοίνυν ἡμῖν εἰς δύο τὰ 178
ὄντα διῄρητο, εἴς τε ἄκτιστον καὶ κτιστὴν φύσιν· καὶ τῆς μὲν ἀκτίστου τεκμήρια παρ᾽ ἡμῶν ὡμολόγητο, δεσποτικόν τι αὐτὴν εἶναι, καὶ πάσης ἀνάγκης ἐλευθέραν, ἔτι τε κατ᾽ ἐξουσίαν ἃ ἂν βούληται καὶ ποιεῖν,

καὶ δυναμένην τῆς δὲ κτίσεως, δουλικήν τι ἐξ αὐτοθέτου, καὶ νόμοις δεσποτικοῖς ἑπομένην, ἔτι τε τὴν διακονίαν ἣν παρὰ τῆς θεότητος εἴληφε μόνην ἐκδυναμένην, καὶ πληροῦσαν. οὕτω τῆς διαιρέσεως ἐχούσης, καὶ θεότητος, ἐπείπερ τοῦ ἀκτίστου, καὶ κτίσεως μηδὲν εἶναι τὸ μέσον, βεβαιούσης, πᾶν ὃ τῆς κτίσεως παρήλλακται, τῇ θείᾳ οὐ παρήλλακται δηλονότι. εἰ τοίνυν διὰ πλειόνων παρ' ἡμῶν ἐδείκνυτο τῆς μὲν κτίσεως διαλλάττειν ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἐπεὶ μηδενὶ κτιστῷ συνηρίθμηται, τῷ δὲ πατρὶ πανταχοῦ συνέζευκται, πῶς οὐ τῆς ἐσχάτης ἀπονοίας ἐστὶ τὸ μὴ τῆς ἀκτίστου οὐσίας αὐτὰ νομίζειν; τῶν γὰρ δύο τὸ ἕτερον ἀναγκαίως διαπεποίηται· δεῖ γὰρ ἢ, τῆς κτίσεως αὐτὰ δεικνύντα, τῆς ἀκτίστου ἀφορίζειν· ἢ, τῆς ἀκτίστου ἀποδεικνύντα, τῆς κτίσεως ἀναγκαίως χωρίζειν· ἀλλὰ καὶ τῆς κτίσεως ἐφάνη κεχωρισμένα, καὶ τῇ ἀκτίστῳ συνεζευγμένα· μέσον δὲ τούτων ὡμολογήθη μηδέν· λειπόμενον ἂν εἴη τοῦ κοινωνεῖν αὐτὰ τῆς οὐσίας, ᾧ καὶ πανταχοῦ συνεζεύχθησαν. εἰ γὰρ ὅπερ εἴρηται (καλὸν γὰρ ἀναλαβεῖν πρὸς ἐντελεστέραν ἀπόδειξιν) ἐπί τε τῆς ἐν Χριστῷ τοῦ κόσμου μαθητείας, ἐπί τε τῆς διδαχῆς τοῦ ἁγίου πνεύματος, ἔτι μὴν καὶ ἐπὶ τῆς θείας διδασκαλίας, καὶ τῆς τοῦ παντὸς δημιουργίας, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῆς κατ' ἐξουσίαν αὐθεντίας, παραπλήσια καὶ ταὐτὰ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος παραδίδοται, τίς οὕτω σκαιὸς διαμφισβητεῖν περὶ τῆς κατ' οὐσίαν ἀλλήλων κοινωνίας; ἕνα τοίνυν Θεὸν προσήκει ὁμολογεῖν ἐν πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι γνωριζόμενον· ᾗ μὲν πατήρ, καὶ υἱός, καὶ πνεῦμα ἅγιον, τῆς μιᾶς θεότητος τὰς ὑποστάσεις γνωρίζοντας· ᾗ δὲ Θεός, τὸ κατ' οὐσίαν κοινὸν τῶν ὑποστάσεων νοοῦντας. μονὰς γὰρ ἐν τριάδι νοεῖται, καὶ τριὰς ἐν μονάδι γνωρίζεται. καὶ πῶς τοῦτο, διερωτᾶν οὔτ' ἄλλους ἐβουλόμην, οὔτ' αὐτὸς ἐμαυτὸν δυναίμην πείθειν τοὺς περὶ τῶν ἀπορρήτων λόγους γλώττῃ πηλίνῃ καὶ σαρκίῳ ῥυπῶντι κατατολμᾶν. εἰ γὰρ καὶ νοῦς ἡμῖν καθαρὸς ἐνίδρυται, δι' οὗ τῶν ὑπὲρ ἡμᾶς πολλάκις τῷ λόγῳ περιδραττόμεθα, ἀλλά γε τῇ συζύγῳ σαρκὶ βαρυνόμενος, ἀτονεῖ πρὸς τὴν ἐναργῆ τῶν μειζόνων κατάληψιν· ἐπείπερ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. οὐδενὶ οὖν ἂν τρόπῳ ἀνθρώποις ἐστὶ δυνατὸν ἐξικέσθαι τῆς πρώτης ἐκείνης καὶ μακαρίας οὐσίας· καὶ τί λέγω τῆς θείας οὐσίας; ἀλλ' οὐδὲ τῶν περὶ αὐτὴν μυστικῶς τελουμένων. οὐδὲν ,, γὰρ ἀνθρώποις τῶν θείων σαφές, ὡς Ἑλλήνων σοφός τις ἐφθέγξατο· ἐγὼ δὲ λεχθὲν ὡς ἀληθὲς δέχομαι. ὅταν γὰρ ἀκούσω τοῦ Παύλου τοῦ σκεύους τῆς ἐκλογῆς, τοῦ τρίτον οὐρανὸν ἐμβεβηκότος, τοῦ ῥημάτων ἀρρήτων ἀκηκοότος, ἃ μὴ θέμις γλώσσαις

& possit: creati aūt, quod ediuerso seruituti sit obstrictū, ac legib. herilib. obsequatur; & quod insuper, quā a Deo accepit ministrādi functionē, tantūmodo obire valeat impleatq;. Porro cū diuisio ita habeat, atq; Diuinitas, quæ vtiq; increata est, & creatura, nihil prçterea mediū esse [siue tertiū] cōfirmet: quidquid a creatura variat, a diuina videlicet natura nō variat. Itaque cū pluribus a nobis sit ostensum, Filium quidem & Spiritum sanctum a creatura longe differre, eo quod cum nulla re condita connumerentur, Patri autē vbique coniunctos esse: quomodo extremæ demētiæ non fuerit, non increatæ eos substantiæ esse opinari? Duorum sane alterum nō cōsistere necesse est. Oportet enim eos, vel creatos esse demonstrantē, ab increato separare; vel increatos esse ostēdentē, a creatura secernere necessario. Sed enim satis apparet & a creato disiūctos & increato cōiūctos esse: mediū aūt inter hęc, pro cōfesso positū est, esse nihil. Quocirca reliquū fuerit, cū quo vbiq; sunt cōiuncti, cōmunē illos cū eodē habere naturā & essentiā. Nam si, quod dictum est (pulchrum enim fuerit, perfectioris demōstrationis gratia, idem repetere) in mundi per CHRISTVM disciplina, in Spiritus sancti institutione, in diuina insuper doctrina, atque in ipsa rerum vniuersarum creatione, denique in summæ potestatis auctoritate, persimilia, atq; adeo eadē, de Patre & Filio & Spiritu sancto prodita sunt: quis ita sinistro fuerit animo, vt de æquabili inter ipsos essentiæ communione ambigat? Quapropter vnum nos conuenit profiteri Deum, cuius est in Patre & Filio & sancto Spiritu notio: qua quidem Pater & Filius & Spiritus sanctus, vnius Diuinitatis existētias agnoscentes: qua vero Deus, existentiarum, secundum naturam & essentiam, communionem intelligentia complectētes. Vnitas namque in Trinitate intelligitur, & Trinitas in vnitate agnoscitur. Quonam vero id modo, neque ex aliis percunctari ipse velim, neque mihi ipsi persuadere possim, rerum arcanarum & ineffabiliū rationem, vt lingua lutea & carne squalida proferre audeam. Tametsi enim mens pura in nobis sedem suam habeat, per quā nō raro ea quæ supra nos sunt, ratione cōprehendimus: attamen, quæ ei coniuncta est, carne grauata, illa infirmior redditur quam vt rerum maiorum manifestam assequatur cognitionem. nam mentē multa secum agitantem, terrenum deprimit tabernaculum. Idcirco nemini omnium, quatenus homo fuerit, concessum est, vt pertingere ad primam illam ac beatā naturam & essentiā queat. Diuinā naturā aūt? immo ne ad ea quidem quæ de illa mystice & arcane in rebus sacris peragūtur. Nihil enim hominib. de reb. diuinis liquido constat: sicuti ex Græcorū sapientibus quidam dixit. Quod sane quidē dictum, vt veritatem ipsam, accipio. Cū namque audiam Paulum, organū illud electū, qui in tertium euasit cælū, qui verba arcana audiuit quæ nefas est

humanis eloqui linguis, qui in seipso loquentē habuit verborū subministratorem ipsum, cognitionis sibi particulā testimonio suo attestantem & dicentem; *Nunc cognosco ex parte; tunc vero cognoscam quēadmodum & cognitus sum*: item; *Ex parte cognoscimus, & ex parte prophetamus*: quomodo eis qui homines sunt, perfectam diuinorū cōtingere posse cognitionem, credā? Quod si enim Paulo, qui ad tantā peruenit mensuram, tenuis quædam ex parte contigit cognitio: (nam Per speculū & In ænigmate cernere, tenuitatem obscuritatemq; designat) quisnam ad vecordiam tam erit præceps & audax, vt sibiipsi testimonio suo absolutam rerum diuinarum arroget intelligentiam? Illico autem & nos, arcana plane esse ineloquibilia scientes, Dauidis ad rerum vniuersarum Deum verba protulerimus: *Mirabilis facta est scientia tua ex me: confortata est: non potero ad eam.* Atq; hæc quidem & dicere sanctum est, & sentire sanctius. Rebus enim diuinis quasi via decedere, pii fuerit & prudentis viri. Quamobrem diuina, quantum & ad inquisitionem satis est, & ad veræ religionis cultū pie decet, considerabimus. Non enim quod Deitas intelligentia nostra plane sit incōprehensibilis, propterea par est, nihil nos de ea omnino scrutari, sed in desidia vitæ huius consumere tempus. Proinde iuxta mēsuram a Domino cuilibet tributam, studiose quisq; cognitionem inuestigare debet: quod quidem exactam scientiam cōsequi non sit, persuasum habentes; quantū autem pro captu nostro possumus, nos ipsos illi per contemplationem adiungētes. Sic igitur Filium ex Patre genitū esse intelligimus, veluti lumē de lumine relucens. Sufficit enim imago huiusmodi, ad coæternitatem, & substantiæ vnitatem siue identitatem, & natiuitatis perpessionis omnis expertis rationem astruendam. Nā quatenus reluxit, simul cum eo vnde reluxit, sine tempore extitit: quonam enim intermedio tempore luminis relucētia est interrupta? Quatenus autem lumen de lumine, luminis rationem declarat, a quo etiam genitum est: quatenus item lumen, eius quoque quod gignitur generatio passioni minime subiecta est. haud quaquam namque per sectionem, aut fluxum, aut interstitium luminis, relucētia fit; sed e substantia ipsa, præter perpessionem omnem, progreditur. Eandem quoq; notionem de Spiritu sancto tenemus. nam sicuti Filius ex Patre, ita & Spiritus: excepto quod existentiæ modo, differentia quædam intercedit. Ille siquidem lumen de lumine, geniti modo reluxit: hic vero, de lumine lumen & ipse, non genitus, sed procedentis modo progressus est. Ita nos cum Patre coæternum, ita substantia vnū & eundem, ita inde extra perpessionem omnem procedentem: ita in Trinitate vnitatem, & in vnitate Trinitatem cognoscimus. Hæc pro captu nostro consequuti, & mensuram hanc cognitionis a Domino nacti, Ecclesiæ filiis, id quod cōprehendere potuimus, exponimus: ita tantisper

ἀνθρωπίναις ἐκλαλεῖν, τοῦ λαλοῦντα ἐν ἑαυτῷ ἔχοντος τὸν τῶν λόγων χορηγὸν, μερικὴν τὴν γνῶσιν ἐν ἑαυτῷ προσμαρτυροῦντος, καὶ λέγοντος, Ἄρτι γινώσκω ἐκ μέρους· τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην:- καὶ πάλιν, Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν:- πῶς τὴν τελείαν τῶν θείων γνῶσιν ἀνθρώποις οὖσι πιστεύσω; εἰ γὰρ τοῖς εἰς τὸ Παύλου μέτρον ἐφθακόσιν, ἀμυδρά τις καὶ μερικὴ γέγονε, (τὸ γὰρ δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι βλέπειν, τὸ ἀμυδρὸν παραινίσσεται) τίς οὕτω πλημμελὴς πρὸς ἀπόνοιαν, ὡς τελείαν τῶν θείων γνῶσιν ἑαυτῷ προσμαρτυρεῖν; αὐτίκα δὲ καὶ ἡμεῖς τὸ τῶν ἀπορρήτων ἀνεξόδευτον εἰδότες, τὰ τοῦ Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεὸν ἐπιφθεγξόμεθα. Ἐθαυμαστώθη ἡ γνῶσις σου ἐξ ἐμοῦ· ἐκραταιώθη· οὐ μὴ δυνώμαι πρὸς 177
αὐτήν:- Ἀλλὰ ταῦτα μὲν καὶ λέγειν ὅσιον, καὶ φρονεῖν ὁσιώτερον· τοῖς γὰρ θείοις παραχωρεῖν, εὐσεβοῦς ἀνδρὸς ἂν εἴη καὶ σώφρονος. οὐκοῦν ὅσον μὲν τῶν θείων εἰς ἀσφαλῆ ἔρευναν, ὅσον δὲ πρὸς εὐσεβῆ θρησκείαν θεοπρεπῶς νοοῦμεν. οὐ γὰρ ἐπειδὴ πάμπαν ἀκατάληπτον τὸ θεῖον, διὰ τοῦτό που πάντως μηδόλως ζητεῖν περὶ αὐτοῦ προσήκει, ἀλλ' ἐν ῥᾳστώνῃ τὸν τοῦ βίου καταναλίσκειν χρόνον· κατὰ δὲ τὸ μέτρον τὸ μερισθὲν ἑκάστῳ παρὰ τοῦ Κυρίου, τῆς γνώσεως τὴν ἐξέτασιν φιλοπόνως ποιεῖσθαι· ὅτι μὲν ἀκατάληπτον ἀκριβῶς πεπεισμένους· ἐφ' ὅσον δὲ χωροῦμεν, διὰ τῆς θεωρίας, ἑαυτοὺς ἐκείνῳ συνάπτοντας. οὕτω τοίνυν νοοῦμεν τὸν υἱὸν ἐκ πατρὸς γεγεννῆσθαι, ὡς φῶς ἐκ φωτὸς ἐκλάμψαν. ἱκανὴ γὰρ ἡ εἰκὼν παραστῆσαι τό τε συναΐδιον, τό τε τῆς οὐσίας ταὐτὸν, τό τε τῆς γεννήσεως ἀπαθές. ᾗ γὰρ ἐξελάμφθη, τῷ ἐκλάμψαντι ἀχρόνως συνυπέστη. τίνι γὰρ φωτὸς ἔκλαμψις χρόνῳ μέσῳ διακόπτοιτο; ᾗ δὲ φῶς ἐκ φωτὸς, τὸν λόγον τοῦ φωτὸς δηλώσειεν, ἀφ' οὗ καὶ γεγέννηται· ᾗ δὲ πάλιν φῶς καὶ τὸ γεννώμενον, ἀπαθὴς ἡ γέννησις ἂν εἴη. οὐ γὰρ κατὰ τομὴν, ἢ ῥεῦσιν, ἢ διάστασιν, τοῦ φωτὸς ἡ ἔκλαμψις γίνεται, ἀλλ' ἐκ τῆς οὐσίας αὐτῆς ἀπαθῶς προέρχεται. τὴν αὐτὴν δὲ γνῶσιν καὶ περὶ τοῦ ἁγίου πνεύματος κατέχομεν, ὅτι ὥσπερ ὁ υἱὸς ἐκ τοῦ πατρὸς, οὕτω καὶ τὸ πνεῦμα· πλὴν γε δὴ τῷ τρόπῳ τῆς ὑπάρξεως διοίσει. ὁ μὲν γὰρ, φῶς ἐκ φωτὸς γεννητῶς ἐξέλαμψε· τὸ δὲ, φῶς μὲν ἐκ φωτὸς καὶ αὐτὸ, οὐ μὴν γεννητῶς, ἀλλ' ἐκπορευτῶς προῆλθεν· οὕτως συναΐδιον πατρὶ, οὕτως τὴν οὐσίαν ταὐτὸν, οὕτως ἀπαθῶς ἐκεῖθεν ἐκπορευθέν. οὕτως ἐν τῇ τριάδι τὴν μονάδα νοοῦμεν, καὶ ἐν τῇ μονάδι τὴν τριάδα γνωρίζομεν. ταῦτα χαρισάμενοι, καὶ τοῦτο τὸ μέτρον παρὰ τοῦ Κυρίου τῆς γνώσεως λαβόντες, τοῖς υἱέσι τῆς ἐκκλησίας τὸ καταληφθὲν ἐκτιθέμεθα, οὕτω μὲν

φρονεῖν παρακαλοῦντες, ἕως ἂν πλεονεστέραν τῆς γνώσεως τὴν ἔκλαμψιν δέξωνται· ἐπεὶ γελοῖς παρ' ἡμῶν ἐκτεθεῖσι σὺν ἐπιμελείᾳ προσέχειν, σωφρονικόν. οὐ γάρ τι κομψὸν, ἢ ὑπέρογκον, ἢ μεγαλαυχίας ἔχον ἀπόδειξιν ἐφαντάσθημεν· ὅσον ἢ εὐσεβὲς μᾶλλον καὶ πρέπον τῇ θείᾳ γνώσει, κατὰ δύναμιν συλλέξαντες, τῆς μιᾶς θεότητος τὴν ἐν τελείαις τρισὶν ὑποστάσεσι γνῶσιν ἐξεθέμεθα. Οὕτω καὶ περὶ τῆς μακαρίας καὶ θείας τριάδος δοξάζοντες, ἐπὶ τὴν ἐξ οἰκονομίας χάριν τοῦ λόγου τῷ λόγῳ προσέλθωμεν. ἄρρητος μὲν γὰρ καὶ τῆς οἰκονομίας ὁ λόγος. τῷ δὲ λόγῳ τῷ πρώτῳ κατὰ δύναμιν πάλιν ἡμῖν καὶ τοῦτον ἐξεταστέον. ὅτε τῶν οἰκείων πλασμάτων συνειδὼν ὁ λόγος χρῆναι τὴν ἀνάπλασιν γενέσθαι, καὶ τῆς τοῦ Ἀδὰμ ἁμαρτίας, ἣν παραβὰς ὤφλησε, τὸ χρέος ἀποδοθῆναι· τότε δὴ, τῶν οὐρανῶν οὐκ ἀποστὰς, πρὸς ἡμᾶς καταλήλυθεν. οὐ γὰρ ἦν σώματος ἡ κατάβασις, ἀλλὰ θείας ἐνεργείας βούλησις· μέσῃ δὲ παρθένῳ, ἐκ Δαυιτικοῦ καταγομένῃ τοῦ γένους, διὰ τὰς πρὸς αὐτὸν ἐπαγγελίας, πρὸς τὴν τῆς οἰκονομίας χρῆσιν χρησάμενος, καὶ πρὸς τὴν νηδὺν εἰσδὺς, οἱονεί τις θεῖος σπόρος, πλάττει ναὸν ἑαυτῷ τὸν τέλειον ἄνθρωπον, μέρος τι λαβὼν τῆς ἐκείνης φύσεως, καὶ εἰς τὴν τοῦ ναοῦ διάπλασιν οὐσιώσας. ἐνδὺς δὲ αὐτὸν κατ' ἄκραν ἕνωσιν, υἱὸς Θεοῦ προῆλθεν ἄμφω τὰς φύσεις. ἐξ ἐκείνου γὰρ ὁ υἱὸς, καὶ Θεὸς, καὶ ἄνθρωπος. οὕτω τὴν καθ' ἡμᾶς οἰκονομίαν ἐπλήρωσεν· ἐπειδήπερ ἁμαρτὼν ὁ Ἀδὰμ, θανάτῳ τὸ γένος ὑπέβαλε, καὶ τὴν φύσιν ὅλην ὑπεύθυνον τῷ χρέει πεποίηκε. Θεὸς ὑπάρχων ὁ υἱὸς καὶ ἄνθρωπος, ἀνακαλεῖται τοῦ Ἀδὰμ τὸ παράπτωμα· καὶ ᾗ μὲν ἄνθρωπος, ἀμέμπτως πολιτεύεται, καὶ θάνατον ἑκούσιον καταδέχεται· διὰ
178 μὲν τῆς ἄκρας πολιτείας ἀφανίζων τὸ παράπτωμα, διὰ δὲ τοῦ μὴ χρεωστουμένου θανάτου καταργῶν τὸ ὀφειλόμενον· ᾗ δὲ Θεὸς, καὶ τὸ λυθὲν ἀνίστα. καὶ τὸν θάνατον αὐτὸν παντελῶς καταλύει. εἷς οὖν ἐστιν ὁ υἱὸς, ὅ τι λυθεὶς, ὅ τε τὸ λυθὲν ἀναστήσας. ᾗ γὰρ ἄνθρωπος, ἐλύθη· ᾗ δὲ Θεὸς, ἀνέστησεν. ὅταν οὖν ἀκούσῃς περὶ τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνὰς, κατ' ἀλλήλας μέριζε ταῖς φύσεσι τὰ λεγόμενα· ἂν μέγα τι καὶ θεῖον, τῇ θείᾳ φύσει προσνέμων· ἂν δέ τι μικρὸν καὶ ἀνθρώπινον, τῇ ἀνθρωπίνῃ λογιζόμενος. οὕτω γὰρ καὶ τὸ τῶν φωνῶν ἀσύμφωνον διαφεύξῃ, ἑκάστης ἃ πέφυκε δεχομένης φύσεως· καὶ τὸν υἱὸν τὸν ἕνα, καὶ πρὸ πάντων αἰώνων, καὶ πρόσφατον κατὰ τὰς θείας γραφὰς ὁμολογήσεις. καὶ μή τις τῆς ἑνώσεως διερωτάτω τὸν τρόπον· οὐ γὰρ αἰδεσθήσομαι τὴν ἄγνοιαν ὁμολογῶν· τοὐναντίον δὲ καὶ μᾶλλον καυχήσομαι, τοῖς ἀπορρήτοις πι-

tantisper sentiendum esse cohortantes, dum perfectiorem scientiæ recipiant lucem. Mentem certe quidem cum cura expositioni huic nostræ adhibere, prudentiæ sobrietatisque fuerit. nihil enim quod adscitum ponderosumq; sit, aut quod iactantiæ ostentationem habeat, in animo nostro sumus imaginati: sed potius id quod veræ pietatis est, & cognitioni diuinæ congruit, cum pro virili nostra collegissemus, vnius diuinitatis in tribus perfectis subsistentiis notionem, explicatione sumus complexi. Eiuscemodi de beata & diuina Trinitate obtinentes sententiam, ad eam quæ ex œconomia, dispositione, administrationeque Verbi, nobis obuenit, gratiam, oratione accedamus. Ineffabilis namque etiam est œconomiæ ipsius ratio. Ratione vero primaria pro virili nostra, & hæc nobis itidem est examinanda. Cum opus esse sibi conscium esset Verbũ, vt figmenta ipsum sua refingeret, & supplicii Adæ, cui præuaricatione ille factus est obnoxius, dissoluendum esset debitum: tum illud, cælo non decedens, ad nos descendit. non enim corporis erat ille descensus, sed diuinæ operationis voluntas. Et virgine quæ genus a Dauide, propter promissiones ei factas, duceret, intermedia, ad œconomiam expediẽdam vtens, & vterum eius vt diuinum quoddã semen ingrediens, sibiipsi templum formauit: hominem integrum, particula aliqua ex illius natura accepta, & fingendo templo in substantiam eius redacta. Hoc ipso indutus, iuxta summam vnionem, Filius Dei vtraq; natura processit. Ex illo enim Filius, & Deus & homo. Ad hunc modum œconomiam inter nos, prouinciamque suam, obiuit impleuitque. Quandoquidem enim peccato suo Adam morti genus humanum subiecit, & naturam cũctam debito obnoxiam reddidit: quod Filius & Deus esset & homo, transgressionem lapsumque Adæ reuocauit atque aboleuit: ac quatenus homo, cum sine crimine innocenter vitam egit, tum voluntariam subiit mortem; per conuersationem quidem summam & exactam, lapsum euacuans; per mortem aũt indebitam, debitũ exstinguens: quatenus vero Deus, & quod solutum erat restituit, & mortem ipsam prorsus soluit. Vnus ergo est Filius, qui & solutus est, & id quod solutum fuerat restituit. qua namque homo, solutus est: qua vero Deus, restituit. Itaque cum de vno Filio voces inter se diuersas audieris, conuenienter ea quæ dicũtur inter se collata, naturis distribue: si quid magnum atq; diuinum, naturæ diuinæ adscribens; sin paruũ & humanũ, humanæ imputans. Hoc nãq; pacto tũ vocũ dissonantiã euitabis, qualibet, quod sibi insitũ est, natura recipiente: tum vnum Filium, & ante omnia secula, & recens editum, de sacrarũ litterarum sententia profiteberis. Ne me vero quisquã de vnionis modo percõtetur: nõ enim me pudebit fateri ignorãtiã. Quin cõtra potius gloriabor quoq; me arcanis minime vulgãdis fi-

dem habere: & mysten doctoremque esse eorum sacrorum, ad quorum perceptionem ratio & mens, propter debilitatem suam languet. Quocirca neque ex me, neque ex alio clare quidquam & dilucide de hisce discere velis. Sin pro mentis nostræ captu, de re tanta aliquid nosse cupis: nulla obstat inuidia [quo minus id explicemus] apud Ecclesiæ liberos. Porro ad ea quæ diximus, illo insuper adiecto, peropus esse eis qui expositionem eiusmodi aggrediuntur, momento & auxilio cælesti: ad id quod pro viribus nostris assequuti sumus, dicendũ venio. Nonnulli vnionem eam veluti animæ cũ corpore, mẽte complexi, ita prodiderunt. Et congruens est exemplum; tametsi non ex omni parte; aliquatenus tamẽ. Quemadmodũ namq; vnus est homo, & naturas inter se differẽtes duas in se obtinet: ac per alteram quidẽ ratiocinatur, per alterã vero quod ita ratione cõcepit, efficit: (animo siquidẽ, si forsita ferat, nauigii cõpagem cõplexus, manibus structuram in animo conceptam ad finem perducit) ita Filius, cum vnus sit, & duæ naturæ; altera, diuina edit miracula; altera, humilia excipit. Qua enim ex Patre & Deus est, res admirandas operatur: qua vero ex virgine & homo, crucem, passionem & consimilia, suapte voluntate, naturaliter perfert. Hucusque, si quis exemplum hoc recipiat, recte se habeat comparatio. At si rursum rem totam similitudini conferas, differentia apparebit. Nam homo, etiamsi duplicem in se ostendat naturam, non duæ tamen naturæ est, sed ex duabus naturis constat. Vt enim corpus componitur quidem ex igne, & aere, & aqua, & terra; minime vero iam corpus esse dixeris ignem, aut aerem, aut quidquã aliorum: (non enim idem est cum his vnde constat: diuersa quippe est ratio compositæ rei, & eorum vnde est composita) sic homo, quamuis e corpore & anima cõstet, alius est tamen quam sunt ea vnde cõstat. Porro id quod dico, hoc modo intelligas clarius. Ex diuersa materia domũ cõstruimus; cæterum domum nemo esse idẽ dixerit quod omnifariam materiam, vnde ea est constructa. nõ enim simpliciter cementa, & tigna, & alia, domus sunt. hoc namque si esset, ante ædificium, materiã ipsam disseparatam domum quispiam vocauerit. Sed enim huiusmodi variæ materiæ apta inter se coagmentatio, ædes nobis perficit. Cæterum ædibus dissolutis, manet quidem similiter pro se materia quæque rationẽ suam retinens: disperiisse autem ædes dicimus, quam eiuscemodi materiæ cõpago absoluit. Ita & in homine, tametsi is ex animo & corpore subsistat, nõ idem tamẽ cum eis est vnde subsistit, sed aliud: adeo, vt homo e coagmẽtatione animi cũ corpore, perfectũ quiddã aliud tertiũq; fit. Id inde liquet, quod cõpage eorũ soluta, manet quidẽ ita corpus rationẽ cõseruãs suã. trifariã enim dimẽsionẽ retinet, licet mortuũ sit: & anima pariter, quæ ratione prædita

σύνην, καὶ μύστης τούτων ὑπάρχων, ὧν καὶ λόγος καὶ νοῦς ἀπονεῖ τὴν κατάληψιν. ὥστε μηδὲ ἐναργές τι περὶ τούτων, μήτε παρ' ἐμοῦ, μήτε παρ' ἑτέρου μανθάνειν θελήσῃς. εἰ δὲ ὅσον ὁ νοῦς ἡμῶν ἐχώρησε περὶ τούτου βούλει γνῶναι, φθόνος μὲν οὐδεὶς πρὸς παῖδας ἐκκλησίας· τοσοῦτον δὲ τοῖς λεγομένοις ἐπισημηνάμενος, ὡς δεῖ τοῖς ἐγχειροῦσι τὴν ἔκθεσιν τῆς ἄνωθεν ῥοπῆς τε καὶ συνεργίας, ἐπὶ τὴν εἰς δύναμιν κατάληψιν εἶμι. Τινὲς μὲν τὴν ἕνωσιν, ὡς ψυχῆς πρὸς σῶμα νοήσαντες, οὕτως ἐκδεδώκασι. καὶ ἁρμόδιόν γε τὸ παράδειγμα, εἰ καὶ μὴ κατὰ πάντα, κατά γε τι γοῦν. ὡς γὰρ εἷς μέν ἐστιν ὁ ἄνθρωπος, ἔχει δὲ φύσεις ἐν ἑαυτῷ διαφόρους δύο· καὶ κατ' ἄλλο μὲν λογίζεται, κατ' ἄλλο δὲ τὸ λογισθὲν ἐνεργεῖ· ψυχῇ μὲν γὰρ λογισάμενος, εἰ τύχοι, τοῦ πλοίου τὴν σύμπηξιν, χερσὶ τὸ νοηθὲν εἰς πέρας ἄγει· οὕτως ὁ υἱὸς, εἷς ὢν καὶ δύο φύσεις, κατ' ἄλλην μὲν τὰς θεοσημείας ἐργάζεται, κατ' ἄλλην δὲ τὰ ταπεινὰ παραδέχεται. ἡ μὲν γὰρ ἐκ πατρὸς, καὶ Θεὸς, ἐνεργεῖ τὰ θαύματα· ἡ δὲ ἐκ παρθένου, καὶ ἄνθρωπος, τὸν σταυρὸν καὶ τὸ πάθος, καὶ τὰ παραπλήσια ἐθέλων ὑπέμεινε φυσικῶς. εἴ τις ἕως τούτου τὰ τοῦ παραδείγματος δέχοιτο, ἔχει καλῶς ἡ εἰκών· εἰ δὲ πάλιν ὅλον ὅλῳ τῷ παραδείγματι συγκρίνει, τὰ τῆς διαφορᾶς ἀναφανήσεται. ὁ γὰρ ἄνθρωπος, εἰ καὶ διττὰς ἐν αὐτῷ δεικνύει φύσεις, οὐ δύο φύσεις ἐστὶν, ἀλλ' ἐκ τῶν δύο. ὡς γὰρ τὸ σῶμα σύγκειται μὲν ἐκ πυρὸς, καὶ ἀέρος, καὶ ὕδατος, καὶ γῆς, οὐκέτι δὲ τὸ σῶμα πῦρ εἴποις εἶναι, οὐδὲ ἀέρα, οὐδέ τι τῶν ἄλλων· οὐδὲ γὰρ ταυτὸν τοῖς ἐξ ὧν ἐστιν· ἔπει καὶ διάφορος ὁ λόγος τοῦ τε συγκειμένου, τῶν τε συντεθέντων· οὕτως ὁ ἄνθρωπος, εἰ καὶ ἐκ ψυχῆς καὶ σώματός ἐστιν, ἕτερος παρὰ τὰ ἐξ ὧν ἐστιν. ὧδε δὲ μάθοις ὃ λέγω σαφέστερον. ἐκ διαφόρων ὑλῶν τὸν οἶκον οἰκοδομοῦμεν· ἀλλ' οὐκ ἄν τις εἴποι τὸν οἶκον ταυτὸν ὑπάρχειν ταῖς ὕλαις ταῖς ἐξ ὧν ἐστιν· οὐ γὰρ ἁπλῶς οἱ λίθοι, καὶ τὰ ξύλα, καὶ τὰ λοιπὰ, ὁ οἶκός ἐστιν· εἰ γὰρ τοῦτο ἦν, πρὸ τῆς οἰκοδομίας διῃρημένας αὐτὰς τὰς ὕλας οἶκον ἄν τις καλέσειεν· ἀλλ' ἡ τοιάδε τῶν ὑλῶν πρὸς ἄλληλα σύμπηξις, τὸν οἶκον ἡμῖν ἀποτελεῖν πέφυκεν. ἀμέλει τῆς οἰκίας λυθείσης, μένουσι μὲν ὁμοίως αἱ ὕλαι τὸν οἰκεῖον ἐπέχουσαι λόγον· ἀπολωλέναι δὲ φαμὲν τὴν οἰκίαν, ἣν ἡ τοιάδε τῶν ὑλῶν σύζευξις ἀπετέλεσεν. οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου. κἂν γὰρ ἐκ ψυχῆς καὶ σώματος ὑπάρχῃ, οὐ ταυτὸν ἂν εἴη τοῖς ἐξ ὧν ἐστιν, ἀλλ' ἕτερον· ὡς εἶναι τὸν ἄνθρωπον ἐξ αὐτῆς τῆς συναφείας ψυχῆς πρὸς σῶμα, τρίτον ἀποτελούμενον ἄλλο. καὶ τοῦτο δῆλον ἀφ' ὧν, τῆς διαζεύξεως τῆς τούτων γινομένης, μένει μὲν οὕτως τὸ σῶμα τὸν οἰκεῖον σώζον λόγον. τριχῇ γάρ ἐστι διαστατὸν, κἂν νεκρὸν ὑπάρχῃ· ἥ ψυχή τε ὁμοίως λογικὴ τυγχάνουσα,

κἂν διαζευχθῇ· ἀπόλωλε δὲ ὁ ἄνθρωπος, ὃν ἀπετέλεσεν ἑκατέρων ἡ σύζευξις. ὁ δὲ Χριστὸς οὐκ ἐκ θεότητος
179 καὶ ἀνθρωπότητος ἀπετελέσθη Χριστός, οὐκ ἄλλος ὢν παρὰ τὰ δύο, ἀλλὰ καὶ Θεὸς καὶ ἄνθρωπος ἑκάτερα τυγχάνει· Θεὸς μὲν νοούμενος τῇ τῶν τεραστίων ἐνεργείᾳ, ἄνθρωπος δὲ δεικνύμενος τῇ τῆς φύσεως ὁμοιοπαθείᾳ. ἄλλως δὲ πολλοῖς καὶ ἡ ψυχὴ τῶν τοῦ σώματος προκατεχομένη παθῶν, καὶ προπάσχει πολλάκις τοῦ σώματος· συμπάσχειν δὲ διηνεκῶς αὐτίκα φαίνεται, πολλάκις τὴν τομὴν τοῦ σώματος ἀγωνιῶσα, καὶ περὶ τὸ πάθος τοῦ σώματος ἀλλοιουμένη, καὶ μετὰ τὴν τομὴν οὐδὲν ἔλαττον τὰ τῆς ὀδύνης ἐμπαθῶς δεχομένη. ὅπερ ἐπὶ τῆς θεότητος τοῦ Χριστοῦ οὐκ ἄν τις τῶν ὀρθὰ φρονεῖν εἰωθότων, εἰ μὴ παντελῶς τὸν νοῦν παρενεχθῇ, τολμήσειεν ἢ εἰπεῖν, ἢ παραδέξασθαι· ὥστε τοῦ ἀνθρώπου τὸ παράδειγμα κατά τι μὲν δεκτέον, κατά τι δὲ φευκτέον. ἡμεῖς δὲ καὶ πάλαι μὲν προδιωμολογήσαμεν τῆς ἀληθείας ταύτης τὴν ἐναργῆ κατάληψιν μὴ νοεῖν δὲ· καὶ νῦν οὐδὲν ἔλαττον εὐγνωμονοῦμεν, ὁμολογοῦντες τὴν κατὰ τὸ μέτρον τὸ δοθὲν ἡμῖν γνῶσιν, ὅσον τι πρὸς εὐσεβέστερον ἐναργῆ λόγον, τὰ τοῦ παραδείγματος ἀνάγειν σπουδάζομεν, καὶ τὴν ἕνωσιν οὐ μικρᾷ τινι καὶ τῶν εὐτελῶν εἰκόνι παρεικάζειν ἐθέλομεν, ἀλλὰ μεγάλῃ, καὶ τῇ γεννήσει πρεπούσῃ τῇ ἐκ πατρός. ἐπειδὴ γὰρ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον ὁ λόγος, ἐκ φωτὸς ἐκλάμψας τοῦ ἀναιτίου, φῶς εἶναι καὶ τὸ παράδειγμα βούλομαι τῆς ἑνώσεως. νοείσθω τοίνυν ὁ λόγος, φῶς εἶναι τὸ ἀρχέγονον, ὃ πρώτῃ φωνῇ τοῦ Θεοῦ δι' αὐτοῦ τοῦ λόγου γεγένηται· σῶμα δὲ ἡλιακὸν, τὸ σῶμα τὸ ἀνθρώπινον, ᾧ κατ' ἀπόρρητον ὁ λόγος ἡνώθη. καὶ μή μοι τὸν ἥλιον φῶς ἕτερον παρὰ τὸ πρῶτον γενόμενον νόμιζε. οὐ γὰρ ὡς ἐλλείποντος τοῦ πρώτου πρὸς τὸν τοῦ παντὸς φωτισμὸν, ὁ ἥλιος γέγονε τὸ ἐλλεῖπον ἀναπληρῶν. οὐ γὰρ τοιοῦτος ὁ τεχνίτης, ὡς μήτε προειδέναι τὸ τέλειον, μήτε τὴν αὐγὴν πρὸς τὴν ἐξ αὐτοῦ παρεχομένην δημιουργῆσαι χρείαν. ἓν τοίνυν ἐστὶ τὸ φῶς τὸ ἀρχέγονον· ὁ δὲ ἥλιος σῶμα τούτῳ κατεσκευάσθη· ἐφ' οὗ συναιρεθὲν τὸ φῶς πανταχοῦ τὴν ἀρχὴν κεχυμένον ἐποχεῖται. τοῦτο καὶ τῶν ὡρῶν ἡμῖν τῆς ἡμέρας τὸν δρόμον διὰ τοῦ σώματος ἀμέμπτως ἀποπληροῖ. εἰ γὰρ μὴ ἐνεδέθη σώματι, ἀλλ' ὅλον ἐν ὅλῳ τῷ ἀέρι περιεκέχυτο, οὐκ ἂν ἡμῖν οὔτε τὰ μέτρα τῆς ἡμέρας διώρισεν, οὔτε κίνησιν εὔτακτον καὶ τὸν πεποιηκότα παρέστησεν. εἰ δέ μοι λέγοις ὅτι καὶ πρὸ τῆς τοῦ ἡλίου γενέσεως ἡμέρα καὶ νὺξ ἐγένετο, πρῶτον μὲν ὁμολογήσεις ὁμοίως, ὅτι ἤρκει τοῦ φωτὸς ἡ φύσις ἅπαντα καταυγάζειν· ἀκολούθως δὲ ζητήσεις λοιπὸν τῆς γενέσεως τοῦ ἡλίου τὴν αἰτίαν. εὑρήσεις γὰρ οὐκ ἄλλην οὖσαν, ἢ τὰ παρ' ἡμῶν ἀρτίως εἰρημένα. πάλαι μὲν γὰρ ὅλον δι' ὅλου τὸ φῶς τῷ ἀέρι περικεχυμένον,

prædita est, quamuis seiuncta: homo aūt interiit, quē vtriusq; coniunctio perfecit. Enimuero CHRISTVS non e diuinitate & humanitate CHRISTVS effectus est, neq; aliud est quam duo ista, vtraq; videlicet, hoc est & Deus & homo: qui Deus esse intelligitur, ex prodigiorū operatione: homo aūt ostenditur, ex æquabilib. [& irreprehēsibilibus] naturæ nostræ perpessionib. Præterea vero in multis anima perpessionib. corporis præoccupata, prius etiā quā corpus, persępe dolore afficitur. Compati aūt eam continue apparet, multoties sectionē corporis anxie reformidantē, & post sectionē nihilominus dolorem patientis modo capientem. quod quidē in CHRISTI diuinitate nemo recte sentiētiū, nisi omnino præter mentē feratur, & excors sit, aut dicere aut admittere audeat. Quapropter hominis exemplū aliquatenus recipiendum est, quadamtenus autē fugiendū. Nos sane etiam antehac, veritatis huius dilucidum professi sumus intellectū, nos intelligētia non assequi: ac in præsentia nihilominus bona fide simpliciter agimus, in medium producentes, pro modulo nobis cōcesso, cognitionem nostrā: &, quoad eius facere possumus, ad manifestiorem veræ pietatis rationem exemplū propositū referre studemus; atq; vnionem istam insuper cōferre, non cum exigua quapiam & tenui, sed ingenti, & eaquæ ex Patre natiuitatē deceat, similitudine, in animo habemus. Quia enim Verbū, ipsum lumē, in mundū venit, quod e lumine, cuius causa alia non exstat, reluxit: lumen quoq; exemplum vnionis istius esse volo. Consideret ergo mēte sua ratio originariam esse lucem, quam prima voce Deus per Verbū ipsum creauit: corpus autem solis, corpus humanum, cui inenarrabili ratione Verbū sit vnitū. Nec mihi solem lucem aliam quam principem illam, factam esse existimes. non enim tamquam primaria illa ad vniuersitatis illuminationem nō sufficiente, sol conditus est, vt defectum suppleret. Nō talis namq; est artifex, vt neq; perfectionem præuiderit, neque lucis splendorem abunde, ad præbitum a se vsum crearit. Vnum est igitur originarium lumen: Sol autem corpus ipsi effectum est, in quo lumen contractum vbiq; prorsus locorum, iam inde ab initio diffusum feratur. Hoc etiā nobis per corpus id, horarum diei cursum absolute perficit. nisi enim corpore deuinctum esset, sed totum per aerem totum diffunderetur: minime nobis certa dimensaque diei tempora designaret, neq; motionem ordinatam, & conditorem adeo ipsum non repræsentaret. Quod si mihi dicas, etiam ante solis generationem, diem & noctem fuisse: primum equidem similiter fatebere, satis fuisse lucis naturam idoneam ad omnia illustranda: deinde vero, quod consequens ac reliquum est, causam solis creati inquires: nec aliam tamen cōperies, quam quæ modo a nobis est dicta. Primitus nāq; lumē omnino totū in aere diffusum,

neq; æquabilem tenuit cursum, neq; diei certum designauit spacium: contractũ vero, nocti aditum dedit: ita vt verum plane sit, aliud esse lumen, & aliud quod lumen ipsum cõplectitur, solare corpus. Atq; ad hunc modum cũ se lumen ad corpus solis habeat, accuratius iam deinceps vosmet hanc ipsam rationem inspicite. nam, sicut post vnionem primigeniæ lucis cũ corpore solari, haudquaquam ea quis a se inuicẽ secernat; neq; hoc seorsum solem, neq; illud separatim lucem vocet, sed vnũ solem lucem ipsam vocet: ita in vera luce & sanctissimo corpore, nemo post vnionem singillatim hũc quidem Filium, diuinum videlicet Verbum; hunc autem itidem Filiũ, hominem nimirum, dicet: sed vtrumque vnum atq; eundem intelliget, sicut lumen vnum & solem vnum, tum lumen contractum, tum quod lumen ipsum complexũ est corpus. Item quemadmodum vnũ quidem lumen, & vnus sol: naturæ vero duæ; altera, luminis; & altera, corporis solaris: haud secus hic quoq; vnus quidẽ Filius, & Dominus, & CHRISTVS, & vnigenitus: naturæ aũt duæ; altera, quæ supra nos est; altera, nostra. Et rursum, vt in lumine lumẽ est, ipso actu siue agẽdi efficacia, quod lumen disiungere ab eo quod illud sit complexũ, corpore nequeas; ratione aũt si separes, naturã, cuius peculiariter efficacia ea siue actus sit, cognoscas: sic in vno Dei Filio, omnẽ quidẽ operãdi vim ab eo ipso vno & eodẽ Filio, siue vna eademq; filialitate, seiungere nõ est: rationis tamẽ intelligẽtia, naturã cuius id ꝓprie est quod fit, cõsequi licet. Huiuscemodi nos exẽplo diuinæ istius vnionis proposito, tamquam ad aliquã veræ pietatis notionẽ cõfugerimus: ac si ad veritatẽ ipsã prorsus nõ pertigimus, similitudinẽ tamen piæ quæstioni satisfacientẽ collegimus. Quod si tibi qdquã in his ad veritatẽ propius accedere videbitur, Deũ laudibus celebrato, qui hãc cognitionis mẽsuram cõcessit. Sin ab alio, quod pietati magis cõgruat, didicisti, ipsũ itidẽ beneficii auctorẽ laudato; qui, idẽ ipse cũ sit, per alium id apud te effecerit. Cæterũ cum abunde satis pro virili nostra professionem fidei rectam exposuerimus: vale Ecclesiæ filiis dicto, & gratiis ei qui rationem & orationem suppeditauit, actis, finem commentationi imponentes, decætero vitam tacito instituto agemus. At enim quosdam video orationem reuocare, & alterius stadium quæstionis ostẽdere, atque ad cursum denuo ineundum cogere; & fortasse experiendi gratia tentare, an nondum illa duplici decurso curriculo sit defatigata. Atqui illa, fontem imitata, qui quanto hauritur magis, tanto limpidiores profundit aquas; tota ad cursum propendet, & iam foribus prospectat, ac designatoris exspectat signum. Tu vero quæstionem indicare velis. parata namque illa est, rem aggredi, infidelitatẽ sternere, circumcludereque Deo bellum inferentes linguas; ac certo constituere quid

οὔτε κίνησιν ὁμαλὴν διέτρεχεν, οὔτε τῆς ἡμέρας τὰ μέτρα διώριζεν· ἀλλὰ συσταλθέμενον, τῇ νυκτὶ τὴν πάροδον ἐδίδου, ὥστε παντὸς ἀληθέστερον, ἕτερον μὲν εἶναι τὸ φῶς, ἕτερον δὲ τὸ ἡλιακὸν σῶμα τὸ τοῦτο δεξάμενον. οὕτως ἔχοντες τοῦ φωτὸς πρὸς τὸ ἡλιακὸν σῶμα, σκοπεῖτε λοιπὸν ὑμεῖς δι' ἀκριβείας τὸν λόγον. ὥσπερ γὰρ μετὰ τὴν ἕνωσιν τοῦ πρωτογόνου φωτὸς πρὸς τὸ ἡλιακὸν σῶμα, οὐκ ἄν τις ἀπ' ἀλλήλων αὐτὰ διέλοι, οὐδὲ τὸ μὲν ἥλιον ἰδιαζόντως καλέσαι, τὸ δὲ πάλιν φῶς διῃρημένως, ἀλλ' εἷς ἥλιος τὸ φῶς λέγεται· οὕτως ἐπὶ τοῦ ἀληθινοῦ φωτὸς, καὶ τοῦ παναγίου σώματος, οὐκ ἄν τις εἴποι μετὰ τὴν ἕνωσιν, τὸν μὲν κεχωρισμένως υἱὸν τὸν θεῖον λόγον, τὸν δὲ υἱὸν τὸν ἄνθρωπον· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἑκάτερα νοήσει, ὡς ἓν φῶς καὶ ἕνα ἥλιον, τό τε δεχθὲν φῶς, τό τε δεξάμενον σῶμα. πάλιν ὡς ἓν μὲν φῶς, καὶ εἷς ἥλιος· φύσεις δὲ δύο· ἡ μὲν, φωτός· ἡ δὲ, σώματος ἡλιακοῦ· οὕτω κἀνταῦθα, εἷς μὲν ὁ υἱὸς, καὶ Κύριος, καὶ Χριστὸς, καὶ μονογενής· φύσεις δὲ δύο· ἡ μὲν, ὑπὲρ ἡμᾶς· ἡ δὲ, ἡμετέρα. καὶ αὖθις, 180 ὥσπερ ἐπὶ τοῦ φωτὸς φῶς ἐστι τῇ ἐνεργείᾳ, ὃ οὐκ ἄν τις χωρίσειε τοῦ σώματος αὐτοῦ τοῦ δεκτικοῦ, τῷ λόγῳ δὲ διελὼν, γνωρίσειε τὴν φύσιν, ἧς ἐστιν ἰδία ἡ ἐνέργεια· οὕτως ἐπὶ τοῦ ἑνὸς υἱοῦ τοῦ Θεοῦ, πᾶσαν μὲν ἐνέργειαν οὐκ ἄν τις χωρίσειε τῆς μιᾶς υἱότητος, τῆς δὲ φύσεως ἧς ἐστιν οἰκεῖον τὸ γιγνόμενον τῷ λόγῳ γνωρίσειεν. οὕτως ἡμεῖς τὸ παράδειγμα τῆς ἑνώσεως τῆς θείας ποιήσαντες, ὡς ἂν ἐπ' εὐσεβεστέραν ἔννοιαν κατεφύγομεν, τῆς μὲν ἀληθείας αὐτῆς εἰ καὶ μὴ καθάπαξ ἐφικόμενοι, εἰκόνα γε μὴν ἐξαρκοῦσαν ἡμῖν πρὸς εὐσεβῆ ζήτησιν συλλεξάμενοι. τούτων εἰ δέ τι σοι δόξειεν ἐγγύτερόν πως τῆς ἀληθείας εἶναι, ἀνύμνει τὸν δεδωκότα τὸ γνώσεως τὸ μέτρον· εἰ δέ τι μᾶλλον εὐσεβὲς παρ' ἄλλου μεμάθηκας, αὐτὸν πάλιν ἀνύμνει τὸν κηδεμόνα· αὐτὸς γὰρ πάλαι ὢν, εἰς ἄλλον ἐνήργησεν. ἀποχρώντως τοίνυν εἰς δύναμιν τὴν ὀρθὴν ὁμολογίαν ἐκθέμενοι, χαίρειν μὲν τοῖς τῆς ἐκκλησίας υἱέσιν εἰπόντες, χάριν δὲ τῷ δεδωκότι τοῦ λόγου τὴν χορηγίαν ὁμολογήσαντες, ἐπὶ τῆς καθ' ἡσυχίαν διαγωγῆς τὸν λόγον ἀναστήσαντες τοῦ λοιποῦ βιοτεύσομεν. Ἀλλὰ γὰρ ὁρῶ τινὰς ἀνακαλουμένους τὸν λόγον, καὶ ζητήσεως ἑτέρας στάδιον ὑποδεικνύντας, καὶ τρέχειν αὖθις βιαζομένους, τάχα που καὶ πειρωμένους εἰ μὴ τοῖς προλαβοῦσι διαύλοις ἀπείρηκεν. ὁ δέ γε μιμεῖται πηγὴν, ἣ συνεχέστερον ἀντλουμένη, διειδέστερα προχεῖ τὰ νάματα. ὅλος δὲ νένευκε πρὸς τὸν δρόμον, καὶ τῶν θυρῶν οὐκ ἤδη ὅσον παρέκυψε, καὶ τοῦ σημαντῆρος ἀναμένει τὸ σύνθημα· σὺ δὲ βουλόμενος τὸ ζήτημα σημᾶναι· ἕτοιμος γὰρ ὁρμῆσαι καὶ καταβαλεῖν τὴν ἀπιστίαν, καὶ περικλεῖσαι τὰς θεομάχους γλώσσας, καὶ διαστῆλαι,

τί μὲν δεῖ περὶ τῶν θείων ζητεῖν, τί δὲ πιστεύειν, καὶ τοῦ δρόμου τῷ νόμῳ νικητὴς ἀναῤῥηθῆναι. Πῶς, φησὶν, ὁ Λόγος πανταχοῦ κατ' οὐσίαν ἐστὶ, καὶ πῶς ἐν τῷ οἰκείῳ ναῷ; εἰ γὰρ ὡς ἐν ἅπασι κἀκεῖ, οὐδὲν πλέον ὁ ναὸς τῶν πάντων ἕξει· καὶ ποῦ θήσομεν τό, Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; εἰ δ' ἐν τῷ ναῷ δοίη τις πλέον εἶναι, οὐ τοῖς πᾶσι κατ' οὐσίαν πάρεστιν· ὅπερ ἴδιον Θεοῦ. σαφὴς ἔλεγχος ἀπιστίας τὸ Πῶς περὶ Θεοῦ λέγειν. πῶς γὰρ οὐρανοῦ δημιουργὸς, πῶς γῆς, πῶς θαλάσσης, ἀέρος τε καὶ φυτῶν, καὶ τῶν ζώων ἁπάντων, καὶ σοῦ γε αὐτοῦ, τοῦ πάντα μετ' ἀκριβείας περὶ Θεοῦ ζητοῦντος; πάντως ἂν εἴποις, ὅτι δυνάμει περιουσίας ἅπαντα παρήγαγεν. ἆρ' οὖν ἡ τοῦ Θεοῦ δύναμις τοῖς γενομένοις κατὰ συμβεβηκὸς, ἢ κατ' οὐσίαν παρῆν; εἰ μὲν οὖν κατὰ συμβεβηκὸς, ὡς οὖσί γε, καὶ πρὸ τοῦ γενέσθαι· ἐπείπερ τὸ συμβεβηκὸς οὐ καθ' αὑτὸ πέφυκεν, ἀλλ' ἔν τισι προϋποκειμένοις ὑπάρχειν. εἰ δὲ γελοῖον τοῦτο, λείπεται κατ' οὐσίαν τὴν δύναμιν παρεῖναι πᾶσιν. ἆρ' οὖν ἐπειδὴ πᾶσι κατ' οὐσίαν ἡ δύναμις τοῖς γενομένοις παρῆν, οὐδὲν πλέον εἶχεν αὐτὸς ὁ κεκτημένος ναός; ἄπορος οὗτος ὁ λόγος, ἄπορος κἀκεῖνος, καὶ πίστις ἀμφοτέρων ἡ λύσις. εἶδες πῶς ὁρμήσας ὁ λόγος κατέβαλε τὴν ἀπιστίαν; βλέπε περιελκομένας τὰς θεομάχους γλώσσας. εἴπατε ἡμῖν οἱ τὸν Χριστιανισμὸν περιβάλλειν προσποιούμενοι, οἱ ἐπ' ἀναιρέσει τῶν δύο φύσεων τὰ τοιαῦτα καὶ ζητοῦντες καὶ προϊσχόμενοι, οἱ τὰ τῆς κράσεως καὶ συγχύσεως, καὶ τῆς ἀπὸ σώματος εἰς θεότητα μεταβολῆς, ἵνα κραθῇ, τὰς τοιαύτας ἐπαπορήσεις πραγματευόμενοι· οἱ ποτὲ μὲν εἰς σάρκα τὸν λόγον τετράφθαι λέγοντες, ποτὲ δὲ τὴν σάρκα εἰς λόγον οὐσιωθῆναι, καὶ διὰ τὰς τοιαύτας τοῦ νοὸς ὑμῶν παρεκτροπὰς, μηδ' ὁτιοῦν φρονεῖτε δῆλοι καθιστάμενοι. λέγετε τοίνυν ἡμῖν, πῶς ὁ λόγος σὰρξ γινόμενος, τοὺς οὐρανοὺς οὐκ ἔλιπε. πάντως ἐρεῖτε, ὅτι μείνας Θεὸς οὕτως ἐγένετο. πάλιν οὖν ἡμῖν εἴπατε, πῶς μείνας ἐγένετο. εἰ ἔμεινεν ὃ ἦν, πῶς γέγονεν ὃ οὐκ ἦν· εἰ δὲ γέγονεν ὃ οὐκ ἦν, 181 πῶς ἔμεινεν ὅπερ ἦν. ἀπορεῖς τὴν ἐπίλυσιν; ἀπόρει καὶ τῆς ἑνώσεως τὸν τρόπον. ἀλλὰ πιστεύεις ὅτι μείνας γέγονε, πίστευε καὶ παρεῖναι πανταχοῦ κατ' οὐσίαν τὸν λόγον, καὶ κατ' ἐξαίρετον ὑπάρχειν ἐν τῷ οἰκείῳ ναῷ. πάλιν ἐρωτήσωμεν, πῶς μετὰ τὴν ἕνωσιν ἀπεθεώθη τὸ σῶμα· ἆρ' εἰς θεότητος οὐσίαν μεταπεσὸν, ἔμεινε καὶ ἀνθρώπου σῶμα, ἄφθαρτον καὶ ἀθάνατον διὰ τὴν ἕνωσιν τοῦ λόγου διαμένον; ἀλλ' εἰ μὲν τοῦτο, μένει μὲν τὸ σῶμα σῶμα, εἴπερ οὐ σῶμα Θεὸς, μετείληφε δὲ θείας ἀξίας, οὐ φύσεως, εὐδοκίᾳ τοῦ λόγου. Εἰ δ' ὁ λόγος διὰ τὴν ἕνωσιν εἰς τὴν ἑαυτοῦ φύσιν τὸ σῶμα μετέβαλε, πάλιν ἡμῖν ἐρωτητέον,

quidnā conueniat de rebus diuinis percūctari & statuere, quid credere oporteat: atq; ita curriculi lege, a præcone victrix renunciari. *Quomodo*, inquit, *Verbū vbilibet est substantia sua, & quomodo in templo proprio?* Si enim, sicut in rebus cūctis, ita & ibi est; nihil præcipuū, præ rebus omnibus, tēplum habebit. & quo loco illud ponemus? *In quo inhabitat omnis plenitudo deitatis corporaliter?* Sin aliquis in tēplo præcipui quidquā esse concedat, in rebus omnib. substantia non aderit; quod peculiare Dei est? Manifestū est argumentū incredulitatis, verbo Quomodo? de Deo vti. Quomodo enim cæli conditor, quomodo terræ, quomodo maris, aeris, plantarum, & animantiū omniū, tuiq; adeo ipsius, qui cuncta exquisite de Deo percunctaris? Omnino certe quidē dixeris, omnia eum opulentiæ suæ virtute introduxisse atq; pcreasse. Verū igitur Dei virtus reb. cōdendis accidētiā an substātia affuit? Si accidentiā? videlicet tamquam ea quæ ante fuerit quam exstiterit. [Qui vero id fieri potest?] quandoquidem accidentia non per se ipsam constat, sed res aliquas iam antea exstantes consequitur. Sin hoc perridiculū est, restat vt virtus ea creaturis omnibus substātiā adsit. Num ergo, cū virtus ea creaturis vniuersis substātia affuerit, nihil præcipui templū, quod eam est cōplexum, habuit? Anceps hæc est, & inexplicabilis ratio: anceps nō minus & illa: & vtramq; soluit atq; expedit fides. Vides quomodo impetu suo infidelitatē Ratio & Oratio fuderit? Spectato vt linguæ aduersus Deū bellū mouentes circūclulæ teneantur. Dicite nobis, vos qui Christianismum profiteri assimulatis; qui duplicis naturæ tollendæ gratia, talia inuestigatis & obtenditis; qui mistionis & confusionis, & corporis in Deitatem, ita vt commisceatur, mutationis, eiuscemodi dubias ambiguitates cōcinnatis: qui nunc Verbū in Carnem cōuersum, nunc Carnem in Verbum substantia transiisse (siue substantiatū esse) asseritis; & per id genus mentis emotiones & deliriationes, vosmet ipsos ne tantillū quidem sapere, manifesto declaratis. Dicite ergo nobis, quomodo Verbum Caro factū, cælos non reliquit? Dicetis omnino, quod Deus permanēs ita factū sit. Ac rursū nobis dicite, quomodo permanens factū sit? Si, quod erat, māsit; quonam modo quod nō erat, factū est? Sin quod nō erat factū est; quomodo qđ erat, māsit? Animo incerto & ācipiti, de solutione quæstionis addubitas? addubita quoq; de vnionis modo. Sedenim quod permanens factū sit, credis: crede etiam vbiq; substātia verbū adesse, ac præcipue in templo suo esse. Interrogabimus rursum quo pacto post vnionē corpus sit Deificatū. An ne, cū in Deitatis substantiam transierit, hominis etiam corpus mansit, incorruptibile & immortale per Verbi vnionē perdurās? Verū hoc si ita habet, corpus manet corpus; (quādoqdē Deus corpus nō est) & diuinā illud dignationē non naturā participat, p bona ipsius Verbi volūtate. Sin Verbū per vnionē in naturā suā corpus trāsmutauit; denuo nobis quærēdū

quomodo in Verbi substantiam corpus sit transmutatū; vtrū id in substantiā Verbi versum, accessionē substātiæ attulerit? Atqui illa quæ sic accessionē receperit, defecta antea fuerit. At nihil ab hoc assumpsit. Ergo id quod versum est, nihil fuerit. Et quomodo quod nihil est, in diuinam trāsiit essentiā? Sed enim nō in propriā, dicēt, Verbū corpus resoluit substantiam, verū id in diuinā conuertit. Rursum nobis respōdeant, diuinā ne tamquā aliam a sua, an eandē cū sua? ac si quidem eandem cū sua, duas diuinas Verbi substantias prædicabimus: vnam videlicet, quam a Patre genitū habuit: alteram, iuxta quam & corpus sibi simile reddidit. Sin aliā a sua, non diuinam scilicet, sed creatā plane dicent. Inter Deitatē namq; & creaturā nihil est mediū.

Quæ vero necessitas mutationis corpori fuit, si quidem in substantiam creatam rursus est conuersum? At enim in perplexibilib. hisce quęstionib. fortasse æstuas, ac metuis ne eorū quidquam quæ dicta sunt, rationem fidei nostræ soluat & labefactet. Ego quidem certe, cū quæstionibus inuolutus dubius animi fuero, tum de mysterii Christianorū miraculo exclamabo, *res nostras longe supra mentem, supra rationem, supra conditā naturæ captū esse.* Tibi autem, talia etiam inquirenti cum inexplicabilis ambiguitas itidem incesserit, *fac fidem expeditā promptā*, qua ea quæ in quæstionē veniunt, soluas: illud in animo considerās, vbi Deus sit, quamuis ignoretur quidquā eorū quæ dicuntur, vel propter naturæ præstantiā, vel propter œconomiæ & dispensationis rationē, nihil inde detrimēti capere ignorantes. Quonam vero modo, propter audaciam res diuinas dirigere aggredimini? An diuina non audiuistis respōsa, quæ popularib. vestris eiuscemodi cœptis interdicētia, luti nobis & figuli imaginem proposuere: vt eo modo admonerent, haudquaquam nos curiosos esse, aut in res diuinas inquirere, sed diuinæ potius cedere debere voluntati, quemadmodum figulo lutum? Itaque religiosum aliquando tandem concipite metum, ac sensu, perquam moderato & æquo deliberationes nostras consopite: vt quæ nobis intercedunt, dubias quæstiones vna decidat fides: & sermones diuinos, iuxta id quod scriptum est extimescite; vt diuina digni habiti requiete, beatas illas a Deo rerum vniuersarum parēte exaudiatis voces, quæ sic habent: *Ad quem respiciam, nisi ad humilem & quietum, & trementem sermones meos?* Hisce verbis Deo rebellantibus linguis cohibitis, ad explicationem festinans currit oratio. Vos sane, qui Ecclesiæ estis filii, & quæstionem pie mouetis, earumque insuper rerum quæ in dubium veniunt, *percūctationes non tentandi animo, sed quoad eius fieri possit, discendi amore profertis*: ita mihi velim mentes instruatis vestras, *multifariam esse diuinæ doctrinæ formam*: colligi autem eam capitulatim, simul

πῶς εἰς τὴν οὐσίαν τοῦ λόγου μετεβλήθη τὸ σῶμα· ἆρα μεταβληθὲν εἰς τὴν οὐσίαν τοῦ λόγου, προσθήκην τῇ οὐσίᾳ παρέσχηκεν; ἐκείνη ἐλλιπὴς ἂν ἦν πρὸ τούτου, ἥγε προσθήκην δεξαμένη. ἀλλ᾽ οὐδὲν ἀπὸ τούτου προσέλαβεν· οὐκοῦν τὸ μεταβληθὲν οὐδὲν ἂν εἴη. καὶ πῶς εἰς θείαν τὸ μηδὲν μετέπεσεν οὐσίαν; ἀλλ᾽ οὐκ εἰς τὴν οἰκείαν, φησὶν, οὐσίαν ὁ λόγος ἀνέλυσε τὸ σῶμα, ἀλλ᾽ εἰς θείαν τοῦτο μετεποίησεν. πάλιν οὖν ἡμῖν ἀποκρινέσθωσαν. θείαν εἰς ἄλλην παρὰ τὴν αὐτοῦ, ἢ ταὐτὴν τῇ αὐτοῦ; εἰ μὲν γὰρ ταὐτὴν τῇ αὐτοῦ, δύο θείας οὐσίας τοῦ λόγου κηρύξομεν· μίαν μὲν, καθ᾽ ἣν ἐκ πατρὸς γεννηθεὶς ἔσχεν· ἑτέραν δὲ, καθ᾽ ἣν καὶ αὐτὸ τὸ σῶμα κατ᾽ αὐτὴν πεποίηκεν. εἰ δ᾽ ἑτέραν παρὰ τὴν αὐτοῦ, οὐ θείαν δὲ, κτιστὴν πάντως ἐροῦσι. θεότητος γὰρ καὶ κτίσεως οὐδὲν μέσον ἂν εἴη. καὶ τί τῆς μεταβολῆς τῷ σώματι τὸ ἀναγκαῖον, εἴπερ εἰς κτιστὴν οὐσίαν πάλιν μετεποιεῖτο; ἰλιγγιᾷς ἐπὶ ταῖς ἀπορήσεσι τάχα που, καὶ δέδιας μή τι τῶν εἰρημένων τὸν τῆς πίστεως ἡμῶν παραλύσῃ λόγον. ἀλλ᾽ ὅταν ἐγὼ ζητῶν ἐπαπορήσω, τότε τοῦ μυστηρίου τῶν Χριστιανῶν ἀνακράζω τὸ θαῦμα, ὅτι ὑπὲρ νοῦν, ὑπὲρ λόγον, ὑπὲρ κατάληψιν κτιστῆς φύσεως τὰ ἡμέτερα. ὅταν δὲ καὶ σοὶ τὰ τοιαῦτα ζητοῦντι ἀπορία τις ἐπίῃ, πρόφερε τοῖς ζητουμένοις ἑτοίμην λύσιν τὴν πίστιν, λογιζόμενος, ὅτιπερ ὅπου Θεὸς, κἂν ἀγνοηθῇ τι τῶν λεγομένων, ἢ δι᾽ ὑπεροχὴν φύσεως, ἢ δι᾽ οἰκονομίας τρόπον, οὐδεμία ἀπὸ τούτου βλάβη τοῖς ἀγνοοῦσιν ἐγγίνεται. πῶς δὲ ὅλως οὐ δεδίατε τὴν τόλμαν, τὰ θεῖα διαθύνειν ἐπιχειροῦντες; ἢ τῶν θείων οὐκ ἀκηκόατε λογίων, οἳ τοὺς καθ᾽ ὑμᾶς τῶν τοιούτων ἐγχειρήσεων ἀνείργοντες, τὴν τοῦ πηλοῦ καὶ τοῦ κεραμέως ἡμῖν εἰκόνα προεστήκασι; ταύτῃ παιδεύοντες μὴ δεῖν ἡμᾶς περιέργους, ἢ ἐξεταστὰς τῶν θείων καθίστασθαι, ἀλλ᾽ εἴκειν τῇ βουλήσει τῇ θείᾳ, καθάπερ τὸν πηλὸν τῷ κεραμεῖ. εὐλαβήθητε γοῦν ὀψέ ποτε, καὶ φρονήματι λίαν ἐπιεικεῖ τοὺς ὑμετέρους λογισμοὺς κοιμίσατε, καὶ τὰς ἐν ὑμῖν ἐπαπορήσεις πίστις ἐπιλυέτω μόνη, καὶ τοὺς λόγους τοὺς θείους κατὰ τὸ γεγραμμένον τρέμετε, ἵνα τῆς ἐπαναπαύσεως τῆς θείας ἄξιοι γενόμενοι, τῶν μακαρίων ἐκείνων ῥημάτων παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἐπακούσητε, "Ἐπὶ τίνα ἐπιβλέψω, λεγόντων, ἀλλ᾽ ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου;" Τούτοις περικλεισθεισῶν τῶν θεομάχων γλωσσῶν, πρὸς τὴν διασαφήνισιν ὁ λόγος ἐπειγόμενος τρέχει. ὑμεῖς δὲ οἱ τῆς ἐκκλησίας υἱεῖς, οἱ τὴν ζήτησιν εὐσεβῶς ποιούμενοι, καὶ τῶν ἐπαπορουμένων τὰς λύσεις οὐ πειράζοντες, ἀλλ᾽ εἰ δυνατὸν μαθεῖν ἐφιέμενοι προσάγοντες, ὧδέ μοι τὸν νοῦν διατεθεῖτε. πολυειδὲς μὲν τῆς θείας διδασκαλίας τὸ σχῆμα, συναιρεῖται δὲ ὡς ἐν κεφαλαίῳ,

πρὸς τὴν μάθησιν ἐντολῶν καὶ φυλακήν, εἰς τε τὴν θείαν γνῶσιν καὶ προσκύνησιν. οἱ τοίνυν τῆς εὐσεβείας ἐρασταί, τὴν μὲν τῶν ἐντολῶν φυλακὴν καὶ μάθησιν κατ' οὐδὲν ἀγνοεῖν πείσονται, καὶ πρὸ τούτων γε τὴν θείαν προσκύνησιν. τὴν γε μὴν τῶν θείων γνῶσιν βουλήσονται μὲν ἰχνεύειν εἰς δύναμιν· ἀτονοῦντες δέ, προσκυνείτωσαν ὡς ἀνέφικτον, ἵνα μὴ
181 κενοῦται τὰ τῆς πίστεως ἡμῖν. ταύτῃ δὲ ἐπισταμένων ἡμῶν, ἃ μὲν δεῖ ζητεῖν, ἃ δὲ πιστεύειν· ἐπὶ τοὺς ἀγῶνας αὖ τοῦ δρόμου τὸν λόγον ἐμβιβάσαντες, » νικητὴν ἀποφῆναι σπουδάσωμεν. ἔμβηθι λοιπὸν » ἐπὶ τοὺς ἀγῶνας ὁ λόγος. ὁμολογοῦμεν ἀγνοεῖν τὴν ἐναργῆ τῆς ἀληθείας γνῶσιν· ἐπείπερ μέρος πολύ που τῆς νίκης. ὅσον δὲ ἐφικτὸν ἀνθρώπου φύσει, τοῦτ' ἐξετάσας, εὐσεβῶς ὑμῖν τὸ ζητούμενον λύσω. πῶς γάρ φησιν, ὁ λόγος ἔν τε τῷ οἰκείῳ ναῷ κατ' οὐσίαν ἐστίν, ἔν τε τοῖς οὖσιν ἅπασιν ὁμοίως, καὶ τί πλεῖον ὁ ναὸς τῶν ἁπάντων ἕξει; ἀκούσωμεν » δὴ τοῦ λόγου λέγοντος, Ὅς ἐστιν ἐν τοῖς κόλποις τοῦ πατρός, κατ' οὐσίαν τοῖς πᾶσιν ἀμερίστως πάρεστι· καὶ οὐχ οὕτως αὐτὸν ἐν τῷ πατρὶ λέγομεν, ὡς ἐν τοῖς λοιποῖς εἶναι, οὐ διὰ τὸ τὴν οὐσίαν ἐν τοῖς ἄλλοις γιγνομένην συστέλλεσθαι, ἀλλὰ διὰ τὸ τῶν δεχομένων μέτρον, ἀτονούντων τὴν εἰσδοχὴν τὴν θείαν· οὕτως ἐν τῷ οἰκείῳ ναῷ ἀχώριστον λέγοντες, καὶ οἱονεὶ τὸ πλήρωμα τῆς θεότητος κατοικεῖν ὁμολογοῦντες, καὶ τοῖς πᾶσιν αὐτὸν παρεῖναι κατ' οὐσίαν λέγομεν, καὶ οὐχ ὁμοίως. οὐ γὰρ δέχεται σῶμα ῥυπαρὸν ἀκτῖνας θεότητος. καὶ μάνθανε τὸ λεχθὲν παραδείγματι. οὐ γὰρ ἂν ὑποστειλαίμην τοῦ ζητουμένου τὸ μέγεθος, τῆς ἐκκλησίας υἱέσιν εὐσεβῶς διαλεγόμενος. κοινὸς ὁ ἥλιος ἡμῖν καθ' ἑκάστην τοῖς πᾶσι πρόκειται, καὶ οὐ τῷ μὲν ἔλαττον, τῷ δὲ πλεῖον προσβάλλει, ἀλλὰ κοινὴν αὐτοῦ τὴν ἐνέργειαν τοῖς πᾶσιν ἐπίσης ἀφίησιν. ἀλλ' εἴ τις ἐρρωμένας τὰς ὄψεις ἔχοι, δέχεται μὲν τούτου τῆς ἀκτῖνος τὸ πλεῖον, οὐχὶ διὰ τὸ τὸν ἥλιον ὡς μᾶλλον εἰς αὐτὸν τῶν λοιπῶν ἐφαπλούμενον, ἀλλὰ διὰ τὴν οἰκείαν τῆς ὄψεως δύναμιν· ὁ δὲ τὰς ὄψεις ἀσθενῶν, οὐδ' αὐτῷ τοῦ φωτὸς τῷ ἀπαυγάσματι προσβλέπειν δυνήσεται, διὰ τὴν τῶν ὀμμάτων ἀσθένειαν. οὕτω μοι νόει τὸν τῆς δικαιοσύνης ἥλιον, πᾶσι μὲν ἐπίσης κατ' οὐσίαν, ἅτε δὴ Θεὸν ὄντα, παρεῖναι· ἡμᾶς δὲ πάντας, οἷον ἀσθενεῖς καὶ λημῶντας τῷ ῥύπῳ τῶν ἁμαρτιῶν τοὺς ὀφθαλμούς, τὴν εἰσδοχὴν τοῦ φωτὸς ἀτονοῦντας· τὸν δὲ οἰκεῖον ναόν, ὀφθαλμὸν καθαρώτατον καὶ χωροῦντα τοῦ φωτὸς ὅλου τὴν αἴγλην, ἅτε πλασθέντα μὲν ἐκ πνεύματος ἁγίου, ἁμαρτίας δὲ καθάπαξ κεχωρισμένον. ὡς γὰρ ὁ ἥλιος ὁμοίως κατ' ἐνέργειαν τοῖς πᾶσι προσβάλλων, οὐχ ὁμοίως ὑπὸ πάντων χωρεῖται, οὕτως ὁ λόγος κατ' οὐσίαν τοῖς πᾶσι παρών, οὐχ ὁμοίως τοῖς ἄλλοις καὶ τῷ ναῷ τῷ οἰκείῳ πάρεστιν.

ſimul in mandatorũ diſciplinam & obſeruationem, ſimul in diuinã cognitionem & adorationẽ. Quocirca veræ pietatis amatores, præceptorũ obſeruationẽ & diſciplinam nulla ex parte ignorare, pręcipue vero diuinam adorationem noſſe contendent. Rerum autem diuinarũ notionem, pro viribus inueſtigare quidem volent; at ſtudio eo propter imbecillitatem fatigati, pro eo atq; poterunt, eos adorabunt, ne fides noſtra inanis reddatur. Atq; hoc cũ ita norimus, quæ videlicet quęrere, quę credere oporteat, orationem rurſum in curriculi certamen producemus, victricemq; eam pronunciare ſtudebimus.

Deſcende in ipſam porro arenam oratio.

Dilucidam veritatis cognitionem me aſſequutũ nõ eſſe fateor; quod certe bona victoriæ pars eſt: pro captu tamẽ naturę hominis, inquiſitione diligẽti adhibita, quęſtionem vobis pie diſſoluam. Quomodo namq;, inquit, *Verbũ ſubſtantia ſua in templo proprio eſt, atq; in rebus vniuerſis conſimiliter?* Et quid præcipui templum habebit præ reb. communiter omnibus? Orationem ipſam dicentem audiamus. *Qui eſt in ſinu patris,* ſubſtantiã rebus cunctis indiuidue adeſt. Nec ita ipſum in Patre, ſicut in reliquis eſſe dicimus: non eo quidem, quod ſubſtantia in aliis exiſtens contrahatur, ſed propter eorum quæ illam capiunt, modulum, per imbecillitatem ſuam, diuinam præſentiã non admittentium. Pari modo in proprio templo inſeparabiliter Verbũ eſſe affirmãtes, ac veluti plenitudinem Deitatis inhabitare ibi fatẽtes, omnibus quoq; idipſũ adeſſe dicimus, ſed nõ conſimiliter. Nõ enim capit corpus ſordidum radios diuinitatis. Atq; id quod dictũ eſt, exẽplo addiſce. non enim quæſtionis magnitudinem, Eccleſiæ filiis pie diſſerẽdo explicare ſubterfugerim. Sol cõmunis nobis omnibus quotidie propoſitus eſt, neq; huic minus, illi magis illucet; ſed vim efficaciãq; ſuam ex æquo cõmuniter cũctis emittit. Quod ſi quis acres habeat oculos, plus de illius recipit radiis; nõ quidem quod ſol aliquo modo ad eum ſe magis quam ad alios applicet, verum propter propriam viſus eius virtutem. At ſi cui obtuſa ſint lumina, ne lucis quidem ſplendori ipſi illa intendere poterit, propter cernẽdi vim debiliorem. Simili modo mihi in animo tuo conſidera Iuſticiæ ſolẽ, vniuerſis quidẽ ex æquo ſubſtãtiã, vt qui Deus ſit, præſto eſſe: nos vero omnes, vtpote infirmos, & peccatorũ ſordib. lippiẽtes, oculis noſtris ꝑpter lãguorẽ, lucis præſentiã nõ ſuſtinere. Tẽplũ aũt incolit, oculũ videlicet puriſſimũ, & ſplẽdoris vniuerſę lucis capacẽ: vtpote a Spiritu ſancto formatũ, & omni ex parte a peccato ſecretũ. Vt nãq; ſol pariter omnib. iuxta operationẽ ſuã illucet, nõ pariter tamẽ ab omnib. excipitur: ſic & Verbũ omnib. ſe ſecũdũ ſubſtãtiã exhibẽs, nõ pariter reb. aliis & tẽplo ꝓprio adeſt.

Vide quomodo oratio certamine cursus confecto, victoriam retulisse renunciata sit. Coronam deinceps ferat, cum pompa & comitatu magnifico progrediatur: victoriæ insignibus conspicue se spectandã inferat, ac de aduersariis profligatis triũphum agat. At nos qui CHRISTI censemur nomine, præcedentes, victoriæ carmẽ canamus ac vociferemur: *Bonum certamen decertasti oratio; cursum consummasti, fidem seruasti. Quod superest, reposita tibi est iustitiæ corona.* ac potius hymnis concelebremus, quod victoriam subministrauit diuinissimum Verbum, lucem veram, quæ illuminat omnem hominem venientem in hũc mũdum: per quod viuimus, & mouemur, & sumus: per quod omnia consistunt; per quod eiusmodi ludificatrices verborum fallacias & perplexa inuolucra soluimus: quod curam nostri gerit, quod nos gubernat, quod benigne nobis facit: cui citra intermissionem mactamus hostiã laudis, & vt Deo preces sinceras libamus, & fragrãtem operum bonorum odorem sacrificamus: ipsum in nostra ipsorum conuersatione medium habentes, ipsum spirantes, ipsum cogitantes, in ipsum animos intendentes, ipsum in omnibus laudantes: beatam quippe spem, & regni largitorem supremi.

EIVSDEM IVSTINI AD ORTHODOXOS RESPONsionum ad quasdam Christianas Quæstiones, Liber.

QVÆSTIO PRIMA.

SI Deus veterem cultum, vt minus sibi placitum sustulit, & cõtra Christianam, vt acceptam sibi religionem introduxit: Orthodoxi vero & recte sentientes soli Deo grati, Græcis, Iudæis, & hæreticis omnibus non modo numero non pares, sed etiam pauciores sunt: quænam est ratio & demonstratio, nõ eius qui illi hunc prætulit cultum, potentiæ penuria, non radicitus erutam manere erroris seductionem? Quomodo vero vsui nulli non est illius cultus abolitio, seductione adhuc multa mundum in potestate sua retinente?

RESPONSVM, SEV QVÆstionis solutio.

Deus vbi priscũ cultũ abrogauit, & nouũ se proveteri introductũrũ esse testamẽtũ statuit, hanc loco illius introducens induxit religionẽ. Ac primum quidem verbis, quæ diuinarũ essent testimonio cõfirmata virtutũ, deprædicata, Iudaismũ illa & Græcorũ paganismũ aboleuit: postea aũt operibus, quæ itidẽ virtutib. diuinis edita sunt, imposturã in hominibus & dæmonibus omnẽ radicitus euellit: atque vna cum ipsa, cunctarum in mundo vniuerso malarum hæresium & sectarum [per Orthodoxorum] fidem & opera tollit cultum. Quod si non omnes, qui religionem hanc Christianam susceperunt, eandem de eisdem rebus seruant & obtinent opinionem: atque

ἴδε πῶς ἀθλήσας τὸν δρόμον ὁ λόγος νικητὴς ἀπεφάνθη. στέφανον φορείτω λοιπὸν, καὶ πομπευέτω, καὶ τοῖς τῆς νίκης στεφάνοις ὡραϊζέσθω, καὶ θριαμβευέτω τῶν ἀντιπάλων τὴν ἧτταν. ἡμεῖς δὲ οἱ τοῦ Χριστοῦ προάγοντες, τὸν ἐπινίκιον ᾄδωμεν, τὸν ἀγῶνα τὸν καλὸν, βοῶντες, Ὁ λόγος ἠγώνισαι, τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας· λοιπὸν ἀπόκειταί σοι ὁ τῆς δικαιοσύνης στέφανος. μᾶλλον δὲ τὸν χορηγήσαντα τὴν νίκην αἰνυμνήσωμεν, τὸν θειότατον λόγον, τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, τὸν δι' οὗ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμὲν, τὸν δι' οὗ τὰ πάντα, τὸν δι' οὗ τὰς τοιαύτας τῶν λόγων στροφὰς διαλύομεν, τὸν κηδεμόνα, τὸν πρύτανιν, τὸν εὐεργέτην, ᾧ καὶ θύομεν διηνεκῶς θυσίαν αἰνέσεως, καὶ σπένδομεν ὡς Θεῷ δεήσεις εἰλικρινεῖς, καὶ θύομεν εὐωδίαν πράξεων, αὐτὸν ἑαυτοῖς ἀναστρέφοντες, αὐτὸν ἀναπνέοντες, αὐτὸν λογιζόμενοι, αὐτῷ προσανέχοντες, αὐτὸν ἐν πᾶσιν ὑμνοῦντες, τὴν μακαρίαν ἐλπίδα καὶ χορηγὸν τῆς ἀνωτάτω βασιλείας.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ 237

ΑΠΟΚΡΙΣΕΙΣ ΠΡΟΣ ΤΟΥΣ ΟΡθοδόξους περὶ τινῶν ἀναγκαίων ζητημάτων.

Ἐρώτησις α'.

Εἰ τὴν ἀρχαίαν μὲν λατρείαν ἀνεῖλεν ὁ Θεὸς, ὡς αὐτῷ μὴ ἀρεσκόμενος, τὴν δὲ τῶν Χριστιανῶν ὡς ἀρεστὴν αὐτῷ εἰσήγαγεν· οἱ δὲ ὀρθόδοξοι οἱ μόνοι Θεῷ ἀρέσκοντες, τῶν Ἑλλήνων τε καὶ Ἰουδαίων, καὶ πάντων τῶν αἱρετικῶν, οὐκ ἴσον τὸν ἀριθμὸν τυγχάνουσιν, ἀλλ' ἥσσονες· τίς ἡ ἀπόδειξις τοῦ μὴ κατὰ πτωχείαν δυνάμεως τοῦ προτιμήσαντος αὐτὴν ἀντ' ἐκείνης ἑλομένου τὴν λατρείαν, μένειν ἀνεκρίζωτον τὴν πλάνην; πῶς δὲ οὐκ ἀνωφελὴς ἡ ἐκείνης τῆς λατρείας λύσις, πλάνης ἔτι πολλῆς κατεχούσης τὸν κόσμον;

Ἀπόκρισις ἤτοι λύσις τῆς ἐρωτήσεως.

Τὴν ἀρχαίαν τοῦ Θεοῦ λατρείαν λύσαντος, τὴν νέαν δὲ ἀντεισαγαγεῖν διὰ τῆς παλαιᾶς διαθήκης προθεμένου, εἰ μὴ ἀντεισήγαγε, ταύτην ἀντ' ἐκείνης ἀντεισαγαγὼν, πρῶτον μὲν κηρυττομένην λόγοις θείαις δυνάμεσι μαρτυρουμένοις, ἀνεῖλεν Ἰουδαϊσμόν τε καὶ Ἑλληνισμόν· ὕστερον δὲ ἔργοις θείαις ὡσαύτως δυνάμεσι γινομένοις, πάσης τῆς ἐν ἀνθρώποις τε καὶ δαίμοσι πλάνης ποιεῖ τὴν ἐκρίζωσιν· σὺν ταύτῃ δὲ καὶ πάντων τῶν ἐν τῷ κόσμῳ κακῶν αἱρέσεων ἀνεῖλε τὴν λατρείαν . . . πιστῶς τε καὶ ποιήσεως. εἰ μὴ πάντες οἱ δεξάμενοι τὴν λατρείαν, τὴν αὐτὴν δόξαν περὶ τῶν αὐτῶν πραγμάτων τηροῦσι καὶ ἔχουσιν,

ἀλλ' οἱ μὲν ὀρθῶς, ἄλλοι δὲ οὐκ ὀρθῶς, τοῦτο οὐκ ἔστι κατηγόρημα τοῦ Θεοῦ ἐπὶ πτωχείᾳ δυνάμεως τοῦ ἐκείνους ἐκ τῆς οἰκείας ἀμελείας ἢ ἑτέρας ἀσθενείας ὀρθῶς μὴ νοεῖν τὰ ὑπ' αὐτῶν πιστευόμενα, ἀλλὰ τῆς ἐκείνων ἀμελείας. εἴρηται δὲ ἐν τῇ εἰσαγομένῃ λατρείᾳ περὶ τῆς τῶν ὀρθοδόξων ὀλιγότητος, ποτὲ μὲν, Πολλοὶ μέν εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί· ποτὲ δὲ, ὅτι Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν:- ὡσαύτως καὶ περὶ τῶν αἱρέσεων, ἃς ὁ Κύριος ἐν ταῖς ἑαυτοῦ παραβολαῖς ζιζάνια καὶ σαπροὺς καλεῖ ἰχθύας. εἰ τοίνυν μηδὲν ἐψευσμένον ἐστὶν ἐν τῇ τῶν Χριστιανῶν λατρείᾳ, ὡς ἡ τῶν πραγμάτων μαρτυρεῖ ἀλήθεια, ἐκ τῶν προλαβόντων πεπιστευμένα ποιοῦσα τὰ μέλλοντα, οὐδαμῶς ἄρα ὑπολέλειπται πρόφασις τοῦ διαβάλλειν τὸν Θεὸν ἐπὶ πτωχείᾳ δυνάμεως, ἢ τοῦ ἀνωφελῆ λέγειν τὴν
238 ἀντὶ λατρείας λατρείαν εἰσαγομένην· τὴν νῦν μὲν λυτικὴν οὖσαν Ἰουδαϊσμοῦ τε καὶ Ἑλληνισμοῦ, ὕστερον δὲ καὶ τῶν αἱρέσεων.

Ἐρώτησις β'.

Εἰ τὰ μέλλοντα γίνεσθαι, οἷον πολέμων τρόπαια, ἐχθρῶν ἐφόδους, καὶ πόλεων ἀναιρέσεις διὰ τῶν ἐπιτιθεμένων αὐταῖς, προειρήκασι προφῆται καὶ ἀπόστολοι, προεῖπον δὲ καὶ παρ' Ἕλλησι χρησμῶν λόγοι, πόθεν οἱ τούτων κρείττους γνωρίζονται τῶν ἔξωθεν, παρ' ἑκατέρου μέρους τῆς τῶν ἐσομένων γεγενημένης προρρήσεως;

Ἀπόκρισις.

Τοῦ αὐτοῦ Θεοῦ ἐστὶ πάντα ταῦτα, καὶ ἡ πρόρρησις τῶν λόγων, καὶ ἡ ἔκβασις τῶν ἔργων, τοῦ καὶ διὰ τῶν προφητῶν τε καὶ ἀποστόλων προμηνύσαντος ἃ ἔμελλε ποιεῖν· ὡσαύτως δὲ καὶ διὰ τῶν ἔξωθεν τῆς εὐσεβείας, αὐτὸς προεμήνυσεν ἃ ἔμελλε ποιεῖν. ὥσπερ γὰρ διὰ τοῦ μάντεως Βαλαὰμ τὸν μὲν Ἰσραὴλ εὐλόγησε, τοὺς δὲ ἐχθροὺς αὐτοῦ κατηράσατο, ἑκάτερον δὲ ποιήσας διὰ τῆς προμηνύσεως τῶν ἐσομένων· ὡσαύτως δὲ καὶ διὰ μαντείας τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, τὴν ἅλωσιν τῆς Ἰσραὴλ προεμήνυσε, καθά φησιν ὁ προφήτης Ἰεζεκιὴλ, Καὶ στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν ὁδὸν, ἐπ' ἀρχῆς τῶν β' [ὁδῶν] τοῦ μαντεύσασθαι μαντείαν, [καὶ] τοῦ ἀναβράσαι ῥάβδον, καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς, καὶ κατασκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ· καὶ ἐγένετο [μαντεῖον] ἐπὶ Ἱερουσαλήμ:- καὶ τὰ ἑξῆς. οὕτως καὶ διὰ τῶν παρ' Ἕλλησι μάντεων ὅσα διὰ τῶν ἔργων τὴν ἔκβασιν ἐδέξατο, αὐτὸς προεμήνυσε. διαφορὰ δὲ τῶν προφητῶν καὶ τῶν μάντεων πολλή. πρῶτον μὲν, ὅτι Θεὸν οὗ τῷ ὀνόματι προεφήτευσαν οἱ προφῆται καὶ οἱ ἀπόστολοι, τούτου ἐσχήκασι τὴν γνῶσιν, καὶ τὴν πίστιν, καὶ τὴν λατρείαν· καὶ πάντα ὅσα περί τε τῆς τῶν Ἑλληνικῶν θεῶν τε καὶ μαντείων καθαιρέσεως, καὶ τῆς τῶν Χριστιανικῶν πραγμάτων συστάσεως προεῖπον οἱ προφῆται, τὴν ἔκβασιν ἐδέξατο· ἔπειτα δὲ οὐδὲν ἂν προεῖπον οἱ μάντεις, ἢ κατὰ τοῦ τῆς ἀληθείας Θεοῦ καὶ τῶν σεβομένων αὐτόν.

atq; alii quidem recte, alii autẽ secus sentiunt: non id Dei, (quasi per potentiæ eius penuriam illi, & non propter negligentiã propriã aut imbecillitatem aliam, ab ipsis credita intelligentia recta non consequãtur) verum ipsorummet incuriæ crimen est. Porro ipsa hac religione introducẽda, dictum est de orthodoxorum paucitate, aliquando; *Multi sunt vocati, pauci vero electi:* aliquando; *quod angusta est & arcta via, quæ ducit ad vitam, & pauci sunt qui inueniunt illam.* Consimiliter & de hæresibus, quas Dominus in parabolis suis *Zizania* vocat, & *pisces putres.* Quocirca cum nihil inueniatur falsi in religione Christiana, pro co atque rerum testatur veritas, præcedentium euentu futurorum astruens fidem: haudquaquã profecto relicta est occasio aut causa calumniam texendi, vel quod egena Dei sit potentia, vel quod nulli dicatur esse vsui, alium esse pro alio introductũ cultum; qui nunc quidem Iudaismũ & Paganismũ soluit, postea vero & hæreses est soluturus.

QVÆSTIO SECVNDA.

Si res futuras, veluti bellorum victorias & tropæa, hostium incursiones, & vrbium per eos qui illas oppugnarunt euersiones, prædixerunt prophetæ & apostoli: prædixerunt quoq; Græcorum oraculorum responsa: vnde cognosci potest, hos nostros alienis illis esse præstabiliores, cũ ab vtraq; parte futurorum editæ sint diuinationes?

RESPONSIO.

Eiusdem Dei hæc sunt omnia, tam prędictio verborum, quam euentus rerum: qui & per sacros vates atq; apostolos quæ futura erant, præloquutus est: & per eos itidem qui a vero cultu sunt alieni, quæ facturus fuerat, præmonstrauit. Quemadmodum namque per vatem Balaam Israeli benedixit, hostibus autem eius maledixit; vtrumq; vero per rerum futurarũ diuinationem fecit: ita etiam per vaticinium regi Babylonis Nabuchodonosori, capiendã esse Hierusalem præsignificauit. sicuti dicit Ezechiel propheta: *Et insistet rex Babylonis in viam antiquam, in initio duarũ viarum, vaticinium vaticinãdi, & virga concutiẽda, & sculptilium percõtandorũ, & ad dextrã eius extorũ inspiciẽdorũ gratia. Et factũ est super Hierusalem:* & quæ sequuntur. Consimiliter & per vates Græcos quęcumq; euẽtu ad rẽ collata sunt, ipse pręmonstrauit. Permultũ vero prophetæ vatibus intersunt. Primum equidem, quod in cuius nomine prophetæ & apostoli futura prędixere, Dei, eius habuerunt cognitionem, fidem & cultũ: & quęcumq; de Græcorum Deorum & oraculorũ abolitione, & Christianorũ rerum cõstitutione, prophetæ sunt pręloquuti, exitũ suum cõsequuta sunt omnia. Deinde, quod nihil eorum quę vates vel aduersus verum Deũ & cultores eius.

vel pro Græcarum Ethnicarumque rerũ statu prædixerunt, ad euentum perductũ est. Testatur hoc Assyriorum occidio, qui diuinationibus ipsi suis incitati dixerunt, non sine Domino se ascendisse in terram hanc vt vastarent eam: *Dominus mihi dixit: Ascende in terram istam, & demolire eam.* Et cum ascendisset, contra vatum suorũ diuinationem concisus est.

QVÆSTIO III.

Si in resurrectione omnes qui peccauerunt, puniuntur; multo vero magis illi qui cognouerunt quidem, non autem fecerũt volũtatem Dei: quid lucri habet Christianus præ pagano, baptizatus præ nõ baptizato, orthodoxus præ non orthodoxo?

RESPONSIO.

Quemadmodum fidelis qui suis (sicut apud apostolum Paulum est) non prouideat, Deum abnegat, & infideli est deterior; vt qui cum cognitione & fide & baptismo, mores, disciplinæ Christianæ tesserã, non coniungat, sed formam quidem habens veræ pietatis, vim autem eius abnegans, infidelibus peior sit: ita tanto est scienter quam inscienter peccare grauius, quanto peccatum quod excusationem nõ admittit, eo peccato magis est enorme, quod habet delicti defensionem.

QVÆSTIO IIII.

Si viribus omnibus in hoc incubuerũt hæretici, vt doctrinarum cognoscerent & retinerent veritatem, assequi id autem nõ valuerunt: quomodo iniquũ nõ est, eos, vt qui vero hallucinantes exciderint, pœnis subdere?

RESPONSIO.

Tãtum abest vt hæretici viribus omnibus veritatem inquisiuerint, vt etiam per illos qui eam inuenerunt, ipsis demõstratã suscipere neq; potuerint, neque sustinuerint. Ac si quidem vera hæc esset defensio, oporteret & ipsos alios aliis inuicem ignoscere lapsis, tamquam qui virium imbecillitate, non maligna mentis destinatione, hæreses & sectas instituerent, sibiipsis & veritati repugnantes. Nunc autem pro eo quod alii alios de aliena sententia condemnant, manifesto constat, gloriæ captandę, aut hæresiarcharum sectarumq; principum aduersus alios propugnandorum studium hæreses omnes, vt instituantur, causam habere. Quã ob rem hæresiũ duces ab Apostolo *lupi graues* nominati sunt. Quod autem fieri nequeat quin veritatem inueniat qui eam toto corde (Dei gratia implorata) ꝑ virili sua quęrat, testatur Dominus, dicẽs; *Quicunque petit accipit: & qui quærit, inueniet: & pulsanti aperietur.*

QVÆSTIO V.

Si in Ecclesiis hęretici virtutes & mira edunt, veluti morborum sanationes, impurorũ dæmoniorũ expulsiones, fructuũ terræ prouetus, & olei scaturigines: quomodo nõ necesse est, per hæc illos in errore cõfirmari?

ἢ ὑπὲρ τῆς συστάσεως τῶν Ἑλληνικῶν πραγμάτων, τὴν ἔκβασιν ἔδειξαν. καὶ τούτων μάρτυς ἡ τῶν Ἀσσυρίων ἀναίρεσις, οἱ ἀπὸ τῆς οἰκείας μαντείας ὁρμώμενοι, ἔλεγον μὴ ἄνευ Κυρίου ἀναβῆναι ἐπὶ τὴν γῆν ταύτην τοῦ ἐρημῶσαι αὐτήν· "Κύριός μοι "εἶπεν, Ἀνάβηθι καὶ ἐρήμωσον αὐτήν:- καὶ ἀναβὰς, παρὰ τὴν μαντείαν ἠρημώθη.

Ἐρώτησις γ΄.

Εἰ πάντες μὲν ἐν τῇ ἀναστάσει οἱ ἡμαρτηκότες κολάζονται, πλέον δὲ οἱ ἐγνωκότες τὸ τοῦ Θεοῦ θέλημα καὶ μὴ ποιήσαντες, τί τὸ κέρδος τοῦ Χριστιανοῦ καὶ τοῦ Ἕλληνος, τοῦ βαπτισθέντος καὶ τοῦ μὴ βαπτισθέντος, τοῦ ὀρθοδόξου καὶ τοῦ μὴ ὀρθοδόξου;

Ἀπόκρισις.

Εἰ κατὰ τὸν ἀπόστολον Παῦλον ὁ πιστὸς ὁ μὴ προνοῶν τῶν ἰδίων, ἀρνησίθεός ἐστι καὶ τῶν ἀπίστων χείρων, ὡς μὴ σὺν τῇ γνώσει καὶ πίστει καὶ τῷ βαπτίσματι, καὶ τὸν τρόπον ἐπισυζευγνύμενος χαρακτηριστικὸν τῆς τοῦ Χριστοῦ μαθητείας, ἀλλὰ μόρφωσιν μὲν ἔχων εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένος, χείρων ἐστὶ τῶν ἀπίστων· οὕτως τοσοῦτον χεῖρόν ἐστι τὸ μετὰ γνώσεως ἁμαρτάνειν, τοῦ ἄνευ γνώσεως, ὅσον τὸ ἀναπολόγητον ἁμάρτημα τοῦ ἀπολογίαν ἔχοντος ἁμαρτήματος.

Ἐρώτησις δ΄.

Εἰ πάσῃ δυνάμει ἐσπούδασαν οἱ αἱρετικοὶ γνῶναι, καὶ φυλάξαι τὴν τῶν δογμάτων ἀλήθειαν, καὶ 139 οὐκ ἴσχυσαν, πῶς οὐκ ἄδικον τὸ τούτους ὡς ἀποσφαλέντας τῆς ἀληθείας ὑποβάλλειν κολάσεσιν;

Ἀπόκρισις.

Τοσοῦτον οὐκ ἐζήτησαν οἱ αἱρετικοὶ πάσῃ δυνάμει τὴν ἀλήθειαν, ὅτι καὶ ἀποδεικνυμένην αὐτοῖς παρὰ τῶν ταύτην εὑρηκότων, οὔτε ἴσχυσαν οὔτε ἠνέσχοντο δέξασθαι αὐτήν. καὶ εἰ μὲν ἀληθὴς αὕτη ἡ ἀπολογία, ἐχρῆν αὐτοὺς ἀλλήλοις συγγινώσκειν σφαλλομένοις, ὡς ἀσθενείᾳ δυνάμεως, καὶ οὐ πονηρίᾳ γνώμης τὰς αἱρέσεις συστησαμένοις μαχομένας ἑαυτοῖς τε καὶ τῇ ἀληθείᾳ. νῦν δὲ καθὸ κατακρίνουσιν ἀλλήλους ἐπὶ τῷ ἀλλοτρίῳ τοῦ φρονήματος, δῆλον ἐστιν ὅτι ἐκ φιλοδοξίας ἢ ἀντιπαθείας τῶν αἱρεσιαρχῶν, πᾶσαι αἱ αἱρέσεις τὰς ἀφορμὰς ἐσχήκασι τῆς συστάσεως αὐτῶν· δι' ἣν αἰτίαν λύκοι βαρεῖς ὑπὸ τοῦ ἀποστόλου ὠνομάσθησαν οἱ τῶν αἱρέσεων ἀρχηγοί. ὅτι δὲ ἀδύνατόν ἐστι μὴ τυχεῖν τῆς εὑρέσεως τὸν ἐν ὅλῃ καρδίᾳ τε καὶ δυνάμει ἐπιζητοῦντα τὴν ἀλήθειαν, μαρτυρεῖ ὁ Κύριος λέγων, "Πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι "ἀνοιγήσεται. "

Ἐρώτησις ε΄.

Εἰ ἐν ταῖς ἐκκλησίαις τῶν αἱρετικῶν δυνάμεις ἐνεργοῦνται, εἶεν νοσημάτων ἰάσεις, καὶ πνευμάτων διωγμοὶ ἀκαθάρτων, καρπῶν γῆς φορὰ, καὶ ἐλαίου ἀναβλύσεις, πῶς οὐκ ἀνάγκη ἐκ τούτων ἐν τῇ πλάνῃ βεβαιοῦσθαι ἐκείνους;

RESP-

Ἀπόκρισις.

Ὥσπερ τὸ ἀνατέλλειν τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχειν ἐπὶ δικαίους καὶ ἀδίκους, οὐκ ἔστι βεβαιωτικὸν πονηρῶν καὶ ἀδίκων ἐν τῇ πονηρίᾳ καὶ ἀδικίᾳ, ἀλλὰ παρασκευαστικὸν εἰς δικαίαν τιμωρίαν, οὕτως οὐκ ἔστι βεβαιωτικὸν τῶν αἱρετικῶν ἐν τῇ πλάνῃ, τὸ ἐνεργεῖν τινὰς ἐν αὐτοῖς δυνάμεις. εἰ γὰρ ἦν ἀπόδειξις καὶ σημεῖον εὐσεβείας τὸ ἐνεργεῖν δυνάμεις, οὐκ ἂν ὁ Κύριος ἀδοκίμους τε καὶ ἀναξίους τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀποφαίνεται τοὺς εἰρηκότας, Κύριε οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; λέγων πρὸς αὐτοὺς, Οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. οὐκ εἶπον, διδάξας ὑμᾶς, ψωμίζειν καὶ ποτίζειν τὸν πεινῶντα καὶ διψῶντα; πολὺ μᾶλλον αὐτὸς τὰ ὅμοια ὧν ἐδίδαξεν ἡμᾶς ποιεῖ, σωρεύων πῦρ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ἀξίως, τὸν δωτῆρα τῆς πίστεως οὐκ ἐγνωκότων.

Ἐρώτησις ϛʹ.

Εἰ ἐν τοῖς ἀλγοῦσι καὶ ἡδομένοις τὸ παθητικὸν διαδείκνυται, τούτου δὲ οἱ ἁμαρτωλοὶ, κἀκείνου οἱ δίκαιοι ἐν τῇ κρίσει, πῶς ἀληθεύει ὁ λέγων ἀπάθειαν τοῖς ἀνθρώποις μετὰ τὴν ἀνάστασιν κομίζεσθαι;

Ἀπόκρισις.

Ἀπαθεῖς λέγομεν ἀναστήσεσθαι, ὅτι ἀφ' ὧν ἐσμὲν κατὰ φύσιν, τροπὴν οὐ δεχόμεθα, οὔτε εἰς τὰ ἀντικείμενα κατὰ τὸ ὂν καὶ μὴ ὂν, οὔτε εἰς τὰ ἐναντία, κατὰ τὸ μᾶλλον καὶ ἧττον· οἷον ἐκ τῆς χαρᾶς οὐ τρεπόμεθα εἰς τὴν λύπην, οὔτε χαίρομεν ἐπὶ τῷ αὐτοῦ ἀγαθοῦ ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον, κἂν ἐπὶ μείζονος ἀγαθοῦ μᾶλλον χαίρομεν, ἐπὶ ἐλάττονος δὲ ἧττον· ἀλλὰ καὶ οὕτως κατὰ τὴν ἀναλογίαν τῶν ἀγαθῶν, μένει τὸ ποσὸν τῆς χαρᾶς ἄτρεπτον. καὶ τοῦτο μὲν ἐπὶ τῶν εἰς ζωὴν ἀνισταμένων· ἐπὶ δὲ τῶν εἰς κρίσιν ἀνισταμένων ὁ αὐτὸς λόγος, ὅταν ἀπαλλάττωνται ὥσπερ τοῦ θανάτου κρίσεως. καὶ γὰρ τῶν ἀνισταμένων οἱ μὲν εἰς ζωὴν, οἱ δὲ εἰς κρίσιν ἀνίστανται.

Ἐρώτησις ζʹ.

Εἰ τροπῆς γνώρισμα τὸ τὰ καλὰ καὶ τὰ φαῦλα λαμβάνειν εἰς ἔννοιαν, πῶς ἄτρεπτοι οἱ κολαζόμενοι, καὶ τὴν τῶν δικαίων λογιζόμενοι ἄνεσιν· ἢ πάλιν οἱ ἐν ἀνέσει τυγχάνοντες, καὶ τὴν τῶν ἁμαρτωλῶν ἐνθυμούμενοι κόλασιν; τότε γὰρ ἑκάτερον ἐν θατέρῳ δίδωσι πλείονα τὴν αἴσθησιν, ὅτε τῶν ἐναντίων ἡ παράθεσις γίνεται.

Ἀπόκρισις.

Ἐν τῷ μέλλοντι αἰῶνι τὸ ποσὸν τῆς αἰσθήσεως τιμῆς τε καὶ τιμωρίας, ἐν τῷ μέτρῳ κεῖται τιμῆς τε καὶ τιμωρίας, καὶ οὐκ ἐνδέχεται τῇ παραθέσει τῶν ἀντικειμένων δέξασθαι τὴν αἴσθησιν, τὴν αὔξησιν ἢ

RESPONSIO.

Sicut id quod sol oritur super malos & bonos, & id quod pluit super iustos & iniustos, non eo fit vt mali & iniusti in malicia & iniusticia sua constabiliantur, sed vt via ad iustum supplicium præparetur: ita hoc ad hæreticos in errore confirmandos nō fit, quod nonnulli inter eos virtutes præstant. Nam virtutum repræsentatio, si probatio & indiciū esset veræ religionis, minime gentium Dominus eos reprobasset, & indignos familiaritate sua pronunciasset, qui dixerunt; *Domine, nonne per nomen tuum prophetauimus, & per nomen tuum dæmonia eiecimus, & per nomen tuum multas virtutes præstitimus?* dicens ad illos: *Numquam noui vos. Discedite a me, qui operamini iniquitatem. An non dixi, docens vos, vt pasceretis, & potū eis daretis, qui esurit & sitit?* Multo ipse etiam magis similia eis quæ nos docuit, facit, ignem in caput eorum coaceruans, qui nō digne Donatorem fidei cognouerunt.

QVÆSTIO VI.

Si in dolore & delectatione sese perpessiones siue affectiones exhibent, atque alter peccatores, altera iustos in iudicio manet: quomodo is verus est qui dicit, mortalibus post resurrectionem perpessionis vacuitatem seu indolentiam cōferri?

RESPONSIO.

Perpessionis vacuos resurrecturos nos esse dicimus, eo quod eorum quæ natura sumus, mutationem non admittemus: neque in ea quæ opposita sunt, iuxta id quod sit, & id quod non sit; (siue iuxta Esse & Non esse) neq; in ea quæ inter se cōtraria sunt, iuxta id quod magis sit, & id quod minus sit, (seu iuxta maius & minus.) Neq; enim ex gaudio vertemur in mœrorem, neque gaudebimus in eodem bono quandoque magis, quandoque minus. Et quamuis in maiore bono magis gaudebimus, in minore minus: attamen sic quoq;, iuxta bonorum comparationem, gaudii mensura manebit immutabilis. Atq; hoc quidem in eis est qui in vitam resurgent: in eis vero qui in condemnationem resurgent, eadem est ratio: quando vt [illi vitæ sententia, sic ipsi] mortis condemnatione defungentur. Qui enim resurgent, in alterutrum; alii videlicet in vitam, alii in condemnationem resurgent.

QVÆSTIO VII.

Si mutationis nota est, bona & mala in animum inducere: quomodo immutabiles sunt qui crucientur, & iustorum considerant laxamentum: aut rursum qui in laxamento sunt, & peccatorum secum perpendunt cruciatum? Tum enim vtrumq; prolixiorem alterius percipit sensum, cū ea quę contraria sunt, inter se cōferuntur.

RESPONSIO.

In futuro seculo, quantus sit sensus præmii & supplicii, in mensura præmii & supplicii est situm: nec fieri potest vt ex eorū quæ inter se opposita sunt, cōpositione, sensus incrementū aut

diminutionem percipiat. Immutabilia nāque ibi sunt omnia, sicuti iuxta quantitatem, ita & iuxta qualitatem.

QVÆSTIO VIII.

Si notionem boni & mali a Deo, & ab eo quod simus (siue ab essentia) accepimus: quomodo auctor nō est vtriusq; qui vtrisq; naturæ indidit & cognitionem, & vim ad illorum completionem?

RESPONSIO.

Non modo vt simus, & noscamus, atq; faciamus bonū & malum, vim nobis Deus indidit: sed arbitrium quoque liberum donauit, & delectus nostri, vt earum quas cognouissemus rerum, quod nobis placitum esset, & aliis prætulissemus, complecteremur, dominos constituit. Atque vt boni vel mali simus, non in notione cognitarum, sed in electione delectarum posuit rerū. Quocirca non Deus, vt boni vel mali simus, sed arbitrium nostrū causa est. Quemadmodum enim qui conspicit mulierem meretricem, & cognoscit eam meretricem esse, per cognitionem fornicator non est; ac neque, si cognitio libidinis vitiosum excitet motum, fornicator eo modo est: at si motui illi assentiatur arbitrium, tunc fornicator est, vel facto vel affectione: sic bonorum quoque & malorum hominibus non cognitio, vt boni vel mali sint, causa est; sed arbitrium, quod per delectum suū id quod visum est, prætulit.

QVÆSTIO IX.

Si ea quę dicta sunt, Deus contulit: coronat autem & punit pro factis hominem quemque: quomodo vtrumque iuste facit, cum vtrumque a Deo habeat homo?

RESPONSIO.

Differunt inter se, id quod nobis est, & id quod in nobis est. Ac nobis quidem est, vt mares & fœminę simus: in nobis aūt est, vt casti simus, aut fornicatores. Itaq; coronamur aut punimur de eo quod in nobis est. nam ad quæ nos arbitrium producit, propter ea vel coronamur, vel punimur. Et Deus nobis vires dedit ad faciendum; verum eas potestati subiecit arbitrii: atq; idem, ad arbitrium, ius & vindictam habet arbitrariarum in nobis virium gubernatricem, (siue iudiciariam) nō ad naturam. Accepimus vero a Deo, faciendi & non faciendi facultatem: faciendi quidem, quæ iusta sunt; non faciendi autem, quæ iniusta. Quando igitur ita facimus & nō facimus, iure ornamur: trāsferentes autem vim faciendi & non faciendi in id quod est oppositum, merito cruciamur.

QVÆSTIO X.

Si res corporales, quæ & a poetis de Græcorum diis, & a prophetis de Deo dictæ sunt, per allegoriam alium obtinent sensum: quomodo non vtraq; demonstrātur esse fabulosa?

τὴν μείωσιν. ἄτρεπτα γὰρ τὰ ἐκεῖ πάντα, ὥσπερ κατὰ τὸ ποιὸν, οὕτως καὶ κατὰ τὸ ποσόν.

Ερώτησις η'.

Εἰ τὴν γνῶσιν καλοῦ τε καὶ κακοῦ παρὰ τοῦ Θεοῦ καὶ τοῦ εἶναι εἰλήφαμεν, πῶς οὐκ ἔστιν αἴτιος ἑκατέρου ὁ καὶ τὴν γνῶσιν ἀμφοτέρων καὶ δύναμιν ἐγκαταβεβλημένος τῇ φύσει πρὸς τὴν ἐκείνων ἀναπλήρωσιν;

Απόκρισις.

Οὐ μόνον τοῦ εἶναι ἡμᾶς καὶ τοῦ γινώσκειν τε καὶ πράττειν τὸ καλόν τε καὶ τὸ κακὸν, δέδωκεν ἡμῖν τὴν δύναμιν ὁ Θεὸς, ἀλλὰ καὶ τὸ αὐθαίρετον ἡμῖν ἐχαρίσατο, καὶ τοῦ κατὰ προτίμησιν αἱρεῖσθαι τῶν γινωσκομένων τὸ δοκοῦν, κατέστησεν ἡμᾶς κυρίους· καὶ τὸ ἀγαθοὺς ἡμᾶς εἶναι ἢ κακοὺς οὐκ ἐν τῇ γνώσει ἔθηκε τῶν γινωσκομένων, ἀλλὰ ἐν τῇ αἱρέσει τῶν αἱρουμένων. οὐκ ἄρα ὁ Θεός ἐστιν αἴτιος τοῦ εἶναι ἡμᾶς ἀγαθοὺς ἢ κακοὺς, ἀλλὰ ἡ προαίρεσις. ὥσπερ γὰρ ὁ ὁρῶν γυναῖκα πόρνην, καὶ γινώσκων ταύτην εἶναι πόρνην, οὐκ ἔστι πόρνος ἀπὸ τῆς γνώσεως· ἀλλ' οὔτε εἰ ἡ γνῶσις ἐξυπνίσει τὸ τῆς ἐπιθυμίας πάθος, οὐδ' οὕτως πόρνος ἐστιν. ἐὰν δὲ συγκατατίθηται τῷ πάθει ἡ προαίρεσις, τότε ἐστὶ πόρνος, ἢ κατὰ τὴν πρᾶξιν, ἢ κατὰ τὴν διάθεσιν. οὕτως καὶ τῶν ἀγαθῶν καὶ κακῶν ἀνθρώπων οὐχ ἡ γνῶσις ἐστὶν αἰτία τοῦ ἀγαθοὺς αὐτοὺς εἶναι ἢ κακοὺς, ἀλλ' ἡ προαίρεσις κατὰ προτίμησιν τὸ δοκοῦν αἱρησαμένη.

Ερώτησις θ'.

Εἰ τὰ προλεχθέντα δέδωκεν ὁ Θεὸς, στεφανοῖ δὲ καὶ κολάζει πρὸς τὴν πρᾶξιν τῶν ἀνθρώπων ἕκαστον, πῶς δικαίως ποιεῖται ἀμφότερα, ἑκάτερα παρ' αὐτοῦ τοῦ ἀνθρώπου ἔχοντος;

Απόκρισις.

Τὸ ἡμῖν καὶ τὸ ἐφ' ἡμῖν ἀλλήλων διαφέρει· ἡμεῖς μὲν, ἄῤῥενες καὶ θήλειαί ἐσμεν· ἐφ' ἡμῖν δὲ, τὸ εἶναι σώφρονας, ἢ πόρνους. στεφανούμεθα οὖν ἢ κολαζόμεθα διὰ τὸ ἐφ' ἡμῖν· ἐφ' ἃ γὰρ ἡ προαίρεσις ἡμῶν ἄγει ἡμᾶς, διὰ ταῦτα ἢ στεφανούμεθα, ἢ κολαζόμεθα. καὶ γὰρ πρὸς τὸ πράττειν δέδωκεν ἡμῖν ὁ Θεὸς δυνάμεις· ἀλλὰ ταύτας ὑπέταξε τῇ ἐξουσίᾳ τῆς προαιρέσεως, καὶ πρὸς τὴν προαίρεσιν ἔχει ὁ Θεὸς τὴν δίκην κυβερνητικὴν τῶν ἐν ἡμῖν προαιρετικῶν δυνάμεων, καὶ οὐ πρὸς τὴν φύσιν. ἐλάβομεν δὲ παρὰ τοῦ Θεοῦ τοῦ πράττειν καὶ τοῦ μὴ πράττειν τὴν δύναμιν· πράττειν μὲν τὰ δίκαια, οὐ πράττειν δὲ τὰ ἄδικα. ὅταν οὖν οὕτως πράττωμεν καὶ μὴ πράττωμεν, δικαίως στεφανούμεθα· μεταπεσόντες δὲ τὸ πράττειν καὶ τὸ μὴ πράττειν εἰς τὸ ἀντικείμενον, δικαίως κολαζόμεθα.

Ερώτησις ι'. 244

Εἰ τὰ σωματικὰ περὶ τῶν ἐν Ἕλλησι θεῶν παρὰ τῶν ποιητῶν, καὶ περὶ τοῦ Θεοῦ παρὰ τῶν προφητῶν εἰρημένα, κατ' ἀλληγορίαν ἑτέραν ἔχει τὴν νόησιν, πῶς οὐ μῦθος ἀμφότερα δείκνυται;

RESPON-

Ἀπόκρισις.

Τὰ ἀλληγορικῶς παρὰ τῶν προφητῶν περὶ τοῦ Θεοῦ λεχθέντα, κατ' ἀναφορὰν ἐλέχθη ἐκ τῶν φύσει εἰς τὸ οὐ φύσει· οἷον ὡς τὸ, Ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας:- ἐπὶ μὲν τῶν ἀνθρώπων ὠσφράνθη κατὰ φύσιν, ἐπὶ δὲ τοῦ Θεοῦ καταχρηστικῶς, καὶ οὐ φύσει. τὰ δὲ παρὰ τῶν ποιητῶν μυθικῶς περὶ τῶν θεῶν λεγόμενα, οὐ λέγεται κατ' ἀναφορὰν ἐκ τῶν φύσει εἰς τὸ μὴ φύσει. οὐ γὰρ καταπίνει ἄνθρωπος ἄνθρωπον κατὰ φύσιν, ἵνα κατ' ἀναφορὰν νοήσωμεν καὶ τὸν Κρόνον καταπιόντα τὸν Δία· ἔστι δὲ ὁ περὶ τοῦ καταποθῆναι τὸν Δία μῦθος, πλὴν τοῦ ψεύδους οὐκ ἔχων ἄλλο τι.

Ἐρώτησις ια'.

Εἰ τὸ περιέχον μεῖζον μέν ἐστι τοῦ περιεχομένου κατ' οὐσίαν, ἧττον δὲ κατ' ἀξίαν· οἷον οὐρανὸς καὶ γῆ, ἀγγέλων οἶκος, οἰκουμένων σῶμά τε ψυχῆς· περιέχει δὲ τὸ πᾶν ὁ Θεός· πῶς οὐκ ἔστιν ἥττων τοῦ παντὸς τῷ λόγῳ τῆς ἀναξίας;

Ἀπόκρισις.

Ὁ λόγος οὗτος οὐκ ἔστι καθόλου· διὸ οὔτε ὑγιῶς ἠρωτήθη· ὧν γὰρ τὸ ἐναντίον διὰ τῶν αὐτῶν ἐνδέχεται εὑρεθῆναι, ταῦτα ὡς μὴ ἔχοντα τὸ ἀναγκαῖον, οὐδὲ τὸ πιστὸν ἔχει. ἔστι γάρ τινα περιεχόμενα ἥσσονα ὄντα τῶν περιεχόντων, καὶ τῇ οὐσίᾳ, καὶ τῇ ἀξίᾳ, ὡς τὰ γίγαρτα τῶν ὀπωρῶν. ἔτι δὲ τὰ λεχθέντα περιεκτικά, τῷ εἶναι περιέχει τὰ περιέχοντα· μόνος δὲ ὁ Θεὸς περιέχει τῇ βουλήσει τὸ πᾶν. καὶ τὰ μὲν ἄλλα περιέχοντα, χρῄζουσι καὶ αὐτὰ τοῦ περιέχοντος· ὁ δὲ Θεὸς, οὐ χρῄζει τοῦ περιέχοντος αὐτόν. καὶ τοῖς μὲν ἄλλοις περιεχομένοις, τὸ εἶναι, καὶ τὸ διαμένειν, οὐκ ἔστιν ἐκ τῶν περιεχόντων αὐτά· τῷ δὲ παντὶ, ἀμφότερα ὑπάρχει ἐκ τοῦ Θεοῦ. καὶ τὰ μὲν λεχθέντα περιεκτικά, διὰ τὰ περιεχόμενα ὑπάρχουσιν· ὁ δὲ Θεὸς, οὐ διὰ τὸ πᾶν ὑπάρχει. διὸ μείζων ὁ Θεὸς τοῦ παντὸς, ὥσπερ τῇ οὐσίᾳ, οὕτως καὶ τῇ ἀξίᾳ.

Ἐρώτησις ιβ'.

Εἰ τὸ περιέχον ἐπὶ φρουρᾷ καὶ συντηρήσει ἐστὶ τοῦ περιεχομένου, πῶς ὁ Θεὸς περιέχων τὸ πᾶν, οὐκ ἐπὶ φρουρᾷ τοῦ κακοῦ καὶ διαμονῇ περιέχει τὸ πᾶν; καὶ γὰρ ἐν τῷ μέρει τοῦ παντὸς τὸ κακὸν θεωρεῖται.

Ἀπόκρισις.

Τὸ πᾶν, ἔργον ἐστὶ τοῦ Θεοῦ· καὶ τηρῶν ὁ Θεὸς τὸ πᾶν, τὸ ἔργον ἑαυτοῦ τηρεῖ· καὶ ὥσπερ οὐκ ἐποίησεν ὁ Θεός τι φύσει κακὸν, οὕτως οὐδὲ τηρεῖ τὸ φύσει κακόν.

Ἐρώτησις ιγ'.

Εἰ γίνεται ἡ ἀνάστασις διὰ τὴν τῶν βεβιωμένων ἑκάστῳ ἀντίδοσιν, πῶς τὰ βρέφη, ἢ καὶ τὰ ἐν γαστρὶ τελευτήσαντα, περιττῶς οὐκ ἀνίστανται, οὔτ' ἔργων ἀμοιβὰς κομιζόμενα, οὔτε ἀνέσεως ἢ θλίψεως, διὰ τὸ τῆς ἡλικίας ἄωρον, λαβεῖν δυνάμενα αἴσθησιν;

RESPONSIO.

Quæ a prophetis per allegoriã de Deo sunt dicta, per trãslationẽ dicta sũt, ab iis q̃ natura sint, ad id quod natura nõ sit: velut istud, *Odoratus est Dominus odorẽ suauitatis.* Nam de hominibus, *Odoratus est,* iuxta naturam: de Deo autem, per abusionem, & non iuxta naturam dicitur. Cæterum quæ apud poetas fabulose de diis memorãtur, non per translationem ab eis quæ natura sint, ad id quod natura non sit, dicuntur. Non enim secundum naturam, hominem homo absorbet; vt per translationẽ intelligamus, Saturnum absorpsisse Iouem. Est autem de eo quod Iupiter absorptus sit, fabula, præter mẽdaciũ nihil aliud habẽs.

QVÆSTIO XI.

Si id quod continet, maius est eo quod cõtinetur, substantia, minus autẽ dignitate: veluti cælum & terra, angelorũ & hominum incolentium habitaculũ & corpus animæ: cõtinet vero vniuersum Deus: quomodo is vniuerso dignitate minor nõ est?

RESPONSIO.

Ratio hæc vniuersalis non est: quapropter neq; recte in quæstionẽ est deducta; (quarum enim rerum repugnantia per eas ipsas inueniri potest, hæ perinde sunt, atq; consequentem necessitatem non habentes) neq; probabilis est. Sũt enim quędam quæ continentur, minora eis quæ ipsa continent, essentia & dignitate, sicuti grana pomis. Præterea autem ea quæ dicta sunt quod continendi vim obtineãt, substantia continent ea quæ continentur: solus vero Deus voluntate vniuersitatem hanc continet. Atque aliæ quæ continent res, ipsę quoque alicuius qui illas contineat, indigent: Deus autem, eo qui ipsum cõtineat, non indiget. Et res aliæ quę continentur, vt sint, & vt durent, non ab eis id habent quæ eas continent: vniuersitas autem hæc, a Deo habet vtrumq;. Et ea quæ dicta sunt continendi vim habentia, per ea quę continentur, subsistunt: Deus autẽ per vniuersum hoc non subsistit. Idcirco Deus vniuerso maior est, sicuti substantia, ita & dignitate.

QVÆSTIO XII.

Si is qui continet, custodia est & cõseruatio eius quod cõtinetur: quomodo Deus qui vniuersitatẽ hanc continet, nõ illã, vt malũ custodiatur & duret, continet? nã in vniuersi parte malum perspicitur.

RESPONSIO.

Vniuersitas ista opus est Dei: & Deus qui custos est vniuersitatis, suum ipsius opus custodit. Et quemadmodum Deus non fecit quidquam natura malum, ita neque seruat quidquam natura malum.

QVÆSTIO XIII.

Si resurrectio, propter eorũ quæ quisq; in vita egit, remunerationem fit: quomodo infantes (aut etiã qui in vtero exstinguũtur fœtus) resurgũt, qui neq; factorũ compensationem referunt, neque vel laxamenti vel angustiæ, propter ætatis immaturitatem, sensum percipere possunt?

RESPONSIO.

Qui credit verum esse illud; *Seminatur in infirmitate, resurgit in potentia*: eũ quoq; possibile est & decet infantium credere resurrectionem. Nam qui eis incorruptibilitatem tribuit, potentiã quoq;, qua præsentia sentiant bona, conferre potest. Atq; horũ si resurrectio non sit, reperietur Deus frustra eos finxisse. At si Deus nihil facit frustra, necesse profecto est, per resurrectionẽ infantes quoque ad id vt sint (siue ad Esse) produci. Quomodo vero importunũ non fuerit, vlciscendæ infantiũ occidionis gratia Herodem condemnare, si infantes, qui vindicandi sunt, non exstent? Testimoniũ his perhibent & Baptistæ Ioannis in vtero materno exsultationis subsultatio, & infãtium atq; lactentium hymnus & laudatio.

QVÆSTIO XIIII.

Si falsus est & frustraneus qui ab hæreticis cõfertur baptismus: quare orthodoxi ad orthodoxiam rectamq; sententiã confugientem hæreticũ, non baptizant, sed in adulterino illum perinde atq; vero iustoq; permanere sinunt baptismo? Sin & inaugurationis sacræ ordinationem, per aliquem ab illis acceptã, ipsi veluti stabilem recipiũt: quomodo & qui illã accepit, & qui hunc admiserunt, absque reprehensione esse possunt?

RESPONSIO.

Hęretici ad orthodoxiã transeuntis, lapsus corrigitur, prauæ qdẽ opinionis, mutatione sententiæ: baptismi autẽ, vnguenti sancti vnctione: ordinationis vero, sacræ manus impositione. Et nihil eorũ quæ antea fuerunt, remanet inabolitum.

QVÆSTIO XV.

Si nõ peccauit Iob exsecratione diei, nimirũ tãquã iustus exauditus est. Ac siquidẽ est exauditus, finẽ & constitutionem ipse suã Deus euertit; necessariũq; est in sacris litteris inquirere illius diei perditionẽ. Sin exauditus nõ est; quomodo necesse nõ est dicere, eũ, quod peccator fuerit, exauditũ non esse? *Voluntatem enim timentium ipsum, faciet Deus*. De peccatoribus autem est dictum; *quod cum multiplicaueritis orationem, non exaudiam vos*.

RESPONSIO.

Consiliũ & voluntas Iobi, in ea quæ ꝓponitur exsecratione, illa fuit, perinde atq; diceret: Vtinã dies illa, in qua natus sum, exsecratione diris deuota fuisset. Quid ita? Quo minus, inquit, ego natus fuissem. fieri enim nequit, vt aliquis nascatur in die eiusmodi, q̃ ita est diris deuota. Non est igitur exsecratio ista sic cõcepta, vt exitũ exspectaret. Nã si sic facta fuisset exsecratio vt euentũ præstolaretur, reuocasset certe vocẽ suã, cũ iã ab afflictionib. liber, rebus prosperis ob. frueretur. Itaq; propter excellentẽ ærumnæ suę acerbitatẽ, ex animo dolenti hæc proloquutus est verba: quæ ab ipso translata, videlicet non eandẽ de ea die retinuit sententiam.

Ἀπόκρισις.

Τῷ πιστεύοντι ἀληθὲς εἶναι τὸ, Σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· τούτῳ δυνατὸν καὶ πρέπον ἐστὶ τὸ πιστεύειν καὶ τῶν βρεφῶν τὴν ἀνάστασιν. ὁ γὰρ τὴν ἀφθαρσίαν αὐτοῖς παρέχων, δύναται καὶ τὴν αἰσθητικὴν τῶν προσόντων ἀγαθῶν χαρίσασθαι αὐτοῖς δύναμιν. ὧν εἰ μὴ γίνεται ἀνάστασις, 243 εὑρεθήσεται ὁ Θεὸς μάτην πλασάμενος αὐτά· εἰ δὲ μάτην ποιεῖ ὁ Θεὸς οὐδὲν, ἀνάγκη ἄρα καὶ τὰ βρέφη εἰς τὸ εἶναι παραγίνεσθαι διὰ τῆς ἀναστάσεως. πῶς δὲ οὐκ ἄκαιρον τὸ πρὸς τὴν ἐκδίκησιν τῆς τῶν βρεφῶν ἀναιρέσεως κατακρίνειν τὸν Ἡρώδην, τῶν βρεφῶν οὐκ ὄντων τῶν ἐκδικουμένων; μαρτυρεῖ δὲ τούτοις τό τε τοῦ βαπτιστοῦ Ἰωάννου ἐν τῇ κοιλίᾳ τῆς μητρὸς, τῆς ἀγαλλιάσεως σκίρτημα, καὶ ὁ ὕμνος τῶν νηπίων καὶ θηλαζόντων.

Ἐρώτησις ιδʹ.

Εἰ ἐψευσμένον τυγχάνει καὶ μάταιον τὸ ὑπὸ τῶν αἱρετικῶν διδόμενον βάπτισμα, διὰ τί οἱ ὀρθόδοξοι τὸν προσφεύγοντα τῇ ὀρθοδοξίᾳ αἱρετικὸν οὐ βαπτίζουσιν, ἀλλ᾽ ὡς ἐν ἀληθεῖ, τῷ νόθῳ ἐῶσι βαπτίσματι; εἰ δὲ καὶ χειροτονίας τύχοι παρ᾽ ἐκείνων δεξάμενος, καὶ ταύτην ὡς βεβαίαν αὐτοὶ ἀποδέχονται, πῶς οὖν ὁ δεχθεὶς καὶ οἱ δεξάμενοι τὸ ἀμεμπτον ἔχουσιν; Ἀπόκρισις.

Τοῦ αἱρετικοῦ ἐπὶ τὴν ὀρθοδοξίαν ἐρχομένου τὸ σφάλμα διορθοῦται, τῆς μὲν κακοδοξίας, τῇ μεταθέσει τοῦ φρονήματος· τοῦ δὲ βαπτίσματος, τῇ ἐπιχρίσει τοῦ ἁγίου μύρου· τῆς δὲ χειροτονίας, τῇ χειροθεσίᾳ· καὶ οὐδὲν τῶν πάλαι μένει ἄλυτον.

Ἐρώτησις ιεʹ.

Εἰ οὐχ ἥμαρτεν ὁ Ἰὼβ ἀρασάμενος τὴν ἡμέραν, δηλονότι ὡς δίκαιος ἠκούσθη· καὶ εἰ μὲν ἠκούσθη, τὸν οἰκεῖον ὁ Θεὸς ἀνέτρεψεν ὅρον, καὶ ἀνάγκη ζητεῖν ἐν τῇ θείᾳ γραφῇ τὴν ἐκείνης τῆς ἡμέρας ἀπώλειαν. εἰ δὲ οὐκ ἠκούσθη, πῶς οὐ δεῖ λέγειν ὅτι ἁμαρτωλὸς ὢν παρηκούσθη; Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ Θεός:· περὶ δὲ τῶν ἁμαρτωλῶν εἴρηται, ὅτι Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν:- Ἀπόκρισις.

Ὁ σκοπὸς τοῦ Ἰὼβ οὗτος ἦν ἐν τῇ προκειμένῃ κατάρᾳ, ὡς εἰ ἔλεγεν, Εἴθε ἦν ἡ ἡμέρα ἐκείνη ἐν ᾗ ἐγεννήθην, κατὰ τὴν κατάραν ταύτην κεκατηραμένη. Διὰ τί; Ἵνα ἐγὼ, φησὶ, μὴ ἐγεννήθην. οὐ γὰρ ἐνδέχεταί τινα γεννηθῆναι ἐν τῇ τοιαύτῃ ἡμέρᾳ τῇ οὕτως κεκατηραμένῃ. οὐκ ἔστιν οὖν ἡ κατάρα αὕτη οὕτως κεκατηραμένη, ὡς ἀναμένουσα τὴν ἔκβασιν. εἰ γὰρ ἦν οὕτως γεγενημένη ἡ κατάρα ὡς ἀναμένουσα τὴν ἔκβασιν, ἀνεκαλέσατο ἂν τὴν ἰδίαν φωνὴν, ἀπαλλαγέντος αὐτοῦ τῶν θλίψεων καὶ ἐν τοῖς κρείττοσι γενομένου. διὰ γοῦν τὴν ὑπερβολὴν τῆς αὐτοῦ θλίψεως, τὰ τῆς καρδίας ἐφθέγξατο ῥήματα· ἃ ἀπ᾽ αὐτοῦ, δηλονότι οὐκέτι τὴν αὐτὴν περὶ τῆς αὐτῆς ἡμέρας ἔχει τὴν γνώμην.

Ερώτησις ιϛʹ.

Εἰ κατὰ τὴν ἡμετέραν φύσιν, ὅ τι γέννημα, τοῦτο τῷ γεννήσαντι ὁμοούσιον, πῶς οὐχὶ κατὰ τὸ τὴν ἐπιγεγέννηται, μεθυπάρχει τοῦ γεννήσαντος; εἰ δὲ μὴ τὸ δεύτερον, οὐδ' ἄρα τὸ πρῶτον. ὁμοίως ἡμῖν ἐπὶ τῆς θείας γεννήσεως τεθήσεται.

Απόκρισις.

Ἡμεῖς, ὡς προηγουμένην τῆς γεννήσεως ἔχοντες τὴν ὕπαρξιν μετὰ τὴν ὕπαρξιν γενομένης· ὁ δὲ Θεὸς, ἅμα τῷ ὑπάρχειν ἐγέννησε. διὸ οὐκ ἔστι παρὰ τῷ Θεῷ μεθύπαρξις γεννήματος, ἐπειδὴ οὐδὲ προΰπαρξις γεννήσεως.

Ερώτησις ιζʹ.

Εἰ τῶν θείων ὑποστάσεων ἡ ἕνωσίς ἐστιν ἀδιαίρε-
243 τος, πῶς δύνανται τρεῖς ὑποστάσεις καὶ τρία ὀνομάζεσθαι πρόσωπα, καὶ οὐχὶ μᾶλλον μία ὑπόστασις τριώνυμος ἢ τριπρόσωπος;

Απόκρισις.

Τῶν θείων ὑποστάσεων τὸ μὲν τῆς οὐσίας ἓν, ἐστὶν ἀδιαίρετον· τὸ δὲ αὐτῶν τρεῖς, ἐστὶ διαιρετόν. διὸ αἱ τρεῖς ὑποστάσεις, ἰδιάζουσιν ὀνόμασιν εἰσὶ τρεῖς· καὶ τὴν ὑπόστασιν ἣν καλοῦμεν πατέρα, οὐκέτι τὴν αὐτὴν ὑπόστασιν καλοῦμεν καὶ υἱὸν, ἀλλ' ἄλλην. τὴν γὰρ τριάδα τῶν ὀνομάτων, τῆς τριάδος λέγομεν εἶναι τῶν ὑποστάσεων, οὐχὶ τῆς μονάδος αὐτῶν· διὸ εἷς ἐστιν ὁ Θεὸς τῷ ἑνὶ καὶ ἀδιαιρέτῳ τῆς οὐσίας, τρία δὲ τὰ πρόσωπα τῇ διαιρέσει τῶν ὑποστάσεων.

Ερώτησις ιηʹ.

Εἰ τὸ μὲν Θεὸς τῆς οὐσίας, τὸ δὲ Πατὴρ τοῦ προσώπου ἐστὶ δηλωτικὸν, πῶς ταυτὸν τὸ λέγειν υἱὸν Θεοῦ τῷ λέγειν υἱὸν τοῦ πατρός;

Απόκρισις.

Ἐὰν διεζευγμένως λέγωμεν τὸν υἱὸν, ποτὲ μὲν υἱὸν τοῦ πατρὸς, ποτὲ δὲ υἱὸν τοῦ Θεοῦ, ἀλλὰ διεζευγμένως αὐτὸν οὐδέποτε νοοῦμεν. υἱὸς οὖν ἐστι τοῦ πατρὸς ὁ υἱὸς τοῦ κατ' οὐσίαν Θεοῦ· ταυτὸν δὲ τὸ λέγειν υἱὸν τοῦ πατρὸς, τῷ λέγειν υἱὸν τοῦ Θεοῦ· ἐπειδὴ εἴ τι ἐστὶ τοῦ προσώπου, τοῦτό ἐστι καὶ τῆς τοῦ προσώπου οὐσίας.

Ερώτησις ιθʹ.

Εἰ ἐν τοῖς ἀπηγορευμένοις ὑπὸ τῶν εὐσεβῶν, ἡ τῶν παλμῶν ἐστὶ παρατήρησις, διὰ τί οἱ εὐσεβεῖς πάσῃ δυνάμει ταύτην ἀπωθεῖν βουλόμενοι, οὐκ ἰσχύουσιν, ἢ φαιδρὸν, ἢ σκυθρωπὸν μηνυούσης ταύτης; καὶ εἰ μὲν φαῦλον τοῦτο, πῶς παρὰ τὴν ἡμετέραν ἐπιγίνεται πρόθεσιν· εἰ δὲ ἀγαθὸν, ὅπερ οὐκ οἶμαι, τίνος ἕνεκεν ἀπηγόρευται;

Απόκρισις.

Ἡ μὲν πρόγνωσις τῶν μελλόντων, τῆς ψυχῆς ἐστὶν ὑπὸ τοῦ θείου πνεύματος φωτιζομένης πρὸς τὴν εἴδησιν τῶν τέως ἀδήλων, καὶ οὐχ ὑπὸ τῆς ἀβουλήτου κινήσεως τοῦ σώματος. ὁ δὲ παλμὸς, πάθος ἐστὶ σωματικὸν ἐκ τῆς διαδρομῆς τοῦ φυσικοῦ πνεύματος ἐν τῷ σώματι ὑφισταμένου πάντων τῶν ζώων· διὸ ἀνάξιον ἔκριναν οἱ ἅγιοι εἶναι κριτήριον τῶν μελλόντων τὸ τοιοῦτον σωματικὸν κίνημα·

QVÆSTIO XVI.

Si iuxta naturam nostram id quod generatur, progeneranti consubstantiale est: quomodo iuxta eam id quod generatum est non cum progenerante existit? Sin secundum non obtinet, nec primum quoque. eadem nobis de diuina generatione erit sententia.

RESPONSIO.

Nobis existentia est, quæ generationē præcedit, generatione existētiā subsequēte. Deus autē, vna cum eo quod sit genuit. Quocirca apud Deū non est postexistētia geniti, quia neq; præexistentia gignētis.

QVÆSTIO XVII.

Si diuinarum subsistētiarum vnitas, distinctionem nō capit: quomodo tres subsistētiæ, & tres possunt dici personæ; ac nō potius vna subsistentia trium nominum, aut trium personarum?

RESPONSIO.

Diuinarū subsistentiarum essentiæ quidem vnitas, distinctionem non admittit: Trinitas autem earum, distinctionem capit. Quocirca tres subsistentiæ peculiaribus nominibus sunt tres: & quam subsistētiam nominamus Patrem, eam subsistentiam non etiam vocamus Filium, sed aliam. Trinitatē enim nominū, trinitatis dicimus esse subsistentiarum, non vnitatis earum. Itaq; vnus est Deus, vnitate distinctionem non admittente essentiæ: tres autem personæ distinctione personarum.

QVÆSTIO XVIII.

Si Deus quidē substantiam, Pater autem personam designat: quomodo idem est dicere Filium Dei, & Filium Patris?

RESPONSIO.

Cum disiunctim dicimus Filiū, quandoq; Filium Patris, quandoq; Filium Dei: disiunctim tamen ipsum non consideramus. Filius ergo est Patris, substantia Dei Filius. Idē autem, dicere Filium Patris, & dicere Filium Dei: quoniam si quid est personæ, id etiam est personæ substantiæ.

QVÆSTIO XIX.

Si in his quæ a piis hominibus interdicta sunt, palpitationū obseruatio est: quā ob causam pii viribꝰ omnibus exigere hanc volentes, non possunt, aut lætum aut triste quidquam indicantem? Atq; ea si mala est, quomodo præter institutum nostrū fit? Sin bona, (quod equidem non puto) curnam interdicta est?

RESPONSIO.

Futurorū præcognitio, animæ est, diuino spiritu ad eorū quæ occulta sunt, scientiā illuminatæ, & non præter voluntatē in corpore factæ motionis. Porro palpitatio siue subsultatio, est corporis ꝑpessio, q̄ in eo, ex discursu spiritus naturalis, in animātib. omnib. existit. quocirca indignū duxerūt sancti homines, vt futurorū index aut arbiter esset huiusmodi in corpore motus,

Et quemadmodũ sternutamenta nariũ, & tinnitus aurium, præter institutum nostrũ fiunt, sic & ipsa subsultatio. Tum autem eis qui futuri status spem conceperunt, atq; vnicum hũc propositum habent scopum & finem, vt præparato semper ad eum respiciant: superuacaneum est, per palpitationem hic lęta aut tristia prænoscere. Et si eadem palpitatio diuitias præmonstrãs, & homini in communi vita degenti, & qui se in secessum abdidit ascetæ, accidit: quomodo prædictio diuitiarum per palpitationem, in ascetæ vitæ instituto vt mendax non fallit? quod neq; præsentium possessionem complectitur, nedum absentiũ accessionem expetit bonorum.

QVÆSTIO XX.

Si ad mortem & exitiũ piscatores ex aquis pisces extrahũt; quomodo Dominus CHRISTVS per Apostolos in vitã sempiternã homines producturus, hominum se eos piscatores facturum promisit?

RESPONSIO.

Quandoquidẽ ab Apostolis captos homines regni sagena emori, & e pristina in peccatis acta vita excedere oportuit: non abs re pisciũ capturæ Dominus capturam hominum comparauit. Addidit autem, *in vitam*: vt quod in similitudine deficeret, in re cuius demonstrandæ gratia ea est adducta, compleret.

QVÆSTIO XXI.

Si consilio vitæ caste degendæ adducti monachi & cælibes, voluptates coniugales auersantur: quid ita in somnis per imaginationem, ea quæ præter ipsorum volũtatem sunt, patiuntur; ac non solum cum vulgaribus & fortuito oblatis, sed etiam quandoq; cum matribus & sororibus in imaginatione se consueuisse existimant? Quibusnam igitur rebus, ad liberationem siue absolutionem pugnæ huius vtẽdum? Num eum qui oppugnatus sit, a mysteriis se abstinere oporteat? Sin accedere ad ea necessarium sit, vtrũ lotione, an alio quopiam modo sit vtendum, ne Iudaico more lustratio fiat, doceto: quia de hoc apud ipsos quoque frequens est quæstio.

RESPONSIO.

Quoniã qui Deo se dicarũt peruigilem habẽt aduersariũ, omnib. modis, pro viril[i] sua, piis reprehensionem & probrũ impingere machinantẽ: propterea quę cõtra volũtatẽ suã sunt, per somnũ patiuntur. Atq; aduersario cũ cognitũ sit, nos in reb. quę in nobis sitæ non sunt, neq; laudẽ, si honestæ sint; neq; vituperationẽ, si turpes, reportare; (laus namq; & vituperatio eorum sunt, quæ a nobis per rationis assensum fiunt) & somnia in potestate nostra non esse: nihilo tamen ille minus etiam per somnia in nobis vtrarumq;, & honestarum & turpium rerũ, excitat actiones: illa sibi spe cõcepta, si quo modo, vel honesto quod non ediderimus facinore, ad inanem nos commoueat gloriam, vel

καὶ καθάπερ οἱ πταρμοὶ ῥινῶν, καὶ οἱ ἦχοι ὤτων, παρὰ τὴν ἡμετέραν ἐπιγίνονται πρόθεσιν· οὕτως καὶ ὁ παλμός. ἐπὶ δὲ τοῖς εἰληφόσι τῆς μελλούσης καταστάσεως τὴν ἐλπίδα, καὶ ἕνα ἔχουσι τὸν σκοπὸν, τὸ πρὸς ἐκείνην διὰ παντὸς παρεσκευασμένως ἀποβλέπειν, περιττόν ἐστι τὸ φαιδρὸν ἢ σκυθρωπὸν ἐνταῦθα διὰ παλμῶν προγινώσκειν. καὶ εἰ ὁ αὐτὸς παλμὸς ὁ προμηνύων πλοῦτον προσγίνεται τῷ βιωτικῷ ἀνθρώπῳ, καὶ τῷ ἀσκητῇ, πῶς οὐ διαψεύδεται ἡ διὰ παλμοῦ προμήνυσις τοῦ πλούτου τῆς προαιρέσεως τοῦ ἀσκητοῦ, οὐ μόνον τὴν ἐπίκτησιν τῶν οὐ παρόντων οὐχ αἱρουμένης, ἀλλ᾽ οὐδὲ τὴν κτῆσιν τῶν παρόντων;

Ερώτησις κʹ.

Εἰ πρὸς θάνατον καὶ φθορὰν οἱ ἁλιεῖς τοὺς ἰχθύας ἀπὸ τῶν ὑδάτων λαμβάνουσι, πῶς εἰς ζωὴν αἰώνιον ὁ δεσπότης Χριστὸς μέλλων διὰ τῶν ἀποστόλων τοὺς ἀνθρώπους εἰσαγαγεῖν, ἁλιέας αὐτοὺς ποιεῖν ἀνθρώπων ἐπηγγείλατο;

Απόκρισις.

Ἐπειδὴ ἐχρῆν τοὺς ὑπὸ τῶν ἀποστόλων ἀγρευομένους ἀνθρώπους τῇ σαγήνῃ τῆς βασιλείας, ἀποθανεῖν ἀπὸ τῆς προτέρας αὐτῶν ἐν ἁμαρτίαις ζωῆς, διὰ τοῦτο τῇ ἄγρᾳ τῶν ἰχθύων παρεικάσεν ὁ 244
Κύριος τὴν ἄγραν τῶν ἀνθρώπων. προσέθηκε δὲ τὸ εἰς ζωὴν, τὸ ἐλλεῖπον τοῦ ὑποδείγματος τῷ ὑποδεικνυμένῳ προστιθέμενος.

Ερώτησις καʹ.

Εἰ σώφρονι λογισμῷ κατεχόμενοι οἱ μοναχοὶ τὰς γαμικὰς ἡδονὰς ἀπεστράφησαν, διὰ τί ἐν ταῖς καθ᾽ ὕπνον φαντασίαις τὰ ἀβούλητα πάσχουσι, καὶ οὐ μόνον εἰς τὰς τυχούσας, ἀλλ᾽ ἔστιν ὅτε καὶ μητράσι καὶ ἀδελφαῖς ὁμιλεῖν ἐν τῇ φαντασίᾳ νομίζουσι; τίσιν οὖν χρηστέον πρὸς τὴν ἀπαλλαγὴν τοῦ τοιούτου πολέμου; καὶ εἰ τὸν πολεμηθέντα δεῖ τῶν μυστηρίων ἀπέχεσθαι· καὶ εἰ προσιέναι αὐτοῖς ἀναγκαῖον, ἢ λουσάμενον, ἢ ἑτέρῳ τοιούτῳ τινὶ χρησάμενον, ὥστε μὴ ἰουδαϊκῶς καθαίρεσθαι, δίδαξον, ἐπειδὴ πολλή ἐστι περὶ τούτου καὶ παρ᾽ αὐτῶν ἡ ζήτησις.

Απόκρισις.

Ἐπειδὴ οἱ ἀνακείμενοι Θεῷ ἄγρυπνον ἔχουσιν ἀντίπαλον, τὸν πᾶσι τοῖς δυνατοῖς αὐτῷ τρόποις μηχανώμενον θεῖναι τοῖς εὐσεβέσι μῶμον, διὰ τοῦτο ἀβούλητα καθ᾽ ὕπνους πάσχουσι. καίτοι εἰδὼς ὁ ἀντίπαλος ὅτι ἐν τοῖς οὐκ ἐφ᾽ ἡμῖν, οὔτε ἐπὶ τοῖς σεμνοῖς ἐπαινούμεθα, οὔτ᾽ ἐπὶ τοῖς αἰσχροῖς ψεγόμεθα· (οἱ γὰρ ἔπαινοι καὶ οἱ ψόγοι τῶν μετὰ συγκαταθέσεως τοῦ λογισμοῦ ὑφ᾽ ἡμῶν πραττομένων εἰσὶ) καὶ ὅτι τὰ ἐνύπνια τῶν οὐκ ἐφ᾽ ἡμῖν ἐστιν, ἀλλ᾽ ὅμως καὶ διὰ τῶν ἐνυπνίων κινεῖ ἐν ἡμῖν ἀμφοτέρων τὰς πράξεις, καὶ τῶν σεμνῶν, καὶ τῶν αἰσχρῶν, ταύτας ἔχων ἐν αὐτῷ τὰς ἐλπίδας, μήπως ἢ τῇ τῶν σεμνῶν ἐργασίᾳ ἐξεγείρας ἡμᾶς εἰς ματαίαν καύχησιν τῶν ἡμῖν μὴ πεπραγμένων,

ἢ τῇ τῶν αἰσχρῶν ἐργασίᾳ δυνηθείη εὑρεῖν ἡμᾶς ἐπὶ ἀνόμῳ πράξει τερπομένους. ἀλλὰ τὸ μὲν ἰδεῖν τὰ τοιαῦτα ἐνύπνια, οὐκ ἔστιν ἐφ' ἡμῖν· τὸ δὲ τερφθῆναι ἐπὶ τῇ οὕτω ἀβουλήτῳ πράξει, ἢ λυπηθῆναι, τοῦτο ἐφ' ἡμῖν ἐστί. κἂν μὲν οὖν εὕρῃ ἡμᾶς ἐπὶ τῇ ἀβουλήτῳ πράξει τερπομένους, καυχᾶται ὡς νικητὴς ὁ ἀντίπαλος· ἐὰν δὲ λυπουμένους, ματαιοῦται τῇ βουλῇ ἡττώμενος. ἱκανὸν οὖν ὑπάρχει πρὸς τὴν ἀπαλλαγὴν τοῦ κακοῦ μηχανήματος, τὸ λυπηθῆναι ἐπὶ τῷ ἀβουλήτως συμβεβηκότι, καὶ δάκρυσιν ἀποπλύνειν τὸ μυσαρὸν τῶν οὕτως ἀβουλήτων ἐν ἡμῖν ὑφισταμένων φαντασιῶν. ἐπέχεσθαι δὲ τοὺς οὕτως τὰ ἀβούλητα πάσχοντας τῆς κοινωνίας τῶν θείων μυστηρίων, οὐδόλως δίκαιόν ἐστιν· εἰ δὲ μήγε, ἀναιροῦμεν κατὰ τοῦτο τῶν βουλητῶν τε καὶ τῶν ἀβουλήτων κακῶν τὴν διαφοράν.

Ερώτησις κβ'.

Εἰ τῷ σίτῳ συναυξάνεσθαι τὰ ζιζάνια ὁ δεσπότης Χριστὸς ἀπεφήνατο, πῶς τὰ μὲν ζιζάνια πεπληθύνται, σχεδὸν δὲ ὁ σῖτος ἐξέλιπε; καὶ τίς ἡ ἀπόδειξις τοῦ εἶναι σῖτον τὸν ἐκλείψαντα· πῶς δὲ τῆς συναυξήσεως τούτων ἡ πρόρρησις οὐ διέψευσται;

Απόκρισις.

Απόδειξις τοῦ σῖτον εἶναι τὸ ἐκλεῖψαν τὰ, αὕτη ἐστὶν,
„ ἡ παρ' αὐτοῦ πρόρρησις, λέγουσα, Διὰ τὸ πληθυν-
„ θῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολ-
„ λῶν:- καὶ πάλιν, Εν ὑστέροις καιροῖς ἀφίστανται τι-
„ νες τῆς πίστεως, καὶ προσέχουσι πνεύμασι πλάνοις
„ καὶ διδασκαλίαις ἀνθρώπων:- καὶ πάλιν, Απὸ
„ μὲν τῆς ἀληθείας ἀποστρέφονται· πρὸς δὲ τοὺς μύ-
„ θους ἐκτραπήσονται:- καὶ πάλιν, Εἰσελεύσονται εἰς
„ ὑμᾶς λύκοι βαρεῖς, μὴ φειδόμενοι τοῦ ποιμνίου τοῦ
„ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν:- Ὅτι δὲ ἕως
τῆς συντελείας τοῦ αἰῶνος οὐκ ἐκλείπει ὁ σῖτος, δηλοῖ
„ ὁ Κύριος λέγων, Διὰ δὲ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέ-
„ ξατο ὁ πατὴρ, κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι:-
ἀλλ' εἰ μὲν συνέβη τι τῷ σίτῳ τὸ μὴ εἰρημένον περὶ αὐτοῦ αὐξανομένου τε καὶ ἐκλείποντος, δηλονότι διέψευσται ὁ περὶ αὐτοῦ λόγος. εἰ δὲ ἐξ ἀρχῆς τοῦ κηρύγματος ἕως τῆς συντελείας τοῦ αἰῶνος πάντα τὰ συμβησόμενα αὐτῷ διὰ τῶν προρρήσεων δέδοται, φανερὸν ὑπάρχει ὅτι οὐδαμῶς διέψευσται ὁ περὶ αὐτοῦ λόγος· ἀλλ' εἰ μέν ἐστι τὰ ζιζάνια, ἀνάγκη εἶναι καὶ τὸν σῖτον. ἐκ γὰρ τῆς ἀλλήλων παραθέσεως, ὁ μὲν σῖτος γνωρίζεται ὅπερ ἐστιν· ὡσαύτως καὶ τὰ ζιζάνια· καὶ θατέρου μὴ ὄντος, οὐδὲ τὸ ἕτερον γνωρίζεται ὅπερ ἐστιν.

Ερώτησις κγ'.

Εἰ πρὸ μὲν τοῦ πάθους ὁ Κύριος ηὔξατο ἁγιασθῆναι ὑπὸ τοῦ πατρὸς τοὺς μαθητὰς, μετὰ δὲ ταῦτα ὁ Ἰούδας ἀπώλετο, πῶς ἡ ὑπὲρ αὐτῶν προσενεχθεῖσα εὐχὴ φαίνεται δεδεγμένη; πῶς δὲ δείκνυται ἀληθὲς καὶ τὸ, Οἶδα ὅτι πάντοτέ μου ἀκούεις;

vel turpi opere nos inuenire queat facto iniquo delectari. Verũ vt huiusmodi cernamus somnia, in nobis situm non est: vt autem huius generis actione non voluntaria, vel oblectemur vel doleamus, in nobis situm est. Itaque si nos reperiat facto non voluntario delectari, tamquam victor gloriatur aduersarius: sin autem tristari, consilium illum victum frustratur. Quocirca satis fuerit ad amolitionem sinistræ machinationis, de eo quod præter voluntatem euenerit, dolere, atque lacrymis earum quę in nobis præter sententiam nostram exstiterint, imaginationum abluere piaculum. Eos vero qui ita ingratiis talia sint passi, a communione diuinorum mysteriorum abstinere, nequaquam æquum est. Sin aliter id fiat, sustulerimus per hoc voluntariorum & non voluntariorũ malorum differentiam.

QVÆSTIO XXII.

Si vna cum tritico Dominus CHRISTVS auctum iri zizania respondit: quomodo zizania quidem multiplicata sunt, triticum autem fere defecit? & quænam est demonstratio, id quod defecit triticum esse? quomodo vero vtriusq; horũ incrementi prædictio falsa non est?

RESPONSIO.

Id quod defecit, triticum esse demonstratur, per eam quæ ab ipso prolata est prædictionem: *Quoniam*, inquit, *abundabit iniquitas, refrigescet caritas multorum*. Et rursum; *In posterioribus temporibus discescent quidam a fide, attendentes spiritibus impostoribus, & doctrinis hominum*. Et iterum; *A veritate quidem auertentur, ad fabulas vero conuertentur*. Item; *Ingressuri sunt ad vos lupi graues, non parcentes gregi, vt abducant discipulos post se*. Quod vero vsque ad consummationem seculi non defecturum sit triticum, significat Dominus, inquiens; *Propter electos autem quos elegit Pater, decurtabuntur dies illi*. Sed enim siquid accidisset tritico, quod dictum non esset de auctu eius & defectu: perspicuum esset, falsum esse de eo proditum verbum. Sin iam inde ab initio prædicationis, vsque ad consummationem seculi, quæ illi euentura sint, omnia per prædictiones tradita sunt: manifestum est, nullo modo proditum de eo verbum falsum esse. Porro zizania si sunt, & triticum esse necesse est. Ex alterius nãque cum altero compositione, triticum id quod est esse cognoscitur: Consimiliter & zizania. Et alterum si non sit, nec alterum quid sit cognoscitur.

QVÆSTIO XXIII.

Si ante passionem quidem Dominus precatus est vt sanctificarentur a Patre discipuli; postea autem Iudas periit: quomodo quæ pro eis oblata est precatio, accepta videtur? Quomodo etiam verum esse ostenditur illud: *Scio quod semper audis me?*

RESPONSIO.

Iudæ perditio est facta, postquã CHRISTVS sumptam atque intinctam offulam illi dedit, & postquam Iudas offulam accepit, atque in eum ingressus est satanas, ipseq; Iudas egressus se a reliquis abrupit discipulis. Oratio autẽ pro discipulis, post discessum Iudæ habita est. id ex ipsa ostenditur oratione, cum orans Dominus dixit; *Quos dedisti mihi, custodiui: & nemo ex eis periit, nisi filius ille perditus; vt Scriptura compleretur.* Itaque primum perditio facta est, deinde pro discipulis oratio, postea passio Saluatoris.

QVÆSTIO XXIIII.

Si Deus conditor est & dominus creaturæ, quomodo Apollonii effectus in partibus creaturæ potentes sunt? nam impetum maris, & ventorum vim, & murium bestiarumque incursiones, vt videmus, prohibent. Et si, quæ a Domino edita sunt miracula, ea sola commemoratione feruntur; illius autem plurima ipsis quoq; rebus ostenduntur: quomodo ea in errorem non seducunt spectatores? Atque si hoc diuina est factum permissione: quomodo non dux fuit ad paganismum eiuscemodi permissio? Sin minus, quomodo non dæmonum potentia illa facta sunt? Et si vero si illo quod factum est, tamquam bono delectatus Deus, opem & operam suam contulit: quare talia per prophetas aut apostolos præstita non sunt? Sin ei veluti malum displicuit, quanam gratia malum aut illico non impediit, aut paulo post non aboleuit, sed vsq; ad seculum dierum creaturæ obtinere permisit?

RESPONSIO.

Si quidem Apollonius, vt vir naturalium virium peritus, & rerũ quæ in eis sunt tum repugnantiæ, tum cognationis sciẽs, eiusmodi scientia effectus edidit, non diuinis id potestate fecit. Quam ob caussam in effectibus omnibus opus illi fuit congruentis materiæ assumptione, ad id quod efficiebat complendum, ipsum opera sua adiuuantis. Saluator autem noster CHRISTVS, miracula diuina potentia sua exhibens, haud quaquam materiæ indigens fuit; sed iussiones atque proloquutiones eius consequebantur & consequũtur res ipsæ. Et Apollonii effectus præstitos, quia naturalium virium scientia ad corporalem hominum vsum facti sunt, Dominus non euertit: dæmonis autẽ ipsius, in illius statua insidentis, & homines oraculis edendis in errorem, vt Apollonium sicuti Deum honorarent & colerent, inducentis, os obturauit, responsis eius abolitis. Simul vero & reliquorum dæmonum, sub deorum nomine a Græcis cultorũ, abrogauit potentiam; quemadmodũ ex reb. ipsis apparet. Cũ autem in hisce diuinæ CHRISTI

Ἀπόκρισις.

Ἡ μὲν τοῦ Ἰούδα ἀπώλεια ἐκεῖ γεγένηται, ἐξ ὅτου λαβὼν ὁ Χριστὸς τὸ ψωμίον, καὶ βάψας, αὐτῷ δέδωκε· καὶ λαβὼν τὸ ψωμίον ὁ Ἰούδας, εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς, καὶ ἐξελθὼν ἀπέρρηξεν ἑαυτὸν τῶν λοιπῶν μαθητῶν. ἡ δὴ ὑπὲρ τῶν μαθητῶν εὐχὴ, μετὰ τὸν χωρισμὸν τοῦ Ἰούδα γέγονε· καὶ τοῦτο δείκνυται ἐξ αὐτῆς τῆς εὐχῆς, ὅτι εὐξάμενος ὁ Κύριος ἔλεγεν, Οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. γέγονε μὲν οὖν πρῶτον ἡ τοῦ Ἰούδα ἀπώλεια, ὕστερον δὲ ἡ ὑπὲρ τῶν μαθητῶν εὐχὴ, ἔπειτα δὲ τὸ πάθος τοῦ σωτῆρος.

Ἐρώτησις κδʹ.

Εἰ Θεός ἐστι δημιουργὸς καὶ δεσπότης τῆς κτίσεως, πῶς τὰ Ἀπολλωνίου τελέσματα ἐν τοῖς μέρεσι τῆς κτίσεως δύνανται; καὶ γὰρ θαλάττης ὁρμὰς, καὶ ἀνέμων φορὰς, καὶ μυῶν καὶ θηρίων ἐπιδρομὰς ὡς ὁρῶμεν κωλύουσι. καὶ εἰ τὰ ὑπὸ τοῦ Κυρίου μὲν γινόμενα θαύματα ἐν μόνῃ τῇ διηγήσει φέρεται, τὰ δὲ παρ᾽ ἐκείνου πλεῖστα καὶ ἐπ᾽ αὐτῶν τῶν πραγμάτων δεικνύμενα, πῶς οὐκ ἀπατᾷ τοὺς ὁρῶντας; καὶ εἰ μὲν κατὰ θείαν τοῦτο συγχώρησιν γέγονε, πῶς ὁδηγὸς εἰς Ἑλληνισμὸν οὐ γέγονεν ἡ τοιαύτη συγχώρησις; εἰ δὲ μὴ τοῦτο, πῶς οὐ δυνάμει τῶν δαιμόνων ἐκεῖνα γεγένηνται; πάλιν δὲ, εἴπερ ὡς ἀγαθῷ τῷ γινομένῳ ἡδόμενος, ἐκείνῳ συνήργησε, διὰ τί μὴ διὰ προφητῶν ἢ ἀποστόλων τὰ τοιαῦτα γεγένηνται; εἰ δὲ μὴ ἠρέσκετο ὡς φαύλῳ, τίνος ἕνεκεν τὸ φαῦλον ἢ εὐθὺς οὐκ ἐκώλυσεν, ἢ μετὰ βραχὺ οὐ κατέλυσεν, ἀλλ᾽ ἕως αἰῶνος τῶν ἡμερῶν τῆς κτίσεως κρατεῖν συνεχώρησεν;

Ἀπόκρισις.

Ὁ μὲν Ἀπολλώνιος, ὡς ἀνὴρ ἐπιστήμων τῶν φυσικῶν δυνάμεων καὶ τῶν ἐν αὐταῖς συμπαθειῶν τε καὶ ἀντιπαθειῶν, κατὰ ταύτην τὴν ἐπιστήμην τὰ τελέσματα ἐποιεῖτο, οὐ κατὰ τὴν θείαν αὐθεντίαν· διὸ ἐν ἅπασι τοῖς ἀποτελέσμασιν ἐδεήθη τῆς τῶν ἐπιτηδείων ὑλῶν παραλήψεως, συνεργούσης αὐτῷ πρὸς τὴν τοῦ τελουμένου ἐκπλήρωσιν· ὁ δὲ σωτὴρ ἡμῶν Χριστὸς, κατὰ τὴν θείαν αὐτοῦ αὐθεντίαν ποιῶν τὰ θαύματα, οὐδαμῶς ἐδεήθη ὕλης, ἀλλὰ τοῖς προστάγμασί τε καὶ προρρήσεσιν αὐτοῦ ἠκολούθει καὶ ἀκολουθοῦσι τὰ πράγματα. Καὶ τὰ μὲν ὑπὸ τοῦ Ἀπολλωνίου γεγονότα τελέσματα, ἐπειδὴ κατὰ τὴν ἐπιστήμην γεγένηνται τῶν φυσικῶν δυνάμεων, πρὸς τὴν σωματικὴν ἐργασίαν ἀνθρώπων, οὐκ ἀνέτρεψεν ὁ Κύριος· αὐτὸν δὲ τὸν δαίμονα τὸν ἐν τῷ ἐκείνου ἀγάλματι ἱδρυμένον, τὸν ἐν ταῖς μαντείαις ἀπατήσαντα τοὺς ἀνθρώπους, ὡς Θεὸν σέβειν καὶ τιμᾶν τὸν Ἀπολλώνιον, ἐφίμωσε, καταργήσας αὐτοῦ τὰς μαντείας· σὺν αὐτῷ δὲ καὶ τῶν λοιπῶν δαιμόνων τῶν ἐν 248
τῷ θεῶν ὀνόματι ὑπὸ τῶν Ἑλλήνων τιμωμένων καθεῖλε τὴν δυναστείαν, καθὼς ὁρᾶται τὰ πράγματα. ἔχοντες δὲ ἐν τούτοις τῆς τοῦ Χριστοῦ θείας

potestatis

δυνάμεως τὰ γινόμενα θαύματα, οὐ χρὴ λέγειν τὰ τοῦ Χριστοῦ θαύματα ἐν ψιλῇ κεῖσθαι διηγήσει.

Ἐρώτησις κε΄.

Εἰ ἐπειδὴ ἦν Μωϋσῆς ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων, καὶ ἦν δυνατὸς ἐν ἔργοις καὶ λόγοις, καθὼς φησὶν ἡ θεία γραφή, πῶς ἀστρονομίαν καὶ γεωμετρίαν καὶ ἀστρολογίαν, καὶ τὰ τούτοις ἑπόμενα οὐ μετῆλθεν ὁ αὐτὸς μακάριος προφήτης, τῶν γὰρ Αἰγυπτίων τότε ἡ σοφία τὰ τῆς πλάνης ὑπῆρχε διδάσκουσα διδάγματα. διὰ τί οὖν ἐπὶ τοιούτοις λόγοις ἢ ἔργοις ὑπὸ τῆς γραφῆς θαυμάζεται;

Ἀπόκρισις.

Θαυμάζει τὸν προφήτην ἡ θεία γραφὴ ἐπὶ τῇ δυναστείᾳ τῶν λόγων καὶ τῶν ἔργων, οὐχ ἕνεκεν τῶν λόγων καὶ τῶν ἔργων καθ' αὐτά· ἀνάξια γὰρ ἦν ἐκεῖνα καθ' αὐτὰ πρὸς τὰ ἐγκώμια τοῦ προφήτου· ἀλλ' ἐπειδὴ δι' ἑκατέρας μὲν περίβλεπτος ὑπῆρχε τοῖς Αἰγυπτίοις ὁ προφήτης, τῆς τε τοῦ λόγου παιδείας, καὶ τῆς τοῦ βίου κοσμικῆς λαμπρότητος, ἀμφοτέρων δὲ τὴν εἰς Θεὸν εὐσέβειαν ἐτίμησε, διὰ τοῦτο αὐτὸν ἐθαύμασεν ἡ θεία γραφή· ἀστρονομία δὲ, καὶ ἀστρολογία, καὶ γεωμετρία, παρ' Αἰγυπτίοις τότε χυδαῖά τε, καὶ πεζὰ, καὶ ἀγεραῖα μαθήματα λελόγιστο. τίμια δὲ ἦν τότε παρ' αὐτοῖς μαθήματα τὰ ἱερογλυφικὰ καλούμενα, τὰ ἐν τοῖς ἀδύτοις οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐγκρίτοις παραδιδόμενα· ὧν ὁ προφήτης εἰ καὶ τὴν εἴδησιν εἶχεν, ἀλλ' οὐκέτι καὶ τὴν χρῆσιν, ὡς ἀντικειμένην τῇ κατὰ Θεὸν πολιτείᾳ τῶν Ἑβραίων, δι' ἣν καταφρονήσας τῆς ἐν Αἰγύπτῳ πάσης βασιλικῆς δυναστείας, εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ.

Ἐρώτησις κϛ΄.

Εἰ πάντα τὰ ὕδατα αἷμα ὑπὸ Μωσέως γεγένηνται, πῶς ἐπάγει ἡ γραφὴ τό, Ἐποίησαν δὲ καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ὡσαύτως; ἢ γὰρ ψευδές τὸ πάντα τὰ ὕδατα γενέσθαι αἷμα ὑπὸ Μωσέως, ἢ πάλιν τὸ τοὺς ἐπαοιδοὺς πεποιηκέναι ὡσαύτως. καὶ περὶ τῶν λοιπῶν τῶν κατ' αὐτοὺς θαυμάτων ὁ αὐτὸς λόγος.

Ἀπόκρισις.

Πάντων τῶν ὑδάτων τῶν ἐπάνω τῆς γῆς αἷμα γενομένων, ἠναγκάζοντο οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ ὀρύττειν φρέατα, καὶ ἀντλεῖν ὕδωρ, καὶ ποτίζειν ἐξ αὐτοῦ ἑαυτούς τε, καὶ τὰ ζῶα αὐτῶν, καὶ τὰ θρέμματα. ἐκ τούτου τοῦ ὕδατος τοῦ ἐκ τῶν φρεάτων ἀντλουμένου, ἐποίησαν οἱ ἐπαοιδοὶ τὸ αἷμα· καὶ οὐδαμῶς διέψευσται ὁ λόγος. καὶ τὰ μὲν ὑπὸ Μωσέως γενόμενα θαύματα, ἅτε κατὰ τὴν θείαν γεγενημένα ἐνέργειαν, κατὰ μεταβολὴν γεγένηνται φύσεως τοῦ προκειμένου εἰς τὴν φύσιν τοῦ ἐκτελουμένου· τὰ δὲ ὑπὸ τῶν ἐπαοιδῶν γενόμενα, κατὰ τὴν ἐνέργειαν ἐγένοντο τῶν δαιμόνων, τῶν φαντασιούντων τὰς ὄψεις τῶν ὁρώντων, τὸν μὴ ὄφιν ὁρᾶν ὡς τὸν ὄφιν, καὶ τὸ μὴ αἷμα ὡς αἷμα, καὶ τοὺς μὴ βατράχους ὡς βατράχους.

potestatis teneamus significationes, dicere non oportet CHRISTI miracula in nuda sita esse narratione.

QVÆSTIO XXV.

Si Moses eruditus est omni sapientia Ægyptiorũ, & potens erat in factis & dictis, sicuti diuina ait Scriptura: quomodo ad astronomiam, & geometriam, & astrologiam, & quæ ista cõsequuntur, idem beatus propheta discenda non transiit? Ægyptiorum enim eo tempore sapiẽtia, imposturæ tradidit disciplinas. Quam igitur ob rẽ, in sacris litteris de eiusmodi dictis & factis est in admiratione?

RESPONSIO.

Admiratur diuina Scriptura prophetã de dictorum factorumq; potentia, nõ dictorum operumq; gratia, per seipsa: indigna enim fuere illa per se ad prophetę laudem: sed quoniam vtroque nomine conspicuus fuerat apud Ægyptios, & propter eloquentiæ institutionem, & propter vitæ mundanæ splẽdorem; vtrumq; autem post veram in Deum pietatem habuit: propterea eum admirata est Scriptura sacra. Porro astronomia, & astrologia, & geometria, apud Ægyptios disciplinæ habitæ sunt vulgares & humiles: in honore autem & precio fuere quæ vocantur litteræ Hieroglyphicę; atque in adytis abditisque locis, non cuiuis ex vulgo, sed eximiis & delectis tãtum tradebantur. Quarum etiamsi propheta scientiam habuit, vsus tamen eis nõ est: quippe quę directe ciuili Ebręorũ vitę, ex pręscripto Dei institutæ, cõsuetudini repugnãret. cuius cõsuetudinis gratia, omnẽ in Ægypto regiã aspernatus potestatẽ, præ ea simul malis affici cũ populo Dei elegit.

QVÆSTIO XXVI.

Si aquæ omnes a Mose in sanguinẽ versæ sunt, quomodo Scriptura inducit illud; *Fecerunt autem & Ægyptiorum incantatores consimiliter?* falsum enim est, aut aquas omnes conuersas esse a Mose in sanguinem; aut contra, maleficos consimiliter fecisse. Et eadẽ est de reliqs eorũ miraculis ratio.

RESPONSIO.

Aquis omnibus super terrã in sanguinem versis, necesse habebãt Ægyptii circa flumen puteos fodere, & inde aquari, & potum sibiipsis & animantibus pecudibusq; suis præbere. ex ea ipsa aqua de puteis hausta, malefici sanguinem fecerunt. minimeq; Scripturæ verbum falsum est. Ac miracula quidem a Mose præstita, vt quę diuina vi & efficacia essent edita, per transmutationem naturæ eius quod subiectũ erat, in naturã eius quod perficiebatur, sũt facta: Quæ aũt incãtatores edidere, dæmonũ operatione sunt exhibita, oculos spectantiũ præstigiis decipientium; vt serpens qui non esset, tamquã serpentem; & qui sanguis non esset, quasi sanguinem; & quæ ranæ nõ essent, veluti ranas cernerẽt.

QVÆSTIO XXVII.

Quomodo Moses sibi repugnantia nō docuit, ossa quidem Iosephi secum ferēs; eū autem qui cadauer attigisset, vt impurum, pro piaculari habens? Et si quæ apud eum fuit rationabilis causa, eam nunc discamus. Quamobrem autem Scriptura non dixit, quanam gratia, cum illa faceret, hæc docuit?

RESPONSIO.

Quoniam moriens Ioseph, iureiurando adegerat filios Israel, ad ossa sua transferenda; & vtrumque vt seruaret, Mosæ propositum fuit; videlicet ne iusiurandū frangeret, & ne cadauer attingeret: violatione legis quæ mortuum tangere vetat, iurisiurandi religionem integram conseruauit. fieri enim non potuit, vt vtrumque inuiolatum teneret, & legem, & iusiurandum. Itaque præstabiliore iuramenti obseruatione, inferiorem soluit legis obseruationem. Nam in rebus omnibus, id quod minus est, maiori præferendum est malo. Et permulta sunt huius generis in sacris litteris; quæ non imputat eis Deus tamquam peccatum, qui illa transgrediūtur, propter eam quæ interuenit, necessitatem; veluti octiduana circumcisio, & septiduanus Hierichuntis circuitus, & victimarum in sabbato oblatio; quę sabbati complectuntur violationem. Præterea si propheta eos ordinauit qui per successionem ossa Iosephi portarent, [& iussu Dei rogationem tulit, vt septenario, aut alio certo dierum numero, lustrationes leprosorum aut aliorum impuratorum fierent; idemque de puerperarum purificatione, iuxta tempora, in Mosaica lege constituta statuit:] nihil ille aduersus ea quæ dixit, commisit. Quærere autem, cur propheta dictorum factorumq; suorum non adiecerit causam, perinde est atque si dicas: Quid ita sacrarum litterarum auctores, non eas interpretatione addita ediderunt? cum in ipsa rei commemoratione, significanter mens & sententia rei contineatur. Quocirca non faciendum esse Scripturæ visum est, vt per explicationis ea modum declararetur.

QVÆSTIO XXVIII.

Si Pharisæorum fucatam Dominus reprehendens religionem dixit, sepulcra eos esse dealbata, ossibus mortuis & omni spurcicia plena; & in lege, qui cadauer attigisset, impurus habitus est, proinde atq; enorme quidquam fecisset; & cadauera, eorūq; sepulcra detestamur, eo quod a veteri simul & a nouo instrumento cadauera immunda esse dicantur: quomodo CHRISTVS non contra vtrumque fecit, quod & viduæ filii, cum eum excitaret, tetigerit loculum; & Iairi filiæ apprehenderit manum? etiamsi enim postea excitati sint vtrique, tactum tamen exanima exceperunt corpora.

Ἐρώτησις κζ.

Εἰ ἐναντία ἑαυτῷ Μωϋσῆς οὐκ ἐδίδασκε. τὰ μὲν ὀστέα τοῦ Ἰωσὴφ ἐπαγόμενος, τὸν δὲ ἁπτόμενον νεκροῦ ὡς ἀκάθαρτον μυσαττόμενος· καὶ εἰ ἦν τις εὔλογος παρὰ τούτῳ αἰτία, ταύτην μὲν νυνὶ μάθωμεν· τίνος δὲ ἕνεκεν ἡ γραφὴ οὐκ εἶπε δι' ἣν αἰτίαν ἐκεῖνα ποιῶν Μωϋσῆς, ταῦτα ἐδίδασκεν;

Ἀπόκρισις. 247

Ἐπειδὴ τελευτῶν ὁ Ἰωσὴφ, περὶ τῆς μετακομιδῆς τῶν ὀστέων αὐτοῦ ὥρκισε τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἦν ἀμφότερα τῷ Μωϋσῇ εἰς φυλακὴν προκείμενα, τὸ μὴ παραβαίνειν τὸν ὅρκον, καὶ τὸ μὴ ἅπτεσθαι νεκροῦ, διὰ τοῦτο τῇ λύσει τοῦ νόμου λέγοντος μὴ ἅψασθαι νεκροῦ, ἐφύλαξε τὸν ὅρκον ἀπαράβατον. ἀδύνατον γὰρ ἦν αὐτῷ ἀμφότερα φυλάξαι ἀπαράβατα, καὶ τὸν νόμον, καὶ τὸν ὅρκον. τῇ μείζονι οὖν φυλακῇ τοῦ ὅρκου, ἔλυσε τὴν ἐλάττονα φυλακὴν τοῦ νόμου· πανταχοῦ γὰρ τὸ ἔλαττον κακὸν αἱρετώτερον τοῦ μείζονος. καὶ τοιαῦτα πολλὰ εὑρίσκεται ἐν τῇ θείᾳ γραφῇ· ἅτινα οὐ λογίζεται ὁ Θεὸς εἰς ἁμαρτίαν τῶν παραβαινόντων αὐτὰ, διὰ τὴν ἐν αὐτοῖς συμβεβηκυῖαν ἀνάγκην, ὡς τὴν ὀκταήμερον περιτομὴν, καὶ τὴν ἑπταήμερον περικύκλωσιν τῆς Ἱεριχὼ, καὶ τὴν ἐν σαββάτῳ προσαγωγὴν τῶν θυσιῶν ἅτινα περιέχουσι τοῦ σαββάτου τὴν λύσιν. ἔτι εἰ ἔταξεν ὁ προφήτης τοὺς ἐκ διαδοχῆς βαστάζοντας τοῦ Ἰωσὴφ τὰ ὀστέα καὶ κατὰ . . . . . . διὰ τῆς ἐν τῷ καθα . . . . . κατὰ τὸν νόμον τοῦ Μωϋσέως τούτου τοῦ ἀριθμοῦ . . καθαρίζεσθαι, οὐδὲν ἐναντίον ὧν εἶπε, τι διεπράξατο ὁ προφήτης. τὸ δὲ ζητεῖν διὰ τί οὐκ εἶπεν ὁ προφήτης τούτων τὴν αἰτίαν, ὅμοιόν ἐστι τῷ λέγειν, διὰ τί μὴ πᾶσαι αἱ γραφαὶ ἡρμηνευμέναι παρεδόθησαν παρὰ τῶν ἐκτεθεικότων αὐτάς· ἐπειδὴ ἐν τῇ τοῦ πράγματος διηγήσει ἐμφαντικῶς περιέχεται ἡ τοῦ πράγματος ἔννοια, διότι οὐκ ἐδοκίμασεν ἡ γραφὴ τὸ ἐκθετικῶς ταύτην δηλῶσαι.

Ἐρώτησις κη.

Εἰ τὴν τῶν Φαρισαίων ἐσχηματισμένην εὐλάβειαν ἐλέγχων ὁ Κύριος ἔλεγεν, ὅτι τάφοι κεκονιαμένοι εἰσὶν, πεπληρωμένοι ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας· καὶ ἐν τῷ νόμῳ ὁ ἁπτόμενος νεκροῦ, ἀκάθαρτος ἐλογίζετο, ὡς ἄτοπον ἐργαζόμενός τι· τούς τε νεκροὺς, καὶ τοὺς τούτων μυσαττόμεθα τάφους, ὑπό τε παλαιᾶς καὶ καινῆς ἀκαθάρτου τοῦ νεκροῦ καλουμένου· πῶς ἀμφοτέρων ὁ Χριστὸς ἐναντίως οὐκ ἔπραξεν, ὅτι τὸν υἱὸν τῆς χήρας ἀνιστῶν, ἥψατο τῆς σοροῦ, καὶ τὴν θυγατέρα τοῦ Ἰαείρου τῆς χειρὸς ἐκράτησεν; εἰ γὰρ καὶ ἀμφότεροι τελευτῶντες ἀνέστησαν, ἀλλὰ τὴν ἀφὴν τὰ νεκρὰ ἐδέξαντο σώματα.

RESPON-

Ἀπόκρισις.

Τῶν πτωμάτων τὰ νεκρὰ σώματα, καὶ οἱ τούτων τάφοι, μυσαττονται διὰ τὴν ἑπομένην αὐτοῖς βαρεῖαν δυσωδίαν, καὶ οὐ διὰ τὴν νέκρωσιν. εἰ γὰρ ἁπλῶς διὰ τὴν νέκρωσιν ἐμυσάττοντο τῶν νεκρῶν τὰ σώματα, οὐκ ἄρα ἐχρῆν τοῖς τῶν ζώων νεκρῶν σωμάτων μέρεσι κεχρῆσθαι πρὸς τὴν τῶν ζώντων χρείαν, ὡς τοῖς δέρμασι, καὶ τοῖς κέρασι, καὶ θριξί, καὶ χολαῖς, καὶ τοῖς στέασι, καὶ ταῖς σαρξίν· ἅτινα οὐδεὶς λόγος δύναται ὑπεξελεῖν τῆς προσούσης αὐτοῖς νεκρώσεως. εἰ δὲ νεκρὰ μὲν καὶ ταῦτα, οὐ μυσαττόμενα δὲ διὰ τὴν ἐξ αὐτῶν χρείαν, πῶς οὐκ ἔστι τῶν ἀτοπωτάτων τὸ καθαρὰ μὲν ἡγεῖσθαι ταῦτα διὰ τὴν ἐξ αὐτῶν χρείαν, μυσάττεσθαι δὲ τῶν ἁγίων μαρτύρων τὰ σώματα καὶ τοὺς τάφους ὑπὸ Ἑλλήνων, φυλακτικὰ ὄντα ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς, καὶ ἰαματικὰ νοσημάτων τῶν κατὰ τὴν ἰατρικὴν τέχνην ἀνιάτων; παρείκαζε δὲ ὁ Κύριος τὴν τῶν Φαρισαίων ἐσχηματισμένην εὐλάβειαν τάφοις κεκονιαμένοις· ὅτι ὥσπερ τῇ νοήσει τῶν ζώντων βδελυκτή ἐστι τῶν νεκρῶν σωμάτων ἡ δυσωδία καὶ ἀκαθαρσία, οὕτως καὶ ἡ ἐκείνων ἀνομία βδελυκτή ἐστι τῇ νοήσει τῶν εὐσεβῶν,
248 τρόπον τινὰ οὖσα αὐτῶν ψυχῆς νέκρωσις, καὶ δυσωδία, καὶ ἀκαθαρσία. ὥσπερ γὰρ χωρισθείσης τῆς ψυχῆς τοῦ σώματος, νεκρὸν τὸ σῶμα, καὶ δυσῶδες, καὶ ἀκάθαρτον· οὕτως χωρισθέντος τοῦ φόβου τοῦ Θεοῦ τῆς ψυχῆς, νεκρὰ ὑπάρχει ἡ ψυχή, καὶ δυσώδης, καὶ ἀκάθαρτος. κατ' ἐναντίωσιν δὲ ἔπραξεν ὁ Κύριος οὐδὲν οὔτε τῇ παλαιᾷ, οὔτε τῇ καινῇ· οὐκ ἦν γὰρ ὑπὸ τὸν νόμον ὅτε τοὺς ἐν τῇ ἐρωτήσει εἰρημένους νεκροὺς ἤγειρεν. ἀπὸ γὰρ τοῦ βαπτίσματος ἤρξατο ὁ Κύριος τῆς εὐαγγελικῆς πολιτείας, οὔσης ἔξωθεν τῆς τοῦ νόμου φυλακῆς· διὸ οὐκ ἐμιάνθη ἁψάμενος τοῦ νεκροῦ. κατὰ δὲ τὴν καινήν, ἐκεῖνα μόνα ἐστὶ μιαντικὰ ἀνθρώπου τὰ ἐκ τῆς καρδίας ἐξερχόμενα κακά· τὸ δὲ ἅπτεσθαι νεκροῦ, οὐ μιαίνει τὸν ἄνθρωπον.

Ἐρώτησις κθ΄.

Εἰ πεπλήρωτο ὁ οἶκος ἔνθα ὁ Κύριος ἦν, ὁπηνίκα ὁ παράλυτος ἔμελλε θεραπεύεσθαι, καὶ διὰ τοῦτο ἠναγκάσθησαν οἱ βαστάζοντες αὐτὸν καταλῦσαι τὴν ὀροφήν, καὶ δι' αὐτῆς καθεῖναι τὸν ἀσθενοῦντα, πῶς οἱ ἐν τῷ οἴκῳ ἠθροισμένοι ὄχλοι οὐκ ἐπλήγησαν τῆς ὀροφῆς λυομένης;

Ἀπόκρισις.

Αἰσθανόμενοι οἱ ἐν τῷ οἴκῳ μελλούσης τῆς ὀροφῆς ἀποστεγοῦσθαι, πάντως ὑπεχώρησαν· οὐ γὰρ οὕτως ἦσαν ἀνόητοι οἱ τὴν ὀροφὴν ἀποστεγοῦντες, ὥστε μὴ βοᾶν τοῖς ἐν τῷ οἴκῳ ὑποχωρεῖν, ἵνα μὴ πλήσσωνται. οὐδὲ γὰρ ὅλης τῆς ὀροφῆς ἦν χρεία ἀποστεγοῦσθαι. ἀλλὰ τοσοῦτον ὅσον ἤρκει εἰς τὴν ὑποχάλασιν τοῦ παραλυτικοῦ.

Ἐρώτησις λ΄.

Εἰ ἑκάστῳ ἀνθρώπῳ ἄγγελος παρέπεται φύλαξ, καθὼς ἡ θεία γραφὴ λέγει· οἱ δὲ ἄνθρωποι ποτὲ μὲν αὔξησιν, ποτὲ δὲ μείωσιν, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ καὶ τῶν λοιπῶν συμφορῶν,

RESPONSIO.

Mortuorũ corporum cadauera, & eorũ sepulcra abominationi sunt, propter consequentem grauceolẽtiam. nam si omnino propter mortalitatem abominationi essent defunctorum corpora, non oporteret animantium morticinorum partes accommodare ad viuentium vsum, vt pelles, cornua, pilos, bilem, adipem, carnes: quæ nulla ratione ex ea quæ illis adest, eximi possunt mortalitate. Quod si hæc quoque sunt emortua, minus tamen detestationi subiecta, propter eorum vsum: quomodo multo absurdissimum non est, pura quidẽ ista, vsus eorum gratia existimari; abominationi vero Græcorum, subdita esse sanctorum corpora, & sepulcra martyrum? quæ & dæmonum amoliuntur insidias, & morborum ab arte medica comploratorum cõferunt sanationes. Comparauit autem Dominus personatam Pharisæorum pietatem, sepulcris dealbatis: quoniam sicuti viuorum sensu abominabilis est exsanguium corporum fœtor & spurcicia, sic & illorum iniquitas detestabilis est piorum sententia: quæ quodammodo ipsorum animi est mortalitas, graueolentia, & impuritas. Quemadmodum enim per diuortium animæ a corpore, mortuum, fœtidum & immundum corpus est: ita si ab anima recedat Dei timor, exsanguis est, & maleolens, & impura anima. Per repugnantiã vero Dominus neque contra vetus neq; contra nouum Testamentum fecit quidquam. Non enim sub lege fuit, cũ eos quorum in quæstione facta est mentio, suscitauit defunctos. Nam a Baptismo Euangelicã exorsus est Dominus vitæ cõsuetudinem, legis obseruatione immunẽ. Idcirco pollutus non est defuncti contrectatione. Porro secundum nouum Testamentum, ea tantum hominem inquinant, quæ e corde prodeunt mala: mortuũ autem tangere, hominem non polluit.

QVÆSTIO XXIX.

Si plena domus fuit vbi Dominus erat, paralyticũ curaturus; & ob eam causam eis qui illum baiulabãt, necessitas imposita est, tectũ frangendi, atq; inde ægrũ demittendi: quomodo multitudo quæ in domo cõgregata erat, tecti fractione læsa nõ est?

RESPONSIO.

Cum, qui in domo erant, animaduerterent nudatum iri tectum, cesserunt loco vniuersi. nõ enim ita erãt stolidi qui tectũ denudabãt, vt homines nõ prius inclamatione ad cedendũ hortarẽtur, ne quis eorũ læderetur. nec opus fuit tectũ omne auferre, sed quãtũ ad paralyticũ demittẽdũ satis esset.

QVÆSTIO XXX.

Si quẽlibet hominẽ ãgelus sequitur custos, vt sacræ docẽt litteræ; homines autẽ quãdoq; incremẽtũ, quãdoq; diminutionẽ, sicut in diluuio & reliquis calamitatib.

propter facta sua, sustinuerunt: angeli, qui incrementi & diminutionis capaces non sunt, quæ tum munia obiere: quandoquidem angelorum pro se quisque ab initio, apud Deũ ministerii sui functionem cepit?

RESPONSIO.

Angeli omnes, tum qui regunt, tũ qui reguntur, functionem suam implẽt, cælis & hominibus vtilẽ: quibus vero ministerium mandatum est vt homines sequãtur custodes, semper augẽtur, minuuntur nũquam. Aut enim vtrumque simul, animã inquã & corpus; aut animã post diuortiũ eius a corpore, sequuntur, vsque ad restituendi siue renouandi mũdi tẽpus. Prius autem quam vt hominum sint asseclæ & custodes constituantur, aliis muneribus, pro hominibus obeundis, principibus suis ministrant.

QVÆSTIO XXXI.

Si Dei nutu, nubes pluuiam terræ demittunt: quomodo incantamẽtis quibusdam, qui Grece a nubibus impellendis νεφοδιῶκται appellantur, nubes conficiunt, vbi grandinem & imbres immensos deiicere volunt?

RESPONSIO.

Hoc, quia nõ sub sanctę Scripturæ testimonio, per incantamenta scilicet imbres prouenire, adducis, incredibile est. Ipse nãq; qui hanc instituisti quæstionem, non ex eo quod factum videris, sed quod aliunde audieris, illam in medium protulisti.

QVÆSTIO XXXII.

Si mortalẽ Deus cõdidit naturã nostrã, quomodo dicis, Deum mortem nõ fecisse?

RESPONSIO.

Nõ, si quid natura mortale est, id omnino mortem obire necesse est. Cum mortales naturã sint Enoch & Elias, in immortalitate tamen adhuc perdurant, eo quod dictũ est, *Terra es, & in terram reuertere*, superiores. Itaq; verũ est, & mortalem effecisse Deum naturã nostram; & mortem in mũdum ingressam esse, inobœdientia hominis. Si enim Deus, quemadmodum mortalem condidit naturam, ita quoq; mortẽ condidisset: non per inobœdientiam esset mors. Et, si Deus inobœdientiã non creauit, neque mortem profecto creauit.

QVÆSTIO XXXIII.

Si hominũ natura, vt mortalẽ quidẽ cognoscit terminũ suũ; cuiusq; aũt hominis vitę tẽpus nõ certũ habet finẽ; (quod a fide nostra profani Fatũ vocant) quomodo Ezechiæ certi additi sunt anni? Quod nãq; additur, ad numerũ antea designatũ assumitur. Vnde igitur in eis qui diẽ suũ obeunt, tẽporis incertitudo demonstratur?

RESPONSIO.

Non esse definitum cuiusq; vitæ tẽpus, ex oracularibus Scripturæ verbis ita ostẽditur: *Si*, inquit, *in agro homo repererit puellã quæ desponsata sit, & vi illata concubuerit cũ ea:*

διὰ τὰς ἑαυτῶν πράξεις, ὑπέμειναν, οἱ τῆς τῶν ἀγγέλων αὐξήσεως καὶ μειώσεως ὄντες ἀνεπίδεκτοι, ποίαν τότε λειτουργίαν ἐπλήρουν, ἑκάστου τῶν ἀγγέλων παρὰ Θεοῦ λειτουργίαν ἐξ ἀρχῆς εἰληφότος;

Απόκρισις.

Οἱ μὲν ἄγγελοι πάντες, ἄρχοντές τε καὶ ἀρχόμενοι, λειτουργίαν ἐκπληροῦσι χρειώδη τοῖς οὐρανοῖς καὶ τοῖς διὰ τὸν ἄνθρωπον· οἱ δὲ λειτουργεῖν εἰληφότες τὸ παρέπεσθαι τοῖς ἀνθρώποις φύλακες, ἀεὶ μὲν αὔξονται, μειοῦνται δὲ οὐδέποτε. ἢ γὰρ παρέπονται τῷ συναμφοτέρῳ, ψυχῇ λέγω καὶ σώματι· ἢ παρέπονται τῇ ψυχῇ μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον τῆς ψυχῆς, ἕως τοῦ καιροῦ τῆς τοῦ κόσμου ἀνακλήσεως. πρὶν δὲ ταχθῶσι παρέπεσθαι τοῖς ἀνθρώποις, καὶ φυλάττειν αὐτοὺς, ἐν ταῖς ἄλλαις ὑπὲρ ἀνθρώπων λειτουργίαις λειτουργοῦσι τοῖς οἰκείοις ἄρχουσιν.

Ερώτησις λα´.

Εἰ νεύματι θείῳ αἱ νεφέλαι τὸν ὑετὸν τῇ γῇ καταπέμπουσι, διὰ τί τὰς νεφέλας οἱ καλούμενοι νεφοδιῶκται ἐπαοιδίαις τισὶ κατασκευάζουσιν, ἔνθα βούλονται, χαλάζας καὶ ἀμέτρους ὑετοὺς ἀκοντίζειν;

Απόκρισις.

Τοῦτο ἐπειδὴ κατὰ τὰς ἁγίας γραφὰς μαρτυρεῖς, τοὺς ὑετοὺς εἶναι ἐκ τῶν ἐπαοιδῶν ἄπιστον. καὶ γὰρ αὐτὸς ὁ ποιήσας περὶ τούτου ἐρωτήσεως τὴν ἐρώτησιν, οὐκ ἀφ' ὧν ἐθεάσω γινομένων τὴν ἐρώτησιν πεποίηκας, ἀλλ' ἀφ' ὧν ἤκουσας.

Ερώτησις λϐ´. 249

Εἰ θνητὴν ὁ Θεὸς τὴν ἡμετέραν ἔκτισε φύσιν, πῶς λέγεις ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν;

Απόκρισις.

Οὐκ εἴ τι θνητὸν τῇ φύσει, τοῦτο ἀνάγκη πάντως ἀποθανεῖν· καὶ τούτου ἡ ἀπόδειξις, τὸ θνητοὺς ὄντας τὴν φύσιν τόν τε Ενὼχ καὶ τὸν Ηλίαν, ἐν ἀθανασίᾳ ἔτι διαμένειν, τοῦ, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, γενομένους ἀνωτέρω. ἀληθὲς οὖν τὸ θνητὴν τὴν φύσιν ἡμῶν πεποιηκέναι τὸν Θεὸν, καὶ εἰσελθεῖν τὸν θάνατον εἰς τὸν κόσμον τῇ τοῦ ἀνθρώπου παρακοῇ. εἰ μὲν γὰρ ὥσπερ ἐποίησεν ὁ Θεὸς θνητὴν τὴν φύσιν, οὕτως ἐποίησε καὶ τὸν θάνατον, οὐκ ἂν διὰ τῆς παρακοῆς ὁ θάνατος· καὶ εἰ ὁ Θεὸς τὴν παρακοὴν οὐκ ἐποίησεν, οὐδ' ἄρα τὸν θάνατον.

Ερώτησις λγ´.

Εἰ τῶν ἀνθρώπων ἡ φύσις ὡς θνητὸν μὲν τὸ οἰκεῖον ἐπιγινώσκει πέρας, ὁ δὲ ἑκάστου χρόνος οὐ κατά τινα ἐστὶν ὅρον, ὅπερ καλοῦσιν οἱ ἐκτὸς εἱμαρμένην· πῶς τῷ Εζεκίᾳ προσετέθησαν χρόνοι; τὸ γὰρ προστεθὲν ἐπὶ τοῦ προορισθέντος ἀριθμοῦ δηλονότι λαμβάνεται. πόθεν οὖν ἐπὶ τῶν τελευτώντων τὸ τοῦ χρόνου ἀόριστον δείκνυται;

Απόκρισις.

Ὅτι δὲ οὐχ ὥρισται τῆς ἑκάστου ζωῆς ὁ χρόνος, δείκνυται ἐκ τῶν γραφικῶν φωνῶν οὕτως· Εὰν, φησὶν, ἐν τῷ πεδίῳ εὕρῃ ἄνθρωπος νεάνιδα μεμνηστευμένην, καὶ βιασάμενος αὐτὴν κοιμηθῇ μετ' αὐτῆς,

virum

τὸν μὲν ἄνδρα ἀποκτείνατε, τὴν δὲ νεάνιδα μὴ ἀποκτείνητε. ὃν γὰρ τρόπον ἐπάταξεν ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ πατάσσων αὐτὸν οὐχὶ παρῆν ὁ βοηθῶν, οὕτως ἐγένετο τὸ πρᾶγμα τοῦτο. καὶ ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ βοηθῶν αὐτῇ οὐκ ἦν. οὐκ ἂν ἡ παρείκασεν ἡ θεία γραφὴ τὴν βεβιασμένην κοίμησιν τῇ βεβιασμένῃ ἀναιρέσει, εἰ ἦν ὁ θάνατος ὡρισμένος. τὸ γὰρ παρὰ Θεοῦ ὡρισμένον, ἀβίαστόν τε καὶ ἀπαράβατον. ἀλλ' εἰ τοῦτο, δηλονότι οὐ τῇ προωρισμένῃ ζωῇ τοῦ Ἐζεκίου προσετέθησαν χρόνοι ζωῆς, ἀλλὰ τοῖς ἀορίστως προλαβοῦσιν ἔτεσιν αὐτοῦ, ὧν τὸ τέλος ἐγένετο διὰ τοῦ θανατικοῦ πάθους, μὴ τοῦ Θεοῦ ἐκ τοῦ πάθους ἰασαμένου αὐτόν, καὶ εἰς τὸ ζῆν αὐτὸν ἀποκαταστήσαντος.

Ἐρώτησις λδʹ.

Εἰ καθὼς τινές φασιν ὁ κατακλυσμὸς ἐν παντὶ τόπῳ τῆς γῆς οὐ γέγονεν, ἀλλ' ἐν ᾧ οἱ τότε ἄνθρωποι ᾤκουν, πῶς ἀληθὲς ὅτι ὑψώθη τὸ ὕδωρ ἐπάνω πάντων τῶν ὑψηλῶν ὀρέων δεκαπέντε πήχεις;

Ἀπόκρισις.

Οὐ δοκεῖ ἀληθὲς εἶναι τὸ μὴ ἐν παντὶ τῷ κόσμῳ τὸν κατακλυσμὸν γεγονέναι· εἰ μή τι ἄρα κοιλότεροι ἦσαν οἱ τόποι ἔνθα ὁ κατακλυσμὸς ἐγένετο, τῶν λοιπῶν τόπων τῆς γῆς.

Ἐρώτησις λεʹ.

Εἰ τῶν ἀλόγων ἁπάντων δημιουργός ἐστιν ὁ Θεὸς, διὰ τί τὸ διχηλοῦν ὁπλὴν καὶ μηρυκισμὸν μὲν ἔχον, καθαρὸν εἶναι ἀπεφήνατο; καὶ πάλιν διὰ τί τὸ μηρυκισμὸν μὲν ἔχον, οἷον κάμηλος, ὁπλὴν δὲ μὴ διχηλοῦν, ἐν τοῖς κακοῖς τέτακται· καὶ τὸ διχηλοῦν μὲν τὴν ὁπλὴν, μηρυκισμὸν δὲ μὴ ἔχον, οἷον χοῖρος, ἐν τοῖς μὴ καθαροῖς λελόγισται; καὶ ἐν τοῖς ἰχθύσι δὲ τὰ ἀλεπίδωτα, καὶ τὰ πετεινὰ διὰ τί διήρηνται, καίτοι τινῶν καθαρῶν, εἴ γε συγχωροῦνται, ταὐτὰ τοῖς ἀκαθάρτοις, ἐσθιόντων καὶ πραττόντων;

Ἀπόκρισις.

Φύσει μὲν καθαρὰ ὑπάρχει πάντα τὰ ζῶα καὶ καλὰ ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς γεγονότα, κατὰ τὸ εἰρημένον, Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ τῆς θείας τετυχηκότα εὐλογίας, λεγούσης, Αὐξάνεσθε καὶ πληθύνεσθε. ἀλλ' ἐπειδὴ ἐβούλετο ὁ Θεὸς ὥσπερ ἐν πᾶσι τοῖς ἐσθιομένοις ὑπὸ τὸν ζυγὸν τῆς τοῦ νόμου δουλείας ποιήσασθαι τοὺς Ἰουδαίους, διὰ τοῦτο τῶν ζώων, καὶ πετεινῶν, καὶ ἰχθύων, τινὰ μὲν ὠνόμασε καθαρά, ὧν καὶ τὴν σφαγὴν καὶ τὴν βρῶσιν τοῖς Ἰουδαίοις ἐπέτρεψε· τινὰ δὲ ἀκάθαρτα ὠνόμασεν, ὧν τὴν βρῶσιν αὐτοὺς ἀπεῖργε. καθαρὰ οὖν ταῦτα καὶ ἀκάθαρτα λέγονται· καθαρὰ μὲν, διὰ τὴν φύσιν· ἀκάθαρτα δὲ, διὰ τὸν νόμον. ἄλλως δὲ πάλιν καθαρὰ καὶ ἀκάθαρτα λέγονται, διὰ ταύτην τὴν αἰτίαν, ἐπειδὴ ἐν τῇ Αἰγύπτῳ τότε πάντα τὰ ζῶα πλὴν τοῦ χοίρου ἐθεοποιοῦντο· διὰ τοῦτο τῶν ζώων τὰ μὲν καθαρά, τὰ δὲ ἀκάθαρτα ὠνόμασε· καὶ τὰ μὲν καθαρὰ ἐπέτρεψεν αὐτοῖς θύειν,

virum quidem occidite, puellam vero ne occideritis. Quomodo namque percussit homo proximum suum, &, cum eum percuteret, non affuit percusso opitulator: sic & facinus hoc patratum est. Inclamauit puella, & adiutor ei presto non fuit. Non contulisset diuina Scriptura stuprum vi illatum, cædi violenter commissæ, si mors definita esset. Nam quod apud Deum definitum est, id vi mouere & trásgredi non est. Atque hoc si ita habet, nempe non determinatæ Ezechiæ vitæ, adiecti sunt vitæ anni, sed nullo certo fine præteritis eius annis: quorum exitus adciat a morbo letali, non a Deo, qui morbum eum sanauit, & in vitam illum restituit.

QVÆSTIO XXXIIII.

Si, quemadmodum nonnulli dicũt, diluuium non in omni terræ loco fuit, sed vbi eius ætatis homines habitarunt: quomodo in vero est, aquas altissimos quosq; montes, quindecim exuperasse cubitis?

RESPONSIO.

Non videtur in vero esse, nó in vniuerso mundo diluuium fuisse: nisi decliuiora ea loca fuerint, vbi diluuium extitit, reliquis terræ locis.

QVÆSTIO XXXV.

Si animantium omnium effector Deus est: quid ita quod bifidam haberet vngulá, & ruminaret, mundum esse pronunciauit? & rursum, quam ob causam quod ruminaret, vngulam autem non diuideret, in malis posuit: sicuti camelum? & quod vngulam quidem diuideret, non autem ruminaret, in immundis computauit: vt suem? Et in piscibus, cur squamosi & pinnati a reliquis discernuntur? & in volatilibus, cur inducta distinctio est? cum quidem pura quædam, si quidem permittantur, eadem quæ impura & edant & faciant.

RESPONSIO.

Natura certe quidem animalia omnia munda sunt, & bona a Deo primitus creata, iuxta id quod dictũ est, *Et vidit Deus omnia quæcumq; fecit; & ecce erant valde bona.* & diuinam consequuta sunt benedictionem, hisce verbis: *Crescite & multiplicamini.* Sed enim quia Deus, sicuti rebus aliis omnibus, ita etiam cibis sumendis, Iudæos sub iugo seruitutis Legis esse voluit: propterea animantium, volatilium & piscium, aliqua pura dixit; quorum etiam mactationem & esum illis permisit: aliqua impura nominauit, quorum eis vsu quoque interdixit. Quocirca hæc munda vocantur & immunda: munda quidem, iuxta naturam; immunda vero, secundum legem. Quin & illam insuper ob causam pura & impura sunt dicta, quod in Ægypto omnia tum animantia (sue excepta) diuinitate essent donata. quapropter animantiũ alias mundas alias appellauit immundas. & mundas eis, vt in sacrificiis mactarẽt, permisit:

immundis autem, vt ne in cibis vterentur, edixit. vtroq; modo illa indigna esse ostendens appellatione & honore Dei, & per mactationē in sacris, & per vsum in cibis, atq; item per id quod impura vocentur.

QVÆSTIO XXXVI.

Si in diuinitatem non cadit mutatio, quapropter Deus de Saulis vnctione dicit, se pœnitentia duci; & de euersione Niniuæ aliud statuit?

RESPONSIO.

Dominus Deus, tum eo quod exsistit, tū eo quod actiones se decentes agit, immutabilis est. Prospiciens autē mutationi obnoxiis, vtilitati eorū quibus prospicit, cōsulit, & res ipsas mutat. Proinde & cū ignoscit, & cū non ignoscit, immutabilitatem retinet: siquidem his qui delicta sua corrigunt, ita vt non mutetur, ignoscit: his autē qui in vitiis suis absque emendatione perseuerant, ita vt non mutetur, non ignoscit. Itaq; illud, *Pœnitentia ducor*, immutabilitatē eius, eo quod non ignoscit, designat: & illud, *Aliud statuit Dominus*, immutabilitatem eius eo quod ignoscit, significat. immutabilis namq; est Deus, & semper in eis quæ se decent faciendis perdurat, mutabilitatēq; ad id quod se nō decet, faciendum, numquam admittit.

QVÆSTIO XXXVII.

Si Baptismus Ioannis non secundū legē fuit, sicuti non fuit: quomodo ergo prǽter legem nō fuit? & quomodo ab his qui sub lege viuebāt, receptus est? Quomodo autem non violatores legis fuere, qui legi subditi cum essent, prǽter legem baptismū susceperunt? Sin sub lege baptismus gratiǽ non fuit, neq; secūdum legem, neq; supra legem, neq; prǽter legem dictus: quomodo tandem exstitisse reperietur?

RESPONSIO.

Baptismus Ioannis, procemiū fuit Euāgelii gratiæ: quocirca & supra legem fuit. alioqui non admisisset eos qui secundū legem peccauerāt, vt in hoc, per pœnitētiā & fidem CHRISTI, reciperent cōmissorum peccatorum remissionem.

QVÆSTIO XXXVIII.

Si Ioannes discipulorum fidem CHRISTO, quod ille ipse esset, cōfirmare voluit, quando eos ad illum misit; (hoc enim nōnulli dixere) quare non enunciationem eis mandauit, sed interrogationem per eos apud CHRISTVM produxit? Sin eo quod in carcerem coniectus fuerat, variantibus cogitationibus ad ambigentem de eo dubitationem peruenit; (nam & hoc dixerunt alii) quare perinde atq; illum nondū aduenisse cognouisset, percontatur? Illud enim verbum, *Tu ne es ille qui venturus est; an alterum exspectamus*: perinde atque CHRISTVM nondum aduenisse diceret; vt autem pro exspectatione de se cōcepta adueniret, precaretur, suspicionem affert. Hoc namq; si persuasum habuisset, non interrogasset,

τὰ δὲ μὴ ἐσθίειν ὡς ἀκάθαρτα, [δι'] ἑκατέρου δεικνύων αὐτὰ ἀνάξια ὄντα τῆς τοῦ Θεοῦ προσηγορίας τε καὶ τιμῆς, καὶ διὰ τοῦ θύεσθαι καὶ ἐσθίεσθαι· καὶ πάλιν διὰ τοῦ καλεῖσθαι αὐτὰ ἀκάθαρτα.

Ἐρώτησις λϛʹ.

Εἰ τὸ θεῖον τροπῆς ἀνεπίδεκτον, διὰ τί περὶ τῆς χρίσεως τοῦ Σαοὺλ λέγει μεταμελεῖσθαι, καὶ περὶ τῆς καταστροφῆς τῆς Νινευὶ ὅτι μετενόησεν;

Ἀπόκρισις.

Ὁ δεσπότης Θεὸς καὶ κατὰ τὸ ὑπάρχειν, καὶ κατὰ τὸ πράττειν τὰς πρεπούσας αὐτῷ πράξεις, ἄτρεπτός ἐστι. προνοῶν δὲ τῶν τρεπομένων πρὸς τὸ λυσιτελὲς τοῖς ὑπ' αὐτοῦ προνοουμένοις, τρέπει τὰ πράγματα· διὸ καὶ πρὸς τὸ συγγινώσκειν, καὶ πρὸς τὸ μὴ συγγινώσκειν ἀτρέπτως ἔχει. συγγινώσκει γὰρ ἀτρέπτως τοῖς διορθοῦσι τὰ ἑαυτῶν πλημμελήματα· τοῖς δὲ ἀδιορθώτως ἔχουσι πρὸς τὰ κακά, ἀτρέπτως οὐ συγγινώσκει. τὸ οὖν, Μεταμεμέλημαι, τὸ ἄτρεπτον αὐτοῦ ἐμφαίνει τὸ κατὰ τὸ μὴ συγγινώσκειν· τὸ δέ, Μετενόησεν ὁ Κύριος, τὸ ἄτρεπτον αὐτοῦ δηλοῖ τὸ κατὰ τὸ συγγινώσκειν. ἄτρεπτος γάρ ἐστιν ὁ Θεός, καὶ ἀεὶ ἐν τοῖς αὐτῷ πρέπουσι ποιεῖν διαμένειν, τροπὴν δ' εἰς τὸ ποιεῖν τὰ μὴ πρέποντα αὐτῷ, οὐ δέχεταί ποτε.

Ἐρώτησις λζʹ.

Εἰ τὸ Ἰωάννου βάπτισμα μὴ κατὰ νόμον ἦν, ὥσπερ οὖν οὔτε ἦν, πῶς οὐκ ἦν παρὰ τὸν νόμον, καὶ πῶς ὑπὸ τῶν ἐννόμων ἐδέχθη; πῶς δὲ οὐ παράνομοι οἱ ὑπὸ τὸν νόμον ὄντες, καὶ τὸ παρὰ τὸν νόμον δεξάμενοι βάπτισμα; εἰ δὲ ὑπὸ τὸν νόμον ἐτύγχανε τὸ τῆς χάριτος βάπτισμα μήτε κατὰ νόμον, μήτε ὑπὲρ νόμον, μήτε παρὰ νόμον λεγόμενον, κατὰ τί γενόμενον εὑρεθήσεται;

Ἀπόκρισις.

Τὸ βάπτισμα Ἰωάννου, προοίμιον ἦν τοῦ εὐαγγελίου τῆς χάριτος· διὸ καὶ ὑπὲρ τὸν νόμον ἦν· οὐδὲ γὰρ ἐνεδέχετο τοὺς κατὰ τὸν νόμον ἁμαρτήσαντας, ἐν τούτῳ διὰ μετανοίας τε καὶ πίστεως τοῦ Χριστοῦ δέξασθαι τὴν συγχώρησιν.

Ἐρώτησις ληʹ.

Εἰ πιστώσασθαι τοὺς μαθητὰς ὁ Ἰωάννης περὶ τοῦ Χριστοῦ, ὅτι αὐτός ἐστιν, ἐβούλετο, ὅτε ἀπέστελλεν αὐτοὺς πρὸς αὐτόν, (τοῦτο γάρ τινες εἰρήκασι) διὰ τί μὴ κατὰ ἀπόφασιν εἶπεν αὐτοῖς, ἀλλὰ πεῦσιν δι' αὐτῶν τῷ Χριστῷ προσήγαγεν; εἰ δὲ αὐτὸς διὰ τὸ τῇ εἱρκτῇ ἑαυτὸν ἐμβεβλῆσθαι ἐκ τῶν νοουμένων ποικίλως εἰς τὴν περὶ αὐτοῦ ἀμφιβολίαν κατέστη, 251 (καὶ γὰρ τοῦτο εἰρήκασιν ἕτεροι) διὰ τί ὡς μηδέπω αὐτὸν ἐλθόντα ἐγνωκὼς ἐρωτᾷ; τό γάρ, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ὡς μηδέπω μὲν τὸν Χριστὸν παραγενόμενον, εὔχεσθαι δὲ αὐτὸν προσδοκώμενον, τὴν ὑπόνοιαν δίδωσι. πεπισμένος γὰρ τοῦτο, οὐκ ἂν ἐπηρώτησε.

Tu

" Σὺ εἶ ὁ Χριστὸς, ἢ ἕτερός τις παρ' ἐκεῖνον;

Ἀπόκρισις.

Ἐπειδὴ διάφοροι φῆμαι περὶ ὧν ἐποίησε θαυμάτων ὁ Ἰησοῦς διέτρεχον, τῶν μὲν λεγόντων, Ἠλίας ἐστὶν ὁ ταῦτα ποιῶν· τῶν δὲ, Ἱερεμίας· τῶν δὲ, ἄλλος τις τῶν προφητῶν· ταύτας τὰς φήμας ἀκούων ὁ Ἰωάννης ἐν τῇ εἱρκτῇ, πέμπει τοὺς μαθητὰς αὐτοῦ μαθεῖν, εἰ ὁ τὰ σημεῖα ποιῶν, αὐτός ἐστιν ὁ ὑπ' αὐτοῦ μαρτυρηθεὶς, ἢ ἕτερός τις, ὁ παρὰ τῶν πολλῶν θρυλλούμενος; γνοὺς δὲ ὁ Ἰησοῦς τοῦ Ἰωάννου τὸν σκοπὸν, ἐπὶ τῆς παρουσίας τῶν μαθητῶν Ἰωάννου ἐποίησε πολλὰ θαύματα, πείθων αὐτοὺς καὶ τὸν Ἰωάννην δι' αὐτῶν, ὡς αὐτὸς εἴη ὁ πεποιηκὼς καὶ τὰ ἐπ' ὀνόματι ἑτέρων φημιζόμενα θαύματα, ὁ ὑπ' αὐτοῦ μαρτυρηθείς.

Ἐρώτησις λθ'.

Εἰ πάντας ἑλκύειν πρὸς ἑαυτὸν ὁ δεσπότης Χριστὸς μετὰ τὴν οἰκείαν ὕψωσιν ἐπηγγείλατο, πῶς οὐ πάντες τῇ εἰς αὐτὸν πίστει προσέδραμον; πῶς δὲ αὐτὸς ἐπαγγειλάμενος πρὸς αὐτὸν ἕλκειν, οὐκ ἐναντιοῦται τῷ, " Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατήρ " μου ἑλκύσῃ αὐτόν;

Ἀπόκρισις.

Ἀπὸ τοῦ οἰκείου τέλους πᾶς λόγος κρίνεται· τέλος δὲ, τοῦ πάντας ἕλκειν πρὸς ἑαυτὸν, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν. οὐ χρὴ οὖν πρὸ τοῦ τέλους τὰ τοῦ τέλους ἀπαιτεῖν. ἕλκει δὲ ὁ πατὴρ πρὸς τὸν υἱὸν τῷ διδόναι τῷ υἱῷ ἐξουσίαν καὶ δύναμιν τοῦ δύνασθαι πάντας ἕλκειν πρὸς ἑαυτόν. οὐκ ἄλλοτε οὖν ἕλκει ὁ πατὴρ πρὸς τὸν υἱὸν, καὶ ἄλλοτε ὁ υἱὸς πρὸς ἑαυτόν· διὸ οὐδὲν ἐναντίον ἐν ταῖς λέξεις.

Ἐρώτησις μ'.

Εἰ ἐν τοῖς δαιμονῶσιν οἱ δαίμονες διηνεκῶς ἐνοικοῦσι, πῶς ἑτέροις κατασκευάζουσι βλάβας; εἰ δὲ τοῦτο ποιοῦσι τῶν πασχόντων πρὸς βραχὺ χωριζόμενοι, πῶς ὅτι ἀοράτῳ δυνάμει ἀπ' αὐτῶν διωχθῶσιν, οὐκέτι ἐν αὐτοῖς ἴχνη τῆς οἰκείας παρουσίας δεικνύουσιν;

Ἀπόκρισις.

Ἀδύνατον τὸν τοῖς δαίμοσι ποιῆσαι τῇ ἀπ[illegible] ποιεῖ τῇ παρουσίᾳ παρόντος τοῦ [illegible] οὐδὲ τὰ ἴχνη αὐτοῦ πάρεστιν. ἡ γὰρ ἀπελαύνουσα αὐτὸν ἀόρατος δύναμις, φόβον αὐτῷ ἐντίθησι τοῦ μηκέτι πλησιάζειν τῷ τεθεραπευμένῳ.

Ἐρώτησις μα'.

Εἰ μόνου Θεοῦ ἐστι ζωὴν καὶ ἰσχὺν διδόναι τοῖς σώμασι, πῶς τοῦτο ποιοῦσιν οἱ δαίμονες, ἐνισχύοντες τῶν δαιμονώντων τὰ σώματα, ὥστε τὰ δεσμὰ καὶ τὰς ἁλύσεις συντρίβειν; ἐδεσμεῖτο γὰρ ἁλύσεσι καὶ πέδαις, καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὴν ἔρημον.

Tune es CHRISTVS, *aut alius quisquam ab illo?*

RESPONSIO.

Quoniam varia fama de miraculis quæ faciebat IESVS, ferebatur, quibusdam dicentibus, *Elias est qui hoc præstat*; quibusdã, *Hieremias*; quibusdam, *Alius quispiam prophetarum*: sermones eiusmodi audiens in carcere Ioannes, misit discipulos suos sciscitatum, num qui signa ea faceret, ille ipse esset qui testimonium a se retulisset, aut quisquam alius qui vulgo iactaretur. Porro IESVS consilio Ioannis cognito, in præsentia discipulorum ipsius, multa edidit miracula; & ipsis & Ioanni per eos persuadens, se illum ipsum esse qui & ea exhibuerit quæ aliorum nomine celebrarentur mira, & ab ipso testimonium reportauerit Ioanne.

QVÆSTIO XXXIX.

Si Dominus CHRISTVS se Omnes post exaltationem suam, ad seipsum pertracturum esse renunciauit: quomodo non omnes ad fidem eius accurrerunt? quomodo vero ipse, qui ad se pertractum iri omnes renunciauit, non dicto suo aduersatur? *Nemo venit ad me, nisi pater meus traxerit illum?*

RESPONSIO.

Ex fine & exitu suo verbum quodlibet indicatur. Dicti autem eius, quo significatur pertractum iri ad se omnes, tum finis erit, cum aboleuerit principatum, dominationem & potestatem omnem. Minime autem conuenit, ante finem ea quæ finis sunt, requirere. Pertrahit vero Pater ad Filium, eo quod & Filio potestatem dat & facultatem, vt ad seipsum trahere possit. Non alias ergo Pater ad Filium, & alias ad seipsum trahit Filius. Proinde nulla est in his dictis repugnantia.

QVÆSTIO XL.

Si in dæmoniacis continue dæmones morantur, quomodo noxam & detrimentum struunt aliis? Sin hoc faciunt ab eis qui ab ipsis affligũtur ad breue tempus secedentes, quomodo, cum ex illis potestate inuisibili exigũtur, deinceps in ipsis vestigia mansionis suæ non ostendunt?

RESPONSIO.

Fieri non potest vt dæmoniacus suapte vi, dæmone absente, alii noceat: si quid vero mali facit, præsentia dæmonis præsentis id facit: quo eiecto, neque vestigia eius manent. nam quæ illum exigit vis inuisibilis, metũ ei incutit, vt amplius ad eũ qui curatus est, non appropinquet.

QVÆSTIO XLI.

Si solius Dei est, vitam & robur corporibus conferre: quomodo hoc faciunt dæmones, dæmoniacorum corroborantes corpora, adeo vt vincula & catenas confringant? Vinciebatur namq; catenis & compedibus, & ruptis vinculis in deserta loca a dæmone agebatur [Gadarenus ille.]

RESPONSIO.

Non dæmon corpori vires tribuit, vt vincula & catenas frangere & disrumpere posset; verum dæmon confregit vincula & catenas: quamuis etiam dæmoniaco, opera dæmonis sacræ attribuere litteræ.

QVÆSTIO XLII.

Si dæmones non habent potestatem in creaturę partem, cur illi, cum oraculorum responsis paritũ non esset, supplicia Græcis intulere: cum autem simulacra colerẽtur, supplicia illa continuere, & pro eis bona cultoribus tribuere? Vnde igitur ipsis est tanta in vtramque partem potestas?

RESPONSIO.

Mos fuit dæmonibus, ad homines errore implicandos, sibi sicuti nomen, ita & robur Dei vsurpare. Non esse autem dæmonib. vires vel vlciscendi inobœdientes, vel sibi parentibus benigne faciendi, ex demolitione declaratur quam paganismus sustinuit a Christianismo. Sane quidem manifesto visum est, non alia vsum esse paganismum aduersus Christianismum, quam quæ per ferrum & manus hominũ exercetur, potestate. Si qua enim paganismo suppeditauisset potentia diuina, eum, cum vastaretur, propugnans, non ad humanas confugisset vires, frustra deorum suorum, qui se vastitate ea liberarent, ope exspectata. quod maximum certe est infirmitatis dæmonum argumentum, nullo eos modo diuina posse perficere opera, quibus vel immorigeros sibi vindicẽt, vel morigeros beneficiis afficiant. Præterea si cultus omnis eorum est qui viuunt & qui sentiendi facultatem obtinent, quomodo aperte falsum non est illud dictum; Cum autem simulacra colerentur, supplicia cõtinuerunt; quæ nec viuunt nec sentiunt; sed, sicut ad cultum ipsum, ita etiam ad inobœdientiam oraculorum sensu omni carent.

QVÆSTIO XLIII.

Si tempore diluuii quis dicit duo duo, & septem septem, in arcam esse introducta, minus rationabiliter, non quatuor & quatuordecim, ex puris & impuris animãtibus; nam illud nonnulli dixerunt, aliqui autem duo impura dumtaxat: vtrum ergo verius?

RESPONSIO.

Verius [siue significãtius] loquutus est qui dixit quatuor & quatuordecim, eo qui dixit duo duo, & septem septẽ. nam ille *duo duo* dixit, pro duob. maribus & duabus fœminis: & *septem septem*, pro septem marib. & septem fæminis. Impura autem duo duo fuere.

QVÆSTIO XLIIII.

Quandoquidem Esaias & Ezechiel, animãtiũ multos habentiũ oculos visionẽ viderũt: nũ vtriq; vnũ quippiã est reuelatũ, an alteri alterũ ostẽsũ? Quid vero etiã visio indicauit?

Ἀπόκρισις.

Οὐ τῷ σώματι παρέσχεν ὁ δαίμων τὴν δύναμιν πρὸς τὸ δύνασθαι συντρίβειν καὶ διαῤῥήσσειν τὰ δεσμὰ καὶ τὰς ἁλύσεις, ἀλλὰ αὐτὸς ὁ δαίμων συνέτριβε καὶ διέῤῥησσε τὰ δεσμὰ καὶ τὰς ἁλύσεις, εἰ καὶ ἡ θεία γραφὴ τῷ δαιμονιῶντι προσῆψε τοῦ δαίμο- 252
νος τὰ ἔργα.

Ἐρώτησις μβ´.

Εἰ τῶν μερῶν τῆς κτίσεως οἱ δαίμονες οὐκ ἐξουσιάζουσι, διὰ τί, παρακουσθέντων τῶν χρησμῶν, τοῖς Ἕλλησι τιμωρίας ἐπῆγαγον· καί, θεραπευθέντων τῶν εἰδώλων, ταύτας ἀνεῖχον, καὶ ἀγαθὰ αὐτοῖς ἀντὶ τούτων παρεῖχον; πόθεν οὖν αὐτοῖς δυνατὸν εἰς τὴν ἑκατέρου ἔννοιαν;

Ἀπόκρισις.

Ἔθος ἦν τοῖς δαίμοσι, πρὸς πλάνην ἀνθρώπων, περιστῆναι ἑαυτοῖς ὥσπερ τοῦ Θεοῦ τὸ ὄνομα, οὕτως καὶ τὴν ἰσχύν· ὅτι δὲ οὐκ ἔστι τοῖς δαίμοσιν ἰσχὺς ἀμυντικὴ τῶν ἀνηκόων, καὶ εὐεργετικὴ τῶν ὑπηκόων, δείκνυται ἐκ τῆς καταλύσεως ἧς ὑπέμεινεν ὁ Ἑλληνισμὸς ὑπὸ τοῦ Χριστιανισμοῦ. Φανερῶς γὰρ ὤφθη ὁ Ἑλληνισμὸς οὐχ ἑτέρᾳ δυνάμει κατὰ τοῦ Χριστιανισμοῦ χρησάμενος, πλὴν τῆς διὰ χειρὸς ἀνθρώπων καὶ ξιφῶν. εἰ γὰρ εὐπόρει ὁ Ἑλληνισμὸς θείας δυνάμεως ὑπερμαχούσης αὐτοῦ καταλυομένου, οὐκ ἂν τῇ ἀνθρωπίνῃ δυνάμει ἐχρήσατο σώζειν ἑαυτόν, μάτην προσδοκήσας θεοὺς αὐτοῦ ἐκ τῆς καταλύσεως· ὅπερ ἐστὶ μέγιστος ἔλεγχος τῆς τῶν δαιμόνων ἀσθενείας, καὶ τοῦ μηδέποτε αὐτοὺς δυνηθῆναι θεῖα ἔργα ἐκτελεῖν, τιμωρητικὰ τῶν ἀνηκόων, καὶ εὐεργετικὰ τῶν ὑπηκόων. ἔτι δὲ εἰ πᾶσα θεραπεία ἐστὶ ζώντων τε καὶ αἰσθανομένων, πῶς οὐκ ἔστι προδήλως ψευδὲς τό, Θεραπευθέντων δὲ τῶν εἰδώλων, ἀνεῖχον τὰς τιμωρίας, τῶν μήτε ζώντων, μήτε αἰσθανομένων· ἀλλ' ὥσπερ πρὸς τὰς θεραπείας, οὕτως καὶ πρὸς τὴν παρακοὴν τῶν χρησμῶν ἀναισθήτως ἐχόντων.

Ἐρώτησις μγ´.

Εἰ ὁ ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ λέγων δύο δύο, καὶ ἑπτὰ ἑπτὰ ἐν τῇ κιβωτῷ εἰσηνέχθησαν, ἀλογίστως, οὐ τέσσαρα καὶ δεκατέσσαρα ἐκ τῶν ἀκαθάρτων καὶ καθαρῶν· καί τινες γὰρ εἰρήκασι, τινὲς δὲ ὅτι δύο καθαρὰ μόνον· ὅ τι οὖν ἐκ τῶν δύο ἀληθέστερον;

Ἀπόκρισις.

Ἀληθέστερον εἶπεν ὁ εἰπὼν τέσσαρα καὶ δεκατέσσαρα, τοῦ εἰπόντος δύο καὶ ἑπτά. τὸ γὰρ δύο δύο εἶπεν ἀντὶ τοῦ δύο ἄῤῥενα καὶ δύο θήλεα, καὶ ἑπτὰ ἄῤῥενα καὶ ἑπτὰ θήλεα· ἀκάθαρτα δὲ τὰ δύο δύο.

Ἐρώτησις μδ´.

Ἐπειδὴ τὴν τῶν πολυομμάτων ζώων Ἡσαΐας καὶ Ἰεζεκιὴλ ἐθεάσαντο ὀπτασίαν, ἆρα ἀμφοτέροις ἕν τι ἀπεκαλύφθη, ἢ θατέρῳ ἐδείκνυτο θάτερον, τί δὲ καὶ ἐδείκνυτο δεικνύμενον;

RESPON.

Ἀπόκρισις.

Διὰ μὲν τῆς κατὰ τὸν προφήτην Ἠσαΐαν ὀπτασίας τὸ κατὰ τὸν Χριστὸν ἐδήλου μυστήριον, καθήμενον ἐπὶ θρόνου δόξης, καὶ τῇ βρώσει τῆς ἁγίας αὐτοῦ σαρκὸς, καθαρισμὸν ποιοῦντα ἁμαρτίας ἀσεβῶν ἀνθρώπων, τῶν ἐν πάσῃ τῇ γῇ δοξαζόντων τὴν ἁγίαν καὶ ὁμότιμον τριάδα, ἐπὶ τῷ μεγέθει τῶν θείων δωρεῶν, ἧς τῷ ὀνόματι βαπτισθέντες ἐδικαιώθησαν, λαβόντες τῆς τῶν οὐρανίων καὶ αἰωνίων ἀγαθῶν μετουσίας τὴν ἐλπίδα. ὃν γὰρ ἐθεάσατο ὁ προφήτης ἄνθρακα τοῖς ἀκαθάρτοις αὐτοῦ χείλεσι προσαγόμενον, εἰς κάθαρσιν ἀνομιῶν τε καὶ ἁμαρτιῶν, μήνυμα εἶχε τῆς δεσποτικῆς σαρκὸς καθαριζούσης τὸ συνειδὸς τῶν ἐσθιόντων αὐτὴν ἀπὸ πάσης ἀσεβείας. Διὰ δὲ τῆς κατὰ τὸν προφήτην Ἰεζεκιὴλ ὀπτασίας τὰ μέλλοντα ἐδήλου συμβήσεσθαι τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος, ψυχαγωγίαν
253 ὄντα τῶν ἐν τῇ αἰχμαλωσίᾳ ἐν Βαβυλῶνι ὄντων Ἰσραηλιτῶν. ἐθεάσατο δὲ ὁ προφήτης τετραπρόσωπα ζῶα, ὁμοιώματα ἔχοντα ἀνθρώπου τε καὶ λέοντος, μόσχου τε καὶ ἀετοῦ. λέγει δὲ καὶ ὁ προφήτης Δανιὴλ περὶ τοῦ Ναβουχοδονόσορ, » ὅτι ηὐξήθησαν οἱ ὄνυχες αὐτοῦ ὡς ἀετοῦ, καὶ αἱ τρίχες αὐτοῦ ὡς λέοντος, καὶ χόρτον ἐψώμισαν αὐτὸν ὡς τὸν μόσχον, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῷ. ἐκ ταύτης δὲ τῆς ὀπτασίας ψυχαγωγίαν τινὰ ἐντίθησι τοῖς Ἰσραηλίταις, τοῖς πρὸς τὴν κραταιάν τε καὶ ἰσχυρὰν σφόδρα τῶν Βαβυλωνίων δυναστείαν ἀποβλεψαμένοις, καὶ ἐν ἀπογνώσει καθεστῶτας τοῦ μὴ δύνασθαι ἔτι ἐκ τῆς τοιαύτης αἰχμαλωσίας τυχεῖν ἐλευθερίας· ἵνα οὖν ἀπὸ ταύτης τῆς ἀπογνώσεως μεταστήσῃ τοὺς Ἰσραηλίτας ὁ Θεὸς, καὶ παρασκευάσῃ αὐτοὺς πρὸς τὴν αὐτοῦ δυναστείαν ἀποβλέπειν, δείκνυσι τῷ προφήτῃ ἡμέρου τε καὶ ἀνημέρου ζώου τὴν σύζευξιν, καὶ βαρυσώμου καὶ πτηνοῦ τὴν σύμπηξιν. ἥμερον μὲν γὰρ ζῶον ὁ ἄνθρωπος, ἀνήμερον δὲ ὁ λέων· καὶ βαρύσωμον μὲν ζῶον ὁ μόσχος, πτηνὸν δὲ καὶ κοῦφον ζῶον ὁ ἀετός. ἐν ἐκείνοις μὲν οὖν δηλοῖ τὴν τῆς βασιλείας ἐξ ἀνημέρου εἰς ἡμερότητα μετάστασιν· ἐν τούτοις δὲ, τῆς βαρύτητος τῆς δουλείας εἰς τὴν ἐλευθερίαν μεταβολήν. ὑπόζυγος γὰρ ὁ μόσχος, ζυγοῦ δὲ ἐλεύθερος ὁ ἀετός. δείκνυσι δὲ τῷ προφήτῃ καὶ τροχὸν ἐν τῷ τροχῷ, μηνύων δι' αὐτῶν τὴν τῶν Ἰουδαίων ἀπαγωγὴν εἰς αἰχμαλωσίαν, καὶ ἀπαγωγὴν εἰς τὰ ἴδια.

Ἐρώτησις με΄.

Διὰ τί ἐπὶ τοῦ Ἰεζεκιὴλ κατακέχρηται ὁ θεῖος ὁρισμὸς τῷ τοῦ υἱοῦ ἀνθρώπου προσρήματι, ὅπερ ἐπὶ τῶν ἄλλων προφητῶν οὐκ ἐποίησε; καὶ εἰ τὴν παγκόσμιον ἀνάστασιν ἐπὶ τῶν ξηρῶν ὀστέων ὁ αὐτὸς προφήτης τεθέαται, καὶ εἰ τῷ ὄντι ἀνέστησαν τὰ ὀστᾶ ἄνθρωποι γενόμενοι τέλειοι, καθὼς ἡ τοῦ αὐτοῦ προφήτου διδάσκει βίβλος;

Ἀπόκρισις.

Ἐπειδὴ ἔμελλε διὰ τοῦ προφήτου Ἰεζεκιὴλ κατ' ὀπτασίαν προγράφεσθαι τῶν νεκρῶν ἡ ἀνάστασις, μέλλουσα γίνεσθαι ἐπὶ πραγμάτων διὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου

RESPONSIO.

Visione Esaiç prophetæ, CHRISTI mysterium est declaratum: qui in throno maiestatis residet, & sanctæ carnis suæ cibatu purificationem fecit peccati impiorū hominum [gentium pœnitentinm] in vniuersa terra, glorificantium sanctam pariterq; honorandam Trinitatē, de diuinorum donorum amplitudine: cuius nomine baptismo suscepto iustificati sunt, spe participationis cælestium & sempiternorum bonorum accepta. Quem enim vidit propheta pollutus labiis suis, admorū carbonē iniquitatū atq; peccatorū purgādorū gratia: significationem is habuit carnis Dominicæ, conscientiam ea vescētium ab omni impietate purgantis. Per visionē autē Ezechielis, indicata ea sunt quæ regi Babylonis Nabuchodonosori fuerant euentura; ad Israelitarum, qui Babylone captiui erant, animorū consolationē. Vidit quippe sacer vates quadriformia animantia, similitudinē obtinētia hominis & leonis, vituli & aquilæ. Memorat autē de Nabuchodonosore Daniel quoq; propheta, creuisse vngues eius, sicut vngues aquilæ; & capillos eius, vt iubas leonis, cūq; ad instar vituli, herbā esse depastū, & cor hominis datū esse ei. Porro ex huiusmodi visione, cōsolatio quædā allata est Israelitis, ad firmā admodum & potentē Babyloniorū dominationē respiciētibus, & de liberatione tā duræ captiuitatis, quasi illa eis cōtingere iā nōposset, animos per desperationē despōdentibus. Itaq; vt Deus Israelitas ab eiuscemodi dimoueret desperatione, & ad potentiā suā respiciendā excitaret, prophetæ ostēdit cicuris & feri animantis cōiunctionē, atq; ponderosi corporis & volucris coagmentationē. Mite nāq; & mansuetum animal, est homo; ferus autē & immanis, leo: & vitulus grauius habet corpus, aquila vero leuis est & volatilis animans. In illis ergo demonstrat regnum impotens & atrox, in lene & humanum versum; in his, grauem seruitutem in dulcem libertatē mutatū iri. subiugalis nāq; vitulus est; a iugo ferēdo, libera prorsus aquila. Ostendit vero prophetæ, etiā rotam in rota; cōmonstrans per eas Iudæorū tū in captiuitatē abductionē, tū in patriā restitutionē.

QVÆSTIO XLV.

Quapropter in Ezechiele, diuinum oraculum Filii hominis appellatione abusum est: quod quidem in aliis prophetis non fecit? Et vtrū vniuersalē resurrectionem propheta in aridis ossibus vidit? Et an reuera ossa illa, homines perfecti facta sūt? quemadmodū prophetæ eius docet liber.

RESPONSIO.

Quia a propheta Ezechiele, per visionē depingenda erat mortuorū resurrectio, quę futura est in fine rerū p Filiū hominis,

pro eo atque dictum est; *Venit hora, & nūc est, quando ij qui in monumentis sunt audient vocem Filij hominis: & qui audierint, viuent:* propterea nomine Filii hominis est appellatus. Et quemadmodum Iesus Nauæ, pro potestate sua soli & lunæ imperaturus, Iesu nomen accepit, a creatura obœdienti, eius quod imperatum esset, exsequutione cohonestatum: ita & Ezechiel appellationem Filii hominis accepit, & per visionē alloquutionis virtute mortuos excitauit. Cæterum apud Ezechielem omnia visio fuere, & ossa, & horum resurrectio. Exhibita autem sancto vati a Deo ista visio est, præcipue quidem, vt per eam indicaretur futura per CHRISTVM vniuersalis omniū in toto mundo mortuorum resuscitatio: deinde vero propter Israelitarum consolationem, qui ob eam in qua detinebantur seruitutem, de liberatione ex Babyloniorū dominatu, spē sibiipsis desperatione præciderāt. Nā sicuti defuncta corpora in monumētis sita, spē resuscitationis nō habent: sic illi se Babylone esse rebātur, absq; spe reditus & restitutionis. Declarat hoc Propheta ipse, cū dicit: *Et factus est sermo Domini ad me, dicēs: Fili hominis, Ossa hac vniuersa, domus Israel est. ipsi dicunt; Exaruerunt ossa nostra, periit spes nostra:* & quæ sequuntur.

QVÆSTIO XLVI.

Si omnia quæ in hac vita sunt, bona sūt: quamobrem qui se eis abstinent, in Scripturis laudantur: & qui ea complectuntur, vituperantur? Sin mala sunt, quam ob causam quæ mala sunt, vitæ nostræ sunt coniuncta? idque eo mirādum magis, cum conditor ipse sit bonus.

RESPONSIO.

Non omnino laudabile est, se ab huius vitæ abstinere bonis: neque omnino vituperandum, si ea complectare. Verum vtrumque condecenti ratione si fiat, & abstinere & complecti, laudem meretur. At diuerso modo si fiant, ex æquo vtraque reprehendūtur. Nihil porro mali, iuxta substantiam, vitæ nostrę coniunctum esse, diuina ostendit Scriptura, creaturarum generationem collaudando, dicens: *Et vidit Deus quæcumque fecerat, omnia: & ecce erant valde bona.* Nobis autem spōte nostra, bona peruertentibus, mala exstitere. non est enim mali quidquam in sanitate, si quæ ei insunt bona, immutata permaneant. Proinde mali nihil est, nisi per boni peruersionem. Nihil ergo mali coniunctum est vitæ nostræ. nam mala, præter rationem suscepto vsu, non naturā mala sunt. Liberi autem arbitrii & delectus est, vt vel bene vel male rebus bonis vtamur.

QVÆSTIO XLVII.

Si elemētis sensus nō est, quid ita Moses apud populum cælum & terram testatur? Esaias vero eundem incusans populum, illis audientiam imperat?

κατὰ τὸ εἰρημένον, Ἔρχεται ἡμέρα καὶ νῦν ἐστιν, ὅτι πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσονται: διὰ τοῦτο καλεῖται τῷ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ὀνόματι. καθάπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ μέλλων κατ' αὐθεντίαν ἡλίῳ καὶ σελήνῃ προστάττειν, τὴν κλῆσιν λαμβάνει τοῦ Ἰησοῦ, τὸ ἀπὸ τῆς κτίσεως τῇ ὑπακοῇ τοῦ προστάγματος τιμώμενον· οὕτως καὶ ὁ Ἰεζεκιὴλ λαμβάνει τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὸ ὄνομα, καὶ διὰ τῆς ὀπτασίας ἐγείρει τοὺς νεκροὺς τῇ δυνάμει τοῦ προσρήματος. ἦν δὲ ἐπὶ τοῦ Ἰεζεκιὴλ τὰ πάντα ὀπτασία, καὶ τὰ ὀστέα, καὶ ἡ τούτων ἀνάστασις. δείκνυσι δὲ τῷ προφήτῃ ταύτην τὴν ὀπτασίαν ὁ Θεὸς, προηγουμένως μὲν μηνύων δι' αὐτῆς τὴν ἐσομένην διὰ Χριστοῦ πάντων κοσμικὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν· ἔπειτα δὲ διὰ τὴν ψυχαγωγίαν τῶν Ἰσραηλιτῶν τῶν ἀπογνόντων ἑαυτοὺς τῷ δεδουλῶσθαι, ὅτι ἐλευθεροῦνται τῆς τῶν Βαβυλωνίων βασιλείας. καθάπερ γὰρ τὰ νεκρὰ σώματα ἐν τοῖς μνημείοις κείμενα, ἐλπίδα οὐκ ἔχοντα ἐγέρσεως, οὕτως ἑαυτοὺς ἐλογίσαντο εἶναι ἐν Βαβυλῶνι, χωρὶς πάσης ἐλπίδος τῆς ἐπανόδου. δηλοῖ δὲ τοῦτο ὁ αὐτὸς προφήτης ἐν οἷς λέγει· Καὶ ἐλάλησε Κύριος πρός με λέγων, Υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα, πᾶς οἶκος Ἰσραήλ ἐστιν. αὐτοὶ λέγουσι, Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλετο ἡ ἐλπὶς ἡμῶν:- καὶ τὰ ἑξῆς.

Ἐρώτησις μς'. 234

Εἰ καλὰ τὰ τοῦ βίου πάντα, διὰ τί οἱ τούτων ἀπεχόμενοι, ἐν γραφαῖς ἐπαινοῦνται, καὶ οἱ ἀντεχόμενοι αὐτῶν διαβάλλονται; εἰ δὲ φαῦλα τυγχάνει, διὰ τί τὰ φαῦλα τῇ ἡμετέρᾳ ζωῇ συμπαρέζευκται, καὶ ταῦτα ἀγαθοῦ τοῦ δημιουργοῦ τυγχάνοντος;

Ἀπόκρισις.

Οὐχ ἁπλῶς ἐπαινετὸν τὸ ἀπέχεσθαι τῶν τοῦ βίου καλῶν, οὔτε ἁπλῶς ψεκτὸν τὸ ἀντέχεσθαι αὐτῶν· ἀλλ' ἑκάτερον πρέποντι λόγῳ γιγνόμενον, καὶ τὸ ἀπέχεσθαι, καὶ τὸ ἀντέχεσθαι αὐτῶν, ἐστὶν ἐπαινετόν· ἐναντίως δὲ γιγνόμενον, ἀμφότερα ἐστὶ ψεκτά. ὅτι δὲ οὐδὲν φαῦλον κατ' οὐσίαν συμπαρέζευκται τῇ ἡμετέρᾳ ζωῇ, δηλοῖ ἡ θεία γραφὴ, τῶν δημιουργημάτων ἐπαινοῦσα τὴν γένεσιν, λέγουσα, Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν:- παρατρεψάντων δὲ ἡμῶν ἑκουσίως τὰ καλὰ, φαῦλα ὑφίσταται. οὐκ ἔστι γὰρ φαῦλον ἐν τῷ ὑγιεῖ, τῶν ἐν αὐτῷ καλῶν ἀνατρέπτων μενόντων, ὥστε μηδὲν εἶναι φαῦλον παρὰ τὴν παρατροπὴν τοῦ καλοῦ. οὐδὲν οὖν συμπαρέζευκται φαῦλον τῇ ἡμετέρᾳ ζωῇ· τὰ γὰρ φαῦλα, χρήσει ἀλόγῳ εἰσὶ φαῦλα, καὶ οὐ φύσει· προαιρετὸν δὲ, τὸ κεχρῆσθαι, ἢ καλῶς, ἢ φαύλως.

Ἐρώτησις μζ'.

Εἰ τοῖς στοιχείοις οὐ πρόσεστιν αἴσθησις, διὰ τί Μωσῆς μὲν οὐρανὸν καὶ γῆν τῷ λαῷ διαμαρτύρεται, Ἡσαΐας δὲ κατηγορῶν τοῦ αὐτοῦ λαοῦ, τούτοις ἀκούειν ἐγκελεύεται;

Ἀποκρι-

Ἀπόκρισις.

Τὰ λεγόμενα πρὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, πρὸς τοὺς ἐν αὐτοῖς λέγεται λογικούς, ὡς τὰ λεγόμενα πρὸς τὴν πόλιν, πρὸς τοὺς πολίτας λέγεται· ὡς τό, Ἱερουσαλὴμ Ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν:- οὐ γὰρ ἡ πόλις ἀπέκτεινε καὶ ἐλιθοβόλησεν, ἀλλὰ οἱ πολῖται.

Ἐρώτησις μη΄.

Διὰ τί ὁ Κύριος ἔλεγε πρὸς τὴν Μαρίαν μετὰ τὴν ἔγερσιν, Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου:- εἰ μὲν οὖν πρὸ τῆς ἀναλήψεως οὐδενὶ ἐξῆν αὐτοῦ ἅπτεσθαι, πῶς μετὰ μικρὸν τοῖς μαθηταῖς καὶ τῷ Θωμᾷ ποιεῖν ἐπέτρεπε τοῦτο; εἰ δὲ ἐξῆν, πῶς ὃ ἔμελλε μετὰ μικρὸν τοῖς πολλοῖς ἐπιτρέπειν, ἀπηγόρευσε τῇ Μαρίᾳ πρὸ μικροῦ;

Ἀπόκρισις.

Τό, Μή μου ἅπτου, εἴρηται πρὸς τὴν Μαρίαν ὑπὸ τοῦ σωτῆρος κατὰ τὴν ἔννοιαν τοῦ Μή μοι ἀκολούθει, ὥστε διὰ παντὸς συνεῖναί μοι κατὰ τὴν πρὸ τοῦ σταυροῦ μου διαγωγήν. ἐβούλετο γὰρ κατὰ μικρὸν ἀπεθίζειν τοὺς μαθητὰς τῆς τοῦ σώματος αὐτοῦ θέας τε καὶ παρουσίας· διὸ οὔτε διαπαντὸς ὡρᾶτο τοῖς μαθηταῖς ἐν ταῖς ἡμέραις ἐν αἷς διέτριβεν ἐπὶ τῆς γῆς μετὰ τὴν ἀνάστασιν, οὔτε πάντη ἀθέατον αὐτοῖς ἑαυτὸν κατέστησεν, ἀλλ' ἐκ διαλείμματος ἀμφότερα ἐποιεῖτο, καὶ τὸ ὁρᾶσθαι αὐτοῖς, καὶ τὸ μὴ ὁρᾶσθαι.

Ἐρώτησις μθ΄.

Τίς ἡ ἀπόδειξις τοῦ μόνα δύο θηρία τε καὶ κτήνη, ἄρσεν καὶ θῆλυ, ἐν τῇ κοσμοποιίᾳ παρῆχθαι; ἐπειδὴ τοῦτο τινὲς τῶν εὐσεβῶν εἰρήκασι πρὸς σύστασιν τοῦ μὴ ἐξ ἀλόγων δορᾶς τοὺς δερματίνους χιτῶνας τοῖς πρώτοις ἀνθρώποις ὑπὸ τοῦ Θεοῦ δεδόσθαι.

Ἀπόκρισις.

855 Εἰ ἐν ἑκάστῳ γένει ἐστὶ τινὰ γενάρχη, καὶ τὰ μὲν γενάρχη ἐστὶν ἔργα Θεοῦ, τὰ δὲ ὑπὸ τὰ γενάρχη εἰσὶν ἔργα φύσεως διὰ σπορᾶς καὶ γενέσεως ὑφεστῶτα, δηλονότι ἑκάστου γένους πλέον τῆς μιᾶς ζυγῆς ἀρρενοθήλεος οὐκ ἐποίησεν ὁ Θεός. χιτῶνας δὲ δερματίνους ἐποίησεν ὁ Θεός, οὐκ ἀνθρωπίνως, ἀλλὰ δημιουργικῶς. οὐ γὰρ ζῶα σφάξας, καὶ τούτων τὰ δέρματα συρράψας, χιτῶνας ἐποίησεν, ἀλλ' αὐτοὺς τοὺς χιτῶνας ἐδημιούργησε τοὺς δερματίνους. ἀλλ' ἴσως ἐρεῖ τις, ὅτι εἰ ἐδημιούργησεν ὁ Θεὸς τοὺς δερματίνους χιτῶνας μετὰ τὰς ἑπτὰ ἡμέρας τῆς δημιουργίας, πῶς λέγει ἡ θεία γραφή, ὅτι κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων ὧν ἤρξατο ποιεῖν; κατέπαυσε τὴν ποίησιν, τουτέστι τὸ ποιεῖν τὰ μὴ ὄντα· τὰ δὲ δέρματα ἃ νῦν ποιεῖ, οὐ νῦν ἄρχεται ποιεῖν, ἀλλ' ἐν τῇ ποιήσει τῶν ζώων καὶ τὰ δέρματα αὐτῶν ἐγένοντο πάλαι. κατὰ ταῦτα δὲ καὶ τό, Ἔπλασεν ἔτι Κύριος ὁ Θεὸς ἀπὸ τῆς γῆς πάντα τὰ κτήνη, καὶ τὰ θηρία τῆς γῆς·

RESPONSIO.

Quæ cælo & terræ dicuntur, ad eos qui in illis sunt ratione præditi, diriguntur: sicuti quæ ciuitati dicuntur, ad ciues eius referuntur: velut illud; *Hierusalem, Hierusalem, quæ occidis prophetas, & lapidas eos qui missi sunt ad eam.* non enim ciuitas occidit, sed ciues.

QVÆSTIO XLVIII.

Quare Dominus post resurrectionem, Mariæ dixit; *Noli me tangere: nondum enim ascendi ad Patrem meum.* Si ergo nemini eum licuit tangere ante ascensionem, quomodo paulo post discipulis & Thomæ id facere permisit? Sin licuit, quomodo quod non longe post permissurus erat pluribus, id paulo ante denegauit Mariæ?

RESPONSIO.

Noli me tangere, a Saluatore ad Mariam dictum est, eo sensu quo dicitur; Noli me comitari, vt continue mecum sis, iuxta eam quæ mihi fuit ante crucem, viuendi consuetudinem. Voluit namque sensim discipulos desuefacere a corporis sui conspectu & præsentia. Quapropter etiam non semper visus est ab eis, diebus his quibus est post resurrectionem in terra versatus: neque etiam omnino inuisum se illis præbuit: sed interpositis interuallis, vtrumque fecit, vt & conspiceretur ab eis, & non conspiceretur.

QVÆSTIO XLIX.

Quomodo demonstrari potest, binas tantum feras & pecudes, masculum & fœminam, in mundi creatione esse productas? quandoquidem hoc piorum nónulli dixerunt, ad astruendum, nó e pellibus irrationalium, pelliceas tunicas primis hominibus a Deo esse datas.

SOLVTIO.

Si in vnoquoque genere, quidam sunt generis principes, & generis principes Dei opera sunt: quæ vero sub principibus eis sunt, naturæ opera sunt, satu & generatione subsistentia; videlicet generis cuiusque, præter par vnum maris & fœminæ, Deus non condidit. Tunicas autē pelliceas Deus fecit, non humana arte, sed creantis modo. Non enim animantibus cæsis, eorumque pellibus consutis, tunicas elaborauit; sed tunicas ipsas pelliceas creauit. Dicat autem fortasse quispiam: Si Deus pelliceas hasce tunicas creauit, post septem creationis dies: quomodo sacræ dicunt litteræ, conquieuisse Deum die septimo, ab omni quod patrare cœperat opere? Conquieuit a creatione, hoc est ab eis quæ non sint, creãdis: pelles vero quas nunc creat, non nunc creare incipit; sed in animantium creatione, pelles quoque earum dudum creatæ fuerant. Consimiliter & illud se habet: *Formauit præterea Dominus Deus de humo pecudes omnes, & feras terræ*

& adduxit eas ad Adam: & quæ sequuntur. nam verbum *praterea*, [non] secūdam horum designat creationem.

QVÆSTIO L.

Quandoquidem olim quidem pueri, nunc vero & nos hymnos laudesque decantantes, voce *Osanna* & *Alleluia* vtimur: quæ harum est interpretatio?

RESPONSIO.

Interpretatio verbi *Alleluia* est, Laudibus celebrate, canentes, id quod exsistit; [seu, Laudate Deum:] verbi autem *Osanna*, Magnificentia excellens, [seu salua, prospera, serua obsecro.]

QVÆSTIO LI.

Si numē diuinum immutabile est, quomodo maledictis expetitum, & faustis exclamationibus celebratum, vtrorumque facta persæpe condignas retribuit compensationes?

RESPONSIO.

Deus in sensu suo & iusticia immutabiliter manens, vnicuique merita, pro eo atque dignus est, retribuit. Atque equidē non mutabilitate id facit, perinde atque inuenerit aut excogitarit: sed cum semper habuerit, immutabilitatem in hisce rebus retinet. Et cum ita habeat, eodem ordine habet blasphemos, eosque quos in potestate sua sensus vacuitas aut iniusticia, quæ aliena sunt, tenent.

QVÆSTIO LII.

Si pio zelo commotus Saul, mulieres Pythonem habentes siue ventriloquas sustulit: quanam re impulsus est vt ventriloquæ quæreret prædictionem? & num reuera illa Samuelem in lucē reduxit? quandoquidem id Scriptura dixit. Ac Scripturam certe quidem veram; factum autem impium esse, patet.

RESPONSIO.

Qui diuino zelo aliquid facit, Deo non repugnat. Suspicione autem cōcepta Saul de Dauide, quod in eum transtulisset regnum Deus, modis omnibus machinatus est Dauidi cædem; ne ad rem conferretur quam de illo Deus statuisset diuino calculo suo, sententia. Diuinatrices autem sustulit, facto eo se Deum cōciliaturum sperans, vt suam ille sententiam, qua eum vt regno indignum repudiauerat, mutaret; non hariolorum odio habens impietatē, sed regni adamans administrationem. Et quia consilium eius Deus non probauit, propterea eum ita reliquit; vt illos is requireret, quorum non bono instituto patrauerat cædē. Porro alia ab ipsa Pythonissa facta sūt omnia dæmonis operā, præstigiis oculos eorum deludentis, qui Samuelem, cum Samuel non esset, cernebant. Veritas autē dictorū a Deo fuit, qui potestatem dęmoni permisit vt in forma Samuelis, Pythonissę appareret, & futurū euentū significaret. Et quoniā Samuelē Saul nō audierat, qui illi regni abrogationem annunciauerat, atque etiā post diuinam regnum ei adimentem sententiā, per hariolos sibi imperiū vindicabat: indignum eū duxit Deus vt illi futura per homines sibi addictos

καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, καὶ τὰ ἑξῆς· τὸ γὰρ ἔτι, τὴν δευτέραν σημαίνει τούτων γένεσιν.

Ἐρώτησις ν'

Ἐπειδὴ πάλαι μὲν οἱ παῖδες, νῦν δὲ ἡμεῖς ὑμνοῦντες τῇ Ὡσαννὰ φωνῇ, καὶ τῇ τοῦ Ἀλληλούια κεχρήμεθα, τίς ἐστιν ἡ τούτων ἑρμηνεία;

Ἀπόκρισις.

Ἑρμηνεία ἐστὶ τοῦ μὲν Ἀλληλούια, τὸ ὑμνήσατε μετὰ μέλους τὸ ὄν· τοῦ δὲ Ὡσαννὰ, μεγαλωσύνη ὑπερκειμένη.

Ἐρώτησις να'

Εἰ ἄτρεπτον τὸ θεῖον, πῶς βλασφημούμενον καὶ εὐφημούμενον τὰς ἀμοιβὰς ἀμφοτέροις τῆς ἑκατέρων πράξεως πολλάκις ἀξίας ἀπέδωκεν;

Ἀπόκρισις.

Μένων ὁ Θεὸς ἐν τῇ οἰκείᾳ αἰσθήσει τε καὶ δικαιοσύνῃ ἀτρέπτως, ἑκάστῳ τὰ κατ' ἀξίαν ἀποδίδωσιν· οὐ μὴν κατὰ παρατροπὴν τοῦτο ποιεῖ εὑρὼν, ἀλλ' ἀεὶ ἐσχηκὼς, ἔχει τὸ ἐν τούτοις ἄτρεπτον· καὶ ἔχων ἐν ἴσῃ τάξει, ἔχει περί τε βλασφήμους καὶ τοὺς ὑπὸ ἀναισθησίας κατεχομένους ἢ ἀδικίας, ἅπέρ ἐστι τὰ ἀλλότρια.

Ἐρώτησις νβ'

Εἰ εὐσεβεῖ ζήλῳ κινούμενος ὁ Σαοὺλ τοὺς ἐγγαστριμύθους ἀνεῖλε, διὰ τί συνηλάθη ὥστε παρὰ ἐγγαστριμύθου ζητῆσαι πρόρρησιν· καὶ εἰ τῷ ὄντι ἐκείνη τὸν Σαμουὴλ ἀνήγαγεν, ἐπειδὴ τοῦτό φησιν ἡ γραφή; καὶ ὅτι ἀληθεύει μὲν αὕτη, τὸ δὲ πρᾶγμα ἀσεβὲς, δῆλον.

Ἀπόκρισις.

Ὁ ζήλῳ θείῳ ποιῶν τι, οὗτος οὐ θεομαχεῖ. ὑπόνοιαν δὲ ὁ Σαοὺλ ἐσχηκὼς εἰς τὸν Δαβὶδ, ὡς εἰς αὐτὸν μετέθηκεν ὁ Θεὸς τὴν αὐτοῦ βασιλείαν, παντελῶς ἐμηχανᾶτο ἀναιρεῖν τὸν Δαβὶδ, ἵνα εἰς ἔργον μὴ ἐκβῇ ἐπ' αὐτὸν ἡ θεία ψῆφος. ἀνεῖλε δὲ τὰς ἐγγαστριμύθους, τούτῳ προσδοκήσας διαλλάξαι τὸν Θεὸν, ὥστε ἀναστρέψαι τὴν ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας οἰκείαν ψῆφον, οὐ τὴν ἀσέβειαν τῶν ἐγγαστριμύθων μισῶν, ἀλλὰ τὴν βασιλείαν φιλῶν· καὶ ἐπειδὴ οὐ προσεδέξατο ὁ Θεὸς τὸν σκοπὸν αὐτοῦ, διὰ τοῦτο αὐτὸν ἐγκατέλιπεν ἐπιδεηθῆναι, ὧν οὐκ ἀγαθῷ σκοπῷ ἐποιήσατο τὴν ἀναίρεσιν. τὰ δὲ ἄλλα πάντα ὑπὸ τῆς ἐγγαστριμύθου γεγονότα κατὰ τὴν ἐνέργειαν τοῦ δαίμονος τοῦ τὰς ὄψεις φαντάσαντος τῶν ὁρώντων τὸν οὐκ ὄντα Σαμουήλ· ἡ δὲ ἀλήθεια τῶν ῥημάτων γέγονεν ἐκ τοῦ Θεοῦ τοῦ δεδωκότος τῷ δαίμονι ἐν σχήματι τοῦ Σαμουὴλ ὀφθῆναι τῇ ἐγγαστριμύθῳ, καὶ δεῖξαι τοῦ μέλλοντος τὴν δήλωσιν. καὶ ἐπειδὴ τοῦ Σαμουὴλ οὐκ ἤκουσεν ὁ Σαοὺλ τοῦ εἰρηκότος αὐτῷ τῆς βασιλείας τὴν ἀφαίρεσιν, ἀλλὰ καὶ μετὰ τὴν θείαν ψῆφον ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας, ἔτι ἀντεποιεῖτο τῆς βασιλείας δι' αὐτῶν, ἀνάξιον αὐτὸν ἔκρινεν ὁ Θεὸς τοῦ διὰ τῶν ἀνακειμένων αὐτῷ προμηνῦσαι 256

αὐτῷ τὰ ἐσόμενα, καθάπερ πεποίηκε καὶ ἐπὶ τὸν Ἀχαὰβ βασιλέα τοῦ Ἰσραὴλ, τὸν ἀπιστήσαντα τοῖς τῆς ἀληθείας προφήταις, καὶ πιστεύσαντα τοῖς ψευδοπροφήταις· δι' ἣν αἰτίαν ἔπεμψεν αὐτῷ πνεῦμα ψευδὲς, καθὼς φησὶν ἡ βίβλος τῶν Βασιλειῶν· ᾧ πιστεύσας ὁ Ἀχαὰβ καὶ πλανηθεὶς, ἀπῆλθεν εἰς τὴν ἔρημον, καὶ ζῶν οὐκ ἀνέκαμψεν.

Ερώτησις νγ'.

Εἰ ἄρσεν καὶ θῆλυ ἕνεκεν τῆς παιδοποιΐας ἐκτίσθη, τῆς ἀναστάσεως γινομένης ἆρα ἀνίστανται οἱ ἄνθρωποι τὴν τῶν παιδοποιῶν μορίων διαφορὰν ἔχοντες; καὶ εἰ τοῦτο, πῶς οὐκ ἔστι περιττὸν, τὰ μέλη ἐπάγεσθαι ἄπρακτα;

Ἀπόκρισις.

Εἰ καὶ πρὸς παιδοποιΐαν οὐκ ἔστι χρήσιμα τὰ γεννητικὰ μόρια μετὰ τὴν ἀνάστασιν, ἀλλὰ πρὸς ἀνάμνησιν τοῦ διὰ τῶν τοιούτων μορίων εἰληφέναι τοὺς ἀνθρώπους τήν τε γένεσιν καὶ τὴν αὔξησιν, καὶ τὴν διαμονὴν, ἐστὶ χρήσιμα. εἰσαγόμεθα γὰρ δι' αὐτῶν εἰς ἔννοιαν τῆς τηλικαύτης Χριστοῦ σοφίας, τῆς ποιούσης . . . τῷ θανάτῳ αὐξανομένης φυλακῆς, . . . τοῦ γένους ἡμῶν ἐν ἀθανασίᾳ τῇ διαδοχῇ τῶν λειπομένων.

Ερώτησις νδ'

Εἰ τὴν παράβασιν διὰ τὴν μέλλουσαν ταύτην ἐπάγεσθαι τῷ λαῷ τιμωρίαν ὁ Μωσῆς προεφήτευσε, διὰ τί μετ' ᾠδῆς αὐτὰ ἔλεγε, χαύνωσιν μᾶλλον ἤπερ ὠφέλειαν εἰδότων τῶν ᾀσμάτων τοῖς ἀνθρώποις ἐνεργάζεσθαι;

Ἀπόκρισις.

Κατὰ τὰ ἐν ταῖς ᾠδαῖς ἐμφερόμενα διηγήματα, ἁρμοδίως οἱ ῥυθμοὶ τῶν μελῶν ἐγίνοντο, ἄγοντες τὰς ψυχὰς εἰς τὴν πρέπουσαν τοῖς ᾀδομένοις αἵρεσιν. ἢ γὰρ γοερῶς . . . .

. . . .

τῶν ἐναντίων ἢ τοῦ τοιούτου ἀγαθοῦ γεγένηται εὕρεσις.

Ἀπόκρισις.

Πολλὰ μὲν εὕρηται καὶ ὑπὸ τῶν εὐσεβῶν ἰαματικὰ τῶν σωματικῶν νοσημάτων, καὶ ὑπὸ Σολομῶντος τοῦ βασιλέως μὲν, οὐδεὶς δὲ τῶν ἔξωθεν τῆς εὐσεβείας ἔσχε τὴν κατάληψιν ἰατρικήν.

. . . . . .

. . . .

Ερώτησις νς'

Εἰ τὰ πρὸ τοῦ τελευτῶντα βρέφη ἔπαινον ἢ μέμψιν οὐκ ἔχουσιν ἐξ ἔργων, τίς ἡ διαφορὰ ἐν τῇ ἀναστάσει τῶν ὑπὸ ἄλλων μὲν βαπτισθέντων καὶ μηδὲν πραξάντων,
857 καὶ τῶν μὴ βαπτισθέντων, καὶ ὁμοίως μηδὲν πραξάντων;

Ἀπόκρισις.

Αὕτη ἐστὶν ἡ διαφορὰ τῶν βαπτισθέντων πρὸς τὰ μὴ βαπτισθέντα, τὸ τυχεῖν μὲν τὰ βαπτισθέντα τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν·

addictos præmonstraret. Sicut & Achabo regi Israelis fecit, fidem Veritatis prophetis non habenti, sed pseudoprophetis credenti. Qua de causa ei Deus spiritum falsum & mendacem misit, vt in libro Regum est: cui credens, atque ita in errorem seductus Achab, in prœlium descendit, & viuens inde reuersus non est.

QVÆSTIO LIII.

Si masculus & fœmina prolificandi causa creati sunt, vtrum in resurrectione, homines genitalium membrorum obtinẽtes differentiam, resurgent? atque hoc si ita sit, quomodo ex abundanti non sit, membra ociosa inferre?

RESPONSIO.

Tametsi membra genitalia post resurrectionem, ad prolificationem vtilia non erunt: ad reminiscentiam tamen eius facient, quod per ea membra mortales acceperint generationem, auctum, & diuturnitatem. Inducimur namque per ea ad cogitationem tam prolixæ sapiẽtiæ CHRISTI, quæ illa [hominibus per mortem intercidentibus attribuit, ad eorum per generationem] augendorum conseruationem, vt sobolis creatæ successione, genus nostrum in immortalitate [perduraret.]

QVÆSTIO LIIII.

Si præceptorum Dei violationem & transgressionem, propter eas quæ per illam populo euenturæ erant, coerciones, Moses prædixit: quam ob causam has in carmen redegit, laxamentum potius quã emolumentum, cantilenis hominum mẽtibus immittere solitis?

RESPONSIO.

Concinne numeri cantionum, iuxta rerum in carmen relatarum commemorationem, sunt facti, animos, prout conuenit, ad ea quę canuntur complectenda inducentes. nam vel dolenter [grauia populi delicta, & quæ ea consequuntæ sunt, horrendas pœnas recensent: vel hilariter suaues Dei consolationes, & re ipsa exhibitam populo pœnitenti liberationem celebrant.]

QVÆSTIO LV.

[Si ingens est medicinæ corporum bonum; cur ergo bonum tantum] ab aduersariis [nostris] est inuentum?

RESPONSIO.

Permulta quoq; a piis, ad morbos corporum curandos, inuenta sunt remedia, & ab ipso in primis rege Salomone: ex profanis vero nullus rectæ pietatis medicandi & sanandi scientiam tenuit.

QVÆSTIO LVI.

Si infantes mortem oppetentes, ex operibus nec laudem nec reprehensionem habẽt: quod discrimẽ erit in resurrectione, inter eos q ab aliis sint baptizati, & nihil egerint; & eos qui baptizati nõ sint, & similiter nihil egerint? RESPONSIO. Hoc discrimẽ est inter baptizatos & non baptizatos, quod illi bona per baptismũ obuenientia consequũtur,

hi vero non consequuntur. Digni autem fiunt baptismi commodis, fide eorum qui illos ad baptismum offerunt.

QVÆSTIO LVII.

Si duplicis nobis cæli creationem exposuit Moses: quomodo plures eos esse Scriptura docet? aliquando tradens; *Cæli cælorum*: aliquando, *Aperti ei sunt cæli*: &, *Video cælos apertos*; &, *Raptus est in tertium vsque cælum*: & non dixit, In tertiam vsque cæli partem; sed absolute, In tertium vsque cælum. Multa vero hisce similia in Scripturis reperias. Quomodo igitur non sibiipsis repugnantia dicunt, & tamen vtroque modo vera dicunt?

RESPONSIO.

Moses quidem *cælos* dixit: numero autem neque vnum, neque duos, neque plures tradidit. Consueuit porro diuina Scriptura, interstitia partium superiora, *cælos* nominare: veluti, *Volatilia cæli*: &, *Aquila de cælo*: &, *Stella cæli*. Ex dictis ergo hisce quę posita sunt, consequēs est vt intelligamus cælos substantiā quidem duos, interstitiis autem plures. Atq; si cælos ita accipiamus, nulla in verbis relinquetur repugnantia.

QVÆSTIO LVIII.

Si CHRISTO ignorantiam adscribere, impietatis est: certum fuerit, omnium eū obtinere præscientiam perfectam. Quomodo ergo non est proditionis Iudæ, & iurisiurandi sacramento confirmatæ negationis Petri causa, qui hæc præsciuerit, & non impediuerit? Et in diaboli atque primi hominis a Deo defectionem, eadem competierit ratio.

RESPONSIO.

Si fieri oportuit vt CHRISTVS ab vno discipulorum suorum hostibus proderetur, vt Scriptura impleretur: videlicet CHRISTVS Scripturæ impletionis causa fuerit, non Iudæ proditionis. nam huius ipsemet Iudas causa fuit: quam Deus fore cum prænosceret, per S. scripturam prædixit. Et non est præscientia, causa eius quod futurum est: sed id quod futurum est causa prescientiæ. siquidem non præscientiam consequitur futurum, sed futurum consequitur prescientia. & haudquaquam præscius, causa est futuri. Quocirca non CHRISTVS causa est proditionis Iudę; verum proditio est causa Domini præscientiæ. Atque de diabolo & primo homine, eadem est ratio.

QVÆSTIO LIX.

Si noctu sol occultatur: quomodo cælum non probatur globus esse? nam inter philosophos, vir admirandus dixit [solem in cælo aspectu nobis occultari,] non corpore. Hoc igitur est quod terræ imminet; atque illud quidem, ob leuitatem in sublime tendit; hæc autem, propter pondus deorsum vergit. Proinde pati in diuersa nisu alterum ab altero

τὰ δὲ μὴ βαπτισθέντα, μὴ τυχεῖν· ἀξιοῦνται δὲ τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν, τῇ πίστει τῶν προσφερόντων αὐτὰ τῷ βαπτίσματι.

Ἐρώτησις νζ΄

Εἰ δύο ἡμῖν ὁ Μωϋσῆς οὐρανῶν ἐξέθετο τὴν γένεσιν, πῶς πλειόνων διδάσκει ἡμᾶς ἡ γραφὴ ὕπαρξιν, ποτὲ μὲν λέγουσα, Οἱ οὐρανοὶ τῶν οὐρανῶν:- ποτὲ δὲ, Ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί:- καὶ, Θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους:- καὶ, Ἡρπάγη ἕως τρίτου οὐρανοῦ:- καὶ οὐκ εἶπεν, ἕως τοῦ τρίτου μέρους τοῦ οὐρανοῦ, ἀλλ᾽ ἀπολύτως, ἕως τρίτου οὐρανοῦ; καὶ πολλὰ δὲ τούτοις εὑρήσεις ἐν τῇ γραφῇ παραπλήσια. πῶς οὖν οὐ τἀναντία ἑαυτοῖς λέγουσι, κατ᾽ ἀμφότερα δ᾽ ὅμως ἀληθεύουσιν;

Ἀπόκρισις.

Ὁ Μωϋσῆς μὲν εἶπεν αὐτοὺς οὐρανούς, ἀριθμῷ δὲ οὐ δεδήλωκεν, οὔτε ἕνα, οὔτε δύο, οὔτε πλείονας. εἰώθει δὲ ἡ θεία γραφὴ τὰ διαστήματα ἐν τῷ μέρει ὑπερκείμενα οὐρανοὺς ὀνομάζειν, ὡς Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ Ἀετὸς ἐξ οὐρανοῦ, καὶ Τὰ ἄστρα τοῦ οὐρανοῦ:- ἐκ τῆς ἀκολουθίας οὖν τῶν κειμένων φωνῶν νοοῦμεν οὐρανοὺς κατ᾽ οὐσίαν μὲν δύο, κατὰ διαστήματα δὲ πλείονας. οὕτω δὲ νοουμένων τῶν οὐρανῶν, οὐδεμία ἐναντίωσις ἐν τοῖς λόγοις ὑποληφθήσεται.

Ἐρώτησις νη΄

Εἰ τὸ προσάπτειν τῷ Χριστῷ ἄγνοιαν ἐστὶν ἀσεβές, δῆλον ὅτι πάντων ἔχει τελείαν τὴν πρόγνωσιν. πῶς οὖν οὐκ ἔστιν αἴτιος τῆς τοῦ Ἰούδα προδοσίας, καὶ τῆς τοῦ Πέτρου ἐνωμότου ἀρνήσεως, ὁ ταῦτα μὲν προγνοὺς, μὴ κωλύσας δέ; καὶ περὶ τῆς τοῦ διαβόλου, καὶ τοῦ πρωτοπλάστου ἀπὸ τοῦ Θεοῦ ἐκπτώσεως, ὁ αὐτὸς λόγος ἁρμόσειεν.

Ἀπόκρισις.

Εἰ ἔδει τὸν Χριστὸν δι᾽ ἑνὸς τῶν αὐτοῦ μαθητῶν παραδοθῆναι, ἵνα ἡ γραφὴ πληρωθῇ, δηλονότι αἴτιός ἐστιν ὁ Χριστὸς τῆς ἐκπληρώσεως τῆς γραφῆς, καὶ οὐ τῆς προδοσίας τοῦ Ἰούδα. ταύτης γὰρ αὐτὸς ὁ Ἰούδας ἦν αἴτιος. ἣν μέλλουσαν ὁ Θεὸς προειδὼς, προεῖπε διὰ τῆς γραφῆς· καὶ οὐκ ἔστιν ἡ πρόγνωσις αἰτία τοῦ μέλλοντος ἔσεσθαι, ἀλλὰ τὸ μέλλον ἔσεσθαι, αἴτιον τῆς προγνώσεως. οὐ γὰρ τῇ προγνώσει ἕπεται τὸ μέλλον, ἀλλὰ τῷ μέλλοντι ἡ πρόγνωσις· καὶ οὐδαμῶς ὁ προγινώσκων αἴτιός ἐστι τοῦ μέλλοντος ἔσεσθαι. ὥστε οὐχ ὁ Χριστὸς αἴτιός ἐστι τῆς προδοσίας, ἀλλ᾽ ἡ προδοσία αἰτία τῆς τοῦ Κυρίου προγνώσεως. καὶ ἐπὶ τοῦ διαβόλου καὶ τοῦ πρωτοπλάστου ὁ αὐτὸς λόγος.

Ἐρώτησις νθ΄

Εἰ ἐν τῇ νυκτὶ ὁ ἥλιος ἀποκρύπτεται, πῶς οὐ σφαῖρα ὁ οὐρανὸς ἀποδείκνυται; ὁ γὰρ ἀπὸ φιλοσόφων θεῖος ἀνὴρ εἶπε [illegible] οὐ σώματι· οὗτος οὖν ἐστιν ὁ ἐπίκειται τῇ γῇ· καὶ ὁ μὲν, διὰ τὸ κοῦφον ἀνωφερής· ἡ δὲ, διὰ τὸ βαρὺ ἐστὶ κατωφερής· διὸ διὰ τὴν ἀνθολκὴν ὑπὸ ἀλλήλων συνί-

συνέχονται. εἰ δὲ τοῦτο ἀληθὲς, ὅλου τοῦ οὐρανίου κύκλου εἰς τὴν . . . ὑπάρχειν τοὺς φωστῆρας, καὶ φαίνειν ἀεὶ, πῶς οὖν ἀποκρύπτονται;

Ἀπόκρισις.

Εἰ ὁμολογουμένως πολλά ἐστιν ἕτερα τὰ ἐν τῷ αὐτῷ καὶ ἴσῳ ἐπιπέδῳ ὄντα, καὶ διὰ τὸ μῆκος τοῦ διαστήματος κεκρυμμένα ὄντα τῆς ὄψεως, οἷον τὰ πλοῖα
258 τὰ ἐν τῇ θαλάσσῃ ὑπὸ ἀλλήλων μὴ ὁρώμενα, τοῦ πλάτους τῇ τῶν ὑδάτων ἐπιφανείᾳ περιορίζοντος τὴν ὄψιν περαιτέρω μὴ ἀποτείνεσθαι τοῦ ὁρίζοντος, τί θαυμαστὸν εἰ καὶ ἐπὶ τῶν φωστήρων γίνεται ἡ ἐπίκρυψις διὰ τὴν αὐτὴν αἰτίαν; ἡ δὲ διὰ τὴν ἀνθολκὴν οὐρανοῦ καὶ γῆς, ἵστασθαι τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐπὶ μὲν τοῦ πρώτου οὐρανοῦ καὶ τῆς γῆς ἐστι τοῦτο εἰκάσαι, διὰ τὸ ἅμα γεγενῆσθαι αὐτά· ἐπὶ δὲ τοῦ στερεώματος καὶ τῆς γῆς οὐκέτι δυνατὸν τοῦτο νοηθῆναι. ἵστατο γὰρ ἡ γῆ πρὸ τοῦ στερεώματος, τὴν ἅπασαν βαστάζουσα ὑγρὰν οὐσίαν χωρὶς ἀνθολκῆς τοῦ στερεώματος· ὕστερον γὰρ τῆς γῆς γέγονε τὸ στερέωμα.

Ἐρώτησις ξ.

Εἰ ἡ διαφορὰ κατὰ τὰς μορφὰς χρήσιμος ἡμῖν ὑπάρχει ἐνταῦθα διὰ τὰς τοῦ σώματος χρείας, καὶ τὰ ἐπιτηδεύματα, καὶ τὰ συναλλάγματα, ἀνενδεοῦς ἐν τῇ ἀναστάσει ἀνισταμένου τοῦ σώματος, εἰ μὲν τῇ αὐτῇ τῶν μορφῶν διαφορᾷ ἀνιστάμεθα, πῶς οὐκ ἔσται χρηστὸς αὕτη; εἰ δὲ ἐν ὁμοιώματι τῷ αὐτῷ, τίς ἡ τούτου ἀπόδειξις; πῶς δὲ καὶ ἡ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου παραβολὴ, τῶν μορφῶν οὐ δείκνυσι τὸ διάφορον; πάντως γὰρ ἐκ ταύτης δῆλον. εἰ δὲ λέγοιέν τινες ὡς γνῶσίς τις ἐδόθη αὐτῷ πρὸς τὴν τοῦ Λαζάρου καὶ τοῦ Ἀβραὰμ ἐπίγνωσιν, πόθεν τοῦτο παραστήσουσι καὶ ἐπὶ τοῦ Κυρίου, ἡνίκα σώματα τῶν ἁγίων τῶν κεκοιμημένων ἀνέστη, καὶ ἐνεφανίσθησαν πολλοῖς; πάντως τῇ ἰδίᾳ μορφῇ τοῖς γνωρίμοις ἕκαστος εὐεπίγνωστος γέγονεν.

Ἀπόκρισις.

Πολλαὶ μέν εἰσιν αἱ αἰτίαι δι᾽ ἃς χρὴ τοὺς ἀνισταμένους ἐν τῇ οἰκείᾳ ἀνίστασθαι μορφῇ. πρῶτον μὲν, πρὸς τὴν ἔνδειξιν τῆς μεγάλης τε καὶ θείας γνώσεως τοῦ Θεοῦ, τοῦ δύνασθαι ἐν τοσούτῳ ἀναριθμήτῳ πλήθει τῶν ἀνισταμένων, ἑκάστῳ ἀποσωθῆναι τὴν οἰκείαν μορφήν· ἔπειτα δὲ, ἵνα μὴ νομισθῇ δημιουργῶν καινοὺς ἀνθρώπους καὶ μὴ τοὺς τεθνηκότας ἀνιστῶν, διὰ τοῦτο ἕκαστον τῶν ἀνισταμένων τὴν οἰκείαν ἔχειν μορφήν· ἀγνοουμένων γὰρ τῶν μορφῶν τοῦ τε ἀδικήσαντος καὶ τοῦ ἀδικηθέντος, ἀπόλλυται τῆς κρίσεως τὸ δίκαιον. ἔτι δὲ, εἰ λυθεισῶν τῶν χρειῶν δι᾽ ἃς ἀναγκαία γέγονε τῶν μορφῶν ἡ διαφορὰ, περιττὴ καὶ ἄχρηστος εὑρίσκεται αὕτη, περιττὴ καὶ ἄχρηστός ἐστι καὶ τῶν ὀνομασιῶν ἡ διαφορά. πῶς οὖν ὁ πλούσιος τὸν Ἀβραὰμ καὶ τὸν Λάζαρον ἐξ ὀνόματος καλεῖ, ἐκ τῆς κατὰ τὴν ὀνο-

continetur. Sin hoc in vero est, cum totus cæli circulus, [cui affixæ sunt stellæ, in sese continue voluatur,] & stellas exstare semperque apparere oporteat: quomodo illæ latitant?

RESPONSIO.

Si citra controuersiam multa alia sunt quæ in eadem & æquali planicie propter interualli longitudinem, oculorum effugiunt obtutũ; veluti nauigia in mari, quorum alterum ab altero non cernitur, latitudine per summas aquas quasi circulo quodam visum circumscribente quo minus vltra circumscribentem intendatur: quid mirum fuerit, si occultatio stellarũ per eandẽ causam fiat? Quatenus vero pari cæli & terræ in diuersa nisu, cælum & terra consistit, de primo cælo & terra hoc coniectare licet, eo quod vna cõdita sint. De firmamento autem & terra idem intelligi non potest. Constitit namque terra ante firmamentum humidam substantiam omnem, sine aduerso firmamenti nisu, sustinens. post terram enim creatum est firmamentum.

QVÆSTIO LX.

Si formæ discretio vtilis hic nobis est, propter vsum & indigentiam corporis, & studia & commercia: cum in resurrectione corpus absque indigentia omni resurrecturum sit; si quidem eadem formarum discretione, resurrecturi sumus; quomodo ea commoda non erit? Sin facie eadem, quæ huius rei probatio est? Quomodo vero Lazari & locupletis parabola, formarum non ostendit differentiam? prorsus enim hoc ex illa constat. Sin aliqui dicant, notionem quandam diuini datam esse, ad Lazarum & Abraam cognoscendum: vnde id astruent etiam in Domino, quando corpora sanctorũ qui dormiebãt, excitauit, & apparuerunt multis: forma omnino sua pro se quisq; notis suis agnitus?

SOLVTIO.

Plures sunt causæ quamobrem oporteat resurgentes sua quemque resurgere forma. primum equidem ad ingentem & diuinam Dei cognitionem commonstrãdam; qui in tanta multitudine numerum omnem excellẽte, suam cuique possit reseruare faciem. Deinde vero, ne existimetur nouos creare homines, & non resuscitare defunctos, resurgentium quisq; suam obtinebit faciem. indiscreta namque, & eius qui iniuriam intulerit, & eius qui illã tulerit, forma, iudicii æquitatẽ subuertit. Prętereà aũt, si vsu & indigẽtia sublata, cuius gratia formarum discrimẽ necessariũ fuit, discrimen ipsum superuacaneum & inutile reperitur: superuacanea quoq; & inutilis fuerit nominum discretio. Quomodo ergo Abraamum locuples & Lazarum de nomine compellat, cũ ex nomi-

num discrimine vultus non dignoscatur? Porro quæ de Lazaro & diuite instituta est narratio, neque parabola est, neque historia. nam *Parabola*, oratio est rei factæ, ad eam quæ futura est, similitudinem complectens: *Historia* vero, commemoratio, rei factæ expositionem continens. Neque enim ante resurrectionem vitæ cuique peractæ retributio contingit; neque post resurrectionem verum illud est; *Habent Mosen & Prophetas; ipsos audiant.* Est autem de Lazaro & diuite narratio, euidens & illustris repræsentatio, doctrinā illam habēs, post diuortium animæ a corpore, prouidentia & studio nullo homines opem aliquam consequi posse.

QVÆSTIO LXI.

Si solus Deus immortalis est, secūdum Apostolum: quomodo verum est, secundum eum illud, *Non omnes quidem dormiemus?*

RESPONSIO.

Solus Deus immortalitatem dicitur habere, eo quod non ex alius voluntate eam habet, sicuti cæteri omnes immortales; verum ex suapte essentia.

QVÆSTIO LXII.

Si quarto die luminariū facta est creatio; ex ipsis autem dierum constituitur numerus: quomodo tres ante luminarium productionem dies, non in dubium dierum post illorum productionem, numerum vocant?

RESPONSIO.

Ex productione lucis, distinctio facta est lucis & tenebrarum: & ex distinctione lucis & tenebrarum, dies exstitit & nox. Ante luminaria vero condita, ex præscripto Dei, lux inualescens diem, & tenebræ inualescentes noctem constituere. A luminaribus porro conditis, dispositum est vt potestatem illa obtinerent; alterum, lucis & diei; alterum, tenebrarum & noctis. Nam opifex rerum, lucem vna cum determinata eius dicione, luminari maiori attribuit. Et quales nunc dies lux cum luminari efficit, tales quoque ante luminarium creationem efficiebat, iuxta finem & præscriptum Dei, qui dicionem eius duodecim horis definiuit. Finis ille, solem ad duodecim horarum ab initio demensum temperatumque motum impellit.

QVÆSTIO LXIII.

Quia nonnulli varie & non satis dilucide interpretati sunt illud, *In sole posuit tabernaculum suum*: declarationem eius nos doceto.

RESPONSIO.

Diximus superius, Scripturam *cælos* vocare solere, vel eos qui iuxta substantiam sunt, vt primum cælum & firmamentum: vel ipsa in aere inter-

μασίαν διαφορᾶς μὴ γνωριζομένων τῶν προσώπων; τὸ δὲ κατὰ τὸν Λάζαρον καὶ τὸν πλούσιον διήγημα, οὔτε παραβολή ἐστιν, οὔτε ἱστορία· εἴγε ἡ μὲν παραβολή ἐστι λόγος ὁμοιότητα περιέχων τοῦ γεγονότος πράγματος πρὸς τὸ ἐσόμενον· ἱστορία δὲ, λόγος διήγησιν περιέχων τοῦ ἤδη γεγονότος πράγματος. οὔτε γὰρ πρὸ τῆς ἀναστάσεως τῶν ἑκάστῳ βεβιωμένων ἡ ἀνταπόδοσις γίνεται, οὔτε μετὰ τὴν ἀνάστασιν ἀληθὲς τὸ, Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. ἔστι δὲ τὸ περὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου διήγημα, ὑποτύπωσις λόγου διδασκαλίαν ἔχοντος τοῦ μὴ δύνασθαι μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον τῆς ψυχῆς, κατὰ πρόνοιάν τινα ἢ σπουδὴν, ὠφελείας τινὸς τυχεῖν τοὺς ἀνθρώπους.

Ερώτησις ξα΄

Εἰ μόνος ἀθάνατός ἐστιν ὁ Θεὸς, κατὰ τὸν ἀπόστολον, πῶς ἀληθὲς κατ᾽ αὐτὸν τὸ, Πάντες μὲν οὐ κοιμηθησόμεθα;

Απόκρισις.

Μόνος ἔχων τὴν ἀθανασίαν λέγεται ὁ Θεὸς, ὅτι οὐκ ἐκ θελήματος ἄλλου ταύτην ἔχει, καθάπερ οἱ λοιποὶ πάντες ἀθάνατοι, ἀλλ᾽ ἐκ τῆς οἰκείας οὐσίας.

Ερώτησις ξβ΄ 259

Εἰ τῇ τετάρτῃ ἡμέρᾳ τῶν φωστήρων ἡ ποίησις γέγονεν, ἐξ αὐτῶν δὲ τῶν ἡμερῶν ὁ ἀριθμὸς συνίσταται, πῶς αἱ πρὸ τῆς παραγωγῆς τῶν φωστήρων τρεῖς ἡμέραι ἀμφίβολον τὸν μετὰ τὴν παραγωγὴν τῶν φωστήρων ἀριθμὸν τῶν ἡμερῶν οὐ δεικνύουσιν;

Απόκρισις.

Ἐκ τῆς παραγωγῆς τοῦ φωτὸς ὁ διαχωρισμὸς γέγονε φωτὸς καὶ σκότους· καὶ ἐκ τοῦ διαχωρισμοῦ φωτὸς καὶ σκότους, ἡ ἡμέρα ὑπέστη καὶ ἡ νύξ· πρὸ δὲ τῆς τῶν φωστήρων ποιήσεως ἡ κατὰ τὸν ὅρον τοῦ Θεοῦ ἐπικράτεια φωτὸς ἐποίει τὴν ἡμέραν, καὶ ἡ ἐπικράτεια τοῦ σκότους τὸ σκότος, ἤτοι τὴν νύκτα. γενομένων δὲ τῶν φωστήρων, ἐτάχθησαν ἐξουσιάζειν, ὁ μὲν, τοῦ φωτὸς καὶ τῆς ἡμέρας· ἡ δὲ, τοῦ σκότους καὶ τῆς νυκτός. ὁ γὰρ δημιουργὸς τὸ φῶς μετὰ τῆς ὡρισμένης αὐτοῦ ἐπικρατείας τῷ μείζονι τῶν φωστήρων ἐκληρώσατο· καὶ τοιαύτας ἡμέρας ἃς ποιεῖ νῦν τὸ φῶς μετὰ τοῦ φωστῆρος, τοιαύτας ἐποίει καὶ πρὸ τῆς ποιήσεως τῶν φωστήρων· κατὰ τὸν ὅρον τοῦ Θεοῦ τοῦ τὴν ἐπικράτειαν αὐτοῦ ὁρίσαντος δωδεκάωρον, ἐκεῖνος ὁ ὅρος ἐπείγει τὸν ἥλιον πρὸς τὴν ἐξ ἀρχῆς ἔμμετρον δωδεκάωρον κίνησιν.

Ερώτησις ξγ΄

Ἐπειδὴ διαφόρως τινὲς ἡρμήνευσαν καὶ ἀσαφῶς τὸ, Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, τὴν σαφήνειαν αὐτοῦ δίδαξον.

Απόκρισις.

Εἴπομεν ἐν τοῖς ἀνωτέρω, ὅτι οὐρανοὺς οἶδεν ἡ θεία γραφὴ καλεῖν, ἢ τοὺς κατ᾽ οὐσίαν, ὡς τὸν πρῶτον οὐρανὸν καὶ τὸ στερέωμα· ἢ τὰ κατὰ τὸν ἀέρα διαστήματα.

» ματα. τὸ οὖν, Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ:- ἵνα εἴπῃ τοὺς οὐρανοὺς ἔθετο σκήνωμα τοῦ ἡλίου. ἡ γὰρ ἐκ τῆς τῶν Ἑβραίων γλώττης εἰς τὴν τῶν Σύρων γλῶτταν μεταγωγὴ τῆς λέξεως, οὕτως γεγένη- » ται, Ἐν αὐτοῖς ἔθετο τοῦ ἡλίου τὸ σκήνωμα:- δηλοῖ δὲ δι' ἑτέρου ψαλμοῦ ὁ προφήτης Δαβὶδ αὐτὸ τοῦτο, » καὶ φησίν, Ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν:- ἡ γὰρ ἔκτασις τῶν δέρρεων, τὴν σκηνὴν ἀποτελεῖ. τῇ ποικιλίᾳ οὖν τῶν οὐσιῶν, καὶ τῇ διαφορᾷ τῶν χρειῶν δεικνύων αὐτοὺς εἶναι γενητούς· ἡ γὰρ ἀγένητος φύσις, πρὸς τὴν ἀγένητον φύσιν κατὰ φύσιν οὐκ ἔχει διαφοράν· τὸ δὲ καὶ χρείας ἕνεκα τοιόνδε ἢ τοιόνδε, ἀλλότριόν ἐστι τῆς ἀγενήτου φύσεως.

Ἐρώτησις ξδ'

Εἰ ὥσπερ ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τὸ τριήμερον, οὕτως καὶ ὁ Χριστὸς ἐν τῇ καρδίᾳ τῆς γῆς, πῶς οὐ δοκήσει τοῦ Κυρίου ὁ θάνατος γέγονεν; Ἰωνᾶς γὰρ μὴ θανών, ἐνομίσθη τεθνάναι· εἰ δὲ κατ' ἀλήθειαν ὁ Κύριος τοῦ θανάτου ἐγεύσατο, πῶς τὸ κατὰ τὸν Ἰωνᾶν ὑπόδειγμα οὐ διέψευσται;

Ἀπόκρισις.

Οὐ θανάτῳ τὸν θάνατον συμπαρέβαλεν, ἀλλὰ τὴν τριήμερον ἐν τῷ τάφῳ παραμονὴν τοῦ σωτῆρος τῇ τριημέρῳ ἐν τῷ κήτει παραμονῇ τοῦ Ἰωνᾶ. ἄλλως τε εἰ κατὰ τὰ ὅμοια ἦν τὰ κατὰ τὸν Ἰωνᾶν τοῖς κατὰ τὸν σωτῆρα, οὐκέτι ἠδύνατο ἐκεῖνα τούτων εἶναι τύπος ἢ εἰκών. χρὴ οὖν τὴν ἀλήθειαν πλέον τι τοῦ » τύπου ἔχειν, κατὰ τὸ εἰρημένον, Πλέον Ἰωνᾶ ὧδε:- ὑπόδειγμα δὲ ἀψευδὲς νοεῖται τὸ κατὰ τὸν Ἰωνᾶν πρὸς τὰ κατὰ τὸν σωτῆρα, τοῦτον τὸν τρόπον· ὅτι, ὥσπερ ὁ Ἰωνᾶς σημεῖον πίστεως εἶχε τοῦ παρὰ τοῦ Θεοῦ ἀπεστάλθαι αὐτὸν κήρυκα τῆς καταστροφῆς τῶν
260 Νινευιτῶν τὴν τριήμερον ἐκ τοῦ κήτους ἀναγωγήν, οὕτως καὶ ὁ σωτὴρ σημεῖον πίστεως εἶχε τοῦ παρὰ τοῦ Θεοῦ ἀποσταλῆναι αὐτὸν κήρυκα τῆς βασιλείας τῶν οὐρανῶν, τὴν τριήμερον ἐκ τοῦ τάφου ἀνάστασιν.

Ἐρώτησις ξε'.

Ἐπειδή τινες τὴν τοῦ Κυρίου παράδοσιν τῇ τετράδι λέγουσι γεγενῆναι, ἐκ τῆς ποσότητος τούτων τῶν τότε πραχθέντων στοχαζόμενοι, τίς ἡ ἀπόδειξις τῆς ἡμέρας ἐν ᾗ ἡ παράδοσις γέγονεν;

Ἀπόκρισις.

Ἀπόδειξις τοῦ μὴ τῇ τετράδι, ἀλλὰ τῇ πέμπτῃ παραδεδόσθαι τὸν Χριστόν, αὕτη ἐστίν· ἐν τῇ νυκτὶ ᾗ παρεδόθη, ἐν ταύτῃ ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων ἐκρίθη, καὶ κατεκρίθη· τῷ πρωῒ δὲ ἐχομένῳ τῆς νυκτὸς ταύτης, παρέδωκαν αὐτὸν τῷ Πιλάτῳ· ἐν ᾗ δὲ ἡμέρᾳ παρέλαβεν αὐτὸν ὁ Πιλάτος, ἐν ταύτῃ αὐτὸν καὶ ἐσταύρωσε· παραλαβὼν δὲ αὐτὸν τῷ πρωῒ τῆς παρασκευῆς, τῇ ἕκτῃ ὥρᾳ τῆς αὐτῆς παρασκευῆς ἐσταύρωσεν. οὐ χρὴ οὖν ταῖς γραφικαῖς ὡρισμέναις ὥραις προστιθέναι κατὰ στοχασμὸν τὸ ἀσύστατον. φησὶ γὰρ Ματθαῖος ὁ εὐαγγελιστὴς » οὕτως· Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον

ualla. Itaque illud, *In sole posuit tabernaculum suum*, [ita dictũ est, vt significaretur, cælos positos esse tabernaculum solis. nã dicti huius ex Ebræorum lingua in Syrorum sermonem versio. ita habet; *In ipsis posuit solis tabernaculum* Declarat hoc per aliũ Psalmum propheta Dauid, & dicit; *Extendens cælum sicut pellem*. nam pellium extensio tabernaculum conficit. Itaque substãtiarum varietate, & vsus diuersitate, cælos genitos esse indicat. Siquidem natura ingenita, a natura ingenita naturâ nõ differt. Quod vero & propter vsum huiusmodi est vel huiusmodi, ab ingenita natura est alienum.

QVÆSTIO LXIIII.

Si, quemadmodum Ionas in ventre ceti, sic & CHRISTVS in sinu terræ triduo fuit: quomodo mors CHRISTI non existimatione tantum facta est? Ionas namq; cum mortuus non esset, pro mortuo habitus est. Sin reuera Dominus mortem gustauit, quomodo Ionæ exemplum falsum non est?

RESPONSIO.

Nõ morti mortem, sed triduanam Saluatoris in sepulcro mansionem, triduanæ Ionæ in ceto mansioni comparauit. Alioqui si res Ionæ, rebus CHRISTI æquales fuissent, non potuissent illæ istarum esse figura aut imago Oportet ergo veritatem amplius quidquam quam figuram obtinere. iuxta id quod dictum est: *Plus quam Ionas est hoc loco*. Minus vero falsum esse Ionæ exemplum, cum CHRISTO Seruatore collatum, hoc modo intelligitur. Quemadmodum Ionas signum fidei sibi habendæ, quod a Deo missus esset Niniuitarum euersionis præco, triduanam ex ceto habuit restitutionem: ad eundem modum & Saluator signum fidei sibi habẽdæ, quod a Deo missus esset præco regni cælorũ, triduanã ex sepulcro obtinuit resurrectionẽ.

QVÆSTIO LXV.

Quandoquidem nonnulli Dominum quarto die proditum esse dicunt, ex rerũ tum actarum statu coniecturam hanc colligentes: quænam est diei demonstratio, in qua proditio sit facta?

RESPONSIO.

Non quarto, sed quinto die proditum esse CHRISTVM, sic demonstratur: Qua nocte proditus, ea etiam a pontificibus & senioribus iudicatus, atque adeo condemnatus est. Diluculo autem noctem eam subsequuto, illi eum Pilato tradiderunt. Qua vero die ipsum Pilatus accepit, ea quoque in crucem egit. acceptum porro diluculo Parasceuæ, hora sexta eius diei, cruci affixit. Proinde temporibus a Scriptura designatis, minime per coniecturam id adiicere conuenit, quod consistere nequit. Nam Matthæus euangelista sic ait: *Mane autem facto, consilium inierunt*

omnes principes sacerdotum, & seniores populi, aduersus IESVM, *vt eum morti traderent. & vinctum eum abduxerunt, & tradiderunt Pontio Pilato præsidi.* Similiter autem & Ioannes euangelista dixit: *Ducunt* IESVM *a Caipha in prætorium. erat autem mane.* & rursum: *Pilatus cum audisset hunc sermonem, produxit foras* IESVM: *seditque pro tribunali, in loco qui dicitur Lithostrotus, Ebraice autem Gabbatha. Erat autem Parasceue pascha, hora ferme sexta.* Quocirca si noctu proditus, & iudicatus, & ad mortem damnatus est a Pōtificibus, mane autem traditus Pilato, & hora sexta Parasceuæ crucifixus: certum est, quinto die hebdomadis proditum eum esse.

QVÆSTIO LXVI.

Quia Dominus continue seipsum Filium hominis masculino genere, & non Filium hominis fœminino genere nominat: atque inde infideles ostendere conātur, ex cōiugali copulatione Domini processisse natiuitatem: Hominis enim, inquiunt, masculino genere prolati, nō fœminæ, sed maris est vocabulum: Quibus igitur rationibus vtemur, vt per vanitatem conuicium dictum coarguamus?

RESPONSIO.

Si ex connubiali concubitu Domini processisset natiuitas, non dixisset Scriptura illud; *Vt putabatur, filius Iosephi.* nam, *Vt putabatur,* de eis dici, qui coniūctione maritali procreantur, non potest. Porro per vnam non satis dilucidam, eamque inopiosam vocem, dicta illa omnia, diserte CHRISTVM de Spiritu sancto & Maria virgine genitum esse deprædicantia, euertere velle, longe absurdissimum est.

Cæterum ad tollendam illorum vanam argumentandi aggressionem, ratione ista vtimur. Si eo quod CHRISTVS seipsum non dixit filium hominis genere fœminino, filius hominis fœminæ non est: an etiā quia seipsum nō dixit filium alicuius hominis, filius hominis alicuius non est? Sin filius alicuius hominis CHRISTVS non est: necessario neque filius hominis fuerit.

Ad hæc, si, quemadmodum Ioseph oraculo diuino, iuxta legem, sine maritali concubitu, filius Eli dictus est, Deo hoc pacto Iosephum ipsi Eli filium dare volente: quid absurdi est, eodem pacto, absque coniugali concubitu, & Iosepho dare filium? Huius quippe rei causa, diuina gratia, dispositione sua, CHRISTI ex virgine natiuitatē præuenit; vt virgo duos habenti patres viro despōderetur; alterū, secūdum naturā, ex coitione coniugali; alterum, secundum legē, sine coniunctione maritali: in illius natiuitate prius depingēs CHRISTI natiuitatē, qui genitus quidē est ex Spiritu sancto filius Dei, genitus autē ex muliere Iosepho, filius Iosephi. *Spiritus, inquit, sanctus superueniet in te; & virtus Altissimi obūbrabit tibi: quapropter & quod nascetur ex te, sanctum Domino vocabitur*

πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὅπως θανατώσωσιν αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι:- ὡσαύτως δὲ καὶ Ἰωάννης ὁ εὐαγγελιστής φησιν. Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καιάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ:- καὶ πάλιν, Ὁ Πιλάτος οὖν ἀκούσας τοῦτον τῶν λόγων, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθά. ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη:- Εἰ τοίνυν τῇ νυκτὶ μὲν παρεδόθη, καὶ ἐκρίθη ὑπὸ τῶν ἀρχιερέων, καὶ κατεκρίθη, τὸ πρωῒ δὲ παρεδόθη τῷ Πιλάτῳ, καὶ τῇ ἕκτῃ ὥρᾳ τῆς παρασκευῆς ἐσταυρώθη, δῆλον ὅτι τῇ πέμπτῃ ἡ παράδοσις γέγονεν.

Ἐρώτησις ξϛʹ.

Ἐπειδὴ συνεχῶς ὁ Κύριος υἱὸν τοῦ ἀνθρώπου, καὶ οὐχὶ τῆς ἀνθρώπου ἑαυτὸν ὀνομάζει. καὶ διὰ τοῦτο πειρῶνται οἱ ἄπιστοι δεικνύναι, ὡς ἐκ γαμικῆς συναφείας ὁ δεσποτικὸς γέγονε τόκος· τὸ γὰρ Τοῦ ἀνθρώπου, φασὶν, οὐ θηλείας ἐστὶν, ἀλλὰ ἄρρενος τὸ ὄνομα· τίσιν οὖν λόγοις χρησάμενοι, τὴν τοιαύτην λοιδορίαν μάτην λεγομένην ἐλέγξομεν;

Ἀπόκρισις.

Εἰ ἐκ γαμικῆς συναφείας ὁ δεσποτικὸς τόκος ἐγένετο. οὐκ ἂν εἶπεν ἡ γραφὴ τὸ, Ὡς ἐνομίζετο υἱὸς τοῦ Ἰωσήφ:- τὸ γὰρ, Ὡς ἐνομίζετο, ἐπὶ τῶν ἐκ γαμικῆς συναφείας τικτομένων ῥηθῆναι, χώραν οὐκ ἔχει. τὸ δὲ διὰ μιᾶς ἀσαφοῦς τε καὶ ἐλλιποῦς φωνῆς πάσας τὰς φωνὰς ἐκείνας τὰς προδήλως καταγγελλούσας τὸν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου γεγεννημένον ἀνατρέπειν, τῶν ἀτοπωτάτων ἐστί. πρὸς ἀναίρεσιν δὲ τῆς ματαίας αὐτῶν ἐπιχειρήσεως, κεχρήμεθα λόγοις τοιούτοις. εἰ διὰ τὸ μὴ εἰπεῖν ἑαυτὸν τὸν Χριστὸν υἱὸν τῆς ἀνθρώπου, οὐκ ἔστι διὰ τοῦτο υἱὸς τῆς ἀνθρώπου δηλονότι· ἆρα καὶ διὰ τὸ μὴ εἰπεῖν ἑαυτὸν υἱὸν τινὸς ἀνθρώπου, οὐκ ἔστιν υἱὸς τινὸς ἀνθρώπου; εἰ δὲ μὴ τινὸς ἀνθρώπου ἐστὶν ὁ Χριστὸς υἱὸς, ἐξ ἀνάγκης οὐδὲ ἀνθρώπου ἐστὶν υἱός. ἔτι δὲ, εἰ καθάπερ υἱὸς τοῦ Ἠλεὶ ἐχρημάτισεν ὁ Ἰωσὴφ κατὰ τὸν νόμον χωρὶς γαμικῆς συναφείας, τοῦ Θεοῦ τούτῳ τῷ τρόπῳ βουληθέντος δοῦναι τὸν Ἰωσὴφ υἱὸν τῷ Ἠλεὶ, τί ἄτοπον τὸ οὕτως δοῦναι καὶ υἱὸν χωρὶς γαμικῆς συναφείας τῷ Ἰωσήφ; τούτου γὰρ ἕνεκεν προῳκονόμησεν ἡ θεία χάρις τὴν παρθένον μνηστευθῆναι ἀνδρὶ δύο πατέρας ἐσχηκότι· ἕνα μὲν κατὰ φύσιν ἐκ γαμικῆς συναφείας, ἕτερον δὲ κατὰ τὸν νόμον χωρὶς γαμικῆς συναφείας· ἐν τῇ ἐκείνου γεννήσει προζωγραφοῦσα τοῦ Χριστοῦ τὴν γέννησιν, τοῦ γεννηθέντος μὲν ἐκ πνεύματος ἁγίου, υἱοῦ τοῦ Θεοῦ· γεννηθέντος δὲ ἐκ τῆς γυναικὸς τοῦ Ἰωσὴφ, υἱοῦ τοῦ Ἰωσήφ. Πνεῦμα, φησὶν, ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ, ἅγιον τῷ Κυρίῳ

268

κληθήσεται υἱὸς Θεοῦ. ἀλλ' εἰ τὸ γεννώμενον ἐκ τῆς γυναικὸς τοῦ Ἠλεὶ, υἱός ἐστι τοῦ Ἠλεὶ κατὰ τὸν νόμον τοῦ Θεοῦ, πολὺ μᾶλλον ἐκ τῆς γυναικὸς τοῦ Ἰωσὴφ, κατὰ τὴν θείαν εὐδοκίαν, υἱός ἐστι τοῦ Ἰωσὴφ χωρὶς γαμικῆς συναφείας.

Ἐρώτησις ξζ.

Ἐπειδὴ ὁ Ἠσαΐας εἰς τὸν δεσπότην Κύριον προφητεύων φησὶ, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; εἰ ἐπὶ δυσδιηγήτου ἄρα ἢ ἀδιηγήτου τῆς γενεᾶς, καὶ ἐπὶ τῆς θεότητος ἢ τῆς σαρκὸς ταύτην ἐκληπτέον τὴν λέξιν;

Ἀπόκρισις.

Ἡ μὲν κατὰ σάρκα γέννησις τοῦ Χριστοῦ γενεαλογεῖται, καὶ ὁ τρόπος ταύτης ἐν γραφικῇ διηγήσει καταγγέλλεται· ἐκ πνεύματος γὰρ ἁγίου καὶ τῆς παρθένου Μαρίας· ἡ δὲ κατὰ τὴν θεότητα αὐτοῦ γέννησίς ἐστιν ἀγενεαλόγητος· διὸ καὶ ἀδιήγητος. ἐμφαίνει οὖν ἡ προφητικὴ ῥῆσις τὸ ἀδιήγητον ἢ τὸ δυσδιήγητον τῆς γεννήσεως.

Ἐρώτησις ξη'.

Εἰ μὴ τὸ αἷμα τοῦ ἀνθρώπου ἐστὶν ἡ ψυχὴ, διὰ τὸ ἐκχυθέντος ἐκείνου τὸ ζῶον ἀπόλλυσθαι, διὰ ποίων λόγων καὶ ὑποδειγμάτων δείκνυται ὅτι ἐστὶ ψυχὴ ἐν τῷ σώματι, ἢ ἕτερον τῇ κτίσει ἀόρατον;

Ἀπόκρισις.

Ἔχοντες τὰς φωνὰς τοῦ δημιουργοῦ τῆς κτίσεως τὰς διαστελλούσας ψυχὴν σώματος, ἀξιοπιστότερα τούτων ὑποδείγματα εἰς παράστασιν τῆς τοῦ ζητουμένου ἀληθείας, οὐκ ὀφείλουσιν ἀπαιτεῖν. τὸ γὰρ δοῦναι τῷ διαβόλῳ κατὰ πάσης τῆς σωματικῆς τοῦ Ἰὼβ συστάσεως τὴν ἐξουσίαν τοῦ πατάξαι αὐτὴν ὡς βούλεται, καὶ κωλῦσαι αὐτὸν τοῦ ἅψασθαι αὐτοῦ τῆς ψυχῆς, δείκνυσι τὴν ἀσώματον ψυχὴν, ἕτερόν τι παρὰ τὴν πεπληγωμένην σάρκα αὐτοῦ. ὡσαύτως δὲ καὶ τὸ, Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· τοῦτο δηλοῖ τὸ εἶναί τι τοῦ ἀναιρεθέντος ἀνθρώπου τὸ ἐν ἀθανασίᾳ διαμένον καὶ κατὰ τὸν τοῦ σώματος θάνατον. ὥστε ἄτοπον λέγειν αἷμα τὸ ἐκχυθὲν καὶ φθαρὲν, ψυχήν. πρόδηλον ἄρα ἐστὶν, ὅτι ἡ ψυχὴ ἀόρατον τοῖς ἀνθρώποις κατὰ τὴν οἰκείαν φύσιν.

Ἐρώτησις ξθ'.

Διὰ τί ὁ ἑπτὰ ἀριθμὸς ἐναλλαγὴν δέχεται; καὶ γὰρ ἐν σαββάτῳ ὡς τὰ πολλὰ ὁ ἀὴρ μεταβάλλεται· καὶ ἡ τοῦ ἀνθρώπου κατὰ τὴν ἡλικίαν προκοπὴ, ἐν τούτῳ τῷ ἀριθμῷ λαμβάνει ἐπίδοσιν, ὀδόντων μὲν φυομένων τῷ ἑβδόμῳ μηνὶ, τῷ δὲ αὐτῷ ἔτει ἀλλασσομένων τούτων· διπλασιασθέντων δὲ πάλιν, σπερματικὴν προσκτωμένων δύναμιν· καὶ ἵνα συντόμως εἴπω, ὁ ἀριθμὸς τῶν ἑπτὰ, τὴν αὔξησιν καὶ λῆξιν τῶν ἀνθρώπων ἐργάζεται, καὶ τῶν νοσημάτων ποιεῖται διάκρισιν, καὶ ἐν νόμῳ τῶν λοιπῶν ἀριθμῶν τὸ αἰδέσιμον κέκτηται.

vocabitur Filius Dei. Atqui si id quod ex muliere Eli genitum est, filius Eli est, secundum legem Dei: multo magis id quod ex muliere Iosephi editum est, filius Iosephi est, sine connubiali concubitu, secundum beneplacitum Dei.

QVÆSTIO LXVII.

Quandoquidē Esaias de Domino CHRISTO diuinans, ait; *Generationē eius quis enarrabit?* verū vix enarrabilis, aut potius inenarrabilis generatio propheticæ diuinationis huius, de diuinitate, an de carne eius sit accipienda?

RESPONSIO.

Natiuitas CHRISTI, iuxta carnem, per genealogiam & generis seriem describitur, & modus eius in scriptum relata narratione exponitur: ex Spiritu quippe sancto, & Maria virgine. Eius vero, iuxta Deitatē natiuitas, genealogia seu generis serie referri non potest: & propterea etiam ineffabilis est. Itaque prædictio prophetica demonstrat inloquibilem hanc, aut certe vix eloquibilem natiuitatem.

QVÆSTIO LXVIII.

Si non sanguis hominis anima est, propterea quod illo effuso, animans interit: quibus argumentis & similitudinibus demonstratur, animam esse in corpore, aut aliud quod creatum sit inuisibile?

RESPONSIO.

Cum dicta habeamus opificis creaturæ, quæ dicta animam discernunt a corpore, probabiliora credibilioraque eis argumenta, ad quæstionis veritatem astruēdam, requiri non debent. Nam quod diabolo in omnem corporis Iobi constitutionem, affligendæ eius vt vellet, potestas datur; animam autem eius vt ne ille tāgeret, inhibetur: declarat, animam incorpoream aliud quippiam esse a carne eius afflicta. Consimiliter vero & illud; *Ne metuatis vobis ab his qui occidunt corpus, animam autem nō possunt occidere:* indicat esse aliquid, homine occiso, quod in immortalitate permaneat, post corporis quoque necem. Quocirca absurdum est dicere, sanguinē qui effunditur & disperit, animam esse. Manifestum igitur fuerit, animam hominibus natura sua inuisam esse.

QVÆSTIO LXIX.

Quamobrem numerus septenarius mutationem excipit? Sabbato namque plurimum aer mutatur: & ætate staturaque hominis augenda, in hoc numero incrementum accedere incipit. Dentes quidem gignuntur mense septimo: eodem autem anno decidunt, aliique rursum sufficiuntur: atque his duplicatis, seminaria accrescit virtus. atque, vt breuiter dicam, numerus septenarius in hominibus incrementum atque decrementum efficit: & de ægritudinibus iudicium facit: & in lege, præ cæteris numeris primorem obseruantiam obtinet.

RESPONSIO.

Operum naturæ complementũ fit per naturæ potentiam, non per temporariam accessionem, septenario numero mensium & annorum determinatam. Proinde ea quæ in quæstione commemorata sunt naturæ opera, persæpe vel citius vel serius septenario numero, ad suam natura producit perfectionem. Quæ certe non fierent, si natura septenarium numerum, & non septenarius numerus naturam assectaretur. Idcirco non septenarius causa est operum naturæ complementi; sed naturæ vis, causa est septenarii, per quem illa non sumit naturalia opera sua perficiẽda. Consimiliter vero & in aliis mensium & annorũ numeris, per quos naturæ opus in animantibus & plantis reliquis cõpletur, naturæ vis causa est temporis æqualis, & lõgioris, & breuioris. Sane quidem in sacris litteris, septenarius supra reliquos numeros eo est obseruatione dignus maiore, quod in ipso est tempus omne, & mundi creationis, & creatoris cessationis. Senio videlicet, creationis est: vnio, cessationis requietis. Itaque vt in hominibus memoria mundi creationis conseruaretur, ideo in diuinis scriptis dispositum est vt septenarius præ cæteris præstabilior numeris reperiatur.

QVÆSTIO LXX.

Si interdictum est ne de gratiæ donis gaudeamus & gloriemur, quod ea res superbiam efficiat; summissio autem & æquabilitas animi eis qui illa receperunt, a sacris litteris commendata est: quomodo dona ipsis non sunt inutilia, quæ eis commodi sui sensum præbere non possunt?

RESPONSIO.

Superbe de donis gratiæ lætari, prohibitum est; propterea quod legitimam tollat læticiam. De donis autem gaudere cum animi moderatione, non solum non inhibet, verum ediuerso ad gaudium huiusmodi etiam hortatur quãdoque ipse Seruator, dicens, *Sed gaudete, quod nomina vestra scripta sunt in cælis:* quandoque Apostolus, cum inquit; *Fratres, gaudete in Domino semper: & iterum dico, Gaudete: Modestia vestra nota sit omnibus hominibus.* duplicatione verbi *Gaudete*, gaudii singularem designat intentionem & vehementiam. Itaque gaudium non tollit modestiam, neque modestia sensum tollit gaudii: sed per vtrumque conseruatur vtrumque.

QVÆSTIO LXXI.

Quandoquidem nonnulli de mundi statu coniecturis ducti dixerunt, sexies mille annis tantum illum duraturum esse: num verum hoc esse per argumenta euidentia, an ex diuinis litteris demonstretur, atque etiam incertumne id sit, discamus.

Ἀπόκρισις.

Πρὸς τὴν δύναμιν τῆς φύσεως, τῶν ἔργων τῆς φύσεως ἡ ἐκπλήρωσις γίνεται, καὶ οὐ πρὸς τὴν χρονικὴν παράτασιν ἑβδομάδι μηνῶν ἢ ἐνιαυτῶν ὡρισμένην. διὸ τὰ ὀνομασθέντα ἔργα τῆς φύσεως ἐν τῇ ἐρωτήσει, πολλάκις θᾶττον ἢ βραδύτερον τῶν ἑπτὰ ἀριθμῶν ἐπὶ τὴν οἰκείαν ἄγει ἡ φύσις τελειότητα. ἅπερ οὐκ ἂν ἐγίνετο, εἰ ἡ φύσις τῇ ἑβδομάδι, καὶ μὴ ἡ ἑβδομὰς τῇ φύσει ἠκολούθει. οὐχ ἡ ἑβδομὰς οὖν ἐστὶν αἰτία τῆς ἐκπληρώσεως τῶν ἔργων τῆς φύσεως, ἀλλὰ ἡ δύναμις τῆς φύσεως αἰτία τῆς ἑβδομάδος, καθ᾽ ἣν οὐ λαμβάνει τῇ φύσει τὰ οἰκεῖα ἔργα ἐκτελέσαι. ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων ἀριθμῶν μηνῶν τε καὶ ἐνιαυτῶν, δι᾽ ὧν ἐκπληροῦται τὸ ἔργον τῆς φύσεως ἐν τοῖς λοιποῖς ζώοις τε καὶ φυτοῖς, ἡ δύναμις τῆς φύσεώς ἐστιν αἰτία τοῦ ἴσου χρόνου, καὶ τοῦ πλείονος καὶ τοῦ ἐλάττονος. αἰδεσιμώτερος δὲ ἐν τῇ θείᾳ γραφῇ ὁ ἑπτὰ ἀριθμὸς παρὰ τοὺς λοιποὺς ἀριθμοὺς, ὅτι ἐν αὐτῷ ὁ πᾶς χρόνος τῆς τε τοῦ κόσμου ποιήσεως, καὶ τῆς τοῦ πεποιηκότος αὐτὸν καταπαύσεως· ἑξὰς μὲν, τῆς ποιήσεως· μονὰς δὲ, τῆς καταπαύσεως. ἵνα οὖν φυλαχθῇ ἡ μνήμη τῆς τοῦ κόσμου ποιήσεως ἐν τοῖς ἀνθρώποις, διὰ τοῦτο τιμιώτερον τῶν ἄλλων εὑρίσκειν ἔταξε τὸν ἑπτὰ ἀριθμὸν ἐν τῇ θείᾳ γραφῇ.

Ἐρώτησις ο΄.

Εἰ τὸ χαίρειν καὶ γαυριᾶν ἐπὶ τοῖς χαρίσμασιν ἀπηγόρευται, ὡς ὑπερηφανείας ποιητικὸν, ταπεινοφροσύνη δὲ καὶ ἐπιείκεια τοῖς ταῦτα εἰληφόσιν ὑπὸ τῆς θείας γραφῆς παραδίδοται, πῶς οὐκ ἀνωφελῆ αὐτοῖς τὰ δωρήματα, αἴσθησιν ἐπὶ τοῦ παρόντος ἐκείνοις τοῦ οἰκείου καλοῦ παρασχεῖν μὴ δυνάμενα;

Ἀπόκρισις.

Τὸ χαίρειν ἐπὶ τοῖς χαρίσμασι μετὰ τῆς ὑπερηφανείας ἀπαγορεύει, ὡς ἀναιρετικὸν τοῦ χαίρειν καλῶς· τὸ χαίρειν δὲ ἐπὶ τοῖς χαρίσμασι μετὰ τῆς ἐπιεικείας, οὐ μόνον οὐκ ἀποτρέπει, ἀλλὰ τοὐναντίον ἐπὶ τὴν τοιαύτην χαρὰν καὶ ἐπιτρέπει, ποτὲ μὲν λέγων ὁ σωτὴρ, Χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς:- ποτὲ δὲ ὁ ἀπόστολός φησιν, Ἀδελφοὶ χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ Χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις.- τῷ διπλασιασμῷ τοῦ Χαίρετε, τὴν ἐπίτασιν τῆς χαρᾶς ἐμφαίνων. οὔτε οὖν ἡ χαρὰ ἀναιρεῖ τὴν ἐπιείκειαν, οὔτε ἡ ἐπιείκεια ἀναιρεῖ τὴν αἴσθησιν τῆς χαρᾶς, ἀλλὰ δι᾽ ἑκατέρας ἑκατέρα φυλάττεται.

Ἐρώτησις οα΄.

Ἐπειδή τινες περὶ τῆς τοῦ κόσμου συστάσεως ἔφασαν στοχαζόμενοι, ὡς ἑξακισχίλια μόνα ἔτη συστήσεται, εἰ ἀληθὲς τοῦτο δι᾽ ὑποδειγμάτων ἐναργῶν δείκνυται, εἰ δὲ ἐκ τῆς θείας γραφῆς, καὶ εἰ ἄδηλον, μάθωμεν.

RESPON-

Ἀπόκρισις.

Ἔνεστι διὰ πολλῶν γραφικῶν φωνῶν τεκμήρασθαι ἀληθεύειν τοὺς λέγοντας ἑξακισχίλια ἔτη εἶναι τὸν χρόνον τῆς παρούσης τοῦ κόσμου συστάσεως, ποτὲ μὲν λεγούσας, Ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ· ποτὲ δέ, Εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε·- ποτὲ δέ, Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου· πᾶσαι δὲ αἱ τοιαῦται φωναὶ ἐν τῇ ἕκτῃ ἐρρέθησαν χιλιάδι.

Ἐρώτησις οβ.

Εἰ τότε ἄφθονος δείκνυται ἕκαστος, ὅτε ὅπερ ἐπίσταται, εἰ καὶ δυνατὸν, καλὸν ποιεῖν, τοῖς πλησίον χαρίζεται, πῶς οὐ φθονερὸς ὁ Θεὸς, πάντας δυνάμενος
263 ποιῆσαι θεούς, καὶ μὴ ποιήσας, ἐπεὶ καλὸν τὸ Θεός· εἰ δὲ οὐ φθονερός, ἀλλὰ ἀδύνατος ὤν, τοῦτο οὐκ ἐποίησε, δυοῖν . . . . ἀνάγκη.

. . . .
. . . .
. . . .
. . . .

. . . . τοῖς χαριζομένοις τοῖς πλησίον, ἃ δύνανται ποιεῖν, ἢ ἐπίστανται καλά. τὸ γὰρ πλησίον Θεοῦ, οὐ χρῄζει Θεοῦ εἰς παροχήν· ἴσχει γὰρ πρὸς αὐτὸν ἐν ἅπασι τὸ ἴσον. ἔτι δὲ εἰ θεοὺς μόνον ἐποίει ὁ Θεός, τὸν κόσμον οὐκ ἂν ἐποίει. ἀναγκαίως γὰρ χρῄζει ὁ κόσμος τῶν μερῶν τῶν καθ᾽ ὑπέρβασιν καὶ ὑπόβασιν θέσεως ἀλλήλων διαφερόντων· ἔτι δὲ εἰ τῶν ἀδυνάτων γίνεται οὐδέν, ἀδύνατον δὲ γενέσθαι Θεόν (ἄκτιστος γὰρ καὶ ἀποίητος ὁ Θεός) πῶς οὐκ ἔστιν ἄλογον τό τε λέγειν τὸν Θεὸν ἄφθονον, εἶτα τὰ μὴ ἐνδεχόμενα ποιεῖν; εἶτα δὲ καλὸν ἐστιν ὁ Θεός, ὅτι ἄκτιστός ἐστι καὶ κτίστης· οὐδὲν δὲ τῶν κτιστῶν κατ᾽ οὐσίαν δύναται γενέσθαι ἄκτιστον, τουτέστι Θεός. ἔοικε δὲ αὕτη ἡ ἐρώτησις τῷ λέγοντι λόγῳ, καλός ἐστιν ὁ ὀφθαλμὸς καὶ τιμιώτερος τῶν ποδῶν· ἀλλ᾽ εἰ ἄφθονός ἐστιν ὁ Θεός, διὰ τί οὐκ ἐποίησε τοὺς πόδας ὀφθαλμούς; περιάγει γὰρ καὶ ὁ λόγος οὗτος τὴν αὐτὴν ἄλογον ἀτοπίαν, τό, ἢ διὰ φθόνον, ἢ δι᾽ ἀδυναμίαν μὴ πεποιηκέναι τὸν Θεὸν τοὺς πόδας ὀφθαλμούς.

Ἐρώτησις ογ.

Εἴ ποτε τὸ καλὸν φαίνεται καλὸν, ὅτε συγκρίνεται τῷ κακῷ, καλὸν δὲ ὁ κόσμος, δῆλον ὅτι κακὸν ὁ μὴ κόσμος, τουτέστι τὸ πρὸ κόσμου. καὶ εἰ μὲν ἀμφότερα ἐκ Θεοῦ, τουτέστι τὸ πρὸ κόσμου καὶ ὁ κόσμος, πῶς οὐχ ἑκάτερα ἐξ αὐτοῦ, τουτέστι τὸ καλὸν καὶ τὸ φαῦλον; εἰ δὲ θάτερον μὲν ἐξ αὐτοῦ, ἕτερον δὲ οὐκ ἐξ αὐτοῦ, πῶς οὐκ ἔστιν αὐτόματον καὶ μὴ ὑπ᾽ αὐτόν, τὸ μὴ ἐξ αὐτοῦ, πῶς δὲ ἀληθεύει ὁ λέγων, ὅτι ἐξ αὐτοῦ τὰ πάντα;- ἐν γὰρ τοῖς πᾶσι καὶ τὰ πρώην οὐκ ὄντα, καὶ τὰ νῦν ὄντα, περιέχεται.

RESPONSIO.

Ex multis Scripturæ locis coniicere licet, veros esse qui dicunt, sexies mille annorum esse præsentis mũdi status tempora: cum nonnumquam dicit, *Extremis hisce diebus loquutus est nobis per Filium*: quãdoque; *In quos termini ætatum inciderunt*: aliquando; *Vbi venit plenitudo tẽporis*. Omnia enim dicta ista, in sexto prolata sunt millenario annorum ordine.

QVÆSTIO LXXII.

Si tum quisque inuidiæ expers dicitur, cum quod & nouit & potest præstare bonũ, proximis præstat: quomodo Deus inuidus non est, qui, cum deos facere omnes posset, non fecerit, quãdoquidẽ bonus est Deus? Sin inuidus non est, sed eo quod potentia destituatur id non præstitit: duorum certe alterum necessario fuerit; aut inuidus scilicet, aut parum potens.

SOLVTIO.

Non ita dicitur Deum præbere proximo bonum, sicut homines proximis suis, quæ possunt & norunt, præstant commoda. nam id quod proximum Deo est, Deo qui illi aliquid præstet, præbitore non indiget. obtinet enim in rebus omnibus cum Deo parem æqualitatem. Iam si deos tantum creasset Deus, videlicet mundum non creasset. necessario namque mundus partibus indiget, quæ sublimitate & summissione situs, aliæ altris intersint. Præterea si rerũ impossibilium prorsus nihil fit: impossibile autem est, Deũ fieri: (increatus enim & infectus est Deus) quomodo præter rationem nõ est dicere, Deum inuidum esse, quod quæ fieri nequeunt, non creet? Denique bonum Deus est, eo quod increatus est & creator. Nihil autem rerũ creatarũ substantia fieri potest increatum; hoc est Deus. Persimilis vero hæc quæstio videtur dicto illi: Bonus est oculus, & pedibus præstãtior. Porro si Deus inuidiæ expers est, quare pedes non fecit oculos? Complectitur namque hæc quoque ratio eandem, quæ præter omnem susceptã est rationẽ, absurditatem: scilicet aut per inuidentiam, aut per impotentiam pedes Deũ nõn fecisse oculos.

QVÆSTIO LXXIII.

Si bonum tum demũ apparet esse bonum, quando cum malo cõfertur: bonum autem est mundus: nempe malum fuerit, quod mundus non sit, hoc est, quod ante conditum mundum fuerit. Atque equidem si vtrumque ex Deo est, hoc est, quod ante mundum fuerit, & mundus: quomodo non vtrumque ex eo fuerit, id est bonum & malum? Sin alterum ex eo est, alterum vero non ex eo: quomodo non αὐτόματον (idest quod sponte sua vel fortuito exstiterit) & non sub eo fuerit id quod ex eo nõ fit? aut quomodo verus est, qui dicit; *Quoniam ex ipso omnia?* Nam in *Omnibus*, tam quæ prius non fuerint, quam quæ nunc sint, continentur.

SOLVTIO.

Malum nihil aliud est quam peruersio boni: proinde posterius bono est malum. est enim deprauatio boni. Enimuero illud certo constat, bonum non ex collatione mali apparere bonum, sed suapte natura. Porro quod ante mundum cōditum non fuit, id quod omnino non esset, fuit: proindeque nec bonū, nec malum fuit. Quocirca cum eo quod ita non fuerit, nihil confertur. Præterea quod omnino non sit, neque ex Deo, neque ex alio, neque adeo sponte sua vel fortuito est. Itaque ante mundum nihil aliud quidquam præterquam Deus fuit. Quare cum comparatio sit eorum quæ sint, non comparatur mundus cum eo quod mundus non sit, neque in mundo cōtinetur id quod mundus non sit. nam id quod mundus non sit, nihil est: id vero quod continetur, aliquid est. Et cum dicimus Deum ex eo quod non sit effecisse omnia, non locū eius quod sit concedimus ei quod non sit; sed id quod non sit, tollimus & abolemus.

QVÆSTIO LXXIIII.

Si paganismus a Christianismo debellatus, spem recuperationis sui ipsius non habet reliquam: quomodo quæ antiquitus a paganismo deuicta fuit vera diuini cultus religio, nunc in integrum est restituta? Quod namque ante errorem veritas obtinuerit, diuinę testificantur litteræ: quæ Adamum & permultos deinceps post illum ostendunt non simulacris, sed Deo, te diuina facienda seruiisse: quamuis inter eos, nonnullorum fœda comperta fuerint facinora.

RESPONSIO.

Si præsentis rerū status, finis est impiorum per ignem iudicium, prout testantur Prophetarum & Apostolorum scripta, atque insuper Sibyllę vaticinia, quemadmodum ait beatus Clemens in sua ad Corinthios epistola: iudicium autē id peragendum venit per IESVM CHRISTVM, a Iudæis crucifixum perpetuoque potestate regia Christianorum regnum sempiternum, iuxta prophetam Danielem, sibi datum administrantem: idcirco restitutionis spem nullā habet paganismus; præsertim cum eam qua ille populo Dei dominatus est, potentiam perditam numquam recuperarit. Quonam igitur modo non frustra exspectet veteris dominatus restitutionē? Quam vero ob causam ipsius dominatus restitutionē paganismus exspectat? Omnino certe, vt cruciatib. Christianis imponat necessitatē a religione & fide filij Dei desciscendi, dæmonumque cultum assectandi & complectendi. Atqui tormenta ipsa quibus paganismus ea spe, vt integrum seipsum conseruaret, vsus est, paganismum ipsum aboleuerunt, Christianismū vero stabiliorem reddiderunt.

QVÆSTIO LXXV.

Si ante corporū resurrectionē anima, peractæ

Ἀπόκρισις.

Τὸ κακὸν οὐδὲν ἕτερόν ἐστι παρὰ τὴν ἐκτροπὴν τοῦ καλοῦ· διὸ ὕστερόν ἐστι τοῦ καλοῦ τὸ κακόν· ἐκτροπὴ γάρ ἐστι τοῦ καλοῦ. ἀλλὰ τοῦτο δῆλον ὅτι οὐκ ἐκ τῆς συγκρίσεως τοῦ κακοῦ τὸ καλὸν φαίνεται καλόν, ἀλλ' ἐκ τῆς οἰκείας φύσεως. τὸ δὲ πρὸ τοῦ κόσμου μὴ ὄν, πάντη μὴ ὂν ἦν, οὔτε καλὸν ἦν, οὔτε κακόν· διὸ τῷ οὕτω μὴ ὄντι οὐδὲν συγκρίνεται. ἔστι δὲ τὸ πάντη μὴ ὄν, οὔτε ἐκ τοῦ Θεοῦ, οὔτε ἐξ ἄλλου, οὔτε αὐτόματόν ἐστι. πρὸ τοῦ κόσμου οὖν οὐδὲν ἕτερον πλὴν Θεοῦ ἦν· τοίνυν τῆς συγκρίσεως τῶν ὄντων οὔσης πρὸς τὰ ὄντα, οὐκ ἄρα συγκρίνεται ὁ κόσμος τῷ μὴ κόσμῳ, οὐδὲ ἐν τῷ κόσμῳ περιέχεται τὸ μὴ κόσμος. τὸ γὰρ μὴ κόσμος οὐδέν ἐστι· τὸ δὲ περιεχόμενον, ἐστί τι. καὶ ὅτε λέγομεν ἐκ τοῦ μὴ ὄντος τὸν Θεὸν πεποιηκέναι τὰ πάντα, οὐ θέσιν τοῦ ὄντος δίδομεν τῷ μὴ ὄντι, ἀλλὰ τὴν παντελῆ ἀναίρεσιν τοῦ μὴ ὄντος.

Ἐρώτησις οδʹ.

Εἰ διὰ τὸ νενικῆσθαι τὸν Ἑλληνισμὸν ὑπὸ τοῦ Χριστιανισμοῦ, ἐλπίδα οὐκ ἔχει ὁ Ἑλληνισμὸς ἀνακλήσεως, πῶς πάλαι ὑπὸ τοῦ Ἑλληνισμοῦ νικηθεῖσα ἡ ἀληθὴς θεοσέβεια, νυνὶ τὴν ἀνάκλησιν δέδεκται; ὅτι γὰρ πρὸ τῆς πλάνης ἐπεκράτει ἡ ἀλήθεια, μαρτυροῦσιν αἱ θεῖαι γραφαί, τὸν Ἀδὰμ καὶ πολλοὺς ἐφεξῆς μετ' αὐτὸν δηλοῦσαι, οὐκ εἰδώλοις, ἀλλὰ τῷ Θεῷ λατρεύσαντας, κἄν τινες αὐτῶν ἐν ἀτόποις ἐξητάσθησαν πράξεσιν.

Ἀπόκρισις. 264

Εἰ τῆς παρούσης καταστάσεως τὸ τέλος ἐστὶν ἡ διὰ τοῦ πυρὸς κρίσις τῶν ἀσεβῶν, καθά φασιν αἱ γραφαὶ προφητῶν τε καὶ ἀποστόλων· ἔτι δὲ καὶ τῆς Σιβύλλης, καθώς φησιν ὁ μακάριος Κλήμης ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ· γίνεται δὲ αὕτη ἡ κρίσις διὰ Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ὑπὸ τῶν Ἰουδαίων, τοῦ αἰωνίως βασιλεύοντος τῶν Χριστιανῶν βασιλείαν ἀτελεύτητον, τὴν κατὰ τὸν προφήτην Δανιὴλ δοθεῖσαν αὐτῷ· διὰ τοῦτο οὐδεμίαν ἀνακλήσεως ἔχει ὁ Ἑλληνισμὸς τὴν ἐλπίδα. ἄλλως τε εἰ καθ' ἣν ἐκράτει δυναστείαν ὁ Ἑλληνισμὸς τὸν λαὸν τοῦ Θεοῦ, λυθείσης ταύτης οὐδαμῶς πάλιν αὐτὴν ἀνέλαβε, πῶς οὐ μάτην νῦν προσδοκᾷ τὴν ἀνάκλησιν τῆς παλαιᾶς αὐτοῦ δυναστείας; τίνος δὲ ἕνεκεν προσδοκᾷ ὁ Ἑλληνισμὸς τῆς παλαιᾶς αὐτοῦ δυναστείας τὴν ἀνάκλησιν; πάντως ἵνα βασάνοις ἀναγκάσῃ τοὺς Χριστιανούς, ἀφίστασθαι μὲν τῆς τοῦ υἱοῦ τοῦ Θεοῦ λατρείας τε καὶ πίστεως· προσέχοντας δὲ ἐπιθέσθαι τῇ θρησκείᾳ τῶν δαιμόνων. ἀλλ' αἱ βάσανοι αὗται εἰς τὴν πεῖραν χρησάμενος ὁ Ἑλληνισμός, προσδοκήσας δι' αὐτῶν ἄλυτον φυλάττειν ἑαυτόν, τὸν μὲν Ἑλληνισμὸν κατέπαυσαν, τὸν δὲ Χριστιανισμὸν ἔστησαν παγιώτερον.

Ἐρώτησις οεʹ.

Εἰ ἐ . . . σωμάτων ἐγέρσεως ἡ ψυχὴ

. . . . τὰς ἀμοιβὰς οὐ κομίζεται, τῇ ἐξετάσει μέχρι τῆς ἀναστάσεως.

Ἀπόκρισις.

Οὐχ ἣν ἔχουσιν αἱ ψυχαὶ ἐνταῦθα μετὰ τοῦ σώματος κατάστασιν, ταύτην ἔχουσι καὶ μετὰ τὴν ἐντεῦθεν ἀπὸ τοῦ σώματος ἔξοδον. ἐνταῦθα μὲν γὰρ τὰ τῆς ἑνώσεως πάντα κοινὰ ὑπάρχει δικαίων τε καὶ ἀδίκων, καὶ οὐδεμία ἐστὶν ἐν αὐτοῖς διαφορὰ κατὰ τοῦτο· οἷον τὸ γενέσθαι καὶ τὸ ἀποθνήσκειν, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, καὶ τὸ πλουτεῖν καὶ τὸ πένεσθαι, καὶ τὰ ἄλλα τὰ τούτοις ὅμοια. μετὰ δὲ τὴν ἐκ τοῦ σώματος ἔξοδον, εὐθὺς γίνεται τῶν δικαίων τε καὶ ἀδίκων ἡ διαστολή. ἄγονται γὰρ ὑπὸ τῶν ἀγγέλων εἰς ἀξίους αὐτῶν τόπους· αἱ μὲν τῶν δικαίων ψυχαὶ, εἰς τὸν παράδεισον, ἔνθα συνουσία τε καὶ θέα ἀγγέλων τε καὶ ἀρχαγγέλων· κατ᾽ ὀπτασίαν δὲ καὶ τοῦ Σωτῆρος Χριστοῦ κατὰ τὸ εἰρημένον, Ἐκδημοῦντες ἐκ τοῦ σώματος, καὶ ἐνδημοῦντες πρὸς τὸν Κύριον:- αἱ δὲ τῶν ἀδίκων ψυχαὶ, εἰς τοὺς ἐν τῷ ᾅδῃ τόπους, κατὰ τὸ εἰρημένον περὶ τοῦ Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι:- καὶ τὰ ἑξῆς· καὶ εἰσὶν ἐν τοῖς ἀξίοις αὐτῶν τόποις φυλαττόμεναι ἕως τῆς ἡμέρας τῆς ἀναστάσεως καὶ ἀνταποδόσεως.

Ἐρώτησις οϛʹ.

Εἰ πρὸ τῆς ἀναστάσεως οὐκ ἔστιν ἡ τῶν ἔργων ἀντίδοσις, ποῖον τῷ λῃστῇ περιγέγονεν ὄφελος, πρὸς τὸν παράδεισον αὐτοῦ τῆς ψυχῆς εἰσαχθείσης, καὶ μάλιστα ὅτι ὁ μὲν παράδεισος αἰσθητὸς, οὐκ αἰσθητὴ δὲ ἐστι τῆς ψυχῆς ἡ οὐσία;

Ἀπόκρισις.

Ὄφελος γέγονε τῷ λῃστῇ εἰς τὸν παράδεισον εἰσελθόντι, τὸ ἔργοις μαθεῖν τῆς πίστεως τὸ ὠφέλιμον, δι᾽ ἧς ἠξιώθη τοῦ συναθροίσματος τῶν ἁγίων, ἐν ᾧ φυλάττεται ἕως τῆς ἡμέρας τῆς ἀναστάσεώς τε καὶ ἀνταποδόσεως· ἔχει τε τοῦ παραδείσου τὴν αἴσθησιν κατὰ τὴν ἐννοηματικὴν λεγομένην αἴσθησιν, καθ᾽ ἣν ὁρῶσιν αἱ ψυχαὶ ἑαυτάς τε καὶ τὰ ὑπ᾽ αὐτάς· ἔτι δὲ καὶ τοὺς ἀγγέλους τε, καὶ τοὺς δαί-
265 μονας. οὐ γὰρ νοεῖ οὔτε ὁρᾷ ψυχὴ ψυχὴν, οὔτε ἄγγελος ἄγγελον, οὔτε δαίμων δαίμονα, ἀλλὰ κατὰ τὴν ῥηθεῖσαν ἐννοηματικὴν αἴσθησιν ὁρῶσιν ἑαυτούς τε καὶ ἀλλήλους, ἔτι δὲ καὶ τὰ σωματικὰ πάντα.

Ἐρώτησις οζʹ.

Εἰ τῇ συνεργίᾳ τῶν τοῦ σώματος αἰσθήσεων, τῶν αἰσθητῶν ἡ ψυχὴ λαμβάνει τὴν αἴσθησιν, αἰσθητὰ δὲ τὰ καλὰ καὶ τὰ φαῦλα τυγχάνουσι, πῶς οὐκ ἀναισθητεῖ ἡ ψυχὴ χωρισθεῖσα τοῦ σώματος; εἰ δὲ ἀναισθητεῖ, δῆλον ὅτι νενέκρωται· νεκρῶν γὰρ καὶ ζώντων διαφορὰν ἀναισθησία διακρίνει καὶ αἴσθησις.

Ἀπόκρισις.

Πᾶσαι αἱ κτισταί τε καὶ λογικαὶ οὐσίαι διπλᾶς ἔχουσι καταληπτικὰς δυνάμεις, αἰσθητικήν τε,

peractæ vitæ meritorum retributionem non percipit: nũ illa alicui, postquã a corpore secessit atque diuertit, subdita est quæstioni, ad ipsam vsque resurrectionẽ?

RESPONSIO.

Quem in hac vita animæ cum corpore coniunctæ obtinẽt, eum postquam e corpore migrarunt, non retinent statum. In hac etenim vita, quæ in vnione animæ & corporis obtingunt, communia sunt iustorum & iniustorum omnia: & nulla eis est, quantum ad hoc pertinet, differentia: sicuti sunt gigni & mori, valere & ægrotare, ditescere & egere, & alia hisce similia. Post exitum vero animarum e corpore, illico iusti ab iniustis segregantur. abducuntur enim ab angelis, ad condigna sibi loca. Ac iustorum quidem animæ in paradisum, vbi consuetudine & aspectu fruuntur angelorum & archangelorum; per visionem autem & ipsius Seruatoris CHRISTI, pro eo atque dictum est; *Peregre absumus a corpore, & præsentes adsumus apud Dominum.* Iniustorum autem animæ, in ipsius Orci loca; pro eo atque dictum est de Nabuchodonosore rege Babylonis; *Infernus subter exacerbatus est in occursum aduentus tui:* & cætera. Et asseruãtur quæq; in locis se dignis, vsq; ad resurrectionis & cõpensationis diem.

QVÆSTIO LXXVI.

Si ante resurrectionem, operum merces non obtingit: quæ fuit vtilitas latroni, quod anima ipsius in paradisum est illata: & maxime, cum paradisus sub sensum cadat; animæ autem substantia sub sensum non cadat?

RESPONSIO.

Vtilitas latroni, quod paradisum sit ingressus, hæc fuit, quod fidei commodum re ipsa percepit, per quod dignus reputatus est qui sanctorum cœtui adiungeretur: in quo vsque ad diem resurrectionis & remunerationis reseruatur. Paradisi autem percipit sensum, per eum qui notionis dicitur sensum, quo animæ seipsas, & ea quæ sub ipsis sunt, cernunt, præterea vero & angelos & dæmones. Non enim cogitat neque cernit anima animam, neque angelus angelum, neque dæmon dæmonem: at secundum eum qui dictus est notionis sensum, & seipsos illi, & alij alios inter se; tum autem & corporea omnia cernunt.

QVÆSTIO LXXVII.

Si sensuum corporis adminiculo & cooperatione, anima eorum quæ sub sensum cadunt, percipit sensum: sub sensum vero cadunt & bona, & mala: quomodo non sensu caret anima a corpore segregata? Sin sensu caret, videlicet & emortua est. mortuos namque & viuos discernit sensus, & sensus vacuitas.

RESPONSIO.

Vniuersæ & rationales & creatæ essentiæ, duplicem obtinent vim percipiendi: alteram, quæ fit per sensum;

alteram, quæ per mêtem: & hanc quidem partim notionis dictam, qua & seipsas illæ, & alia aliam inter se percipiunt; partim autem intelligentiæ, qua eius quod supra eas est, cognitionem consequuntur. Proinde non cooperatione corporis, animi eorum quæ sub sensum cadunt, sensum percipiunt: sed animus ipse, præsentia sua sensum sufficiens, vt animans sensum percipiat, efficit. Et quantum quidem ad animans pertinet, sensus præbitor est: quantum autem ad seipsum, sentiendi facultatem obtinens. Et animus numquam emoritur. Mortalitas enim animanti est, non animæ. Quocirca corporis ope, ad rerum quæ sub sensum cadunt, perceptionem animatum & animatio indiget, nô anima. Aliud namque est animatum, & aliud anima: Aliud item id quod communicatione essentiæ alterius constat, aliud quod sua ipsum essentia subsistit.

QVÆSTIO LXXVIII.

Si Deus Dauidem, virû iuxta cor suum esse asseuerauit; quomodo postea idê propheta & adulterium & cædem commisit? Et si hæc Deus odio habet; quamobrem ex adultera is prophetæ genus texuit, & Dominum CHRISTVM ex eadê per genealogiam & gentis seriem deduci fecit? Hoc porro cum sic habeat, quomodo Scriptura vera est, cum dicit; *Filij adulterorum a sacris profani atque imperfecti?*

RESPONSIO.

Atenim per pœnitentiam Dauid delicta sua correxit: ac proinde vti cor Dei inuentus est, qui non vult mortem peccatoris, sed vt magis conuertatur & viuat. Et quem ille ex ea quæ Vriæ fuerat, per adulterium susceperat filium, eum neci dedidit Deus; vt filij adulterorum non essent vitales. Post istum vero progenitos non sustulit, eo quod hanc, post Vriæ cædem, vxorem domum duxisset. Ex æquo autem & bono, honorem benigne habens pœnitentiæ, in eis qui ex Vriæ antea coniuge procreati fuere, Dauidi genus constituit Deus; & CHRISTVM ex ea, ob eandem hanc causam, deduci fecit.

QVÆSTIO LXXIX.

Si regum Israelis & Iudæ omnium flagrantissimum circa veram religionem Iosias exhibuit zelum, qui simulacrorû statuas contriuit, & cum idolorum aris Græcorum ossa combusta in cinerem redegit, & lucos erroris ac seductionis prorsus excidit, & eos qui in locis excelsis thymiamata & victimas offerebant, sacris eiuscemodi supersedere coegit, & diuinû exaltauit cultum, & vt populus statas legis ferias, re diuina facienda, splendide perageret, prout Scriptura testatur, curauit: & ferro quidem ipse hostili infidelium, per mortem violentam, vitam amisit; filij vero eius captiui, Babylonem sunt abducti, & in seruitutem diuturnam a vera religione alienorum hominum traditi: quomodo

καὶ νοητικήν· καὶ συνοητικὴν μὲν λεγομένην, καθ' ἣν καταλαμβάνουσιν αὑτάς τε καὶ ἀλλήλας· νοητικὴν δέ, καθ' ἣν δέχονται τὴν γνῶσιν τοῦ ὑπὲρ αὐτάς. οὐ συνεργίᾳ οὖν τοῦ σώματος αἱ ψυχαὶ τῶν αἰσθητῶν λαμβάνουσι τὴν αἴσθησιν, ἀλλὰ αὐτὴ ἡ ψυχὴ αἴσθησιν παρέχουσα τῇ αὐτῆς παρουσίᾳ, αἰσθητικὸν τὸ ζῶον ποιεῖ· καὶ ὡς μὲν πρὸς τὸ ζῶον ἐστὶν αἰσθητικόν, ὡς δὲ πρὸς ἑαυτὴν ἐστὶν αἰσθητική· καὶ οὐδέποτε γίνεται νεκρὰ ἡ ψυχή. νέκρωσις τοῦ ἐμψύχου γὰρ ὑπάρχει, καὶ οὐ τῆς ψυχῆς. συνεργίας οὖν δεῖται τοῦ σώματος πρὸς τὴν κατάληψιν τῶν αἰσθητῶν τὸ ἔμψυχον καὶ ἡ ἐμψυχία, οὐχὶ ἡ ψυχή. ἄλλο γὰρ τὸ ἔμψυχον, καὶ ἄλλο ἡ ψυχή, καὶ ἄλλο τὸ κατὰ μετουσίαν, καὶ ἄλλο τὸ κατ' οὐσίαν.

Ἐρώτησις οη'.

Εἰ κατὰ τὴν ἑαυτοῦ καρδίαν εἶναι τὸν Δαβὶδ ὁ Θεὸς ἀπεφήνατο, πῶς μετὰ ταῦτα μοιχείαν καὶ φόνον ὁ αὐτὸς προφήτης εἰργάσατο; καὶ εἰ ταῦτα ὑπὸ Θεοῦ ὡς φαῦλα μεμίσηνται, διὰ τί ἐκ τῆς μοιχαλίδος τὸ γένος ὁ Θεὸς τοῦ προφήτου συνέστησε, καὶ τὸν δεσπότην Χριστὸν ἐξ αὐτῆς γενεαλογεῖσθαι ἐποίησε; τούτου δὲ ἔχοντος οὕτως, πῶς ἡ γραφὴ ἀληθεύει λέγουσα, ὅτι Τέκνα μοιχῶν ἀτέλεστα.

Ἀπόκρισις.

Καὶ γὰρ ὁ διὰ μετανοίας τὰ οἰκεῖα σφάλματα διορθωσάμενος Δαβίδ, καὶ κατὰ τοῦτο εὑρέθη ὡς καρδία Θεοῦ, τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καὶ ὃν μὲν μοιχικῶς ἐγέννησεν ἐκ τῆς τοῦ Οὐρίου, τοῦτον ἐθανάτωσεν ὁ Θεός, διὰ τὸ εἶναι τέκνα μοιχῶν ἀτέλεστα. τοὺς δὲ μετὰ τοῦτον γεννηθέντας οὐκ ἐθανάτωσε, διὰ τὸ λαβεῖν αὐτὸν ταύτην μετὰ τὴν ἀναίρεσιν τοῦ Οὐρίου εἰς γυναῖκα ἐπιεικῶς. τιμῶν δὲ τὴν μετάνοιαν ὁ Θεός, ἐν τοῖς ἐκ τῆς τοῦ Οὐρίου γεννηθεῖσι, συνεστήσατο τοῦ Δαβὶδ τὸ γένος ὁ Θεός, καὶ τὸν Χριστὸν διὰ τὴν αὐτὴν αἰτίαν ἐξ αὐτῆς κατάγεσθαι ἐποίησεν.

Ἐρώτησις οθ'.

Εἰ πάντων τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα τὸν περὶ εὐσέβειαν ζῆλον ὁ Ἰωσίας θερμότατον ἐπιδειξάμενος, τὰς στήλας τῶν εἰδώλων συντρίψας, καὶ σὺν τοῖς εἰδωλικοῖς θυσιαστηρίοις τῶν Ἑλλήνων τὰ ὀστέα τεφρώσας, καὶ τὰ ἄλση τῆς πλάνης ἄρδην ἐκκόψας, καὶ τοὺς ἐν τοῖς ὑψηλοῖς θυμιῶντας καὶ θύοντας, τοῦ ταῦτα ἐκτελεῖν ἀποστήσας, καὶ τὴν θείαν ἀνυψώσας λατρείαν, καὶ λαμπρῶς τὰς τοῦ νόμου ἑορτὰς, ὡς μαρτυρεῖ ἡ γραφή, τὸν λαὸν ἐπιτελέσαι ποιήσας· καὶ ξίφει μὲν Ἑλληνικῷ τὴν ζωὴν ἐκεῖνος βιαίως ἀπῆλθε, οἱ δὲ τούτου παῖδες αἰχμάλωτοι εἰς Βαβυλῶνα ἀπήχθησαν, καὶ πρὸς δουλείαν ἐξεδόθησαν πολυχρόνιον Ἕλλησι· 266

πῶς ἐπὶ τούτοις οὐκ ἂν εἴποιεν ἀληθεύοντες Ἕλληνες, ὅτι ἀνθ' ὧν εἰς τὰ σεβάσματα αὐτῶν ἐπλημμέλησεν, ἡ οὕτως αὐτῷ πικρὰ συνήντησεν ἔκβασις; πῶς δὲ καὶ εὑρήσομεν αὐτὸν ἀμοιβὰς τοσούτων κατορθωμάτων δεξάμενον; καὶ πρὸς ποῖον τῶν ἐπιόντων ὄφελος αἱ μετὰ τοσούτων κατορθωμάτων μέγεθος τοῖς [illegible] τῷ Ἰωσίᾳ συναντήσασαι συμφοραὶ γραφῇ παρεδόθησαν;

Ἀπόκρισις.

Ὁ καιρὸς τῆς ἀμοιβῆς τῶν ἐν εὐσεβείᾳ μετ' ἀρετῆς κατορθωσάντων, οὐχ ὁ παρών ἐστιν, ἀλλ' ὁ μέλλων, καθ' ὃν αἱ ἀμοιβαὶ ἀναφαίρετοι εἰσαεὶ προσμένουσι τοῖς ἐκδεχομένοις αὐτάς· ὀδυνηρὸν δὲ τέλος ἐδέξατο τῆς ζωῆς Ἰωσίας, διὰ τὸ παρακοῦσαι αὐτὸν τοῦ προστάγματος Ἱερεμίου εἰρηκότος αὐτῷ ἐκ προστάγματος Θεοῦ, μὴ ἐξελθεῖν εἰς συνάντησιν τοῦ βασιλέως Αἰγύπτου εἰς πόλεμον, καθώς φησιν ὁ Ἱερεμίας. ἵνα οὖν καθαρὸν αὐτὸν ἁμαρτημάτων παραλάβῃ ἐκ τοῦ βίου ὁ δεσπότης Θεός, διὰ τοῦτο συνεχώρησεν Ἑλληνικῷ ξίφει δίκας δοῦναι τῆς παρακοῆς, πρὸς τὴν διδασκαλίαν τῶν ἑξῆς ἀνθρώπων, τοῦ τε μὴ ἀπειθεῖν τοῖς προφήταις, καὶ τοῦ, Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς καὶ ἀσεβὴς ποῦ φανεῖται; οἱ δὲ υἱοὶ τοῦ Ἰωσίου, εἰ μεινάντων αὐτῶν ἐν τῇ εὐσεβείᾳ τοῦ πατρὸς αὐτῶν, αἰχμάλωτοι ἐγένοντο, εἶχεν ἂν χώραν ὁ τῶν Ἑλλήνων λόγος, ὅτι ἀνθ' ὧν ἐπλημμέλησεν ὁ Ἰωσίας εἰς τὰ τῶν εἰδώλων σεβάσματα, οἱ υἱοὶ αὐτοῦ αἰχμάλωτοι ἐγένοντο· εἰ δὲ ἀποστήσαντες μὲν τῆς εὐσεβείας τοῦ πατρὸς αὐτῶν, ἀνέλαβον δὲ τὴν τῶν εἰδώλων λατρείαν, καὶ εἰδωλολατροῦντες ᾐχμαλωτίσθησαν, προδήλως ψευδὴς ὁ λόγος τῶν Ἑλλήνων.

Ἐρώτησις π΄.

Εἰ μακροθυμεῖν ἡμᾶς πρὸς πάντας ἡ γραφὴ διδάσκει, πῶς οὐκ ἔπταισεν Ἐλισσαῖος θανατώσας διὰ θηρῶν τοὺς ὑβρίσαντας αὐτὸν παῖδας, καὶ μάλιστα βρέφεσιν ἀπειροκάκοις μνησικακήσας, καὶ τὸν διὰ τῶν θηρίων αὐτοῖς ἀντὶ ψιλῆς τῆς εἰς αὐτὸν ὕβρεως ἐπήγαγε θάνατον;

Ἀπόκρισις.

Ὅτε διὰ τῆς μακροθυμίας τῶν ὑβριζομένων οὐ γίνεται ἡ διόρθωσις, τότε ἡ ἀποτομία τῆς μακροθυμίας τοῖς ἀδιορθώτοις μάλιστά ἐστι χρησιμωτέρα. οὐ χρὴ οὖν διαβάλλειν τὸν προφήτην ἐπὶ τῇ ἀποτομίᾳ· εὑρηκὼς γὰρ τὴν μακροθυμίαν μὴ παρέχουσαν τοῖς ἁμαρτάνουσι τῆς ἁμαρτίας τὴν αἴσθησιν, καὶ ἐπειδὴ τὰς φωνὰς ταύτας ἃς ἀτιμάζοντες τὸν προφήτην ἔλεγον οἱ παῖδες παρὰ τῶν γονέων αὐτῶν ἐδιδάχθησαν ἀεὶ πρὸς τοὺς προφήτας ἀπεχθῶς ἐσχηκότων· (τὸ γάρ, Ἀνάβαινε φαλακρέ· πρὸς διασυρμὸν ἔλεγον τῆς τοῦ Ἠλία ἀναλήψεως, ὡσανεὶ τοῦτο λέγοντες, Λαμβανέτω καὶ σὲ πνεῦμα, καὶ ῥιψάτω σε εἰς ὄρος ἄβατον, ὡς κἀκεῖνον ἔρριψεν, ἵν' ἀπαλλαγῶμεν καὶ σοῦ, ὡς κἀκείνου

quomodo nõ illi ipsi irreligiosi homines, veros se esse dicant, eo res eius in tam acerbum euasisse exitum, quod in sacra illorũ deliquerit? Vbi vero ipsum reperiemus, tot recte factorum mercedem dignam retulisse? & ad cuiusmodi posteritatis vtilitatem, vna cum tot & tantis pie gestis rebus, calamitates quæ Iosiæ & liberis eius acciderunt, in litteras sunt relatæ?

RESPONSIO.

Compensationi eorum qui in vera pietate per virtutem recte egerunt, non præsens sed futurum statutum est tempus: quo tempore præmia eis qui illa receperint, certa perpetuaque manebunt. Cæterum luctuosum vitæ finem propterea Iosias retulit, quod iussioni Hieremiæ non paruerit; qui ei ex mandato Dei dixerat, vt ne progrederetur ad obuiandum regi Ægypti in bellum, sicut ait Hieremias. Quapropter vt eum purum a peccatis ex hac vita reciperet Dominus Deus, ideo permisit illum inobœdientiæ eius, ferro Ægyptio pœnas exsoluere; ad posterorum hominum documentum, vt Prophetis immorigeri non essent, tum autem vt illud discerent; *Si iustus vix saluatur, impius & peccator vbi comparebit?* Liberi porro Iosiæ, si perseuerantes ipsi in religione vera patris sui, captiui abducti fuissent, haberent Græcorum verba locum aliquem, propterea quod Iosias in simulacrorum cultum commisisset, filios eius in seruitutem captiuos peruenisse. Sin illi a religione paterna defecerunt, & sacra idolorum coluerunt, atque in ipso idolorum cultu capti ab hostibus sunt: manifeste infidelium Græcorum verba falsa sunt.

QVÆSTIO LXXX.

Si nos Scriptura docet, vt in omnes lenes simus & mansueti: quomodo non lapsus est Elisæus, qui per maledictionem neci pueros in se contumeliosos obiecerit; quique iniuriam in ea ætate vltus sit, quæ propter ruditatem, officii rationem nõ teneat, qui denique per feras, propter tenuem verborum iniuriam & contumeliam, mortem eis intulerit?

RESPONSIO.

Quando per lõganimitatem illorũ qui contumelia sunt expetiti, resipiscẽtia eorũ qui illa sunt vsi, errato corrigendo, non subsequitur: tunc mansuetudine seueritas hominibus longe est cõmodior. Itaq; seueritatis nomine, propheta carpendus nõ est. nã quod cõpertũ haberet, lenitatẽ peccãtibus sensum peccati allaturã nõ esse: & quod voces ipsas pueri, quas ad sancti vatis dehonestamentũ protulerant, a parẽtibus suis edocti essent, hostilem semper in prophetas animũ obtinentibus: (illud enim, *Ascende calue*: proscindendæ per detractionem Eliæ assumptionis gratia proferebant, perinde atq; dicerent: Abripiat te quoque spiritus & in iuga mõtium inuia & inaccessa abiiciat; quemadmodũ illũ abiecit: vt itidẽ a te liberemur, sicut ab illo

liberati sumus) non abs re puerorum clade parentes flagellauit: vt discerent prophetas, ac per hos Deum, probro & contumelia non afficere.

QVÆSTIO LXXXI.

Si error & seductio omnis, CHRISTI aduentu est abrogata: quomodo per eos qui Ventriloqui & Diuini dicũtur, dæmones loquuntur? Quomodo autem non, vilem atque despicatum Christianismum efficiunt, quando in Christianorum corporibus imposturę exhibent opera, & vaticiniorum proferunt responsa?

SOLVTIO.

Si iuxta id quod dictum est, nondum illi subiecta sunt omnia, donec abroget principatum & potestatem omnem: perspicuum fuerit, nondum omnem abrogatam esse dæmonum imposturam. Sed enim in eis qui in CHRISTVM credunt, omnis est abolita dæmonum seductio. Qui vero adhuc in CHRISTVM non credunt, in eis ipsis dæmones operantur errorem. Spectra porro quibus diuinantes vtuntur, ad proferenda & præstanda diuinationũ verba & opera, non sunt vera corpora, sed præstigiis imaginum, dęmones oculis spectantium fucum faciunt, vt corpora cernant quæ corpora non sint.

QVÆSTIO LXXXII.

Si nullibi locorum Scriptura hominibus dæmonum indicauit nomina: quomodo Iudæi de Domino nomen Beelzebub, tamquam notum protulerunt, in eo ipsum dęmones exigere dicentes? tum autem, quomodo ipse Dominus discipulis quasi intelligentibus, dæmonis appellationem edidit? *Si ipsum patremfamilias vocauerunt Beelzebub*, [& cetera] & quæ est nominis eius expositio?

RESPONSIO.

Quemadmodum dęmones esse, ab ipsis dæmonibus didicerunt homines: ita & nomina eorum ab illis sunt edocti. Primũ namque homines sacrificarunt dæmonibus, & postea Scriptura retulit illud; *Immolarunt dæmoniis, & non Deo.* Et sicut Scripturam nihil de dæmonibus dixisse apparet, & nihilominus tamen, *Immolauerunt*, inquit, *dæmoniis, & non Deo*: sic & de nominibus eorum cum nihil dixerit, appellationes tamen dæmonum exprimit, Beelzebub & Belial: *Quæ*, inquit, *concordia est* CHRISTO *cum Belial?* Quibus enim vocabulis incantatores vsi sunt in propositis sibi operibus, ea ab illis homines ipsos necesse est didicisse. Nam secundum culturæ modum, nominum eorum vocabula quoque edere instituerunt. Ab Origene vero appellationum istarum significatio, in Ebraicorum nominum interpretatione exposita est.

ἀπηλλάγημεν) διὰ τοῦτο τῇ ἀναιρέσει τῶν παίδων ἐμαστίγωσε τοὺς γονεῖς, ἵνα μάθωσι μὴ ἀτιμάζειν τοὺς προφήτας, καὶ δι' αὐτῶν τὸν Θεόν.

Ερώτησις πα'.

Εἰ πᾶσα πλάνη τῇ Χριστοῦ παρουσίᾳ κατήργηται, πῶς διὰ τῶν καλουμένων ἐγγαστριμύθων οἱ δαίμονες φθέγγονται; πῶς δὲ οὐκ εὐτελῆ καὶ καταφρονήσεως ἄξιον τὸν Χριστιανισμὸν παριστῶσιν, ὅταν ἐν σώμασι Χριστιανῶν τὰ μὲν τῆς ἀπάτης ἐπιδείκνυνται ἔργα, τὰ δὲ τῆς μαντείας ἀποφθέγγονται λόγια;

Απόκρισις. 267

Εἰ κατὰ τὸ εἰρημένον οὐδέπω τὰ πάντα αὐτῷ ὑποτεταγμένα εἰσὶν, ἄχρις ἂν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, ὡς εἶναι δῆλον ὅτι οὔπω κατήργηται πᾶσα τῶν δαιμόνων ἡ πλάνη· ἀλλ' οἷς μὲν ὁ Χριστὸς πεπίστευται, ἐν τούτοις πᾶσα τῶν δαιμόνων ἡ πλάνη κατήργηται· οἷς δὲ ὁ Χριστὸς ἔτι ἀπιστεῖται, ἐν αὐτοῖς ἐνεργοῦσιν οἱ δαίμονες τὴν πλάνην. καὶ τὰ φαντάσματα οἷς οἱ ἐγγαστρίμυθοι κέχρηνται πρὸς τὸ λαλεῖν καὶ πράττειν τὰ τῆς μαντείας λόγια καὶ ἔργα, οὐκ ἔστιν ἀληθινὰ σώματα, ἀλλὰ φαντάζουσιν οἱ δαίμονες τὰς ὄψεις τῶν ὁρώντων, ὡς σώματα ὁρᾶν τὰ μὴ σώματα.

Ερώτησις πβ'.

Εἰ οὐδαμοῦ ὀνόματα δαιμόνων ἡ γραφὴ τοῖς ἀνθρώποις ἔδειξε, πῶς οἱ Ἰουδαῖοι ἐπὶ τοῦ Κυρίου τὸ τοῦ Βεελζεβοὺλ, ὡς ἐγνωσμένον ὠνόμαζον ὄνομα, ἐν τούτῳ φάσκοντες αὐτὸν τοὺς δαίμονας ἐκβάλλειν; πῶς δὲ καὶ αὐτὸς ὁ δεσπότης ὡς γινώσκουσι τοῖς μαθηταῖς τὴν τοῦ δαίμονος κλῆσιν, ἔλεγεν, Εἰ τὸν οἰκοδεσπότην "Βεελζεβοὺλ ἐκάλεσαν:- τίς δὲ ἡ ἑρμηνεία τοῦ τοιούτου "ὀνόματος;

Απόκρισις.

Ὥσπερ τὸ εἶναι δαίμονας ὑπ' αὐτῶν τῶν δαιμόνων ἐμάνθανον οἱ ἄνθρωποι, οὕτως καὶ τὰς ὀνομασίας αὐτῶν παρ' αὐτῶν ἐδιδάχθησαν. πρῶτον γὰρ ἔθυσαν οἱ ἄνθρωποι τοῖς δαίμοσι, καὶ ὕστερον εἶπεν ἡ θεία γραφὴ τὸ, Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ:- καὶ "καθάπερ περὶ τοῦ εἶναι τοὺς δαίμονας οὐδὲν φαίνεται ἡ γραφὴ εἰρηκυῖα, ὅμως δὲ λέγει, Ἔθυσαν τοῖς δαιμο- "νίοις, καὶ οὐ Θεῷ:- οὕτως καὶ περὶ τῆς ὀνομασίας αὐτῶν "μηδὲν εἰρηκυῖα, λέγει τὰ ὀνόματα τῶν δαιμόνων, τοῦ τε Βεελζεβοὺλ, καὶ τοῦ Βελίαρ. Ποία, φησὶ, συμφώνησις "Χριστῷ πρὸς Βελίαρ;- οἷς γὰρ ἐκέχρηντο οἱ ἐπαοιδοὶ "ὀνόμασι πρὸς τὰ προκείμενα αὐτοῖς ἔργα, ταῦτα ἀναγκαίως παρ' αὐτῶν ἐμάνθανον. κατὰ γὰρ τὸν τρόπον τῆς θεραπείας, οὕτως καὶ τὴν προσηγορίαν τῆς κλήσεως αὐτῶν ὠνόμαζον. εἴρηται δὲ τῷ Ὠριγένει τούτων τῶν ὀνομάτων ἡ ἑρμηνεία ἐν τῇ ἑρμηνείᾳ τῶν Ἑβραϊκῶν ὀνομάτων.

Ερώτησις πγ'.

Εἰ ταῖς τῶν ἀλόγων θυσίαις τὸ θεῖον οὐχ ἥδετο καθὼς τινες ἔφασαν, καὶ ἡ νῦν δὲ διδάσκει κατάστασις, διὰ τί πρὸ [τοῦ] νόμου τῷ Νῶε τὸ θύειν προσέταττε,

QVÆSTIO LXXXIII.

Si diuinitas victimis irrationalium non delectata est, quemadmodum quidam dixerunt, & præsentium rerum docet status: quæ causa est, cur ante latam legem ipsi Noæ, vt victimas sacrificaret, mandauit; præser-

καὶ μάλιστα ὅτι εἰδωλικαὶ θυσίαι οὐδέπω ἐγίνοντο; εἰ δὲ ἥδετο ταύταις, διὰ τί μετὰ τὸν νόμον ἡ τούτων χρῆσις ἐπαύσατο;

Ἀπόκρισις.

Οὐδεὶς τῶν θυσάντων τὰς ἀλόγους θυσίας τῷ Θεῷ πρὸ τοῦ νόμου κατὰ τὴν θείαν διάταξιν ἔθυσε, κἂν φαίνεται ὁ Θεὸς ταύτην προσδεξάμενος, τῇ ταύτης ἀποδοχῇ δεικνύων τὸν θύσαντα ἀρεστὸν αὐτῷ. ἃ δὲ προσέταξε τῷ Ἀβραὰμ λαβεῖν ζῶα τριετίζοντα, ὡσαύτως δὲ καὶ κριὸν ὃν ὑπὲρ τοῦ Ἰσαὰκ προσήνεγκε θῦσαι, οὐχ ὡς τῆς τούτου θυσίας ἡδόμενος, ἀλλὰ χρείας ἕνεκα προμηνυτικῆς τῶν ἐσομένων. τῷ δὲ Νῶε οὐδαμοῦ φαίνεται ὁ Θεὸς προστάξας προσαγαγεῖν αὐτῷ τὴν τῶν ἀλόγων θυσίαν.

Ἐρώτησις πδʹ.

Εἰ τὴν ἀνάγκην ἣν ἔχει ἐκεῖνα τὰ μαθήματα ὧν εἰ μὴ προηγεῖται τῶν ἡσσόνων ἡ μάθησις, τὰ ἀμείνω κωλύεται, ταύτην εἶχε τὰ ἡμέτερα μαθήματα, καὶ ἀνακολούθως μαθεῖν τὰ ἡμέτερα μαθήματα. ἀλλ' ἐπειδὴ δυνατὸν τὰ ἡμέτερα μαθήματα καὶ ἀνακολούθως μαθεῖν, δῆλον ὅτι ἀπήλλακται τὰ ἡμέτερα μαθήματα ἐκείνης τῆς ἀνάγκης. τὸ ἀνάγκης δὲ ἀπηλλαγμένον, ὡς ἂν γίνηται, ἀδιάβλητόν ἐστιν ἐπὶ τῇ ἀνακολουθίᾳ. καὶ ταῦτα μὲν ὡς πρὸς τὴν λύσιν τοῦ ἐν τῇ ἐρωτήσει σοφίσματος· πρὸς αὐτὴν δὲ τὴν ἐρώτησιν οὕτως ἀποκρινόμεθα, ὅτι οὐδὲ ἡμεῖς ἀνακολούθως διδασκόμεθα· ἀλλ' ὡς ἐμάνθανον οἱ ἀπόστολοι, πρῶτον μὲν τὰ τοῦ νόμου, ὕστερον δὲ τὰ εὐαγγέλια, οὕτως καὶ ἡμᾶς ἐδίδαξαν. μαρτυροῦσι δὲ τούτῳ αἱ αὐτῶν φωναί, ἐν

cum Iephthe pietatis erga Deum suæ obseruationem, filia sua pro hostia mactanda declarauerit: nō immerito memoria eius, in iustorum nomenclaturam est inserta.

QVÆSTIO C.

Si Deus ad astruendum, verum esse Orthodoxorum cultum, miraculorum edendorum gratiam Ecclesiis eorum ab initio donauit: quid ita, cum hæretici, qui ibi Deum coluere, ab orthodoxis deficerent, non etiam vna diuina defecerunt dona; sed erroneus quidem cultus in Ecclesias irrupit: quæ autem ad incrementum Orthodoxiæ a Deo concessa sunt munera, sub hæreticis eandem in Ecclesiis vim habuere, & efficaciam?

RESPONSIO.

Si quidem per hęreticos viuos vel mortuos, diuina benignitas gratiæ donationes exhibuisset, haberet ea res rationabilem dubitandi & quærendi causam. Sin qui in Ecclesiis miracula edunt, sancti sunt Apostoli, Prophetæ & Martyres: ipsorum scilicet diuinis operibus testimoniū mundo perhibet Deus, eorum esse Ecclesias, per quos mira efficiuntur; hoc est Orthodoxorum. [Præter rationem igitur hæc est concepta quæstio.]

QVÆSTIO CI.

Si meditando ratione præditus quisq; cognitionem assequitur: & cognitionis lex est, vt post minora tradantur maiora: quod sane apud Judæos obtinens magis liquet, qui Legis prius, deinceps autem Euangelii percipiunt disciplinas: quomodo igitur non eandem rationem nos quoque in discēdo sequimur, qui maiora prius quam minora docemur? Dico autem ea quæ Legis sunt, minora: quæ Euangelii, maiora. Cum enim vna sit eorum & nostra natura, vnam quoq; conueniebat esse doctrinæ rationem: præsertim cum in disciplinis, nisi quæ inferiora sunt, præcesserint, præstantiora præpediantur.

RESPONSIO.

Si necessitas quæ in illis est disciplinis, vt nisi præcedat minorum doctrina, meliora inhibeantur, in nostris etiam obtineret studiis: non consequenti ratione nostra constaret institutio. Sed cum fieri possit vt citra rationem talem, nostræ percipiantur doctrinæ: liquidum fuerit, liberas esse ab huiusmodi necessitate disciplinas nostras. Porro id quod a necessitate liberatum sit, de inconuenienti ratione reprehendi nequit. Atque hæc dicta sint, soluendi quod in quæstione positum est, sophismatis siue fallacis conclusionis gratia. Ad quæstionem vero ipsam, hoc sic respondemus: Nos quoque non inconsequenti ratione erudiri; sed sicut Apostoli ipsi addidicerant primum ea quæ Legis sunt, post illa autem, Euangelia; ita & nos illi docuerunt. Testantur hoc illorum dicta,

quib. Euangelium denunciauerunt. Nam vbiq; ex Lege CHRISTUM prædicarunt: ex primis posteriora, ex minoribus maiora. Illud enim; *Prophetam suscitabit vobis Dominus Deus vester, ex fratribus vestris, mei similem*: & illud; *Dixit Dominus Domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum*: &c. *Quoniam nō dereliquisti animam meam in inferno, neq; vidit caro mea corruptionem*: voces sunt Legis, CHRISTUM præconio suo annunciantes. quibus etiam vsus Apostolus, Iudæis Euangelium prædicauit. Et quantum quidem ad disciplinam pertinet, Euangelium nihil a Lege differt: quantum vero ad promissionem & præstationem spectat, multum hoc illi interest. Quid enim est Lex? Euangelium prænunciatum. Quid Euangelium? Lex completa.

QVÆSTIO CII.

Si rerum opifex, in corporis nostri opificio nihil fecit quod vel superesset vel deesset: cur perinde atque superesset, præputii partem Iudæi resecuerunt? Quæ vero inde est vtilitas, quod non in alia corporis parte, sed in genitali mēbro, circumcisionē, qui ante aduentū Domini CHRISTI fuere, receperint? Quā ob causam etiam, cum illi eam tamquam vtilem vsurparint, nos itidem eiusmodi chirurgia & sectione non vtimur?

RESPONSIO.

Quandoquidem propter suum ipsius & liberę coniugis senium, de prole ex libera suscipienda [Abraam] desperauerat, & promissionē ex ea prolificandi a Deo [receperat:] & quia Deo fidem habuerat, se aliena a generando ætate, ex decrepita & sterili muliere filii sibi geniti patrem fore: [eam ob causam illi] eiusmodi signaculum fidei dedit, circumcisionē præputii membri eius: quod iam propter senium ad liberos procreandos nulli esset vsui, propter fidem autem ad gignendū vtile redditum esset. Circumcisionem vero istam, transmisit ad genus vniuersum quod ex eo productum est, qui præter spem pater esset factus: eaq; ad indelebilem constat memoriam, cum fidei Abraæ, tum potentiæ Dei, viuificantis mortuos, & vocantis ea quæ non sunt, tamquám sint. Circumcidimur autem & nos circumcisione Christi per baptismum, exuentes Adamum, per quem peccatores facti mortui eramus; & induentes CHRISTUM, per quem iustificati resurreximus a mortuis. *In quo*, ait Apostolus, *circumcisi estis circumcisione quæ fit sine manibus, dum exuistis corpus vestrum*.

QVÆSTIO CIII.

Si is cui mandatum aliquid est pro viribus facere, laudē vel vituperationē faciendo vel nō faciēdo reportat: perspicuū fuerit, qui ea q̄ supra vires eius sunt, nō fecerit,

αἷς κατήγγειλαν τὸ εὐαγγέλιον. πανταχοῦ γὰρ ἐκ τοῦ νόμου τὸν Χριστὸν κηρύξαντες, ἐκ τῶν πρώτων τὰ ὕστερα, καὶ ἐκ τῶν ἡττόνων τὰ μείζονα. τὸ γὰρ, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ἡμῶν κατ' ἐμέ:- καὶ τὸ, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου:- καὶ, Ὅτι οὐκ ἐγκατέλειψας τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ ἡ σάρξ μου εἶδε διαφθοράν:- φωναί εἰσι τοῦ νόμου προκαταγγέλλουσαι ἐν αὐταῖς τὸν Χριστόν· αἷς καὶ ὁ ἀπόστολος χρησάμενος, τοῖς Ἰουδαίοις τὸ εὐαγγέλιον ἐκήρυξε. καὶ ὡς μὲν πρὸς τὴν μάθησιν, οὐδὲν διέστηκε τὸ εὐαγγέλιον τοῦ νόμου· ὡς δὲ πρὸς τὴν ἐπαγγελίαν καὶ ἀπόδοσιν, διέστηκε. τί γάρ ἐστιν ὁ νόμος; εὐαγγέλιον προκαταγγελμένον. τί δὲ τὸ εὐαγγέλιον; νόμος πεπληρωμένος.

Ἐρώτησις ρβ'.

Εἰ περιττὸν καὶ λεῖπον ἐν τῇ τοῦ σώματος ἡμῶν κατασκευῇ ὁ δημιουργὸς οὐ πεποίηται, διὰ τί ὡς περιττὸν τὸ τῆς ἀκροβυστίας μέρος τῶν Ἰουδαίων ἀπέτεμνετο; εἰς τί δὲ χρήσιμον οὐκ ἐν ἑτέρῳ μέρει, ἀλλ' ἐν τῷ παιδοποιῷ μορίῳ, τὴν περιτομὴν οἱ πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας εἰλήφασι; διὰ τί δὲ ἐκείνων ὡς χρησίμην ταύτην λαβόντων, τῇ τοιαύτῃ χειρουργίᾳ ὁμοίως καὶ ἡμεῖς οὐ κεχρήμεθα; 27*

Ἀπόκρισις.

Ἐπειδὴ διὰ τὸ γῆρας αὐτοῦ τε καὶ τῆς ἐλευθέρας γαμετῆς ἐν ἀπογνώσει τοῦ παιδοποιεῖν ἐκ τῆς ἐλευθέρας καθεστηκμένου . . . .
ἐπαγγελίαν παιδοποιίας ἐδ . . . .
. . . τοῦ Θεοῦ, καὶ πιστεύσας Θεῷ παρὰ τὸν χρόνον τῆς ἡλικίας ἔσεσθαι πατὴρ τοῦ ἐκ τῆς γεγηρακυίας στείρας αὐτῷ γινομένου υἱοῦ, δι . . . .
. . . αὐτῷ ὁ Θεὸς σφραγίδα ταύτης . . .
. . . τὴν περιτομὴν τῆς ἀκροβυστίας μορίου τοῦ διὰ μὲν τὸ γῆρας πρὸς παιδοποιίαν ἀχρήστου γινομένου, διὰ δὲ τὴν πίστιν τοῦ Ἀβραὰμ εἰς παιδοποιίαν γεγονότος χρησίμου. παρέπεμψε δὲ ταύτην τὴν περιτομὴν εἰς ὅλον τὸ γένος τὸ ἐκ τοῦ παρ' ἐλπίδα πατρὸς γινομένου, ὑφεστηκυῖαν εἰς ἀνεξάλειπτον μνημόσυνον τῆς τε τοῦ Ἀβραὰμ πίστεως, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως, τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. περιτεμνόμεθα δὲ καὶ ἡμεῖς τῇ περιτομῇ τοῦ Χριστοῦ διὰ τοῦ βαπτίσματος, ἐκδυόμενοι τὸν Ἀδάμ, δι' ὃν ἁμαρτωλοὶ γεγονότες, τεθνήκαμεν· καὶ ἐνδυόμενοι τὸν Χριστόν, δι' ὃν δικαιωθέντες, ἀνιστάμεθα ἐκ τῶν νεκρῶν. Ἐν ᾧ, φησὶν ὁ ἀπόστολος, περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ τῇ ἀπεκδύσει τοῦ σώματος ὑμῶν.

Ἐρώτησις ργ'.

Εἰ ὁ προσταχθεὶς ποιῆσαι τὰ κατὰ δύναμιν, ἔπαινον ἢ μέμψιν ἐν τῷ ποιῆσαι ἢ μὴ ποιῆσαι κομίζεται, δῆλον ὅτι ὁ τὰ ὑπὲρ δύναμιν μὴ ποιήσας ἐπεί

quia

ἐστιν ἀδύνατα, ὑπάρχει εὔθυνος. πῶς οὖν ὁ . . . . ὑπὲρ δύναμιν ἐπιτάττων, τουτέστι τὸ μὴ ἁμαρτάνειν, τὸν ἁμαρτάνοντα ὑποβάλλει κολάσεσι, τοῦ ἀνθρώπου ἀδυνάτου ὄντος πρὸς τὴν τοῦ νόμου ἐκπλήρωσιν; μαρτυρεῖ δὲ τούτοις καὶ ὁ ἀπόστολος, Οὐ δικαιωθήσεται, λέγων, ἐξ ἔργων νόμου πᾶσα σάρξ:-

Ἀπόκρισις.

Τὸ παντὶ ἀνθρώπῳ ἀδύνατον, τοῦτο καὶ τινὶ ἀνθρώπων ὑπάρχει ἀδύνατον· οἷον τὸ πέτεσθαι ἐν τῷ ἀέρι ὡς ἀετός, τινὶ ἀνθρώπῳ ἀδύνατόν ἐστιν, ὅτι καὶ παντὶ ἀνθρώπῳ ἐστὶν ἀδύνατον· καὶ ἀνάπαλιν, τὸ τινὶ ἀνθρώπῳ δυνατόν, ὡς τὸ πλεῖν, καὶ παντὶ ἀνθρώπῳ δυνατὸν ὑπάρχει. ἀλλ' εἰ, καθώς φησιν ἡ θεία γραφή, τινὲς τῶν ὑπὸ τὸν νόμον, δικαιοσύνῃ γεγόνασιν ἄμεμπτοι, δῆλον ὅτι καὶ πᾶσι τοῖς ὑπὸ τὸν νόμον ὑπῆρχε δυνατὸν τῷ ὁμοίῳ τρόπῳ κατὰ τὴν ἐκ νόμου δικαιοσύνην γενέσθαι ἀμέμπτοις. λέγει γὰρ ὁ μὲν μακάριος Παῦλος ὁ ἀπόστολος περὶ ἑαυτοῦ, ὅτι κατὰ τὴν δικαιοσύνην τὴν ἐκ νόμου γενόμενος ἄμεμπτος:- ὁ δὲ μακάριος Λουκᾶς ὁ εὐαγγελιστὴς περὶ τοῦ Ζαχαρίου καὶ τῆς γυναικὸς αὐτοῦ Ἐλισαβέτ, ὅτι ἦσαν δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου, ἄμεμπτοι:- Τί δέ ἐστι πᾶσα ἡ κατὰ τὸν νόμον δικαιοσύνη; τὸ ἀγαπᾶν τὸν Θεὸν μὲν ὑπὲρ ἑαυτόν, τὸν πλησίον δὲ ὡς ἑαυτόν· ὅπερ οὐκ ἔστιν ἀδύνατον ἀνθρώποις βουληθεῖσι. τὸ οὖν, Ἐξ ἔργων νόμου μὴ δικαιωθῆναι πᾶσαν σάρκα:- οὐ διὰ τὸ μὴ δύνασθαι τὰ ἀδύνατα λέγει, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τὰ δυνατά. τῇ γὰρ βουλήσει πρὸς τὰ δυνατὰ κεχρήμεθα, οὐ πρὸς τὰ ἀδύνατα. τοῖς γὰρ δυνατοῖς καὶ ἐφ' ἡμῖν οὖσιν, ὁ ἔπαι-
178 νος ἢ ὁ ψόγος γίνεται πραχθεῖσιν ἢ μὴ πραχθεῖσι. τοῦ δέ, διὰ τὸ μὴ αἱρεῖσθαι, καὶ οὐ διὰ τὸ μὴ δύνασθαι, ἁμαρτάνομεν ἄνθρωποι, ἔστι τοῦτο σημεῖον, τὸ μὴ πάντας ἀνθρώπους πᾶσι τοῖς τῆς ἁμαρτίας εἴδεσιν ἐμπεσεῖν, ἀλλὰ τινὰς μὲν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας ἐμπεσεῖν, τινὰς δὲ ἐκείνῳ· καὶ τινὰς μὲν πλείοσι, τινὰς δὲ ἐλάττοσι, τινὰς δὲ οὐδενί, κατὰ τοὺς προειρημένους δικαίους. ὅπερ οὐκ ἂν συνέβη ἀνθρώποις, τὸ τινὶ μὲν εἴδει τῆς ἁμαρτίας ἁμαρτάνειν, τινὶ δὲ οὐδέποτε ἁμαρτάνειν, εἰ ἀδυναμίᾳ φύσεως καὶ οὐκ ἀβουλίᾳ προαιρέσεως ἡμάρτανον οἱ ἄνθρωποι.

Ἐρώτησις ρδ'.

Εἰ ἐπὶ τῶν ἐγκλημάτων χώραν μετανοίας τοῖς ἡμαρτηκόσιν ὁ νόμος οὐ δίδωσιν, ἀλλὰ κίνδυνον αὐτοῖς ἐπάγει ἀπαραίτητον, πῶς μοιχείαν καὶ φόνον ὁ προφήτης Δαβὶδ ἐργασάμενος, οὐ παρὰ τὸν νόμον συγγνώμης ἠξίωται; καὶ εἰ μὲν ἀγαθὸν ἡ συγγνώμη, διὰ τί τὸ ἀσύγγνωστον τῷ νόμῳ συνέζευκται; εἰ δὲ φαῦλον, ὅπερ οὐκ οἶμαι, πῶς ὁ τῶν ἀγαθῶν χορηγὸς τὸ φαῦλον τῷ προφήτῃ κεχάρισται;

quia impossibilia sint, ratione illum reddenda non teneri. Quomodo ergo Deus, quę supra vires sint imperans, hoc est vt ne peccemus, peccantem subiicit tormentis: cum homo Legem implere non possit? Testatur hoc & Apostolus: *Non iustificabitur*, inquiens, *ex operibus Legis, omnis caro.*

RESPONSIO.

Quod cuique homini impossibile est, id etiam cuidam homini est impossibile: veluti volatus in aere ad instar aquilæ, cuidam homini eo est impossibilis, quod & cuique homini sit impossibilis. & contra; Quod certo homini possibile est, vt nauigare, omni etiam homini est possibile. Enimuero si, quemadmodum dicit Scriptura, quidã eorum qui sub Lege vixerũt, per iusticiam fuere inculpati: videlicet omnibus quoq; sub Lege possibile fuit, vt pari modo per iusticiam Legis essent inculpati. Loquitur namq; beatus Paulus apostolus de seipso: *Iuxta iusticiam quæ est in Lege, factus irreprehensibilis.* Diuus autem Lucas euangelista, de Zacharia & coniuge eius Elizabeta: *Erant iusti ambo coram Deo, versantes in omnibus præceptis et iustificationibus Domini sine querella.* Quæ vero est vniuersa secundum Legem iusticia? Diligere Deum supra seipsum, & proximum vt seipsum. quod impossibile non est hominibus, voluntatem ad id adiungentibus. Quocirca illud, *Ex operibus Legis non iustificatum iri omnem carnem*: non propterea Apostolus dicit, quod præstare impossibilia non possimus, sed quod facere possibilia non velimus. Voluntate namque ad possibilia vtimur, non ad impossibilia. Nam operibus quæ possibilia sunt, & in potestate nostra sita, si vel fiant vel non fiant, aut laus debetur, aut vituperatio. Eo autem quod non velimus, non eo quod non possimus, omnes peccamus homines. Huius rei indiciũ est, quod non omnes homines omnibus peccati generibus implicantur; sed quidam in hæc, quidam in illa incidunt delicta. Et nonnulli pluribus, alii paucioribus; quidã nullis inuoluuntur, prout illi quos diximus iusti. Quod certe hominibus nõ contingeret, vt scilicet quadam peccati speciẽ peccarent, quadam vero numquam peccarent; si naturæ impotentia, & non auersa arbitrii voluntate, mortales peccarent.

QVÆSTIO CIIII.

Si in criminibus, Lex delinquentibus pœnitentiæ locum non concedit, sed periculum eis, quod vitari nequeat, inducit: quomodo adulterio & homicidio patrato, propheta Dauid non contra Legem veniam est consequutus? Ac, si quidem bonum est venia: quare Legi, vt veniam non concedat, coniunctum est? Sin malum, quod equidem non puto: quomodo bonorum præbitor, malum prophetæ est largitus?

RESPONSIO.

Si in criminibus Lex delinquenti, pœnitentiæ locū non concedit: quomodo in nonagesimaseptima quæstione, Lex est prælata gratiæ, tamquā ea quę promptior sit & humanior ad noxam peccantibus remittendā; quos quotidie baptismi lustrationibus, & victimis irrationaliū, in sacrificiis crimine absoluit? nunc aūt in proposita quęstione, ne gutta quidē Legi relicta est humanitatis; sed non ignoscendi ei seueritas coniuncta, quæ periculum delinquēti creet, quod vitari nequeat? Et hoc quidē ad hoc quod hac in re notabile est, & ad quæstionum inter se repugnantiam, sit dictum. Quęstioni vero sic respondebimus: Quamquam Lex seueritatem noxæ non remittendæ obtinet; Gratia tamen peccatori pœnitentiā cōcedit. Illud enim; *Manus vestra sanguine plena sunt: Sed lauamini, & mundi estote: &, si fuerint peccata vestra vt coccinum, tamquam niuem dealbabo*: & illud; *Nolo mortem peccatoris, sed potius vt conuertatur & viuat*: responsa sunt diuinæ gratiæ, peccatores vocantis ad indulgentiam & beneficium Legis; qui per pœnitentiam commissorum antea delictorum veniam consequuntur. Itaq; bona est venia, & diuinæ gratiæ donū. Et est illa neq; secundū legem, neq; aduersus legē: sed supra legem, & pro lege. Supra legem quidem, quoniam gratia: pro lege autem, quia per pœnitentiam peccatores adducit ad indulgentiam & beneficiū Legis, sicut & Dauidem.

QVÆSTIO CV.

Si hominibus cunctis, propter naturæ infirmitatem, precationis auxilium est necessarium: ea vero non adest Domino CHRISTO, vtpote Domino, amplam ad omnia obtinenti potestatem: cur CHRISTVM Apostolis frequentius orantem, ex diuinis discimus litteris?

RESPONSIO.

Quemadmodum Dominus esuriuit & sitiuit, & laborauit, & lacrymauit, & sudauit: quamuis enim nihil horum, propter exuberantem eius potentiam, tolerare potuerit; suapte tamen sponte ista quæ infirmitatis naturæ sunt, pertulit, vt specimē de se imbecillitatis humanæ præberet: ita & orauit eandem ob causam. Nam si, cum voluntate sua imbecillitates naturæ suæ sustinuerit, quidam dicere audent, non esse illum naturæ nostræ: quomodo id non allegarent multo magis cum demonstratione vberiore, si nequaquam preces suas expoluisset apud Deum & Patrem? Et quoniā de Apostolis nulla fuit, an homines essent, ambiguitas; de Seruatore aūt futuru erat vt hoc in dubium vocaretur: propterea crebrius eum quam Apostolos & reliquos homines orasse, diuinæ renunciant Scripturæ. Si etenim, cum superior infirmitatibus carnis per resurrectionem sit factus, vt pon-

Ἀπόκρισις.

Εἰ ἐπὶ τῶν ἐγκλημάτων χώραν μετανοίας τῷ ἡμαρτηκότι ὁ νόμος οὐ δίδωσι, πῶς ἐν τῇ ἐνενηκοστῇ ἑβδόμῃ ἐρωτήσει προτέτακται τῆς χάριτος ὁ νόμος, ὥστε τις ἑτοιμότερος καὶ φιλανθρωπότερος ἄφεσιν ἁμαρτημάτων τοῖς ἁμαρτάνουσιν, οὓς καθ' ἑκάστην ἡμέραν διὰ τοῦ βαπτίσματός τε καὶ τῆς τῶν ἀλόγων θυσίας, τῆς μέμψεως ἀπολύει· νυνὶ δὲ ἐν τῇ προκειμένῃ ἐρωτήσει ῥανὶς οὐχ ὑπολέλειπται τῷ νόμῳ φιλανθρωπίας, ἀλλὰ συνέζευκται αὐτῷ τὸ ἀσύγγνωστον, κίνδυνον ἐπάγειν τῷ ἡμαρτηκότι ἀπαραίτητον. καὶ πρὸς μὲν τὸ μὴ ἀνεπισήμαντον, καὶ τῶν ἐρωτήσεων τὴν ἐναντίωσιν, εἰρήσθω ταῦτα· πρὸς δὲ τὴν ἐρώτησιν ἀποκρινούμεθα, ὅτι εἰ καὶ ὁ νόμος τὸ ἀσύγγνωστον ἔχει, ἀλλὰ καὶ ἡ χάρις μετάνοιαν δέδωκε τῷ ἡμαρτηκότι. τὸ γάρ, "Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις· ἀλλὰ λούσασθε καὶ καθαροὶ γίνεσθε· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ τό, Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν·" φωναί εἰσι τῆς θείας χάριτος ἁμαρτωλοὺς καλοῦσαι εἰς συμπάθειαν τοῦ νόμου, διὰ μετανοίας εἰληφότας τῶν προημαρτημένων τὴν συγγνώμην. ἀγαθὴ μὲν οὖν ἐστιν ἡ συγγνώμη, καὶ τῆς θείας χάριτος δῶρον· οὐκ ἔστι δὲ οὐδὲ κατὰ τὸν νόμον, οὐδὲ κατὰ τοῦ νόμου, ἀλλ' ὑπὲρ τὸν νόμον, καὶ ὑπὲρ τοῦ νόμου· ὑπὲρ τὸν νόμον μέν, ὅτι χάρις· ὑπὲρ τοῦ νόμου δέ, ὅτι διὰ μετανοίας ἄγει τοὺς ἁμαρτωλοὺς εἰς συμπάθειαν τοῦ νόμου, καθάπερ καὶ τὸν Δαβίδ.

Ἐρώτησις ρέ.

Εἰ πᾶσι μὲν ἀνθρώποις διὰ τὸ ἀσθενὲς τῆς φύσεως ἀναγκαία ἡ διὰ τῆς εὐχῆς ὑπάρχει βοήθεια· ταύτης δὲ οὐ χρεία ἐστὶ τῷ δεσπότῃ Χριστῷ οἷα δεσπότῃ, καὶ ἀρκοῦσαν πρὸς πάντα κεκτημένῳ τὴν δύναμιν, διὰ τί τῶν ἀποστόλων συχνότερον ὑπὸ τῆς γραφῆς τὸν Χριστὸν μανθάνομεν προσευχόμενον;

Ἀπόκρισις.

Ὥσπερ πεινάσας ὁ Κύριος, καὶ διψήσας, καὶ κοπιάσας, δακρύσας τε καὶ ἱδρώσας, καίτοι δυνάμενος διὰ περιουσίας δυνάμεως μηδὲν τούτων ὑπομένειν, διὰ δὲ τὸ παρέχειν γνώρισμα τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως, ἑκουσίως ὑπέμεινε τὰ τῆς φύσεως ἀσθενῆ, οὕτως καὶ τὸ εὔξασθαι διὰ τὴν αὐτὴν αἰτίαν. εἰ γὰρ ἑκουσίως ὑπομεμενηκότος αὐτοῦ τὰ ἀσθενήματα τῆς ἑαυτοῦ φύσεως, τολμῶσί τινες λέγειν μὴ ὑπάρχειν αὐτὸν τῆς ἡμετέρας φύσεως, πῶς οὐκ 279
ἂν ἔλεγον αὐτὸ τοῦτο μετὰ τῆς περιουσίας τῆς ἀποδείξεως, εἰ συνέβη αὐτῷ μηδαμῶς αὐτὸν προσεύξασθαι τῷ Θεῷ καὶ πατρί; καὶ ἐπειδὴ περὶ τῶν ἀποστόλων οὐδεμία γέγονεν ἀμφιβολία εἰ ἄνθρωποι ἦσαν, περὶ δὲ τοῦ σωτῆρος ἔμελλε γίνεσθαι ἀμφιβολία, διὰ τοῦτο συχνότερον αὐτοῦ τοῖς λοιποῖς ἀνθρώποις καὶ τὸ προσεύξασθαι αὐτὸν κατήγγειλεν ἡ θεία γραφή. εἰ γὰρ τῶν τῆς σαρκὸς ἀσθενειῶν ἀνώτερος διὰ τῆς ἀναστάσεως γενόμενος,

ὡς ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, ἐντυγχάνει τῷ Θεῷ ὑπὲρ ἡμῶν, πῶς οὐχὶ μᾶλλον ἔτι ὑποκειμένου αὐτοῦ τῇ ἀσθενείᾳ τῆς σαρκὸς, ἐδεῖτο μεγάλης κραυγῆς καὶ ἰσχυρᾶς καὶ δακρύων μεθ' ὧν τὴν δέησιν προσέφερε τῷ δυναμένῳ ῥύσασθαι αὐτὸν ἐκ θανάτου;

Ερώτησις ρς'.

Εἰ πάντων τῶν ἀνθρώπων μίαν ἔχει ἡ σάρξ, καὶ μίαν ἡ ψυχὴ οὐσίαν, πῶς ὁ μὲν, ἀργὸς, ὁ δὲ, περὶ τὴν νόησίν ἐστιν ὀξύτερος; ἀλλ' εἰ μὲν ἡ ψυχὴ τῆς τοιαύτης ἐστὶ διαφορᾶς αἰτία, ἀνάγκη τῶν ψυχῶν ὑπονοεῖν τὴν οὐσίαν διάφορον κατὰ τὴν διαφορὰν τῆς νοήσεως· εἰ δὲ ἡ σάρξ, ὁ αὐτὸς καὶ περὶ αὐτῆς λόγος ἁρμόσειεν· εἰ δὲ ἔκ τινος χυμοῦ οἷον ξηροῦ ἢ ὑγροῦ, ἢ θερμοῦ ἢ ψυχροῦ πλεονασμοῦ ἢ ἐλλείψεως, τοῦ θατέρου τὸ ἕτερον ἐπικρατέστερον γίνεται, οἷον ἀφροσύνη ἢ φρόνησις, πόθεν, ἢ ὅπως γέγονε τῆς τοιαύτης ποιότητος ἡ ἐπικράτεια, ἡ παρασκευάσασα τὴν ἔννοιαν ἢ ἄνοιαν ἐν ἡμῖν πλεονάζειν;

Απόκρισις.

Τῆς τοῦ νοεῖν ὀξύτητος ἢ νωθρότητος αἰτίαν ἀποδεδώκασί τινες, τῶν τε στοιχείων ἐξ ὧν σύγκειται τὰ ἡμέτερα σώματα, τὴν εὐκρασίαν καὶ τὴν δυσκρασίαν, καὶ τῶν ὀργανικῶν μορίων τὴν συμμετρίαν, καὶ δοκοῦσιν ὀρθῶς ἀποδεδωκέναι τούτων τὰς αἰτίας. εἰσὶ γάρ τινες ἐν μὲν γε νεότητι γοργοί τινες καὶ ἐπιδεκτικοὶ ὀξεῖς νοημάτων τυγχάνοντες· ἐν δὲ τῷ γήρει εἰς τὸ ἐναντίον μεταβαλλόμενοι, γίνονται περὶ τὸ νοεῖν ἀργοί. ἔστι δὲ τοῦτο σημεῖον, τοῦ τὴν εὐκρασίαν τε καὶ δυσκρασίαν εἶναι αἰτίαν τῆς τοιαύτης μετοχῆς. ὡσαύτως δὲ καὶ οἱ λίαν μεγαλοκέφαλοι, λεγόμενοι βαρυκέφαλοι, διὰ τὸ μὴ σώζειν σύμμετρον ἀναλογίαν πρὸς τὰ ἄλλα μέρη τοῦ σώματος δι' ὑπερβολὴν μικρότητος ἢ μεγέθους, καὶ αὐτοὶ ἀνεπιτήδειοί εἰσι τοῦ δύνασθαι εἶναι γοργοὶ τι καὶ ἐπιδεκτικοὶ νοημάτων. γίνονται δὲ καὶ ἄλλοι πρὸς τὴν κατάληψιν τῶν τῇ φύσει συνεστώτων πραγμάτων, ὀξεῖς τε καὶ ἕτοιμοι, καὶ ἀπὸ τῆς θείας χάριτος, ὡς τό, Ὁ Κύριος ἔδωκε τῷ Σολομῶντι πλάτος καρδίας ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ ὡς τὸ, Οἷς δίδοται μὲν διὰ πνεύματος λόγος σοφίας, ἄλλοις δὲ λόγος γνώσεως.

Ερώτησις ρζ'.

Εἰ ὑπὸ τῶν ἀπίστων πρὸς ἀπάτην εὑρέθη τὰ ᾄσματα, τοῖς δὲ ἐν νόμῳ εἰσηνέχθη διὰ φρενῶν νηπιότητα, οἱ τῆς χάριτος τέλεια καὶ τῶν ῥηθέντων τρόπων ἀλλότρια παρειληφότες μαθήματα, διὰ τί ἐν ταῖς ἐκκλησίαις κατὰ τοὺς ἐν τῷ νόμῳ νηπίους τοῖς ᾄσμασι κεχρήμεθα;

Απόκρισις.

Οὐ τὸ ᾆσαι ἁπλῶς ἐστὶ τοῖς νηπίοις ἁρμόδιον, ἀλλὰ τὸ μετὰ τῶν ἀψύχων ὀργάνων ᾆσαι, καὶ μετὰ ὀρχήσεως καὶ κροτάλων· διὸ ἐν ταῖς ἐκκλησίαις

vt pontifex professionis nostræ, intercedit pro nobis apud Patrem: quomodo non multo magis, cum adhuc fragilitati carnis subiectus esset, valido opus habuit & vehementi clamore & lacrymis, cum quibus preces obtulit ei, qui ipsum a morte potuit seruare?

QVÆSTIO CVI.

Si hominum cunctorum vnam caro & vnam anima habet essentiam: quomodo hic quidem tardi, ille autem acuti est ingenii? Quod si animus eiusmodi differentiæ causa sit, necesse fuerit existimare, variam esse animorum essentiam, pro ingeniorum varietate: sin caro, eadem in eam quadrauerit ratio. Atenim si ex chymo (seu decocto succo) quopiam, veluti arido aut liquido, vel calido aut frigido exuberante vel deficiente, alterum altero est potentius, sicut insipientia aut prudentia: vndénam, & quomodo, eiusmodi quoddam inualuit discrimen, quod in nobis efficit vt ingenii exuberet vel acumen vel hebetudo?

RESPONSIO.

Ingenii acuminis vel tarditatis causam quidam conferunt in elementorum, ex quibus corpora nostra constant, temperiem & intemperiem, & aptam instrumentalium partium compositionem: recteque illi horum causam retulisse videntur. Et sunt nonnulli, qui in iuuentute quidem ad inueniendum atque intelligendum acres, disciplinarumque capaces; in senecta vero, in cõtrarium mutati, hebeti sunt ingenio. Quod indicio est, participationis & inæqualitatis eiuscemodi temperiem & intemperiem, causam esse. Consimiliter vero, qui nimium graui sunt capite, & grandicipites vocantur, propterea quod aptam conuenientemque aliis corporis partibus, propter paruitatẽ aut magnitudinem præcellentem, proportionem non seruant: minus quoque ipsi appositi sunt ad acute cogitandum, & mentis tenta percipiendum. Porro alii etiam, ad rerum, quæ natura consistunt cognitionem, prompti & acuti per diuinam fiunt gratiam; iuxta illud; *Concessit Dominus Salomoni latitudinem cordis, quasi arenam quæ est ad labrum (seu litus) maris*: & illud; *Quibusdam datur per Spiritum, sermo sapientiæ, aliis autem sermo scientiæ*.

QVÆSTIO CVII.

Si ab infidelibus, fallaciæ & seductionis gratia, reperta sunt carmina: eis vero qui in Lege fuere, inducta sunt, propter mentis insipientiam: nos, qui gratiæ perfectas, ab eis autem qui dicti sunt modis alienas accepimus disciplinas; quare in Ecclesiis, cantilenis, eorũ qui in Lege fuere insipientium more, vtimur?

RESPONSIO.

Simpliciter canere, insipientibus non conuenit; sed instrumentis inanimatis, & crotalis cum saltatione canere. Quocirca in Ecclesiis,

non vsus carminum per eius generis instrumenta, & alia insipientibus congruentia, receptus est; sed simplex cantio in eis manet. Excitat hæc enim cum voluptate quadam animum, ad flagrans eius quod carmine celebratur desiderium: affectiones & concupiscentias carnis sedat: cogitationes malas inimicorum, quos cernere non est, suggestione oborientes amolitur: mentem ad fructificationem diuinorum bonorum rigat: pietatis decertatores generosos & fortes per constantiam in rebus aduersis efficit: omnium rerum, quæ in vita tristes & luctuosæ accidunt, piis affert medicinam. *Gladium Spiritus* hoc Paulus appellat in armamentario; vbi contra inuisibiles aduersarios, milites veræ pietatis suis instruit armis. Verbum namque Dei est, & id quod animi cogitatione, quod carminis præludio, quod carmine ipso celebratur: ac dæmones fugat depellitque. [Et in rebus deniq; omnibus] quæ piis eueniunt, animus veræ pietatis virtutibus, per carmina ecclesiastica perficitur.

QVÆSTIO CVIII.

Si ignorantia quæ præter voluntatem prouenit, veniam secum affert, sicuti nos Scriptura docet: quomodo qui olim exstitere Iudæi, & CHRISTVM per ignorantiam supplicio crucis affecere, plurimis & intolerandis expetiti atque affecti sunt calamitatibus? quemadmodum in libris de captiuitate eorum docet Iosephus. Qui vero nunc in rebus humanis sunt CHRISTO suo immorigeri, patria quidem illi sua eiecti, & in terram omnem dissipati, gentibus autem in seruitutem fœdam traditi sunt: quemadmodum res ipsa, quanis columna, cui res acta sit insculpta, dilucidius declarat. Vtrorumque vero ignorantiam astruit, quandoque ipse Dominus, *Pater*, dicens; *remitte illis, quia nesciunt quid faciant*: quandoque autem Apostolus, cum inquit; *Nam si cognouissent, haudquaquam Dominum gloriæ crucifixissent.* Atque hæc quidem de vetustioribus. de præsentibus vero Iudæis: *Testimonium*, inquit, *illis perhibeo, quod studium Dei habent, sed non secundum scientiam.*

RESPONSIO.

Quando præter voluntatem proueniens ignoratio, ab ignorantibus reputatur pro notione: tunc euentus interpositus rei per ignorantiam gestæ, aut veram fuisse, aut erroneam imprudentemque notionem declarat. Cum autem quæ notio habita est, per euentum ignoratio fuisse demonstrata sit: si ignorans in ignoratione perseueret, nullam secum affert veniam, sed pœnam, quam effugere nequeas. Sed enim Iudæos CHRISTVM crucifixisse, perinde atque ipsum cognouissent Dei esse aduersarium, & eius rei [suffragatorem] habuerint in cæde sua Deum, cuiuis liquet. Non enim illum crucifixissent, si nouissent, Deum ipsum post mortem suam ex mortuis resuscitaturum fuisse.

περιαιρεῖται ἐκ τῶν ᾀσμάτων ἡ χρῆσις τῶν τοιούτων ὀργάνων, καὶ τῶν ἄλλων τῶν νηπίοις ὄντων ἁρμοδίων, καὶ ὑπολέλειπται τὸ ᾄσαι ἁπλῶς. ἡδύνει γὰρ τὴν ψυχὴν πρὸς ζέοντα πόθον τοῦ ἐν τοῖς ᾄσμασιν ᾀδομένου· κοιμίζει τὰ ἐκ τῆς σαρκὸς ἐπανιστάμενα πάθη· τοὺς ὑπὸ τῶν ἀοράτων ἐχθρῶν ἐμβαλλομένους 280 ἡμῖν λογισμοὺς πονηροὺς ἀπωθεῖται· ἀρδεύει τὴν ψυχὴν πρὸς καρποφορίαν θείων ἀγαθῶν· γενναίους πρὸς τὴν ἐν τοῖς δεινοῖς καρτερίαν τοὺς ἀγωνιστὰς ἐργάζεται τῆς εὐσεβείας· πάντων τῶν ἐν τοῖς βιωτικοῖς λυπηρῶν ἰαματικὸν γίνεται τοῖς εὐσεβέσι. μάχαιραν τοῦ πνεύματος τοῦτο ὁ Παῦλος ὀνομάζει, ἐν ᾧ κατὰ τῶν ἀοράτων πολεμίων ὁπλίζει τοὺς ὁπλίτας τῆς εὐσεβείας. ῥῆμα γάρ ἐστι Θεοῦ τὸ καὶ ἐνθυμούμενον καὶ ᾀδόμενον, καὶ ἀνακρουόμενον· δαιμόνων γίνεται ἀπιλαλικὸν . . . . τα, πληρωτικὰ τῆς ψυχῆς ἐν ταῖς κατ' εὐσέβειαν ἀρεταῖς, διὰ τῶν ᾀσμάτων τῶν ἐκκλησιαστικῶν τοῖς εὐσεβέσι προσγινόμενα.

Ἐρώτησις ρη'.

Εἰ συγγνώμην ἡ ἀκούσιος ἐφέλκεται ἄγνοιαν, καθὼς ὑπὸ τῆς γραφῆς διδασκόμεθα, πῶς οἱ μὲν πάλαι Ἰουδαῖοι τὸν Χριστὸν ἐξ ἀγνοίας σταυρώσαντες, πλείστων καὶ ἀνυποίστων δεινῶν ἐπειράθησαν, ὡς ἐν τοῖς περὶ τῆς ἁλώσεως λόγοις μαρτυρεῖ ὁ Ἰώσηπος· οἱ δὲ νῦν τῷ Χριστῷ ἀπειθοῦντες αὐτῶν, τῆς μὲν οἰκείας πατρίδος ἀπηλλαγέντες, εἰς πᾶσαν τὴν γῆν ἐλικμήθησαν, τοῖς δὲ ἔθνεσιν εἰς δουλείαν ἐξεδόθησαν ἄτιμον, ὡς τὰ πράγματα στήλης βοᾷ περιφανέστερον; τὴν δὲ ἐν ἑκατέροις αὐτῶν συνίστησιν ἄγνοιαν, ποτὲ μὲν ὁ Κύριος, Πάτερ, λέγων, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι:· ποτὲ δὲ ὁ ἀπόστολος, φάσκων, Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν:· καὶ ταῦτα μὲν περὶ τῶν πάλαι Ἰουδαίων· περὶ δὲ τῶν νῦν, Μαρτυρῶ, φησὶν, αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν:-

Ἀπόκρισις.

Ὅτε ἡ ἀκούσιος ἄγνοια τοῖς ἀγνοοῦσι νομισθῇ γνῶσις, τότε ἡ ἀπόβασις τοῦ κατ' ἄγνοιαν πραττομένου πράγματος δείκνυσι κατ' ἀλήθειαν οὖσαν γνῶσιν, ἢ κατὰ πλάνην καὶ ἄγνοιαν. δειχθείσης δὲ τῆς νομιζομένης γνώσεως διὰ τῆς ἀποβάσεως, ἀγνοίας ὑπαρχούσης τοῦ πράγματος, ἂν ἐμμένῃ τῇ αὐτῇ ἀγνοίᾳ ὁ ἀγνοήσας, οὐδεμίαν ἐφέλκεται συγγνώμην, ἀλλὰ τιμωρίαν ἀπαραίτητον. ἀλλ' ὅτι μὲν οὕτως ἐσταύρωσαν οἱ Ἰουδαῖοι τὸν Χριστὸν ὡς γινώσκοντες αὐτὸν ἀντίθεον . . . . φον ἔχοντες τὸν Θεὸν ἐν τῇ ἀναιρέσει αὐτοῦ, παντί που δῆλον. οὐκ ἂν γὰρ αὐτὸν ἐσταύρωσαν εἰ ᾔδεσαν γινώσκοντες, ὅτι μετὰ τὸν θάνατον αὐτὸν ὁ Θεὸς ἐγερεῖ ἐκ τῶν

νεκρῶν. ἐγερθεὶς δὲ ἐκ τῶν νεκρῶν ὑπὸ τοῦ Θεοῦ, ἔδειξε τὴν νομιζομένην κατὰ Χριστοῦ γνῶσιν τῶν Ἰουδαίων, κατὰ ἀλήθειαν ἄγνοιαν οὖσαν. ἐπειδὴ οὖν μετὰ τὸ ἀναστῆναι τὸν Κύριον ἐκ νεκρῶν, καὶ δειχθῆναι μήτε τὸν Θεὸν σύμψηφον γεγονότα τοῖς Ἰουδαίοις ἐν τῷ θανάτῳ τοῦ Χριστοῦ, μήτε τὸν Χριστὸν ἀνεγέρτως μένειν ἐν τῷ θανάτῳ κατὰ τὴν προσδοκίαν τῶν αὐτὸν σταυρωσάντων, ἔτι τοὺς Ἰουδαίους ἐν τῇ ἀπειθείᾳ μένειν, διὰ τοῦτο οὐκ ἦσαν συγγνώμης ἄξιοι. τὸ γὰρ ἐξαργυρίζειν αὐτοῦ τὴν ἀνάστασιν, καὶ κλοπὴν ταύτην νομίζειν, καὶ κωλύειν τοὺς ἀποστόλους ἐπὶ τῷ ὀνόματι αὐτοῦ μὴ ἐκτελεῖν θεῖα ἔργα ἐν τῇ δυνάμει τοῦ ἁγίου πνεύματος γινόμενα, οὐκ ἔστιν ἀκουσίου ἀγνοίας συγγνώμην ἐφελκομένης, ἀλλ' ἐγνωσμένης ἑκουσίου θεομαχίας τιμωρίαν ἐφελκομένης. εἰ μὲν γὰρ ταύτῃ τῇ ἐλπίδι ἐσταύρωσαν τὸν Χριστὸν οἱ Ἰουδαῖοι, τοῦ μὴ κρατῆσαι τὴν διδασκαλίαν αὐτοῦ, καὶ τοῦ μὴ λυθῆναι τὸν Ἰουδαϊσμὸν, πῶς οὐκ ἔστιν ἀμφοτέρων ἀποτυχία λυτικὴ τῆς Ἰουδαίων κατὰ Χριστοῦ ἀκουσίου ἀγνοίας; τὸ δὲ, Σὺ πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι:- κατὰ ταύτην εἴρηται τὴν ἔννοιαν, ὅτι γνόντες ὅτι κατ' ἄγνοιαν με ἐσταύρωσαν, καὶ αἰτοῦσι λύτρον τῶν πλημμελειῶν αὐτῶν, παράσχοις αὐτοῖς. οὐ γὰρ δίδοται ἄφεσις τῷ νομίζοντι τὴν ἑαυτοῦ ἁμαρτίαν μὴ εἶναι ἁμαρτίαν, ἀλλὰ δικαιοσύνην. καὶ τὸ εἰρημένον τῷ Παύλῳ, τὸ, Μαρτυρῶ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν:- πεφεισμένως εἴρηται τῇ τοῦ λόγου συγκαταβάσει· ἀσθενὴς τοῖς ἀσθενέσι γινόμενος, ἵνα κατὰ τὸ εἰρημένον σώσῃ τοὺς ἀσθενεῖς.

Ἐρώτησις ρθ.

Εἰ τὸ τῆς ἀναστάσεως δῶρον πᾶσι τοῖς θανοῦσιν ὁ Θεὸς δίδοσθαι ὑπέσχετο, καὶ πάντες ἐκ τῶν τάφων ἀναστάντες τῷ κριτῇ παρίστασθαι μέλλουσι, πῶς πληρωθήσεται τὸ, Κρίνειν νεκροὺς καὶ ζῶντας τὸν Κύριον;- πῶς δὲ νεκροὶ κριθῆναι δυνήσονται, ὧν τὰ μὲν σώματα ἐν μνήμασιν ἔρριπται, αἱ δὲ ψυχαὶ, τῶν σωμάτων κεχωρισμέναι εἰσίν;

Ἀπόκρισις.

Οὐ πάντες, φησὶ, κοιμηθησόμεθα: κρινεῖ οὖν ζῶντας μὲν, τοὺς τότε ζῶντας· νεκροὺς δὲ, τοὺς ἀνισταμένους ἐκ τῶν νεκρῶν. Ἔρχεται, φησὶν, ὥρα, καὶ νῦν ἐστὶν, ὅτε πάντες οἱ ἐν τοῖς μνήμασιν ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ ἐξέρχονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως·- ἐχρῆν οὖν κατὰ τὸ πιστὸν τοῦ λόγου θεωρεῖν τὸ δυνατὸν τοῦ πράγματος, καὶ μὴ ἀπορεῖν τὴν ἄλογον ἀπορίαν.

Ἐρώτησις ρι.

Εἰ τοῖς καταλιμπάνουσι πατέρα ἢ μητέρα ἢ

fuisse. Resuscitatus vero ex mortuis a Deo CHRISTVS, illam quæ contra eum habita erat notio, reuera ignorantiam fuisse ostendit. Quando quidem igitur post resurrectionem Domini a mortuis, & post probationem siue ostensionem, neque Deum suffragatorẽ Iudæis fuisse in morte CHRISTI, neque CHRISTVM citra resuscitationem in morte mansisse, secundum eorum spem qui illum crucifixerant, Iudæi ipsi adhuc in incredulitate & inobœdientia perseuerarunt: ob hanc ipsam causam venia fuere indigni. Quod enim argentum dederunt vt resurrectio eius premeretur, & pro furto in vulgus spargeretur; atque Apostolos prohibuerunt in nomine ipsius diuina perficere, quæ vi & efficacia Spiritus sancti edebantur opera: non est præter voluntatem obuenientis, & veniam secum ferentis ignorationis; sed destinatæ & voluntariæ, suppliciumque secum trahentis aduersus Deum rebellionis. Nam si ea spe Iudæi CHRISTVM cruci affixerunt, vt ne doctrina eius inualesceret, & Iudaismus ne abrogaretur: quomodo quum vtriusque spei euentu deciderint, quæ præter voluntatem obuenit aduersus CHRISTVM ignorantiam ipsorum, ea res non coarguit & refellit? Porro illud: *Tu pater, remitte illis; nesciunt enim quid faciant*: in hanc est dictum sententiam: Quum agnouerint quod me per ignorantiam crucifixerunt, & peccati commissi gratiam & absolutionem petierint, præsta hanc eis:- Non enim datur noxæ remissio ei qui peccatum suum non pro peccato, sed pro iusticia habet. Et illud quod a Paulo dictum est; *Testimonium illis perhibeo, studium eos habere Dei, sed non secundum scientiam*: parcentis modo est prolatum, dicto illi consentaneo: *Infirmis factus infirmus*; vt (iuxta ea verba) *curaret infirmos*.

QVÆSTIO CIX.

Si resurrectionis donum se omnibus defunctis Deus daturum esse recepit: & omnes e sepulcris resurgentes, apud Iudicem suum comparituri sunt: quomodo illud ad rem conferetur, quod Dominus dicitur Iudex viuorũ & mortuorum? Quomodo autem mortui iudicari poterunt, quorum corpora in monumentis sunt proiecta, animę vero per diuortium a corporibus segregatæ?

RESPONSIO.

Non omnes, inquit, *dormiemus*. Iudicabit ergo viuos quidem ille, qui tunc viuent; mortuos autem, qui resurgent e mortuis. *Veniet*, ait, *hora, & nunc est, quando omnes qui in monumentis sunt, audient vocem filii Dei; & prodibunt qui bona fecerunt, in resurrectionem vitæ; qui vero mala egerunt, in resurrectionem condemnationis.* Oportebat itaque fide & approbatione in hoc verbo rem quæ fieri potest, intueri, & per dubitationem non proferre ratione carentem quæstionem.

QVÆSTIO CX.

Si Dominus patrem aut matrem, aut

liberos & quæ sequuntur, relinquentibus centuplum retribuere pollicitus est: num & vxores centum illi recepturi sunt? Quomodo vero, cum permulti eis quæ dicta sunt, propter præceptum relictis, in mendicitate, & orbitate, & solitudine vitam finierint: non frustra fuit & falsa eiusmodi promissio?

RESPONSIO.

Quemadmodum *patres & matres, & fratres & sorores* eos dicit qui affectione familiaris consuetudinis CHRISTVM receperunt, & patrem atq; matrem, fratres & sorores reliquerunt: sic & *vxorem* eam vocat, quæ tempore derelictionis propter CHRISTVM, curam gerit derelinquentis naturâ vxorem. Enimuero vnde Ecclesia Domini CHRISTI, quæ ab initio Christianę prædicationis, longo tempore ab aduersariis, Græcis simul & Iudæis est oppugnata & direpta; & in spiritualibus, & in humanis rebus, hominibusq; adeo ipsis tantum cepit, quantum videmus incrementi, si diuinum & viuidum Saluatoris, quod multiplicatam promisit remunerationem, verbum, vim & efficaciam suam in ea non exhibuit? Vnde autem locupletes viri & fœminæ, facultates suas conferentes, in desertis locis anachoretas & monachos quęsiuerunt, atque penuriam eorum suppleuerunt; sicut id ex priscorum sanctorum virorum historiis intelleximus: si non Dominus ipse CHRISTVS, promissionem suam ad exitum suum perduxit?

QVÆSTIO CXI.

Si ad asserendam corporum resurrectionem, velut apposita opportunaq; seminis comparatione, in epistola ad Corinthios vsus est Apostolus: quomodo illi qui frustatim dissecantur, aut qui comburuntur, resurgent: quum semina post sectionem aut vstionem non germinent, sed omni ex parte intereant?

SOLVTIO.

Natura ea efficit quæ ex seminibus producuntur, vt quæ certam demensamq; ad id ab opifice rerum acceperit facultatem: vt autem semina aptâ sint & idonea, ad ea quæ ex ipsis fiunt, producenda, necesse est: quapropter si illa vrantur aut concidantur, inutilia ad procreandum quæ ex eis fiunt, redduntur. At enim Deus demensam non habet facultatem. Quocirca nihil ei est non appositum ad facienda quæ velit omnia: neque vel dissectione vel adustione prohibetur quo minus corporum efficiat resurrectionem. Nam Deus non lege & demenso naturæ operatur, sed suapte voluntatis consiliq; potestate: quæ re nulla destituitur ad ea quę velit efficienda. Apostolus porro vsus est seminum similitudine, probandę resurrectionis mortuorum gratia; vt per comparationem, probabilē atq; credibilē redderet resurrectionis rationē: quoniam sicuti incredulitate non diffidimus de seminis germina-

τέκνα, καὶ τὰ ἑξῆς, ἑκατονταπλασίονα ἐπηγγείλατο διδόναι ὁ Κύριος, ἆρα καὶ γυναῖκας ἑκατὸν οἱ τοιοῦτοι ἀντιλήψονται; πῶς δὲ, πολλῶν τὰ εἰρημένα διὰ τὴν ἐντολὴν καταλιπόντων, ἐν πτωχείᾳ καὶ μονότητι καὶ ἐρημίᾳ τελευτησάντων, οὐ διέψευσται ἡ τοιαύτη ὑπόσχεσις;

Ἀπόκρισις.

Ὥσπερ πατέρας καὶ μητέρας, καὶ ἀδελφοὺς καὶ ἀδελφὰς λέγει, τοὺς κατ' οἰκειωτικὴν διάθεσιν προσλαμβανομένους τὸν Χριστὸν, καταλείψαντας πατέρα τε καὶ μητέρα, ἀδελφούς τε καὶ ἀδελφάς· οὕτως καὶ γυναῖκα λέγει τὴν ἐν καιρῷ τῆς διὰ Χριστὸν ἐγκαταλείψεως προνοουμένην τοῦ καταλείψαντος τὴν φύσει γυναῖκα. ἡ δὲ ἐκκλησία τοῦ δεσπότου Χριστοῦ, ἡ ἐξ ἀρχῆς τοῦ Χριστιανικοῦ κηρύγματος ὑπὸ τῶν αὐτῇ ἀντικειμένων Ἑλλήνων τε καὶ Ἰουδαίων διωκομένη καὶ ἁρπαζομένη πολυχρονίως, πόθεν ἔν τε τοῖς πνευματικοῖς καὶ ἐν τοῖς ἀνθρώποις τοσαύτην ἣν ὁρῶμεν ἐπίδοσιν ἔδειξατο, μὴ τῆς θείας τε καὶ ζώσης τοῦ σωτῆρος φωνῆς τῆς κατὰ πολυπλασιασμὸν ὑπισχνουμένης, καὶ τὴν ἀντίδοσιν ἐνεργησάσης ἐν αὐτῇ; πόθεν δὲ πλούσιοι ἄνδρες τε καὶ γυναῖκες τὰς ἑαυτῶν ὑπάρξεις ἐπιφερόμενοι, ἐν τῇ ἐρήμῳ τοὺς ἐκεῖσε ἀναχωρητὰς ἐζήτησαν, καὶ τούτων τὰ ὑστερήματα ἐπλήρωσαν, καθὰ ἔγνωμεν ἐκ τῆς ἱστορίας τῶν ἁγίων ἀρχαίων ἀνδρῶν, μηδὲ τοῦ δεσπότου Χριστοῦ δι' αὐτῶν τὴν ἰδίαν ὑπόσχεσιν ἀγαγόντος εἰς πέρας;

Ἐρώτησις ρια΄.

Εἰ πρὸς σύστασιν τῆς τῶν σωμάτων ἀναστάσεως ὡς κυρίῳ τῷ κατὰ τὰ σπέρματα ὑποδείγματι ὁ ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους ἐχρήσατο, πῶς οἱ τεμνόμενοι ἢ καιόμενοι ἀναστήσονται, τῶν σπερμάτων μετὰ τμῆσιν ἢ καῦσιν οὐ βλαστανόντων, ἀλλὰ εἰς τὸ παντελὲς φθειρομένων;

Ἀπόκρισις. 282

Τῆς φύσεως οὔσης τῆς ἐργαζομένης τὰ ἐκ τῶν σπερμάτων γιγνόμενα, ὡς ἔμμετρον λαβούσης παρὰ τοῦ δημιουργοῦ τὴν δύναμιν, ἀνάγκη ἐπιτήδεια εἶναι τὰ σπέρματα πρὸς ποίησιν τῶν ἐξ αὐτῶν γιγνομένων. διὸ ἐὰν καῇ ἢ τμηθῇ τὰ σπέρματα, ἄχρηστα γίγνεται τῇ φύσει πρὸς ποίησιν τῶν ἐξ αὐτῶν γιγνομένων· ὁ δὲ Θεὸς οὐκ ἔμμετρον ἔχει τὴν δύναμιν· διὰ τοῦτο οὐδὲν αὐτῷ ἐστιν ἀνεπιτήδειον πρὸς ποίησιν πάντων ὧν βούλεται, οὐδὲ κωλύεται ὑπὸ τῆς τομῆς καὶ καύσεως τῶν σωμάτων, τοῦ ποιήσασθαι αὐτῶν τὴν ἀνάστασιν. οὐ γὰρ νόμῳ καὶ μέτρῳ φύσεως ἐργάζεται ὁ θεὸς, ἀλλ' αὐθεντίᾳ βουλῆς τῆς ἐν μηδενὶ ἀπορουμένης πρὸς ποίησιν ὧν βούλεται ποιεῖν. ἐχρήσατο δὲ ὁ ἀπόστολος τῷ κατὰ τὰ σπέρματα ὑποδείγματι εἰς πίστωσιν τῆς τῶν νεκρῶν ἀναστάσεως, ἵνα κατὰ ἀναλογίαν πιστώσηται τῆς ἀναστάσεως τὸν λόγον, ὅτι ὥσπερ οὐκ ἀπιστοῦμεν τὴν βλάστησιν

τοῦ σπέρματος, ὁρῶντες ἐν τῇ γῇ ἀποθανόντα καὶ ἀποβεβληκότος τοῦ σπέρματος τὴν φύσιν, οὕτως οὐκ ὀφείλομεν ἀπιστεῖν τῶν νεκρῶν τὴν ἀνάστασιν· ὁ γὰρ Θεὸς ὁ δεδωκὼς τῇ φύσει τὸ διὰ τοῦ σπέρματος ἐργάσασθαι τὴν βλάστην, πολὺ μᾶλλον αὐτὸς δύναται ἐκ τοῦ θανάτου ἐγεῖραι τοὺς νεκρούς.

Ἐρώτησις ριβʹ.

Εἰ τὴν βασιλείαν τοῦ Ἰσραὴλ δόξαν καὶ τρυφὴν καὶ ἄνεσιν ἐπίγειον οἱ ἀπόστολοι ὑπελάμβανον, καθώς τινες ἔφασαν, διὰ τί ὁ Κύριος περὶ ταύτης πρὸς αὐτῶν ἐρωτώμενος, οὐ μόνον αὐτοὺς οὐ διωρθώσατο, ἀλλὰ καὶ ἐπισφίγγει αὐτῶν τὴν ἄγνοιαν, φήσας πρὸς αὐτούς, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· αὕτη γὰρ ἡ ἀπόκρισις βεβαιοῖ τὴν ἐκείνων ἐρώτησιν.

Ἀπόκρισις.

Καὶ τοῦτο ἕν ἐστι τῶν πρὸ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος μὴ δυναμένων γνωσθῆναι ὑπὸ τῶν ἀποστόλων, κατὰ τὸ εἰρημένον, Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνο ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλήθειαν· μαθόντες δὲ ὑπὸ τοῦ πνεύματος τό, Τὴν κοιλίαν καὶ τὰ βρώματα ὁ Θεὸς καταργήσει· ἐκ τῆς Ἰουδαϊκῆς ὑπολήψεως εἰς τὴν ἔννοιαν μετηνέχθησαν τὴν πρέπουσαν τῇ καταστάσει τῶν ἀνισταμένων ἐκ τῶν νεκρῶν, ἐν ᾗ οὔτε βρῶσις, οὔτε πόσις, οὔτε γάμος, ἀλλὰ ἰσάγγελοι ἔσονται οἱ τῆς ἀναστάσεως υἱοί. τὸ οὖν, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· οὐκ ἔχει σχῆμα βεβαιωτικὸν ἐρωτησάντων ἐν τῇ κατ' ἄγνοιαν ὑπολήψει, ἀλλὰ ἀπορητικὸν ἀμφοτέρων, τῆς τε κατὰ τὸν χρόνον, καὶ τῆς κατὰ τὸν τρόπον ὑπολήψεως τῶν ἐρωτησάντων. δηλοῖ γὰρ καὶ ὁ ἀπόστολος Παῦλος τὸν τρόπον ἐκείνης τῆς καταστάσεως, ἐν οἷς λέγει, Ἡ βασιλεία τοῦ Θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ.

Ἐρώτησις ριγʹ.

Εἰ τέλειον τότε νοοῦμεν τὸ τέλειον . . . . ὅτε πάντα κέκτηται τέλεια· τέλειον δὲ ἄκρως, τὸ καθ' ὁτιοῦν προσθήκην ἢ αὔξησιν μὴ δεχόμενον, πῶς ὁ Θεὸς μὲν πρὸ τῆς ἀρχῆς τῆς κτίσεως, ὕστερον δὲ τὴν κτίσιν ποιησάμενος, οὕτω Θεὸς τὸ Δημιουργὸς ὄνομά τε καὶ πρᾶγμα προσέλαβε, καὶ ἐκ τοῦ Θεὸς εἰς τὸ καὶ δημιουργὸς εἶναι τὴν αὔξησίν τε καὶ τὴν γένεσιν δέδεκται;

283 Ἀπόκρισις.

Ἄλλο τὸ αὐτὸ εἶναι, καὶ ἄλλο τὸ ἄλλου εἶναι. ἄσχετον μὲν τὸ αὐτὸ εἶναι, σχετικὸν γὰρ τὸ ἄλλου εἶναι. ἐπειδὴ οὖν τὸ τέλειον τοῦ Θεοῦ ἐν τῷ αὐτὸ εἶναι, διὰ τοῦτο οὐκ αὔξει αὐτὸν τὸ ἄλλου εἶναι. καὶ καθάπερ τὸ ἀρχὴν εἶναι ἀριθμοῦ, οὐδὲν συντελεῖ τῷ ἑνὶ πρὸς τὴν αὐτοῦ τελειότητα (καὶ γὰρ μὴ ὄντος αὐτοῦ ἀρχῆς

germinatione, naturã eius in terra emortuam & profligatam cernentes: ita etiam de mortuorum resurrectione minime ambigere, atq; incredulitate addubitare debemus. Deus namque qui naturæ contulit per semen vim germinandi, multo ipse magis ex morte excitare potest defunctos.

QVÆSTIO CXII.

Si *Regnum Israelis*, Apostoli putauerunt esse gloriam & delicias & laxamentum terrenum, sicuti nonnulli dixere: quare Dominus de hoc ab illis interrogatus, non solum errorem illorum non correxit; verumetiam ignorantiã eorum astrinxit, dicens illis; *Non est vestrum, nosse tempora & articulos temporum; quos Pater in sua ipsius constituit potestate.* Porro responsum hoc illorum constabilit quæstionem.

RESPONSIO.

Et hoc ipsum ex eis vnum est, quæ ab Apostolis ante aduentum Spiritus sancti cognosci non potuerunt, pro eo atque dictum est; *Multa habeo quæ vobis dicam; sed non potestis portare nunc; cum autem venerit ille qui est Spiritus veritatis, ducet vos in omnem veritatem.* Vbi vero a Spiritu sancto edocti sunt illud; *Et ventrem & escas Deus abolebit:* ex opinione Iudaica ad sensum translati sunt, statui eorum qui ex mortuis resurgunt, conuenientem: in quo neque esca neque potio, neque matrimonium est; sed angelis Dei similes erunt resurrectionis filii. Hoc ergo; *Non vestrum est, nosse tempora & articulos temporum; quos Pater in sua ipsius constituit potestate:* speciem non habet, per imprudentiam conceptam interrogantium opinionem confirmantis; sed in ambiguo interrogantes de vtroque, & tempore scilicet, & modo opinionis conceptæ, relinquentis. Declarat vero & Paulus status illius modum, cum dicit; *Non est regnum Dei, cibus & potus; sed iustitia & pax, & gaudium in Spiritu sancto.*

QVÆSTIO CXIII.

Si perfectum esse tum demum intelligimus id quod perfectum est, cum vniuersa habeat quæ ad perfectionem faciunt: perfectum autem id summe est, quod re nulla prorsus accessionem vel auctum recipit: quomodo Deus, qui ante creationem fuerit, & postea creationem perfecerit, ita *Opificis* & nomen & rem ipsam recepit? atque ex eo quod Deus fuit, in id vt Opifex esset, auctum & generationem in se admisit?

RESPONSIO.

Aliud est, Idem ipsum esse; & aliud, Alterius esse. Et Idem esse, habitum non admittit: Alterius autem esse, habitum admittit. Porro cum perfectio Dei in eo sit, quod Idẽ ipsum est: propterea non auget eum id quod alterius est. Et quemadmodum vnitati id nihil confert ad perfectionẽ eius, quod principium sit numeri: (nam etiamsi numeri principium

non eſſet, perfecta tamen eſſet: & cum principium eius facta ſit, non aucta tamen eſt) ſic Deus quoq; ante creationem perfectus erat, & poſt creationem auctus non eſt. Non igitur quidquam eorum quæ per creationem ſunt, Deum adauget: (*Tu enim, inquit, idem es*) ſed habitum ipſum quem ad creaturam obtinet, multifariam. *Nimis, inquit exaltatus es ſuper omnes deos*: tamquam Pater ſcilicet, & Dominus, & Iudex, & Paſtor, & quę ſunt his ſimilia. Et quemadmodum eo quod non plures condidit mundos Deus, [cum id ipſum etiam præſtare poſſet,] imperfecta eſſe probata non eſt perfectio eius, qua ſuper [omnes deos exaltatus eſt: ita neque eo, quod vnum condidit mundum, incrementum aliquod cepit.] Quod ſi propterea, quod plures mũdos non fecerit Deus, imminutus non eſt: eo certe quod vnum mundum fecerit, auctus quoque non eſt.

QVÆSTIO CXIIII.

Si id quod potentia eſt [ſiue quod eſſe poteſt,] minus eo eſt quod actu conſtat, [ſiue quod eſt:] quomodo mundi creator, cum ante mundum conditum, potentia conditor fuerit, & non actu, minutionis nomini non ſubiicitur?

RESPONSIO.

Quarum rerum potentia, actionis naturali quapiam neceſſitate ſubſiſtit, earum rerũ potentia minor actione ipſa exſiſtit. Cuius autem rei potentia, actionis naturali neceſſitate non ſubſiſtit, ſed ſuapte voluntate & conſilio: ea minutionis nomini non ſubiicitur. *Conſideraſti, inquit, & omnia tibi adſunt.*

QVÆSTIO CXV.

Si genuum inclinatio in precationibus, magis precatores Deo commendat quam ſi ſtantes orent; magisque ea res diuinam permouet commiſerationem: quapropter diebus Dominicis, & a Paſchæ feriis ad Pentecoſten vſque, precantes genua non flectunt? Vnde autem talis etiam in Eccleſias peruenit conſuetudo?

RESPONSIO.

Quia vtriusq; nos oportuit ingem obtinere memoriam, & ipſius per peccata lapſus noſtri, & gratiæ CHRISTI noſtri, per quam a lapſu reſurreximus: ea propter genuum per ſex dies inclinatio, ſymbolum & nota eſt lapſus per peccata noſtri. Quod vero die Dominico genua non inflectimus, ſignum eſt & deſignatio reſurrectionis: per quam gratia CHRISTI, & a peccatis, & a mortificata in eis morte liberati ſumus. A temporibus autem Apoſtolorum, conſuetudo talis accepit initium: prout ait beatus Irenęus, martyr & epiſcopus Lugdunenſis, in libro de Paſchate, vbi quoque mentionem fecit Pentecoſtes; in qua genua non inflectimus: quoniam pari eſt cum die Dominico poteſtate, iuxta eam quæ de illa eſt dicta cauſam.

QVÆSTIO CXVI.

Si reſurgens e monumento Dominus, ſepulcrales

ἀριθμοῦ, τέλειον ἦν· καὶ γενομένου αὐτοῦ ἀρχῆς ἀριθμοῦ, οὐκ ηὐξήθη) οὕτως καὶ ὁ Θεὸς πρὸ τῆς κτίσεως ἦν τέλειος, καὶ μετὰ τὴν κτίσιν οὐκ ηὐξήθη. οὐδὲν οὖν τῶν διὰ τῆς κτίσεως αὔξει Θεόν· Σὺ γάρ, φησίν, ὁ αὐτὸς εἶ:- ἀλλὰ τὴν σχέσιν ἣν ἔχει πρὸς τὴν κτίσιν πολυτρόπως. Σφόδρα, φησίν, ὑπερυψώθης ὑπὲρ πάντας τοὺς Θεούς:- καὶ γὰρ ὡς πατήρ, καὶ δεσπότης, καὶ κριτής, καὶ ποιμήν, καὶ τὰ τούτοις ὅμοια. καὶ καθάπερ ὁ Θεὸς μὴ ποιήσας πλείονας κόσμους . . . . . . τὸ καὶ δυνάμενος ποιεῖν, οὐκ ἀτελὴς ἐκ τούτου ἐδείχθη ἡ αὐτοῦ τελειότης εἰς τὸ ὑπερ . . . . εν. εἰ δὲ μὴ ποιήσας πλείονας κόσμους ὁ Θεὸς οὐκ ἐμειώθη, οὐδ᾽ ἄρα ποιήσας ἕνα κόσμον ηὐξήθη.

Ἐρώτησις ριδ΄.

Εἰ τὸ εἶναι τῇ δυνάμει τοῦ εἶναι τῇ ἐνεργείᾳ καθέστηκεν ἔλαττον, πῶς ὁ τοῦ κόσμου ποιητὴς πρὸ τῆς τοῦ κόσμου ποιήσεως, ποιητὴς ὢν δυνάμει, καὶ οὐκ ἐνεργείᾳ, τῷ τῆς ἐλαττώσεως οὐχ ὑποπίπτει ὀνόματι;

Ἀπόκρισις.

Ὧν ἡ δύναμις τῆς ἐνεργείας φυσικῇ τινὶ ἀνάγκῃ ὑφέστηκεν, τούτων ἡ δύναμις ἐλάττων τῆς ἐνεργείας καθέστηκεν· οὗ δὲ ἡ δύναμις τῆς ἐνεργείας οὐ φυσικῇ ἀνάγκῃ, ἀλλὰ ἰδίᾳ βουλῇ ὑφέστηκεν, οὗτος ἀνυπόβλητος τῷ τῆς ἐλαττώσεως ὀνόματι. Διενοήθης, φησί, καὶ πάντα σοι πάρεισιν:-

Ἐρώτησις ριε΄.

Εἰ τὸ κλίνειν τὸ γόνυ ἐν ταῖς προσευχαῖς τοῦ ἑστῶτας εὔχεσθαι μᾶλλον θεῷ τοὺς εὐχομένους παρίστησι, καὶ πλεῖον ἐφέλκεται τὴν θείαν συμπάθειαν, διὰ τί ἐν ταῖς κυριακαῖς ἡμέραις, καὶ ἀπὸ τοῦ πάσχα ἕως τῆς πεντηκοστῆς, γόνυ οὐ κλίνουσιν οἱ εὐχόμενοι; πόθεν δὲ καὶ ἡ τοιαύτη ἐν ταῖς ἐκκλησίαις εἰσῆλθε συνήθεια;

Ἀπόκρισις.

Ἐπειδὴ ἀμφοτέρων ἐχρῆν ἡμᾶς ἀεὶ μεμνῆσθαι, καὶ τῆς ἐν ταῖς ἁμαρτίαις πτώσεως ἡμῶν, καὶ τῆς χάριτος τοῦ Χριστοῦ ἡμῶν, δι᾽ ἧς ἐκ τῆς πτώσεως ἀνέστημεν, διὰ τοῦτο ἡ ἐν ταῖς ἓξ ἡμέραις ἡμῶν γονυκλισία σύμβολόν ἐστι τῆς ἐν ταῖς ἁμαρτίαις πτώσεως ἡμῶν· τὸ δὲ ἐν τῇ κυριακῇ μὴ κλίνειν γόνυ, σύμβολόν ἐστι τῆς ἀναστάσεως, δι᾽ ἧς τῇ τοῦ Χριστοῦ χάριτι, τῶν τε ἁμαρτημάτων, καὶ τοῦ ἐπ᾽ αὐτοῖς τεθανατωμένου θανάτου ἠλευθερώθημεν. ἐκ τῶν ἀποστολικῶν δὲ χρόνων ἡ τοιαύτη συνήθεια ἔλαβε τὴν ἀρχήν, καθώς φησιν ὁ μακάριος Εἰρηναῖος ὁ μάρτυς καὶ ἐπίσκοπος Λουγδούνου, ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ, ἐν ᾧ μέμνηται καὶ περὶ τῆς πεντηκοστῆς, ἐν ᾗ οὐ κλίνομεν γόνυ, ἐπειδὴ ἰσοδυναμεῖ τῇ ἡμέρᾳ τῆς κυριακῆς, κατὰ τὴν ῥηθεῖσαν περὶ αὐτῆς αἰτίαν.

Ἐρώτησις ρις΄.

Εἰ ἀνιστάμενος ὁ δεσπότης ἀπὸ τοῦ μνήματος τὰ

ἐντάφια ἐν τῷ τάφῳ κατέλιπε, πῶς μετὰ τὴν ἀνάστασιν ἢ γυμνὸν αὐτὸν ὀφθέντα, ἢ ἑτέρωθεν αὐτὸν ἐσθῆτα κομισάμενον ἡ γραφὴ οὐχ ἱστόρησεν; εἰ δὲ μήτε ἑτέρωθεν ἀμφιάσματα εἴληφε, μήτε γυμνὸς τοῖς τότε αὐτὸν ὁρῶσιν ἐφαίνετο, πῶς ἀληθὲς ὅτι τὰ
284 ἱμάτια ἐν τῷ τάφῳ κατέλιπεν;

Ἀπόκρισις.

Τὰ μὲν ἱμάτια τοῦ σωτῆρος, μετὰ τὸ σταυρωθῆναι αὐτὸν οἱ στρατιῶται διεμερίσαντο· τὰ δὲ μετ' αὐτοῦ ἐνσυνεχθέντα εἰς τὸν τάφον, ε . . . . . ε- σίαν τοῦ ζῶντος ἀνεπιτήδεια ἦν· τὰ δὲ ἱμάτια, ἃ ἐφόρει ὁ Κύριος μετὰ τὴν ἀνάστασιν, ἢ ἐδημιούργησεν, ἢ ἔλαβεν ἀλλαχόθεν, ὡς ἔλαβε καὶ τὸν πῶλον εἰς κάθισμα. ἑκάτερον γὰρ ἠδύνατο, καὶ τὸ δημιουργῆσαι, καὶ τὸ λαβεῖν ἀλλαχόθεν. πολλῶν δὲ ὄντων τῶν ὑπὸ τοῦ Κυρίου λεχθέντων ὧν ἡ θεία γραφὴ τὰς ἱστορίας οὐ περιέχει, ἐξ ἀνάγκης καὶ τὰ μετὰ τὴν ἀνάστασιν ἐνδύματα . . . . ιν εὔλογον τὸ ἐκ πάντων τῶν ἀνι- στορ . . . . ἀνιστορήτου ζητεῖν τὴν αἰτίαν, οὐ . . . . . τοῦ ἀνιστορήτου κατασκευάζειν τὴν ἀπορίαν περὶ τοῦ ἐνδύματος τοῦ Κυρίου, ἀλλ' ἐκ τῆς δυνάμεως αὐτοῦ λαβεῖν τὴν πίστιν περὶ τοῦ ἐνδύματος αὐτοῦ.

Ἐρώτησις ριζ.

Εἰ σῶμα παχυμερὲς θυρῶν κεκλεισμένων κεκωλυμένην ἔχει τὴν πάροδον, πῶς μετὰ τὴν ἀνάστασιν πρὸς τοὺς μαθητὰς τῶν θυρῶν κεκλεισμένων εἰσῆλθεν ὁ Κύριος; ἀλλ' εἰ μὲν ἀληθὲς ὅτι τὸ κεκλεισμένων τῶν θυρῶν ἔνδον ὁρώμενον σῶμα ἐτύγχανε, πῶς ὁ λίθος ὁ τῷ δεσποτικῷ ἐπικείμενος μνήματι, ὑπὸ τοῦ ἀγγέλου ἀπεκυλίσθη διὰ τὴν αὐτοῦ τοῦ σώματος ἔγερσιν; εἰ δὲ ἀληθεύει ἡ γραφὴ περὶ τῆς τῶν θυρῶν λέγουσα κλείσεως, δῆλον ὅτι οὐ σῶμα, ἀλλὰ πνεῦμα εἰσῆλθεν. εἰ δὲ τὸ σῶμα ποτὲ μὲν ἦν σῶμα, ποτὲ δὲ πνεῦμα ἐγίνετο, πῶς οὐχὶ τροπὴν τὰ τῆς τοῦ σώματος οὐσίας ἐδέχετο;

Ἀπόκρισις.

Ὥσπερ οὐ κατὰ τὴν ἐκ τοῦ σώματος εἰς τὸ πνεῦμα τροπὴν περιεπάτησεν ὁ Κύριος ἐπὶ τὴν θάλασσαν, ἀλλὰ τῇ θείᾳ αὐτοῦ δυνάμει βατὴν ἐποίησε τὴν εἰς περιπάτησιν ἄβατον θάλασσαν, οὐ μόνον τῷ ἑαυτοῦ σώματι, ἀλλὰ καὶ τῷ τοῦ Πέτρου, οὕτως τῇ ἑαυτοῦ θείᾳ δυνάμει καὶ τοῦ μνήματος ἐξῆλθε, τοῦ λίθου ἐπικειμένου τῷ μνήματι, καὶ πρὸς τοὺς μαθητὰς εἰσῆλθε τῶν θυρῶν κεκλεισμένων. οὐ γὰρ διὰ τὴν αὐτοῦ ἔγερσιν, τοῦ λίθου ἐκ τοῦ μνήματος ἐγένετο ἡ ἀφαίρεσις, ἀλλὰ διὰ τὸ δηλωθῆναι τοῖς ὁρῶσι τὴν ἀνάστασιν. τὸ γὰρ ἐν τῷ μνήματι τὰ μὲν τοῦ ἐνταφιασμοῦ αὐτοῦ ὁρᾶν ἱμάτια, αὐτὸν δὲ μὴ ὁρᾶν, δεῖγμα τῆς αὐτοῦ ἐναργέστατον γέγονεν ἀναστάσεως. χρὴ δὲ ἡμᾶς ἐννοῆσαι ὅτι τὰ ἰσοδύναμα τὴν αὐτὴν ἔχει πίστιν συγχωρουμένων αὐ-

sepulcrales vestes in sepulcro reliquit: quid ita post resurrectionem, Scriptura illum vel nudum exhibitum esse, vel aliunde vestem sumpsisse, non memorauit? Sin neque aliunde amiculum accepit, neque nudus eis qui tum ipsum conspexere, apparuit, quomodo verum illud est, quod vestes in sepulcro reliquerit?

RESPONSIO.

Vestimenta Seruatoris, postquam crucifixus est, milites inter se diuiserunt: quæ vero cum eo mortuo in sepulcrum illata sunt, ad vsum viuentis minus fuere idonea. Porro vestes quas Dominus post resurrectionem gestauit, vel ipse creauit, vel aliunde sumpsit: quemadmodum & pullum cui insederat, sumpserat. vtrumque enim præstare potuit, & creare videlicet, & aliunde accipere. Porro cum multa sint à Domino & dicta & facta, quorum memoriam Scriptura non complectitur diuina: necessario quoque de vestimentis post resurrectionem [id quod diximus constituere conuenit, sicuti de rebus consimilibus;] vt omnium quæ in sacram historiam relata non sunt, rationabilem inquiramus causam. [Et sicuti de rebus aliis, ita & de indumentis hisce Domini,] in historia non expressis, minime decet ambigere; verum ex potentia eius de vestitu suo probationem & fidem petere.

QVÆSTIO CXVII.

Si fores clausæ, corpus crassatum partium ab aditu prohibent: quomodo post resurrectionē, ad discipulos foribus clausis Dominus est ingressus? Atenim si verū est quod foribus clausis intus conspectum sit, fuisse corpus, quomodo qui monumento impositus fuerat lapis, ab angelo est reuolutus, propter ipsius corporis excitationem? Sin in vero est quod Scriptura de ianuæ occlusione asserit, nempe non corpus, sed spiritus ingressus fuerit. Iam si corpus quandoque erat corpus, quandoque spiritus: quomodo ea quæ in corporis substantia exstitere, mutabilitatem non admisere?

RESPONSIO.

Quemadmodum non mutatione corporis in spiritum, Dominus super mari deambulauit; verū diuina potentia sua, mare quod pedibus calcari nequiret, ad inambulandum commodum & peruium reddidit, non suo ipsius tantum corpori, sed & Petri: ita & suapte potentia e monumento, cui lapis impositus fuit, egressus est, & ad discipulos ianua clausa ingressus. non enim excitationis eius gratia, saxi ipsius de monumento facta est deuolutio; sed eorum causa qui id conspecturi erant, vt ipsis resurrectio ostenderetur. Nam quod sepulcralia eius in monumento vestimenta viderunt, ipsum autem non viderunt: euidentissimum resurrectionis eius fuit indicium. Considerare vero nos oportet, quæ pari sunt potentia, ea eandem & concessa

& negata obtinere fidem. Parem autem habet potentiam, deambulatio super mare corpore non mutato, cum ingressu ad discipulos, foribus clausis, corpore non mutato. Et fieri non potest vt eorum quæ in natura supra naturam diuina fiunt potentia, ratione naturali astruatur assertio. Idcirco eiuscemodi introitu discipulis exterritis permisit vt loca corporis quæ passionem pertulerant, contrectarent & persentiscerent, se non mutatione corporis in Spiritum, sed corpore crassarum partium, per diuinam suam potentiam, rerum quæ supra naturam sunt effectricem, introitum ad eos talem instituisse.

QVÆSTIO CXVIII.

Si Deus, quod omnia in orbe naturæ effecit, vniuersitatis factus est Dominus: vnde & Dauid in omni loco dominationis Domini, benedicere Domino iubet, persimiliter autem & Paulus apostolus in omni loco sustollere ad Deum puras manus præcipit: quam ob causam tamquam opus veneratione dignum, & quasi habitaculum diuinum esse existimantes solis clima, intentis in id oculis, Deo hymnos & orationes offerimus? Qui vero sunt qui hanc consuetudinem Christianis tradiderunt?

RESPONSIO.

Quandoquidem apud nos præstantissima quæq; ad honorem & venerationem Dei destinamus: opinione autem hominum præstabilior est Oriens, aliis creaturę partibus: eam ob rem precationis tempore, vultu ad Orientē omnes conuertimur: perinde atque dextra manu in nomine CHRISTI eos consignamus, qui sigillo tali indigent; eo quod præstare sinistræ putetur, quamuis positura, non natura ab illa differat. Haud aliter & Oriens vt præstantior creaturæ pars, ad Deum adorandum est designata. Et quod ad Orientem spectantes, precationes peragimus, non id Propheticis & Apostolicis aduersatur vocibus: in omni enim loco Oriens exsistit precantibus. Et quia in quam partem videndi sensum conuertimus, in eadem parte adoramus: impossibile autem est, precum tempore in quatuor creaturæ partes respicere: propterea in vnam partem eius intuentes, adorationem peragimus: non proinde atq; ea sola esset opus Dei, neque tamquam ea in habitationem Dei sit destinata; sed quasi in locum ei quæ a nobis Deo exhibetur, venerabundę obseruationi ordinatum. Porro a quibus orationē Ecclesia accepit, ab eisdem quoque vbi orare soleat, consuetudinem accepit; a sanctis nimirum Apostolis.

QVÆSTIO CXIX.

Si neq; arborū frugibus, neq; carnib[9], in escis qui ante diluuiū exstiterunt homines

τῶν, καὶ τὴν αὐτὴν ἔχει πίστιν ἀναιρουμένων αὐτῶν. ἰσοδυναμεῖ δὲ τὸ περιπατεῖν ἐπὶ τὴν θάλασσαν ἐν ἀτρέπτῳ σώματι, τῷ εἰσελθεῖν πρὸς τοὺς ἀποστόλους ἐν ἀτρέπτῳ σώματι τῶν θυρῶν κεκλεισμένων. καὶ ὅτι τὰ ὑπὲρ φύσιν ἐν τῇ φύσει γιγνόμενα κατὰ τὴν θείαν δύναμιν, ἀδύνατον κατὰ τὸν λόγον τῆς φύσεως ποιήσασθαι τὴν παράστασιν· διὸ πτοηθέντων τῶν μαθητῶν ἐπὶ τῇ τοιαύτῃ εἰσόδῳ, ἐπιτρέψεν αὐτοῖς ψηλαφᾶν τοὺς πεπονθότας τόπους τοῦ σώματος αὐτοῦ, ὅτι οὐ κατὰ τροπὴν τοῦ σώματος εἰς τὸ πνεῦμα, ἐποίησεν εἰς αὐτοὺς τὴν εἴσοδον, ἀλλὰ ἐν παχυμερεῖ σώματι τῇ θείᾳ αὐτοῦ δυνάμει ποιητικῇ τῶν ὑπὲρ φύσιν.

Ἐρώτησις ριη'.

Εἰ πάντα ὁ Θεὸς ποιήσας κατὰ κύκλον τῆς φύσε-
ως, τῶν πάντων δεσπότης καθέστηκε· διὸ καὶ Δαβὶδ ἐν
παντὶ τόπῳ τῆς τοῦ Κυρίου δεσποτείας εὐλογεῖν
ἡμῖν τὸν Κύριον ἐγκελεύεται· ὁμοίως δὲ καὶ ὁ ἀπό-
στολος ἐν παντὶ τόπῳ ἐπαίρειν ἡμᾶς πρὸς τὸν Θεὸν 285
ὁσίους χεῖρας ἐντέλλεται, διὰ τί ὡς σεμνὸν ἔργον
τὸ καὶ οἰκητήριον θεῖον τὸ πρὸς τὸ ἡλιακὸν κλίμα
νομίζοντες, ἐν αὐτῷ ἀφορῶντες, τοὺς ὕμνους καὶ
τὰς προσευχὰς τῷ Θεῷ ἀναπέμπομεν; τίνες δὲ καὶ
οἱ ταύτην τὴν συνήθειαν τοῖς Χριστιανοῖς ἐκδιδά-
ξαντες.

Ἀπόκρισις.

Ἐπειδὴ τῶν παρ' ἡμῖν τὰ τιμιώτερα εἰς τιμὴν τοῦ Θεοῦ ἀφορίζομεν, κατὰ δὲ τὴν τῶν ἀνθρώπων ὑπόληψιν τιμιωτέρα ἐστὶν ἡ ἀνατολὴ τῶν ἄλλων μερῶν τῆς κτίσεως· διὰ τοῦτο ἐν τῷ καιρῷ τῆς προσευχῆς νεύομεν πρὸς ἀνατολὴν πάντες· καθάπερ τῇ δεξιᾷ χειρὶ ἐν ὀνόματι Χριστοῦ κατασφραγίζομεν τοὺς τῆς σφραγῖδος ταύτης δεομένους· ἐπειδὴ τιμιωτέρα νενόμισται τῆς ἀριστερᾶς, καίτοι θέσει, καὶ οὐ φύσει διαφέρουσα ταύτης ὑπάρχει. οὕτως καὶ ἡ ἀνατολὴ ὡς τιμιώτερον μέρος τῆς κτίσεως, εἰς προσκύνησιν Θεοῦ ἀφώρισται. οὐκ ἐναντιοῦται δὲ τῇ προφητικῇ τε καὶ ἀποστολικῇ φωνῇ τὸ πρὸς τὴν ἀνατολὴν ποιεῖν ἡμᾶς τὰς εὐχάς. ἐν παντὶ γὰρ τόπῳ ὑπάρχει ἡ ἀνατολὴ τοῖς εὐχομένοις· καὶ ἐπειδὴ ἐφ' ὃ μέρος τὴν ὁρατικὴν αἴσθησιν κεκτήμεθα, κατὰ τοῦτο τὸ μέρος προσκυνοῦμεν· ἀδύνατον δὲ ἐν τῷ καιρῷ τῆς προσευχῆς εἰς τὰ τέσσαρα μέρη τῆς κτίσεως ἀποβλέπειν· διὰ τοῦτο εἰς τὸ ἓν μέρος τῆς κτίσεως ἀφορῶντες, ποιοῦμεν τὴν προσκύνησιν, οὐχ ὡς μόνον ἔργον τοῦ Θεοῦ, οὐδ' ὡς εἰς κατοικητήριον τοῦ Θεοῦ τοῦτο ἀφωρισμένον, ἀλλ' εἰς τόπον προσκυνήσεως τῆς παρ' ἡμῶν προσαγομένης Θεῷ τεταγμένον. τὸ δὲ ἔθος, παρ' ὧν εἴληφεν ἡ ἐκκλησία τὸ εὔχεσθαι, παρὰ τούτων εἰληφέναι καὶ τὸ ποῦ εὔχεσθαι· τοῦτο δὲ παρὰ τῶν ἁγίων ἀποστόλων.

Ἐρώτησις ριθ'.

Εἰ μήτε τοὺς ἐκ τῶν δένδρων καρποὺς, μήτε τῆς τῶν κρεῶν ἐδωδῆς οἱ πρὸ τοῦ κατακλυσμοῦ

sunt

μετελάμβανον, καθὼς τινὲς τῶν πατέρων ἐδίδαξαν, πῶς ὁ Ἄβελ ἐκ τῶν στεάτων τῶν προβάτων ὧν ἐποίμαινε, καὶ ὁ Κάϊν ἐξ ὧν ἐγεώργει καρπῶν τῆς γῆς ὁμοίως προσέφερε· καὶ δῆλον, ὡς ἑκάτερος αὐτῶν τῆς οἰκείας βρώσεως προτιμῶν τὸ θεῖον, τῇ τοιαύτῃ θυσίᾳ ἐκέχρητο; εἰ δὲ τὰ ἄχρηστα αὐτοῖς τῷ Θεῷ προσεκόμιζον, πῶς τῇ τοιαύτῃ προσφορᾷ τὸ ἀεὶ ὂν οὐχ ὕβριζον; ἀζήμιον γὰρ αὐτοῖς καὶ χλευαστικὴν χάριν ἕκαστος αὐτῶν κατετίθετο. πῶς οὖν ἡ μὲν τοῦ Κάϊν θυσία ἀπόβλητος, τὰ δὲ τοῦ Ἄβελ δῶρα αἰδέσιμα γέγονεν;

Ἀπόκρισις.

Ὁ μακάριος ἀπόστολος ὁ τῶν πατέρων πατὴρ, „ καὶ εὐσεβείας διδάσκαλος, φησὶ, Τίς φυτεύει „ ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; τίς „ ποιμαίνει ποίμνιον, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;- ἀντὶ τοῦ Οὐδείς. ἀλλ᾽ εἰ μηδεὶς, δῆλον ἄρα ὅτι οὐδὲ ὁ Ἄβελ ἐποίμαινε τὴν ποίμνην, ἵνα μὴ ἐσθίῃ τοῦ γάλακτος τῆς ποίμνης αὐτοῦ· οὔτε ὁ Κάϊν ἐγεώργει τὴν γῆν, ἵνα μὴ ἐσθίῃ τῶν καρπῶν αὐτῆς. ἔτι δὲ εἰ ἄχρηστοι ἦσαν τῷ Κάϊν οἱ καρποὶ τῆς γῆς, τίνος ἕνεκεν τοῖς χείροσι μὲν ἐτίμα τὸν Θεὸν, τοῖς κρείττοσι δὲ αὐτὸν τοῦ Θεοῦ προετίμησε; διὸ ἀπόβλητος αὐτοῦ γέγονεν ἡ θυσία, μὴ χρῄζων τῶν καρπῶν τῆς γῆς. εἰ δὲ προετίμησεν ὁ μὲν Ἄβελ τῆς ἰδίας χρείας τὸν Θεὸν, ὁ δὲ Κάϊν τὴν ἰδίαν χρείαν τοῦ Θεοῦ, δῆλον ἄρα ὅτι ἕκαστος αὐτῶν τῆς ἐκ τῶν οἰκείων πόνων ἔχρῃζε θεραπείας.

226 Ἐρώτησις ρκ΄.

Εἰ βασιλείαν τοῦ Θεοῦ τὴν ἀνάστασίν τινες ὑπειλήφασι, δίκαιοι δὲ καὶ ἁμαρτωλοὶ ταύτης ἀξιωθῆναι πιστεύονται, πῶς τοὺς τὰ ἀπηγορευμένα ποιή„ σαντας ἀποκληρονόμους ὁ Παῦλος ἀπέφαινε, „ φήσας, ὅτι οὔτε πόρνοι, οὔτε μοιχοὶ, καὶ οἱ ἐφεξῆς, βα„ σιλείαν Θεοῦ κληρονομήσουσιν;

Ἀπόκρισις.

Βασιλείαν Θεοῦ οἶδεν ἡ θεία γραφὴ ὀνομάζειν, οὐ τὴν ἀνάστασιν ἁπλῶς, ἀλλὰ τὴν μετὰ τὴν ἀνάστασιν ἀποκατάστασιν, ἐν ᾗ γίνεται κολαζομένων τε καὶ δοξαζομένων ἡ διαίρεσις, τοῦ Θεοῦ ὑπὸ πάντων ἀναμφιβόλως ὁμολογουμένου, τοῦ τὴν δόξαν ἐν τοῖς δοξαζομένοις ἐνεργοῦντος, καὶ τὴν „ κόλασιν ἐν τοῖς κολαζομένοις. Ἀκούσονται, φησὶ, τῆς „ φωνῆς τοῦ υἱοῦ τοῦ Θεοῦ οἱ ἐν τοῖς μνημείοις, καὶ „ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστα„ σιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστα„ σιν κρίσεως:- διῄρηται οὖν ἡ ἀνάστασις εἰς ζωὴν καὶ κρίσιν, κατὰ τὰς διαφορὰς δικαίων τε καὶ ἀδίκων. ἐπὶ πλέον γὰρ ἡ ἀνάστασις τῆς βασιλείας τοῦ Θεοῦ· ἡ μὲν γὰρ ἀνάστασις, δικαίους τε καὶ ἀδίκους περιέχει· ἡ δὲ βασιλεία τοῦ Θεοῦ, μόνους τοὺς δικαίους περιέχει.

Ἐρώτησις ρκα΄.

Εἰ ἀναθεματισμὸν μόνον ἐπὶ τῶν ἀτόπων ἡ πα-

sunt vsi: id quod quidam ex Patribus docuerunt: quomodo Abel ex adipe quas pascebat ouium; Cain autem ex fructibus quam colebat terræ, pariter obtulere? Et patuerit vtrumque ipsorum, quod cibis suis diuinum numen haberet antiquius, sacrificio huiusmodi vsum esse. Sin quæ nullo ipsis essent vsui, Deo consecrarant: quomodo tali oblatione erga id quod semper exsistit, non fuerint contumeliosi? indemnem namque & ludificatricem eorum quisque Deo dedicauerit gratiam. quonam igitur pacto Caini oblatio abiecta, Abelis vero munera venerabilia acceptaque fuere?

RESPONSIO.

Beatus Apostolus, patrum pater, & veræ pietatis doctor, ait: *Quis plantat vineam, & de fructu eius non edit? Quis pascit gregem, & de lacte gregis non edit?* pro eo quod est Nullus. Quod si nullus, perspicuum certe fuerit, neque Abelem ita pauisse gregem, vt non ederet lac gregis eius: neque Cainum ita coluisse terram, vt non ederet fruges eius. Iam si inutiles fuerunt Caino fructus terræ, quamobrem deterioribus Deum veneratus est, melioribus autem seipsum Deo prætulit? quapropter abiecta fuit oblatio eius, frugum terræ vsu non vtentis. Sin Abel quidem præstátiorem duxit vtilitate sua Deum, Cain vero commoditatem suam Deo prætulit: satis pateat vtrumque a laboribus suis fructum mutuatum esse ad vsum & cultum sacrum.

QVÆSTIO CXX.

Si quidam *Regnum Dei*, resurrectionem esse opinati sunt: ea vero & iustos & peccatores dignatum iri creditur: quomodo eos qui prohibita facinora patrarunt, exhæredes regno Dei esse Paulus declarauit, inquiens; Neq; scortatores, neq; adulteri, neq; qui deinceps enumerantur, regni Dei hæreditatem consequentur?

RESPONSIO.

Regnum Dei Scriptura sacra appellare nouit, non simpliciter resurrectionem, sed eam quæ resurrectionem consequetur, instaurationem: in qua futura est eorum qui punientur, & eorum qui glorificabuntur, segregatio: cum omnes, citra dubitationem omné, Deum confitebuntur, & gloriæ in glorificandis, & pœnæ in puniendis auctorem. *Audient*, inquit, *vocem Filii Dei, qui in monumentis sunt: & prodibunt, qui bona fecerunt, in resurrectionem vitæ: qui vero mala egerunt, in resurrectionem condemnationis.* Itaque resurrectio diuisa est in vitam & condemnationem, iuxta iustorum & iniustorum discrimen. Latius namque patet resurrectio, regno Dei: eo quod resurrectio iustos & iniustos complectitur; regnum autem Dei, solos iustos.

QVÆSTIO CXXI.

Si anathematismum in rebus absurdis tantum, & ve-

tus & nouum Testamentum nouit: quomodo beatus Petrus in passione Dominum abnegans, anathematizare & exsecrari cœpit? Quæ vero est vtriusque differentia, hoc est anathematismi & catathematismi: & quæ alterius significatio?

RESPONSIO.

Anathema id dicitur, quod Deo est dedicatum atque destinatum, & in communem vsum amplius non conuertitur; aut id quod a Deo per maliciam est abalienatum: *Catathema* vero, est eorum qui se pacto anathematizantibus & exsecrantibus coniungunt.

QVÆSTIO CXXII.

Si horis atque diebus res nostræ non continentur: quomodo in nuptiis ipse Dominus illud dixit; *Nondum venit hora mea?* & de eo Euangelista; *Nemo misit in illum manus; quia nondum venerat hora eius.*

RESPONSIO.

Etiamsi horis atque diebus res nostræ non continentur: earum tamen quæ a nobis vel circa nos fiunt rerum, partim opportuno & debito fiunt tempore, partim importuno & indebito. Itaque Scriptura sancta opportunum ad id quod geritur negocium tempus, horæ præsentiam: importunum autem, horæ absentiam vocat. Et quia post miraculum vini facti, Dominus commodum ex nuptiis secedendi tempus esse existimauit: propterea idem ante vini facti miraculum dixit; *Nondum venit hora mea.* Et iterum, quia tempore Paschatis Iudæorum CHRISTVM capi, & malis quæ passus est affligi oportuit, propterea de ipso dictum est illud; *Sed nemo misit in illum manum; quia nondum venerat hora eius.* Cum vero non necessitas horæ, prehensionem eius prohibuerit, nimirum Dei prouidentia [illam distulit: qua sane quidem prouidentia, si tum prohibita non esset, sed] horæ ipsius necessitate, non eam vtiq; sanctæ litteræ regioni loci annexuissent: *Reuersus est*, inquit, IESVS *in Galilæam: non enim voluit in Judæa versari; quia quærebant eum Iudæi interficere.* Quin etiam antehac in Ægyptum non secessisset, si satis commoda fuisset horæ necessitas, ad ipsum, quo minus caperetur, seruandum.

QVÆSTIO CXXIII.

Si Bonum omnium est pulcherrimum; & Id quod cum malis conflictatur, quæ exstant rerum pessimum: & Bonum quidem est Deus; homo autem, omnium deterrimum: Non enim quæ exstant rerum est aliud (cæli, inquam, terræ, aeris, luminarium, & similium) quod perinde malis atq; homo exerceri possit: Quomodo ergo homo, rerū omnium pessimū non est?

RESPONSIO.

Si hominis gratia, alia quæ nominata sunt, exstant: & quæ alterius gratia sunt, inferiora illo ipso sunt: pulcherrimus fuerit homo, qui supra ea est quæ eius causa sunt. Sin & hoc ipsum quod malis exerceatur, aliquid

λαιά τε καὶ νέα διαθήκη ἐπίσταται, πῶς ὁ μακάριος Πέτρος, ἐν τῷ πάθει τὸν δεσπότην ἀρνούμενος, ἀναθεματίζειν ἤρξατο; τίς δὲ ἡ διαφορὰ ἑκατέρων, τουτέστι τοῦ ἀναθεματισμοῦ, καὶ τοῦ καταθεματισμοῦ, καὶ τί τὸ ὑφ' ἑκατέρου σημαινόμενον;

Ἀπόκρισις.

Ἀνάθεμα λέγεται τὸ ἀνακείμενον καὶ ἀφωρισμένον Θεῷ, καὶ εἰς κοινὴν χρῆσιν μηκέτι λαμβανόμενον· ἢ, τὸ ἀπηλλοτριωμένον Θεοῦ, διὰ κακίαν. κατάθεμα δέ ἐστι, τὸ συντίθεσθαι τοῖς ἀναθεματίζουσιν.

Ἐρώτησις ρκβ΄.

Εἰ ὥραις καὶ ἡμέραις τὰ καθ' ἡμᾶς οὐ κατέχεται, πῶς ἐν τῷ γάμῳ ὁ Κύριος ἔλεγέ τι, Οὔπω ἥκει ἡ ὥρα μου:- καὶ ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ τι, Οὐδεὶς ἔβαλε τὰς χεῖρας ἐπ' αὐτὸν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ;-

Ἀπόκρισις.

Εἰ καὶ ὥραις καὶ ἡμέραις τὰ καθ' ἡμᾶς οὐ κατέχεται, ἀλλ' ὅμως τῶν παρ' ἡμῶν ἢ περὶ ἡμᾶς γιγνομένων τὰ μὲν γίνεται ἐν ἐπιτηδείῳ καιρῷ, τὰ δὲ ἐν ἀνεπιτηδείῳ. καλεῖ οὖν ἡ θεία γραφὴ τὸν ἐπιτήδειον πρὸς τὸ γινόμενον πρᾶγμα καιρὸν, παρουσίαν τῆς ὥρας· τὸν δὲ ἀνεπιτήδειον, ἀπουσίαν τῆς ὥρας. καὶ ἐπειδὴ μετὰ τὴν ποίησιν τοῦ οἴνου, καιρὸν ἐπιτήδειον ἡγεῖτο ὁ Κύριος τὸν ἐκ τοῦ γάμου ἀναχωρήσεως, διὰ τοῦτο πρὸ τῆς ποιήσεως τοῦ οἴνου εἶπεν ὁ Κύριος, Οὔπω ἥκει ἡ ὥρα μου:- καὶ πάλιν, ἐπειδὴ ἐν τῷ καιρῷ τοῦ πάσχα τῶν Ἰουδαίων ἔδει τὸν Κύριον συλληφθῆναι καὶ παθεῖν ἃ ἔπαθε, διὰ τοῦτο πρὸ τοῦ πάσχα ἐρρήθη περὶ αὐτοῦ τὸ, Ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ:- οὐ τῆς ἀνάγκης τῆς ὥρας κωλυούσης αὐτοῦ τὴν σύλληψιν, ἀλλ' ἡ τοῦ Θεοῦ πρόνοια . . . . . τῇ ἀνάγκῃ τῆς ὥρας ἐκωλύετο τοῦ Κυρίου ἡ σύλληψις, καὶ οὐκ ἂν ταύτην προσῆψεν ἡ θεία γραφὴ τῷ χωρίῳ τῷ τοῦ τόπου. Ἀνεχώρησε, φησὶν, ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν. οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι οἱ Ἰουδαῖοι 287
ἐζήτουν αὐτὸν ἀποκτεῖναι:- ἀλλ' οὐδὲ πρὸ τούτου εἰς Αἴγυπτον ἀνεχώρει, ἱκανῆς οὔσης τῆς ἀνάγκης τῆς ὥρας φυλάττειν αὐτὸν ἀσύλληπτον.

Ἐρώτησις ρκγ΄.

Εἰ τὸ ἀγαθὸν ἁπάντων ἐστὶ τὸ κάλλιστον, καὶ τὸ κακούμενον τῶν ὄντων ἐστὶ τὸ χείριστον· καὶ ἀγαθὸς μέν ἐστιν ὁ Θεός· κακούμενος δὲ ὁ ἄνθρωπος, ἁπάντων τὸ κάκιστον; οὐδὲ γὰρ τῶν ὄντων ἕτερον, οὐρανοῦ λέγω, καὶ γῆς, ἀέρος, φωστήρων, καὶ τῶν τοιούτων, δυνάμενον κακοῦσθαι κέκτηται.

Ἀπόκρισις.

Εἰ ἀνθρώπου ἕνεκεν τὰ ἄλλα ὀνομασθέντα ἐστὶ, τὰ δὲ τινος ἕνεκεν ὑπάρχοντα, ἐλάττονα ἐκείνου ἐστί. κάλλιστος ἄρα ἐστὶν ὁ ἄνθρωπος, ὁ ὑπὲρ τὰ δι' αὐτὸν ὑπάρχοντα. εἰ δὲ καὶ αὐτὸ τὸ κακοῦσθαι

συντελεῖ τι πρὸς τὴν βελτίωσιν τοῦ ἀνθρώπου, κάλλιστόν ἐστιν ὁ ἄνθρωπος, καὶ κατὰ τοῦτο ὑπὸ τῆς θείας προνοίας τοῖς κακωτικοῖς ἰατρευόμενος ἀπὸ τῆς ἰδίας γνωμικῆς αὐτοῦ κακίας. χρὴ δὲ τὸν βουλόμενον τὸν ἀγαθὸν ἄνθρωπον καταμαθεῖν, πρὸς τὸ τέλος ἀποβλέπειν τὸ μετὰ τὴν ἀποβίωσιν ἀποκείμενον ἀνθρώπῳ. ἐκεῖνος γὰρ τῆς παρούσης ζωῆς ἐστιν ὁ καρπὸς, τουτέστι μακαριότης ἀπελεύτητος, ἀντὶ τῆς ὀλιγοχρονίου κακουμένης ζωῆς.

Ερώτησις ρκδ΄.

Εἰ τοῦ ἑκάστου βιώτεως προγνώστης ὁ δεσπότης καθέστηκε, διὰ τί μὴ τῶν εὐσεβῶν τὰς ψυχὰς ἐν σώμασιν εὐσθενέσιν ἐνῴκισεν; εἰ δὲ θησαυρίζων αὐτοῖς τὰς ἀμοιβὰς ἐν τοῖς μέλλουσιν, ἐν τοῖς παροῦσιν αὐτοὺς συνεχώρησε θλίβεσθαι, διὰ τί μὴ πάντες ἐν ταῖς θλίψεσιν ὁμοίως οἱ εὐσεβεῖς ἐξητάζοντο, ὥστε δῆλον ἐκ τούτου τὸ καλὸν καὶ τὸ δεινὸν διαδείκνυσθαι; εἰ δὲ ἀμφότερα παρ' ἀμφοτέροις εὑρίσκεται, πῶς οὐκ ἄδηλος ὁ τὸ κρεῖττον ἑλόμενος; πῶς δὲ ὡς ἔτυχε τὰ πάντα φερόμενα, ἀπρονόητα τὰ ἐν τῷ κόσμῳ οὐ δείκνυσιν, εὐσεβοῦς καὶ ἀσεβοῦς οὐκ οὔσης τινὸς διακρίσεως;

Απόκρισις.

Οὐκ ἐβούλετο ὁ Θεὸς τοῖς παροῦσιν ὑπὲρ ἀρετῆς τιμῆσαι τοὺς αὐτῷ ἀνακειμένους. τὰ γὰρ ἐν τῷ θανάτῳ τῶν εὐσεβῶν, οὐκ ἔστι μισθὸς ἀρετῆς· καὶ καθώσπερ λέγονται οἱ εὐσεβεῖς μὴ εἶναι ἐκ τοῦ κόσμου, οὕτως καὶ ἡ δόξα αὐτῶν καὶ ὁ πλοῦτος, οὐκ ἔστι γήινα. ὅταν οὖν ὁρῶμεν προσόντα τοῖς εὐσεβέσιν ἃ πρόσεστι καὶ τοῖς ἀσεβέσιν, ἀναλογισώμεθα ἐκ τούτου μὴ εἶναι ἄξια τὰ παρόντα τῶν τῆς ἀρετῆς πόνων. καὶ εἰ φαίνεταί ποτε Θεὸς τοῖς ἀνθρώποις, ποτὲ ὑψώσας τινὰς τῶν αὐτῷ ἀνακειμένων, ὡς τὸν Ιωσὴφ καὶ τὸν Δαβίδ· ἀλλ' ὅμως, οὐ τὰς ἀρετὰς αὐτῶν τούτοις ἀμειβόμενος, ἀλλὰ διὰ μὲν τοῦ Ιωσὴφ τῆς τοῦ Ισραηλιτικοῦ γένους αὐξήσεως προνοησάμενος, διὰ δὲ τοῦ Δαβὶδ τὴν τοῦ πνεύματος βασιλείαν συνεστήσατο. διαφέρουσι δ' οἱ εὐσεβεῖς τῶν ἀσεβῶν, ἐν τοῖς ὑλικοῖς τε καὶ σωματικοῖς οὐδαμῶς· πάντα γὰρ πάρεστιν ἀμφοτέροις τά τε ἡδέα καὶ τὰ λυπηρά· διαφέρουσι δὲ ἀλλήλων προηγουμένως μὲν τῇ τε ἐλπίδι τῶν μελλόντων, καὶ τοῖς ὑπὲρ τῆς εὐσεβείας παθήμασιν· ἔπειτα δὲ καὶ ταῖς θείαις συμμαχίαις· ἐν αἷς πολλάκις περιβλέπτους ἐποίησεν ὁ Θεὸς τοὺς ἰδίους, ποτὲ μὲν τὴν τῶν Αἰγυπτίων δυναστείαν καταλύων, ποτὲ δὲ τοὺς Χαναναίους τοῖς Ισραηλίταις ὑποτάσσων, ποτὲ δὲ τῶν Ασσυρίων τὸ θράσος κοιμίζων, ποτὲ δὲ τῶν Βαβυλωνίων καθαιρῶν τὴν βασιλείαν, ποτὲ δὲ δρόμον τε καὶ
288 στάσιν παρὰ φύσιν προστάσσων τῷ ἡλίῳ. ἐν τούτοις μὲν ἡ πρόνοια διαδείκνυται τοῦ Θεοῦ, ἐν ἐκείνοις δὲ παρασκευάζει τοὺς εὐσεβεῖς πρὸς ἄλλον βίον ἀφορᾶν ἐν ᾧ γίνεται κατὰ δόξαν τε καὶ ἀδοξίαν δικαίων τε καὶ ἀδίκων ἡ διάκρισις.

aliquid momenti ad id confert vt homo meliorescat, optimus homo fuerit; atque hoc modo per diuinam prouidentiam, rebus aduersis & afflictionibus tamquam medicina quadam, a destinata malicia sua liberatus, sanior reddatur. Qui autem bonum hominem nosse velit, eum ad finem & præmium respicere oportet, post exactam vitam homini repositum. Ille namq; est præsentis huius vitæ fructus, sempiterna videlicet, pro breui hac & ærumnosa vita, beatitudo.

QVÆSTIO CXXIIII.

Si cuiusq; vitæ conuersationis Dominus præcognitor est: quapropter piorum animas, in validorum corporum domicilio nō collocauit? Sin, vt mercedem futurorum eis veluti thesaurum colligat, in præsenti rerum statu affligi ipsos permittit: quid ita nō omnes pii pariter experiuntur ærumnis; vt pateret pulchrum inde & durum clare exhiberi? At enim si vtraq; reperiuntur apud vtrosq;, pios videlicet & impios, prospera & aduersa: quomodo incertū nō est, vtri quod meli⁹ sit delegerint? Quomodo autē, cum omnia pro eo atque sors tulit ferātur, res mundanę sine prouidentia constare, non demonstrantur, nulla inter pios & impios interueniente discretione?

RESPONSIO.

Noluit Deus rebus præsentibus, deditorum sibi hominum virtutē cohonestare. Nam quæ in morte piis accidunt, virtutis merces non sunt. Et sicuti pii dicuntur non esse de mundo, sic & gloria eorum & opes nō sunt terrenę. Itaq; cum viderimus piis ea adesse quæ impiis etiam adsunt: reputabimus nobiscum ex eo, non esse præsentia bona, digna laborū virtutis præmia. Atq; etiamsi quandoq; videtur Deus nonnullos sibi addictorū honoribus extulisse, quemadmodum Iosephum & Dauidem: non tamen illis virtutes eorum compensauit; verum per Iosephum Israelitici generis incremento prospexit Deus: per Dauidem autem, regnum Spiritus constituit. Nequaquam vero pii impiis, fluxis hisce & corporalibus rebus intersunt. Vtrisque enim adsunt omnia, & læta & tristia. Alteri autem ab alteris differunt, in primis spe futurorum, & quæ in pietate vera tolerantur passionibus: deinde vero etiam auxilio diuino, quo sæpenumero suos Deus reddidit conspicuos; aliquando Ægyptiorum abolens dominatum, nonnumquam Chananæos Israelitis subiiciens, quandoque ferocitatem sopiens Assyriorum, aliquando Babyloniorum abrogans imperium, nonnumquam cursum & stationem præter naturam soli imperans. Atque in his quidē Dei prouidentia ostenditur; in illis autem præparat instruitq; Deus pios, vt ad aliam respiciant vitam, in qua per gloriam & ignominiam iusti atque iniusti discernentur.

QVÆSTIO CXXV.

Si apostolus Paulus malum malo, aut conuicium conuicio pensare vetuit: quomodo ipse diuersum ab eo quod iussit, fecit, nunc sacerdotum Principi, nunc Alexandro fabro ærario dira precatus?

RESPONSIO.

Si quidem Paulus percutientem repercussisset Pontificem; aut Alexandrum qui malis eum affecerat, malis contra affecisset: dicere liceret, diuersa eum a doctrina sua egisse. Cum vero ea dicere, quæ cuique a Deo prouentura sint; Pontifici quidem; *Percussurus est te Deus, paries dealbate:* Alexandro autem; *Reddat illi Dominus in illa die:* neque exsecratio sit, neque conuicium: prædictiones certe fuerint, Apostolicum decentes virum; qui seipsum non vlciscatur, sed locum det iræ.

QVÆSTIO CXXVI.

Si Deus vitæ huius splendore remuneratur, sicut Abraamum, & Isaacum, & Iacobum, & posteros eorum, diuitiis, liberorũ frequentia, & largo frugum prouentu: vnde ea quoq; prouenerunt Græcis & gentilibus, cũ vbiq; locorũ simulacra colerent? Quomodo autẽ Græcismus & paganismus nõ probatur esse sanctior? quandoquidem, quamdiu in vrbibus ille obtinuit, omnis ibi & in agris eorum prosperitas, & rerum abundantia viguit: idq; cum illæ crebro bellis premerentur ex quo autem in eis Christiana inualuit professio, domibus, & ciuibus, & reliqua copiarum vbertate sunt destitutę. & quia vix reliquias, quæ a Græcis olim exstructa sunt, ædificiorum retinentes, quod aliquando vrbes fuerint, ostendunt; vtriusq;, & veteris felicitatis, & recentis solitudinis causas esse, vtrosque cultus præ se ferunt.

SOLVTIO.

A Domino Deo, qui solem suum exoriri sinit super bonos ac malos, & pluuiam mittit super iustos & iniustos, vtrisque in hac vita corporalis suppeditatur splendor. Cuius enim potentia mundus condit⁹ est, eius quoq; prouidentia administratur. Itaque cum iusti superiores se esse viderint, susceptis pro vera religione laboribus; rebus autem vitę huius impiis seu pares, [seu impares, excitari debent] ad futuræ vitæ spem & exspectationem: in qua est præmii & pœnæ differentia, iustorũ & iniustorum discrimen, sicuti dictum est. Porro quod paganismo vigente, vrbium & regionum factæ sint vastitates, testatur vastities & solitudo Babyloniorum, & Assyriorum, & Niniuitarum, & cæterorum plurium populorum. Aliquam vero vrbem vtrorumque, piorum scilicet & impiorum, desolatam esse, Christianismo obtinente, monstrare non est. Ex vbertate autem & prolixo prouentu frugũ domorumq;, vt vrbium & agrorum solitudine, de sanctitate eorum qui aliis præstent, coniecturam capere non licet: Domino Deo,

Ἐρώτησις ρκε'.

Εἰ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας ὁ ἀπόστολος Παῦλος ἀπηγόρευσε, πῶς αὐτὸς ὢν αὐτὸ ἐναντία ἔπραξε, ποτὲ μὲν τῷ ἀρχιερεῖ, ποτὲ δὲ Ἀλεξάνδρῳ τῷ χαλκεῖ ἀρασάμενος;

Ἀπόκρισις.

Εἰ μὲν ἀντίτυπτεν ὁ Παῦλος τὸν τυπτήσαντα αὐτὸν ἀρχιερέα, ἢ ἀντεκάκωσε τὸν κακώσαντα αὐτὸν Ἀλέξανδρον, ἐνῆν λέγειν ὅτι τὰ ἐναντία ὧν ἐδίδαξεν ἔπραττε. τὸ δὲ λέγειν τὰ ἑκάστῳ μέλλοντα συμβήσεσθαι παρὰ τοῦ Θεοῦ, τῷ μὲν ἀρχιερεῖ, Τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε· τῷ δὲ Ἀλεξάνδρῳ τὸ, Ἀποδώῃ αὐτῷ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐκ ἔστιν οὔτε κατάρα, οὔτε λοιδορία, ἀλλὰ προρρήσεις πρέπουσαι ἀνδρὶ ἀποστόλῳ, μὴ ἐκδικοῦντι ἑαυτὸν, ἀλλὰ διδόντι τόπον τῇ ὀργῇ.

Ἐρώτησις ρκς'.

Εἰ τοὺς εὐσεβεῖς ἀμείβεται ὁ Θεὸς τῇ κατὰ τόνδε τὸν βίον λαμπρότητι, ὡς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοὺς ἐξ αὐτῶν, πλούτῳ καὶ εὐπαιδίᾳ καὶ καρπῶν εὐφορίᾳ, πόθεν καὶ τὰ ὅμοια παρείχοντο Ἕλλησιν, ἡνίκα τὰ εἴδωλα πανταχοῦ ἐθεράπευον; πῶς δὲ ὁ Ἑλληνισμὸς οὐ δείκνυται ὁσιώτερος, ὅτι ἕως μὲν ἐκεῖνος κατεῖχε τὰς πόλεις, πᾶσαι αἱ πόλεις καὶ οἱ ἀγροὶ εὐπραγίαν καὶ εὐθηνίαν ἐκέκτηντο, καὶ ταῦτα συχνότερον πολεμούμεναι· ἀφ' οὗ δὲ αὐτὰς τὸ Χριστιανικὸν κατέλαβε κήρυγμα, καὶ οἴκων, καὶ οἰκούντων, καὶ τῆς λοιπῆς εὐθηνίας κατέστησαν ἔρημοι, καὶ μόλις τὰ λείψανα τῶν πάλαι ὑπὸ τῶν Ἑλλήνων γεγενημένων κτισμάτων κατέχουσαι, τὸ ποτὲ πόλεις γεγενῆσθαι δεικνύουσι, τῆς παλαιᾶς εὐθηνίας καὶ τῆς νέας ἐρημίας ἑκατέρας τὰς θρησκείας αἰτίας ἀμφοτέρων προφέρουσαι;

Ἀπόκρισις.

Παρὰ τοῦ δεσπότου Θεοῦ τοῦ τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντος ἐπὶ πονηρούς τε καὶ ἀγαθοὺς, καὶ βρέχοντος ἐπὶ δικαίους καὶ ἀδίκους, ἀμφοτέροις χορηγεῖται ἡ κατὰ τὸν παρόντα βίον σωματικὴ λαμπρότης. οὗ γὰρ τῇ δυνάμει ὁ κόσμος γεγένηται, τούτου καὶ τῇ προνοίᾳ διοικεῖται. ἵνα οὖν ἑαυτοὺς ὁρῶντες οἱ δίκαιοι πλεονάζοντας μὲν ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας πόνοις, ἰσαζομένους δὲ τοῖς ἀσεβέσι τοῖς βιωτικοῖς, βίον ἕτερον προσδοκήσαντες ἐν ᾧ γίνεταί τις διαφορὰ τιμῆς τε καὶ τιμωρίας, δικαίων τε καὶ ἀδίκων τὴν διανομὴν καθάπερ εἴρηται. ὅτι δὲ κρατοῦντος τοῦ Ἑλληνισμοῦ ἐγένοντο οἱ ἀφανισμοὶ πόλεών τε καὶ ἀγρῶν, μαρτυρεῖ ἡ ἐρημία τῶν Βαβυλωνίων καὶ Ἀσυρίων, καὶ τῆς Νινευΐ, καὶ ἑτέρων πολλῶν ἐθνῶν. ποία δὲ πόλις τῶν ἀμφοτέρων πόλεων κρατοῦντος τοῦ Χριστιανισμοῦ ἠρημώθη, οὐκ ἔστι δεῖξαι. ἀπὸ δὲ τῆς εὐθηνίας τε καὶ εὐφορίας, οἰκήσεών τε καὶ ἐρημίας πόλεών τε καὶ ἀγρῶν, οὐκ ἔνεστι τεκμήρασθαι τῶν κρειττόνων τὴν ὁσιότητα, τοῦ δεσπότου

Θεοῦ τῶν τοιούτων πρὸς τὸ λυσιτελὲς πᾶσι τοῖς ἀνθρώποις τὴν παροχὴν ποιοῦντος, καὶ τὴν ἀφαίρεσιν. κρίνεται δὲ τῶν κρειττόνων ἡ ὁσιότης ἐκ τῶν κατὰ προαίρεσιν ὑπ' αὐτῶν πραττομένων καλῶν. τὸ δὲ ἀνθρώπους προσαγαγεῖν τοῖς δαίμοσιν εἰς θυσίας, (Ἔθυσαν, φησὶ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις) καὶ τὸ τοῖς ἀψύχοις τὴν
389 Θεῷ πρέπουσαν προσφέρειν τιμὴν, τῶν Ἑλλήνων κρατούντων ἐγίνετο. τὸ δὲ κωλυθῆναι τὰς τοιαύτας Ἑλληνικὰς ἀνοσιουργίας, τῶν Χριστιανῶν κρατούντων ἐγένετο. χρὴ οὖν ἀπὸ τῶν τοιούτων Χριστιανῶν γνωρίζειν τὴν ὁσιότητα, καὶ μὴ ἀπὸ τῆς εὐθηνίας τε καὶ οἰκήσεως πόλεών τε καὶ ἀγρῶν. τοσοῦτον δὲ πλεονάζει ὁ Χριστιανισμὸς καιρὸν τούτοις, ὅσον κρατοῦντος αὐτοῦ ἔλαττον πολεμεῖται ὁ κόσμος ὧν ἐπολεμεῖτο κρατήσαντος τοῦ Ἑλληνισμοῦ.

Ἐρώτησις ρκζ.

Εἰ τὸ ἀναιρούμενον ὑπὸ τοῦ ἀναιροῦντος ἀπόλλυται, καὶ τὸ ἀναιροῦν φαυλότητι τὰ τῆς ἀπωλείας ἐργάζεται· πλεῖστα δὲ τοιαῦτα ἐν τοῖς ἐμψύχοις πάντων τῶν ἀλόγων εὑρίσκεται, καὶ ἐν αὐτοῖς ἐστὶ θεάσασθαι, οὐ μόνον κατ' ἀλλήλων, ἀλλὰ καὶ κατ' ἀνθρώπων τὰ τῆς ἐπιβουλῆς ἐπιχειρούμενα, πῶς ἀληθεύει ὁ λέγων, ὅτι ὁ Θεὸς πάντα καλὰ καὶ λίαν καλὰ ἐποίησεν; εἰ δὲ ἀληθεύει, ἀγαθὰ δὲ καὶ φαῦλα ἐν τῇ κτίσει ὑπάρχουσι, πῶς τὰ μὲν ἀγαθὰ ἀγαθοῦ, τὰ δὲ φαῦλα φαύλου δημιουργοῦ οὐ γνωρίζονται, καὶ δύο ἐναντίαι ἀρχαὶ κατὰ Μανιχαίους δείκνυνται; εἰ δὲ ἡ ἀναίρεσις τῶν ἀναιρουμένων ἐπ' ἀγαθῷ τινι γίνεται, καθὼς τοῦτο παρ' ἐνίοις ὑπείληπται, πῶς οὐκ ἦν ἀγαθώτερον τὸ ἐν ἀρχῇ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι αὐτῶν κωλυθῆναι τὴν πάροδον;

Ἀπόκρισις.

Ὁ ἐκ τῆς δημιουργίας τῶν ἐμψύχων λογικῶν τε καὶ ἀλόγων περὶ τοῦ δημιουργοῦ ἀκόλουθον ποιούμενος τὴν ζήτησιν κατὰ τὴν φύσιν αὐτῶν, ὀφείλει ἀποβλέπειν τὴν κατὰ τὸν τοῦ δημιουργοῦ ὅρον ἄγουσαν τὰ θνητὰ πάντα ὥσπερ εἰς γένεσιν, οὕτως καὶ εἰς φθορὰν αὐτὰ καὶ ἀπώλειαν. εἰ δὲ κατὰ ταύτην μὲν ζώου κατὰ λόγον οὐκ ἔστι διαφορὰ, τῶν δὲ ἀδιαφόρων εἷς καὶ ὁ αὐτός ἐστι δημιουργός· ἣν δὲ ἐκ τῆς ἀλλήλων ἐπιβουλῆς ὑπομένουσιν ἀπώλειαν, κατὰ τὴν θείαν πρόνοιαν συγκεχώρηται συμβαίνειν αὐτοῖς· εἰ γὰρ ὑποκειμένων αὐτῶν τῇ τε κατὰ φύσιν, καὶ τῇ κατ' ἐπιβουλὴν φθορᾷ τε καὶ ἀπωλείᾳ, οὐ παρῃτήσαντό τινες θεοποιῆσαι αὐτὰ, πόσῳ μᾶλλον ἂν ἐθεοποιοῦντο εἰ βλάβης τε καὶ ἀπωλείας διαπαντὸς μεμενήκασιν ἐκτός; ἵνα οὖν ἀφ' ὧν ὑπομένουσι γνωρισθῶσιν ὅπερ εἰσὶ, τουτέστιν ἀνάξια τῆς τοῦ Θεοῦ τιμῆς τε καὶ προσηγορίας, διὰ τοῦτο καὶ φύσει καὶ ἐπιβουλῇ ὑπο . . . . . υσι.

Deo, ex vtilitate omnium mortalium, res huiusmodi præbente atque auferente: sed sanctitas eorum qui aliis sunt præstantiores, ex bonis quæ animi destinatione ab eis perficiuntur, operibus diiudicatur. Enimuero vt homines dæmonibus in sacris hostię offerrentur, (*Immolauerunt*, inquit, *filios & filias suas dæmonibus*) & vt qui Deo conuenit, inanimis exhiberetur honor, Græcis rerum potientibus, est factū: Christianis autem inualescentibus, nefaria huiusmodi Græcorū siue paganorum sacra sunt prohibita. Ex talibus ergo rebus, tamquam quibusdam notis, Christianorum sanctitatem dignoscere oportet; & non ex frugum affluentia & ædificiis, non ex vrbibus & agris. Tanto vero & his Christianismi temporibus abundat mundus magis, quanto nunc ille minus bellis etiam conflictatur, quam ante conflictabatur, paganismo dominante.

QVÆSTIO CXXVII.

Si id quod occiditur, ab occidente perditur: atque id quod occidit, perditionem prauitate perficit: plurima autem istius generis, in animatis eorum quæ ratione carent, reperiuntur; in quibus cernere est quædam non modo sibi ipsa inter sese, verumetiam hominibus insidias tendere: quomodo verus est qui dicit, Deum cuncta bona, & quidē valde bona fecisse? Sin verus est, bona autem & mala in creatura sunt: quomodo bona quidem boni, mala autem mali creatoris esse, non dignoscuntur? & duo sibi inter se repugnantia principia, secundum Manichæos, non demonstrantur? Sed enim si cædes eorum quæ enecantur, boni alicuius gratia fit, quemadmodum nonnulli opinati sunt: quomodo præstabilius non fuit, ab initio ea præpediri, quo minus ex eo quod non sit, in id quod sit, progrederentur?

RESPONSIO.

Qui ex creatione animatorum, rationalium iuxta & irrationalium, de Creatore consentaneam, secundū naturam eorum, mouet quæstionem: is secundum creatoris finem, inspicere debet naturam ipsam, mortalia omnia sicut ad generationem, ita etiam ad corruptionem & interitum producentem. Quod si hoc modo, iuxta animantis rationem, differentia inter ea non est: vnus atque idem eorum, quæ inter se non differunt, fuerit conditor. Quam autem alia per aliorum inter se structas insidias sustinent perditionem, ea illis per diuinæ prouidentiæ permissionem acciderit. Nam si quidam illa, cum ei quæ tum per naturam, tum per insidias fit, subiecta sint corruptibilitati & perditioni, diuinitate donare non detrectarunt: quanto magis diuinis honoribus fuissent prosequuti, si omnino damni & interitus permansissent experti? Vt ergo ex eis quæ perferunt, quæ sint dignoscantur, indigna scilicet Dei & honore & nomine: eam ipsam ob causam, & natura & insidiis [corruptionem & perditionem sustinent.]

Porro animantes irrationales procreatæ sunt, ad hominum partim ministerium, partim alimentum, partim coercionem, iuxta illud: *Dentes bestiarum immittam in eos, cum furore trahentium super terram.* Enimuero si bonum est, vt homo animalibus ratione carentibus alatur, eorumque ministerio iuuetur, & ab eisdem coerceatur: bona profecto fuerit eorum, ad id vt sint, productio; & a calumnia prauitatis naturæ, propter eam quæ ex ipsis percipitur vtilitatem, libera. Sin hoc sic habet, certum fuerit, vnius boni opificis irrationalia animalia omnia esse opificium.

QVÆSTIO CXXVIII.

Si eam quæ dicta est prauitatem, inuidentia salutis hominum inimicus in ipsis efficit, id dolo agens, vt eos futuris subdat suppliciis: rationis autem expertia, neque salutem neque pœnam inter eos qui punientur, curant, & propterea inexpugnabilem obtinent [feritatem,] quomodo nō sola naturæ malicia, mala consectantur?

RESPONSIO.

Irrationalium naturas, propter factorum prauitatem suggillare, rationis non est Nam bene aut male egisse, ratione præditorum est; non ratione carentium. Et quoniam propter eum quem diximus vsum, natura irrationalium est creata: manifestum fuerit, cum vsus bonus sit, bonam quoque esse naturam.

QVÆSTIO CXXIX.

Si *Simplex* quidem est id quod per seipsum sit, sicut in litterarum elementis I: *Compositum* autem id quod cum altero sit, vtputa π: & eo quod eiusdem vtraque sint essentiæ, I scilicet, & quod e tribus I componitur π, non aboletur id quod ex vtroq; connexo componitur: quomodo Deus incompositus dicitur e duabus personis, quæ intelligentia consubstantiales esse percipiuntur, Patris dico, & Filii, & vnius personæ, quæ facilem peculiaris subsistentiæ notionem præbet, sancti inquam Spiritus, obtinens compositionem, Vnusque & Incircumscriptus vocatur; cum tanta eius & talis sit, subsistentiarum siue personarum distinctio & discrimen?

RESPONSIO.

I & π substantia nihil inter se distant. vtrumque enim linea est. Linea autem, quatenus linea est, a linea nihil differt. Differt vero I a π positura ea qua hoc quidem I, illud autem π est. Atque ipsum π, quatenus linea est, vnum est: quatenus vero π, trinum est, compositumque & genitum. per partes namque & temporalem intensionem, id, vt π sit, ab eo quod ipsum consequutum est & fecit, exstitit. Oportet igitur eum qui naturali quapiam comparatione siue proportione illū contemplatur qui supra naturam est, ea dumtaxat ex comparatione desumere, quæ rei per comparationem contemplatione mentis conceptæ congruant

γέγονε δὲ τὰ ἄλογα ζῶα, τὰ μὲν, ἐπὶ ὑπουργίᾳ ἀνθρώπου· τὰ δὲ, εἰς τροφήν· τὰ δὲ, εἰς παιδείαν, ὡς τό, Ὀδόντας θηρίων ἐπαποστελῶ ἐπ' αὐτοὺς, μετὰ « θυμοῦ συρόντων ἐπὶ γῆς:- ἀλλ' εἰ ἀγαθόν ἐστι τὸ τρέ- « φεσθαι τὸν ἄνθρωπον ἐκ τῶν ἀλόγων ζώων, καὶ ὑπουργεῖσθαι ὑπ' αὐτῶν, καὶ παιδεύεσθαι δι' αὐτῶν, ἀγαθὴ ἄρα ἡ εἰς τὸ εἶναι αὐτῶν πάροδος, καὶ ἀδιάβλητος ἐπὶ φαυλότητι φύσεώς τε καὶ τῆς ἐξ αὐτῶν χρείας. εἰ δὲ τοῦτο, δῆλον ὅτι ἑνὸς δημιουργοῦ ἀγαθοῦ ἐστι πάντα τὰ ἄλογα ζῶα δημιουργήματα.

Ερώτησις ρκη'.

Εἰ τὴν προλεχθεῖσαν φαυλότητα φθόνῳ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐν τοῖς ἀνθρώποις ὁ ἐχθρὸς κατεργάζεται, μηχανώμενος διὰ τούτων τῆς μελλούσης αὐτοὺς ὑποβάλλειν κολάσεσι· τὰ ἄλογα δὲ μήτε σωτηρίαν, μήτε τιμωρίαν ἐν τοῖς μέλλουσι κολάζεσθαι μέλλοντα, καὶ διὰ τοῦτο ἀπολέμητον ἔχοντα . . . . . πῶς οὐ μόνη φαυλότητι φύσεως τὰ φαῦλα μετέρχονται;

Απόκρισις.

Τὸ ἐπὶ φαυλότητι πράξεως διαβάλλειν τῶν ἀλόγων τὰς φύσεις, οὐκ ἔστιν εὔλογον. τῶν γὰρ λόγου 290 μετεχόντων ἐστὶ τὸ ἀγαθῶς ἢ φαύλως διαπράξασθαι, οὐχὶ τῶν λόγου ἀμοιρούντων. καὶ ἐπειδὴ διὰ τὴν προλεχθεῖσαν χρείαν γέγονε τῶν ἀλόγων ἡ φύσις, διὰ τοῦτο δῆλον ὅτι ἀγαθῆς οὔσης τῆς χρείας, ἀγαθόν ἐστι καὶ ἡ φύσις.

Ερώτησις ρκθ'.

Εἰ ἁπλοῦν μὲν τὸ καθ' ἑαυτό, ὡς ἐπὶ τῶν κατὰ τὰ γράμματα στοιχείων, οἷον ἰῶτα· σύνθετον δὲ τὸ μεθ' ἑτέρου, οἷον πῖ· καὶ τῷ τῆς αὐτῆς εἶναι οὐσίας ἀμφότερα, τό τε ἰῶτα, καὶ τὸ ἐκ τριῶν ἰῶτα συγκείμενον, οὐκ ἀφαιρεῖται τὸ ἐξ ἀμφοτέρου συγκειμένου σύνθετον· πῶς ὁ Θεὸς ἀσύνθετος λέγεται, τὴν ἐκ δύο προσώπων ὁμοουσίων νοουμένων, πατρὸς λέγω καὶ υἱοῦ, καὶ ἑνὸς προσώπου ἰδιαζούσης οὐσίας ἐκ τοῦ προχείρου ὑπόνοιαν διδόντος, τοῦ πνεύματός φημι τοῦ ἁγίου, τὴν σύνθεσιν ἔχων, καὶ εἷς καλεῖται καὶ ἀπερίγραπτος, τοσαύτης καὶ τοιαύτης οὔσης τῆς τῶν ὑποστάσεων αὐτοῦ, ἤτουν τῶν προσώπων, διακρίσεως καὶ διαιρέσεως;

Απόκρισις.

Τὸ ἰῶτα καὶ τὸ πῖ, κατ' οὐσίαν ἀλλήλων οὐδὲν διαφέρουσι. γραμμὴ γὰρ ὑπάρχει ἑκάτερον. γραμμὴ δὲ γραμμῆς, ᾗ γραμμή, οὐδὲν διαφέρει. διαφέρει δὲ τὸ ἰῶτα τοῦ πῖ τῇ τοιᾷδε θέσει, καθ' ἣν τοῦτο μὲν ἰῶτα, τοῦτο δὲ πῖ ὑπάρχει· καὶ τὸ μὲν πῖ, ᾗ γραμμή ἐστιν, ἕν ἐστιν· ᾗ δὲ πῖ ἐστί, τριάς ἐστι, καὶ σύνθετον καὶ γεννητόν. κατὰ μέρος γὰρ καὶ χρονικῇ παρατάσει, τὸ εἶναι πῖ ὑπέστη ὑπὸ τοῦ συμβεβηκότος καὶ πεποιηκότος αὐτό. χρὴ οὖν τὸν κατά τινα φυσικὴν ἀναλογίαν θεωρεῖν τὸν ὑπὲρ φύσιν ὄντα, ἐκεῖνα μόνα λαβεῖν ἐκ τῆς ἀναλογίας τὰ ἁρμόττοντα, τῷ τῆς ἀναλογίας θεω-

ρευμένων· οἷον, τὸ ἓν καὶ τὸ τρεῖς, πρόσεστι τῷ π καὶ τῷ Θεῷ, ἀλλὰ τῷ μὲν π γεννητῶς καὶ συνθέτως, τῷ δὲ Θεῷ ἀγεννήτως τε καὶ ἀσυνθέτως. ὁ γὰρ μὴ ἔχων τὸν πεποιηκότα καὶ συντεθεικότα, οὔτε γεννητός ἐστιν, οὔτε σύνθετος. διὸ ἐπὶ μὲν τοῦ Θεοῦ τὴν ἀΐδιον λέγομεν συνύπαρξιν, οὐκέτι δὲ καὶ σύνθεσιν· ἐπὶ δὲ τοῦ π, τὴν σύνθεσιν, διὰ τὴν κατὰ μέρος αὐτοῦ γένεσιν. εἷς τοίνυν ἐστὶν ὁ Θεός, ἡ τριὰς τῇ μονάδι τῆς οὐσίας, χωρὶς πάσης κατὰ τοῦτο διαιρέσεως καὶ διακρίσεως, ὥσπερ ἓν τὸ π τῇ μονάδι τῆς γραμμῆς, χωρὶς πάσης τῆς κατὰ τοῦτο διαιρέσεως καὶ διακρίσεως. διαφορὰ δέ ἐστιν ἐν μὲν τῇ ἁγίᾳ τριάδι κατὰ τοὺς τρόπους τῆς τῶν ὑποστάσεων ὑπάρξεως, ἐν δὲ τῷ π [κατὰ] τὴν ποιὰν θέσιν τῆς γραμμῆς.

Ερώτησις ρλ'.

Εἰ διὰ τὸ καθ' Ἕλληνας σφαῖραν εἶναι τὸν οὐρανόν, καὶ κινεῖσθαι, ἐν τόπῳ, πῶς διὰ τὸ ὡς καμάραν πεπῆχθαι, ἢ ὡς δέρριν κατὰ τὴν γραφὴν ἐκτετάσθαι, ὁ οὐρανὸς οὐκ ἐν τόπῳ ἐστίν; ὥσπερ γὰρ τὸ κινούμενον, οὕτως καὶ τὸ πηγνύμενον, ἐν τόπῳ ἀνάγκη νομίζεσθαι. εἰ δὲ τοῦτο, πῶς τὴν ἐπὶ τῇ περιγραφῇ τοῦ οὐρανοῦ παρ' ἀλλήλων κατάγνωσιν δικαίαν οὐχ ἕξομεν; εἰ δ' ὁ οὐρανὸς κατ' ἀμφοτέρους ἐν τόπῳ, καὶ ἑκατέροις ἡ τοῦ τόπου ποιότης καὶ ποσότης καθέστηκεν ἄγνωστος, τί πλέον θάτεροι θατέρων καταγνῶναι δυνάμεθα, τῆς περὶ τῶν προλελεγμένων καταγνώσεως καὶ ἀγνοίας ἑκατέρους ἐπίσης κατεχούσης;

Απόκρισις.

Εἰ μὲν γὰρ ἔλεγον οἱ Χριστιανοὶ τὸν οὐρανὸν μὴ εἶναι ἐν τόπῳ, καθάπερ λέγουσιν οἱ Ἕλληνες, ἴση ἂν ἔμελλεν εἶναι ἡ παρ' ἀλλήλων κατάγνωσις, λεγόντων μὲν μὴ εἶναι τὸν οὐρανὸν ἐν τόπῳ, φωναῖς δὲ σημαντικαῖς τοῦ ἐν τόπῳ εἶναι τὸν οὐρανὸν πρὸς ἀλλήλους κεχρημένων. εἰ δὲ τὸ μὲν σφαῖραν εἶναι τὸν 291 οὐρανόν, καὶ σφαιρικῶς κινεῖσθαι ἀδυνάτου ὄντος· τοῦ δὲ ὡς καμάραν εἶναι αὐτόν, δυνατοῦ δεικνυμένου· οὐδεμία ἄρα ἡ τῶν Χριστιανῶν ἐπὶ τῇ ἀγνοίᾳ κατάγνωσις. περὶ δὲ τοῦ τόπου, ἐκ τῶν καθ' ἡμᾶς στοχαζόμεθα περὶ αὐτοῦ, ὅτι ὥσπερ παρ' ἡμῖν, ὅταν ᾖ περιφερές τι σῶμα ὁμαλόν τε καὶ κοῖλον, πανταχόθεν ἰσοπεριμέτρητον, ἐὰν τεθῇ ἐπὶ τὰ ὕδατα, βαστάζεται ὑπὸ τῶν ὑδάτων· τούτῳ τῷ τρόπῳ βαστάζεται ὁ οὐρανὸς ὑπὸ τῶν ὑδάτων. Ὁ στήσας, φησί, τὸν οὐρανὸν ὡς καμάραν· τῷ τῆς καμάρας ὀνόματι, τὸ περιφερὲς ἐδήλωσε τοῦ σώματος τοῦ οὐρανοῦ. βαστάζει οὖν τὸν μὲν οὐρανὸν τὰ ὕδατα, τὰ δὲ ὕδατα ἡ γῆ, τὴν δὲ γῆν τὸ θεῖον πρόσταγμα. Ὁ κρεμάσας, φησί, τὴν γῆν ἐπ' οὐδενός.

Ερώτησις ρλα'.

Εἰ οἱ εὐαγγελισταὶ Ματθαῖός τε καὶ Λουκᾶς, τὸ κατὰ σάρκα γενεαλογοῦντες τὸν Κύριον, ὁ μέν, τὴν κατὰ φύσιν, ὁ δέ, τὴν κατὰ σάρκα γενεαλογίαν συνέ-

congruant: velut Vnum & Trinum, in π & Deum quadrant: verũ in π, geniti & compositi modo; in Deum autem, ingeniti & incompositi modo. Nam qui generantem & componentem non habet, neque genitus neque compositus est. Quocirca in Deo quidem esse dicimus æternam συνύπαρξιν, id est coexsistentiam; non autẽ compositionem: in π vero compositionẽ, quod per partes constituatur. Itaq; vnus est Deus, Trinitas, ipsa essentiæ vnitate citra omnem, quantum ad hoc pertinet, discretionem & distinctionem: sicut vnum est π, vnitate lineæ, citra omnem, quantum ad hoc pertinet, discretionem & distinctionem. Differentia autem est, in sancta quidem Trinitate, iuxta subsistentiarum exsistentiæ modos: in π vero, iuxta lineæ positurę qualitatem.

QVÆSTIO CXXX.

Si eo quod cælum, secundum Græcos, globus est, in loco quoque mouetur: quomodo eo quod cælum, secundum Scripturam, tamquam camera compactum, aut sicut pellis extensum est, non in loco est? Nam necesse est vt, quemadmodum id quod mouetur, ita & id quod compingitur, in loco esse existimetur. Quod si hoc sic est, quomodo alteri ab alteris, ob circumscriptionem cæli non iustam damnationis reportabimus sententiam? Sin cælum vtrorumque opinione, in loco est, & vtrisque loci qualitas & quantitas ignota est: quanam re alteri alteros, eorum quæ dicta sunt nomine, magis damnare possumus, cum apud vtrosq; par sit condemnatio & ignorantia?

RESPONSIO.

Si Christiani dicerent, cælum in loco non esse, sicuti Græci dicunt: fieri posset vt alteri alteros ex æquo damnarent: dicentes quidem non esse in loco cælum, verbis autem quæ cælum in loco esse significant, alteri ad alteros vtentes. Sin cælum globum esse, & in globi modum moueri, impossibile est: instar cameræ vero id habere, possibile esse demonstratum est: nulla vtique Christianorum de ignorantia fuerit condemnatio. Loci autem ex rebus nostris de eo facimus coniecturam; quoniam quemadmodum apud nos, si aliquod sit rotundum corpus, leue & concauum, & æqualis vndequaque dimensionis, atque id in aquas immittatur, ab aquis ipsis portatur: ad eundem modum cælum portatur ab aquis: *Extendens*, inquit, *cælum vt cameram.* vbi *Cameræ* nomine, rotunditatem corporis cælestis significauit. Portant igitur cælum aquæ, aquas autem terra, terram porro præceptum diuinum: *Suspendens*, inquit, *terram in nihilo.*

QVÆSTIO CXXXI.

Si euangelistæ, Matthæus & Lucas, generis Domini secundum carnẽ, seriem recensentes, alter naturæ, alter legis genealogiã conte-

xuit, quod hoc ita rerum Iudaicarum constitutio ferret: quomodo Lucas Matthæo repugnans non probatur plures legitimos quam naturales CHRISTI progenitores in Euangelio suo exponere; cum diuersum ab eo scribi debuerit? quandoquidem pauciores legitimos siue adoptiuos, quam naturales patres in genealogia numerari necesse est. Fieri namque potest, vt constitutione Legis [alicuius legitimi sint liberi] quos pater alius naturalis progenuit. Quomodo igitur, sicuti dixi, apud Euangelistas [genealogiæ catalogus] est inuersus? & Lucas, cum pari, immo pauciore numero legitimos quam naturales debuerit enumerare CHRISTI maiores, plures nominare comperitur? Sin in generis nomenclatura sibiipsis, & alter alteri repugnantia memorant: quomodo in reliqua de Seruatore doctrina, fidem debitam obtinere poterunt, ab ipsis statim proœmiis ad controuersandum eum commouentes, qui cum ratione certa se religioni nostræ adiungere velit?

SOLVTIO.

In genealogia Lucæ, solus Eli legitimus est Iosephi pater: ab Eli autem ad Nathan vsq;, qui ordine recensentur omnes, naturales eorum qui illis subiunguntur, sunt filii. Qui quidem ea quam Eli obtinet ad Iosephū necessitudine, Iosephi solius [legitimi.] cæterorum vero omnium naturales habentur aui. Porro si hoc ita intelligatur, omnis Euangelistarū, de dictorum repugnantia, tollitur calumnia; quam inesse illorum scriptis, intellectu prauo arbitrantur, qui rem non satis intelligunt.

QVÆSTIO CXXXII.

Si iuxta legem Mosaicam, frater defuncti fratris qui sine liberis decessit, coniugem relictam matrimonio sibi iungens, sobolem ex ea suscipiebat; natura quidem sibiipsi, lege vero fratri: num, si accidit vt superstes frater vxorē suam haberet, vna cū illa defuncti etiam fratris mulierem, vxorem duxit? Et quomodo hoc absurdū non est? Quod si etiam huiusmodi infœcunda fuit: quomodo præterquam quod absurdæ essent, non etiam infructuosæ inducebantur tales nuptiæ? & legis constitutio non inopiosa & frustranea prorsus esse declarabatur, mortuo prolificatione non consequente memoriam? Quæ deniq; ad defunctum redit ex eo vtilitas, quod per prolificationem alterius, ipse post obitum pater prolis alienæ vocetur?

RESPONSIO.

Cum lex non prohibuerit vt Israelitæ, si vellent, vxorem ducerent, non tantum cognatam, sed etiam captiuam, & concubinam: nihil certe absurdi fuerit, neque quidquam nocuerit fratri, supra vxorem suam, etiam defuncti fratris vxorem ducenti, cum lex non violetur. Absurditas namque omnis in legis

γραψε, διὰ τὸ οὕτως τὰ κατὰ τῶν Ἰουδαίων συνίστασθαι, πῶς ὁ μακάριος Λουκᾶς οὐ δείκνυται τῷ Ματθαίῳ μαχόμενος, πλείονας τοὺς κατὰ νόμον τῶν κατὰ θέσιν τοῦ Χριστοῦ γεννήτορας, διὰ τοῦ οἰκείου εὐαγγελίου ἐκθέμενος, τοὐναντίον παρ᾽ αὐτοῦ γραφῆναι ὀφείλοντας; ἐπειδὴ ἥττονας τοὺς κατὰ θέσιν, τῶν κατὰ φύσιν πατέρων ἀναλογίζεσθαι ἀνάγκη. ἐνδέχεται γὰρ γενέσθαι κατὰ νόμον . . . . τοῦ κατὰ φύσιν πατρὸς τὴν παῖδα γεννήσαντος. πῶς οὖν, καθάπερ ἔφην, παρὰ τοῖς εὐαγγελισταῖς ἡ . . . . ἀντέστραπται, καὶ ὁ Λουκᾶς ἴσους, μᾶλλον δὲ ἥττονας τοὺς κατὰ νόμον τῶν κατὰ φύσιν ὀφείλων τοὺς τοῦ Χριστοῦ ὀνομάζειν γεννήτορας, πλείονας ὀνομάζων εὑρίσκεται; εἰ δὲ ἐν τῇ γενεαλογίᾳ ἑαυτοῖς καὶ ἀλλήλοις μαχόμενα λέγουσι, πῶς ἐν τοῖς λοιποῖς περὶ τοῦ σωτῆρος διδάγμασι, τὸ ἀξιόπιστον κεκτῆσθαι δυνήσονται, ἐκ προοιμίων πρὸς ἀντίρρησιν κινοῦντες τὸν μετὰ λόγου τῇ ἡμετέρᾳ θρησκείᾳ προστεθῆναι βουλόμενον;

Ἀπόκρισις.

Ἐν τῇ γενεαλογίᾳ τῇ κατὰ Λουκᾶν, ὁ Ἠλεὶ μόνος ἐστὶ πατὴρ τοῦ Ἰωσὴφ κατὰ τὸν νόμον· ἀπὸ δὲ τοῦ Ἠλεὶ ἕως τοῦ Ναθὰν, παῖδες οἱ ὑποτεταγμένοι κατὰ φύσιν εἰσὶν υἱοὶ τῶν ὑποτεταγμένων, τῶν διὰ τὴν σχέσιν ἣν ἔχει ὁ Ἠλεὶ πρὸς τὸν Ἰωσὴφ, πάππων κατα . . . λογιζομένων, τοῦ Ἰωσὴφ μὲν μ . . . . . κατὰ τὸν νόμον, τῶν λοιπῶν δὲ πάντων, κατὰ φύσιν. τούτου δὲ οὕτως νοουμένου, ἀναιρεῖται πᾶσα ἡ τῶν εὐαγγελιστῶν ἐπὶ τῇ ἀντιλογίᾳ διαβολὴ ἡ ἐκ τῆς παραινοίας τῆς ἐκείνων φωνῶν νομισθεῖσα τοῖς παρανοήσασιν.

Ἐρώτησις ρλβ΄.

Εἰ κατὰ τὸν Μωσαϊκὸν νόμον ὁ ἀδελφὸς τοῦ τελευτήσαντος ἄπαιδος τὴν γυναῖκα τοῦ μετηλλαχότος λαμβάνων ἐπαιδοποίει ἐξ αὐτῆς, κατὰ φύσιν μὲν ἑαυτῷ, κατὰ νόμον δὲ τῷ ἀδελφῷ, ἆρα εἰ συνέβη τὸν περιόντα ἀδελφὸν ἔχειν γαμετὴν, σὺν ταύτῃ καὶ τὴν τοῦ τελευτήσαντος ἀδελφοῦ γαμετὴν εἰς γυναῖκα ἐλάμβανε; καὶ πῶς τοῦτο οὐκ ἄτοπον; εἰ δὲ ἡ τοιαύτη καὶ στεῖρα ἐτύγχανε, πῶς πρὸς τῷ ἀτόπῳ καὶ τὸ ἀνωφελὲς ὁ γάμος οὐκ ἐπήγετο, καὶ τοῦ νόμου τὸ πρόσταγμα πανταχόθεν ἐδείκνυτο ἄπορον, τοῦ τελευτήσαντος οὐ λαμβάνοντος τὸ διὰ παιδοποιΐας μνημόσυνον; τί δὲ καὶ τῷ ἀποθανόντι προσγίνεται τὸ ὄφελος, τὸ διὰ παιδοποιΐας ἑτέρου ἐκεῖνον μετὰ τέλος πατέρα ἀλλοτρίας γονῆς ὀνομάζεσθαι;

Ἀπόκρισις.

Τοῦ νόμου μὴ κωλύσαντος τοὺς Ἰσραηλίτας γυναῖκα λαβεῖν εἰ βούλοιντο, οὐ μόνον συγγενίδα, 292
ἀλλὰ καὶ αἰχμαλωτίδα καὶ παλλακίδα· οὐδὲν ἄρα ἄτοπον, οὐδὲ βλάβη, ἐκ τοῦ γυναῖκα ἐπὶ γυναικὶ λαβεῖν . . . ἀδελφὸν τοῦ τετελευτηκότος, τοῦ νόμου μὴ καταλυομένου. πᾶσα γὰρ ἀτοπία

ἐπὶ τῇ παραβάσει τοῦ νόμου ὑφίσταται. κἂν συμβαίη δὲ . . . . καὶ ὑπάρχειν, ἀλλ' ἄδηλον τοῦτο . . . . . . αὐτῇ γυναικί· τῷ δὲ ἀδήλῳ οὐκ ἔστι . . . . . παριδεῖν τὸν νόμον. ἐτέθη δὲ ὁ νόμος οὗτος, ἵνα, ὧν ἀφείλετο ὁ θάνατος τὸν τετελευτηκότα, τουτέστι τὸ τῆς πατρότητος καὶ τοῦ κληρονόμου, ταῦτα παράσχῃ αὐτῷ τῇ τοῦ νόμου προνοίᾳ. εἰ γὰρ μνημοσύνης ἕνεκεν καὶ κληρονομίας πρὸς τὸν γάμον οἱ ἄνθρωποι ἔρχονται, δῆλον ὅτι ὧ . . . . . παρακληθείη Θεὸς ταῦτα παρασχεῖν ἀνθρώποις, ἀνωφελὲς οὐ γίνεται τὸ πρᾶγμα. πρόσεστι δὲ τούτῳ τῷ νόμῳ καὶ ἕτερόν τι ὠφέλιμον, ἵνα ταύτῃ τῇ ἐπιγαμίᾳ ὁ κληρονόμος μείνῃ ἐν τῇ αὐτῇ φυλῇ, καὶ μὴ μεταβῇ εἰς ἑτέραν φυλήν. καὶ ἐπειδὴ ἅπαξ συναφθεῖσα ἡ γυνὴ τῷ ἀνδρὶ τῷ πρώτῳ ἓν σῶμα γέγονε, διὰ τοῦτο οὐ γίνεται πατὴρ ἀλλοτρίας γενῆς ὁ τελευτήσας, ἀλλὰ τοῦ ἐκ τοῦ ἰδίου αὐτοῦ σώματος τικτομένου. ὥσπερ γὰρ ὁ τικτόμενος ἐκ τῆς τοιαύτης συναφείας ὀνομάζεται τοῦ τελευτήσαντος, οὕτως καὶ ἡ γυνὴ ἐκείνου ὀνομάζεται γυνή.

in legis transgressione consistit. Atque etiam si contingat [coniugem mortui sterilem esse:] potest tamé id mulierem ipsam latere. id autem quod latet & ignotum est, non potest [consulto] legem despicere. Lex autem ista rogata est vt, quod mors defuncto ademit, hoc est patris ius & hæredem, id legis illi præbeat prouidentia. Nam si memoriæ & hæreditariæ successionis gratia, homines in matrimonio cóueniunt: certum fuerit [quocunq; modo] Deus excitetur ad ista hominibus præstãda, non inutilem eam rem esse. Inest præterea constitutioni huic alia quædã commoditas; vt istiusmodi coniugali superductione, hæres in eadem permaneat gente, atque in alius non transeat gentis tribum. Et cum semel mulier coniuncta marito primo, vnum cum eo corpus sit facta: propterea non fit pater alienæ sobolis defunctus, sed eius quæ ex suo ipsius corpore progeneretur. Sicut enim qui ex huiusmodi gignitur coniunctione, defuncti esse dicitur; sic & mater illi⁹ dicitur esse cóiux.

Ἐρώτησις ρλγ'.

Εἰ ὁ προλεχθεὶς νόμος πρὸ τῶν χρόνων τοῦ Δαβὶδ τοῖς Ἰσραηλίταις ἐπετάγη, πῶς ὁ εὐαγγελιστὴς Ματθαῖος τῶν κατὰ φύσιν πατέρων πρὸ τοῦ Δαβὶδ καὶ μετὰ τὸν Δαβὶδ ἐμνημόνευσεν· ὁ δὲ Λουκᾶς πρὸ μὲν τοῦ Δαβὶδ τῶν κατὰ φύσιν, μετὰ δὲ τὸν Δαβὶδ, τῶν κατὰ νόμον πατέρων τὴν μνήμην πεποίηται; καὶ εἰ τὰ ὀνόματα τῶν κατὰ φύσιν καὶ κατὰ νόμον πατέρων ἀπαραλείπτως μετὰ τὴν μετοίκησιν Βαβυλῶνος ἐν θείαις γραφαῖς οὐχ εὑρίσκεται, ἀλλὰ κατὰ ἀπόφασιν γέγραπται, πῶς τὰ κατὰ ἀπόφασιν γραφέντα ὑπὸ τῶν ἀκριβεστέρων . . δυνήσονται;

QVÆSTIO CXXXIII.

Si ea quæ dicta est constitutio, ante Dauidis tempora Israelitis est promulgata: quomodo euangelista Matthæus, naturalium patrum ante & post Dauidem meminit; Lucas vero, ante Dauidem naturales, post Dauidem legitimos nominat patres? Et si nomina naturalium & legitimorum patrum post exsilium Babylonis omnino in sacris non reperiuntur relicta litteris, sed per enunciationem ab Euangelistis scripta sunt: quomodo ea quæ sic per enúciationem recensita sunt, ab hominib. accuratius rem inquirentibus [approbari] poterunt?

Ἀπόκρισις.

Καὶ ὁ Λουκᾶς τῶν κατὰ φύσιν πατέρων τοῦ Ἠλεὶ ἐμνήσθη, τῶν τε πρὸ τοῦ Δαβὶδ, καὶ τῶν μετὰ τὸν Δαβίδ. ὁ δὲ Ἠλεὶ μόνος ἦν κατὰ τὸν νόμον πατὴρ τοῦ Ἰωσήφ, τοῦ διὰ τὴν κατὰ νόμον υἱότητα ἕως τοῦ Νάθαν κατὰ τὴν αὐτὴν σχέσιν ἀναγεμένου. τὸ δὲ τὸν δεσπότην Χριστὸν ὀνομασθῆναι υἱὸν τοῦ Ἰωσὴφ δύο πατέρας ἐσχηκότος, τὸν μὲν κατὰ νόμον ἡ θεία χάρις ᾠκονόμησεν, ἵνα ὅταν ἀκούωμεν τὸν Χριστὸν υἱὸν μὲν ὄντα τοῦ Ἰωσήφ, μὴ γεννηθέντα δὲ κατὰ φύσιν ἐξ αὐτοῦ, μὴ ξενισθῶμεν· τὸν δὲ κατὰ φύσιν. ὥσπερ γὰρ αὐτὸς ὁ Ἰωσὴφ υἱὸς μὲν ἐκλήθη τοῦ Ἠλεί, μὴ γεννηθεὶς δὲ ἐξ αὐτοῦ, ὅτι τῷ θείῳ νόμῳ οὕτως ἔδοξεν ἐκ τῆς γυναικὸς τοῦ Ἠλεὶ δοῦναι υἱὸν τῷ Ἠλεί, οὕτως ἔδοξε τῷ Θεῷ, ἐκ τῆς γυναικὸς τοῦ Ἰωσὴφ δοῦναι υἱὸν τῷ Ἰωσὴφ μὴ γεννηθέντα κατὰ φύσιν ἐξ αὐτοῦ. Ἰωσήφ, φησίν, υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου:- τὸ γὰρ ἐκ γυναικός τινος χωρὶς πορνείας τικτόμενον, υἱός ἐστιν ἐξ ἀνάγκης τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· ᾧ τρόπῳ βούλεται ὁ Θεὸς

RESPONSIO.

Et Lucas ipse naturalium patrum Eli mentionem fecit, & qui ante ac post Dauidem fuere. Eli autem vnus legitimus Iosephi pater fuit: qui Iosephus, legitimi filii iure, vsq; ad Nathanem, iuxta eiusdem coniunctionis necessitudinem, pertinet. Appellatur vero Dominus CHRISTVS, Filius Iosephi, duos habentis patres: alterũ, quem secundum legem diuina gratia, dispositione sua ordinauit; vt, cum audiamus CHRISTVM esse quidem filium Iosephi, non genitum autem ex eo naturaliter, admiratione tamquam in re noua non ducamur: alterum, quem natura dedit. Quemadmodum namque Ioseph vocatus est Eli filius, non autem ex eo genitus, quia diuinæ legi ita placitum fuit, ex vxore Eli dare eidem Eli filium: ad eundem modum Deo visum est, ex coniuge Iosephi, filium dare eidem Iosepho, naturaliter ex eo non genitum. *Ioseph, ait, fili David, ne metuas adiungere tibi Mariam mulierem tuam.* nam id quod ex muliere quapiam, absque stupro & fornicatione progignitur, necessario viri & vxoris filius est: cuiusmodi ratione Deus dare

vult filium viro;per copulationem videlicet.vel citra copulationem. Non enunciatione vero vsi Euangelistæ,sed historiarum scriptarum auctoritate nixi, nominibus progenitorum CHRISTI commemorandis, nomenclaturam genealogiæ instituerunt.Ebræi namq; fuere,ex Ebræis orti, genealogiarum scriptores sancti Euangelistæ: quibus singulare fuit studium, ex scriptis conquisitum regiæ & Israeliticæ tribus genealogię habere catalogum.Post reditum certe quidem e Babylone, Esdras quos in catalogo genealogiæ sacerdotum recenseri non inuenit, eos a sacerdotalibus muneribus amouit. atq; hoc ex libro Paralipomén.n patet.

QVÆSTIO CXXXIIII.

Si legem populo Israelitico Deus per Mosen e cælo demisit: quomodo in multis locis diuinæ Scripturæ Lex non Lex, sed Legislator Moses dicitur?

RESPONSIO.

Mos est non tantum hominibus,sed etiam diuinis litteris, nomine auctoris qui aliquid dixit aut scripsit, orationem aut scripturam appellare, cuius ea sit indicandi gratia:vt est illud;*Sedebat Eunuchus super curru, legebatque prophetam Esaiam.* & illud; *Abominatio desolationis, quæ dicta est a Daniele propheta.* Quin & nos dicere consueuimus; Est mihi propheta Hieremias, aut Apostolus.

QVÆSTIO CXXXV.

Si CHRISTVS verus est CHRISTVS, rem ipsam iuxta & appellationem secundum sacram Scripturam, repræsentans: CHRISTVM vero Emanuelem vocatum iri, Scriptura diuinitus inspirata prænunciauit: quomodo verus Dominus esse existimabitur,qui post natiuitatem, Emanuelis nomen non accepit?Nullus enim post aduentum suum, CHRISTVM Emanuelis nomine ad verbum appellauit.

RESPONSIO.

Si in Euangelicis scriptis continetur diuinorum de CHRISTO prædictorum vaticiniorum exitus: hunc ipsum autem esse, quem diuina prædictio Emanuelis nomine appellandum esse designauerit, beatus nobis Matthæus prodidit: quomodo ille nomine Emanuelis non vocatur?Non desiit autem sancta Dei Ecclesia, prout ex sancti Euangelii doctrina [id edocta est,] Dominum nominare Emanuelem. Porro CHRISTI vocabulum cunctas in se reliquas ipsius complectitur appellationes, quamuis non omnibus semper vtamur. Non eo enim quod vocatur,Emanuel est; sed eo quod est, Emanuel vocatur.

QVÆSTIO CXXXVI.

Si parētes aspernari, Sacris est litteris interdictū: & q interdicta cōsectatur, Peccator dicitur:quomodo Dñs CHRISTVS multis

δοῦναι υἱὸν τῷ ἀνδρὶ, ἢ διὰ συναφείας, ἢ χωρὶς συναφείας. Οὐκ ἀποφάσει δὲ χρώμενοι οἱ εὐαγγελισταὶ τὴν ἔκθεσιν ἐποιήσαντο τῶν ἐν ταῖς γενεαλογίαις ὀνομασθέντων, ἀλλὰ τῇ ἐγγράφοις ἱστορίαις. Ἑβραῖοι γὰρ ἦσαν ἐξ Ἑβραίων οἱ τὰς γενεαλογίας συγγραψάμενοι, ἅγιοι εὐαγγελισταί· παρ' οἷς πολλή τις ἦν σπουδὴ τοῦ ἐγγράφως ἔχειν τῆς βασιλικῆς τε καὶ Ἰσραηλιτικῆς φυλῆς τὴν γενεαλογίαν. ἀμέλει μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ὁ Ἔσδρας οὓς οὐχ εὗρεν ἐν τῷ τῶν ἱερέων καταλόγῳ γενεαλογουμένους, τούτους ἐξέβαλεν ἀπὸ τῆς ἱερατικῆς λει- 298 τουργίας. καὶ τοῦτο δείκνυται ἐκ τῆς βίβλου τῶν παραλειπομένων.

Ἐρώτησις ρλδ'.

Εἰ τὸν νόμον τοῖς Ἰσραηλίταις ὁ Θεὸς διὰ Μωσέως κατέπεμψε, πῶς ἐν πλείοσι τόποις τῆς θείας γραφῆς, νόμος, καὶ οὐ νόμου νομοθέτης ὁ Μωσῆς ὀνομάζεται;

Ἀπόκρισις.

Ἔθος ἐστὶν οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τῇ θείᾳ γραφῇ τῷ τοῦ εἰρηκότος τὸν λόγον ὀνόματι ὀνομάζειν τὸν λόγον, εἰς δήλωσιν τοῦ τίνος εἶναι τὸν λόγον· ὥς τὸ, Ἐκάθητο ὁ εὐνοῦχος ἐπὶ τοῦ ἅρματος, « καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν:- καὶ πάλιν, Τὸ « βδέλυγμα, φησὶ, τῆς ἐρημώσεως τὸ εἰρημένον τῷ « προφήτῃ Δανιήλ:- ὡσαύτως δὲ καὶ ἡμῖν ἔθος λέ- « γειν, Ἐκτησάμην τὸν προφήτην Ἱερεμίαν, ἢ τὸν ἀπόστολον.

Ἐρώτησις ρλε'.

Εἰ ἀληθινός ἐστιν ὁ Χριστὸς ὁ τὴν πρᾶξιν καὶ τὴν κλῆσιν κατὰ τὴν θείαν γραφὴν ἐπιδεικνύμενος, Ἐμμανουὴλ δὲ καλεῖσθαι τὸν Χριστὸν ἡ θεία γραφὴ προηγόρευσε, πῶς ἀληθινὸς ὁ Κύριος νομισθήσεται, ὁ μετὰ τὸ τεχθῆναι μηδαμοῦ τοῦ Ἐμμανουὴλ τὴν προσηγορίαν δεξάμενος; οὐδεὶς γὰρ τὸν ἐλθόντα Χριστὸν τῇ κλήσει τοῦ Ἐμμανουὴλ ἐπὶ λέξεως προσηγόρευσεν.

Ἀπόκρισις.

Εἰ ἐν τοῖς εὐαγγελικοῖς διηγήμασι περιέχεται τῶν θείων περὶ Χριστοῦ προρρήσεων ἡ ἔκβασις, παραδίδωκε δὲ ἡμῖν αὐτὸν εἶναι τὸν κατὰ θείαν πρόρρησιν προορισθέντα τῷ τοῦ Ἐμμανουὴλ καλεῖσθαι ὀνόματι, ὁ μακάριος Ματθαῖος· πῶς οὐ καλεῖται τῷ τοῦ Ἐμμανουὴλ ὀνόματι; οὐ διέλιπε δὲ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία . . . . . . ταῦτα ἐκ τῆς διδασκαλίας τοῦ ἁγίου εὐαγγελίου Ἐμμανουὴλ ὀνομάζειν τὸν Κύριον. ἔχομεν δὴ ἐν τῇ ὀνομασίᾳ τοῦ Χριστοῦ πάσας τὰς λοιπὰς ὀνομασίας τοῦ Χριστοῦ περιεχομένας, εἰ καὶ μὴ πάσαις ἀεὶ κεχρήμεθα. οὐδὲ γὰρ ἐπειδὴ καλεῖται Ἐμμανουὴλ, ἐστὶν· ἀλλ' ἐπειδὴ ἐστὶ, καλεῖται.

Ἐρώτησις ρλϛ'.

Εἰ τὸ τοὺς γονέας ἀθετεῖν ὑπὸ τῆς θείας γραφῆς ἀπηγόρευται, καὶ ὁ μετιὼν τὰ ἀπηγορευμένα, ἁμαρτωλὸς ὀνομάζεται, πῶς ἐν διαφόροις τόποις

in locis

τοὺς οἰκείους γονεῖς ὁ δεσπότης Χριστὸς ἀθετήσας, ἀναμάρτητος δείκνυται; ἐν μὲν γὰρ τῷ γάμῳ διὰ τό, Τί ἐμοὶ καὶ σοὶ γύναι; τῇ μητρὶ λέγειν, ἐπίπληξιν· ἡνίκα δὲ θεάσασθαι αὐτὸν ἡ μήτηρ ἠθέλησε, μητέρα καὶ ἀδελφοὺς τοὺς τὸ θέλημα τοῦ Θεοῦ ποιοῦντας ὠνόμασε· καὶ πάλιν, ὅτι ἐμακαρίζετο ἡ βαστάσασα αὐτὸν κοιλία, καὶ οἱ μαστοὶ οὓς ἐθήλασε, τοὺς ποιοῦντας τὸ θέλημα τοῦ Θεοῦ αὐτὸς ἐμακάριζεν. ἅπερ ἅπαντα ἐφ' ὕβρει τῆς μητρὸς παρ' αὐτοῦ νομίζονται λέγεσθαι, διότι τῆς μητρὸς αὐτοῦ ὀνομασθείσης καὶ μακαρισθείσης, κατὰ ἀντιδιαστολὴν αὐτῆς, ὑπ' αὐτοῦ ἐμακαρίσθησαν ἕτεροι. ἡ δὲ ἀντιδιαστολή, δῆλον ὅτι ἐπ' ἐναντίων πραγμάτων λαμβάνεται. ἄλλως τε εἰ τὴν ἁγίαν παρθένον εἰς τὴν τοσαύτης οἰκονομίας ὑπουργίαν ἐκλέλεκται, πῶς ἀναξία μακαρισμοῦ κατὰ τὰ προλεχθέντα ἡ παρθένος νενόμισται; εἰ δὲ τὰ ῥηθέντα ἐναντίως ἔχει πρὸς ἄλληλα, πῶς τὰ ἀλλήλοις ἐναντία, τὴν παρ' ἀλλήλων οὐ λαμβάνει κατάλυσιν;

294 Ἀπόκρισις.

Τό, Τί ἐμοὶ καὶ σοὶ γύναι· οὐ πρὸς ἐπίπληξιν εἴρηται τῇ μητρὶ ὑπὸ τοῦ Σωτῆρος, ἀλλὰ πρὸς ἔνδειξιν τοῦ μὴ ἡμᾶς, φησίν, εἶναι τοὺς ἀναδεδεγμένους τοῦ ἐν τῷ γάμῳ ἀναλισκομένου οἴνου τὴν φροντίδα· ὅμως ἐκ πολλῆς ἀγάπης, εἰ θέλεις, ἵνα μὴ λείψῃ αὐτοῖς οἶνος, εἰπὲ τοῖς ὑπηρέταις, ἵνα ποιήσωσιν ἃ λέγω αὐτοῖς· καὶ βλέψεις ὅτι οὐ μὴ λείψει αὐτοῖς οἶνος· ὅπερ καὶ γέγονεν. οὐκ ἂν οὖν λέξει τὴν μητέρα ἐπιπληξεν, ἣν τοῖς ἔργοις ἐτίμα. ἐν δὲ ταῖς ἄλλαις φωναῖς οὐχ ὡς ἀποστερῶν τὴν μητέρα τῆς πρεπούσης τιμῆς, ἀλλὰ δείκνυσι κατὰ ποίαν μητρότητα μακαριστή ἐστιν ἡ παρθένος. εἰ γὰρ ὁ ἀκούων τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάττων, αὐτὸς ἀδελφός ἐστι τοῦ Θεοῦ καὶ ἀδελφὴ καὶ μήτηρ· πρόσεστι δὲ τῇ μητρὶ αὐτοῦ ἀμφότερα· δῆλον ὅτι κατὰ ταύτην τὴν μητρότητα ἐχρῆν μακαρίζεσθαι τὴν μητέρα αὐτοῦ. τὸ γὰρ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάττειν, ἀρετῆς ἐστι, καὶ καθαρᾶς ψυχῆς ὅλης πρὸς τὸν Θεὸν βλεπούσης. καὶ ἐπειδὴ οὐ τὴν τυχοῦσαν γυναῖκα ἐπελέξατο ὁ Θεὸς γενέσθαι μητέρα τοῦ Χριστοῦ, ἀλλὰ τὴν πασῶν γυναικῶν ταῖς ἀρεταῖς ὑπερκειμένην, διὰ τοῦτο καὶ ὁ Χριστὸς ἀπὸ ταύτης τῆς ἀρετῆς ἐβούλετο μακαρίζεσθαι τὴν μητέρα αὐτοῦ, δι' ἧς ἠξιώθη παρθένος μήτηρ γενέσθαι. ὅτι δὲ πρὸς ἀτιμίαν ἢ ἀπείθειαν γονέων οὐδαμῶς ἐμφαίνεται ὁ Χριστὸς πεποιηκώς τι, μαρτυρεῖ Λουκᾶς ὁ εὐαγγελιστὴς λέγων περὶ αὐτοῦ, ὅτι κατέβη μετὰ Ἰωσὴφ καὶ Μαρίας ἀπὸ Ἱερουσαλήμ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.

Ἐρώτησις ρλζ.

Εἰ πρὸ τοῦ τάφου ἡ Μαρία τὸν Κύριον τῷ μύρῳ ἤλειψεν, ἡμεῖς δὲ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ ἐν τῷ βαπτίσματι τελοῦμεν τὰ σύμβολα; πῶς πρῶτον μὲν ἐλαίῳ χριόμεθα, ἔπειτα δὲ τὰ προλεχθέντα ἐν τῇ κολυμβήθρᾳ τελέσαντες

in locis parentes suos aspernatus, immunis peccato probatur? In nuptiis enim per illud; *Quid mihi tecum est mulier?* matrem obiurgauit. Cum autem ipsum Mater videre vellet, *Matrem & Fratres* voluntatem Patris facientes dixit. Et rursum, cum illum qui gestauit venter, & quæ suxerat vbera, beatificarentur: ipse Dei voluntatē facientes *Beatos* pronunciauit. Quæ sane omnia, cum matris contumelia ab eo putantur esse dicta: propterea quod cum mater eius nominaretur, & beata deprædicaretur, perinde atque se illi opponeret, ipse alios beatificarit. Aduersam sane oppositionem, de rebus contrariis recipi manifesto constat. Denique cum sancta virgo ad tantæ administrationis siue dispensationis ministerium diuinitus delecta esset: quomodo iuxta ea quæ dicta sunt, indigna beatificatione reputata est? Sin dicta talia inter se repugnant; quomodo inter se pugnantia, aliud ab alio non euertitur?

RESPONSIO.

Istud, *Quid mihi tecum est mulier?* non ad matris obiurgationem dictum est a Saluatore; sed ad illud ostendendum: Non nos, inquit, delecti sumus quibus cōsumptum in nuptiis vinum curæ esset. ex singulari tamen caritate, si vis, ne eos vinum deficiat; ministris dicito vt quæ dixero faciant: & videbis non defore illis vinum:- id quod & factum est. Non igitur verbis matrem increpuit, quam operibus cohonestauit. Aliis autem vocibus, non matrem honore debito priuat; sed cuiusmodi materni iuris genere beatissima esset virgo, declarat. Si enim qui audit verbum Dei, & custodit, is frater est Dei, & soror, & mater; & vtraque hæc matri eius inerant: nempe eiuscemodi materni iuris laude beatificatam oportuit matrem eius. Nam audire & seruare verbum Dei, virtutis est, & animi puri, qui totus in Deum respiciendo sit intentus. Et quia non quamlibet e vulgo fœminam Deus delegit quæ genitrix CHRISTI fieret, sed quæ mulieres omnes virtute anteiret: non abs re, eiusmodi virtutis nomine matrem suam beatam deprædicari voluit, per quam virtutem honore eo digna habita est vt virgo mater fieret. Quod vero nullo modo CHRISTVS contumeliose aut inobœdienter quidquam aduersus parentes egerit, ex eo apparet quod Lucas euangelista de eo testatur, Hierosolymis eum cum ipsis descendisse, & subditum illis fuisse.

QVÆSTIO CXXXVII.

Si ante sepulturam Maria vnguento Dominum vnxit; nos autem in baptismo, symbola signaq; passionis & resurrectionis eius referentes, celebramus: quomodo primum oleo vngimur, ac deinde in sacro lauacro, quæ dicta sunt symbolis

peractis, post illa vnguento consignamur? atque hæc ipsa quomodo nō contra quam circa Dominum gesta sint, facere existimamur? siquidem Dominus primum vnguento delibutus est, ac deinde passus. Quomodo vero non superuacua est etiam ea quæ in baptizandis peragitur olei vnctio, si vnguento tantum ante passionem delibutus est CHRISTVS?

RESPONSIO.

Quandoquidem quæ [Maria] facit, ad sepulturam post mortem ipsius sepulti facit: beata autem Maria ante mortem Dominum vnxit, pro eo atque scriptum est: *Quod fecit hæc*, inquit, *ad sepulturam meam fecit. præuenit enim vt vngeret corpus meum.* vbi verbum hoc, *Præuenit*, dictum est pro eo quod est, Ante iustum tempus vnxit corpus meum. Quocirca hoc non fit per repugnantiam: verum id quod in Domino gestum est, ante iustum tempus; in eis qui baptizantur, congruenti fit tempore. Cæterum veteri oleo inungimur, vt christi vnctique fiamus: vnguento autem, ad recordationem eius qui vnguenti vnctionem, sepulturam suam esse reputauit: ac typo quidem & figura in præsenti, veritate autem & reipsa in futuro tempore, ad communicationem passionum simul & gloriæ eius qui nos vocauit, Saluatoris CHRISTI.

QVÆSTIO CXXXVIII.

Si iust'est qui peccantē pro eo quod peccauit, punit: quomodo Deus est iustus qui multitudinē tantam neci dedidit, propter lapsus aliorum? lapsos autē dico Ionatham & Dauidem: illum, qui per imprudentiam ieiuniū degustatione mellis soluerit. hūc, qui præcipiti temeritate adductus, lustrū condiderit, & numerum populi inierit. Si quis vero dicat, subditos principum luisse supplicium quomodo iniustus nō est, qui innoxios pœnis subiicit? & Scripturæ non aduersatur; *Anima quæ peccauerit, ipsa morietur?*

SOLVTIO.

Acerbissimum esse delinquentium regum supplicium, populi cladem, ipse indicat beatus Dauid, Deum orans vt in se & domum suam a populo plagam conuertat. Regni enim est fluctuatio, eorum qui reguntur diminutio. Consimiliter porro Saul occisurus erat Ionatham filium suum; vt eius cæde populū plaga, tamquam remedio adhibito, liberaret: nisi illum occupans populus præuenisset, iureiurando interposito, non permissurum se esse vt Ionathas intereat. Et sicut homo, ex anima & corpore constituitur: ita regnum, ex rege, & eis qui reguntur, coagmentatur. Et quemadmodum si homo manibus peccatum committens, tergo pœnas pendat, non inique qui in eum animaduertit agit: ita non iniuste Deus facit, principum delicta, populi pœna coercens. In magnum enim reges

σύμβολα, τῷ μύρῳ σφραγιζόμεθα ὕστερον, καὶ κατ' ἐναντίωσιν τῶν περὶ τὸν Κύριον γεγονότων ταῦτα ποιεῖν οὐ νομίζομεν; εἴγε πρῶτον ὁ Κύριος τῷ μύρῳ ἠλείψατο, καὶ ὕστερον ἔπαθε. πῶς δὲ καὶ οὐ περιττὴ ἡ χρίσις τοῦ ἐλαίου προσφέρεται τοῖς βαπτίζεσθαι μέλλουσιν, εἴγε μόνῳ τῷ μύρῳ πρὸ τοῦ πάθους ἐχρίσθη ὁ Κύριος;

Ἀπόκρισις.

Ἐπειδὴ ἃ ποιεῖ . . . . ἐνταφιασμὸν μετὰ τὸν θάνατον αὐτοῦ ποιεῖ τοῦ ἐνταφιαζομένου· ἡ δὲ μακαρία Μαρία πρὸ τοῦ θανάτου ἐμύρισε τὸν Κύριον κατὰ τὸ γεγραμμένον, Ὃ ἐποίησε, φησὶν, αὕτη, πρὸς ἐνταφιασμόν μου ἐποίησε. προλαβοῦσα γὰρ ἐμύρισέ μου τὸ σῶμα· τὸ δὲ προλαβοῦσα, ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ ἐμύρισέ μου τὸ σῶμα. διὰ τοῦτο οὐδὲ γίνεται κατ' ἐναντίωσιν, ἀλλὰ τὸ ἐπὶ τοῦ Κυρίου γεγονὸς πρὸ τοῦ καιροῦ, τοῦτο ἐπὶ τῶν βαπτιζομένων γίνεται ἐν τῷ δέοντι καιρῷ. χριόμεθα γὰρ τῷ παλαιῷ ἐλαίῳ, ἵνα γινώμεθα χριστοί· τῷ δὲ μύρῳ, πρὸς ἀνάμνησιν τοῦ τὴν χρίσιν τοῦ μύρου ἐνταφιασμὸν ἑαυτοῦ λογιζομένου· καὶ τύπῳ μὲν ἐπὶ τοῦ παρόντος, ἀληθείᾳ δὲ ἐπὶ τοῦ μέλλοντος εἰς τὴν κοινωνίαν τῶν τε ἑαυτοῦ παθημάτων καὶ τῆς δόξης ἡμᾶς καλεσαμένου Σωτῆρος Χριστοῦ.

Ἐρώτησις ρλη'.

Εἰ δίκαιός ἐστιν ὁ τὸν ἡμαρτηκότα ὑπὲρ ὧν ἥμαρτε τιμωρούμενος, πῶς δίκαιος ὁ Θεὸς ὁ τοσοῦτον λαὸν διὰ πταίσματα θανατώσας ἑτέρων· λέγω δὲ πταισάντων τὸν Ἰωνάθαν καὶ τὸν Δαβίδ· τὸν μὲν ἐξ ἀγνοίας λύσαντα τὴν νηστείαν τῇ γεύσει τοῦ μέλιτος, τὸν δὲ προπετῶς τὸν λαὸν ἀριθμήσαντα. εἰ 295
δέ τις λέγει ὡς τῶν ὑπηκόων ὁ θάνατος ἐπὶ τιμωρίᾳ τῶν ἀρχόντων ἐγίνετο, πῶς οὐκ ἀδικεῖ, τοὺς ἀναιτίους ὑποβάλλων κολάσεσιν; ἐναντιοῦται δὲ τῇ λεγούσῃ γραφῇ, ὅτι, Ψυχὴ ἡ ἁμαρτήσασα, αὕτη ἀποθανεῖται:-

Ἀπόκρισις.

Ὅτι πικροτάτη τιμωρία τῶν ἡμαρτηκότων βασιλέων, ἡ τιμωρία τοῦ λαοῦ, δηλοῖ αὐτὸς ὁ μακάριος Δαβίδ, δεόμενος τοῦ Θεοῦ εἰς αὐτόν τε καὶ εἰς τὸν οἶκον αὐτοῦ μεταγαγεῖν ἀπὸ τοῦ λαοῦ τὴν πληγήν. σάλος γάρ ἐστι τῆς βασιλείας, ἡ μείωσις τῶν βασιλευομένων· ὡσαύτως δὲ καὶ ὁ Σαοὺλ ἔμελλεν ἀναιρεῖν τὸν υἱὸν αὐτοῦ Ἰωνάθαν, ἵνα τῇ ἀναιρέσει αὐτοῦ τὴν πληγὴν ἰάσηται τοῦ λαοῦ, εἰ μὴ φθάσας ὁ λαὸς ὤμοσε μὴ ἀποθανεῖν ἐάσειν τὸν Ἰωνάθαν. καὶ ὡς σύγκειται ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος, οὕτως καὶ ἡ βασιλεία σύγκειται ἐκ τοῦ βασιλέως καὶ τῶν βασιλευομένων. καὶ ὥσπερ ἁμαρτήσας ὁ ἄνθρωπος ἁμάρτημα διὰ χειρὸς, καὶ τυπτηθῇ εἰς τὸν νῶτον, οὐκ ἀδικεῖ ὁ τυπτήσας αὐτὸν, οὕτως οὐκ ἀδικεῖ Θεὸς ἐπὶ τοῖς τῶν βασιλέων πταίσμασι τὸν λαὸν τιμωρούμενος. μεγάλως γὰρ οἶδεν

κολάζει τοὺς βασιλεῖς ἡ πληγὴ τοῦ λαοῦ. τῶν γὰρ βασιλείας ἐστὶ τιμωρία, ἡ πληγὴ τοῦ λαοῦ.

Ἐρώτησις ρλθʹ.

Εἰ εἷς ἐστι Θεὸς ὁ Θεός, δῆλον ὅτι καὶ πάντα κέκτηται τὸ εἶναι ἕν· οἷον τὸ ἁπλοῦν ἢ τὸ σύνθετον, τὸ θνητὸν ἢ τὸ ἀθάνατον, τὸ γεννητὸν ἢ τὸ ἀγέννητον, τὸ γεννᾶν ἢ τὸ μὴ γεννᾶν. πῶς οὖν τοῦ μὲν πατρὸς γεννήσαντος, καὶ τοῦ υἱοῦ μὴ γεννήσαντος· καὶ τοῦ υἱοῦ γεννηθέντος, τοῦ δὲ πατρὸς μὴ γεννηθέντος, δύναται εἷς Θεὸς καλεῖσθαι ὁ πατὴρ, καὶ ὁ υἱός, καὶ τὸ πνεῦμα, ἐξ αὐτοῦ τοῦ γεννᾶσθαι ἢ μὴ γεννᾶσθαι, καὶ τοῦ γεννᾶν καὶ μὴ γεννᾶν τὴν ἐναντίωσιν κεκτῆσθαι νομιζομένου;

Ἀπόκρισις.

Εἷς ἐστιν ὁ Θεὸς τῇ συνυπάρξει τῶν τριῶν θείων ὑποστάσεων, τῶν διαφερουσῶν ἀλλήλων οὐ τῇ οὐσίᾳ, ἀλλὰ τοῖς τῆς ὑπάρξεως τρόποις. ἡ διαφορὰ δὲ τῶν τῆς ὑπάρξεως τρόπων, οὐ διαιρεῖ τὸ ἐν τῇ οὐσίᾳ. καὶ ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ, καὶ τῆς Εὔας, καὶ τοῦ Σὴθ, εἷς μέν ἐστιν ὁ τῆς οὐσίας λόγος· ψυχὴ γὰρ λογικὴ καὶ σῶμα θνητόν· τρόποι δὲ τῆς ὑπάρξεως διάφοροι· ὁ μὲν γὰρ Ἀδὰμ γέγονεν ἀπὸ τῆς γῆς, ἡ δὲ Εὔα ἐκ τῆς πλευρᾶς, ὁ δὲ Σὴθ ἐκ τοῦ σπέρματος· καὶ ἐν διαφόροις τῆς ὑπάρξεως τρόποις μένει ὁ τῆς οὐσίας λόγος εἷς ἀδιαίρετός τε καὶ ἀπαράλλακτος· οὕτως καὶ ἐπὶ τοῦ Θεοῦ, τῇ ταυτότητι τῆς τῶν προσώπων οὐσίας, εἷς Θεὸς πιστεύεται, ὅ τε πατὴρ, καὶ ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα. οὐδὲν γὰρ συντελεῖ πρὸς τὸν τῆς οὐσίας λόγον ὁ τρόπος τῆς ὑπάρξεως. τὰ μὲν οὖν ἐπὶ τῶν θείων τριῶν ὑποστάσεων ὡσαύτως ἀπαραλλάκτως λεγόμενα, ἐν τούτοις νόει τὸ ἓν τῆς οὐσίας· τὰ δὲ μὴ ὡσαύτως, ταῦτα νόει τῷ τρόπῳ τῆς τῶν προσώπων ὑπάρξεως.

Ἐρώτησις ρμʹ.

Εἰ κληρονόμον ἑαυτὸν ὁ Χριστὸς ὀνομάζει, τοῦτον δὲ κατὰ τὴν παραβολὴν οἱ γεωργοὶ, τουτέστιν οἱ Ἰουδαῖοι, ἐπέγνωσαν, καὶ τῆς γεωργίας δεσπόται γενέσθαι ἐπόθησαν, ὡς κληρονόμοι τὸν κληρονόμον ἀπέκτειναν, πῶς αὐτὸς ὁ Χριστὸς καὶ ὁ ἀπόστολος Παῦλος, τοῦ τολμήματος αὐτοῖς ἐμαρτύρησαν ἄγνοιαν; ὁ μὲν, λέγων, Ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· ὁ δὲ,
296 φάσκων, Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

Ἀπόκρισις.

Διχῶς ἡ ἄγνοια λέγεται. ἢ γὰρ μὴ βουλόμενός τις ἀγνοεῖ, ὅταν τὰ πράγματα τὰ ὁδηγοῦντα εἰς γνῶσιν οὐκ ἔχῃ· ἢ βουλόμενος ἀγνοεῖ, ὅταν τὰ μὲν πράγματα ἔχῃ ὁδηγοῦντα εἰς γνῶσιν, μὴ βουλόμενος δὲ γνῶναι. ταύτην δὲ τὴν βουλητὴν ἄγνοιαν οἶδεν ἡ θεία γραφὴ ποτὲ μὲν ἄγνοιαν, ποτὲ δὲ γνῶσιν ὀνομάζειν· ἄγνοιαν μὲν, ὡς ὅταν λέγῃ, Καὶ ἐμὲ οἴδατε, καὶ πόθεν εἰμὶ οἴδατε· ἀντὶ τοῦ, Δύνασθε ἀφ' ὧν ἐργάζομαι γνῶναι τῆς τε ὀνομασίας τῆς ἐμῆς, καὶ τῶν λόγων μου τὴν ἀλήθειαν· ψευδόμενος γὰρ, οὐ δύναται τοιαῦτα ἔργα ποιεῖν. τὸ δὲ

mœrorem conijcere solet, populi calamitas. Regni namque pœna est, ciuium ipsorum plaga.

QVÆSTIO CXXXIX.

Si Deus vnus est Deus, certum fuerit, vndequaq; eum vt vnum sit, obtinere: videlicet simplex aut compositum, mortale aut immortale, genitum aut ingenitum, quod gignat aut quod gignatur. Quo igitur modo, cum Pater gignat, & Filius non gignat; atq; Filius gignatur, & Pater non gignatur: Deus vnus vocari potest Pater & Filius & Spiritus sanctus: eo quod per id quod gignatur aut non gignatur, & quod gignat aut non gignat, repugnantiam obtinere putetur?

RESPONSIO.

Vnus Deus est, coexsistentia trium diuinarum subsistentiarum: quæ inter se distant non essentia, sed exsistentiæ modis. Differentia autem exsistentiæ modorum, non distinguit essentiæ vnitatẽ. Et quemadmodum in Adamo, & Eua, & Setho, vna est essentiæ ratio, anima scilicet rationalis, & corpus mortale; modi vero exsistentiæ diuersi: nam Adam e terra factus est, Eua e costa, Seth e genitali semine: & in diuersis exsistentiæ modis, manet essentiæ ratio vna, in quam distinctio & mutatio non cadit: sic & in Deo, eo quod eadem sit personarũ essentia, vnus Deus creditur Pater & Filius & Spiritus sanctus. Nihil enim momenti ad essentiæ rationem confert, exsistentię modus. Proinde quæ de diuinis tribus subsistentiis eodem immutabili modo dicuntur, in eis vnitatem intellige: quæ vero non eodem modo, ex eis rationem personarum exsistentiæ cognosce.

QVÆSTIO CXL.

Si CHRISTVS seipsum hæredẽ nominat; hunc autem, iuxta parabolam, agricolæ, hoc est Iudæi, agnouerunt: & quia agriculturæ domini esse concupiuerant, hæredem tamquam hȩredem necarunt: quomodo & ipse CHRISTVS, & apostolus Paulus, in tam temerario ausu imprudentiæ eis perhibuerũt testimoniũ? ille quidem, dicens, *Remitte illis Pater: nesciunt enim quid faciunt*: hic autem, *Si cognouissent, haudquaquam Dominum gloriæ crucifixissent*.

RESPONSIO.

Imprudentia siue ignoratio dupliciter dicitur. Aut enim non sponte sua quis ignorat, cum eas res nõ habeat quæ ipsum ad cognitionem ducant: aut voluntate sua ignorat, cum res ad cognitionem eum ducentes habeat, & nosse tamen nolit. Atque hanc destinatam ignorationem, solita est sacra Scriptura nominare, aliquando imprudentiam siue inscitiam, aliquando scientiam. vt cum dicit: *Et me nostis, & vnde sim nostis*. pro eo quod est: Ex operibus meis, & nomine meo, & sermonibus meis nosse potestis veritatem. nam qui per mendacium fallit, opera talia edere non potest:- Et

cum ab agricolis hæres eo est agnitus, quod eum viderant in præsenti vita, operum editione & filii appellatione, supra omnem esse hominem, iuxta euidentem parabolæ descriptionem. Sed tum, quod illum post mortem eius Deus e mortuis ad vitam immortalem esset resuscitaturus, & facturus hæredem vniuersorum, non cognouerunt. Nam & ipsa perspicua parabolæ descriptio, eius rei dilucidam & apertam non habet designationem. Itaq; de eiusmodi ignorantia dixit CHRISTVS: *Pater, remitte illis: nesciunt enim quid faciant.* Similiter & Paulus: *Si enim cognouissent, haudquaquam Dominum gloriæ crucifixissent.*

QVÆSTIO CXLI.

Si vnus CHRISTVS diuinam legem impleuit: quomodo irreprehensibiles in lege ambulauerunt Zacharias & Elisabet, de quibus hoc Lucas testificatur: & Paulus, qui iusticia legis fuit irreprehensibilis?

SOLVTIO.

Aliud est, Esse irreprehensibilem; & aliud, Peccato immunem. Immunis namque peccato, prorsus quoq; est Irreprehẽsibilis. Irreprehensibilis autẽ, necessario Peccato immunis nõ est. Nam qui contra legẽ peccatũ committit, cui gratia fieri queat per oblationẽ victimarũ & delicti confessionem, noxæ remissione accepta, purus redditur & irreprehensibilis, secundum eam quæ ex lege est, iusticiam. At CHRISTVS, vt qui immunis peccato sit, quique legem numquam violauerit, nihil in se admisit quod correctione indigeret. Baptistã vero admisit, & ab eo baptizatus est, vt impleret omnem iusticiam quam Paulus, priusquam in CHRISTVM crederet, non acceperat: alioqui enim non fuisset persequutus Ecclesiam. Quocirca vnus CHRISTVS, Peccati expers esse dicitur.

QVÆSTIO CXLII.

Si Angelus homine est præstabilior, & sacræ litteræ homines Deos appellant: quare non conuenit vt Angeli a nobis Dii nominentur?

RESPONSIO.

Quicumque Angeli in dignatione Dei conspecti sunt, aut cum hominibus egerunt, obtinuere & ipsi nomen *Dei*, sicut is qui cum Iacobo & Mose loquutus est. Vocati vero sunt & homines *dii*. Vtrisque autem propter commissum sibi munus, datum est obtinere Dei & dignationem & appellationem. Quo munere obito, desinunt vocari dii, qui propter functionem aliquam Dei nomen accepere. Cum namque angelo mandaret populi procurationem seu præfecturam, ad Mosen de eo dixit; *Non eris ei immorigerus; quoniam nomen meum positum est super eum.* Cum vero Principibus iniungeret iurisdictionem in populo, loquutus est ad eos: *Iustum iudicium iudicate:* quoniam

ὑπὸ τῶν γεωργῶν γνωρισθῆναι τὸν κληρονόμον, καθὸ ἐθεάσαντο τοῦτον ὑπὲρ πάντα εἶναι ἄνθρωπον ἐν τῇ παρούσῃ ζωῇ, τοῖς ἔργοις εἰς ἐποίει, καὶ τῇ κλήσει τοῦ υἱοῦ, κατὰ τὴν ὑποτύπωσιν τῆς παραβολῆς. ὅτι δὲ μετὰ τὸ ἀποθανεῖν αὐτὸν ἀνίστησιν αὐτὸν ὁ Θεὸς ἐκ τῶν νεκρῶν εἰς ἀθάνατον ζωὴν, καὶ τίθησιν αὐτὸν πάντων κληρονόμον, οὐκ ἔγνωσαν. οὔτε γὰρ ἡ ὑποτύπωσις τῆς παραβολῆς ἔχει τούτου τὴν ἔμφασιν. κατὰ ταύτην οὖν τὴν ἄγνοιαν εἶπεν ὁ Χριστὸς, Πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν:- ὡσαύτως δὲ καὶ ὁ ἀπόστολος, Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν:-

Ερώτησις ρμα'.

Εἰ μόνος ὁ Χριστὸς τὸν θεῖον νόμον ἀκριβῶς ἐξετέλεσε, πῶς ἐπορεύοντο ἐν τῷ νόμῳ ἄμεμπτοι ὅ τε Ζαχαρίας καὶ ἡ Ελισάβετ, περὶ ὧν ταῦτα ὁ Λουκᾶς ἐμαρτύρησε; καὶ ὁ Παῦλος δὲ κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος.

Απόκρισις.

Ἄλλο τὸ ἄμεμπτον, καὶ ἄλλο τὸ ἀναμάρτητον. ὁ μὲν γὰρ ἀναμάρτητος, ἐκ παντὸς καὶ ἄμεμπτος· οὐκέτι δὲ ὁ ἄμεμπτος, ἐξ ἀνάγκης καὶ ἀναμάρτητός ἐστιν. ὁ γὰρ ἁμαρτάνων παρὰ τὸν νόμον, συγγνωστὴν ἁμαρτίαν τῇ προσαγωγῇ τῶν θυσιῶν, καὶ τῇ ἐξαγορεύσει τοῦ πλημμελήματος λαβὼν τὴν ἄφεσιν, γίνεται καθαρὸς καὶ ἄμεμπτος κατὰ τὴν ἐκ νόμου δικαιοσύνην. ὁ δὲ Χριστὸς, ἅτε ἀναμάρτητος ὢν, καὶ οὐδαμῶς παραβὰς τὸν νόμον, οὔτε διεπράξατό τι διορθώσεως δεόμενον· ἐδέξατο δὲ καὶ τὸν βαπτιστὴν Ιωάννην, καὶ ἐβαπτίσθη ὑπ' αὐτοῦ, ἵνα πληρώσῃ πᾶσαν δικαιοσύνην ἣν ὁ Παῦλος πρὸ τοῦ πιστεῦσαι Χριστῷ οὔπω ἦν δεξάμενος· ἐπεὶ οὐκ ἂν ἐδίωξε τὴν ἐκκλησίαν. διὰ τοῦτο ὁ Χριστὸς μόνος λέγεται ἀναμάρτητος γεγενῆσθαι.

Ερώτησις ρμβ'.

Εἰ ὁ ἄγγελος τοῦ ἀνθρώπου ἀνώτερος, καὶ θεοὺς τοὺς ἀνθρώπους ἡ γραφὴ ὀνομάζει, πῶς οὐχ ἁρμόζει καὶ τοὺς ἀγγέλους θεοὺς παρ' ἡμῶν ὀνομάζεσθαι;

Απόκρισις.

Τῶν ἀγγέλων ὅσοι ἐν τάξει Θεοῦ ὤφθησαν, ἢ ἐλάλησαν τοῖς ἀνθρώποις, ἐσχήκασι καὶ αὐτοὶ τοῦ Θεοῦ τὴν κλῆσιν, ὡς ὁ λαλήσας τῷ Ιακὼβ καὶ τῷ Μωϋσῇ. ἐκλήθησαν δὲ καὶ οἱ ἄνθρωποι θεοί. ἑκατέροις δὲ, διὰ τὴν ἐγχειρισθεῖσαν αὐτοῖς χρείαν, ἐδόθη τὸ τοῦ Θεοῦ τὴν τάξιν καὶ τὴν προσηγορίαν ἔχειν. πληρωθείσης δὲ τῆς χρείας, παύονται τοῦ καλεῖσθαι θεοὶ οἱ χρείας τινὸς ἕνεκεν εἰληφότες τοῦ θεοῦ τὴν κλῆσιν. ὅτε μὲν γὰρ ἐνεχείρισε τῷ ἀγγέλῳ τὴν ἐπιτροπίαν τοῦ λαοῦ, ἔφασκε τῷ Μωσῇ περὶ αὐτοῦ, Μὴ ἀπειθήσῃς αὐτῷ· ὅτι ὄνομά μοι κεῖται ἐπ' αὐτόν:- ὅτε δὲ ἐνεχείρισε τοῖς ἄρχουσι τὴν κρίσιν τοῦ λαοῦ, φησὶ πρὸς αὐτοὺς, Δικαίαν κρίσιν κρίνατε·

» ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι:- καὶ πάλιν, Ἐγὼ εἶπα, Θεοί » ἐστε καὶ υἱοὶ ὑψίστου πάντες:- Θεοὺς αὐτοὺς ἔλεγεν, αἰτία τοῦ, ἔδωκα ὑμῖν τὴν τιμὴν τὴν ἐμὴν, καὶ τὴν τάξιν, καὶ τὴν κλῆσιν· ὡς οὖν ἐμοῦ κρίνοντος, οὕτως κρίνατε τὸν λαόν.

Ἐρώτησις ρμγʹ.

Εἰ ὑπεραναβέβηκε μὲν ὁ Θεὸς, ὑποβέβηκε δὲ ὁ ἄνθρωπος, πῶς οὐκ ἀπρεπῶς ὁ ἄνθρωπος Θεὸς προσηγόρευται;

Ἀπόκρισις.

Αὕτη ἡ ἐρώτησις οὔτε Χριστιανῷ ἁρμόζει, οὔτε Ἕλλησι. καθ' ἑκάτερον δὲ εἰς τοὺς ὑποβεβηκότας μετήνεγκται ἡ τοῦ ὑπεραναβεβηκότος ἡ κλῆσις, κατὰ τὴν ἑκάστου δόξαν. οὐ χρὴ δὲ ἐκ τῶν ὁμολογουμένων κατασκευάζειν τὴν ζήτησιν, ἀλλὰ ἐκ τῶν ἀμφιβόλων.

Ἐρώτησις ρμδʹ.

Εἰ ἔχει ὁ Θεὸς ὑπόστασιν ὑπάρχουσαν, καὶ βουλὴν ἐνυπάρχουσαν, καὶ υἱὸν ὑπάρχοντα, πῶς ἐκ τοσούτων συγκείμενος, ἁπλοῦς ὀνομάζεται;

Ἀπόκρισις.

Ὁ Θεὸς ὥσπερ ὅλος ἐστὶ πανταχοῦ, καὶ ὅλος ἐν ἑκάστῳ, καὶ ὅλος ἐφ' ἑαυτοῦ, καὶ τοῦτο πίστει μὲν ἔχομεν, οὕτως καὶ τὸ ἁπλοῦν αὐτοῦ ὅλον υἱός ἐστι, καὶ ὅλον υἱὸν ἔχον ἐστὶ καὶ ὅλον βουλή ἐστι, καὶ ὅλον βουλὴν ἔχον ἐστίν. οὐ γάρ ἐστι κατὰ τὴν κτιστὴν φύσιν ὁ Θεὸς, ὥστε τὸ εἶναι αὐτὸν, καὶ τὸ ἔχειν, νοηθῆναι ἐν συνθέσει, ὥσπερ . . . . . ἀλλ' ὥσπερ τὴν φύσιν ὢν, οὕτως καὶ τὸ εἶναι αὐτὸν, καὶ τὸ ἔχειν, ἐστὶν ὑπὲρ τὴν σύνθεσιν.

Ἐρώτησις ρμεʹ.

Εἰ δι' ὧν ἡ σάρξ, διὰ τούτων καὶ τὸ αἷμα συνίσταται, διὰ τί τὴν μὲν βρῶσιν τῆς τῶν ζώων σαρκὸς ὁ Θεὸς ἐπιτρέπει, τὴν δὲ ἐν τῷ αἵματι ἀπαγορεύει μεταλη- » ψιν; Πλὴν κρέας, λέγων, ἐν αἵματι οὐ φάγεσθε:-

Ἀπόκρισις.

Ἵνα καὶ ἐν τούτῳ χωρίσῃ ἡμᾶς ὁ Θεὸς τῆς τῶν θηρίων ὁμοιότητος, τῶν σὺν τῇ βρώσει τῆς σαρκὸς λαπτόντων καὶ τὸ αἷμα ὧν τὰς σάρκας ἐσθίουσιν.

Ἐρώτησις ρμϛʹ.

Εἰ ὁ Θεὸς ἐπὶ τῶν ἀληθῆ τὴν ἔκβασιν ἐσχηκότων, καὶ διὰ τῶν παρ' Ἕλλησι μάντεων τὸ μέλλον ἔσεσθαι προεμήνυσεν, ἡνίκα Ἕλληνες πρὸς Ἕλληνας διεμάχοντο, πολλάκις κατὰ χρησμὸν πράξαντές τι ὧν ἡ θεία γραφὴ τὴν πρᾶξιν ἀπηγόρευσε, τῶν ἐν τῇ δευτέρᾳ πύστει κειμένων δεινῶν ἀπηλλάγησαν· οἷον ἐπὶ μὲν πολέμου, ὡς ὅτε οἱ ἑπτὰ ἐπὶ Θήβαις ἄρδην μὲν καταστρέφειν τὴν προρρηθεῖσαν πόλιν ἔμελλον· μαντευσαμένου δὲ Τειρεσίου, ὁ Μενοικεὺς κατὰ τὸ δοκοῦν τῇ μαντείᾳ, ἑαυτὸν ἑτοίμως κατέσφαξε, καὶ οὕτως κατὰ τὴν πρόρρησιν τῆς μαντείας, ἡ μὲν πόλις διεσώθη, οἱ δὲ πολέμιοι ὑπὸ τῶν ἐν τῇ πόλει ἀνῃρέθησαν· καὶ τοῦτο μὲν περὶ τῶν ἐν πολέμοις τροπαίων ἓν ἐκ πολλῶν ἡμῖν εἴρηται·

quoniam iudicium Dei est. Et iterum: *Dii estis, & filii Altissimi omnes.* vbi eos deos esse dixit, pro eo quod est: Dedi vobis honorem, dignationem & appellationem meam: Itaque perinde iudicate populum, atq; si ego ipse iudicarem.

QVÆSTIO CXLIII.

Si Deus longe præcedit, homo autem longe decedit: quomodo non perperam homo appellatur Deus?

RESPONSIO.

Quæstio hæc nec Christiano, nec pagano congruit. Secundum vtrumque enim in decedentes præcedentis transfertur nomen, pro cuiusque opinione. Non oportet autem, ex eo quod in confesso, sed ex eo quod in ambiguo est, quæstionem instituere.

QVÆSTIO CXLIIII.

Si Deus habet subsistentiam exsistentem, & voluntatem inexsistentem, & Filium exsistētem: quomodo tot modis compositus, simplex dicitur?

RESPONSIO.

Sicuti Deus vbique est totus, & totus in vnoquoque, totusq; in seipso, atq; id fide nostra probamus: ita etiam simplicitas eius tota Filius est, & tota Filium habens est: totaque voluntas est, ac tota voluntatem habens est. Non enim ad instar creatæ naturæ Deus est, vt id quod sit, & id quod habeat, per compositionem intelligatur, sicut [natura creata;] verum pro eo atque naturam obtinet, ita etiam intelligendus est, id quod sit, & id quod habeat, obtinere supra compositionem.

QVÆSTIO CXLV.

Si per quæ caro, per eadem & sanguis consistit: quapropter Deus carnis animantium esum permittit, carnis autem in sanguine vsum interdicit? *Excepto, inquit, quod carnem in sanguine non comedetis.*

SOLVTIO.

Vt ea quoque re Deus nos a ferarum immanitate & similitudine secerneret, quæ in laniatu carnium, sanguinem quoq; eorum lambunt, quorum vorant carnes.

QVÆSTIO CXLVI.

Si Deus in eis rebus, quæ verum euentum consequutæ sunt, etiam per paganorum vates futura prædixit, cum mutuis inter se bellis illi conflictarentur: & persæpe illi, cum aliquid de oraculi responso, quod Sacris litteris est prohibitum, egissent, rebus aduersis in secunda percontatione insertis sunt liberati: velut in bello, cum septem illi duces apud Thebas, vrbem eam funditus euersuri essent: responsum autē edente vate Tiresia, Menœceus de sententia vaticinii seipsum non grauate interimeret, iuxta prædictionem, ita & vrbs seruata, & ab eius ciuibus hostes cæsi sunt: atque hoc ex multis vnum de bellorum victoriis nobis sit dictum: [quomodo igitur Ethnicorum oracula & diuinationes, fidem auctoritatemque suam non retinebunt?]

RESPONSIO.

Quæstionum solutionem instituens, primum ea quæ pro confessis habentur, ponere, ac deinceps eorũ quæ in quæstionem veniunt, soluere ambiguitatẽ debet. In confesso autem est, vnum esse Deum opificem & procuratorem mundi vniuersi; quem sanctæ Christianorum litteræ annunciant, oraculis earum testimonio diuinarum virtutum confirmatis. Penes hunc futurarum rerum est prædictio iuxta & euentus. Quæ hunc autẽ deprędicant Scripturæ, Græcorum deos proscribũt. *Si mutabunt*, ait, *gentes deos suos; & ipsi non sunt dii.* Quorum vero dii non sunt dii, horum etiam vates veritatis non sunt prophetæ: neque eorum diuinatio ineuitabilẽ, verumque & certum habet exitum. Nam vti longe absunt a vera diuinitate & numine; ita quoq; a futurorum semoti sunt præscientia & diuinatione. Quandoquidem autem profanæ a sacris nostris gentes multifariam, ac præcipue in bellis quæ inter se gerebant, oraculis vtebantur: statuit de illis pro voluntate sua, Christianorum Deus. Testatur hoc Alexandri & Darii bellum: quorum ille alterius confirmauit, alterius autem abrogauit ab oraculis edita respõsa. Testatur quoque Assyrii aduersus multos & potentes populos gestum bellum; quod Deus *virgam furoris & serram* vocauit: quandoque dicens: *Ecce Assyrius, virga furoris mei est; aduersus gentem peccatricem [mittam] eum.* quandoque de eo inquiens: *Numquid [exaltabitur] serra absq; eo qui trahit illam?* Sane quidem quod Assyrius per prosperum responsorum quæ a diis suis per vates acceperat euentum, tamquam serra conscidit & dilacerauit miserabiles gentes: quæ & ipsæ, itidem vt ille, oraculis confisæ, cum ipso bello conflixere, & spe acceptorum responsorum decidere: permittente Deo id est factum: vt scilicet oracula Assyrii votis responderent, gentes autem vaticiniis suis fallerentur. De quibus Deus per prophetam Esaiam: *Remisi*, inquit, *manum meam.* Assyrius vero; *Numquid*, ait, *liberarunt dii gentium terram eorum de manu mea, vt eruat Dominus Hierusalem ex manu mea?* Iuxta accepta oraculorum per vates responsa, Assyrius huiuscemodi proloquutus est verba, & contra gentes, & contra Hierusalem. Atque is aduersus gentes euentu oraculorum felici est potitus, Deo permittente: aduersus Hierosolyma autem, eorundem exitu potitus non est, Deo non permittente. Quomodo igitur oraculo decepti sunt septem illi duces apud Thebas, quo minus vrbem eam prorsus exscinderent? Aduersus videlicet oraculi exitus, eius dei a quo per diuinationem ea sunt prænunciata, quæ euentu ad rem non sunt collata, coarguit infirmitatem. Ac si, iuxta minime fallacem Seruatoris vocem, absque Deo ne passer quidem

Ἀπόκρισις.

Ὁ ποιῶν τὴν λύσιν τῶν ζητουμένων, πρῶτον ὀφείλει θεῖναι τὰ ὁμολογήματα, εἶτα ἐξ αὐτῶν ποιήσασθαι τῶν ζητουμένων τὴν λύσιν. ἔστι δὲ τῶν ὁμολογουμένων, τὸ ἕνα εἶναι Θεὸν δημιουργόν τε καὶ προνοητὴν τοῦ κόσμου παντὸς, ὃν καταγγέλλουσιν αἱ θεῖαι τῶν Χριστιανῶν γραφαὶ λόγοις θείαις δυνάμεσι μεμαρτυρημένοις· παρ' οὗ ἐστι τῶν μελλόντων ἥ τε πρόρρησις καὶ ἡ ἔκβασις. ἐκβάλλουσι δὲ αἱ γραφαὶ αἱ τοῦτον καταγγέλλουσαι, τοὺς τῶν Ἑλλήνων 298
θεούς· Εἰ ἀλλάξουσι φησὶ, τὰ ἔθνη τοὺς θεοὺς αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί:- ὧν δὲ οὐκ εἰσὶν οἱ Θεοὶ Θεοὶ, τούτων οὐδὲ οἱ μάντεις εἰσὶν ἀληθείας προφῆται· οὐδὲ ἡ αὐτῶν πρόρρησις ἀναπόδρασίν τε καὶ ἀληθῆ ἔχει τὴν ἔκβασιν. ὥσπερ γάρ εἰσι μακρὰν τῆς ἀληθινῆς θεότητος, οὕτως καὶ τῆς τῶν μελλόντων προγνώσεως. ὅτι δὲ καὶ ἐν τῇ μάχῃ τῶν Ἑλλήνων πρὸς Ἕλληνας, τῶν πολυτρόπως, μάλιστα ἐν τοῖς πολέμοις, ταῖς μαντείαις χρησαμένων, ὁ τῶν Χριστιανῶν Θεὸς τὴν ἰδίαν ἵστησι βούλησιν, μαρτυρεῖ μὲν ἡ μάχη Ἀλεξάνδρου καὶ Δαρείου· τοῦ μὲν κρατύνας τὰς μαντείας, τοῦ δὲ, καταργήσας· μαρτυρεῖ δὲ καὶ τοῦ Ἀσσυρίου ἡ μάχη ἣν εἶχε πρὸς τὰ ἄλλα πολλὰ καὶ ἰσχυρὰ ἔθνη, ὃν ὁ Θεὸς ῥάβδον τῆς ὀργῆς καὶ πρίονα ἐκάλεσε, ποτὲ μὲν λέγων, Ἰδοὺ ὁ Ἀσσύριος, ῥάβδος ἐστὶ τῆς ὀργῆς μου, ἐπὶ ἔθνος ἁμαρτωλὸν [ἀποστελῶ] αὐτόν:- ποτὲ δὲ λέγων περὶ αὐτοῦ, Μὴ [ὑψωθήσεται] πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; καίτοι . . . . . ὁ Ἀσσύριος ὅτι κατὰ τὰς ἐπιτυχίας τῶν χρησμολογημένων οὓς εἴληφε παρὰ τῶν θεῶν αὐτοῦ διὰ τῶν μάντεων, πρίζει καὶ σπαράσσει τὰ ἐλεεινὰ ἔθνη τὰ ὁμοίως αὐτῷ, τῇ πεποιθήσει τῶν χρησμῶν, συμβεβληκότα αὐτῷ εἰς πόλεμον, καὶ ἀποτετυχηκότα τῆς διὰ χρησμῶν ἐλπίδος, τοῦ Θεοῦ συγχωρήσαντος ἐπιτυχεῖν μὲν τῶν χρησμῶν τὸν Ἀσσύριον, ἀποτυχεῖν δὲ τὰ ἔθνη. περὶ ὧν ὁ μὲν Θεὸς διὰ τοῦ προφήτου Ἡσαΐου φησὶν, Ὁ Θεὸς ἀνῆκα τὴν χεῖρά μου, καὶ ἐξηράνθησαν:- ὁ δὲ Ἀσσύριος φησὶ, Μὴ ἐρρύσαντο οἱ Θεοὶ τῶν ἐθνῶν τὴν γῆν αὐτῶν ἐκ τῶν χειρῶν μου, ὅτι ῥύσεται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ τῆς χειρός μου;- κατὰ δὲ τοὺς χρησμοὺς οὓς ἐδέξατο ὁ Ἀσσύριος παρὰ τῶν μάντεων, τοιαύτας ἐφθέγξατο φωνὰς καὶ κατὰ τῶν ἐθνῶν, καὶ κατὰ τῆς Ἱερουσαλήμ· καὶ τοῦ Θεοῦ συγχωρήσαντος, ἐπέτυχεν ὁ Ἀσσύριος τῶν χρησμῶν κατὰ τῶν ἐθνῶν· κατὰ δὲ τῆς Ἱερουσαλὴμ, ἀπέτυχε τῶν χρησμῶν, τοῦ Θεοῦ μὴ συγχωρήσαντος. πῶς οὖν ἀπέτυχον τῆς μαντείας οἱ ἑπτὰ ἐπὶ Θήβαις τοῦ ἄρδην ἀπολέσαι τὴν πόλιν; ἡ γὰρ ἀποτυχία τῆς μαντείας, ἔλεγχος γίνεται τῆς ἀσθενείας τοῦ Θεοῦ τοῦ διὰ τῆς μαντείας προμηνύσαντος τὰ ἀνέκβατα. καὶ εἰ κατὰ τὴν ἀψευδῆ τοῦ Σωτῆρος φωνὴν, Χωρὶς Θεοῦ στρου-

νῖον οὐ πεσεῖται ἐπὶ τῆς γῆς· πολὺ μᾶλλον ἔθνος ὅλον, ἢ πόλις ὅλη, οὐκ ἂν ἀπόλοιτο μὴ τοῦ Θεοῦ συγχωρήσαντος. ὅτι δὲ πᾶν ἔθνος Ἑλληνικὸν ὑπὸ ἔθνους Ἑλληνικοῦ ἀπολλύμενον ὑπὸ ῥάβδου καὶ πρίονος τῆς ὀργῆς τοῦ Θεοῦ ἀπόλλυται, φανερὸν καθέστηκεν ἐκ τῶν περὶ τοῦ Ἀσσυρίου εἰρημένων. ἔτι δὲ εἰ τὰ παρὰ τῶν Ἑλλήνων περὶ τοῦ μάντεως Τειρεσίου εἰρημένα, παντάπασίν ἐστι καταγέλαστα, πῶς ἐνδέχεται τὰ δι' αὐτοῦ λεχθέντα εἶναι ἀληθῆ; Φασὶ γὰρ περὶ αὐτοῦ ἄνδρα καὶ γυναῖκα γεγονέναι αὐτὸν, καὶ ἀμφοτέρων ἔχειν τὰς πλάσεις, καὶ πολλὰς μάχας τῶν θεῶν διαλύσαντα. διὰ ταύτην τὴν αἰτίαν, ἡ μὲν Ἥρα, χολωθεῖσα αὐτῷ, ἐπήρωσεν αὐτόν· ὁ δὲ Ζεὺς, εἰς παραμυθίαν τῆς πηρώσεως αὐτοῦ, ἐχαρίσατο αὐτῷ τὴν μαντικήν. ἀλλ' εἰ ἀλλότρια πίστεως ὑπάρχει τὰ περὶ αὐτοῦ μυθευόμενα, πῶς ἐνδέχεται ἀληθῆ εἶναι τὰ ὑπ' αὐτοῦ μυθευόμενα; ἔτι δὲ εἰ, καθώς φασιν Ἕλληνες, τὰ ὑπὸ τῶν Μοιρῶν ἐπικλωθόμενα, ἀδύνατόν ἐστιν ἀνακλωσθῆναι, πῶς οὐκ εἰσὶν ἀνωφελεῖς αἱ μαντεῖαι τοῖς αὐταῖς χρωμένοις, τῶν Μοιρῶν ἐπὶ τὸ ἀναπόδραστον τέλος ἀναγκαίως ἀγουσῶν τὰ ὑπ' αὐτῶν ἐπικλωθόμενα; ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, πῶς οὐκ εἰσὶ ψευδεῖς αἵ τε Μοῖραι καὶ αἱ μαντεῖαι, ὑπ' ἀλλήλων ἀναιρούμεναι; πῶς δὲ οὐκ ἔστιν ὁ Μενοικεὺς μάτην κατασφάξας ἑαυτὸν, κατὰ τὸ δόγμα τῆς
290 μαντείας, τῆς αἰτίας τοῦ ἀναιρεθῆναι μὲν τοὺς πολεμίους, σώζεσθαι δὲ τὴν πόλιν, μὴ ἐκ τοῦ δαίμονος τοῦ διὰ μάντεως χρηματίσαντος ὑπαρχούσης, ἀλλ' ἐκ τοῦ τοῦ δεσπότου τοῦ ἀληθινοῦ Θεοῦ συγχωρήσαντος;

ser quidem in terram cadit: multo profecto minus populus vniuersus, aut vrbs tota interit, Deo non permittente. Quod vero quæuis profana gens, quæ a gente itidem profana exstincta est, virga & serra furoris Dei, interierit, manifesto apparet ex his quæ de Assyrio sunt dicta. Ad hæc, si ea quæ a Græcis de Tiresia vate memorata sunt, omni ex parte sunt ridicula: quomodo fieri potest vt quæ ille dixerit, vera fuerint? fertur enim de eo, virum ipsum & fœminam fuisse, & vtrorumque habuisse formas, & multas inter deos medium diremisse contentiones. Quam ob causam, iratam illi Iunonem, cæcitatem immisisse: Iouem autem, vt casum eius solaretur, diuinatione illum donauisse. Porro cum incredibilia sint, quæ de ipso fabulose narrata sunt, qui fieri potest, vt vera fuerint quæ ab ipso sunt vaticinante pronunciata? Denique si, pro eo atque Græci dicunt, quę a Parcis fusis suis inuoluta sunt, reuoluere possibile non est; quomodo oracula non sunt eis inutilia qui illis vtuntur, Parcis ad finem ineluctabilem necessitate ea perducentibus, quæ earum sint inuoluta fusis? Quæ si ita habent, quomodo falsæ non sunt quæ aliæ ab aliis tolluntur, Parcæ videlicet, & diuinationes? Quomodo vero Menœceus non frustra seipsum necauit de oraculi sententia: cum causa, vt hostes occiderentur, vrbs autem seruaretur, non ex dæmone qui per vatem responsum edidit sed ex Domino ipso vero Deo, qui id permisit, exstiterit?

SEQVVNTVR PARÆNESES AD PRIVATOS.

ΤΟΥ ΑΥΤΟΥ ΙΟΥΣΤΙΝΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ Διόγνητον.

ΕΠΕΙΔΗ ὁρῶ, κράτιστε Διόγνητε, ὑπερεσπουδακότα σε τὴν θεοσέβειαν τῶν Χριστιανῶν μαθεῖν, καὶ πάνυ σαφῶς καὶ ἐπιμελῶς πυνθανόμενον περὶ αὐτῶν, τίνι τε Θεῷ πεποιθότες καὶ πῶς θρησκεύοντες, αὐτόν τε κόσμον ὑπερορῶσι πάντες, καὶ θανάτου καταφρονοῦσι· καὶ οὔτε τοὺς νομιζομένους ὑπὸ τῶν Ἑλλήνων θεοὺς λογίζονται, οὔτε τὴν Ἰουδαίων δεισιδαιμονίαν φυλάσσουσι· καὶ τίνα τὴν φιλοστοργίαν ἔχουσι πρὸς ἀλλήλους· καὶ τί δή ποτε καινὸν τοῦτο γένος ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν, καὶ οὐ πρότερον· ἀποδέχομαί γε τῆς προθυμίας σε ταύτης, καὶ παρὰ τοῦ Θεοῦ, τοῦ καὶ τὸ λέγειν καὶ τὸ ἀκούειν ἡμῖν χορηγοῦντος, αἰτοῦμαι δοθῆναι, ἐμοὶ μὲν εἰπεῖν οὕτως ὡς μάλιστα

EIVSDEM IVSTINI AD DIOGNETVM Epistola:

Henrico Stephano interprete.

QVANDOQVIDEM video te, Diognete, vir præstantissime, acerrimo studio teneri discendi quis sit diuinus cultus Christianorum, ac valde aperte accurateq; percontari de illis, in quo deo fiduciam collocantes, & quam religionem colentes, & mundum ipsum aspernentur omnes, & mortem contemnant: ac neq; eos qui a Græcis dii existimantur, pro diis habeant; neque Iudæorum superstitioné obseruent: & quis sit ille amor quo se mutuo prosequuntur: & cur nouum hoc genus aut institutum in consuetudinem venire nunc cœperit, ac non prius: acceptum habeo tuum hoc desiderium, & peto a Deo, qui & loquendi & audiendi nobis facultaté suppeditat, vt ab eo detur, mihi quidé, ita verba facere vt in primis

contingat, te, postquam audieris, meliorem euadere; & tibi, ita audire, vt tristitia non afficiatur is qui verba fecerit. Age igitur, postquam teipsum a cunctis cogitationibus mentem tuam præoccupantibus purgaueris, & consuetudinem quæ te decipit, tamquam impedimentum aliquod, reieceris, & factus fueris, velut ab initio, nouus homo, vtpote sermonis noui (sicut & ipse confessus es) auditor futurus: vide non solum oculis, sed etiam prudentia, cuius sint subsistentiæ, aut cuius formæ, ii quos vocatis & existimatis deos. Nonne eorum alius quidem est lapis, ei qui calcatur similis? alius autem est æs, nihilo melius quam quæ in vsum nostrum fabricata sunt vasa? alius, lignum, & quidem etiam putridum? alius, argentum, cui opus est homine custodituro, ne furto auferatur? alius, ferrum rubigine corruptum? alius, testa, nihilo speciosior ea quæ ad abiectissimum ministerium facta est? Nonne ex materia corruptioni obnoxia sunt hæc omnia? nonne ferri & ignis ope fabricata? nonne eorũ aliud sculptor lapidum, aliud faber ærarius, aliud argentari⁹ faber, aliud figulus finxit? minimeque in talem formam vnumquodq; mutatum erat priusquam arte alicuius horum hæc impressa ei fuisset? Nonne quæ nunc eadem e materia sunt vasa, similia his reddi queant, si eosdem artifices nanciscantur? nonne hæc quæ a vobis adorantur, ab hominibus vasa reliquis similia fieri rursum possint? Nonne surda sunt omnia? nonne cæca? nonne inanima? nonne sensus omnis expertia? nonne immobilia? nonne omnia putrescunt? nonne omnia corrumpuntur? Hæc deos vocatis, his seruitis, hæc adoratis; & omnino similes illis redditmini. Idcirco sunt vobis odio Christiani, quoniam hos esse deos non arbitrantur. Atqui vos qui esse deos nunc existimatis, annon multo magis quam illi contemptui habetis? annon multo magis quam illi, irrideris & iniuria afficitis? dum lapideos quidem & testaceos veneramini, custodibus carentes; argenteos autem & aureos includitis noctu, ac interdiu custodes apponitis, ne furto auferantur. Et vero illis honoribus quibus vos prosequi eos existimatis, potius supplicio afficitis, si quidem sensu præditi sunt: sin expertes sunt sensus, [huius rei] conuincentes, sanguine & nidoribus eos colitis. Quis vestrum hæc sufferat? quis hæc sibi fieri patiatur? sed nullus quidem hominum hoc supplicium, nisi inuitus, patietur; sensu enim & ratione est præditus: at lapis patitur; sensu enim caret. Quamobrem illos sensus expertes esse conuincitis. Ac de eo quod Christiani diis huiusmodi in seruitutem addicti non sunt, multa quidem & alia habeam quæ dicam: sicui tamen vel hæc ipsa sufficere non videantur, superuacaneum arbitror & plura dicere. Deinceps autem de eo quod non est illis idem cultus diuinus qui Iudæis, te maxime cupidum esse audiendi puto.

ἂν ἀκοῦσαί σε βελτίω γενέσθαι· σοί τε, οὕτως ἀκοῦσαι ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα. Ἄγε δή, καθάρας σεαυτὸν ἀπὸ πάντων τῶν προκατεχόντων σου τὴν διάνοιαν λογισμῶν, καὶ τὴν ἀπατῶσάν σε συνήθειαν ἀποσκευασάμενος, καὶ γενόμενος, ὥσπερ ἐξ ἀρχῆς, καινὸς ἄνθρωπος, ὡς ἂν καὶ λόγου καινοῦ (καθάπερ καὶ αὐτὸς ὡμολόγησας) ἀκροατὴς ἐσόμενος· ἴδε μὴ μόνον τοῖς ὀφθαλμοῖς, ἀλλὰ καὶ τῇ φρονήσει, τίνος ὑποστάσεως ἢ τίνος εἴδους τυγχάνουσιν οὓς ἐρεῖτε καὶ νομίζετε θεούς. οὐχ ὁ μέν τις, λίθος ἐστίν, ὅμοιος τῷ πατουμένῳ; ὁ δ᾽, ἐστὶ χαλκὸς οὐ κρείσσων τῶν εἰς τὴν χρῆσιν ἡμῖν κεχαλκευμένων σκευῶν; ὁ δέ, ξύλον, ἤδη καὶ σεσηπός; ὁ δέ, ἄργυρος, χρῄζων ἀνθρώπου τοῦ φυλάξοντος, ἵνα μὴ κλαπῇ; ὁ δέ, σίδηρος ὑπὸ ἰοῦ διεφθαρμένος; ὁ δέ, ὄστρακον, οὐδὲν τοῦ κατεσκευασμένου πρὸς τὴν ἀτιμοτάτην ὑπηρεσίαν εὐπρεπέστερον; οὐ φθαρτῆς ὕλης ταῦτα πάντα; οὐχ ὑπὸ σιδήρου καὶ πυρὸς κεχαλκευμένα; οὐχ ὁ μὲν αὐτῶν, λιθοξόος· ὁ δέ, χαλκεύς· ὁ δέ, ἀργυροκόπος· ὁ δέ, κεραμεὺς ἔπλασεν; οὐ πρὶν ἢ ταῖς τέχναις τούτων εἰς τὴν μορφὴν τούτων ἐκτυπωθῆναι, ἦν ἕκαστον αὐτῶν ἑκάστῳ ἔτι καὶ νῦν μετα(με)μεμορφωμένον; οὐ τὰ νῦν ἐκ τῆς αὐτῆς ὕλης ὄντα σκεύη γένοιτ᾽ ἄν, εἰ τύχοι τῶν αὐτῶν τεχνιτῶν, ὅμοια τοιούτοις; οὐ ταῦτα πάλιν τὰ νῦν ὑφ᾽ ὑμῶν προσκυνούμενα, δύναιτ᾽ ἂν ὑπὸ ἀνθρώπων σκεύη ὅμοια γενέσθαι τοῖς λοιποῖς; οὐ κωφὰ πάντα; οὐ τυφλά; οὐκ ἄψυχα; οὐκ ἀναίσθητα; οὐκ ἀκίνητα; οὐ πάντα σηπόμενα; οὐ πάντα φθειρόμενα; ταῦτα θεοὺς καλεῖτε, τούτοις δουλεύετε, τούτοις προσκυνεῖτε· πλέον τι . ἐξομοιοῦσθε. Διὰ τοῦτο μισεῖτε Χριστιανούς, ὅτι τούτους οὐχ ἡγοῦνται θεούς. ὑμεῖς γὰρ οἱ νῦν νομίζοντες καὶ οἰόμενοι, οὐ πολὺ πλέον αὐτῶν καταφρονεῖτε; οὐ πολὺ μᾶλλον αὐτοὺς χλευάζετε καὶ ὑβρίζετε; τοὺς μὲν λιθίνους καὶ ὀστρακίνους σέβοντες ἀφυλάκτους, τοὺς δὲ ἀργυρέους καὶ χρυσοῦς ἐγκλείοντες ταῖς νυξί, καὶ ταῖς ἡμέραις φύλακας παρακαθιστάντες, ἵνα μὴ κλαπῶσιν. αἷς δὲ δοκεῖτε τιμαῖς προσφέρειν, εἰ μὲν αἰσθάνονται, κολάζετε μᾶλλον αὐτούς· εἰ δὲ ἀναισθητοῦσιν, ἐλέγχοντες, αἵματι καὶ κνίσσαις αὐτοὺς θρησκεύετε. ταῦθ᾽ ὑμῶν τις ὑπομενάτω, ταῦτα ἀνασχέσθω τις ἑαυτῷ γενέσθαι. ἀλλὰ ἄνθρωπος μὲν οὐδὲ εἷς ταύτης τῆς κολάσεως ἑκὼν ἀνέξεται· (αἴσθησιν γὰρ ἔχει καὶ λογισμόν) ὁ δὲ λίθος ἀνέχεται· ἀναισθητεῖ γάρ. οὐκοῦν τὴν αἴσθησιν . . . . ἐλέγχετε. Περὶ μὲν οὖν τοῦ μὴ δεδουλῶσθαι Χριστιανοὺς τοιούτοις θεοῖς, πολλὰ μὲν καὶ ἄλλα εἰπεῖν ἔχοιμι· εἰ δέ τινι μὴ δοκοίη καὶ ταῦτα ἱκανά, περισσὸν ἡγοῦμαι καὶ τὸ . . . . λέγειν. Ἑξῆς δέ, περὶ τοῦ μὴ κατὰ τὰ αὐτὰ Ἰουδαίοις θεοσεβεῖν αὐτούς, οἶμαί σε μάλιστα ποθεῖν ἀκοῦσαι.

Iudæi

Ἰουδαῖοι τοίνυν εἰ μὲν ἀπέχονται ταύτης τῆς προειρημένης λατρείας, καὶ εἰς θεὸν ἕνα τῶν πάντων σέβειν καὶ δεσπότην ἀξιοῦσι φρονεῖν· εἰ δὲ τοῖς προειρημένοις ὁμοιοτρόπως τὴν θρησκείαν προσάγουσιν αὐτῷ ταύτην, διαμαρτάνουσιν. ἃ γὰρ τοῖς ἀναισθήτοις καὶ κωφοῖς προσφέροντες οἱ Ἕλληνες ἀφροσύνης δεῖγμα παρέχουσι, ταῦθ' οὗτοι καθάπερ προσδεομένῳ τῷ θεῷ λογιζόμενοι παρέχειν, μωρίαν εἰκὸς μᾶλλον ἡγοῖντ' ἄν, οὐ θεοσέβειαν. ὁ γὰρ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ πᾶσιν ἡμῖν χορηγῶν ὧν προσδεόμεθα, οὐδενὸς ἂν αὐτὸς προσδέοιτο τούτων ὧν τοῖς οἰομένοις διδόναι παρέχει αὐτός· οἱ δέ γε θυσίας αὐτῷ δι' αἵματος καὶ κνίσης καὶ ὁλοκαυτωμάτων ἐπιτελεῖν οἰόμενοι, καὶ ταύταις ταῖς τιμαῖς αὐτὸν γεραίρειν, οὐδέν μοι δοκοῦσι διαφέρειν τῶν . τὰ κωφὰ τὴν αὐτὴν ἐνδεικνυμένοις φιλοτιμίαν, τῶν μὴ δυναμένων τῆς τιμῆς μεταλαμβάνειν. τὸ δὲ δοκεῖν τινὰ παρέχειν τῷ μηδενὸς προσδεομένῳ, . . . Ἀλλὰ μὴν τό γε περὶ τὰς βρώσεις αὐτῶν ψοφοδεές, καὶ τὴν περὶ τὰ σάββατα δεισιδαιμονίαν, καὶ τὴν τῆς περιτομῆς ἀλαζονείαν, καὶ τὴν τῆς νηστείας καὶ νουμηνίας εἰρωνείαν, καταγέλαστα καὶ οὐδὲν ἄξια λόγου, νομίζω σε χρήζειν παρ' ἐμοῦ μαθεῖν. τό τε γὰρ τῶν ὑπὸ τοῦ θεοῦ κτισθέντων εἰς χρῆσιν ἀνθρώπων, ἃ μὲν ὡς καλῶς κτισθέντα παραδέχεσθαι, ἃ δ', ὡς ἄχρηστα καὶ περισσά, παραιτεῖσθαι, πῶς οὐ θέμις ἐστί; τὸ δὲ καταψεύδεσθαι θεοῦ, ὡς κωλύοντος ἐν τῇ τῶν σαββάτων ἡμέρᾳ καλόν τι ποιεῖν, πῶς οὐκ ἀσεβές; τὸ δὲ καὶ τὴν μείωσιν τῆς σαρκὸς μαρτύριον ἐκλογῆς ἀλαζονεύεσθαι, ὡς διὰ τοῦτο ἐξαιρέτως ἠγαπημένους ὑπὸ θεοῦ, πῶς οὐ χλεύης ἄξιον; τὸ δὲ παρεδρεύοντας αὐτοὺς ἄστροις καὶ σελήνῃ παρατήρησιν τῶν μ . καὶ τῶν ἡμερῶν ποιεῖσθαι, καὶ τὰς οἰκονομίας θεοῦ καὶ τὰς τῶν καιρῶν ἀλλαγὰς κατα . . πρὸς τὰς αὐτῶν ὁρμάς, ἃς μὲν, εἰς ἑορτάς, ἃς δὲ, εἰς πένθη· τίς ἂν θεοσεβείας καὶ οὐκ ἀφροσύνης πολὺ πλέον ἡγήσεται τὸ δεῖγμα; Τῆς μὲν οὖν κοινῆς εἰκαιότητος καὶ ἀπάτης, καὶ τῆς Ἰουδαίων πολυπραγμοσύνης καὶ ἀλαζονείας [ὅτι] ὀρθῶς ἀπέχονται Χριστιανοί, ἀρκούντως σε νομίζω μεμαθηκέναι· τὸ δὲ τῆς ἰδίας αὐτῶν θεοσεβείας μυστήριον μὴ προσδοκήσῃς δύνασθαι παρὰ ἀνθρώπου μαθεῖν. Χριστιανοὶ γὰρ οὔτε γῇ, οὔτε φωνῇ, οὔτε ἔθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσὶν ἀνθρώπων. οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν, οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται, οὔτε βίον παράσημον ἀσκοῦσιν. οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοῦτ' αὐτοῖς ἐστὶν εὑρημένον· οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν, ὥσπερ ἔνιοι. κατοικοῦντες δὲ πόλεις Ἑλληνίδας τε καὶ βαρβάρους, ὡς ἕκαστος

Iudæi igitur, ſi quidem abſtinent eo de quo verba feci cultu, & Deum vnum venerari, dominumque omnium exiſtimare volunt: . . ſin eodem quo ii de quibus dictum eſt modo, cultu illo eum proſequuntur, in errore verſantur. Nam quæ Græci ſenſus expertibus & ſurdis offerentes, dementiæ dant argumentum, hi dum ſe Deo præbere ea cogitat, tamquam iis indigenti, ſtultitiam potius quam cultum diuinum merito exiſtiment [id quod faciunt.] Qui enim cælum & terram, atque omnia quæ in iis ſunt condidit. & nobis omnibus ea ſuppeditat quibus indigemus, fieri non poſſit vt vllo eorum indigeat quæ ipſe iis præbet qui ſe illi dare exiſtimant. At ii qui per ſanguinem & nidorem & holocauſta, facere ſe illi ſacrificia putant, atque his eum honoribus ornare, nihil mihi differre videntur ab iis qui ſenſu carentia eodem honore ſtudioſe proſequuntur, quæ percipere honorem hunc non poſſunt.[Quale autem hoc eſt,] putare ſe aliqua præbere ei qui nullius rei eſt indigus? At eorum circa cibos meticuloſam cautionem, & ſuperſtitionem circa ſabbata, & iactantiam de circumciſione, & quæ de ieiunio ac nouiluniis ſimulant, quæ ridicula ſunt & relatu indigna, te a me diſcere neceſſe habere non arbitror. Nam eorum quæ a Deo in vſum hominum creata ſunt, alia quidem tamquam recte creata admittere; alia vero, vt inutilia & ſuperuacanea, recuſare, quomodo fas eſt? De Deo autem hoc mentiri, eum vetare aliquid quod honeſtum ſit facere die ſabbati, quomodo impium non ſit? Iam vero & de carnis imminutione, tamquam electionis teſtimonium ſit, gloriari, & tamquam eam ob rem Deus eximio illos amore proſequatur, quomodo ſubſannatione non ſit dignum? Quinetiam eos [tamquam] aſſidentes aſtris & lunæ, obſeruationi menſium & dierum deditos eſſe, & Dei œconomias ac tempeſtatum mutationes ad ea accommodare ad quæ mentes ſuæ propenſæ ſint, alias quidem ad feſtos dies, alias vero ad luctus: quis diuini cultus & non dementiæ multo magis indicium exiſtimabit? Communi igitur vanitate & impoſtura, & Iudæorum curioſitate atque iactantia, iure Chriſtianos abſtinere, te abunde didiciſſe exiſtimo. Sed diuini cultus illis proprii myſterium ne te ab homine vllo doceri poſſe ſperes. Chriſtiani enim neque regione, neque ſermone, neq; politicis vitæ inſtitutis a cæteris hominibus ſunt diſtincti. Nam neque proprias ciuitates incolunt, neque ſermone vtuntur qui ab aliorum ſermone differat, neque vitæ genus habent quod re aliqua ſibi peculiari ſit notabile: neque aliquid a curioſis hominibus excogitatum proponunt ſibi diſcendum: neque alicui dogmati humano patrocinantur, ſicut nonnulli: ſed incolentes partim Græcas partim barbaras ciuitates, prout cuiuſque

sors tulit, & indigenarū instituta sequentes, in vestitu victuque, & cæteris quæ ad vitam pertinent, mirabilem & haud dubie incredibilem suæ politiæ statum oculis nostris proponunt. Patrias proprias habitant; sed tamquam inquilini. Omnia cum aliis communia habent, tamquam ciues: & omnia patiuntur, tamquam peregrini. Omnis peregrina regio, patria est eorum: & omnis patria, est peregrina. Vxores ducunt, vt omnes, & liberos procreant: sed nō abiiciunt fœtus. Mensam communem apponunt; sed minime pollutam. In carne sunt; sed non secundum carnem viuunt. In terra degunt; sed in cælo politiam suam habent. Obsequuntur legibus quæ sancitæ sunt, & suo vitæ genere leges superant. Amant omnes, & omnes illos persequuntur. Ignorantur, & condemnantur: morte afficiuntur, & viuificantur. Mendici sunt, & multos ditant. Rebus omnibus indigent, & omnia illis redundant. Dedecorantur, & inter dedecora gloria afficiuntur. Eorum fama laceratur, & iustitiæ eorum testimonium perhibetur. Maledictis ac conuiciis incessuntur; & bonis verbis prosequuntur. Iniuria afficiūtur; & honore prosequuntur. Quum se gerant vt probos decet, tamquam improbi puniuntur: dum puniuntur, gaudent tamquam viuificentur. Aduersus eos, tamquam alienigenas, Iudæi bellum gerunt, & Græci eos persequuntur: & osores eorum causam inimicitiarum dicere nequeunt. Atque, vt semel omnia complectar, quod est in corpore anima, hoc sunt in mundo Christiani. Dispersa est per omnia corporis membra anima; & Christiani per mundi ciuitates [dispersi sunt.] Habitat quidē in corpore anima, sed non est e corpore: [*sic*] & Christiani in mundo habitant, sed e mundo non sunt. Inuisibilis anima in visibili corpore, tamquam in præsidio, constituta est: [sic] & Christiani cognoscuntur, dum in mundo commorantur; sed inuisibilis est eorum cultus diuinus. Odio prosequitur animam caro, & bellū ei mouet, quod voluptatibus frui prohibeatur: odio prosequitur & mundus Christianos, quoniam voluptatibus repugnāt. Anima carnē amat, quæ ipsam odit, & [amat] membra: [sic] etiam Christiani amant osores. Inclusa quidem est anima corpore, sed ipsa corpus conseruat. [sic] & Christiani detinentur quidem in mundo, tamquā in custodia, sed ipsi mundum conseruant. Immortalis anima in mortali tabernaculo habitat: & Christiani illa quæ corruptioni sunt obnoxia, tamquam inquilini, incolunt, incorruptibilitatem cælestem exspectātes. Anima, dum cibo & potu male tractatur, fit melior: & dum Christiani suppliciis afficiuntur quotidie, numerus eorum crescit. Deus illos tam insignem tenere locum voluit, quem illis nefas est defugere. Non enim terrenum, vt dixi, inuentum, hoc illis traditum est: neque mortalis est commentatio quam adeo accurate custodiendā sibi censent, neq; humanorum mysteriorū œconomia illis commissa est: sed ipse vere Deus, qui est omnipotens, & omniū conditor, ac inuisibilis,

e cælis

ἐκληρώθη, ἐν τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες, ἔν τε ἐσθῆτι καὶ διαίτῃ, καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι· μετέχουσι πάντων, ὡς πολῖται· καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι. πᾶσα ξένη, πατρίς ἐστιν αὐτῶν· καὶ πᾶσα πατρίς, ξένη. γαμοῦσιν ὡς πάντες· τεκνογονοῦσιν, ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα. τράπεζαν κοινὴν παρατίθενται. ἀλλ . . κοινήν. ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν. ἐπὶ γῆς διατρίβουσιν, ἀλλ' ἐν οὐρανῷ πολιτεύονται. πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται. ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται. πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς. πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν. ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται· λοιδοροῦνται, καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσιν. ἀγαθοποιοῦντες, ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν, ὡς ζωοποιούμενοι. ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται, καὶ ὑπὸ Ἑλλήνων διώκονται· καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν. ἁπλῶς δ' εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ' εἰσὶν ἐν κόσμῳ Χριστιανοί. ἔσπαρται κατὰ πάντων τῶν τοῦ σώματος μελῶν ἡ ψυχή, καὶ Χριστιανοὶ κατὰ τὰς τοῦ κόσμου πόλεις. οἰκεῖ μὲν ἐν τῷ σώματι ψυχή, οὐκ ἔστι δὲ ἐκ τοῦ σώματος· καὶ Χριστιανοὶ ἐν κόσμῳ οἰκοῦσιν, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου. ἀόρατος ἡ ψυχὴ ἐν ὁρατῷ φρουρεῖται τῷ σώματι· καὶ Χριστιανοὶ γινώσκονται μένοντες ἐν τῷ κόσμῳ, ἀόρατος δὲ αὐτῶν ἡ θεοσέβεια μένει. μισεῖ τὴν ψυχὴν ἡ σάρξ, καὶ πολεμεῖ, μηδὲν ἀδικουμένη, διότι ταῖς ἡδοναῖς κωλύεται χρῆσθαι· μισεῖ καὶ Χριστιανοὺς ὁ κόσμος μηδὲν ἀδικούμενος, ὅτι ταῖς ἡδοναῖς ἀντιτάσσονται. ἡ ψυχὴ τὴν μισοῦσαν ἀγαπᾷ σάρκα, καὶ τὰ μέλη· καὶ Χριστιανοὶ τοὺς μισοῦντας ἀγαπῶσιν. ἐγκέκλεισται μὲν ἡ ψυχὴ τῷ σώματι, συνέχει δὲ αὐτὴ τὸ σῶμα· καὶ Χριστιανοὶ κατέχονται μὲν ὡς ἐν φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον. ἀθάνατος ἡ ψυχὴ ἐν θνητῷ σκηνώματι κατοικεῖ· καὶ Χριστιανοὶ παροικοῦσιν ἐν φθαρτοῖς, τὴν ἐν οὐρανοῖς ἀφθαρσίαν προσδεχόμενοι. κακουργουμένη σιτίοις καὶ ποτοῖς ἡ ψυχή, βελτιοῦται· καὶ Χριστιανοὶ κολαζόμενοι καθ' ἡμέραν, πλεονάζουσι μᾶλλον. εἰς τοσαύτην αὐτοὺς τάξιν ἔθετο ὁ θεός, ἣν οὐ θεμιτὸν αὐτοῖς παραιτήσασθαι. οὐ γὰρ ἐπίγειον, ὡς ἔφην, εὕρημα τοῦτ' αὐτοῖς παρεδόθη· οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίστευνται· ἀλλ' αὐτὸς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος θεός,

αὐτὸς ἀπ᾽ οὐρανῶν τὴν ἀλήθειαν καὶ τὸν λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν· οὐ, καθάπερ ἄν τις εἰκάσειεν, ἀνθρώποις ὑπηρέτην τινὰ πέμψας, ἢ ἄγγελον, ἢ ἄρχοντα, ἤ τινα τῶν διεπόντων τὰ ἐπίγεια, ἤ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ᾽ αὐτὸν τὸν τεχνίτην καὶ δημιουργὸν τῶν ὅλων· ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν· οὗ τὰ μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα· παρ᾽ οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων εἴληφε φυλάσσειν· ᾧ πειθαρχεῖ σελήνη, νύκτα φαίνειν κελεύοντι· ᾧ πειθαρχεῖ τὰ ἄστρα, τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ· ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ· πῦρ, ἀήρ, ἄβυσσος· τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ. τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν, ἆρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει; οὐ μὲν οὖν, ἀλλ᾽ ἐν ἐπιεικείᾳ, πραΰτητι. ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν· ὡς θεὸν ἔπεμψεν, ὡς πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σώζων ἔπεμψεν· ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ θεῷ. ἔπεμψεν, ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. πέμψει γὰρ αὐτὸν κρίνοντα, καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται; . . .

. . . . . . παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν Κύριον, καὶ μὴ νικωμένους. οὐχ ὁρᾷς, ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα. τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο τί ποτ᾽ ἐστὶ θεός, πρὶν αὐτὸν ἐλθεῖν; ἢ τοὺς κενοὺς καὶ ληρώδεις ἐκείνων λόγους ἀποδέχῃ τῶν ἀξιοπίστων φιλοσόφων· ὧν οἱ μὲν . . πῦρ ἔφασαν εἶναι τὸν θεόν (οὗ μέλλουσι χωρήσειν αὐτοί, τοῦτο καλοῦσι θεόν) οἱ δὲ, ὕδωρ· οἱ δ᾽, ἄλλο τι τῶν στοιχείων τῶν ἐκτισμένων ὑπὸ θεοῦ. καίτοιγε εἴ τις τούτων τῶν λόγων ἀποδεκτός ἐστι, δύναιτ᾽ ἂν καὶ τῶν λοιπῶν κτισμάτων ἓν ἕκαστον ὁμοίως ἀποφαίνεσθαι θεόν. ἀλλὰ ταῦτα μὲν τερατεία καὶ πλάνη τῶν γοήτων ἐστίν· ἀνθρώπων δὲ οὐδεὶς οὔτε εἶδεν οὔτε ἐγνώρισεν· αὐτὸς δὲ ἑαυτὸν ἐπέδειξεν. ἐπέδειξε δὲ διὰ πίστεως· ᾗ μόνῃ θεὸν ἰδεῖν συγκεχώρηται. ὁ γὰρ δεσπότης καὶ δημιουργὸς τῶν ὅλων θεὸς, ὁ ποιήσας τὰ πάντα καὶ κατὰ τάξιν διακρίνας, οὐ μόνον φιλάνθρωπος ἐγένετο, ἀλλὰ καὶ μακρόθυμος. ἀλλ᾽ οὗτος ἦν μὲν ἀεὶ τοιοῦτος, καὶ ἔστι, καὶ ἔσται, χρηστὸς καὶ ἀγαθὸς καὶ ἀόργητος καὶ ἀληθής· καὶ μόνος ἀγαθός ἐστιν· ἐννοήσας δὲ μεγάλην καὶ ἄφραστον ἔννοιαν, ἣν ἐκοινώσατο μόνῳ τῷ παιδί. ἐν ὅσῳ μὲν οὖν κατεῖχεν ἐν μυστηρίῳ καὶ διετήρει τὴν

e cælis Veritatem & Verbum sanctum ac incomprehensibile inter homines locauit, & in cordibus eorum firmam habere sedem voluit: non, quemadmodum aliquis coniicere possit, misso hominibus ministro aliquo, aut angelo, aut principe, aut aliquo eorum qui terrena gubernant, aut quopiam eorum quibus commissa est rerum in cælis administrandarũ cura: sed ipso opifice & creatore omnium: quo cælos condidit, quo mare suis terminis conclusit: cuius mysteria fideliter ab omnibus elementis obseruantur: a quo certa spatia diurnorum cursuum [sol] obseruanda accepit: cui paret luna, iubenti eam lucere nocti: cui astra obtemperant, lunæ cursum sequentia: a quo omnia disposita sunt, & suis limitibus circũscripta: & cui sunt supposita cæli & quæ in cęlis sunt, terra & quę in terra sunt, mare & quæ in mari: ignis, aer, abyssus: quæ in altitudinibus, quæ in profunditatibus, q̃ in medio [locata sunt.] Hunc ad eos misit: an vt aliquis hominum cogitare possit, tyrannidis exercendæ & terrorem incutiendi causa? Minime vero: sed in clementia, in lenitate, tamquam rex mittens filium regẽ misit; tamquã Deum misit, tamquam ad homines misit, tamquã seruans misit: tamquam cum obsequentibus agens, non tamquam violentiam adhibens. violentia enim Deo non inest. misit vt vocans, non persequens: misit vt amans, non cõdemnans. mittet enim eum condemnaturum; & quis eius aduentum sustinebit? . . . . . .

. . . . . . obiectos feris, vt abnegent Dominum, & non vinci. Non vides, quo plures qui suppliciis afficiunt, tanto maiorem aliorũ esse numerum? Hæc non videntur ab homine fieri; hæc sunt Dei potentia: hæc aduentus eius sunt indicia. Nam quis ex omnibus hominibus norat quid esset Deus, priusquã ipse [Dei Filius] venisset? An vana & nugacia dicta illorum fide[scilicet] dignorũ Philosophorũ approbas? quorũ aliqui ignẽ esse Deũ dixerunt: (id ad quod profecturi sunt ipsi Deum vocantes) alii aquam: alii aliud ex elementis quę a Deo sunt creata. Atqui si horũ dictorũ aliquod approbatione dignũ est, possint & cęterarũ rerum quę sunt creatæ vnamquamq; similiter pronuntiare Deum esse. Verũ hi sermones sunt prodigiosa mendacia & imposturæ præstigiatorum: ac hominum quisquam neq; vidit [ipsum,] neq; aliquã [ipsius] notitiam habuit: sed ipse seipsum ostẽdit. Ostendit autem per fidẽ; cui soli Deum videre concessum est. nã dñs & opifex omniũ Deus, qui omnia fecit & suo quęq; ordine disposuit, non solum hominũ amator, sed patiens etiam fuit. Sed hic fuit quidem semper talis, estq;, & erit, benign⁹ & bonus, & irę expers, ac verax, & solus bonus: cõcepit autẽ mente aliquid magnũ & ineffabile, de quo cum solo Filio cõmunicauit. Quamdiu igit̃ suum prudens consilium in mysterio

retinebat, neglecti ui nos habere nullamq; nostri curam gerere videbatur: at postquam per dilectum Filium reuelauit & patefecit quæ iam inde ab initio erant præparata, omnia simul præbuit nobis: & frui suis beneficiis, & videre . Quæ quisnã nostrũ exspectauisset? Omnia igitur apud se sciebat vna cum Filio, œconomica sua scientia. Ceterum vsq; ad superius tempus siuit nos pro libito incertis motibus agitari, dum a voluptatibus & cupiditatibus transuersi raperemur: nõ quidẽ quod vllo modo peccatis nostris gauderet, sed ea tolerans: neq; illud quo iniustitia exercebatur tempus approbans, sed mentem iustitiæ creans: vt quum eo tempore conuicti essemus e propriis operibus, vita esse indigni, nũc Dei benignitas nos ea dignaretur: & quum manifestũ fecissemus, non posse ex eo quod in nobis sitũ est in regnũ Dei ingredi, p potentiã Dei nobis id posse daretur. Quum autem ad cumulũ malitia nostra peruenisset, & plene manifestũ factum foret, mercedem peccati esse supplicium, & mors exspectaretur: aduenissetq; tempus a Deo præstitutum ad suam deinceps benignitatẽ ac potentiam declarandã, & quomodo præ immenso quo homines prosequitur amore, nos odio non habuerit, neq; reiecerit, neq; improbitatis nostræ memorem se ostẽderit, sed patienter eam tulerit, peccata nostra susceperit: propriũ ipse Filium pretiũ redẽptionis pro nobis dedit, sanctũ pro iis qui legem transgressi erant, nihil minus quam malum, pro malis; iustum pro iniustis, corruptionis nescium pro obnoxiis corruptioni, immortalẽ pro mortalibus. Quid enim aliud peccata nostra potuit tegere quam eius iustitia? in quo alio nos iniqui & impii pro iustis haberi possumus quam in solo Dei Filio? O dulcẽ permutationẽ: ô imperuestigabile artificium: ô beneficia exspectationem omnẽ superantia: vt iniquitas quidẽ multorum in iusto vno abscondatur, iustitia autem vnius faciat vt multi iniusti pro iustis habeantur. Quum igitur superiori tempore [huius] nos [rei] conuicisset, non posse nostrã naturam vitam cõsequi, nunc autem Seruatorem ostẽdisset qui seruare posset ea etiam quæ seruari non poterant; vtrimq; nos benignitati suæ fidem habere voluit, ipsum existimare altorem, parentem, magistrum, consiliarium, medicum, mentem, lucem, honorem, gloriam, robur, vitam: de vestitu & victu sollicitos non esse. Huius etiam tu fidei si desiderio tenearis, & illam accipias, primum quidem cognosces Patrem Deus enim homines dilexit, propter quos mundum creauit, quibus omnia subiecit quæ in mundo sunt: quibus rationem, quibus mentem dedit: quibus solis ad ipsum oculos attollere permisit: quos ad imaginem suam formauit: ad quos Filium suum vnigenitum misit: quibus cæleste regnum promisit, & dabit, quod ipsum dilexerint. Postquam autem [illem] cognoueris, quanta te impletum

σοφὴν αὐτοῦ βουλὴν, ἀμελεῖν ἡμῶν καὶ ἀφροντιστεῖν ἐδόκει· ἐπεὶ δὲ ἀπεκάλυψε διὰ τοῦ ἀγαπητοῦ παιδὸς καὶ ἐφανέρωσε τὰ ἐξ ἀρχῆς ἡτοιμασμένα, πάνθ' ἅμα παρέσχεν ἡμῖν, καὶ μετασχεῖν εὐεργεσιῶν αὐτοῦ, καὶ ἰδεῖν . ἦσαν . . τίς ἂν πώποτε προσεδόκησεν ἡμῶν; πάντ' οὖν ἤδει παρ' ἑαυτῷ σὺν τῷ παιδὶ οἰκονομικῶς. μέχρι μὲν οὖν τοῦ πρόσθεν χρόνου εἴασεν ἡμᾶς ὡς ἐβουλόμεθα ἀτάκτοις φοραῖς φέρεσθαι, ἡδοναῖς καὶ ἐπιθυμίαις ἀγομένους· οὐ πάντως ἐφηδόμενος τοῖς ἁμαρτήμασιν ἡμῶν, ἀλλ' ἀνεχόμενος· οὐδὲ τῷ τότε τῆς ἀδικίας καιρῷ συνευδοκῶν, ἀλλὰ τὸν νῦν τῆς δικαιοσύνης δημιουργῶν· ἵνα ἐν τῷ τότε χρόνῳ ἐλεγχθέντες ἐκ τῶν ἰδίων ἔργων ἀνάξιοι ζωῆς, νῦν ὑπὸ τῆς τοῦ θεοῦ χρηστότητος ἀξιωθῶμεν· καὶ τὸ καθ' ἑαυτοὺς φανερώσαντες ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ, τῇ δυνάμει τοῦ θεοῦ δυνατοὶ γενηθῶμεν. ἐπεὶ δὲ πεπλήρωτο μὲν ἡ ἡμετέρα ἀδικία, καὶ τελείως πεφανέρωτο ὅτι ὁ μισθὸς . . κόλασις καὶ θάνατος προσεδοκᾶτο. ἦλθε δὲ ὁ καιρὸς ὃν θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν, ὡς . ὑπερβαλλούσης φιλανθρωπίας μία ἀγάπη . . οὐκ ἐμίσησεν ὑμᾶς, οὐδὲ ἀπώσατο, οὐδὲ ἐμνησικάκησεν, ἀλλὰ ἐμακροθύμησεν, ἠνέσχετο, λέγων αὐτὸς, τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο· αὐτὸς τὸν ἴδιον υἱὸν ἀπέδετο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν. τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι ἢ ἐκείνου δικαιοσύνη; ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς ἢ ἐν μόνῳ τῷ υἱῷ τοῦ θεοῦ; ὢ τῆς γλυκείας ἀνταλλαγῆς, ὢ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὢ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν· ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ. ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν σωτῆρα δείξας, δυνατὸν σώζειν καὶ τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα, διδάσκαλον, σύμβουλον, ἰατρὸν, νοῦν, φῶς, τιμὴν, δόξαν, ἰσχὺν, ζωήν· περὶ ἐνδύσεως καὶ τροφῆς μὴ μεριμνᾶν. Ταύτην καὶ σὺ τὴν πίστιν ἐὰν ποθῇς καὶ λάβῃς, πρῶτον μὲν ἐπίγνωσιν π . . ὁ γὰρ θεὸς τοὺς ἀνθρώπους ἠγάπησε, δι' οὓς ἐποίησε τὸν κόσμον, οἷς ὑπέταξε πάντα τὰ ἐν . οἷς λόγον ἔδωκεν, οἷς νοῦν· οἷς μόνοις πρὸς αὐτὸν ὁρᾶν ἐπέτρεψε· οὓς ἐκ τῆς ἰδίας εἰκόνος ἔπλασε· πρὸς οὓς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ· οἷς τὴν ἐν οὐρανῷ βασιλείαν ἐπηγγείλατο, καὶ δώσει, τοῖς ἀγαπήσασιν αὐτόν. ἐπιγνοὺς δὲ, τίνος οἴει πλη-

πληρωθήσεσθαι χαρᾶς; ἢ πῶς ἀγαπήσεις τὸν οὕτως προαγαπήσαντά σε; ἀγαπήσας δὲ, μιμητὴς ἔσῃ αὐτοῦ τῆς χρηστότητος. καὶ μὴ θαυμάσῃς εἰ δύναται μιμητὴς ἄνθρωπος γενέσθαι θεοῦ. δύναται θέλοντος αὐτοῦ· οὐ γὰρ τὸ καταδυναστεύειν τῶν πλησίον, οὐδὲ τὸ πλέον ἔχειν βούλεσθαι τῶν ἀσθενεστέρων· οὐδὲ τὸ πλουτεῖν καὶ βιάζεσθαι τοὺς ὑποδεεστέρους, εὐδαιμονεῖν ἐστιν· οὐδὲ ἐν τούτοις δύναταί τις μιμήσασθαι θεόν· ἀλλὰ ταῦτα ἐκτὸς τῆς ἐκείνου μεγαλειότητος. ἀλλ' ὅστις τὸ τοῦ πλησίον ἀναδέχεται βάρος, ὃς ἐν ᾧ κρείσσων ἐστὶν, ἕτερον τὸν ἐλαττούμενον εὐεργετεῖν ἐθέλει, ὅσα παρὰ τοῦ θεοῦ λαβὼν ἔχει, ταῦτα τοῖς ἐπιδεομένοις χορηγῶν, θεὸς γίνεται τῶν λαμβανόντων· οὗτος μιμητής ἐστι θεοῦ. τότε θεάσῃ τυγχάνων ἐπὶ γῆς ὅτι θεὸς ἐν οὐρανοῖς πολιτεύεται· τότε μυστήρια θεοῦ λαλεῖν ἄρξῃ· τότε τοὺς κολαζομένους ἐπὶ τῷ μὴ θέλειν ἀρνήσασθαι θεὸν, καὶ ἀγαπήσεις καὶ θαυμάσεις· τότε τῆς ἀπάτης τοῦ κόσμου καὶ τῆς πλάνης καταγνώσῃ, ὅταν τὸ ἀληθῶς ἐν οὐρανῷ ζῆν ἐπιγνώσῃ· ὅταν τοῦ δοκοῦντος ἐνθάδε θανάτου καταφρονήσῃς, ὅταν τὸν ὄντως θάνατον φοβηθῇς, ὃς φυλάσσεται τοῖς κατακριθησομένοις εἰς πῦρ τὸ αἰώνιον, ὃ τοὺς παραδοθέντας αὐτῷ μέχρι τέλους κολάσει· τότε τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης θαυμάσεις τὸ πῦρ τ . μακαρίσεις ὅταν ἐκεῖνο τὸ πῦρ ἐπιγνῷς. Οὐ ξένα ὁμιλῶ, οὐδὲ παραλόγως ζητῶ· ἀλλὰ ἀποστόλων γενόμενος μαθητὴς, γίνομαι διδάσκαλος ἐθνῶν. τὰ παραδοθέντα ἀξίως ὑπηρετῶ γινομένοις ἀληθείας μαθηταῖς. τίς γὰρ ὀρθῶς διδαχθεὶς, καὶ λόγῳ προσφιλ . . ει γεννηθεὶς, οὐκ ἐπιζητεῖ σαφῶς μαθεῖν τὰ διὰ λόγου δειχθέντα φανερῶς μαθηταῖς, οἷς ἐφανέρωσεν ὁ λόγος φανεὶς, παρρησίᾳ λαλῶν, ὑπὸ ἀπίστων μὴ νοούμενος, μαθηταῖς δὲ διηγούμενος· οἳ πιστοὶ λογισθέντες ὑπ' αὐτοῦ, ἔγνωσαν πατρὸς μυστήρια. οὗ χάριν ἀπέστειλε λόγον, ἵνα κόσμῳ φανῇ· ὃς, ὑπὸ λαοῦ ἀτιμασθεὶς, διὰ ἀποστόλων κηρυχθεὶς, ὑπὸ ἐθνῶν ἐπιστεύθη. οὗτος ὁ ἀπ' ἀρχῆς, ὁ καινὸς φανεὶς, καὶ . . εὑρεθεὶς, καὶ πάντοτε νέος ἐν ἁγίων καρδίαις γεννώμενος. οὗτος ὁ ἀεὶ, σήμερον υἱὸς λογισθεὶς· δι' οὗ πλουτίζεται ἡ ἐκκλησία· καὶ χάρις ἁπλουμένη, ἐν ἁγίοις πληθύνεται, παρέχουσα νοῦν, φανεροῦσα μυστήρια, διαγγέλλουσα καιροὺς, χαίρουσα ἐπὶ πιστοῖς, ἐπιζητοῦσι δωρουμένη· οἷς ὅρια πίστεως οὐ θραύεται, οὐδὲ ὅρια πατέρων παρορίζεται. εἶτα φόβος νόμου ᾄδεται, καὶ προφητῶν χάρις γινώσκεται, καὶ εὐαγγελίων πίστις ἵδρυται, καὶ ἀποστόλων παράδοσις φυλάσσεται· καὶ ἐκκλησίας χάρις σκιρτᾷ. ἣν χάριν μὴ λυπῶν, ἐπιγνώσῃ ἃ λόγος ὁμιλεῖ, δι' ὧν βούλεται, ὅτε θέλει. ὅσα γὰρ θελήματι τοῦ κελεύοντος λόγου ἐκινήθημεν ἐξειπεῖν, μετὰ πόνου, ἐξ ἀγάπης τῶν

pletum iri lætitia existimas? aut quantum diliges eum qui prior te ita dilexerit? Quum autem diligere cœperis, imitator benignitatis eius eris. Ac ne mireris, posse hominem esse imitatorem Dei. Potest, eo volente. Non enim, imperium in proximos obtinere, neque velle potiore conditione esse quam ii qui sunt infirmiores; neq; diuitem esse & vim inferre inferioribus, est Beatum esse: neque in his Deum imitari quisquam potest; sed hæc extra eius maiestatem sunt. at qui proximi onus in se recipit, qui qua in re superior est, alium qui est inferior, beneficio vult afficere; qui quæcumq; habet, a Deo accepta, ea indigis suppeditans, Deus fit eorum qui accipiunt; is Dei est imitator. Tunc perspicies, in terra degens, Deum in cælis mundũ, velut aliquam rempublicam, gubernare: tunc mysteria Dei loqui incipies: tunc eos qui puniuntur quod abnegare Deum nolint, & diliges & miraberis: tunc imposturam mundi & errorem damnabis, quum vere in cælo viuere didiceris: quũ eius quę hic mors esse censetur, contemptor esse; & mortem, quæ reuera est mors, formidare cœperis: quæ seruatur iis qui ad ignem æternũ damnabũtur; qui sibi traditos afficiet supplicio ad finẽ vsq;. Tunc admirationi tibi erũt qui pro iustitia ignẽ patiuntur; tunc beatos prædicabis, quum ignem illum cognoueris. . . . .
Non facio verba de rebus peregrinis, neq; secus quam rationi cõsentaneum sit, quæro: sed quum Apostolorum fuerim discipulus, fio gentium doctor. quę tradita sunt [mihi,] subministro iis qui discipuli fiunt digni veritate. Quis enim recte edoctus, nõ studet discere aperte quę per Sermonẽ ostensa sunt clare discipulis. quibus declarauit Sermo conspicuus factus: libere loquens: quum ab incredulis non intelligeretur, sed discipulis enarraret: q fideles ab eo existimati, cognouerũt Patris mysteria. Cuius rei gratia Sermonẽ misit, vt a mundo cõspiceretur. qui a populo cõtemptus, Apostolorum præconio promulgatus, a gentib' est creditus. Hic qui ab initio erat, qui nouus apparuit, & . inuentus, & semper nouus in sanctorum cordibus nascens. Hic qui semper, hodie Filius habitus, per quem Ecclesia ditatur: & gratia expansa, in sanctis incrementũ accipit, præbens mentẽ, patefaciens mysteria, annuntians tẽpora, gaudens super fidelibus, quærentibus donans: quibus limites fidei non perfringuntur, neq; limites patrum transiliuntur. Deinde metus Legis decantatur, & Prophetarum gratia cognoscitur, & Euangeliorum fides stabilitur, & Apostolorum traditio custoditur: & Ecclesiæ gratia exsultat. Quam gratiam molestia non afficiens, cognosces ea de quibus Sermo instruit. per quos vult, quum ei libet. Quæcumque enim voluntate iubentis Sermonis excitati sumus ad eloquendum, cum labore. ex dilectione, eorum

quæ reuelata sunt nobis, sumus vobiscum participes. Quæ quum legeritis & audieritis studiose, scietis quæcumque præbet Deus diligentibus recte. qui fuistis paradisus deliciarum, qui lignum genus omne fructus ferens, belle germinans, in vobis ipsis produxistis, variis fructibus ornati. In hoc enim loco lignum cognitionis & lignum vitæ plantatū fuit. verum non quod est cognitionis, id est quod e medio tollit; sed inobœdientia e medio tollit. Neque enim ea sunt obscura quæ scripta sunt. Deum ab initio lignum vitæ in medio paradisi plantasse, per cognitionem vitam ostendentem. qua quum pure vsi non essent qui ab initio fuerunt, impostura serpentis nudati fuerunt. neque enim vita sine cognitione, neque cognitio tuta sine vita vera. Ideo in propinquo vtrumq; plantatum fuit. Quam facultatem quum perspexisset Apostolus, reprehendens cognitionem quæ sine veritate mandati in vitam exercetur, dicit; *Cognitio inflat, dilectio autem ædificat*. Qui enim putat se scire aliquid, sine cognitione vera & cui testimonium perhibetur a vita non cognoscit a serpente decipitur, ob amorem vitæ. at qui cum timore cognitionem est adeptus, & vitam quærit, in spe plantat, fructum exspectans. Esto tibi cor, cognitio: vita autem, sermo verus qui recipitur. Cuius lignum ferens, & fructum, percipies semper quæ apud Deum desiderantur, quæ serpens non attingit, neque impostura se illi applicat: neque Eua corrumpitur, sed virgo creditur: & Salutare ostenditur, & Apostoli intelligentia instruuntur, & Domini pascha progreditur, . . . & cum mundo coaptatur: ac docens sanctos Sermo lætatur; per quem Pater glorificatur. Cui gloria in secula. Amen.

ἀποκαλυφθέντων ἡμῖν γινόμεθα ὑμῖν κοινωνοί. οἷς ἐντυχόντες, καὶ ἀκούσαντες μετὰ σπουδῆς, εἴσεσθε ὅσα παρέχει ὁ θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς, οἱ γενόμενοι παράδεισος τρυφῆς, πάγκαρπον ξύλον εὐθαλοῦν ἀνατείλαντες ἐν ἑαυτοῖς, ποικίλοις καρποῖς κεκοσμημένοι. ἐν γὰρ τούτῳ τῷ χωρίῳ ξύλον γνώσεως καὶ ξύλον ζωῆς πεφύτευται. ἀλλ' οὐ τὸ τῆς γνώσεως ἀναιρεῖ, ἀλλ' ἡ παρακοὴ ἀναιρεῖ. οὐδὲ γὰρ ἄσημα τὰ γεγραμμένα, ὡς θεὸς ἀπ' ἀρχῆς ξύλον ζωῆς ἐν μέσῳ παραδείσου ἐφύτευσε, διὰ γνώσεως ζωὴν ἐπιδεικνύς. ᾗ μὴ καθαρῶς χρησάμενοι οἱ ἀπ' ἀρχῆς, πλάνῃ τοῦ ὄφεως γεγύμνωνται. οὐδὲ γὰρ ζωὴ ἄνευ γνώσεως, οὐδὲ γνῶσις ἀσφαλὴς ἄνευ ζωῆς ἀληθοῦς. διὸ πλησίον ἑκάτερον πεφύτευται. ἣν δύναμιν ἐνιδὼν ὁ ἀπόστολος, τήν τε ἄνευ ἀληθείας προστάγματος εἰς ζωὴν ἀσκουμένην γνῶσιν μεμφόμενος, λέγει, "Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ." ὁ γὰρ νομίζων εἰδέναι τι ἄνευ γνώσεως ἀληθοῦς καὶ μαρτυρουμένης ὑπὸ τῆς ζωῆς, οὐκ ἔγνω ὑπὸ τοῦ ὄφεως πλανᾶται μὴ ἀγαπήσας τὸ ζῆν. ὁ δὲ μετὰ φόβου ἐπιγνοὺς, καὶ ζωὴν ἐπιζητῶν, ἐπ' ἐλπίδι φυτεύει, καρπὸν προσδοκῶν. ἤτω σοὶ καρδία, γνῶσις· ζωὴ δὲ, λόγος ἀληθὴς, χωρούμενος. οὗ ξύλον φέρων, καὶ καρπὸν . . . ρῶν, τρυγήσεις ἀεὶ τὰ παρὰ θεῷ ποθούμενα· ὧν ὄφις οὐχ ἅπτεται, οὐδὲ πλάνη συγχρωτίζεται· οὐδὲ Εὔα φθείρεται, ἀλλὰ παρθένος πιστεύεται. καὶ σωτήριον δείκνυται, καὶ ἀπόστολοι συνετίζονται, καὶ τὸ Κυρίου πάσχα προέρχεται, καὶ κηροὶ συνάγονται, καὶ μετὰ κόσμου ἁρμόζεται, καὶ διδάσκων ἁγίους ὁ λόγος εὐφραίνεται· δι' οὗ πατὴρ δοξάζεται. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

EIVSDEM IVSTINI, DE VITA CHRISTIANA, AD ZENAM ET SERENVM Epistola:

Ioanne Lango interprete.

De quorundam, prout eorum fert præsumptio, institutione & disciplina, sed præter ratione͂ suscepta illa & inutili, iuxta traditione͂ hominū quasi hæreditario ab eis iure occupata, persimilia Pharisæis & sentientibus & facientibus, in epistola ad Papā perquā diligēter & accurate disserui. Ne autē nimius esse videar obiurgator, sed potius salutarē præbeā ansam rē bene gerere volentibus, cum in ea quā ad Principes dedi, cū cura exquisite quoq, (vt equidē puto) scripserim: nō sum grauat⁹ ad vos etiā hanc mittere, vt puerilē nonnullorū viuendi consuetudinem cognoscatis. Scire enim aliorum, quem præter rationem sint ingressi vitæ degendæ modū, prudentiores continentioresq, eos efficit, qui ne in similem errorem incidant, sedulo elaborant. Ac bene quidem habet. vos

ΙΟΥΣΤΙΝΟΣ ΖΗΝΑι ΚΑΙ ΣΕΡΗΝΩι ΤΟΙΣ ΑΔΕΛφοῖς χαίρειν.

Περὶ μὲν τῆς κατὰ προείλημμα, τινῶν ἀλογίστου παιδείας, μαθήσεώς τε ἀνωφελοῦς, κατὰ παράδοσιν ἀνθρώπων κληρονομηθείσης ὑπὸ τῶν ὅμοια τοῖς Φαρισαίοις νοούντων τε καὶ πραττόντων, ἐν τῇ πρὸς Πάπαν ἐπιστολῇ μετὰ πάσης ἀκριβείας ἐξεθέμην. ἵνα δὲ μὴ πάνυ μεμπτικὸς εἶναι δόξαιμι, παρέχοιμι δὲ καὶ λαβὰς σωτηρίους τοῖς βουλομένοις εὖ πράττειν, ἐν τῇ γραφείσῃ πρὸς ἄρχοντάς μου, λίαν ἐπιμελῶς, ὡς ἐγὼ νομίζω, συντάξας, οὐκ ὤκνησα καὶ ὑμῖν ἐπιστεῖλαι, χάριν τοῦ γινώσκειν ὑμᾶς τὰς παιδαριώδεις τινῶν πολιτείας. τὸ γὰρ εἰδέναι τὰς μὴ κατὰ λόγον πολιτευομένων τὰς ἀναστροφὰς, σωφρονίζει τοὺς μὴ ἐμπίπτειν εἰς τὰ ὅμοια σπουδάζοντας. ὑμᾶς μὲν οὖν καλῶς ἔχει, τὰ

ἐκ παρασκευῆς ἀνδραγαθεῖν· ἀλλ' ἐπεὶ τοῦ νῦν αἰῶνος τῇ περιφορᾷ τὰ τῆς γνώμης ἡμῶν συνταράττεται κατασπωμένων εἰς τὸν κόσμον· ὅθεν ὁ Σωτὴρ οὐκ εἶναι λέγων ἑαυτὸν τούτου, καὶ ἡμᾶς τῆς πρὸς τοῦτον κοινωνίας ἀπέστρεψε· συμβουλεύων ἡμῖν φίλους τῆς ἀληθείας γίνεσθαι, καὶ τὸ ἀποτέλεσμα τῆς ἐν οὐρανοῖς δυνάμεως καταδεχομένους, πᾶν τὸ κατὰ τὸ θέλημα τοῦ πατρὸς τῶν αἰώνων ἀπαρτίζειν, μάχης τε καὶ ζηλοτυπίας κοσμικῆς μακρὰν ἵστασθαι· διαφέρεται γὰρ ἑαυτῷ πᾶς ὁ ὀργιζόμενος, καὶ τὸ τῆς θυμομαχίας εἶδος εἰς ἑαυτὸν καταντᾶν εἴωθεν. ἤδη γοῦν τινας ἴσμεν ἐφ' οἷς ἂν κινηθῶσι τῶν πλησίον, δι' οὓς τὰ τῆς λύπης αὐτοῖς ἀποβέβηκε, μηδὲν εἰδότας, ἑαυτοὺς δὲ ἐσθίοντας καὶ ὀδυνῶντας. ῥητέον οὖν πρὸς τὸν ἐναντιοῦσθαι πειρώμενον χαλεπὸν μηδὲν, καθεσταμένῃ δὲ τῇ γνώμῃ, καὶ ἀταράχῳ τῇ διαθέσει, τοσοῦτον, Οὐχ οὕτως ἔσται σου τὸ τῆς ἰσχύος δυνατὸν, ἵνα μου κινήσῃς τὴν προαίρεσιν:- προνοητέον δὲ καὶ τῆς πρὸς τοὺς διαφερομένους εἰρήνης, καὶ μὴ τῷ δόγματι τῆς ὀργῆς συναποφερομένους λέγειν, ποτὲ μὲν, φύσεως εἰμὶ τοιαύτης, καὶ οὐ δύναμαι μὴ ὀργίζεσθαι:- ποτὲ δὲ, καὶ τῆς κοινωνίας κατὰ τὴν εὐχὴν ἀποχωρεῖν. τὸ μὲν γὰρ ἔτι κατὰ φύσιν βιοῦν, οὐδέπω πεπιστευκότος ἐστί· τὸ δὲ ζηλοτυπεῖν διὰ φθόνον, μακρὰν τῆς ἀληθείας ἱσταμένου. παιδευτέον οὖν πάντα ὁντινοῦν ἀμνησικάκως, μὴ κατεπιτηδεύοντας τὴν νουθεσίαν. ἤδη δέ τινας ἴσμεν κατὰ τὸ σαρκικὸν ἐν προκοπῇ γινομένους, ἕλκοντας πρὸς τὴν ἑαυτῶν ὀργὴν τὸ εὐαγγέλιον, καὶ βουλομένους ἐφαρμόζειν τῷ δόγματι τῆς καταφορᾶς αὐτῶν τὰ λόγια τοῦ Σωτῆρος ἡμῶν· οἷς εἰ ἀποβέβηκε τὸ δύνασθαι ἐν γεέννῃ παραδιδόναι τινὰς, καὶ ὁ κόσμος ἂν ὅλος ὑπ' αὐτῶν κατηνάλωτο· πλὴν, τὸ ὅσον ἐφ' ἑαυτοῖς, καὶ κατακρίνουσι, καὶ τοῦ πυρὸς τὰς καμίνους ἀνοίγουσι. διὰ τοῦτο μὴ ὦμεν ἡμεῖς τοιοῦτοι. καὶ ἔτι γνώμην ὑμῖν δίδωμι, βλέπειν ἃ προσήκει θεωρεῖν, καὶ παιδεύειν τὸν πλησίον, ὡς δέον ἐστὶν αὐτόν τινα πρῶτον μελετήσαντα πολλάκις τὸ ὑπονοούμενον, μή τι ἄρα ψευδοδοξεῖ· καὶ εἰ δόξειεν εὖ φρονεῖν, νουθετεῖν τότε μέχρις ἂν ἢ πεισθῇ τῇ συμβουλίᾳ, ἢ αὐτὸς αὐτὸν καταφορον ποιήσῃ. περιέχεσθαι δ' ἡμῖν ἀταραξίαν πολλὴν δύναται, τὸ μὴ κατεπιτηδεύειν πρωτείων ἀπολαύειν, μηδ', εἰ βούλοιντό τινες εἶναι τοιοῦτοι, λυπεῖσθαι· παραχωρεῖν δὲ τοῖς ἐγκρίνουσιν ἑαυτοὺς ἐφ' ἅπερ ὁ Σωτὴρ τοὺς πιστεύοντας οὐ προσκέκληκε. πρὸς δὲ τὸν κεκραγότα σιωπητέον, καὶ τὸν οἰόμενον περιγεγενῆσθαι τινὸς, κατα-

rebus probe meditatis præparato ea præstare quæ viros bonos & fortes decent. Sed enim animorum nostrorum instituta, præsentis seculi conuersionibus conturbantur, dum in mundo ipsi distrahimur. Vnde Saluator seipsum ex eo non esse dicens, nos quoque ab eius communione & societate auertit: consilio dato nobis suadens, vt amici veritatis simus; & perfectionem virtutis cælestis excipientes, omnia iuxta Patris seculorum voluntatem, numeris suis expleamus, & a contentione atque æmulatione mundana longe consistamus. Sibiipsi namque aduersatur, quisquis ira commouetur. Et contentionis animorum quasi quædam belli species, hostiliter sibi ipsi obuiam ire consueuit. Iam nonnullos etiam nouimus, qui quibus de rebus proximorum, propter quos animi eis ægritudo accidit, commoueantur nesciunt: seipsos autem adedunt, atque dolore affligunt. Itaque contra eum qui aduersari nobis conatur, duri nihil proferendum: sed animo sedato, & affectione tranquilla, hoc dumtaxat dicendum: Non tantum violentia tua valebit, vt iudicio cœptum consilium meum a statu suo dimoueas:- Prouidendum vero etiam, vt pax nobis & gratia sit cum dissidentibus: & ne vna cum illis per iræ decretum transuersim rapti, aliquando quidem dicamus: Eiusmodi sum naturæ, & non possum non irasci:- aliquando autem a communione precũ discedamus. Nam etiamsi secundum naturam viuas, nondum tamen id credentis est. Æmulatione autem per inuidiam duci, eius est qui longe a veritate abest. Obiurgandus ergo ita quisque est, vt memoria iniuriarum non adsit, & admonitio minime affectata sit. Iam vero & quosdam scimus, qui carnali profectu eousque promouerint, vt ad iracundiam suam Euangelium pertrahentes, ad sententiæ suæ præcipitium, oracula Seruatoris nostri accõmodare velint: quibus si potestas ea obtigisset vt nonnullos gehennæ traderent, orbem quoque vniuersum consumpsissent. quin illi, quantum in eis est situm, & condemnant, & ignis caminos aperiunt. Quocirca nos istiusmodi ne simus. Atq; insuper illud vobis do consilium, vt etiam atque etiam videatis, quæ penitus perspicere conueniat, & de quibus proximus acrius sit admonendus: quod in primis ipsum monitorem identidem de eo accuratius cogitare oporteat, quod in suspicionem venit; ne videlicet falsa ducatur opinione: ac, si recte arbitrari videatur, vt tum demum tantisper illum hortetur & instituat, dum vel ipse consiliis suis quod vult persuadeat, vel ille sua sponte ad id feratur. Enimuero animi tranquillitatem nobis multam afferre illud potest, si primas ferre non affectauerimus: neque, si qui eiusmodi esse voluerint, mœrore afficiamur. tum autem si non grauate eis cesserimus, qui suo ipsorum suffragio ad ea se offerunt & ingerunt, ad quæ Saluator credentes non vocauit. Aduersus clamitantem autem, silentium tenendum: & is qui alterum se superasse autumat, de-

ridendus: ne quis inani vanaque gloria ductus, propter præsentes & audientes, mutuis verborum conflictationibus, perinde atque illi, tumultum eorum confirmet. Sic namque secum reputet, qui male loquutus est: Iniuriam admisi. [qui vero tacet, cogitet:] Iniuriam accepi, & contradicere nolui, aut etiam ausus non fui. adsit modo mihi, per bonam conscientiam, lætitia & requies:- Qui autem iniuriam facere videtur, eum per arrogantem superbiam ne pudeat conciliare sibi gratiæ persuasione fratrem. Et qui admonetur, ne succenseat: obsecret vero ipsemet [tamquam precator] familiarē. Obuiam namque ire sibi inuicem par est duos, qui ad pacem & gratiam aspirant: quod & pater agenti pœnitentiam filio obuiam procedere, neque moram interponere, sed seipsum ad illius resipiscentiam offerre cernitur. Benignitas enim, quæ secundum fidem est, vtrique conciliat pacem: & qui iniuriam intulit, propter delictum commissum, amicum deprecatione culpæ flectit: qui autem illam est passus, pœnitentia ducitur & ipse, quod aduersus hominem familiarē ira excanduerit. Extra omnem profecto concupiscentiam & appetitum carnalem, constitutum esse oportet fidelem. Qui enim huiusmodi non est, prædas agit, & templū Dei per sacrilegium compilat: atq; adeo, vt audacius dicam, Deum ipsum a seipso eiicit, ac propter conscientiam induratam sensu mali sui caret, atque indolens est, & a monitoribus animo plane alieno: Adamumque ille obtendit, & Euæ facto sese effert, cum oporteat commori cum CHRISTO. Conuenit vero nos sedulo ad nos ipsos spectantes, sine crimine agere & versari cum hominibus, neque quidquam nugandi gratia loqui. Tacentes autem plurimū, intra modum, ad ea quæ opus est, vsu vrgente, respondere. Fugiendæ prauæ [aliorum de nobis] suspiciones, & nostra ipsorum [de aliis] præsumpta opinio exploranda. Quies ita agenda, vt animo leni sis & mansueto, & ad irascendum non commoueare. Neque inuidendum cuiquam, qui præ aliis ametur vnice, vel ipse suos naturæ ductu amet ex animo. Neque affectabimus [quod nobis exhibeatur] ministerium; neq; [aliis] tamquam animi destinatione deditaque opera inseruiemus: amarum, vt aiunt, ingratiis ebibentes. Omnia autem quæ fidei sunt, recta certaque agemus regula. Nam quisquis talis non est, perinde atque super funibus ambulet, primo quoque tempore concidet: quamuis valde admirandus esse eis videatur, qui propter ocium & ignauiam propriam, ad aliorum hiant atque obstupescunt gloriosam iactantiam. Noscendum vero quid id sit quod gloriæ captandæ gratia instituitur, & cuiusmodi id quod a veritate ex animo profectum peragitur. Ac propter hoc ipsum suam quisque gubernare nauem debet, ita vt ne eum gubernandi ars fugiat aut fallat, neue tempestates aduersas metuat, & ita, vt ea quæ contra animi sententiam euenire queant, exspectet. Caro enim prorsus sumus, neque quidquam in nobis habitat boni. Aduocandus igitur ad curam medicus. Et

γελαστέον, μὴ ὑπὸ κενοδοξίας ματαίας ἀγόμενον, διὰ τοὺς παρόντας καὶ ἀκούοντας, ταῖς τῶν λόγων ἀνθυποφοραῖς ἐπίσης καὶ αὐτὸν τὴν ἐπιτάραξιν κρατυνέτω. λογιζέσθω μὲν γὰρ ὁ κακῶς ἀποφαινόμενος, ὅτι καὶ ἠδίκησα, καὶ ἀντειπεῖν οὐκ ἠθέλησα, ἢ οὐκ ἐτόλμησα. παρέστη δέ μοι διὰ τὴν ἀγαθὴν συνείδησιν, εὐφρασία καὶ ἀνάπαυσις:- ὅ τι ἀδικεῖν δοκῶν, μὴ ὑπερηφανευέσθω πείθειν τὸν ἀδελφόν· καὶ ὁ νουθετούμενος, μὴ ὀργιζέσθω, παρακαλείτω δὲ αὐτὸς τὸν οἰκεῖον. συναντᾶν γὰρ ἑαυτοῖς προσήκει τοὺς δύο, πρὸς τὴν εἰρήνην κατάγεσθαι σπεύδοντας· ὅτι καὶ ὁ πατὴρ τῷ μετανοήσαντι συναντήσας υἱῷ φαίνεται, καὶ οὐ περιμείνας, ἀνθυπενεγκὼν δὲ ἑαυτὸν πρὸς τὴν ἐκείνου μετάνοιαν· χρηστότης γὰρ ἡ κατὰ πίστιν ἑκατέροις ἐργάζεται τὴν εἰρήνην. καὶ ὁ μὲν ἀδικήσας, πείθει διὰ τὴν ἁμαρτίαν τὸν φίλον· ὁ δὲ ἀδικηθεὶς, μετανοεῖ καὶ αὐτὸς, ὅτι πρὸς τὸν οἰκεῖον ὠργίσθη. πάσης οὖν ἐπιθυμίας καὶ ὀρέξεως σαρκικῆς ἐκτὸς εἶναι δεῖ τὸν πιστόν· λῃστεύει γὰρ ὁ μὴ τοιοῦτος, καὶ τὸν ναὸν τοῦ Θεοῦ ἱεροσυλεῖ, καὶ, ἵνα τολμηρότερον εἴπωμεν, ἐκβάλλει τὸν Θεὸν αὐτὸς ἀφ' ἑαυτοῦ· καὶ διὰ τὴν συνείδησιν ἀπηλγηκώς ἐστι, καὶ πρὸς τοὺς νουθετοῦντας ἀλλοτρίως διάκειται· καὶ τὸν Ἀδὰμ προβάλλεται, καὶ τῇ πράξει τῆς Εὔας σεμνύνεται, δέον συναποθνήσκειν τῷ Χριστῷ. προσήκει δὲ ἡμᾶς πολλὰ σκεπτομένους πρὸς ἑαυτοὺς, ἀκατηγορήτους ποιεῖσθαι τὰς ὁμιλίας, μηδὲν λαλεῖν διὰ τὸ βούλεσθαι φλυαρεῖν· σιωπῶντας δὲ τὸ πλεῖστον, μεμετρημένως ἀποκρίνεσθαι πρὸς οὓς καὶ ἡ χρεία καταπείγει. φευκτέον δὲ καὶ ὑπονοίας πονηρὰς, καὶ τὴν ὑπόληψιν τὴν ἑαυτῶν δοκιμαστέον. καὶ ἡσυχαστέον μακροθυμοῦντα καὶ μὴ ὀργιζόμενον. ἀλλ' οὐδὲ φθονητέον φιλοστοργουμένῳ τινί. τὴν τε ὑπηρεσίαν οὐκ ἐπιτηδευτέον, οὐδ' ὥσπερ κατὰ πρόλημμα δουλευτέον, τὸ πικρὸν, ὥς φασιν, ἀκουσίως καταπίνοντα. πρακτέον δὲ πᾶν τὸ κατὰ πίστιν, ὀρθῷ κανόνι· πᾶς γὰρ ὁ μὴ τοιοῦτος, καὶ ἐπὶ τῶν σχοινίων ὥσπερ βαδίζων, ὅσον οὐδέπω καταπεσεῖται, κἂν θαυμαστὸς πάνυ εἶναι δόξῃ τοῖς διὰ τὴν ἰδίαν ἀπραξίαν κεχηνόσι πρὸς τὴν ἑτέραν μεγαλαυχίαν. ἰστέον οὖν τί μὲν τὸ ἐπιτηδευόμενον δόξης ἕνεκα, ποῖον δὲ τὸ κατ' ἀλήθειαν πραττόμενον. καὶ διὰ τοῦτο οἰακιστέον τὴν ἑαυτοῦ ναῦν, μὴ καταψευδόμενον τῆς κυβερνητικῆς, μηδὲ δεδιότα τοὺς χειμῶνας, καὶ πᾶν τὸ ἐξ ἐναντίας ἀποβησόμενον, προσδοκῶντα· σάρκες γὰρ ἀκμὴν ἐσμὲν, καὶ οὐδὲν ἡμῖν ἀγαθὸν ἐνοικεῖ. παρακλητέον οὖν τὸν ἰατρὸν πρὸς τὴν θεραπείαν· ὁ γὰρ

qui ita

οὕτω διακείμενος ἰαθήσεται, καὶ τὴν νόσον φεύξεται. σπουδαστέον δὲ μήτι ἰδιώτην περὶ τὸν λόγον φαίνεσθαι, μήτε ἀνερρωγότι τῷ στόματι καταχρῆσθαι. τὸ μὲν γὰρ, ὀκνηρὸν ἢ ἄπιστον· τὸ δὲ, θηριῶδες τοῦ κατὰ τὸν κόσμον σπουδαίου δείκνυσι. τροφαῖς δὲ χρηστέον, οὐ διὰ τὴν ἀπόλαυσιν, ἀλλὰ διὰ τὸ βούλεσθαι ζῆν ἐπί τι χρήσιμον. ἐὰν δὲ ποτε καὶ ὑπὸ ἐνδείας καταληφθῶμεν, πρὸς τὴν πενίαν εὐαρεστῶμεν. καὶ εἰ θέλετε ἀκοῦσαι τῆς ἀλυπίας κατὰ συντομίαν τὸ εἶδος, ἐν πᾶσιν εὐάρεστοι γίνεσθε· καὶ 3 οὔτε πλουτήσαντες διὰ τὴν μεγαλαυχίαν καταπεσεῖσθε· οὔτε ἐν ἐνδείᾳ διάγοντες, ὑπὸ τῆς λύπης ὑποσκελισθήσεσθε, τῆς ἐννοίας ὑμῶν ἀεὶ κατὰ τὸν ἐνάρετον λόγον μονοπροσώπου φαινομένης. ἔτι δὲ ὑποληπτέον πάντα τὸν κόσμον ἀλλότριον, καὶ μὴ ἴδιον, πλέον πίστεως. ὅτι οὖν φιλίαν ἐπίγειον ζητητέον, οὔτε αὖ πολυτέλειαν ὑπὸ ἀνοήτων μακαριζομένην ἐν μεγέθει πόλεως, ἢ δαψιλείᾳ τῶν ἐπιτηδείων· ὧν οὐδὲν ἐπιθυμητέον. οὐ γὰρ ἐσμὲν ἐκ τούτου τοῦ αἰῶνος, χωρὶς εἰ μὴ συγγενεῖς εἶναι τούτου τοῦ κόσμου βουλόμεθα. συνελόντι δ' εἰπεῖν, ὁ θέλων εὖ διάγειν, μήτε ὁράτω πολλὰ, μήτε ἀκούειν ἐπιτηδευέτω· μήτ' ἂν ἀκούῃ ἢ θεωρῇ, βλέπειν ἢ ἀκούειν νομιζέτω. τὸ γὰρ τῆς ἀπραξίας εἶδος ἐντεῦθεν λαμβάνει τὴν ἀρχήν. ὁ δὲ πολλὰ πραγματευόμενος, ἑαυτὸν ἀδικεῖ καὶ τὸν πλησίον· ἔτι καὶ ἀκουσίως ἁμαρτάνειν διὰ τὴν πρὸς αὐτὸν φιλονεικίαν ποιεῖ. πολλάκις οὖν διασκεπτέον τὸ ὑποπεσὸν πρᾶγμα, καὶ τότε μόλις χωριστέον ἀπ' αὐτοῦ τὸν μήτε καυτῆρσι, μήτε σμιλίοις τὴν νόσον φυγεῖν δεδυνημένον. ἀμελητέον δὲ κοσμικὸν οὐδὲν, ἀλλὰ τὸ καταρτίζον ἡμᾶς πρὸς τὴν ἀρετήν. τούτου γὰρ μὴ γένηται, πολλὴν ἡμῖν τὴν εὐτραπελίαν ἐργάζεται· καὶ ὁ φιλόνεικος ἐντεῦθεν λαμβάνει τὴν ἀφορμήν. ἤδη γοῦν τινας ἴσμεν δόγματι τῆς ἑαυτῶν προαιρέσεως, τὸ ὅσον ἐφ' ἑαυτοῖς, τὴν ἡμέραν νύκτα ποιοῦντας, καὶ διὰ τὴν ἐσκιρωμένην φαντασίαν ἀλλόκοτον, ἀπιστοῦντας τοῖς ἐνίων κατορθώμασιν, ἀχθομένους δὲ ἐπὶ τούτοις, καὶ ἅμα τῷ πονηρόν τι ἀκοῦσαι, τῷ καταψευδομένῳ μᾶλλον πιστεύοντας. τί γάρ μοι λέγειν περὶ τῶν διὰ τὸ δυσσυνείδητον τὰς ἀπὸ τῶν πλησίον ὁμιλίας εἰς ἑαυτοὺς ἑλκόντων, καὶ ἵνα ἄλλό τις φθέγξηται περὶ οὑτινοσοῦν, οἰομένων πρὸς αὐτοὺς τείνειν τὸ λεγόμενον, ἀναπλάττειν τι κατὰ τὸ εἰκὸς ἐκ τούτων δρᾶμα καὶ σκηνήν; εἷς ἀπόχρη τὸ καθ' ὑπόνοιαν λέγειν καὶ γράφειν. γελάσαιμι δ' ἂν καὶ τοὺς ἐν παραβύστῳ μετά τινος τῶν πλησίον συντιθέντας λόγων

qui ita animatus fuerit, sanabitur, & morbum effugiet. Opera item danda, ne in dicendo rudes & imperiti esse appareamus: neve patulo nimium ore abutamur. alterum enim tarditatem aut paruam fidem, alterum feritatem mundo dediti hominis ostendit. Alimentis vtendum, non fructus delectationisque causa; sed vt viuere velimus ad vsum vtilitatemq; aliquã. Quod si aliquando a penuria quoque comprehensi fuerimus, in paupertate placide acquiescamus. Ac si per compendium, mœroris omnis expertis indolentiæ formam audire vultis, in rebus omnibus hilares & placidi [præsentique sorte contenti] estote: & neque in exuberantia opulenta agentes, per superbam gloriationem concidetis: neq; in egestate tenui viuentes, per mœrorem & animi ægritudinem supplantati, pessum ibitis: mente vestra semper, iuxta rationem virtute nixam, vno & eodem vultu apparente. Præterea autem mundum omnem nõ nostrum, sed supra fidem etiam alienum esse ducemus. Et proinde neque amicitias terrenas quæremus, neque quæ ab insipientibus beatitudinis nomine laudantur, opes, in vrbis magnitudine, aut necessariorum copiis: quæ ne expetendæ quidem sunt. Non enim ex hoc sumus seculo: excepto, si cognati esse & affines mundi istius velimus. Vt autem breuiter dicam, qui bene vult vitam peragere, neque videre multa, neq; audire studeat: atque etiamsi audiat aut videat, tamen neque videre se, neque audire putet. nam inde tranquillitatis animi species initium sumit. At qui negotiis pluribus implicatus multa agit, cum seipsum iniuria afficit, tum proximum insuper eo adducit, vt vel inuitus æmulatione, propter contendendi cum illo studium peccet. Multoties ergo quæcumque incidit res, consideranda perspiciendaque venit: & tum demum vix ab ea discedendum, cum neq; cauteriis neque scalpellis morbum quis fugare valeat. Nihil autem mundanum in sermonibus & quotidiana consuetudine tractandum atque meditandum; sed id modo, quod nos ad virtutem perficiat. hoc enim nisi fiat, multam nobis pariat dicacitatem, & vrbanam scurrilitatem: & contentionis studiosus, occasionem inde sibi altercandi sumat. Ac scimus iam esse quosdam, qui iudicii sui sententia, quantum in eis ipsis est situm, diem in noctem vertunt: & propter absurdam calloque iam obductam imaginationem, quorundam recte monitis non credentes, eaque ægre ferentes, simulatque mali quidquam audierint, magis ei qui illos per mendacium fallit, fidem habent. Quid enim attinet de eis dicere, qui pro mala conscientia sua, proximorum colloquia & sermones in seipsos trahunt: & vbi aliud quispiam de quocumque referat, ad se id dictum pertinere existimant: actionesque scenicas & fabulas inde, vt consuetudo recepta fert, confingunt: quibus satis est ea saltem quæ in suspicionem cadunt, & dicere & scribere. Risu vero dignos etiam duxerim, qui in locum secretiorem sese abdentes, cum proximorum aliquo [dicacitatis studio] verborum

capita, sermonesque & colloquia, ad nullam honestatis partem spectantia, sed pugnas atque bella per susurros perficientia componunt, quique sursum ac deorsum in scenam prodeunt, [ea scilicet publicantes & peruulgantes.] Quemadmodum qui clamore ingenti Orestem persona referens, terribilis & magnus ab insipientibus esse putatur, propter pedes ligneos, & ventrem factitium, & vestem peregrinam, & faciem monstrosam: eodem sane modo & qui æmulationem obtinere præ se ferunt, & libertatem dicendi ostentant, quia vincere volunt, libertatis simulatæ specimen omne sibiipsis assumunt, homines contentionis studiosi: & cum æmulatorem deuorarint, proinde atque Bacchæ, sub schemate & habitu pacifico, hastas in thyrsis circumferunt. Cauendum insuper & illud, ne quandoque læto progrediamur vultu, quandoque tristi. Et (si verum dicere oportet) vitandum id omne quod in duodecim partes diuisam quouis die denunciat fabulam & actionem. Sententiam equidem meam dixerim, vnumquemque mundano præditum animo, & extra rectam regulam consistentem, suo ipsius iudicio condemnatum esse, scientem quid de industria prudens faciat; ac bellum quidem quod intra se geritur, non ignorantem, pacem autem in visceribus suis non consectanté. Amici honorandi omnes. Et obiurgatio non in alios modo exercenda, verumetiã ab aliis audienda. Vino vtendum, cum iam lectioni non incumbemus. Qui enim huiusmodi est vini helluo; & animo vecors est, & perpetuo calet. Proximo loquente, neque illum irridebimus, neque prohibebimus: sed dicere eum permittemus, quoad per silentium nostrum pudore affectus cõticescat. Consulet autem pro se quisque, vtilitati communiter omnium. Admonendus qui quidquam designat; sed non propalam: nisi cum opus sit, propter illius peruicacem despicientiam. Cum mulieribus attentione singulari agendum, propter earum fastum. Quatenus namque aliqua seipsam conspicuam facit, & mulierem se esse prætendit, desidiæque & ocio vacat: eatenus fœmina est & ob istiusmodi animũ fidelis non est. Proinde eas neq; affligemus, neq; adulabimur. Hoc vero quod [in eis] amamus, ne cũ periculo id faciamus vidẽdum. Multifariã enim sunt prauitatis commentationes. Quocirca vigilare debemus, responsis Saluatoris nauantes, ac nihil de quoquam mali vel dicẽtes, vel audientes. Et scabiem mens contrahit, pluribusq; vitiosis impletur humoribus, ab aliorum familiaritate. Quocirca audienda dumtaxat quæ vtilia sunt, & ex præscripto Euangelii agendũ. Quæ vero animum quasi supplantant, detrectanda. Quærendũ autẽ de oraculis diuinis: ac, si quidem prudenter, pulchrum id fuerit. sin secus, ad instar tamen idiotarũ & imperitorũ [id faciemus.] Insipienti namque sapientiam inquirenti sapientia imputabitur. Ei vero, qui sibiipsi imaginaria opinione videtur

κεφάλαια, καὶ ὁμιλίας πρὸς μηδὲν εὔθετον ἀνηκούσας, μάχας δὲ διὰ τῶν ψιθυρισμῶν καὶ πολέμους ἐξαρτιζούσας, ἄνω τε καὶ κάτω σκηνοβατούσας. καθάπερ ὁ λίαν μεγαλοφώνως τὸν Ὀρέστην ὑποκρινόμενος, φοβερὸς εἶναι καὶ μέγας παρὰ τοῖς ἀνοήτοις διὰ τῶν ξυλίνων ποδῶν, καὶ κοιλίας ἐπιπλάστου, καὶ στολῆς ἀλλοκότου, καὶ προσώπου τερατώδους ὑπειλῆφθαι· τρόπῳ τῷ αὐτῷ καὶ οἱ ζῆλον ἔχειν ἐπαγγελλόμενοι, καὶ τὸ παρρησιαστικὸν ἐπιτηδεύοντες, διὰ τὸ βούλεσθαι νικᾶν, πᾶν εἶδος ἐλευθερίας προσποιήτου περιτιθέασιν ἑαυτοῖς οἱ φιλόνεικοι, τὸν ζηλωτὴν καταπεπωκότες· ὥσπερ αἱ βάκχαι διὰ σχήματος εἰρηνικοῦ τὰς λόγχας ἐν τοῖς θύρσοις περιφέρουσιν. ἔτι δὲ καὶ τοῦτο φυλακτέον, τὸ μὴ ποτὲ μὲν φαιδρῷ τῷ προσώπῳ προϊέναι, ποτὲ δὲ σκυθρωπῷ· καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, παραιτητέον πᾶν τὸ δωδεκαμερὲς καθ' ἑκάστην ἡμέραν ἀπαγγελλόμενον δρᾶμα. τὸ γοῦν ἐμοὶ δοκοῦν εἴποιμ' ἄν, ὅτι πᾶς ὁ τὴν γνώμην κοσμικὸς, καὶ τοῦ ὀρθοῦ κανόνος ἔξω γινόμενος, αὐτοκατάκριτός ἐστιν, εἰδὼς ὃ πράττει κατ' ἐπιτήδευσιν, καὶ γινώσκων μὲν τὸν ἐν αὐτῷ πόλεμον, τὴν δὲ εἰρήνην ἐν τοῖς σπλάγχνοις μὴ ἐπισπώμενος. φίλους δὲ τιμητέον πάντας· τό τι ἐλεγκτικὸν οὐ πρακτέον μόνον, ἀλλ' ἔτι καὶ ἀκουστέον. οἴνῳ δὲ χρηστέον, ἐπειδὰν μηκέτι τοῖς ἀναγνώσμασι σχολάζωμεν. ὁ μὲν γὰρ τοιοῦτος, οἰνόφλυξ τέ ἐστι καὶ τῇ γνώμῃ παράφορος, καὶ θερμαίνεται συνεχῶς. λαλοῦντος δὲ τοῦ πλησίον, οὔτε χλευαστέον, οὔτε κωλυτέον, ἐατέον δὲ μέχρις ἂν διὰ τὴν σιωπὴν αἰδεσθεὶς, παύσηται. συμβουλευτέον δὲ τὸ συμφέρον δι' ἑνὸς κοινῇ πᾶσι. νουθετητέον δὲ τὸν ἁμαρτάνοντα, μὴ κατὰ κοινὸν, ἐκτὸς εἰ μὴ χρήζει διὰ τὸ ὑπεροπτικόν. καὶ γυναιξὶν ὁμιλητέον ἐπιστρεφέστερον διὰ τὸ ἐκτετυφωμένον αὐτῶν. μέχρις γάρ ἧς περίβλεπτον ἑαυτὴν ποιεῖ, καὶ τὸ εἶναι γυνὴ προβάλλεται, καὶ τὸ ἄπρακτον ἐπιτετήδευκε, θήλεά ἐστι, καὶ διὰ τὴν τοιαύτην γνώμην οὐκ ἔστι πιστή. μήτε οὖν αὐτὰς διώκωμεν, ἀλλὰ μήτε θωπεύωμεν. τὸ δ' ὅπερ ἀγαπῶμεν, τὸ μὴ κεκινδυνευμένως πράττωμεν. πολυμερεῖς γὰρ αἱ τῆς κακίας πραγματεῖαι. διὰ τοῦτο γρηγορητέον, τοῖς λογίοις τοῦ Σωτῆρος σχολάζοντας, μηδὲν περὶ μηδενὸς φαῦλον λέγοντας ἢ ἀκούοντας. ψωριᾷ γὰρ ἡ γνώμη, καὶ πολλῆς ἐμπίπλησται κακοχυμίας ἀπὸ τῶν ἄλλων ὁμιλιῶν. διὰ τοῦτο ἀκουστέον μόνον τὰ ὠφέλιμα, καὶ ποιητέον κατὰ τὸ εὐαγγέλιον. τὰ δ' ὥσπερ ὑποσκελίζοντα τὴν γνώμην, παραιτητέον. ζητητέον δὲ περὶ τῶν λογίων, καλὸν, εἰ συνετῶς· εἰ δ' οὖν, κἂν ὥσπερ ἰδιώτης. ἀνοήτῳ γὰρ ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται· τῷ δὲ κατὰ τὴν ἑαυτοῦ φαντασίαν

